This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

6000970515

110 6.50



Digitized by Google

Digitized by Google

Digitized by Google

ΦΩΤΙΟΥ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΕΠΙΣΤΟΛΑΙ.



ΑΙΣ ΔΥΟ ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΗΡΤΗΤΑΙ ΠΟΝΗΜΑΤΙΑ.

Α'.—ΕΡΩΤΗΜΑΤΑ ΔΕΚΑ ΣΤΝ ΙΣΑΙΣ ΤΑΙΣ ΑΠΟΚΡΙΣΕΣΙΝ.

ΗΤΟΙ

ΣΤΝΑΓΩΓΑΙ ΚΑΙ ΑΠΟΔΕΙΞΕΙΣ ΑΚΡΙΒΕΙΣ, ΣΤΝΕΙΛΕΓΜΕΝΑΙ ΕΚ ΤΩΝ ΣΤΝΟΔΙΚΩΝ ΚΑΙ ΙΣΤΟΡΙΚΩΝ ΓΡΑΦΩΝ ΠΕΡΙ ΕΠΙΣΚΟΠΩΝ ΚΑΙ ΜΗΤΡΟΠΟΛΙΤΩΝ, ΚΑΙ ΛΟΙΠΩΝ ΕΤΕΡΩΝ ΑΝΑΓΚΑΙΩΝ ΖΗΤΗΜΑΤΩΝ.

Β'.—ΚΡΙΣΕΙΣ ΚΑΙ ΕΠΙΛΤΣΕΙΣ ΠΕΝΤΕ ΚΕΦΑΛΑΙΩΝ,

ΤΩι ΘΕΟΦΙΛΕΣΤΑΤΩι, ΟΣΙΩΤΑΤΩι, ΛΕΟΝΤΙ ΑΡΧΙΕΠΙΣΚΟΠΩι ΚΑΛΑΒΡΙΑΣ.

ΜΕΤΑ ΠΡΟΛΕΓΟΜΕΝΩΝ ΠΕΡΙ ΤΟΤ ΒΙΟΤ ΚΑΙ ΤΩΝ ΣΤΓΓΡΑΜΜΑΤΩΝ ΦΩΤΙΟΤ Κ.Τ.Λ.

ΤΠΟ

ΙΩΑΝΝΟΤ Ν. ΒΑΛΕΤΤΑ.

πρώην Διευθυντοῦ τοῦ ἐν Σύρῳ Ἑλληνικοῦ Παιδαγωγείου.

ΕΝ ΛΟΝΔΙΝΩι D. NUTT, 270, STRAND.

1864.

110. C. 50.

Digitized by Google

"La délicatesse du style de Photius et la finesse de son esprit paraissent particulièrement dans ses *Lettres*, aussi bien que son érudition et l'étude particulière, qu'il avait faite de l'Ecriture Sainte."

Ellies Du-Pin.—Nouvel. Biblioth. des auteurs Eccles. Tom. VII, p. 104.

"Photii Patriarchae Constantinopolitani, qui medio saeculo nono post Christum natum floruit, *epistolae disertae, eruditae, et lectu dignissimae.*"

J. A. Fabricius.—Biblioth. Graeca. Tom. I, p. 701.

"Ἐὰν δὲ καὶ τ' ἄλλα (Φωτίου), καὶ μάλιστα τὰς ἐπιστολάς, ἀναγνῷς, θαυμάσεις τὸν φιλόσοφον, τὸν μαθηματικόν, τὸν ἰατρόν, τὸν εὐφραδέστατον ῥήτορα . . . . Πάμμουσον ὁρᾷς παιδείας ἐνδιαίτημα· ἐξαιρέτως δὲ τῆς θεολογίας ἱερώτατον τέμενος, καὶ στόμα τῆς Ὀρθοδοξίας τρανόφθογγον, λέξει τε καὶ φράσει κεχαριτωμένη καὶ ἐκφαντορικῇ τὰ παράγια τῆς εὐσεβείας μυστήρια τελεστικῶς ἀναπτύσσοντα καὶ ἱερουργοῦντα. Καὶ πανταχοῦ δὲ τὸ πρέπον τοῦ λόγου διατηρεῖ, συνάπτων εὐφυῶς τῆς Ἀττικῆς μούσης τὴν ἀκρίβειαν πρὸς τὰς νεωτέρας χάριτας τῆς Ἀλεξανδρινῆς εὐγλωττίας."

Κ. Οἰκονόμος.—Περὶ τῶν Ο' ἑρμηνευτῶν τῆς παλαιᾶς θείας Γραφῆς. Τόμ. Δ', σελ. 754.



ΕΝ ΛΟΝΔΙΝΩι
ΤΥΠΟΙΣ CLAYTON & CO., 17, BOUVERIE STREET, FLEET STREET.

Digitized by Google



ΤΗι

ΜΙΑι ΑΓΙΑι ΚΑΘΟΛΙΚΗι ΚΑΙ ΑΠΟΣΤΟΛΙΚΗι

ΕΚΚΛΗΣΙΑι

ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ

ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

ΦΩΤΙΟΥ

ΤΟΥ ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ ΑΗΤΤΗΤΟΥ ΠΡΟΜΑΧΟΥ

ΑΙ ΕΠΙΣΤΟΛΑΙ

ἀναγεγράφθωσαν.

Digitized by Google

Digitized by Google

ΠΡΟΛΕΓΟΜΕΝΑ.

Α') *Περὶ τῆς ἀληθοῦς τοῦ πρώτου καὶ μεγάλου τῆς τοῦ Χριστοῦ Ἐκκλησίας σχίσματος αἰτίας.—Β'*) *Περὶ τῆς παρούσης τῶν Φωτίου ἐπιστολῶν ἐκδόσεως.—Γ'*) *Φωτίου βίος.—Δ'*) *Συγγράμματα αὐτοῦ.—Ε'*) *Ἐπίλογος.—Μαρτυρίαι περὶ Φωτίου.*

Α'.

ΦΩΤΙΟΥ *ἐκείνου, τοῦ σοφωτάτου καὶ ἀοιδίμου* Πατριάρχου Κωνσταντινουπόλεως, *τοῦ γενναίου τῆς* Ὀρθοδοξίας *προμάχου καὶ σωτῆρος, τὰς ἐπιστολὰς ἐκδιδούς, οὔτε πολυμαθείας δόξαν προσποιοῦμαι, οὔτ' εἰς ἀγῶνα πρὸς τοὺς ἀμειλίκτους ἐκείνου τε καὶ τῆς ἀληθείας ἐχθροὺς καταβαίνω. Μικρὸς μὲν γὰρ ὢν καὶ πολλοστὸς τῶν Ἑλληνίδων Μουσῶν θεράπων, οὐδαμῶς ἀξιῶ τοῖς ἐκ πολλῶν πολλὰ καὶ καλὰ καὶ μεγάλα τῇ φιλτάτῃ Πατρίδι προσφέρουσιν ἐναρίθμιος εἶναι· ἀλλὰ τὰς ἐκείνων θαυμάζων προσφοράς, καὶ τοὺς μεγάλους ὑπὲρ τῆς τοῦ ἔθνους ἡμῶν θρησκευτικῆς τε καὶ πολιτικῆς ἐκπαιδεύσεως ἀγῶνας σεβόμενος καὶ τιμῶν, ἄποθεν κἀγὼ τὸν ἐμὸν κυλίω πίθον, διαζωσάμενος τὸ τριβώνιον, ὡς ὁ Κυνικὸς ἐκεῖνος, ὡς μὴ μόνος (εἴπερ μοι καὶ αὐτῷ κατὰ τὸν Σαμοσατέα φιλόσοφον εἰπεῖν ἔξεστιν) ἀργεῖν δοκοίην ἐν τοσούτοις ἐργαζομένοις, μηδὲ μόνος ἄφωνος εἴην ἐν οὕτω πολυφώνῳ τῷ καιρῷ, μηδ' ὥσπερ κωμικὸν δορυφόρημα κεχηνὼς σιωπῇ παραφεροίμην.*[1] *Ἁπλῶς οὖν καὶ κατὰ δύναμιν τὴν ἐμὴν τῇ τε πανσέπτῳ ἡμῶν Ἐκκλησίᾳ καὶ τῇ φιλτάτῃ Πατρίδι ἀφοσιούμενος, οὐδενὸς μὲν ἐμαυτὸν ἀξιῶ τῶν μεγίστων· ἐξ ὧν δ' ἔχω μικρῶν μικρὰ προσφέρω, τὸ τοῦ Σοφοκλέους ἐπᾴδων,*

Σμικρὰ μὲν τάδ', ἀλλ' ὅμως ἃ 'χω.[2]

Τέκνον δὲ τῆς Ὀρθοδόξου *τοῦ* Χριστοῦ Ἐκκλησιας, *τῆς ἐν εἰρήνῃ καὶ πραότητι διδασκούσης παιδεύειν τοὺς ἀντιδιατιθεμένους, τὸν δὲ αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτεῖσθαι, ὡς ἐξεστραμμένον*

[1] *Λουκιανὸς ἐν τῷ "πῶς δεῖ ἱστορίαν συγγράφειν." § 2.*

[2] *Ἐν Ἠλέκτρᾳ*, 450.

Digitized by Google

καὶ αὐτοκατάκριτον,[1] φεύγω τὸν πρὸς τοὺς κατηγόρους καὶ ὑβριστὰς τοῦ πανιέρου ΦΩΤΙΟΥ ἀγῶνα, ὡς οὐχὶ μιᾶς καὶ δευτέρας, ἀλλὰ πολλῶν καὶ πολλάκις γενομένων αὐτοῖς νουθεσιῶν, αὐτῶν δὲ τῆς ἀληθείας οὐ βουλομένων συνιέναι, ἀλλὰ λεπάδων δίκην τῇ πλάνῃ καὶ τῇ ἁμαρτίᾳ προσκειμένων.

β'. Οὐκ ὀλίγοι γὰρ καὶ τῶν ἡμετέρων[2] καὶ τῶν ἀνὰ πᾶσαν τὴν Εὐρώπην ἑτεροδόξων σοφῶν, καὶ αὐτῶν δὴ τῶν Παπιστῶν ὅσοι τὴν ἀλήθειαν καὶ τὸ δίκαιον σέβεσθαι καὶ τιμᾷν ἔμαθον, τοῖς ἀσεβῶς τὸν ἀοίδιμον ΦΩΤΙΟΝ διαβάλλουσι καὶ συκοφαντοῦσι γενναίως ἀντέστησαν, τῆς ἀληθείας ὑπερμαχοῦντες, καὶ τὴν ἐκείνων ἐξελέγχοντες μοχθηρίαν. Ἀλλ' οὐδὲν ταῦτα πρὸς τὸν ἀλαζόνα Παπισμὸν καὶ τὰ πολύστομα καὶ πλατύστομα τῆς Ῥώμης ὄργανα. Οὗτοι γὰρ ἐπὶ τῆς αὐτῆς πάντοτε σαλεύοντες ἀγκύρας, εἴ τι μὲν κατὰ ΦΩΤΙΟΥ γέγραπται, ἔστωσαν καὶ ὄνειροι γελοῖοι καὶ λῆροι πλατεῖς,[3] ταῦτα ἐπιμελῶς σταχυολογοῦσι· καὶ τούτοις τὰ ἴδια αὐτῶν προστιθέντες, καὶ ἀλλήλων ἐπιπόνως ἀντιγράφοντες τοὺς λόγους, αὐτοί τε δοκοῦσι πεπεῖσθαι, καὶ ἄλλους πείθειν πειρῶνται, ὅτι τοῦ μεγάλου ἐκείνου τῆς τοῦ Χριστοῦ Ἐκκλησίας σχίσματος, οὐχ ἡ τῶν Παπῶν ἀντίχριστος ἀλαζονεία, ἀλλὰ ΦΩΤΙΟΣ ἦν ὁ αἴτιος. Πανταχοῦ δὲ τοὺς πολεμίους ἐκείνου, Νικήταν φημὶ τὸν Παφλαγονίας Ἐπίσκοπον,[4]

---

[1] Παῦλος πρὸς Τίτον. Γ', 9—12.

[2] Ὑπὲρ Φωτίου ἄλλοι τε τῶν ἡμετέρων κατὰ καιροὺς γεγράφασι, πάσας τῶν κατηγόρων καὶ ὑβριστῶν αὐτοῦ τὰς φλυαρίας ἀνασκευάσαντες, πάντων δὲ μάλιστα καὶ κάλλιστα ὁ ἀξιότιμος ἰατρὸς καὶ φιλόλογος Σοφοκλῆς Κ. Οἰκονόμου, ὁ πρὸ τεσσάρων ἐτῶν ἐκδοὺς ἐν Ἀθήναις Φωτίου τὰ Ἀμφιλόχια, τῆς πολυγράφου καὶ ἀριστογράφου δεξιᾶς τοῦ ἀοιδίμου αὐτοῦ πατρὸς ὕστατον τοῦτο καὶ πολύτιμον ἔργον, περὶ οὗ ἐν τοῖς ἑξῆς εἰρήσεται τὰ προσήκοντα.

[3] Ἴδε κατωτέρω (§ λ') τὸν τοῦ Καίσαρος Βάρδα ὄνειρον.

[4] Ὁ ἄσπονδος οὗτος Φωτίου ἐχθρὸς καλεῖται μὲν συνήθως Παφλαγών, ἦν μέντοι Βυζάντιος τὴν πατρίδα, μικρὸν μετὰ Φώτιον (εὐθὺς ἀρχομένου τοῦ Γ' αἰῶνος) ἀκμάσας. Ἔγραψε δὲ πρὸς τοῖς ἄλλοις καὶ βίον τοῦ Πατριάρχου Ἰγνατίου, ὑπό τε Βινίου καὶ Λαββαίου καὶ Ἀρδουΐνου, ὥς τινα κατάλληλον εἰσαγωγήν, τῶν Πρακτικῶν τῆς ψευδογδόης Συνόδου προτασσόμενον. Πολλὰ δ' ἐν τῇ βιογραφίᾳ ἐκείνῃ καταψεύδεται Φωτίου· ἐφ' οἷς θαυμαστὸς μέν ἐστι τοῖς περὶ Βαρώνιον (ὃς τὴν τερατολογίας ἀνάμεστον ἐκείνην συγγραφὴν "nobile antiquitatis monumentum" ἀποκαλεῖ), εὐθύνεται δὲ καὶ ἐλέγχεται ὑπὸ τῶν τῆς ἀληθείας προμάχων, Δοσιθέου φημί, τοῦ Πατριάρχου Ἱεροσολύμων, καὶ Μελετίου τοῦ Ἀθηνῶν Μητροπολίτου, καὶ Ἠλία τοῦ Μηνιάτου, καὶ Νικηφόρου τοῦ Θεοτόκη, καὶ πολλῶν ἄλλων τῶν ἡμετέρων. Ἀλλὰ καὶ τῶν ἑτεροδόξων οἱ φρονιμώτατοι καὶ σοφώτατοι πολλὰ τὴν τοῦ ἀνδρὸς μωρίαν ἐξελέγχουσιν· οἷοί πέρ εἰσι Ῥιχάρδος ὁ Μοντακούτιος, καὶ Μαρτῖνος ὁ "Αγγιος, καὶ Ἰάκωβος ὁ Βασνάγιος, καὶ πλεῖστοι ἕτεροι. Ὁ μὲν γὰρ Μοντακούτιος ὀρθῶς αὐτὸν ἀποκαλεῖ ἀρχὴν καὶ πηγὴν πάσης κατὰ Φωτίου συκοφαντίας, ἐξ ἧς Βαρώνιος ἠρύσατο· "Certe Nicetas Paphlago hoc (ὅτι Φώτιος εὐνοῦχος ἦν) nusquam παφλάζει· qui tamen totus pro Ignatio stabat, Photium oderat, et *calumniarum omnium fons est et origo*, quibus illum καταπλύνει Cardinalis (Βαρώνιος δῆλον ὅτι Φώτιον).—Ἴδε Μοντακ. σημ. ἐν τῇ ΜΘ' ἐπιστολῇ Φωτίου κατὰ τὴν ἐκείνου ἔκδοσιν.—Καὶ ἀλλαχοῦ δὲ (Ἐπιστ. ΠΓ', σημ.) ψεύδους ῥαψῳδὸν ἀποκαλεῖ τὸν Νικήταν, τάδε λέγων. "Quod Photium nollet accusare de impostura illa, quam e Niceta *omnium mendatiorum rapsodo* Paphlagone commemorat Baronius, ad annum 878, Lect. 38, quem ille fabulator clericum Regium appellat. Οὐχ ἧττον δὲ καὶ Μαρτῖνος ὁ "Αγγιος ἐν τῷ "περὶ τῶν τὰ Βυζαντινὰ συγγραψάντων" (de Byzantinarum rerum scriptoribus, p. 269 et seq.) τὴν Νικήτα ἐξελέγχει κακόνοιαν (Ἴδε Κ. Ἀσωπίου Ἱστορίαν τῶν Ἑλλήνων ποιητῶν καὶ συγγραφέων σελ. 141—2). Ὁ δὲ σοφὸς Βασνάγιος μύθους ἀποκαλεῖ τὰ κατὰ Φωτίου ὑπὸ Νικήτα ἱστορούμενα, καὶ αὐτόν, Ἀρχιερέα ὄντα, τῷ κατὰ Φωτίου πάθει τετυφλωμένον ἀποφαί-

Digitized by Google

καὶ Στυλιανὸν Μάπαν τὸν Νεωκαισαρείας,[1] καὶ Μητροφάνην τὸν Σμύρνης,[2] καὶ Ἀναστάσιον τὸν βιβλιοθηκάριον,[3] καὶ εἴ τινα ἄλλον τοιοῦτον, προβαλλόμενοι μάρτυρας, ἅρπαγα τοῦ Πατριαρχικοῦ θρόνου, καὶ διώκτην τῆς ἀρετῆς, καὶ τὰ πάντα κακὸν ἀναγράφουσι ΦΩΤΙΟΝ. Εἰ δέ τις αὐτοῖς μεγάλων καὶ σεβασμίων Συνόδων ἀντιστήσειε τὰ Πρακτικά, καὶ πολλῶν ἱερῶν ἀνδρῶν τῆς τε Ἀνατολικῆς καὶ τῆς Δυτικῆς Ἐκκλησίας ἐπιδείξειε συγγράμματα καὶ ἐπιστολάς, ὑπὲρ ΦΩΤΙΟΥ μαρτυροῦντα, αὐθαδέστεροι ἑαυτῶν γινόμενοι, καὶ ἄλλας ἐξερεύγονται κατ' ἐκείνου ὕβρεις, πλαστογράφον ἀποκαλοῦντες, καὶ φονέα τοῦ Ἰγνατίου, καὶ τυμβωρύχον,[4] καὶ ἄλλα τοιαῦτα πολλά, οἷα καὶ περὶ λῃστῶν

νεται, τοιάδε λέγων. "Ce sont des contes, que nous ne rapportons qu'afin de faire voir, que la passion aveugle souvent les Evêques, comme les autres hommes, et qu'ils ne craignent pas de sacrifier la vérité à leur haine (Basnage—Histoire de l'Eglise. T. 1, p. 584). Καὶ ὁ σοφὸς δὲ συντάκτης τῆς ἐν τῷ Βιογραφικῷ Λεξικῷ τοῦ Σμιθίου (Dictionary of Greek and Roman Biography, etc., edited by William Smith) Βιογραφίας τοῦ Φωτίου συνεχῶς τοῖς ὑπὸ Νικήτα ἱστορουμένοις παρεντίθησιν "εἰ χρὴ Νικήτᾳ πιστεύειν." Οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτῶν τῶν Φωτίου κατηγόρων εἰσὶν οἳ τὰ ὑπὸ Νικήτα ἱστορούμενα ὑπερβολὰς ἀποκαλοῦσι, καὶ ἐξημμένης κεφαλῆς τερατώδη ἀποκυήματα. Αὐτίκα δὴ Νέανδρος, ἐν πολλοῖς ὁμογνωμονῶν τοῖς Παπισταῖς, καὶ Φώτιον κακῶς λέγων, πανταχοῦ σχεδὸν τῆς ἑαυτοῦ ἱστορίας, ὅπου ἂν τὴν ἐλεεινὴν ἐκείνην τοῦ Νικήτα συγγραφὴν παρατιθῆται, ἀναξίαν πίστεως ταύτην ἀποφαίνεται· κἀκεῖνον μὲν ἐμπαθῆ ἱστορικὸν ἀποκαλεῖ, τοῖς δὲ ἱστορουμένοις καὶ οὗτος συνεχῶς παρεντίθησιν "εἰ χρὴ Νικήτᾳ πιστεύειν." Νεάνδρου Ἐκκλ. Ἱστ. Τόμ. Ε', σελ, 302, 308 καὶ 318 τῆς Ἀγγλικῆς μεταφράσεως ὑπὸ Joseph Torrey 1852.—Ἴδε καὶ Ἀμφιλοχ. Προλεγόμ. ὑπὸ Σοφ. Κ. Οἰκονόμου, σελ. ά. σημ. ά. Ἀθήνῃσι 1858. καὶ Μελετίου Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 275. Περὶ δὲ τῶν ἄλλων Νικήτα συγγραμμάτων ἴδε Φαβρικ. Ἑλλ. Βιβλ. Τόμ. Ζ'. σελ. 747—9. ἔκδ. Harles.

[1] Τούτου ἐπιστολαὶ δύο πρὸς τὸν Πάπαν Στέφανον Ε' συνεκδέδονται τῷ ὑπὸ Νικήτα συγγεγραμμένῳ βίῳ τοῦ Ἰγνατίου ἐν πάσαις σχεδὸν τῶν Συνοδικῶν ταῖς ἐκδόσεσιν, ἅτε πολλῆς ἀξιούμεναι παρὰ τῶν Παπιστῶν πίστεως καὶ τιμῆς. Ἴδε καὶ Fleury—Hist. Eccles. Tom. XI. p. 491—2.

[2] Καὶ οὗτος ἄσπονδος ἐγένετο Φωτίου ἐχθρός, υἱὸς ὢν μονογενὴς τῆς ἀσέμνου ἐκείνης γυναικός, ἣν οἱ Μεθοδίου τοῦ Πατριάρχου συκοφάνται μάρτυρα προὐβάλοντο τῶν κατὰ τοῦ ὁσίου ἐκείνου συκοφαντιῶν, ὅτε καὶ ἐξηλέγχθη αὕτη πονηρά τις οὖσα γυνή (Θεοφ. Χρονογρ. συνέχ. σελ. 158—9.—Γεωργίου Κεδρηνοῦ Σύνοψις ἱστοριῶν, Τόμ. Β', σελ. 147, ἔκδ. Βόννης). Καὶ τὸ μὲν πρῶτον ὁ Μητροφάνης οὗτος Φώτιον νόμιμον Πατριάρχην ἀπεδέξατο· ἔπειτα δὲ μεταβαλόμενος πολλὰ καὶ κακὰ ἐκεῖνον ἔλεγε· καὶ δὴ καὶ ἐπιστολὴν ἔγραψε πρὸς Μανουὴλ τὸν Πατρίκιον, ἣν ἄν τις ἴδοι ἔνθα καὶ τὰς τοῦ Νεοκαισαρείας Στυλιανοῦ. Περὶ δὲ τῶν ἄλλων αὐτοῦ συγγραμμάτων ἴδε Φαβρικ. Ἑλλ. Βιβλιοθ. Τόμ. ΙΑ', σελ. 700 ἔκδ. Harles.

[3] Σύγχρονος καὶ οὗτος Φωτίῳ, πολλὰ καταψευσάμενος αὐτοῦ ἐν οἷς ἔγραψε βίοις τῶν Παπῶν, καὶ ἐν οἷς μεθηρμήνευσε Λατινιστὶ Πρακτικοῖς τῆς ἐν Κωνσταντινουπόλει ψευδογδόης Συνόδου, ὧν μακρὸν προὔταξε πρόλογον, τὰς αἰτίας δῆθεν τῆς Συνόδου ἐκείνης πρὸς τὸν Πάπαν Ἀδριανὸν Γ' ἱστορῶν. Καὶ ἄλλα δέ τινα, ἐν οἷς καὶ Ἱστορίαν Ἐκκλησιαστικὴν, ἔγραψε, περὶ ὧν ἴδε Φαβρικ. Ἑλλ. Βιβλ. Τόμ. Ι', σελ. 602—6.

[4] Τὰς τοιαύτας κατὰ Φωτίου βλασφημίας, ὑπὸ Στυλιανοῦ καὶ Νικήτα τὸ πρῶτον εἰρημένας, ἄλλοι τε τῶν Φωτιομάχων ἀκρίτως ἐπανέλαβον, καὶ τελευταῖοι πάντων, ὅσα γε ἡμεῖς ἴσμεν, ὅ τε Ἀββᾶς Ἰάγερος, Καθηγητὴς τῆς Ἱστορίας ἐν Σορβόνῃ, καὶ ὁ Ἰταλὸς Δὸν Λουδοβῖκος Τόστης· ὧν ὁ μὲν πάντας τοὺς κατὰ Φωτίου λήρους ἐπιμελῶς ἀντεγράψας, καὶ Ἰλιάδα ὕβρεων συντάξας, ὃς ἐξέδωκε μέχρι τοῦδε, τοιάνδε φέροντας ἐπιγραφήν· "Histoire de Photius, Patriarche de Constantinople, auteur du schisme des Grecs, par M. l'Abbé Jager etc. Paris 1854. Deuxieme édition." Τόστης δὲ δίτομον συγγράψας Ἱστορίαν τῆς τοῦ σχίσματος ἀρχῆς (Storia dell'origine dello scisma Greco di Don Luigi Tosti Cassinese. Firenze 1856), οὐδὲν Ἰαγέρου ἀπολείπεται. Ἀμφότεροι δὲ οὕτως ἀβασανίστως τὰ Νικήτα ληρήματα προὐθυμήθησαν

Digitized by Google

καὶ τῶν ἄλλων κακούργων ἐρυθριάσειεν ἄν τις λέγων· αὐτοὶ δ' ὅμως ἀνερυθριάστως λέγουσι περὶ ΦΩΤΙΟΥ, *ὃν ὁμολογοῦσιν εὐγενέστατον, σοφώτατόν τε καὶ θεολογικώτατον, γενέσθαι. Ὦ Εὐγένεια καὶ Σοφία καὶ Θεολογία, οἷα ὑμῖν τὰ κεφάλαια! Τοῦτο γὰρ δὴ πάντες ἐπιφωνήσουσι, καὶ μηδέποτ' ἂν γενέσθαι σοφοὺς καὶ θεολόγους εὔξονται, ὅταν τοὺς* ΦΩΤΙΩι *ἀπονεμομένους ἐπαίνους ἀναγινώσκοντες, καὶ τὴν εὐγένειαν καὶ τὴν σοφίαν τοῦ ἀνδρός, τήν τε Ἐκκλησιαστικὴν καὶ τὴν θύραθεν, ὑπὸ τῶν ἐχθρῶν αὐτοῦ ὑπερυμνουμένην ἀκούοντες, ἔπειτα καὶ τὰς κατ' αὐτοῦ βλασφημίας, τὰς ὑπ αὐτῶν τούτων ῥαψῳδουμένας, διεξέρχωνται.* [1]

ἀντιγράψαι, ὥστε καὶ αὐτὰς αὐτοῦ τὰς προδήλους καὶ γελοίας ἐναντιολογίας ἀποδέξασθαι οὐκ ὤκνησαν. Οὕτω δὴ Νικήτας ἐν ἀρχῇ τῆς συγγραφῆς αὐτοῦ εὐνοῦχον γενέσθαι τὸν Ἰγνάτιον ἱστορῶν, μετὰ μικρὸν τὴν Ἰγνατίου ἐξυμνοῖ ἀπάθειαν, τάδε λέγων· "Ἐκ νεαρᾶς ἡλικίας οὕτω πόνοις συχνοῖς καὶ ἱδρῶσι κατωρθώ "σατο τὴν τοῦ σώματος ἀγνότητα καὶ καθαρότητα, ὡς εἰς ἄκραν αὐτὸν ἀπάθειαν, ἤτοι παντελῆ νέκρωσιν "τοῦ σαρκίνου φρονήματος περιελθεῖν." Τὸν αὐτὸν δὲ τρόπον καὶ Ἰάγερος πρῶτον μέν φησιν· " L'usurpateur (*Λέων ὁ Ἀρμένιος*) non content d'avoir exilé Michel, son bienfaiteur, il maltraita ses fils jusqu'à leur faire subir une mutilation honteuse (Hist. de Photius, p. 3.)· *ἔπειτα δὲ καὶ οὗτος, ὥσπερ Νικήτας, τὴν Ἰγνατίου ἐξυμνῶν ἁγνότητα λέγει·* " L'Empereur fait l'éloge du nouvel élu (*τοῦ Ἰγνατίου δῆλον ὅτι*), vante ses vertus sacerdotales, *sa chasteté surtout* (*ἔνθ. ἀνωτ. σελ.* 5). *Ἄκουε δὲ καὶ Τόστου, ἐν μεν σελίδι* 223 *τοῦ Α' Τόμου τῆς Ἱστορίας αὐτοῦ τάδε λέγοντος·* " Ignazio co'fratelli venne *evirato* per comandamento del Armeno·" *ἐν δὲ τῇ ἀμέσως ἑπομένῃ καὶ τάδε προστιθέντος·* "e nella parola e nei fatti, avegnaché giovane d'anni, era uomo di provatissima vertù." *Καὶ μηδεὶς οἰέσθω τοὺς ἱστοριογράφους τούτους ἐν τούτῳ μόνῳ τἀναντία λέγειν ἑαυτοῖς, καὶ προφανῶς παραλογίζεσθαι· ἀλλὰ πανταχοῦ τοιούτους αὐτοὺς εὑρήσει, εἴ τις τὰς ἱστορίας αὐτῶν διεξελθεῖν ὑπομείνειεν. Πάντα γάρ ἐστιν αὐτοῖς Νικήτας καὶ Στυλιανὸς καὶ Μητροφάνης καὶ Ἀναστάσιος καὶ Βαρώνιος· ὧν ἀντιγράφοντες τοὺς λήρους, καὶ ἰδίοις αὐτοὺς ἐπαυξάνοντες, Βαβυλώνιον ἀνυψοῦσι πύργον συκοφαντιῶν, ὅπως Φώτιον ἐξυβρίσωσιν. Καὶ ἔστιν ὡς ἀληθῶς περὶ αὐτῶν εἰπεῖν, ὃ περὶ τῶν Ἀριστοτέλους κατηγόρων ὁ σοφὸς εἶπε Σαὶντ-Κρόϊος·* "*Plus la gloire est éclatante plus on cherche à l'obscursir*" (Saint-Croix—Examen critique des Historiens d'Alexandre le Grand. Sec. édition, p. 197). *Ἀλλ' ἱστορίαν γράφοντες, ἐκείνοις ὤφειλον μάλιστα τὸν νοῦν προσέχειν, ἃ τοῖς συγγραφεῦσιν ὀρθῶς ὁ Σαμοσατεὺς φιλόσοφος παραινεῖ·* "*Τοιοῦτος οὖν μοι ὁ συγγραφεὺς ἔστω, ἄφο-* "*βος, ἀδέκαστος, ἐλεύθερος, παῤῥησίας καὶ ἀληθείας φίλος, ὡς ὁ κωμικός φησι, τὰ σῦκα σῦκα, τὴν σκάφην* "*δὲ σκάφην ὀνομάζων· οὐ μίσει οὐδὲ φιλίᾳ τι νέμων, οὐδὲ φειδόμενος, ἢ ἐλεῶν, ἢ αἰσχυνόμενος, ἢ ὀυσω-* "*πούμενος, ἴσος δικαστής, εὔνους ἅπασιν, ἄχρι τοῦ μὴ θατέρῳ ἀπονεῖμαι πλέον τοῦ δέοντος. ξένος ἐν τοῖς* "*βιβλίοις καὶ ἄπολις, αὐτόνομος, ἀβασίλευτος, οὐ τί τῷδε ἢ τῷδε δόξει λογιζόμενος, ἀλλὰ τί πέπρακται* "*λέγων.*" (*Λουκιαν. ἔνθ. ἀνωτ.* § 41). *Εἰ δὲ τούτων, ὡς ἀλλοτρίων, ὠλιγώρησαν, τὴν γοῦν Βερναρδίνου Βάλδου παραίνεσιν, ᾗ πάντως ἐνέτυχον, τιμᾶν ὤφειλον. Καὶ γὰρ ἐκεῖνος ταὐτὰ τῷ Λουκιανῷ παραινῶν τοῖς ἱστορίαν συγγράφουσι λέγει·* "Deve l'istorico esser prudentissimo, integerimo, ed ornatissimo di tutte le vertù, all possibile, *privo d'affetti e di passioni*, libero, e tale che non taccia il vero, nè per timore nè per avarizia, che non dica nula in grazia, nè per adulazione. *Sia simile nel dire il suo parère à un giudice sincerissimo ed incoroto*" (Bernardino Baldi—breve tratato del'istoria. Cap. 20). *Θαυμαστὸν οὖν, εἰ τῶν ἄλλων ὀλιγωρήσαντες ὅ τε Ἰάγερος καὶ Τόστης, οὐδὲ τῶν οἰκείων ἐμνήσθησαν· ἀλλά, κατὰ τὸν Ἰσοκράτην,* "*οὕτω τὰς ἀληθείας τῶν πραγμάτων φεύγουσιν, ὥστε οὐδὲ τὰ σφέτερα αὐτῶν ἴσασιν*" (*Πρὸς Νικοκλ.* § *ιγ'*).

[1] *Χαλεπὸν μέν ἐστι, καὶ περιττὸν ἴσως, πάντων παραθεῖναι τοὺς λόγους, ἅτε πολλῶν ὄντων, καὶ ἀλλήλους μετὰ σπουδῆς ἀντιγραφόντων· ἀρκέσει δ', οἶμαι, τὰ Μαιμβουργίου παρατιθέμενα. Οὗτος γὰρ ἐν ᾗ συνέγραψεν Ἱστορίᾳ τοῦ σχίσματος, πρῶτον μὲν τὴν Φωτίου θαυμάζων σοφίαν, πάντων τῶν κατ' αὐτὸν σοφώτατον ὁμολογεῖ γενέσθαι καὶ εὐπαιδευτότατον·* "Il se rendit (*λέγει ἐν τῇ* 12*η σελίδι*) sans contredit le plus habile et le plus savant homme de son temps en toutes sortes des belles disciplines, dans les quelles il excella pardessus tous les savans de son siècle·" *ἐν δὲ τῇ ἀμέσως ἑπομένῃ σελίδι αὐτὸς ἑαυτοῦ ἐπιλαθόμε-*

Digitized by Google

γ'. Πρὸς οὖν τοὺς τοσαῦτα καὶ τηλικαῦτα θρασυνομένους, καὶ πάντα χαλινὸν αἰδοῦς καὶ σωφροσύνης ἀποπτύσαντας, πῶς ἄν τις ἐν λόγοις ἀγωνισθείη; Μάταιος ὁ ἀγών· καὶ Αἰθίοπα λευκαίνειν ἔργον ἀπέραντον. Κατὰ γὰρ Βασίλειον τὸν Μέγαν, "οὔτε Αἰθίοψ "ἀλλάξει ποτὲ τὸ δέρμα αὐτοῦ, οὔτε πάρδαλις τὰ ποικίλματα "αὐτῆς, οὔτε ὁ ἐν διαστρόφοις δόγμασι συντραφεὶς ἀποτρίψα

νος, καὶ οἷον ἐν εἰκόνι τῇ αὐτῇ ἄνθρωπον ἅμα σοφώτατον καὶ θηρίον ἀγριώτατον τὸν αὐτὸν εἰκονίζων, δόλιον ἀποκαλεῖ, καὶ ψεύστην, καὶ ἄπιστον, καὶ συκοφάντην, καὶ πλαστογράφον, καὶ βίαιον, καὶ ὠμόν, καὶ ἀπάνθρωπον, καὶ ἀνόσιον, καὶ τῶν ἱερωτάτων τῆς Ἐκκλησίας μυστηρίων βεβηλωτήν, καὶ οὕτως ἀσεβῆ, ὥςε καὶ Δαίμοσι χρῆσθαι συμμάχοις, μαγικῇ τινι τέχνῃ ὑπηρετοῦσιν αὐτῷ· " Ce fut ensuite cette passion qui le rendit fourbe, menteur, perfide, calomniateur, faussaire, violent, cruel, impitoyable, sacrilège, profanateur des mystères les plus sacrés de la religion, impie jusqu'à se servir du secours des Demons, par les enchantements d'un méchant hypocrite et grand Magicien son confident, etc. etc. (Hist. du schisme des Grecs par L. Maimbourg, p. 12 et 13. Paris 1686). Δικαίως ἄρα καὶ ὁ σοφὸς Βασνάγιος τὰς Μαιμβουργίου ταύτας κατακρίνων βλασφημίας φησίν· " Mais il faut mieux juger Photius par ses paroles et par ses écrits, que per ceux de ses ennemis " (Hist. de l'Eglise. Tom. I, p. 324). Αὐτὰ δὴ ταῦτα τὰ ὑπὸ Μαιμβουργίου ἀκρίτως λεγόμενα καὶ πάντες οἱ μετ' ἐκεῖνον ἐπιμελῶς ἀντιγράφουσι· μάλιστα δὲ πάντων Ἰάγερος, ὁ τὴν τερατείας ἁπάσης ἀνάμεστον ἐκείνην Ἱστορίαν συγγράψας. Τοῦτο δὲ καὶ τῶν ἑτεροδόξων σοφῶν ἀνδρῶν πολλοὶ κατέδειξαν, καὶ δὴ καὶ τῶν ἡμετέρων ὅ τε σεβάσμιος Καθηγητὴς τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς Ἠλίας ὁ Ταντιλίδης ἐν τοῖς προλεγομένοις τοῦ Α' τόμου τῶν Παπιστικῶν ἐλέγχων (ἐν Κωνσταντινουπόλει ρων'), ἐφ' οἷς ἀείμνηστος αὐτῷ παρὰ πάντων τῶν Ὀρθοδόξων ἡ χάρις ἀνακείσεται, καὶ ὁ πολυμαθὴς ἰατρὸς Στέφ. Καραθεοδωρῆς ἐν τῷ " Ἐπίμετρον εἰς τὴν ἐπιστολιμαίαν διατριβήν" (Ἴδε Παπιστ. ἐλέγχων Τόμ. Β', σελ. 177 καὶ ἑξῆς), καὶ ὁ ἐν μακαρίᾳ τῇ λήξει Κωνσταντῖνος Οἰκονόμος ἐν τῇ περὶ τῶν ἑβδομήκοντα ἑρμηνευτῶν τῆς παλαιᾶς θείας Γραφῆς σοφῇ τετραβίβλῳ (Τόμ. Δ', σελ. 754), καὶ ὁ ἐκείνου ἄξιος υἱὸς Σοφοκλῆς ἐν τοῖς τῶν Ἀμφιλοχίων προλεγομένοις. Ὀρθῶς δὲ πάνυ καὶ ὁ τῆς ἐν Παρισίοις Ὀρθοδόξου Ῥωσσικῆς Ἐκκλησίας σεβάσμιος Πρωτοϊερεὺς Κύριος Ι. Βασιλειέφ, ἐν ᾗ ἔγραψεν ἀπαντήσει πρὸς τὸ περὶ ἑνώσεως τῶν Ἐκκλησιῶν γράμμα τοῦ Πάπα Πίου Θ', ἀποκαλεῖ τὸ τοῦ Ἰαγέρου σύγγραμμα ἔργον ὑπαγορευθὲν ὑπὸ τῆς προλήψεως καὶ τοῦ πάθους. Καὶ ὅρα τὴν ἀξιόλογον ἐκείνην ἀπάντησιν ἐν τῷ Εὐαγγελικῷ Κήρυκι, πολυτιμοτάτῳ περιοδικῷ συγγράμματι, Ἀθήνῃσιν ὑπὸ τοῦ σοφοῦ καὶ ἀκαμάτου Καθηγητοῦ τῆς Θεολογίας Κυρίου Κ. Κοντογόνου συντασσομένῳ τε καὶ ἐκδιδομένῳ (Ἔτ. ΣΤ', σελ. 121 καὶ ἑξῆς). Ὅρα δὲ κατωτέρω καὶ τὴν Γ' Φωτίου ἐπιστολήν (§ β'), ἔνθα ὑποσημειοῦται τοῦ Ἄγγλου Μιλμάνου ἡ περὶ τῆς Ἰαγέρου ἱστορίας κρίσις, καθ' ἣν τὸ ἔργον τοῦτο ἔρημόν ἐστιν ἰλικρινείας καὶ ἀμεροληψίας· μηδ' ἐκεῖνο παρίδῃς, ὡς ὁ τὴν Φωτίου βιογραφίαν ἐν τῷ Σμιθίου βιογραφικῷ Λεξικῷ συντάξας, πολλοὺς τῶν περὶ Φωτίου γραψάντων καταριθμήσας, Ἰαγέρου τουτουὶ οὐδὲ μνημονεύει τὸ παράπαν. Ἀλλὰ καὶ αὐτῶν δὴ τῶν Ἰαγέρου συμπολιτῶν οἱ φιλαλήθεις καὶ φιλοδίκαιοι, οἷός ἐστι Μορτρεύϊλος, ὁ τὴν Ἱστορίαν τοῦ Βυζαντινοῦ δικαίου συγγράψας (Hist. du droit Byzantin par J. A. Bernard Mortreuil. Paris 1843—4), τῆς Ἰαγερείου Ἱστορίας, ὡς ἐμπαθέστατα γεγραμμένης, κατεψηφίσαντο. Καὶ ἴδε ἐν τοῖς ἑξῆς (Μαρτυρίαι περὶ Φωτίου) αὐτοὺς Μορτρευΐλου τοὺς λόγους τοῖς Ἰαγέρου παρατεθειμένους. Οὐ μὴν ἀλλὰ καὶ ἡμεῖς ἐν ὑπομονῇ σιδηρᾷ τὴν Ἰαγέρου διεξελθόντες Ἱστορίαν, καταδείξομεν, τὸ γ' ἐφ' ἡμῖν, τὰς βλασφημίας αὐτοῦ, ὅπου ἂν αὐταῖς ἐντύχωμεν ἐξ ἀνάγκης. Τῇ γὰρ ἱστορίᾳ ἐκείνῃ καί τινας τῶν Φωτίου ἐπιστολῶν παρεμβαλών, τὰς μὲν παρηρμήνευσε, τὰς δὲ κατέκρινεν ἀνοήτως, καὶ ἔστιν ὧν διαστρέφειν πειρᾶται τὴν ἔννοιαν κατασοφιζόμενος. Ἀρχὴν μὲν γὰρ καλὴν καὶ πᾶσι σεβασμίαν ἐν τῇ εἰσαγωγῇ τῆς ἑαυτοῦ Ἱστορίας (σελ. xliv.) προὐβάλετο, "on décrit l'histoire, et on ne la fait pas," ταύτης δὲ πανταχοῦ φαίνεται ἐπιλαθόμενος ὁ ἄνθρωπος, καὶ τῷ κατὰ Φωτίου πάθει μᾶλλον ἢ τῇ ἀληθείᾳ ὑπηρετήσας. Ὡς δὲ συνελόντι εἰπεῖν, εἴ τις τοὺς περὶ Φωτίου γράψαντας Παπολάτρας ἐν χρονολογικῇ τάξει διεξελθεῖν ὑπομείνειε (μεγάλης γὰρ ὡς ἀληθῶς καὶ ὑπὲρ ἄνθρωπον ὑπομονῆς εἴη ἂν τὸ ἔργον τοῦτο), πανταχοῦ τὸν πρῶτον εὑρήσει ἐν τῷ δευτέρῳ, καὶ τοῦτον ἐν τῷ τρίτῳ, καὶ ἐφεξῆς οὕτως ἕως τοῦ τελευ-

Digitized by Google

"σθαι δύναται τὸ κακὸν τῆς αἱρέσεως."[1] *Διὰ δὴ ταῦτα οὐ συγκαταβαίνω, τό γ' ἐπ' ἐμοί, εἰς ἀγῶνα τοιοῦτον, ἐν ᾧ οἱ ἀντίπαλοι, ἄσπονδον ὁμωμοκότες κατὰ τῆς ἀληθείας μῖσος, τὸ γλυκύτατον καὶ τηλαυγέστατον αὐτῆς φῶς, καὶ ἐξ αὐτῆς αὐτῶν τῆς λυχνίας προσφερόμενον, ἀποτροπιάζονται. Ἡμεῖς μὲν γάρ, ἵνα κατὰ Δοσίθεον εἴπω τὸν ἱερώτατον Πατριάρχην Ἱεροσολύμων, ὥσπερ σὺν λόγῳ νικᾷν, οὕτω καὶ νικᾶσθαι καλῶς οἴδαμεν· οἱ δὲ καλοὶ Παπολάτραι, οὐ ΦΩΤΙΩι μόνον, ἀλλὰ καὶ Χριστῷ μαχόμενοι νικᾷν ἐθέλουσιν. Μαχέσθωσαν οὖν, ἕως ἂν αὐτοῖς φίλον ᾖ, καὶ Θεῷ ἀνασχετόν, οἷς μόνος ἐκεῖνος οἶδε κρίμασιν.*

δ'. Οὐ μὴν ἀλλὰ καὶ περιττὸν ὅλως ἔμοιγε δοκεῖ λόγῳ συνηγορεῖν ΦΩΤΙΩι, αὐτῶν ὑφεστώτων τῶν πραγμάτων, καὶ μονονουχὶ βοώντων, ὅτι κάλλιστα καὶ εὐσεβέστατα ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ καὶ τῆς Ὀρθοδοξίας ἀκαταγώνιστος πρόμαχος ἔπραξε, τὴν ἐπηρμένην τῆς Ῥώμης καταβαλὼν ὀφρύν, καὶ τὴν ἀντίχριστον αὐτῆς ἐξελέγξας πλάνην, καὶ ὡς θεηγόρος ὁπλίτης τῆς τοῦ Κυρίου παρατάξεως γενναίως τῆς Ὀρθοδόξου πίστεως ὑπερμαχήσας·

ἀμέραι δ' ἐπίλοιποι
μάρτυρες σοφώτατοι.[2]

Ἀπὸ γὰρ ΦΩΤΙΟΥ μέχρις ἡμῶν δέκα ὅλοι παρεληλύθασιν αἰῶνες. Τί δ' ὁ μακρὸς οὗτος χρόνος ἔδειξέ τε καὶ δείκνυσι μέχρι τοῦ νῦν οὕτω καθαρῶς καὶ περιφανῶς, ὥστε καὶ τυφλοῖς εἶναι δῆλον; Ὅτι παντοκρατορίαν ἑαυτοῖς κατασκευαζόμενοι οἱ τῆς Ῥώμης Ἐπίσκοποι, καὶ παρὰ τὴν Εὐαγγελικὴν καὶ Ἀποστολικὴν διδασκαλίαν τὸν ἐν Ῥώμῃ ἁπλοῦν Ἐπισκοπικὸν θρόνον κεφαλὴν καὶ κορυφὴν τῶν Ἐκκλησιῶν ἁπασῶν (ἢ, ὡς αὐτοὶ λέγουσι, caput, cardo, mater, apex omnium Ecclesiarum) *σπεύδοντες ἀναδεῖξαι,*[3] *τότε μὲν πρὸς τὴν*

ταίου. Μάλιστα δὲ φεύγουσιν οὗτοι τοῖς ὑπὲρ Φωτίου γεγραμμένοις ἀντιλέγειν· οὐ γὰρ ἔχουσιν εἰκότως καὶ μετὰ λόγου τοῦτο ποιεῖν, οὐδ' ἄλλως ἡγοῦνται συμφέρειν αὐτοῖς τὸν τοιοῦτον ἀγῶνα· ἀλλὰ καινόν τινα μηχανησάμενοι τρόπον ἱστορίας, εἴ τι μὲν οἱ Φωτίῳ σύγχρονοι κατ' ἐκείνου γεγράφασι ψεῦδος, τοῦτο ἐπιμελῶς εἰς μαρτυρίαν τῶν ἰδίων λόγων περισυνάγουσιν· εἰ δέ τι ὑπὲρ ἐκείνου γέγραπται, καὶ ἐν ἐπισήμοις Συνόδοις κεκύρωται, τοῦτο πλαστογραφίαν ἀποκαλοῦσι Φωτίου. Τοῖς δὲ ὑπὲρ ἐκείνου ἐν τοῖς ἔπειτα χρόνοις γεγραφόσιν οὐδ' ὁπωστιοῦν τολμῶσιν εἰς λόγους ἐλθεῖν· ἀλλὰ τὸν τοῦ μύθου μιμούμενοι κάνθαρον, ἐξ ἐνέδρας μάχονται, τρόποις οἷς δύνανται τὰ ἐκείνων ἀπολλύντες συγγράμματα· οἷόν τι λέγονται ποιῆσαι ἐν τῷ τριτόμῳ τοῦ Φραγκίσκου Φοντάνα συγγράμματι (Novæ eruditorum deliciæ etc. Florentiæ 1785), *ὃ διὰ τὸν ὑπὲρ Φωτίου πρόλογον πολυτρόπως ἐξηφάνισαν, ὡς ἐν τοῖς ἑξῆς εἰρήσεται ἐκτενέστερον. Ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἔμπροσθεν χρόνοις, τῆς τῶν λαῶν ἀπαιδευσίας ὑποβοηθούσης, ποιεῖν ἠδύναντο· ὁ δὲ παρὼν καιρός, τῷ διττῷ τῆς τοῦ θείου λόγου καὶ τῆς φιλοσοφίας φωτὶ καταλαμπόμενος, μόνῃ δίδωσι τῇ ἀληθείᾳ κατισχύειν, τοῦ ψεύδους καὶ τῆς ἀπάτης, τῶν δυσμόρφων τούτων τοῦ σκότους τέκνων, οὐδεμίαν οὐδαμοῦ πάροδον ἐχόντων.*

[1] *Βασιλ. ἐπιστ. ρλ'—Θεοδότῳ Ἐπισκόπῳ Νικοπόλεως—κατὰ τὴν ἐν τῇ Μιγνιου Πατρολογίᾳ* (Migne—Patrologiæ cursus completus) *ἔκδοσιν.*

[2] *Πινδ. Ὀλ. 33.*

[3] *Ἴδε τὴν περὶ Ψευδισιδωρείων διατάξεων σπουδαίαν διατριβὴν ὑπὸ Ἀντωνίου Μοσχάτου, τὴν ἐν τῷ Εὐαγγελ. Κήρυκι δημοσιευθεῖσαν (Ἔτ. Ε', σελ. 297—311, καὶ σελ. 404—413, καὶ Ἔτ. ΣΤ', σελ. 110—116). Περὶ δὲ τῆς κατὰ μικρὸν προβαινούσης φιλαρχίας καὶ φιλοπρωτίας τῶν ἐν Ῥώμῃ Ἐπισκόπων, καὶ ὅπως*

Digitized by Google

ἀντίχριστον αὐτῶν ταύτην ἀξίωσιν γενναῖον εὗρον καὶ ἀκαταγώνιστον ἀντίπαλον τὸν ἀοίδιμον ἐκεῖνον τῆς Ὀρθοδοξίας πρόμαχον· καὶ διὰ τοῦτο λοξοδρομοῦντες καὶ ὑποκρινόμενοι τὸν καιρὸν ἐξηγοράζοντο, ὅτι διὰ ΦΩΤΙΟΝ πονηραὶ ἦσαν αὐτοῖς αἱ ἡμέραι. Ἐκείνου δὲ ἐκλελοιπότος, καὶ τῶν καιρῶν, κρίμασιν οἷς οἶδε Κύριος, ἐπιβοηθησάντων αὐτοῖς, εὐθὺ τραπόμενοι τὴν πρὸς τὸν κρημνόν, ἄλλα τε τῶν τῆς Ἐκκλησίας δογμάτων καὶ ἐθίμων ἀνέδην καὶ παρατόλμως ἐκαινοτόμησαν,[1] καὶ τελευτῶντες ἑαυτοὺς ἐπέδειξαν Ἀρχιερεῖς ἅμα καὶ Βασιλεῖς, τερατώδεις ἀντιπροσώπους τοῦ εἰπόντος Χριστοῦ, "Ἡ Βασιλεία ἡ "ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ Κόσμου τούτου·"[2] καί, "Ἀπόδοτε οὖν "τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ."[3]

ε. Τούτων δὲ γενομένων, ὡς μήποτ' ὤφελε, καὶ τῆς μιᾶς τοῦ Χριστοῦ Ἐκκλησίας εἰς δύο τότε διακριθείσης, ἔκ τε τῆς θέσεως καὶ τοῦ δόγματος τὴν ἐπωνυμίαν λαβούσας (ἡ μὲν

τελευτῶντες ἀπετόλμησαν καὶ κοσμικὴν ἀρχὴν ἀναλαβεῖν, ἴδε ἐν πολλοῖς ἄλλοις καὶ τὰς τοῦ ἀοιδίμου Κοραῆ σημειώσεις ἐν τῇ "Συμβουλῇ τῶν τριῶν Ἐπισκόπων πρὸς τὸν Πάπαν Ἰούλιον Γ'," σελ. 12—19 σημ. 11 καὶ 12, ἔκδ. δευτέρα, ἐν Ἀθήναις—1836.

[1] Περὶ τῶν καινοτομιῶν, ἃς ἀπὸ τοῦ δεκάτου μάλιστα αἰῶνος παρατόλμως ἐποιήσαντο οἱ τῆς Ῥώμης Ἐπίσκοποι, ἴδε Παπιστικῶν ἐλέγχων Τόμ. Β', σελ. 46—52, καὶ τὴν ἐν τέλει τοῦ αὐτοῦ Τόμου περιεχομένην ἐπιστολὴν τοῦ ἀοιδίμου Εὐγενίου τοῦ Βουλγάρεως, ἣ ἐπιγέγραπται "Κατὰ Λατίνων στηλιτευτικὴ ἐπιστολή."

[2] Ἰωάν. ΙΗ', 36.

[3] Ματθ. ΚΒ', 21.—Περὶ δὲ τῆς κοσμικῆς ἐξουσίας τοῦ Πάπα, ὡς ἀντιχρίστου καὶ τερατώδους, πολλοὶ πολλὰ γεγράφασι, καὶ τοσαῦτα, ὥστε καὶ ἀριθμεῖν τὰ περὶ τούτου γεγραμμένα βιβλία χαλεπόν. Ὁ δὲ ἀοίδιμος Κοραῆς καὶ ἀλλαχοῦ τῶν πολυτίμων αὐτοῦ συγγραμμάτων, καὶ ἐν τοῖς προλεγομένοις τῆς Συμβουλῆς τῶν τριῶν Ἐπισκόπων, ἧς ἄρτι ἐμνήσθημεν, τάδε φησίν· "Ῥίζα τῆς ἱερατικῆς τῶν Δυτι-"κῶν ἀῤῥωστίας εἶναι ἡ κοσμικὴ τοῦ Πάπα ἐξουσία, τῆς ὁποίας ἡ κατασκαφὴ θέλει εἶ-"σθαι ὁ τελευταῖος τῆς φιλοσοφίας ἄθλος, ὁ τελευταῖος τῆς Εὐαγγελικῆς "διδασκαλίας θρίαμβος..... Ἐνόσῳ μένει ἡ ἀλλόκοτος καὶ ἀντίχριστος ἕνωσις αὕτη "τῆς πνευματικῆς καὶ κοσμικῆς ἐξουσίας, ἐνόσῳ οἱ ἐπαγγελλόμενοι στρατιῶται τοῦ Χριστοῦ δὲν ἀρ-"κοῦνται εἰς τὰ νόμιμα τοῦ ἐπαγγέλματος αὐτῶν ὀψώνια, ἀλλ' ἐμπλέκονται εἰς βιωτικὰς πραγματείας "ἐναντίον τῆς Ἀποστολικῆς παραγγελίας ("Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ"), "διὰ νὰ τρυφῶσιν ὡς Σαρδανάπαλοι, οὔτε Βασιλεῖς, οὔτε ὑπήκοοι ἔχουν νὰ ἐλπίζωσιν ἡσυχίαν" (σελ. ε—ς'). Καὶ ταῦτα μὲν ὁ θεῖος ἐκεῖνος ἀνὴρ πρὸ ἐτῶν ἔγραφε τεσσαράκοντά· ἃ δὲ πολὺν ἤδη χρόνον ὁρῶμεν ἐν τῇ ὡραίᾳ Ἰταλίᾳ γινόμενα, τρανῶς τοῖς ἐκείνου λόγοις ἐπιμαρτυρεῖ. Ἔνθεν μὲν γὰρ ἡ Παπικὴ ἀλαζονεία καταθρασυνομένη, καὶ Ἔθνη καὶ Ἡγεμόνας συνταράττουσα (ὅπερ δὴ καὶ πρότερον ποιοῦσα οὐκ ἐπαύσατο πώποτε), τὴν ἀντίχριστον τοῦ Πάπα κοσμικὴν ἐξουσίαν, πανταχόθεν δικαίως πολεμουμένην καὶ κινδυνεύουσαν, παντὶ σθένει διασῶσαι ἀγωνίζεται· ἔνθεν δὲ οἱ πολλοὺς ἤδη αἰῶνας τῇ ἐξουσίᾳ ἐκείνῃ δουλεύσαντες (καὶ τί κακὸν οὐχὶ παθόντες;) πᾶσαν ἐνέπλησαν δικαίων διαμαρτυρήσεων τὴν Εὐρώπην, ἐν μιᾷ πάντες ἀνακράζοντες φωνῇ, "Ἄλις τῶν κακῶν! Βασιλέα Πάπαν ἡ Πάπαν Βασιλέα ἡ Ἰταλία οὐ δέχεται." Καὶ ἔστιν ὡς ἀληθῶς τὸ κήρυγμα τοῦτο τῆς τε φιλοσοφίας καὶ τῆς Εὐαγγελικῆς διδασκαλίας καρπὸς ἀγλαός, ἄφευκτον ἔξων τὸν θρίαμβον, ὡς εἶπεν ὀρθῶς ὁ ἀοίδιμος Κοραῆς· ἔλεγε δὲ πολλοὺς πρὸ τοῦ Κοραῆ αἰῶνας καὶ ὁ ἱερὸς Βερνάρδος πρὸς τὸν Πάπαν Εὐγένιον Γ' (1145—1153), περὶ τῶν δύο ἐξουσιῶν λόγον αὐτῷ ποιούμενος· "Si utrumque similiter habere voles, utrumque perdes·"—τοῦτ' ἔστιν "Εἴπερ ἀμφοτέρας κατέχειν βούλει, ἀμφοτέρας ἀποβαλεῖς."

Digitized by Google

γὰρ κατ' ἀνατολὰς ἐπικρατοῦσα, καὶ τὴν ἐν αὐτῇ παρά τε τοῦ Κυρίου *καὶ* Θεοῦ *καὶ* Σωτῆρος *ἡμῶν* Ἰησοῦ Χριστοῦ *καὶ τῶν ἱερῶν αὐτοῦ μαθητῶν καὶ* Ἀποστόλων *γενομένην διδασκαλίαν τιμῶσα, καὶ ἀκαινοτόμητον τηροῦσα, προσηκόντως* Ἀνατολικὴ *ἐπωνόμασται· ἡ δὲ κατὰ δυσμὰς κειμένη, καὶ τὰς ἐκ δυσμῶν σκοτείους καινοτομίας ἐγκολπωσαμένη, δικαίως ἤκουσε* Δυτική[1]*), ἡ μὲν* Ἀνατολικὴ *ἐπὶ τὴν ἀσάλευτον πέτραν τῶν τοῦ ἀρχηγοῦ καὶ θεμελιωτοῦ αὐτῆς ἐντολῶν ἱδρυμένη, ἀπαρεγκλίτως διατελεῖ ἐκεῖνον μόνον κεφαλὴν ἑαυτῆς γινώσκουσα καὶ ὁμολογοῦσα, σταθερῶς τε καὶ ἀπαρασαλεύτως τῇ* Εὐαγγελικῇ *καὶ* Ἀποστολικῇ *διδασκαλίᾳ ἐμμένουσα· τὸ δὲ πάντων κάλλιστον, ἐν πολλοῖς καὶ δεινοῖς ἀγῶσι καὶ διωγμοῖς, οὓς αἰῶνας ὅλους ὑπέστη, ἀλύμαντος διατηρηθεῖσα,* Κιβωτὸς *ἀναδέδεικται*

---

[1] *Πολλὴν ὁ διαβόητος Παπολάτρης Ἰωσὴφ ὁ Δε-Μαῖστρος ποιεῖται σπουδήν, δεῖξαι βουλόμενος μηδὲν ἄλλο προσήκειν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ ὄνομα, ἢ* Φωτιανὴν *αὐτὴν καλεῖσθαι· τοῖς δὲ ὁμοφρονοῦσιν αὐτῷ παρακελεύεται μηδαμῶς λέγειν* Ἑλληνικὴν ἢ Ἀνατολικὴν *Ἐκκλησίαν, ἀλλὰ* Φωτιανήν (Du Pape—par le Comte Joseph De-Maistre Liv. IV. Chap. IV. et V). *Ἀλλ' ἔοικεν ἀγνοεῖν ὁ σοφὸς δὴ Δε-Μαῖστρος, ὅτι "τοῖς πράγμασι τὰ ὀνόματα ἐπίκειται." Ὅτε τοίνυν τὰ πράγματα διδάσκει, τὴν μὲν ἡμετέραν Ἐκκλησίαν οὐδαμῶς τῆς Εὐαγγελικῆς καὶ Ἀποστολικῆς διδασκαλίας ἀποστῆναι, τὴν δὲ Δυτικὴν πολυειδῶς τε καὶ πολυτρόπως τὴν θείαν ἐκείνην διδασκαλίαν παραλλάξαι καὶ κιβδηλεῦσαι, ἡμῖν μὲν δικαίως προσήκει Ὀρθοδόξους μὲν ἐκ τοῦ δόγματος, Ἀνατολικοὺς δὲ ἐκ τῆς θέσεως, ἀποκαλεῖσθαι, καὶ εἶναι ταῦτα συνώνυμα· τοῖς δὲ Παπισταῖς, ἅτε πρὸς τοῖς ἄλλοις καὶ τοῦτο δὴ τερατευσαμένοις, ἀντὶ τοῦ Χριστοῦ τὸν Πάπαν κεφαλὴν τῆς ἑαυτῶν Ἐκκλησίας γινώσκειν τε καὶ πιστεύειν, οὐδὲν ἄλλο προσήκει καλεῖσθαι, ἢ Παπιστὰς καὶ Παπολάτρας. Ἡμᾶς δὲ Φωτιανοὺς οὐδεὶς ἂν δικαίως ἀποκαλέσειεν· οὐδὲν γὰρ ἔχομεν παρὰ Φωτίου, ὃ μὴ παρὰ τοῦ Εὐαγγελίου καὶ τῆς τῶν Ἀποστόλων καὶ τῶν θεοφόρων Πατέρων διδασκαλίας παρελάβομεν· οὐδὲ Φώτιον ἀντικαθιστῶμεν τοῦ Χριστοῦ, ὥσπερ τὸν Πάπαν οἱ Παπισταί· ἀλλ' ἕνα καὶ τοῦτον ἔχομεν τῶν τῆς Ἐκκλησίας Πατέρων καὶ Διδασκάλων, τῶν εὐαγγελισαμένων ἡμῖν καθ' ἃ παρὰ τοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων παρελάβομεν, καὶ τὸν ἀγῶνα τὸν καλὸν ὑπὲρ τῆς Ὀρθοδοξίας κατὰ τῶν αἱρέσεων ἀγωνισαμένων. Ὥστε διὰ ταῦτα, εἴ τις ἡμᾶς Φωτιανοὺς καλεῖν βούλοιτο, καὶ Δαμασκηνίτας οὐχ ἧττον, καὶ Χρυσοστομίτας, καὶ Βασιλειανούς, καὶ Γρηγοριανούς, καὶ Κυριλλίτας, καὶ Ἀθανασιανούς, καὶ Ἀποστολικούς, καὶ τὸ σύνολον Χριστιανοὺς ἂν ἀποκαλέσειεν, Ὀρθοδόξους πάντως· πάντα γὰρ ἡμῖν ἐτηρήθη, καὶ τηρεῖται, καὶ τηρηθήσεται, ὅσα ὁ Υἱὸς τοῦ Θεοῦ ἐδίδαξε, καὶ διὰ τῶν Ἀποστόλων τῇ Ἐκκλησίᾳ παρέδωκε, καὶ εἰς ἡμᾶς διὰ τῶν θεοφόρων κατῆλθε Πατέρων· ὧν εἷς τυγχάνει καὶ ὁ πανίερος Φώτιος, ἐκείνοις ὅμοια τιμώμενος, ὅτι κατ' ἐκείνους γενναίως ὑπὲρ τῆς Ὀρθοδοξίας κατὰ τῶν αἱρέσεων ἠγωνίσατο. Ἐπικείσθωσαν οὖν τοῖς πράγμασι τὰ ὀνόματα.—Καὶ ταῦτα μὲν ἡμεῖς πρὸς Δε-Μαῖστρον περὶ τοῦ ὀνόματος Φωτιανός, ὃ μόνον σοφιζόμενος ἀπονέμει τοῖς Ὀρθοδόξοις ἡμῖν. Ἄλλο δ' αὐτοῦ σόφισμα περὶ τοῦ ὀνόματος Καθολικὸς (ἔνθ. ἀνωτ. κεφ. Ε') σοφῶς πάνυ καὶ χαριέντως ὁ ἀοίδιμος Κ. Οἰκονόμος ἐν τῷ περιωνύμῳ αὐτοῦ συγγράμματι "Περὶ τῆς γνησίας προφορᾶς τῆς Ἑλληνικῆς γλώσσης" (σελ. 484, σημ. α') λόγου πάρεργον ἐξήλεγξεν. Τοῦτο δὲ μόνον προσθετέον ἐνταῦθα περὶ ἀμφοτέρων τῶν ἐπικλήσεων, ὅτι τοῦ Δε-Μαίστρου τὰς ἀπειροκάλους καὶ ἀτυχεῖς ἐκείνας φλυαρίας καὶ ὁ Γερμανὸς Ἕρμαννος Ἰωσὴφ Σχμίττιος κατὰ λέξιν ἀντιγράψας ἐν τῷ διτόμῳ αὐτοῦ συγγράμματι "Ἱστορία Κριτικὴ τῆς Νεο-Ελληνικῆς καὶ τῆς Ῥωσσικῆς Ἐκκλησίας," ὡς ἰδίας αὐτοῦ ἐπεδείξατο σοφὰς γνώμας. Ὀρθῶς δὲ ὁ τὴν Ἱστορίαν ἐκείνην Ἰταλιστὶ μεταφράσας,* A. Bianchi-Giovini, *καὶ ἀλλαχοῦ τῆς μεταφράσεως αὐτοῦ, μάλιστα δ' ἐν σελίδι 256 τοῦ δευτέρου Τόμου τὴν τυφλὴν ἐλέγχει τοῦ συγγραφέως ἀντιγραφὴν τῶν Δε-Μαίστρου σοφισμάτων, τάδε λέγων·* "Questi sofismi speculativi che il nostro autore va troppo buonamente ricopiando dal Conte De-Maistre, sono al tutto da disaprovarsi cosi per le argomentazioni fraudolenti come perchè menano ad aperte falsità etc. etc." (Storia Critica della Chiesa Greco-moderna etc. di Ermanno G. Schmitt, versione dall'Originale Tedesco di A. Bianchi Giovini Tom. II, p. 256).—*Ἴδε καὶ σελ. 255 τοῦ αὐτοῦ Τόμου, σημ. 2.*

Digitized by Google

τῆς Ὀρθοδοξίας, ἀπό τε τοῦ βαρβαρικοῦ κατακλυσμοῦ καὶ τῶν ἐκ τῆς Δύσεως ἐπιβουλῶν ταύτην διασώσασα, καὶ ἀδιαλείπτως τῇ τοῦ Θεοῦ χάριτι κρατύνουσα. Ἡ δὲ Δυτικὴ κεφαλὴν ἑαυτῆς κηρύξασα τὸν ἐν Ῥώμῃ Ἐπίσκοπον, καὶ τοῦτον, ἄνθρωπον ὄντα, ἀναμάρτητον ὁμολογοῦσα, καὶ ἄλλα πολλὰ τῆς Εὐαγγελικῆς καὶ Ἀποστολικῆς διδασκαλίας πρὸς ἐμπέδωσιν τῆς θεομάχου ταύτης αἱρέσεως παρευμηνεύσασα καὶ κιβδηλεύσασα, ἀπὸ σχίσματος εἰς σχίσμα περιέπιπτεν· καὶ πολλῶν κακῶν, καὶ ἀνωμαλιῶν, καὶ στάσεων, καὶ φόνων αἰτία γενομένη, πολλὰς καὶ ἄλλας ἀπέτεκεν αἱρέσεις ἐν τῇ Χριστιανικῇ Ὀρθοδοξίᾳ, τὸν ἕνα τοῦ Χριστοῦ χιτῶνα, τὸν ἄνωθεν ὑφαντόν, εἰς πολλὰ διαῤῥήξασα σχίσματα.

στ'. Μόνη τοίνυν καὶ ἀληθὴς τοῦ σχίσματος ἐκείνου ἀρχή τε καὶ αἰτία, ὡς αὐτὰ τὰ πράγματα μαρτυρεῖ, οὐχ ἡ ΦΩΤΙΟΥ φιλοδοξία, ἀλλ' ἡ τῆς Ῥώμης ἐγένετο ὀφρύς· ὀφρὺς ἀσεβής, πολὺ πρὸ τοῦ ΦΩΤΙΟΥ ἐπαρθεῖσα, καὶ τοσούτῳ μᾶλλον τῷ χρόνῳ ὑπερυψουμένη, ὅσῳ τὸν τῆς Κωνσταντινουπόλεως Ἐπίσκοπον προτιμώμενον ἔβλεπε (δι' οὐδὲν ἄλλο πάντως, ἢ διὰ τὴν πολιτικὴν τῆς Νέας Ῥώμης ὑπεροχήν), καὶ φθόνῳ κατετήκετο ἀναλογιζομένη, ὅτι δὴ γενήσεται κἀκεῖ ὅπερ πρότερον ἐν Ῥώμῃ· τὸ γὰρ πολιτικὸν ἐκείνης μεγαλεῖον, ἀλλ' οὐχ' ἡ τοῦ Ἀποστόλου Πέτρου μυθώδης διαδοχὴ μέγαν ἀνέδειξε καὶ πρωτόθρονον τὸν ἐν αὐτῇ Ἐπίσκοπον.[1] Ἕως μὲν οὖν οἱ ἐν Ῥώμῃ Ἐπίσκοποι, ἀνθρωπίνων ἀντιποιούμενοι

---

[1] "Οτι δὲ διὰ τὸ πολιτικὸν μεγαλεῖον, ἀλλ' οὐ διὰ τὸν Ἀπόστολον Πέτρον, ὁ ἐν Ῥώμῃ θρόνος τὴν προτίμησιν ἔσχε, σαφῶς ἐδήλωσεν ὅ τε τῆς ἐν Κωνσταντινουπόλει Β' Οἰκουμενικῆς Συνόδου τρίτος κανὼν καὶ ὁ τῆς ἐν Χαλκηδόνι εἰκοστὸς ὄγδοος· ὧν ὁ δεύτερος τὸν πρῶτον ἐπικυρῶν, καὶ οἷον ἑρμηνεύων, φησίν· " Πανταχοῦ τοῖς τῶν Ἁγίων Πατέρων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ἑκατὸν " πεντήκοντα θεοφιλεστάτων Ἐπισκόπων, τῶν συναχθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης Μεγάλου Θεο " δοσίου, τοῦ γενομένου βασιλέως ἐν τῇ βασιλίδι Κωνσταντινουπόλεως Νέᾳ Ῥώμῃ, γνωρίζοντες, τὰ αὐτὰ " καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης Ἐκκλησίας τῆς αὐτῆς Κων- " σταντινουπόλεως, Νέας Ῥώμης. Καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ " τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ Πατέρες εἰκότως ἀποδεδώκασι τὰ " πρεσβεῖα. Καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι Ἐπίσκοποι, τὰ ἴσα " πρεσβεῖα ἀπένειμαν τῷ τῆς Νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες, τὴν βασιλείᾳ " καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων " τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς Ἐκκλησιαστικοῖς, ὡς ἐκεί- " νην, μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν." (Ἴδε τοὺς κανόνας τούτους καὶ τὰς ὑπὸ Ζωναρᾶ καὶ Βαλσαμῶνος ἑρμηνείας αὐτῶν ἐν τῷ Συντάγματι τῶν θείων καὶ ἱερῶν κανόνων ὑπὸ Γ. Α. Ῥάλλη καὶ Μ. Ποτλῆ, Τόμ. Β', σελ. 173 καὶ 280· αὐτόθι δὲ—σελ. 387—καὶ τὸν ΛΣΤ' τῆς ἕκτης Οἰκουμ. Συνόδου.) Ὀρθῶς τοίνυν ἄλλοι τε τῶν τοὺς Συνοδικοὺς κανόνας ἑρμηνευσάντων, καὶ Νεῖλος ὁ Ἀρχιμανδρίτης, ὁ ἐπικαλούμενος Δόξα Πατρὶ ἢ Δοξαπάτριος, τουτονὶ παρατιθεὶς τὸν κανόνα ἐν τῇ "Περὶ τῆς τάξεως τῶν Πατριαρχικῶν θρόνων" πραγματείᾳ αὐτοῦ, λέγει· " Ὁρᾷς, ὅπως ἀπὸ " τοῦ παρόντος κανόνος προφανῶς ἐλέγχονται ληροῦντες οἱ λέγοντες προτιμηθῆναι τὴν Ῥώμην διὰ τὸν "Αγιον " Πέτρον; Ἰδοὺ γὰρ προφανῶς ὁ κανὼν οὗτος τῆς Ἁγίας Συνόδου φησὶ διὰ τὸ εἶναι τὴν Ῥώμην βασιλείαν " ἔχειν τὴν προτίμησιν." Καὶ αὖθις τοῦ ΛΣΤ' κανόνος τῆς ΣΤ' Οἰκουμ. Συνόδου μνημονεύων, ἐν ᾧ ἡ τῶν πέντε Πατριαρχικῶν θρόνων τάξις κανονίζεται, τάδε φησίν· " Ὁρᾷς, ὅπως κατὰ τὰς βασιλείας ἔταξαν " καὶ τοὺς θρόνους; πρῶτον μὲν τὰς δύο βασιλίδας πόλεις, τὴν παλαιὰν Ῥώμην καὶ τὴν νέαν· εἶτα, ἐπεὶ " μείζων γέγονε βασιλεία ἐν Αἰγύπτῳ τῆς ἐν Ἀντιοχείᾳ βασιλείας, ἐτάχθη τρίτος ὁ Ἀλεξανδρείας. Ἐ- " πεὶ δὲ καὶ ἐν Ἱεροσολύμοις γέγονε βασιλεία, ὁ δὲ θρόνος αὐτῆς ἦττων ἦν τοῦ Ἀντιοχείας, διὰ τὸ καὶ " τὸν κορυφαῖον Πέτρον πρῶτον ἐπισκοπῆσαι ἐν Ἀντιοχείᾳ, ἀλλὰ καὶ ἡ Παλαιστίνη μέρος ἦν τῆς Ἀλεξαν-

Digitized by Google

πρωτείων, διημφισβήτουν τοῖς ἐν Κωνσταντινουπόλει, ἀνθρώπινον ἄν τις εἴποι εἶναι τὸ πρᾶγμα, καί πως ἀνασχετόν. Ὅτε δὲ πρὸς ἀνύψωσιν ἑαυτῶν ἄλλα τε πολλὰ τῆς Εὐαγγελικῆς καὶ Ἀποστολικῆς διδασκαλίας ἐνεόχμωσαν, καὶ δὴ καὶ τὸ ἱερὸν τῆς Πίστεως Σύμβολον παραχαράξαι, καὶ τιμὰς θείας τε καὶ ἀνθρωπίνας ἐφ' ἑαυτῶν συγκαταμίξαι ἀπετόλμησαν, τότε δὴ, τότε οὐκ ἀνθρώπινα οὐδ' ἀνασχετὰ ποιεῖν ἔδοξαν· ἀλλὰ τῆς μιᾶς, ἁγίας, καθολικῆς, καὶ Ἀποστολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἀποσχιζόμενοι καὶ ἀφιστάμενοι δικαίως

" δρείας, ὡς Λιβύη οὖσα καὶ αὐτή, καὶ ἐξ αὐτῆς ἀπεσπάσθη, διὰ τοῦτο μικροτέρα τῶν λοιπῶν ἐστιν ἡ ἐνο-
" ρία αὐτῆς· ὅτι δὲ καὶ ὕστερον γέγονε Πατριαρχεῖον, εἰκότως ἐτάχθη μετὰ τὴν Ἀντιόχειαν." (Νείλου Δοξαπατρίου—Τάξις τῶν Πατριαρχικῶν θρόνων—ἐν τῷ Varia Sacra ect. cura et studio Stephani Le Moyne, Τόμ. 1, σελ. 242—4). Ὅρα δὲ καὶ τοῦ ἐν μακαρίᾳ τῇ λήξει Θεοκλήτου Φαρμακίδου τὴν αὐτοσχέδιον διατριβὴν " Περὶ τῆς ἀρχῆς καὶ τῆς ἐξουσίας τῶν Πατριαρχῶν" (ἐν Ἀθήναις 1843), ἐν ᾗ ἀξιοπαρατήρητον ἀποκαλεῖ, οἵα δὴ καὶ ὄντως ἐστί, τὴν ἐν τῷ ΚΗ' κανόνι τῆς ἐν Χαλκηδόνι Συνόδου γινομένην σύγκρισιν τῶν Ἐκκλησιῶν τῆς παλαιᾶς καὶ νέας Ῥώμης (σελ. 13—15)· ἔτι δὲ καὶ ἐν τῷ " Ὁ Συνοδικὸς Τόμος ἢ περὶ ἀληθείας" ὑπὸ τοῦ αὐτοῦ (σελ. 184—5, ἐν Ἀθήναις 1852)· καὶ Παπιστικῶν ἐλέγχων προλεγ. ὑπὸ Ἠλ. Τανταλίδου (Τόμ. Α', σελ. έ, σημ. ά). Ἐπιθι δὲ καὶ τοῦ ἀοιδίμου Ἀλεξ. Στούρτζα τὸ Διπλοῦν Παράλληλον (Double Parallele) σελ. 20—31, ἐν Παρισίοις 1858.— Μάλιστα δὲ πάντων αὐτοῦ Φωτίου πρὸς τοὺς λέγοντας, ὡς ἡ Ῥώμη θρόνος πρῶτος, ἄκουε ἀποκρινομένου· " Εἰ ἡ Ῥώμη, ὅτι ἐδέξατο τὸν Κορυφαῖον
" Ἐπίσκοπον, πρώτη, ἡ Ἀντιόχεια μᾶλλον ἔξει τὸ πρωτεῖον. Ἔτη γὰρ ὀκτὼ πρὸ τῆς Ῥώμης ὁ Ἀπόστολος
" Πέτρος ἐπεσκόπησεν ἐν Ἀντιοχείᾳ. Ἔτι δέ, εἰ διὰ Πέτρον ἡ Ῥώμη πρώτη, διὰ Ἰάκωβον τὸν ἀδελφὸν
" τοῦ Κυρίου, πρῶτον Ἐπίσκοπον γεγονότα, καὶ ὑπ' αὐτοῦ τοῦ Κυρίου, καὶ τὸν μαρτυρικὸν πρῶτον τελειώ-
" σαντα δρόμον, τὰ Ἱεροσόλυμα τῆς Ῥώμης πρωτεύειν." (Ὅρα κατωτ. Συναγ. καὶ ἀποδ. κτλ. ἐρώτ. Γ'.) Φωτίῳ δὲ συνῳδὰ καὶ ὁ σοφὸς τῆς " Φιλολογικῆς καὶ Κριτικῆς Ἱστορίας τῶν Ἁγίων Πατέρων" συγγραφεύς, ὁ Καθηγητὴς τῆς Θεολογίας Κύριος Κ. Κοντογόνης, ἀποφαίνεται περὶ τούτου ἐν βίῳ Κυπριανοῦ (Τόμ. Α', σελ. 672—5). Ἄλλοι δὲ τῶν νεωτέρων, ὧν ὁ σοφὸς προεξάρχει Σπαγγελιμιος (Miscellanea Sacra, Tom. III, 3), εὐλόγως τε διϊσχυρίσαντο, καὶ σαφῶς ἀπέδειξαν μηδέποτε τὸν Ἀπόστολον Πέτρον ἐν Ῥώμῃ παραγενέσθαι, κἀντεῦθεν μῦθον ἄντικρυς εἶναι τὸ τὴν ἐν Ῥώμῃ Ἐκκλησίαν πρῶτον ἐκεῖνον συστῆσαι. Ὅρα δὲ περὶ τούτου τόν τε Συνοδικὸν Τόμον ὑπὸ Θ. Φαρμακίδου (σελ. 222—3), καὶ τὸ πολλοῦ λόγου ἄξιον σύγγραμμα τοῦ Στυλιανοῦ Βλασοπούλου " La difesa della Chiesa Greca," ὅπερ καὶ Ἑλληνιστὶ μεταφρασθὲν ὑπὸ Χριστ. Φιλητᾶ ἐκδέδοται ἐν Ἀθήναις 1848· ἐπὶ δὲ τούτοις καὶ τὴν ἐν τῷ Εὐαγγ. Κήρυκι δημοσιευθεῖσαν διατριβὴν " Αἱ Ἐκκλησίαι τῆς Ἱερουσαλὴμ καὶ τῆς Ῥώμης." (Ἔτ. Δ', σελ. 501—5). Καὶ ὁ σεβάσμιος Ἄγγλος Κάρολος Ἑλλιῶτος μῦθον ὡσαύτως τὴν ὑπὸ τοῦ Ἀποστόλου Πέτρου σύστασιν τῆς ἐν Ῥώμῃ Ἐκκλησίας ἀποκαλεῖ, λέγων· " That St. Peter erected his throne in Rome, and presided there twenty five years, is altogether fabulous ect. ect., τοῦτ' ἔστιν· " Μῦθος ἄντικρύς ἐστι τὸ λεγόμενον, ὡς ὁ Ἀπόστολος Πέτρος τὴν ἐν Ῥώμῃ Ἐκκλησίαν συνέστησε, κἀκεῖ πέντε καὶ εἴκοσιν ἔτη ἐπεσκόπησεν." Ἐκτενέστερον δὲ περὶ τούτου πραγματεύεται, καὶ σαφῶς ἀποδείκνυσι μηδέποτε τὸν Ἀπόστολον Πέτρον ἐν Ῥώμῃ παραγενέσθαι, ἐν τῷ Ζ' κεφαλαίῳ τοῦ Γ' βιβλίου, τῷ ἐπιγεγραμμένῳ " Peter was not Bishop of Rome." (Delineation of Roman Catholicism, or, the Church of Rome—by the Rev. Charles Elliott, p. 497 καὶ 630—8. London, 1844). Ἰδίαν δὲ περὶ τούτου πραγματείαν ἔγραψε Γαλλιστὶ ὁ ἱερεὺς Λ. Ταϊλλέφερος, λογικωτάτην ὧν ἐγὼ ἔτυχον ἀναγνούς, τοιάνδε φέρουσαν τὴν ἐπιγραφήν· " Saint Pierre a-t-il jamais été à Rome ?" Ἐν ἐκείνῃ δὲ τῇ πραγματείᾳ διὰ τῆς ἀναντιῤῥήτου τῶν θείων Γραφῶν μαρτυρίας, καὶ τῶν τοῦ πρώτου αἰῶνος Πατέρων, καὶ ἄλλων συγγραφέων, τρανώτατα καταδείκνυται τό τε ἀνυπόστατον τῆς ἐν Ῥώμῃ παρουσίας τοῦ Ἀποστόλου Πέτρου, καὶ τὸ γελοῖον τῆς τῶν Παπιστῶν ἀξιώσεως, ὅτι διὰ Πέτρον πρῶτος θρόνος ὁ ἐν Ῥώμῃ, καὶ διὰ τοῦτο πασῶν τῶν Ἐκκλησιῶν κεφαλὴ καὶ μήτηρ καὶ κορυφή — caput, cardo, mater, apex omnium Ecclesiarum. Ἀλλ' ὅμως οἱ Παπισταὶ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἐτόλμησαν τερατεύσασθαι, ὡς οἱ τὴν Αἰνειάδα συντάξαντες Μοναχοὶ ἐν τῇ δεκάτῃ τριτῃ ἑκατονταετηρίδι αὐτὸν τὸν Ἀπόστολον Πέτρον ὑπὸ τὸν ἀλληγορικὸν

Digitized by Google

ἐκρίθησαν· καὶ ἀπεσχίσθησαν πάντως, τὸ λοιπὸν τῆς Ἐκκλησίας σῶμα ἐν τῇ ἑνότητι τῆς Ὀρθοδοξίας καταλιπόντες.[1]

ζ'. Καὶ δικαίως ἄρα Βασίλειος μὲν ὁ μέγας ὀφρὺν Δυτικὴν ἀπεκάλεσε τὴν ἐξ ἐκείνου ὑποφαίνουσαν τῶν τῆς Ῥώμης Ἐπισκόπων φιλοπρωτίαν, τάδε πρὸς Εὐσέβιον "τὸν Σαμοσάτων Ἐπίσκοπον γράφων· "Τῷ ὄντι θεραπευόμενα τὰ ὑπερήφανα ἤθη, ἑαυτῶν "ὑπεροπτικώτερα γίνεσθαι πέφυκεν. Καὶ γὰρ, ἐὰν μὲν ἱλασθῇ ἡμῖν ὁ Κύριος, ποίας ἑτέ- "ρας προσθήκης δεόμεθα; ἐὰν δὲ ἐπιμείνῃ ἡ ὀργὴ τοῦ Θεοῦ, ποία βοήθεια ἡμῖν τῆς Δυ- "τικῆς ὀφρύος; οἳ τόγε ἀληθὲς οὔτε ἴσασιν, οὔτε μαθεῖν ἀνέχονται; ψευδέσι δὲ "ὑπονοίαις προειλημμένοι, ἐκεῖνα ποιοῦσι νῦν, ἃ πρότερον ἐπὶ Μαρκέλῳ· πρὸς μὲν τοὺς τὴν "ἀλήθειαν αὐτοῖς ἐπαγγέλλοντας φιλονεικήσαντες, τὴν δὲ αἵρεσιν δι' ἑαυτῶν βεβαιώσαν- "τες. Ἐγὼ μὲν γὰρ αὐτὸς ἄνευ τοῦ κοινοῦ σχήματος ἐβουλόμην αὐτῶν ἐπιστεῖλαι "τῷ κορυφαίῳ, περὶ μὲν τῶν ἐκκλησιαστικῶν οὐδὲν, εἰ μὴ ὅσον παραινίξασθαι, ὅτι "οὔτε ἴσασι τῶν παρ' ἡμῖν τὴν ἀλήθειαν, οὔτε τὴν ὁδὸν, δι' ἧς ἂν μανθάνοιεν, καταδέχον- "ται· καθόλου δὲ περὶ τοῦ μὴ δεῖν τοῖς ὑπὸ τῶν πειρασμῶν ταπεινωθεῖσιν ἐπιτίθεσθαι, "μηδὲ ἀξίωμα κρίνειν ὑπερηφανίαν, ἁμάρτημα καὶ μόνον ἀρ- "κοῦν ἔχθραν ποιῆσαι εἰς Θεόν."[2] Γρηγόριος δὲ ὁ Θεολόγος, πᾶσαν κατακρίνων φιλοπρωτίαν, καὶ τὸ ἐξ ἀρετῆς μόνης γινώσκεσθαι ἴδιον εἶναι λέγων τῶν τῆς Ἐκ-

---

χαρακτῆρα τοῦ ἐκ Τροίας ἥρωος παραστῆσαι προέθεντο !!! — Ἴδε περὶ τούτου Γίββωνα (History of the decline and fall of the Roman Empire, Tom. II. p. 122. London, 1848 — New edit. in 8 Volumes). Θαυμαστὸν δέ, εἰ μὴ καὶ τοῦτο ἐνεθυμήθησαν εἰπεῖν, ὅτι καὶ τὸ Ὁμηρικὸν ἐκεῖνο "εἷς κοίρανος ἔστω, εἷς βασιλεύς" ὑπὲρ τῆς τοῦ Πάπα μονοκρατορίας εἴρηται. Ἀλλ' εἰ μὴ τοῦτο σημαίνειν εἶπον τὰ Ὁμήρου ἔπη, ἀρέσκει δ' ὅμως αὐτοῖς ἔμβλημα ταῦτα ποιεῖσθαι τοῖς ὑπὲρ τοῦ Πάπα γραφομένοις. Καὶ ὅρα μοι τὴν περὶ Πάπα πραγματείαν Ἰωσὴφ τοῦ Δε-Μαίστρου, ἧς ἄρτι ἐμνήσθημεν, τοῖς Ὁμηρικοῖς ἐκείνοις ἔπεσι κεκοσμημένην ἐν κεφαλίδι.

[1] Ἴδε Μελετ. Ἐκκλ. Ἱστορίαν, Τόμ. Β', σελ. 400 καὶ ἐφεξῆς.

[2] Ἴδε περὶ τούτου καὶ Κωνστ. Οἰκονόμου τὴν "Περὶ τῶν τριῶν ἱερατικῶν τῆς Ἐκκλησίας βαθμῶν ἐπιστολιμαίαν διατριβὴν" σελ. 128.— Ἄξιον δὲ μὴ περιῦδεῖν ἐνταῦθά καὶ ἃ περὶ τῆς ῥήσεως ταύτης τοῦ Μεγάλου Βασιλείου Ἰωσὴφ ὁ Δε-Μαῖστρος ἐσημειώσατο. Ἐν γὰρ τῷ ὑπερβάλλοντι αὐτοῦ ζήλῳ ὑπὲρ τοῦ Παπισμοῦ τήνδε τὴν ῥῆσιν τοῦ Μεγάλου Βασιλείου κατακρίνων, ἔλαθεν ἑαυτὸν ὁμολογήσας μόνην γενέσθαι τοῦ σχίσματος αἰτίαν αὐτὴν δὴ ταύτην τὴν ἐπηρμένην τῆς Ῥώμης ὀφρύν. Λέγει γοῦν ὁ Δε-Μαῖστρος τάδε· "St. Basile même parle quelque part de l'*orgueil occidental*, qu'il nome ΟΦΡΥΝ ΔΥΤΙΚΗΝ. Rien, et pas même la Sainteté (ὦ τῆς αὐθάδους ἀσεβείας!) ne pouvait éteindre tout à fait l'état naturel de guerre, qui divisait les deux Etats et les deux Eglises, *état qui dérivait de la politique, et qui remontait à Constantin.* (Du Pape—par le Comte J. De-Maistre, L. III. Chap. VII, § 1). Τί τούτου ἀληθέστερον; Ἀπὸ γὰρ Κωνσταντίνου τοῦ Μεγάλου ἐφ' ὅσον ἡ ἐν Κωνσταντινουπόλει Ἐκκλησία διὰ τὸ τῆς Νέας Ῥώμης πολιτικὸν μεγαλεῖον προὐτιμᾶτο καὶ ἐμεγαλύνετο, ἐπὶ τοσοῦτον ἡ Δυτικὴ ὀφρὺς ἐθορυβεῖτο καὶ κατεξανίστατο, καὶ πάντ' ἀπετόλμα, ἕως ἐξώκειλε κατὰ κρημνῶν, αὐτὴ τῆς μιᾶς καὶ καθολικῆς Ἐκκλησίας ἀποσχισθεῖσα, καὶ τὸν πυρρὸν τῆς Ἀποκαλύψεως δράκοντα τέλος ἀποκαλύψασα. Ἐπισεσημειώσθω δέ, ὅτι τὰ ἀνωτέρω τοῦ Μεγάλου Βασιλείου χρυσᾶ ῥήματα, οὐκ ἐν τῷ πρὸς τοὺς νέους Παραινετικῷ αὐτοῦ λόγῳ (ὡς εἰκάζων λέγει Δε-Μαῖστρος) εὕρηνται, ἀλλ' ἐν τῇ πρὸς Εὐσέβιον τὸν Σαμοσάτων Ἐπίσκοπον ἐπιστολῇ, ἥπερ ἐν τῇ Μιγνίου Πατρολογίᾳ (Migne—Patrologiæ cursus completus ect.) ὑπὸ τὸν ἀριθμὸν 239 μετὰ τῶν ἄλλων τοῦ Βασιλείου ἐπιστολῶν εὕρηται. Ἡ δὲ περὶ Μαρκέλου πρὸς Ἀθανάσιον ὑπ' ἀριθμὸν εὑρίσκεται 69.

Digitized by Google

κλησίας ποιμένων καὶ διδασκάλων, καταρᾶται τῆς προεδρίας καὶ προτιμήσεως, τάδε λέγων ἐν τῷ ΚΣΤ' Λόγῳ αὐτοῦ· " Ὡς ὄφελόν γε μηδὲ ἦν προεδρία, μηδέ τις τόπου προτίμησις " καὶ τυραννικὴ προνομία, ἵνα ἐξ ἀρετῆς μόνης ἐγινωσκόμεθα! Νῦν δὲ τὸ δεξιὸν τοῦτο καὶ " τὸ ἀριστερόν, καὶ τὸ μέσον, καὶ τὸ ὑψηλότερον, καὶ τὸ χθαμαλώτερον, καὶ τὸ προβαδί- " ζειν ἢ συμβαδίζειν, πολλὰ πεποίηκε τὰ συντρίμματα ἡμῶν διακενῆς, καὶ πολλοὺς " εἰς βόθρον ὥσε, καὶ εἰς τὴν τῶν ἐρίφων χώραν ἀπήγαγεν, οὐ " τῶν κάτω μόνον, ἀλλ' ἤδη καὶ τῶν ποιμένων, οἱ διδάσκαλοι " τοῦ Ἰσραὴλ ὄντες ταῦτα ἠγνόησαν."[1] Ὅμοια δὲ τούτοις καὶ ἐν τῷ ΛΣΤ' " Λόγῳ αὐτοῦ ὁ τῆς Ἐκκλησίας οὗτος Δημοσθένης εἴρηκε, τοῦ φθόνου καταρώμενος, καὶ τοῦ ὀλεθριωτάτου τούτου πάθους ἐξαριθμῶν τὰ ἔργα· " Ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ὁ φθό- " νος, ... τὸ μόνον τῶν παθῶν ἀδικώτατόν τε ἅμα καὶ δικαιότατον· τὸ μὲν, ὅτι πᾶσι " διοχλεῖ τοῖς καλοῖς, τὸ δὲ, ὅτι φθείρει τοὺς ἔχοντας .... Οὗτος καὶ τὸν Ἑωσφόρον ἐσκό- " τισε, καταπεσόντα δι' ἔπαρσιν, ... καὶ τὸν Ἀδὰμ ἐξέβαλε τοῦ Παραδείσου, ... καὶ τὸν " Κάϊν ἀδελφοκτόνον ἐποίησε, ... καὶ Δαθὰν καὶ Ἀβειρὼν κατέχωσε, κατὰ Μωϋσέως μα- " νέντας, ... καὶ Ἰούδαν προδότην ἀνέδειξε, ... καὶ Ἡρώδην παιδοφόνον, καὶ Χριστο- " κτόνον Πιλάτον ἐδημιούργησεν. Οὗτος καὶ τὸν Ἰσραὴλ ἐλίκμησε καὶ διέσπειρεν, ἐξ ἧς " οὔπω καὶ νῦν ἀνανεύουσιν ἁμαρτίας ... Οὗτος καὶ τὸ καλὸν σῶμα τῆς Ἐκ- " κλησίας κατέτεμεν, εἰς διαφόρους καὶ ἀντιπάλους σπουδὰς με- " ρίσας. Οὗτος καὶ ἡμῖν τὸν Ἱεροβοὰμ ἐπανέστησε, τὸν δοῦλον τῆς ἁμαρτίας, καὶ τῇ " γλώσσῃ δεσμὸν ἐπιτίθησιν. Οὐ γὰρ φέρει τὴν Τριάδα λαμπρυνομένην καὶ ὅλῃ θεότητι " λάμπουσαν, καὶ τιμίους ποιοῦσαν ἡμῖν τοὺς γνησίους ἑαυτῆς κήρυκας."[2]

ή. Τούτου τοίνυν τοῦ Ἑωσφορικοῦ πάθους, τῆς ἀκατασχέτου τῶν τῆς Ῥώμης Ἐπι- σκόπων φιλοπρωτίας, ἔργον ὑπάρχει καὶ τό, ὡς μήτ' ὤφελε, γενόμενον σχίσμα· τοῦτο μόνον τὸ καλὸν τῆς Ἐκκλησίας σῶμα κατέτεμεν, εἰς διαφόρους καὶ ἀντιπάλους σπουδὰς μερίσαν· τοῦτο τὴν τῆς Ῥώμης Ἐκκλησίαν εἰς παρανόμους καὶ ἀντιθέους ἀπεβουκόλησε πράξεις, αἳ τοσοῦτον αὐτὴν τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας διέστησαν, ὥστε τὸ εἰς τὴν ἀληθινὴν ὁδὸν ἐπα- ναγαγεῖν αὐτὴν οὐκ ἀνθρώπου, ἀλλὰ μόνου τοῦ παναγάθου Θεοῦ ἔργον ἂν εἴη. Ὀρθῶς ἄρα ὁ ἀοίδιμος τῆς Θεσσαλονίκης Ἀρχιεπίσκοπος Νεῖλος ὁ ἐπικαλούμενος Καβάσιλας τάδε περὶ τούτου φησὶν ἐν τῷ ἀποδεικτικῷ αὐτοῦ λόγῳ· " Ἡγούμεθα δεῖν πρὸς Λατίνους ποιου- " μένους τὸν λόγον, ἀρχήν τινα ἐπινοῆσαι τῷ νυνὶ λόγῳ, τὸ εὔλογον μεθ' ἑαυτῆς ἔχουσαν. " Ἥ δέ ἐστι, τὴν αἰτίαν ἰδεῖν, δι' ἣν ὁ τῶν Ἐκκλησιῶν πόλεμος ἤρξατο μὲν καὶ ἤκμασεν εἰς " τοσοῦτον, λῆξαι δὲ οὐδ' ἂν ἐλπίζειν ἐστίν, ἂν μὴ Θεὸς χεῖρα " ὑπέρσχῃ."[3] Αὐτὸ δὲ τοῦτο καὶ ὁ περικλεὴς Ῥῶσσος θεολόγος Θεοφάνης ὁ Προκοπο-

---

[1] Migne — Patrologiæ cursus completus. Tom. XXXV. Parigii 1857.

[2] *Αὐτόθι. Τόμ. ΛΣΤ'.*

[3] *Περὶ Νείλου τοῦ Ἀρχιεπισκόπου Θεσσαλονίκης, ἀκμάσαντος ἐν τῷ ΙΔ' αἰῶνι ἐπὶ τοῦ Αὐτο- κράτορος Ἰωάννου τοῦ Κομνηνοῦ, καὶ περὶ τῶν συγγραμμάτων αὐτοῦ, ἴδε Φαβρ. Ἑλλην. Βιβλιοθ. Τόμ.*

Digitized by Google

βίκιος φησίν· " Τῇ γὰρ διαφωνίᾳ ἄλλα δὴ καὶ ἄλλα προσεγένοντο αἴτια· καὶ τοῦ ἐκ Ῥώ-
" μης δὲ μάλιστα θηρὸς ἐπαγριωθέντος, καὶ μανικοὺς οἵους τίτλους τινὰς καὶ προνόμια ὅλως
" θεῖα ἐπαυθαδιασαμένου ἑαυτῷ ἀπονείμασθαι, οὕτως ἐπεστήρικται τὸ σχίσμα, ὡς μηδ' ἐλ-
" πίδα ἐφεξῆς ὑπολειπομένην συμβάσεως ὑποφαίνεσθαι." [1]

θ'. Οὕτω τοίνυν καθαρῶς τῆς ἀληθείας κηρυττομένης ὑπὸ τῶν πραγμάτων αὐτῶν, οὐ

Γ', σελ. 20—22, ἔκδ Harles. Ὁ δὲ Λόγος αὐτοῦ, ἐξ οὗ τὰ ἐν τῷ κειμένῳ εἴληπται, τοιάνδε φέρει τὴν ἐπιγραφήν· " Λόγος ἀποδεικνὺς μὴ ἄλλο τι τὸ τῆς διαστάσεως τῆς Λατίνων Ἐκκλησίας καὶ ἡμῶν
" μέχρι τοῦ παρόντος αἴτιον εἶναι, ἢ τὸ μὴ βούλεσθαι τὸν Πάπαν Οἰκουμενικῇ Συνόδῳ τὴν τοῦ ἀμ-
" φισβητουμένου διάγνωσιν ἐπιτρέψαι, ἀλλ' αὐτὸν μόνον διδάσκαλον ἐθέλειν τοῦ
" ζητουμένου καθέζεσθαι, τοὺς δὲ ἄλλους ἐν μαθητῶν μοίρᾳ ὑπακού-
" οντας ἔχειν, καὶ ὅτι τὸ τοιοῦτον ἀλλότριον τῶν Ἀποστολικῶν καὶ
" Πατρικῶν καὶ νόμων καὶ πράξεων." Συνεκδέδοται δὲ ὁ Λόγος οὗτος μεθ' ἑτέρας τοῦ Νείλου διατριβῆς ἐν τέλει τοῦ " Περὶ τῆς ἀρχῆς τοῦ Πάπα " συγγράμματος τοῦ σοφοῦ Κλαυδίου Σαλμασίου. Cl. Salmasii de primatu Papæ. Lugd. Batavorum, 1644.

[1] Θεοφάνους Προκοποβικίου Ἱστορία τῆς περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος διαφορᾶς § ά. Μετάφρ. Εὐγενίου τοῦ Βουλγάρεως. Εὑρίσκεται δὲ ἡ πολλοῦ λόγου ἀξία μετάφρασις αὕτη τοῦ ἀοιδίμου Εὐγενίου ἔν τε τῷ τρίτῳ τόμῳ τῶν ὑπ' αὐτοῦ ἐκδεδομένων συγγραμμάτων Ἰωσὴφ Μοναχοῦ τοῦ Βρυεννίου (ἐν Λειψίᾳ 1784), καὶ ἐν τῷ Β' τόμῳ τῶν Παπιστικῶν ἐλέγχων (ἐν Κωνσταντινουπόλει 1850).— Οὐ μόνον δὲ τῶν ἡμετέρων ὅσοι περὶ τούτου γεγράφασιν, ἀλλὰ καὶ τῶν ἑτεροδόξων οἱ ἀπαθῶς καὶ δικαίως κρίνοντες μόνην εὑρίσκουσι τοῦ σχίσματος αἰτίαν τὴν τῶν ἐν Ῥώμῃ Ἐπισκόπων ἀλαζονείαν καὶ φιλοπρωτίαν. Ἵνα δὲ τοὺς ἄλλους ἐάσω, πολλούς τε ὄντας καὶ παντοδαποὺς, μόνου τοῦ Γερμανοῦ Φριδερίκου Σπαγχειμίου, τοῦ σοφοῦ τῆς Θεολογίας Καθηγητοῦ, παρατίθημι τὴν περὶ τούτου κρίσιν. Καὶ γὰρ οὗτος ἔν τε ἄλλοις τῶν σοφῶν αὐτοῦ συγγραμμάτων, καὶ ἐν τοῖς Ἐκκλησιαστικοῖς Χρονικοῖς, Φωτίου ὑπεραπολογούμενος πρὸς τοὺς λέγοντας τοῦτον γενέσθαι τοῦ σχίσματος αἴτιον, Φώτιον μὲν ἀγαθὸν καὶ εὐθὺν ἄνδρα ἀνακηρύττει, τὴν δὲ Παπικὴν ἀλαζονείαν μόνην ἀποφαίνεται γενέσθαι τοῦ σχίσματος ἀρχήν· " Photius was a good and upright man, and his integrity was partly the cause of his misfortunes. But the haughty and domineering conduct of the Bishop of Rome could not longer be endured by the Church of Constantinople, and the unfair conduct of the Pope precipitated a schism." (Eccles. annals—by Fred. Spanheim, D. D., translated by the Rev. George Wright ect. p. 354. London, 1840)· τοῦτ' ἔστιν· " Φώτιος μὲν ἀγαθὸς ἀνὴρ ἐγένετο καὶ εὐθύς, καὶ ἡ χρηστότης αὐτοῦ αἰτία ἦν ἐν μέρει ὧν ὑπέστη κακῶν· τῆς δὲ τοῦ Ἐπισκόπου Ῥώμης ἀλαζονείας καὶ φιλοδεσποτείας οὐχ οἷόν τε ἦν ἐπὶ μακρὸν ἀνέχεσθαι τὴν τῆς Κωνσταντινουπόλεως Ἐκκλησίαν· ὥστε τὸ σχίσμα ὁ τῶν Παπῶν ἐπήγαγε δόλιος τρόπος."— Καὶ ταῦτα μὲν περὶ τῆς τοῦ σχίσματος ἀρχῆς. Περὶ δὲ τοῦ τέλους αὐτοῦ καὶ τῆς τῶν Ἐκκλησιῶν ἑνώσεως, ἡμεῖς μέν, οἱ μετὰ τὸ σχίσμα ἐν τῇ Ὀρθοδοξίᾳ ἐμμείναντες, Θεῷ μόνῳ τὰς ἐλπίδας ἀναφέρομεν, κἀκείνου ἀδιαλείπτως ὑπὲρ τῶν ἀποσχισθέντων δεόμεθα, " ὅπως ἐλεήσῃ αὐτούς, καὶ ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ." Οἱ δὲ Παπισταὶ οὐδέποτ' ἐπαύσαντο πάντα κάλων κινοῦντες, ὅπως ἡμᾶς εἰς τὸν αὐτὸν αὐτοῖς συγκατασπάσωσι βόθρον· καὶ πρὸς τοῦτο οὐδένα περιορῶσι καιρόν, ὃς ἂν δοκοίη βοηθεῖν αὐτῶν τοῖς ὀνείρασιν. Τοὺς μὲν οὖν ἄλλους αὐτῶν ἀγῶνας, οὓς καὶ πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως, καὶ μετ' αὐτὴν πολλάκις καὶ πολλαχῶς ἠγωνίσαντο, τὰ μὲν ἐκ τοῦ συστάδην καθ' ἡμῶν μαχόμενοι (ὡς δῆλον ὅτι ἐπὶ τῶν σταυροφορικῶν ἐκείνων πολέμων), τὰ δὲ καὶ ἐξ ἐνέδρας (ὡς δῆλον ὅτι ἐπὶ τῆς διαβοήτου ἐκείνης Συνόδου, τῆς ἐν Φλωρεντίᾳ), ἐῶ λέγειν, ὡς πᾶσιν ἐγνωσμένους· ἃ δὲ μετὰ τὴν εἰς τὸν θρόνον τῆς Ἑλλάδος ἀνάβασιν Δυτικοῦ βασιλέως ἤλπισαν, ταῦτα μάλιστα τὴν ἄνοιαν αὐτῶν ἐδήλωσεν. Ἐν τοιαύτῃ τοίνυν ἐλπίδι καὶ ὁ Γερμανὸς Ἕρμανος Ἰωσὴφ Σχμίττιος τάδε περὶ τῆς τῶν Ἐκκλησιῶν ἑνώσεως ἐν τέλει τοῦ συγγράμματος αὐτοῦ, οὗ καὶ πρότερον ἐμνήσθημεν, ἀποφαίνεται, χρηστὰς ἔχων ὁ ἄνθρωπος τὰς ἐλπίδας, ὅτι βασιλέα ἐκ τῆς Δύσεως ἀποδεξάμενοι οἱ Ἕλληνες, καὶ τοῦτον ἀγαπῶντες

Digitized by Google

παρελθόντων καὶ τῷ χρόνῳ κεκαλυμμένων, ἀλλὰ καὶ νῦν ἔτι προκειμένων, καὶ τὴν ἀληθῆ τοῦ σχίσματος ἐκείνου αἰτίαν ἡλίου τηλαυγέστερον καταδεικνύντων, ὁ μὲν ἀοίδιμος Πατριάρχης ΦΩΤΙΟΣ, *καὶ πάντες οἱ μετ' ἐκεῖνον κατ' ἐκεῖνον φρονήσαντες καὶ πράξαντες, καὶ τὴν τοῦ* Χριστοῦ *ποίμνην ἐν τῇ Εὐαγγελικῇ ἀληθείᾳ ποιμάναντες, καὶ ἀπὸ πάσης αἱρετικῆς λύμης ἀλύμαντον αὐτὴν διατηρήσαντες, οὐδενὸς δέονται τοῦ συνηγοροῦντος αὐτοῖς, ὅταν ὁ τῆς Εὐαγγελικῆς καὶ Ἀποστολικῆς διδασκαλίας αὐθάδης παραχαράκτης, ὁ ἀντίχριστος Παπισμός, ἐπ' αὐτοὺς πειρᾶται τρέπειν τῶν ἰδίων αὐτοῦ ἀνομημάτων τὴν εὐθύνην. Ἐγὼ δὲ τοὺς ἀνίατα νοσοῦντας, καὶ ἀτεχνῶς Θεῷ μαχομένους, χαίρειν ἐάσας (ὀρθῶς γὰρ εἴρηται τὸ "* Roma mutat opera, numquam concilium *"—Ἡ Ῥώμη τὰ μὲν ἔργα μεταβάλλει, τὴν δὲ βουλὴν οὔ), ἐπ' ἐκεῖνο δὴ τρέψω τὸν λόγον, πόθεν ἐπῆλθέ μοι τὰς τοῦ ἀοιδίμου* ΦΩΤΙΟΥ *ἐπιστολὰς ἐκδοῦναι, καὶ τί πρὸς τελειοτέραν αὐτῶν ἔκδοσιν ἔπραξα. Ἀναγκαῖον δὲ ὑπολαμβάνω μικρὰ περὶ τούτου προειπεῖν, ὡς πᾶσι δῆλον γένηται, ὅτι τοῦτο πράττειν ἐπεχείρησα, οὐ δι' ἄγνοιαν ἐμαυτοῦ, οὐδὲ καταυθαδιαζόμενος, ἀλλὰ—τοῦτ' αὐτὸ τὸ τοῦ Ἰσοκράτους—εἰκότως, καὶ κατὰ μικρὸν ὑπαχθείς.*[1]

Β'.

ί. Πολλάκις *μέν, τὸν ὑπὸ Δοσιθέου, τοῦ μακαριωτάτου* Πατριάρχου Ἱεροσολύμων, *ἐκδεδομένον* Τόμον Χαρᾶς *ἀναγινώσκων, ἐν ᾧ τὰ περὶ* ΦΩΤΙΟΥ *ἐξιστοροῦνται, καὶ*

καὶ σεβόμενοι (τότε δῆλον ὅτι, ὅτε τὸ βιβλίον ἐκεῖνο ἐγράφετο), ῥαδίως ἂν ἐκείνῳ ὁμοφρονήσειαν, μίαν καὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας δεχόμενοι κεφαλήν, τὸν Πάπαν ! ! ! Εἰ δὲ μὴ λέγει τοῦτο σαφῶς, ἀλλὰ τοῦτό γε πάντως νοεῖ, δυνατὸν εἶναι λέγων τοὺς Ἕλληνας, ὥσπερ τὴν πολιτικήν, οὕτω δὴ καὶ τὴν Ἐκκλησιαστικὴν ἀρχὴν ἀποδέξασθαι· " Udii spesse volte a dire da uomini che fecero un lungo soggiorno nella Grecia e studiarono con speciale attenzione li abitanti, non essere possibile di stabilirvi una sovranità, essendochè l'orrida schiavitù che pesò già da quattro secoli sul popolo Greco vi abbia spento al tutto ogni idea d'indipendenza e di sovranità. Eppure questa sovranità la veggiamo noi coi nostri propri occhi; sul trono della Grecia siede un principe amato e rispettato da tutta la nazione; e inanzi à lui, come inanzi ad un nuovo sole di pace, i residui spiriti di ribellione mormorando si trassero indietro in molta lontananza. Ora la Grecia ha ottenuta l'unità politica; *e perchè non sarebbe possibile che acquistasse anco l'unità religiosa, quella unità da cui avrebbe da aspettarsi nuove benedizioni, e dalla quale tutte le Chiese ricevono la pulsazione della vita e del moto come le membra del corpo umano lo ricevono dal cuore?* " (*ἔνθ. ἀνωτ. σελ.* 327). *Τούτοις δὲ ὁ τὴν Ἱστορίαν ταύτην Ἰταλιστὶ μεταφράσας* (A. Bianchi Giovini) *ὀρθῶς ὑποσημειοῖ ἀνέφικτον εἶναι τὴν τοιαύτην ἕνωσιν, ἄλλα τε λέγων εἶναι τὰ κωλύσοντα αὐτὴν αἴτια, καὶ δὴ καὶ Κωνσταντῖνον τὸν Οἰκονόμον, οὗ μέμνηται μετ' ἐπαίνων ὁ συγγραφεύς. Ἀλλ' ἡμεῖς μᾶλλον ἐκείνων, ὡς εἰκός, καὶ δικαιότερον τὸ τοῦ Κωνσταντίνου Οἰκονόμου κλέος θαυμάζοντες καὶ τιμῶντες, κατά γε τοῦτο τὸ τῆς γενναίας Σπαρτιάτιδος, τῆς τὸν Βρασίδαν τεκούσης, ἐροῦμεν τοῖς τὸν Οἰκονόμον ἐγκωμιάζουσιν. " Μὴ λέγετε, ὦ ξένοι· καλὸς μὲν γὰρ ἦν καὶ ἀγαθὸς τῆς Ὀρθοδοξίας πρόμαχος ὁ ἀοίδιμος Οἰκονόμος, πολλοὺς δ' ἔχει ἡ κατ' Ἀνατολὰς Ἐκκλησία τοὺς οὐχ ἧττον ἐκείνου κατὰ τῶν ἐκ Ῥώμης ἐπιβουλῶν ἀγρυπνοῦντας ὑπὲρ τοῦ ποιμνίου."*

[1] *Ἰσοκρ. πρὸς Φίλιπ. § ά.*

Digitized by Google

πέντε τῶν ἐπιστολῶν αὐτοῦ, αἱ μάλιστα θαυμαζόμεναι, περιέχονται (δύο μὲν αἱ καλούμεναι ἐνθρονιστικαί· τρίτη δὲ ἡ πρὸς τὸν Πάπαν Νικόλαον ἀπολογητική, θαυμαστόν τι χρῆμα εὐσεβείας ἅμα καὶ εὐφραδείας· τετάρτη δὲ ἡ πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Ἀρχιερατικοὺς θρόνους ἐγκύκλιος, ἡ τὸν Πάπαν Νικόλαον οὕτω θορυβήσασα, ὥστε τὴν Δύσιν ἅπασαν ἐπὶ συμμαχίαν κατὰ τοῦ φοβεροῦ πολεμίου τῆς Παπικῆς ἀλαζονείας ἔντρομον ἐπικαλεῖσθαι·[1] καὶ πέμπτη ἡ παντὸς ἐπαίνου καὶ θαυμασμοῦ ὑπερτέρα πρὸς τὸν Ἀκυληΐας Μητροπολίτην, ἐν ᾗ τὴν ἐν τῷ Συμβόλῳ πανάθεσμον προσθήκην "καὶ ἐκ τοῦ Υἱοῦ" καταπολεμῶν μέγας ἐν θεολόγοις ἀναδείκνυται), καὶ θαυμάζων τοῦ ἀληθῶς μεγάλου ἐκείνου ἀνδρὸς τὴν μεγάλην σοφίαν, τήν τε Ἐκκλησιαστικὴν καὶ τὴν θύραθεν, οὐχ ἧττον δὲ καὶ τῆς λέξεως αὐτοῦ τὸ γλαφυρὸν καὶ ἀνθηρὸν καὶ ἐπαγωγόν, ἐπεθύμησα καὶ πάσας αὐτοῦ τὰς ἐπιστολὰς ἀναγνῶναι. Ἐπηύξησέ μου δὲ τὴν δικαίαν ταύτην ἐπιθυμίαν ἡ ἀνάγνωσις τῶν περὶ ΦΩΤΙΟΥ γεγραμμένων ἐν τῷ τετάρτῳ τόμῳ τῆς "Περὶ τῶν Ο' ἑρμηνευτῶν τῆς παλαιᾶς θείας Γραφῆς" σοφῆς τετραβίβλου τοῦ ἀοιδίμου Κ. Οἰκονόμου, ἔνθα πρὸς τοῖς ἄλλοις καὶ τάδε περὶ τῶν ἐπιστολῶν τούτων ἀνεγίνωσκον· "Ἐὰν δὲ καὶ τ' ἄλλα, καὶ μάλιστα τὰς ἐπιστολὰς, ἀνα-" γνῷς, θαυμάσεις τὸν φιλόσοφον, τὸν μαθηματικόν, τὸν ἰατρόν, τὸν εὐφραδέστατον ῥήτο-" ρα."[2] Ἀλλὰ τοῦ βιβλίου τούτου, πρὸ δύο ἤδη αἰώνων ἐν Λονδίνῳ ἐκδεδομένου, ἡ εὕρεσις ἐν Ἑλλάδι, καὶ μάλιστα ἐν Σύρῳ, ὅπου ἐγὼ διέτριβον, οὐχ ἁπλῶς δύσκολος, ἀλλὰ καὶ ἀδύνατος ἦν· ὅπου γε καὶ ἐν αὐτῷ τῷ Λονδίνῳ ζητούμενον οὐ ῥαδίως εὑρίσκεται. Τότε μὲν οὖν ἐξ ἀνάγκης ἐκείνας μόνας ἀναγνούς, μετὰ πολλοῦ ζήλου καὶ τὰς λοιπὰς ἀνεζήτησα, ὅτε πρὸ τριῶν ἐτῶν ἐγκατέστην ἐν Λονδίνῳ. Καὶ πρῶτον μὲν ἁπάσας ἀνέγνων τὰς ΦΩΤΙΟΥ ἐπιστολὰς[3] ἐν τῇ πολυτίμῳ τοῦ Βρεττανικοῦ Μουσείου βιβλιοθήκῃ, ἐν ᾗ τῶν φιλομούσων

---

[1] Ἴδε ἐν τοῖς ἑξῆς § λθ'.

[2] Κ. Οἰκονόμου—Περὶ τῶν Ο' ἑρμην. τῆς παλαιᾶς θείας Γραφῆς—Τόμ. Δ', σελ. 754. Οὐ μόνον δὲ ὁ ἀοίδιμος Οἰκονόμος καὶ πάντες οἱ τῆς ἀληθείας καὶ τοῦ δικαίου φίλοι, ἀλλὰ καὶ οἱ Φωτιομάχοι αὐτοὶ θαυμάζουσιν αὐτοῦ καὶ λίαν ἐπαινοῦσι τὰς ἐπιστολάς, ὅτι μὴ μόνον τὰς τὴν πλάνην αὐτῶν ἐξελεγχούσας καὶ στηλιτευούσας. Αὐτίκα δὴ Δουπῖνος, ὁ πολλὰ Φώτιον ἐξυβρίσας, τάδε περὶ τῶν ἐπιστολῶν αὐτοῦ φησίν· "La delicatesse du style de Photius, et la finesse de son esprit, paraissent particulièrement dans ses lettres, aussi bien que son erudition et l'etude particulière, qu'il avait faite de l'Ecriture Sainte. (Nouvelle Biblioth. des auteurs Eccles. ect. par M. Ellies Du-Pin, Tom. VII. p. 104. Autrecht. 1731). Καὶ ὁ Ἰταλὸς δὲ Γαετανὸς Μορώνης, τ' ἄλλα καταφλυαρήσας Φωτίου (κουρεὺς γὰρ τοῦ Πάπα τιμώμενος ὁ ἀνὴρ, οὐκ ἠξίωσε τὸ τῶν κουρέων γένος καταισχῦναι κατὰ τὸν Κωμῳδόν), τὰ τοῦ Δουπίνου ταῦτα περὶ τῶν Φωτίου ἐπιστολῶν ἐν τῷ Ἱστορικο-Ἐκκλησιαστικῷ αὐτοῦ Λεξικῷ ἐπαναλέγει· "La dolcezza delo stile di Fozio, l'acume del suo ingegno e profonda erudizzione della Scritura, compariscono più di tuto nelle di lui lettere." (Tom. XXVI. p. 45—46). Ἑνὶ δὲ λόγῳ εἰπεῖν, τῶν περὶ Φωτίου γραψάντων οὐκ ἔστιν ὅστις τὰς ἐπιστολὰς αὐτοῦ οὐκ ἐθαύμασεν. Ὁ δὲ κλεινὸς καὶ ἀείμνηστος τῆς Ἑλληνικῆς Βιβλιοθήκης συγγραφεὺς τὴν τῶν ἐπιστολῶν τούτων ἀνάγνωσιν συνίστησι, τάδε λέγων· "Photii Patriarche Constantinupolitani . . . Epistolæ, disertæ, eruditæ et lectu dignissimæ." τοῦτ' ἔστι—Φωτίου τοῦ Πατριάρχου Κωνσταντινουπ. . . . . ἐπιστολαί, εὐεπείας καὶ πολυμαθείας πλήρεις καὶ μάλιστα ἀναγνώσεως ἄξιαι. (Φαβρ. Ἑλ. Βιβλ., Τόμ. Α', σελ. 701, ἔκδ. Harles).

[3] Ταύτας ὁ μὲν κλεινὸς Ἄγγλος Ῥιχάρδος ὁ Μοντακούτιος, Ἐπίσκοπος Νορουϊκίας, ἔκ τινος κώδηκος τῆς Βοτλεϊανῆς βιβλιοθήκης ἀντιγράψας, καὶ Λατινιστὶ μετά τινων σημειώσεων μεταφράσας, παρε-

Digitized by Google

Ἄγγλων ἡ θαυμαστὴ φιλοκαλία πολύτιμον συλλεξαμένη θησαυρὸν βιβλίων, ἐντύπων τε καὶ χειρογράφων, καὶ κατάλληλον παρασκευάσασα σπουδαστήριον, μεγέθει τε καὶ κάλλει θαυμαστόν, καὶ οἷον ἐν μόνῳ τῷ Λονδίνῳ ἰδεῖν ἐστι, μεγίστην παρέχει τοῖς τῶν λόγων ἐρασταῖς τὴν εὐκολίαν τῆς μελέτης καὶ μαθήσεως. Ἔπειτα δὲ κατὰ τύχην, οὕτως εἰπεῖν, εὑρὼν καὶ ἀγοράσας τὸ βιβλίον, ἐπανέλαβον αὐτῶν τὴν μελέτην, ἀδιαλείπτως μὲν θαυμάζων τὴν μεγάλην τοῦ ἀοιδίμου Πατριάρχου πολυμάθειαν, τὴν ἀκραιφνῆ καὶ ἄδολον εὐσέβειαν, τὴν ὀρθὴν καὶ περινενοημένην κρίσιν περί τε τῶν θείων καὶ ἀνθρωπίνων, τὸ ἄτυφον καὶ ταπεινὸν ἐν ταῖς εὐημερίαις, τὸ πρᾶον καὶ ἀνεξίκακον ἐν τοῖς διωγμοῖς, καὶ ἁπλῶς εἰπεῖν, τὸν ἀκήρατον τῆς ψυχῆς αὐτοῦ κόσμον, ἅμα δὲ καὶ λυπούμενος, ὅτι τοιοῦτον βιβλίον οὐχ ὑπὸ παντὸς τοῦ Ὀρθοδόξου πληρώματος ἀναγινώσκεται, ἀλλ' ὡς ἀρχαῖόν τι καὶ σεβάσμιον κειμήλιον κεῖται, καὶ τόδε σὺν τοῖς ἄλλοις τῶν ἡμετέρων προγόνων ἀριστουργήμασιν, ἐν ταῖς βιβλιοθήκαις τῆς εὐδαίμονος Ἑσπερίας Εὐρώπης τεθησαυρισμένον. Αὕτη δέ μου ἡ λύπη εἰς δικαίαν ἐτράπη ἀγανάκτησιν, ὅτε τὰ περὶ ΦΩΤΙΟΥ γεγραμμένα διεξερχόμενος, καὶ τὰς ἀσεβεῖς τῶν ἐχθρῶν αὐτοῦ συκοφαντίας ἀναγινώσκων, καὶ αὐτὰς δὴ τὰς ἐπιστολὰς κακοβούλως ὑπό τινων παρερμηνευομένας εὑρίσκων, ἐκεῖνον ἔβλεπον σιωπῶντα, οὕτως εἰπεῖν, ἐν τῷ βάθει τῶν βιβλιοθηκῶν, καὶ οἷον ἐρήμην κρινόμενον, καὶ ἀδίκως ὑπό τινων κατακρινόμενον, ὅσοι τῶν κατηγόρων μόνον ἀκούοντες, εἰς ἄδικον τοῦ ἱεροῦ ἀνδρὸς παρασύρονται κατάκρισιν. Ἀλλ' οὐχ' οὕτως οἱ καὶ τὰ συγγράμματα αὐτοῦ, καὶ μάλιστα τὰς ἐπιστολάς, ἀναγινώσκοντες. Οὗτοι γὰρ εἰλικρινῶς τὴν ἀλήθειαν ἐκζητοῦντες, ἐν τοῖς ΦΩΤΙΟΥ λόγοις ἀνευρίσκουσιν αὐτήν, ἀλλ' οὐκ ἐν ταῖς τῶν ἐχθρῶν αὐτοῦ βλασφημίαις, ὡς ὀρθῶς περὶ τούτου ὁ φιλαλήθης Μοντακούτιος εἴρηκεν· " Photio autem cur non fidem habeamus suam causam narranti, quam convintiis adversariorum?"—Διὰ τί δὲ ΦΩΤΙΩι μᾶλλον οὐ πιστεύσομεν τὰ καθ' ἑαυτὸν λέγοντι, ἢ τοῖς τῶν ἐχθρῶν αὐτοῦ λήροις; — Ὁμοίως δὲ καὶ ὁ σοφὸς Βασνάγιος, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν εἴπομεν, τὰς Βαρωνίου καὶ Μαιμβουργίου φωνασκίας κατακρίνων καὶ ἀποδοκιμάζων, ἀσφαλέστερον νομίζει κρίνειν περὶ ΦΩΤΙΟΥ τὸν ἐκ τῶν ἰδίων ἐκείνου λόγων, ἀλλ' οὐκ ἐκ τῶν κατηγόρων κρίνοντα· " Mais il faut mieux juger Photius par ses paroles et par ses écrits, que par ceux de ses ennemis." [1]

ιά. Ἀλλὰ καὶ χωρὶς τῆς ἀνάγκης ταύτης, ἣν, ὥσπερ ἔφθημεν εἰπόντες, αὐτὰ θεραπεύει τὰ πράγματα, παντὸς λόγου τρανώτερον ἀνακηρύττοντα τὴν ἀλήθειαν τοῖς νοῦν ἔχουσι, μεγίστην ἐνόμιζον εἶναι τὴν ζημίαν, ὅτι τοσαῦται καὶ τοιαῦται ἑρμηνεῖαι τῶν θείων Γραφῶν, ἐν ταῖς ἐπιστολαῖς ταύταις περιεχόμεναι, τοσαῦται καὶ τοιαῦται νουθεσίαι πρός τε Κληρικοὺς καὶ λαϊκούς, πρὸς ἄρχοντας καὶ ἀρχομένους, πρὸς εὐπραγοῦντας καὶ δυσπραγοῦντας, πρὸς ἀδικοῦντας καὶ ἀδικουμένους, τοιοῦτον, ὡς εἰπεῖν, σωτήριον Εὐαγγελικῆς ἠθικῆς κήρυγμα, οὐχ ὑπὸ παντὸς ἀναγινώσκεται τοῦ Χριστιανικοῦ πληρώματος, ἀλλὰ κόσμος τῶν βι-

---

σκεύασεν εἰς ἔκδοσιν· ὁ δὲ συμπολίτης ἐκείνου Δανιὴλ ὁ Ῥόγηρος, ἤδη τετελευτηκότος ἐκείνου, ἐξέδωκεν ἐν Λονδίνῳ (1651), καὶ ἑτέρας προσθεὶς πέντε, ἅς ὁ Ῥάβιος εὗρεν ἐν τῇ Ἀνατολῇ.

[1] Ἴδε τὴν ἐν § β' σημείωσιν.

Digitized by Google

βλιοθηκῶν, καί τινων λογίων ἀνδρῶν σπουδαῖον ἐντρύφημα περιλείπεται. Εἰ δέ τισι καὶ περὶ τῆς τότε τῶν λογίων γλώσσης μέλει, καί, πόσον μὲν ἀφίστατο αὕτη τῆς περιωνύμου τῶν Ἀττικῶν καὶ Ἀττικιστῶν καλλιεπείας, ἐν τίσι μάλιστα διέφερεν ἐκείνης, τίνα τε διετήρει ἢ μετέβαλλε, καὶ ὁπόσον τῆς τότε κοινῶς λαλουμένης ὑπερίστατο, γινώσκειν ποθοῦσι, καὶ περὶ πάντα ταῦτα οὐ μικρὸν ἐνόμιζον ἔσεσθαι χρησίμους τοῦ πάντων ἐν τῷ αἰῶνι ἐκείνῳ σοφωτάτου ΦΩΤΙΟΥ τὰς ἐπιστολάς.[1]

ιβ'. Ταῦτα μετὰ λύπης ἐν τῷ τὰς ΦΩΤΙΟΥ ἐπιστολὰς ἀναγινώσκειν διαλογιζόμενος, ἅμα μὲν τὴν ἐμὴν παραμυθούμενος λύπην, ἅμα δὲ τῷ κοινῷ ἀγαθῷ, εἴς γε δύναμιν τὴν ἐμήν, ὑπηρετῆσαι προθυμούμενος, καὶ τὴν ἐμὴν ταύτην ὑπηρεσίαν εὐέλπις ὢν εὐπρόσδεκτον ἔσεσθαι, ἔγνων εἰς ἓν συναγαγὼν τάς τε ὑπὸ Μοντακουτίου καὶ Ῥογήρου συνειλεγμένας τρεῖς καὶ πεντήκοντα καὶ διακοσίας, καὶ τὰς ὑπὸ Δοσιθέου πέντε, καὶ εἴ τινας ἄλλας σποράδην τινὲς ἐκδεδώκασι,[2] καὶ τὰς διαφόρως ἐκδεδομένας ἀντιπαραβαλών, καί, ὅση μοι δύναμις, διορθώσας αὐτῶν (πλὴν τῶν ὑπὸ Οἰκονόμου ἐκδεδομένων) τὸ γραφικοῖς ἁμαρτήμασι βρίθον κείμενον, τὰς πάσας ἐν ἑνὶ συνεκδοῦναι τεύχει. Καὶ τοῦτο γὰρ ἀνάξιον ἐδόκει μοι

---

[1] Ὁποία μὲν ἦν ἡ τότε τοῦ λαοῦ γλῶσσα, καὶ ὅτι μικρόν τι διέφερε τῆς νῦν κοινῶς λαλουμένης, τοῦτο διὰ πολλῶν ἔδειξε παραδειγμάτων, ἐκ τοῦ στόματος τοῦ λαοῦ εἰλημμένων, ὁ τὴν ἡμετέραν Μεσαιωνικὴν Ἱστορίαν, τήν τε Ἐκκλησιαστικὴν καὶ τὴν πολιτικὴν καὶ φιλολογικήν, ἐπιμελῶς ἐκμελετήσας Σπυρίδων Ζαμπέλιος ὁ Λευκάδιος (Ἴδε τὴν περὶ Μεσαιωνικοῦ Ἑλληνισμοῦ μελέτην αὐτοῦ, σελ. 353—366). Ὅτι δὲ ἡ ὑπὸ τῶν λογίων τότε γραφομένη πολλὰς διετήρει τῆς Ἀττικῆς καὶ Ἀλεξανδρινῆς καλλιεπείας χάριτας, ἐκείνην ἔχουσα ὑπογραμμὸν καὶ σεβάσμιον πρωτότυπον, πρὸς ὃ μᾶλλον ἢ ἔλαττον ἐξωμοιοῦτο, καθ' ἣν ὁ γράφων ἐπεποίητο σπουδὴν καὶ μελέτην τῶν Ἑλληνικῶν ἀριστουργημάτων, τοῦτο τὰ Φωτίου, καὶ εἴ τινος ἄλλου τοιούτου (πόσοι δ' ἂν εἶησαν οἱ τοιοῦτοι τότε;) συγγράμματα καταδεικνύουσιν. Ὀρθῶς δὲ καὶ περὶ τούτου ὁ αὐτὸς Ζαμπέλιος ἐν ταῖς Βυζαντιναῖς αὐτοῦ μελέταις (σελ. 480) φησίν, ὅτι "Ἰδέαν "ἀκριβῆ τῆς τότε ὀργώδους τοῦ πνεύματος ἀναδρομῆς πρὸς τὴν Ἀριστοτελικὴν πολυμάθειαν καὶ τὴν τοῦ "παρελθόντος θεραπείαν παρέχουσι τὰ συγγράμματα τοῦ Φωτίου, ... ὃν ἴσως οὐκ ἀστόχως ὁ τῆς Με"σαιωνικῆς γραμματολογίας Ἱστορικὸς ἤθελεν ἐπονομάσειν Θεόφραστον τῆς Θ' ἑκατονταετηρίδος."

[2] Παρὰ τὸν Ῥόγηρον καὶ Δοσίθεον καὶ ἄλλοι τινὲς ἐπιστολὰς Φωτίου ἐκδεδώκασι, δύο μὲν ὁ Ἰωάννης Κοτελέριος ἐν τῷ "Ecclesiæ Græcæ monumenta" (Tom. II. p. 104—108), ἃς ἡμεῖς ἐν τῇδε τῇ ἐκδόσει ὑπ' ἀριθμὸν 141 καὶ 213 περιελάβομεν, μίαν δὲ ὁ Σκόρτος ἐν τοῖς Προλεγομένοις τῆς ἐκδόσεως τῶν Θεοφάνους ὁμιλιῶν, ἣν ὁμοίως ὑπ' ἀριθμὸν 108 κατετάξαμεν. Πρὸ δὲ τοῦ Δοσιθέου καὶ Κομβεφίσιος (Auctar: Bibliotheca Patrum, Tom. I. p. 927) τὴν πρὸς τὸν Ἀκυληΐας Μητροπολίτην μετά τινων ἐξέδωκε σημειώσεων. Ἀλλὰ καὶ πρὸ τοῦ Μοντακουτίου Δαβὶδ ὁ Οἰσχέλιος ἐν τῇ πρώτῃ τῆς Μυριοβίβλου ἐκδόσει (1601) πέντε καὶ τριάκοντα τῶν Φωτίου ἐπιστολῶν συμπεριέλαβεν. Ὁ δὲ Βασνάγιος τὴν πρὸς τὸν Ἄρχοντα Βουλγαρίας ἐκ τῆς Μοντακουτίου ἐκδόσεως μετετύπωσεν ἐν τῷ "Lectiones antiquæ Henrici Canisii" (Tom. II. part II. p. 379)· καὶ ὁ ἡμέτερος Εὐγένιος ὁ Βούλγαρις τὴν αὐτὴν ταύτην ἐν τῷ Ε' τόμῳ τῶν Θεοδωρήτου σωζομένων· ἀλλ' ἡμεῖς ταύτην τοῦ ἀοιδίμου Εὐγενίου τὴν ἔκδοσιν εὑρεῖν οὐκ ἠδυνήθημεν. Καὶ ὁ Ἀββᾶς δὲ Ἰάγερος ἐν τέλει τῆς Φωτίου Ἱστορίας, ἐκείνης δή, ἧς καὶ ἐν τοῖς ἔμπροσθεν ἐμνήσθημεν, καὶ ἐν τοῖς ἑξῆς κατ' ἀνάγκην μνησθησόμεθα, τρεῖς τῶν Φωτίου ἐπιστολῶν ἐκ τοῦ Τόμου Χαρᾶς μετετύπωσε (δύο τὰς πρὸς τὸν Πάπαν Νικόλαον, καὶ τρίτην τὴν πρὸς τὸν Ἀκυληΐας Μητροπολίτην), ὀλίγα μέν τινα τῶν γραφικῶν ἁμαρτημάτων, καὶ ταῦτα κακῶς, διορθώσας, τὰ δὲ πλεῖστα καταλιπὼν ἀδιόρθωτα, ὡς ἐν οἰκείῳ τόπῳ δειχθήσεται. Τελευταῖον δὲ ὑπὸ τοῦ ἀοιδίμου Οἰκονόμου αἱ πλεῖσται τῶν ἑρμηνευτικῶν, ἐν τῇ ὑπ' αὐτοῦ παρασκευασθείσῃ τῶν Ἀμφιλοχίων ἐκδόσει περιεχόμεναι, προσηκόντως διώρθωνται, ἃς ἐν οἰκείῳ τόπῳ δηλώσομεν.

Digitized by Google

εἶναι τοῦ τὰς ἐπιστολὰς γράψαντος, ὅτι τοσοῦτον ἐν αὐταῖς ἐστι τὸ τῶν γραφικῶν καὶ τυπογραφικῶν ἁμαρτημάτων πλῆθος, ἀβλεψίᾳ τῶν ἀντιγραφέων καὶ ἐκδοτῶν γενόμενον, περί τε τὰς λέξεις καὶ τὴν τοῦ λόγου στίξιν καὶ ὑπόστιξιν, ὥστε πολλαχοῦ μὲν δυσκαταλήπτους εἶναι, ἔστι δ' οὗ καὶ ἀκαταλήπτους. Δῆλον γάρ, ὡς καὶ αὐτὸς ὁ σοφώτατος ἔλεγε ΦΩΤΙΟΣ, ὡς " οὐ μόνον γράμματος ἑνὸς πρόσθεσις καὶ ἀφαίρεσις πολλῶν πραγμάτων κα" ταστροφὴν καὶ ἀλλοίωσιν ἀπεργάζεται, ἀλλὰ καὶ τόνου χρῆσις οὐκ εὔκαιρος, τό τε ῥῆμα " ἀνθ' ἑτέρου, καίτοι τῆς γραφῆς ἀναλλοιώτου μενούσης, παρέδειξεν ἕτερον, καὶ εἰς νόημα " παντελῶς ἀλλοτριώτατον τὸν νοῦν ἐκτοπίσασα, ἢ δυσεβῆ δόξαν, ἢ γελώμενον λῆρον συν" ήγαγεν· κ.τ.λ·" [1] Τοῦτο δὲ πολλαχοῦ τῶν ἰδίων αὐτοῦ ἐπιστολῶν ἴδοι τις ἂν γινόμενον τῶν γραφικῶν ἕνεκεν ἁμαρτημάτων.

ιγ'. Χωρὶς δὲ τῆς τοῦ κειμένου διορθώσεως, καὶ ἡ ἀταξία, ἐν ᾗ τὸ πρῶτον αἱ ἐπιστολαὶ αὗται ἐξεδόθησαν, οὐ μικρὸν προσεδόκει μοι ἀτόπημα. Οὐ γὰρ τὴν αὐτὴν ἔχουσιν αἱ πᾶσαι ὑπόθεσιν· ἀλλ' εἰσὶν αὐτῶν αἱ μὲν δογματικαὶ καὶ τῶν θείων Γραφῶν ἑρμηνευτικαί, αἱ δὲ παραινετικαί, αἱ δὲ παραμυθητικαὶ θλιβομένων, πολλαὶ δὲ καὶ ἐπιτιμητικαὶ ἁμαρτανόντων, καὶ ἄλλαι ἄλλην ἔχουσι τὴν ἀφορμήν. Ὥστε καὶ τὸ ἐν προσηκούσῃ τάξει αὐτὰς ἐκδοῦναι οὐ μικρὸν πρὸς τὴν ἀκριβῆ αὐτῶν κατάληψιν συνοίσειν ἐνόμιζον.

ιδ'. Ἐπεὶ δὲ καὶ ἕτερον τοῦ ἀοιδίμου Πατριάρχου πολυτιμότατον συγγραμμάτιον, ὃ ἐπιγέγραπται " Συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς, συνειλεγμέναι ἐκ τῶν Συνοδικῶν καὶ Ἱστορικῶν γραφῶν περὶ Ἐπισκόπων καὶ Μητροπολιτῶν καὶ λοιπῶν ἑτέρων ἀναγκαίων ζητημάτων", ἐξέλιπε παντελῶς, ἅτε πρὸ πολλῶν ἐτῶν ἅπαξ μόνον ἐκδοθὲν ὑπὸ Φραγκίσκου Φοντάνα, [2] ἀμέτρῳ δὲ τῶν Παπιστῶν ζήλῳ πολυτρόπως ἐξαφανιζόμενον, καὶ τοῦτό μοι ἔδοξε προσθετέον εἶναι, καὶ προσέθηκα μετὰ τὰς ἐπιστολάς, ὡς ἀναγκαῖον αὐτῶν συμπλήρωμα. Τελευταῖον δέ, ὅπως ἄν τις ἔχῃ τὰ περὶ ΦΩΤΙΟΥ πάντα σαφῶς τε καὶ ἐξ ἐπισήμου γινώσκειν, ἀναγκαῖον εἶναι ᾠήθην καὶ τὰ Πρακτικὰ τῆς μεγάλης ἐκείνης Συνόδου, τῆς μετὰ τὸν Ἰγνατίου θάνατον ἐν Κωνσταντινουπόλει συνελθούσης, καὶ οὐ μόνον τὰ πρότερον ἀσεβῶς κατὰ ΦΩΤΙΟΥ πεπραγμένα κατακρινάσης, ἀλλὰ καὶ τὸ ἱερὸν τῆς πίστεως Σύμβολον ξυνῳδὰ ταῖς ἑπτὰ Οἰκουμενικαῖς Συνόδοις ἐπικυρωσάσης, παρόντων τε καὶ συνευδοκούντων τῶν τοῦ Πάπα Ἰωάννου Η' τοποτηρητῶν, καὶ αὐτοῦ δι' ἐπιστολῆς ἰδίας ἀνόθευτον τοῦτο καὶ ἀκιβδήλευτον συνομολογοῦντος, προσθεῖναι ἐν τέλει. Οὕτω γὰρ ἐν ἑνὶ τεύχει πᾶσα συμπληροῦται ἡ ΦΩΤΙΟΥ ἱστορία, οὐχ οἵαν οἱ Παπισταὶ ταύτην συγγράφουσι, Νικήταν καὶ τοὺς ἄλλους τῶν Φωτιομάχων ἀκρίτως ἀντιγράφοντες, καὶ πάντα ὑπὲρ τῆς ἰδίας αὐτῶν ἀτασθάλου δόξης νοθεύοντες, ἀλλ' οἵαν ἐκ τῶν λόγων ἐκείνου καὶ τῶν ἐπισήμως ἐν τηλικαύτῃ Συνόδῳ πεπραγμένων ἡ ἀλήθεια ταύτην διδάσκει.

---

[1] *Ἀμφιλοχίων Α', § λ', ἔκδ. Σοφ. Κ. Οἰκονόμου—ἐν Ἀθήναις* 1858.

[2] *Ἐν τῷ πρώτῳ τόμῳ τοῦ συγγράμματος αὐτοῦ, τῷ ἐπιγραφομένῳ* " Novæ eruditorum deliciæ—seu—Veterum *ἀνεκδότων* opusculorum collectanea Franciscus Fontani, Bibliothecæ Riccardianæ Praefectus, collegit, illustravit, cdidit.—Florentiæ 1785.

Digitized by Google

ιέ. Ἡ μὲν οὖν ἐμὴ προθυμία περί τε τὴν μελέτην καὶ τὴν ἔκδοσιν τῶν τοῦ σοφωτάτου ΦΩΤΙΟΥ ἐπιστολῶν τοιαύτη τις ἦν· αὐτὸ δὲ τὸ πρᾶγμα μεῖζον ἢ κατ' ἐμέ, τά τε ἄλλα ἐνδεῶς ἔχοντα, καὶ δὴ καὶ νυχθήμερον εἰς βίου πορισμὸν ἠναγκασμένον διδάσκειν, καί, τὸ πάντων ἀπορώτατον, τὴν τῆς ἐκδόσεως δαπάνην, μεγίστην οὖσαν ἐν Λονδίνῳ, ἐκ περιουσίας καταβαλεῖν οὐ δυνάμενον. Ὅτι δὲ τοῖς οὕτως ἔχουσιν ἥκιστα δέδοται τοῖς πολυβίβλοις ἐπιχωριάζειν μουσείοις, καὶ τοὺς ἐν αὐτοῖς ἀνελίττοντας θησαυροὺς συγγράφειν τε καὶ ἐκδιδόναι, ἀλλ' οἷς οὕτω τὰ τοῦ βίου εὐροεῖ, ὥστε καὶ σχολὴν ἄγειν πρὸς τὸ συγγράφειν τὴν προσήκουσαν, καὶ δαπάνης εὐπορεῖν πρὸς τὴν τῶν συγγραφομένων ἔκδοσιν, τί χρὴ καὶ λέγειν; Ἀλλ' ὦ τῆς περὶ ἡμᾶς ἀῤῥήτου τοῦ Θεοῦ κηδεμονίας! καὶ τοῦτο γὰρ τῇ ἡμετέρᾳ τῶν ἀνθρώπων φύσει, οἷα δή τινα τοῖς ἀποροῦσι παραμυθίαν, πανσόφως ἐνέστιξε καὶ φιλανθρώπως, ἐν ᾧ πρὸς τὸ τέλος ἀφορῶντες τοῦ πράγματος, καὶ τὸ κοινῇ συμφέρον σκοποῦντες, καὶ τοῦτο χρησίμους παρασχεῖν ἡμᾶς αὐτοὺς φιλοτιμούμενοι, πάντων καταφρονοῦμεν τῶν ἐμποδών, κἂν ἄλλως ἀνυπέρβλητα δοκῶσιν εἶναι, ἐκείνου θαῤῥοῦντες τῇ ἀρωγῇ, οὗ ἡ δύναμις ἐν ἀσθενείᾳ τελειοῦται.[1] Ταύτῃ τοι καὶ αὐτὸς θαῤῥήσας, οὐκ ἀπετραπόμην τοῦ πράγματος, οὐδ' ἠξίωσα τοῦ κοινοῦ καταμελῆσαι ἀγαθοῦ, ὅσον εἰς ἐμὴν ἐφικνεῖτο δύναμιν, τῷ τῶν ἐμποδίων ἰλιγγιάσας πλήθει καὶ μεγέθει· ἀλλὰ πρὸς μὲν τὴν τῶν ἐπιστολῶν συλλογὴν καὶ διόρθωσιν καὶ ἀντιγραφήν, ναὶ δὴ καὶ τὴν τῆς τυπώσεως ἐπίβλεψιν, πᾶσαν ἀφιερώσας ἣν εἶχον ἀπὸ τῆς διδασκαλίας σχολήν, τὰ δ' ἄλλα τοῖς φιλοχρίστοις καὶ φιλομούσοις τῶν ὁμογενῶν ἐλπίσας οὐκ ἀπεικότως,[2] ἐπεχείρησα τῷ πράγματι· καὶ τάς τε Μοντακουτίῳ καὶ Δοσιθέῳ καὶ ἄλλοις ἐκδεδομένας ΦΩΤΙΟΥ ἐπιστολὰς ἀντιπαραβαλών, καὶ ἀντεξετάσας, καὶ διορθώσας ἐπιμελῶς, καὶ τὰς ἀλλαχοῦ διεσπαρμένας συναγαγών, τὰς πάσας εἰς ἑξήκοντα καὶ διακοσίας παρεσκεύασα εἰς ἔκδοσιν. Ταύτας δὲ κατ' ἔννοιαν εἰς πέντε διελὼν μέρη, πρώτας μὲν κατέταξα τὰς δογματικὰς καὶ τῶν θείων Γραφῶν ἑρμηνευτικάς, τέσσαρας οὔσας πρὸς ταῖς ὀγδοήκοντα·[3] ἔπειτα δὲ τὰς παραινετικάς, ἑπτὰ καὶ πεντήκοντα· εἶτα δὲ τὰς παραμυθητικάς, οὐ πλείους οὔσας τῶν πεντεκαίδεκα· τετάρτην δ' ἔλαβον τάξιν αἱ ἐπιτιμητικαί, τέσσαρες οὖσαι καὶ ἑξήκοντα· καὶ τελευταῖαι πασῶν αἱ περὶ παντοίων ὑποθέσεων πραγματευόμεναι (αἵπερ διὰ τοῦτο καὶ διάφοροι ἐπεγράφησαν), εἰς τεσσαράκοντα ἀριθμούμεναι, προσετέθησαν.

---

[1] Παῦλος ἐν τῇ Β' πρὸς Κόρινθ. ἐπιστολῇ. ΙΒ', 9.

[2] Εἰρήσθω δέ μοι μετ' εὐγνωμοσύνης τῆς προσηκούσης, ὅτι τῶν ἐλπίδων οὐκ ἐψεύσθην. Πρόθυμον γάρ μοι παρέσχοντο συνδρομὴν εἰς τὴν τοῦ βιβλίου ἔκδοσιν ἄλλοι τε τῶν ἐν Ἀγγλίᾳ ἡμετέρων ὁμογενῶν, καὶ πάντων μάλιστα ὅσοι μοι ἐτύγχανον ἐν Λονδίνῳ φίλοι ὄντες καὶ συνήθεις, οἷς αὐτὸς περὶ τοῦ πράγματος ἐκοινολογησάμην. Εἴ τι οὖν ἐξ αὐτοῦ τῇ τε πανσέπτῳ ἡμῶν Ἐκκλησίᾳ καὶ τῇ φιλτάτῃ Πατρίδι προσγίνεται ὄφελος, τοῖς φιλοκάλοις τούτοις Ἕλλησι μᾶλλον, ἢ ἐμοί, ἀνακείσθω ἡ χάρις.

[3] Τούτων αἱ δύο προτάσσονται ἐνθρονιστικαί, διά τε τὴν ἐν αὐταῖς ὁμολογίαν τῆς πίστεως καὶ τὸ πρώτιστα τῶν ἄλλων γεγράφθαι· τρίτη δ' ἕπεται ἡ πρὸς τὸν Πάπαν Νικόλαον Ἀπολογητική, οὐχ ὡς δογματική, ἀλλ' ὡς ἱστορικῶς τε καὶ χρονολογικῶς ταῖς δυσὶ προτέραις συναπτομένη.

Digitized by Google

ιστ'. Οὕτω τοίνυν, τό γ' ἐπ' ἐμοί, αἱ τοῦ σοφωτάτου Πατριάρχου ΦΩΤΙΟΥ ἐπιστολαὶ ἐκδίδονται δεύτερον ἤδη καὶ πληρέστερον, ἢ ὡς τὸ πρῶτον ὑπὸ Μοντακουτίου παρεσκευάσθησαν, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν ὑπὸ Ῥογήρου ἐξεδόθησαν. Πέπεισμαι δέ, ὅτι ὠφελιμώτατον μὲν ἔσονται ἀνάγνωσμα πᾶσι τοῖς εὐσεβέσι, ζῶσα δέ τις καὶ σαφεστάτη ἀπολογία πρὸς τὰς θνησιμαίας συκοφαντίας καὶ ἀτασθάλους ὕβρεις, ἃς ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς ἑαυτῶν καρδίας ἐξάγοντες ἔγραψαν, καὶ γράφοντες οὐ διαλείπουσιν, ἄνθρωποί τινες τὰ μὲν ἄλλα ἴσως καλοὶ καὶ ἀγαθοί, ἐν δὲ τοῖς περὶ ΦΩΤΙΟΥ τῷ φθόνῳ δουλεύοντες καὶ τούτῳ μόνῳ ὑπηρετοῦντες, τῆς δ' ἀληθείας οὐδὲν φροντίζοντες. Οὐ γὰρ ἀληθεύειν ἔοικε περὶ ΦΩΤΙΟΥ λεγόμενον τὸ τοῦ Περικλέους ἐκεῖνο, "φθόνος τοῖς ζῶσι πρὸς "τὸ ἀντίπαλον· τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετί-"μηται·"[1] μᾶλλον δ' ἄν τις εἴποι προσήκειν περὶ αὐτοῦ λέγεσθαι, ὃ περὶ φθόνου Σαίντ-Κρόϊος ὁ Γαλάτης ἀπεφθέγξατο, "ὅτι δὴ καὶ περὶ τοὺς τάφους τῶν ἀγα-"θῶν ἀνδρῶν ἀδιαλείπτως ἕρπων ὁ φθόνος, τὸν ἰὸν ἐν αὐτοῖς τὸν "ἴδιον ἀποστάζειν πειρᾶται."[2] Ἀλλ' ἐκείνοις μὲν ἴλεως ὁ Θεός, ὅτι κατὰ τὸν θεῖον Παῦλον "ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ "ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ "ἐμωράνθησαν·"[3] τοῖς δὲ τὴν ἀλήθειαν φιλοῦσι, καὶ ταύτην ἐπιμελῶς ἐκζητοῦσιν, αἱ ΦΩΤΙΟΥ ἐπιστολαὶ "λύχνος τοῖς ποσὶν αὐτῶν ἔσονται," καὶ τῶν τοῦ ἀοιδίμου Πατριάρχου ἀρετῶν τεκμήριον ὅτι μέγιστον. Κατὰ μὲν γὰρ Βασίλειον τὸν Μέγαν, "εἰκόνες ὄντως τῆς ψυχῆς εἰσιν οἱ λόγοι·"[4] κατὰ δὲ ΦΩΤΙΟΝ αὐτόν, "κατόπτρῳ μὲν ἐμφανίζεται τύπος τῆς μορφῆς "τοῦ σώματος, ὁμιλίαις δὲ καὶ λόγοις τὸ τῆς ψυχῆς ἦθος χα-"ρακτηρίζεται."[5]

ιζ'. Καὶ ἰδοὺ εἴρηταί μοι ἐν πάσῃ εἰλικρινείᾳ τά τε εἰς ἔκδοσιν τῶν ΦΩΤΙΟΥ ἐπιστολῶν κινήσαντά με, καὶ εἴ τί μοι πρὸς τελειοτέραν τοῦ ἔργου κατάρτυσιν πέ-

---

[1] *Θουκυδ. Β', μέ.*

[2] Ainsi l'envie ne cesse jamais de serpenter autour du tombeau des grands hommes, et tache d'y faire jaillir quelques gouttes de son venin (Exam. crit. des Histor. d'Alex. le Grand, par M. Saint-Croix, p. 16. Sec. édition 1810). *Ταῦτα μέντοι περὶ Τιμαίου λέγων τοῦ Ἱστορικοῦ, ὡς τὸν Ὅμηρον καὶ Ἀριστοτέλην ἐξυβρίσαντος, καὶ ὀρθῶς δήπου λέγων, ὁ σοφὸς Σαίντ-Κρόϊος, ἔλαθεν αὐτὸς κατά γε τοῦτο Τίμαιος γενόμενος, ἐν οἷς πολλὰ καὶ κακὰ ἐν αὐτῷ τούτῳ τῷ ἄλλως πολυτίμῳ αὐτοῦ συγγράμματι (σελ. 753—4) κατὰ Φωτίου ἐξηρεύξατο, καίπερ ὁμολογῶν, ὥσπερ δὴ Μαιμβούργιος καὶ Ἰάγερος, σοφώτατον γενέσθαι τὸν ἄνδρα καὶ θεολογικώτατον. Καὶ ὅρα μοι ἐν τοῖς ἑξῆς αὐτοὺς Σαίντ-Κροΐου τοὺς λόγους, ἐν ταῖς περὶ Φωτίου μαρτυρίαις.*

[3] *Πρός Ῥωμ. Α', 21.*

[4] *Βασιλ. τοῦ Μεγ. ἐπιστ. Β' (ἐν τῇ Μιγνίου Πατρολογίᾳ).*

[5] *Παρὰ Στοβαίῳ ἐν Ἀνθολ. Τόμ. Δ', σελ. 69—70 τῶν προσθηκῶν, ἔκδ. Γαισφόρδου ἐν Ὀξωνίᾳ 1822.*

Digitized by Google

πρακται. Εἰ μὲν οὖν ἐπέτυχον τοῦ σκοποῦ, καὶ ἀγαθοῦ τινος, ἔστω καὶ μικροῦ, γέγονα αἴτιος, τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις· εἰ δέ τι καὶ ἡμάρτηταί μοι, εὔελπίς εἰμι ἐπιεικέστερον περὶ τούτου κριθήσεσθαι. Οὐ γὰρ μόνον, ὡς Ἰσοκράτης ἔλεγε, "πάντες πλείω πεφύκαμεν ἐξαμαρτάνειν ἢ κατορθοῦν,"[1] ἀλλὰ καὶ κατὰ τὸν θεῖον Σωκράτην, "χαλεπόν ἐστιν οὕτω τι ποιῆσαι, ὥστε μηδὲν ἁμαρτεῖν·"[2] κατὰ δὲ Γαληνόν, "χαλεπόν ἐστιν ἄνθρωπον ὄντα μὴ διαμαρτάνειν ἐν πολλοῖς, τὰ μὲν ὅλως ἀγνοήσαντα, τὰ δὲ κακῶς κρίναντα, τὰ δὲ ἀμελέστερον γράψαντα."[3]

ιή. Περὶ μὲν οὖν τούτων ἅλις ἔχει μοι τὰ εἰρημένα. Μέλλων δὲ νῦν τὸν τοῦ ἀοιδίμου Πατριάρχου βίον γράφειν, διὰ βραχέων τοῦτο καὶ ἅμα πάσης ἐκτὸς ἐπηρείας ποιήσομαι, αὐτὰ σταθμώμενος τὰ πράγματα, καὶ τὰ τῆς ἱστορίας διδάγματα, κἀντεῦθεν εἴ τι ὀρθὸν καὶ ἀληθὲς συγκομιζόμενος, ἀλλ' οὐχ, ὅπερ ἄλλοι περὶ Φωτίου γράφοντες μάλιστα φιλοῦσι ποιεῖν, τοῖς ἐμοὶ δοκοῦσι τὴν ἱστορίαν ἐκβιάζων συμφθέγγεσθαι· οὐδὲ γὰρ δίκαιον τοῦτο, οὐδ' ὅλως τοῖς φρονεῖν καὶ λογίζεσθαι πεφυκόσι πρέπον, ὡς ὀρθῶς τοὺς περὶ Ὁμήρου γράφοντας ἐπικρίνων ὁ σοφὸς εἶπε Μοντβέλιος· ὃ δὴ τοῖς περὶ Φωτίου γράφουσι Παπισταῖς, μάλιστα δὲ πάντων Ἰαγέρῳ, προσήκει λέγεσθαι· εἰώθασι γὰρ οὗτοι τὰς μὲν ἰδίας αὐτῶν δόξας μόνας ἀληθεῖς ἡγεῖσθαι, τὴν δὲ ἱστορίαν ἄκουσαν καταναγκάζειν αὐτῶν ἐπιμαρτυρεῖν ταῖς δόξαις· "Ils s'attachent d'abord à prouver que ce qu'ils voient est la vérité, sauf ensuite à démontrer par "des preuves, que l'histoire ne contredit pas leur sentiment. *Ce n'est point là pro-*"*céder en bonne logique.* On ne plie pas l'histoire au principe qu'on s'est fait d'avance; "mais on étudie avec soin les renseignements qu'elle nous donne; on les examine "en conscience, on en pèse la valeur, pour en conclure ce qu'il est permis d'admettre "ou de rejeter."[4]

Γ'.

ιθ'. Ὅτε πρὸ δέκα περίπου ἐνιαυτῶν Σπυρίδων Ζαμπέλιος ὁ Λευκάδιος, τὴν ἀξιό-

---

[1] Πρὸς Φίλιπ. § ιγ'.

[2] Ξενοφ. Ἀπομν. Β', ή, 5.

[3] Ἐν τῷ "περὶ συνθ. φαρμ. κατὰ τόπους." Βιβλ. Β'. Τόμ. Β', σελ. 177 τῆς ἐν Βασιλείᾳ ἐκδόσεως.

[4] Dugas-Montbel. Histoire des poésies Homériques, p. 5.

Digitized by Google

λογον ἐκείνην "περὶ Μεσαιωνικοῦ Ἑλληνισμοῦ" γράφων μελέτην, ηὔχετο, ὅπως γλαφυρός τις κάλαμος φιλοδωρήσῃ πρὸς τὴν ἀναγεννηθεῖσαν Ἑλλάδα, δῶρον ἐρατὸν καὶ ἀγλαότιμον, τὴν ΦΩΤΙΟΥ βιογραφίαν,[1] πανελλήνιόν τινα καὶ πανορθόδοξον ὁ ἀγαθὸς Ἕλλην ηὔχετο τὴν εὐχήν. Ταύτης δ' εἰσακούσας ἀνὴρ φιλολογικός τε ἅμα καὶ θεολογικός, καὶ διὰ τοῦτο, εἴπερ τις καὶ ἄλλος, ἱκανώτατος ταύτην ἐκπληρῶσαι, ὁ πάντα μὲν τὸν ἑαυτοῦ βίον εἰς διδασκαλίαν καὶ φωτισμὸν τοῦ ἡμετέρου ἔθνους διελθών, καὶ πολλὰ καὶ σοφά, φιλολογικά τε καὶ Ἐκκλησιαστικά, καταλιπὼν ἡμῖν συγγράμματα, ἐν δὲ ταῖς ἐσχάταις αὐτοῦ ἡμέραις περὶ τὴν τῶν ΦΩΤΙΟΥ Ἀμφιλοχίων ἔκδοσιν ἀσχολούμενος, Κωνσταντῖνος Οἰκονόμος ὁ ἐξ Οἰκονόμων, ἀνεδέξατο αὐτῆς τὴν ἐκπλήρωσιν. Ἐκείνου δὲ θείᾳ βουλῇ εἰς τὰς οὐρανίους μονὰς μεταστάντος, καὶ τοῦ ἔργου ἡμιτελοῦς καταλειφθέντος, ἄξιος τοῦ πατρὸς υἱός, ὁ ἐν ἰατροῖς καὶ φιλολόγοις εὐδόκιμος Σοφοκλῆς Κ. Οἰκονόμου, τήν τε τῶν Ἀμφιλοχίων ἔκδοσιν διαπεράνας, καὶ τὴν τοῦ πατρὸς πρόθεσιν, τὸ ἐν εἴδει προλεγομένων τὸν ΦΩΤΙΟΥ συγγράψαι βίον, αὐτὸς ἐκτελέσας, εἰς αἴσιον πέρας τὴν πανορθόδοξον ἐκείνην ἤγαγεν εὐχήν. Οὐ γὰρ μόνον ἐν ἀκριβείᾳ καὶ γλαφυρότητι τὸν ΦΩΤΙΟΥ συνέγραψε βίον, ἀλλὰ καὶ πάντας καταριθμήσας τοὺς τοῦ ἱεροῦ Πατριάρχου ἐπαινέτας καὶ κατηγόρους,[2] καὶ τῶν μὲν λόγοις ἀκαταμαχήτοις τὸ ἀκριβὲς κρατύνας τῆς διηγήσεως, τῶν δὲ καταπολεμήσας τὸ θράσος, καὶ τοὺς ἀσεβεῖς διελέγξας λήρους,[3] περιφανέστατον ἀνήγειρε τῆς ἀληθείας τὸ τρόπαιον.[4]

κ'. Τοιαύτης οὖν συγγεγραμμένης καὶ πρὸ μικροῦ ἐκδεδομένης βιογραφίας ΦΩΤΙΟΥ, ἐξήρκεσεν ἂν ἡμῖν, οὔτε πλείω οὔτε κρείττονα λέγειν ἔχουσι, πρὸς ἐκείνην ἁπλῶς παραπέμψαι τοὺς ἐντυγχάνοντας. Ἀλλὰ διὰ τοὺς τὴν ἀρίστην ἐκείνην τῶν Ἀμφιλοχίων ἔκδοσιν μὴ κτησαμένους (εἴθε δὲ μὴ πολλοὶ εἶησαν οἱ τοιοῦτοι), ἀνάγκη περί τε τοῦ βίου καὶ τῶν συγγραμμάτων τοῦ ἀοιδίμου Πατριάρχου βραχέα τινὰ καὶ ἡμᾶς εἰπεῖν, ἐκ πολλῶν τῶν περὶ αὐτοῦ γραψάντων, καὶ αὐτῶν δὴ τῶν Φωτιομάχων, ἀπανθιζομένους

---

[1] Σπ. Ζαμπελίου—Ἄσματα δημοτικὰ τῆς Ἑλλάδος, μετὰ μελέτης Ἱστορικῆς περὶ Μεσαιωνικοῦ Ἑλληνισμοῦ, σελ. 324· ἐν Κερκύρᾳ, 1852.

[2] Ἴδε τὸν κατάλογον τοῦτον ἐν τοῖς προλεγομένοις τῶν Ἀμφιλοχ. (σελ. γ'.—ς' καὶ σελ. ξβ'). Ὅμοιον δέ, ἀλλ' ἀτελέστερον, ὡς εἰκός, καὶ παρὰ Φαβρικίῳ ἔστιν ἰδεῖν (Ἑλ. Βιβλ. Τόμ. Γ', σελ. 675—6).

[3] Εἰ καί φησιν (ἐν σελ. γ') ἀλλαχοῦ τὴν προσήκουσαν ποιήσεσθαι τοῖς Φωτιομάχοις ἀπάντησιν (καὶ εἴθε μὴ ἐπὶ πολὺ τὸ κοινωφελὲς τοῦτο ἔργον ὑπερτιθεῖτο), ἀλλ' οὖν γε πολλὰς αὐτῶν συκοφαντίας πολλαχοῦ τῶν Προλεγομένων μετὰ δικαίας ἀγανακτήσεως καὶ ἀκαταμαχήτου λογικῆς καταστρέφει.

[4] Καὶ Ἠλίας δὲ ὁ Ταναλίδης ἐν τοῖς Προλεγομένοις τοῦ Α' Τόμου τῶν Παπιστικῶν ἐλέγχων διὰ μακρῶν ἱστορεῖ τὰ κατὰ Φώτιον· ἀλλ' ἐκεῖνος μὲν μόνα τὰ περὶ τῆς Πατριαρχείας Φωτίου καὶ τῶν καλλινίκων αὐτοῦ κατὰ τῆς Παπικῆς ἀλαζονείας ἀγώνων, ὡς περὶ τούτων ὄντος αὐτῷ τοῦ λόγου, ἐν ἐκτάσει καὶ ἀκριβείᾳ ἐπραγματεύσατο· ὁ δὲ τῶν Ἀμφιλοχίων ἐκδότης πάντα τὰ κατὰ Φώτιον ἐπιμελῶς πραγματευσάμενος, πληρεστάτην παρέδωκεν ἡμῖν τοῦ πανιέρου Πατριάρχου βιογραφίαν.

Digitized by Google

τὰ προσήκοντα. Πολλοὶ γάρ τινές εἰσιν, ὥσπερ προείρηται, καὶ παντοδαποὶ οἱ περὶ ΦΩΤΙΟΥ *γράψαντες· καὶ τούτοις ἀντιτεταγμένοις καὶ ἀντιμαχομένοις, καὶ τ' ἄλλα διαφωνοῦσιν, ἕν τι τοῦτο ὑπάρχει κοινόν, τὸ τὴν εὐγένειαν καὶ τὴν μεγάλην τοῦ ἀνδρὸς σοφίαν ἀνομολογεῖν καὶ θαυμάζειν. Ὥστε καὶ ἀπὸ τῶν Φωτιομάχων αὐτῶν πολλά τις ἂν ἔχοι περὶ* ΦΩΤΙΟΥ *μαθεῖν, ὥσπερ καὶ τῷ Ἄγγλῳ Ῥοβερσῶνι ὀρθῶς εἴρηται.*[1] *Φέρε οὖν καὶ ἡμεῖς περὶ τοῦ βίου τοῦ σοφωτάτου Πατριάρχου καὶ τῶν πολυτίμων αὐτοῦ συγγραφῶν διὰ βραχέων εἴπωμεν.*

κά. Ὁ περιώνυμος καὶ φερώνυμος οὗτος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας φωστήρ, οἷον θεόθεν προωρισμένος ἕνα ὅλον αἰῶνα καταλαβεῖν, καὶ τῷ ἰδίῳ καταλαμπρῦναι ὀνόματι (τὸν γὰρ ἔννατον αἰῶνα μέχρι καὶ νῦν διακρίνοντες οἱ λόγιοι Φωτίου αἰῶνα ἀποκαλοῦσιν), ἀρχομένου μὲν τοῦ ἐννάτου αἰῶνος, ἐγεννήθη ἐν Κωνσταντινουπόλει,[2] *φθίνοντος δὲ* (891) *ἐτελεύτησε τὸν βίον. Καὶ ὁ μὲν πατὴρ αὐτοῦ Σέργιος ἐκαλεῖτο, καὶ τὴν ἀξίαν Σπαθάριος ἦν, ἡ δὲ μήτηρ Εἰρήνη, ἧς ὁ ἀδελφὸς γυναῖκα ἔσχε τὴν τῆς εὐσεβεστάτης Αὐτοκρατείρας Θεοδώρας ἀδελφήν, Εἰρήνην κἀκείνην καλουμένην.*[3] *Λέγεται δέ, καὶ ὑπ' αὐ-*

---

[1] With the exception of such information as may be gathered from his own works, our knowledge of Photius comes almost exclusively from his adversaries. The enmity of these in his own time was bitter, and his name has since been pursued by writers in the Papal interest with a rancour, which can perhaps only be paralleled by their treatment of the Protestant reformers etc. etc. (Robertson J. C. History of the Christian Church. Tom. II. p. 336—7. London, 1856)· *τοῦτ' ἔστιν·* " *Ὀλίγων τινῶν πληροφοριῶν ἐξαιρουμένων, ἃς ἐκ τῶν ἰδίων αὐτοῦ συγγραμμάτων συνάγειν ἔχομεν, πᾶσαν σχεδὸν περὶ Φωτίου πληροφορίαν ἐκ τῶν ἀντιπάλων αὐτοῦ ποριζόμεθα. Ἀλλὰ τῶν μὲν συγχρόνων αὐτῷ πικρὰ ἦν ἡ ἔχθρα, ἐν ᾗ περὶ αὐτοῦ γεγράφασιν· ἐξ ἐκείνου δὲ τὸ Φωτίου ὄνομα οὕτως ἐμπαθῶς ὑπὸ συγγραφέων Παπιστῶν προσεβλήθη, ὥστε τὰ κατ' ἐκείνου γεγραμμένα πρὸς μόνα τὰ κατὰ τῶν Διαμαρτυρουμένων Ἀναμορφωτῶν εἰσὶ παράλληλα.*" *Καὶ Σπαγγείμιος δέ, οὗ καὶ ἐν τοῖς ἔμπροσθεν* (§ *ή*) *ἐμνήσθημεν, τάδε περὶ τούτου ἐν τοῖς Ἐκκλησιαστικοῖς Χρονικοῖς λέγει·* " It must be observed that the whole of the affair respecting Photius and the See of Constantinople, is much obscured and misrepresented by the Romish writers. But the firmness and ability of Photius in his own cause in a great measure accounts for the invectives, which are so liberally bestowed upon him by writers of the Roman Catholic Church."— *τοῦτ' ἔστιν·* " *Σημειωτέον, ὅτι πάντα τὰ κατὰ Φώτιον καὶ τὴν τῆς Κωνσταντινουπόλεως Ἐκκλησίαν ὑπὸ συγγραφέων Παπιστῶν μάλιστα διεστράφησαν καὶ παρεμορφώθησαν. Ἡ δὲ Φωτίου σταθερότης καὶ ἱκανότης, ἐν ᾗ τὰ καθ' ἑαυτὸν διῴκησε, ὑπέρτερον αὐτὸν ἀνέδειξαν τῶν προσβολῶν, ἃς ἐλευθερίως πάνυ οἱ τῆς Λατινικῆς Ἐκκλησίας συγγραφεῖς ἐπεδαψίλευσαν αὐτῷ.*"— *Τοιούτους δὲ συγγραφεῖς ὑποσημειοῖ, Βαρώνιον τὸν Χρονογράφον, Λέοντα τὸν Ἀλλάτιον, καὶ Μαιμβούργιον τὸν τὴν Ἱστορίαν τοῦ σχίσματος συγγράψαντα.—Ἴδε Σπαγγειμ. Ἐκκλ. Χρον. ἔνθα ἀνωτ.*

[2] *Περὶ τὸ 820 μ. Χ. ὥς τινες λέγουσιν· ἀλλ' ἀκριβῶς τὸ τῆς γεννήσεως αὐτοῦ ἔτος παρ' οὐδενὸς ὁρίζεται. Ἴδε καὶ Ἀμφιλ. Προλεγ. σελ. στ'.*

[3] *Ἰάγερος δὲ καὶ ἄλλοι Καλομαρίαν ταύτην λέγουσιν οὐκ ὀρθῶς* (Hist. de Phot. p. 20· *ἴδε καὶ* Fleury Hist. Eccl. Tom. XI. p. 5 *καὶ* 9). *Ἡ γὰρ Καλομαρία ἄλλη ἦν ἀδελφὴ τῆς Θεοδώρας, οὐ τῷ Φωτίου θείῳ, ἀλλὰ τῷ Ἀρσαβήρ, τηνικαῦτα μὲν Πατρικίῳ, ἔπειτα δὲ καὶ Μαγίστρῳ γενομένῳ, εἰς γάμον ἐλθοῦσα. Τὸν οὖν Ἀρσαβὴρ τοῦτον οὐκ ὀρθῶς ὑπέλαβον ἀδελφὸν γενέσθαι τῆς Φωτίου μητρός· ἕτερος γὰρ ἦν οὗτος, ὡς ἱστορεῖται ἐν τῇ συνεχείᾳ τῆς τοῦ Θεοφάνους Χρονογραφίας·* " *Ἀδελφαὶ δὲ* (*τῆς Θεοδώρας*) " *τρεῖς, ἥ τε εὐφήμῳ οὕτω καλουμένη ὀνόματι Καλομαρία, καὶ Σοφία καὶ Εἰρήνη. Ἀλλ' ἡ μὲν Σοφία*

Digitized by Google

τοῦ ΦΩΤΙΟΥ ἔν τε τῇ Ἐνθρονιστικῇ ἐπιστολῇ πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Ἀρχιερατικοὺς θρόνους, καὶ ἐν τῇ πρὸς τὸν ἀδελφὸν Ταράσιον παραμυθητικῇ βεβαιοῦται,[1] ὅτι εὐσεβείᾳ διαφέροντες ἀμφότεροι αὐτοῦ οἱ γεννήτορες, τὸν μοναχικὸν ἠσπάσαντο βίον, καὶ μαρτυρικῷ ἐτελεύτησαν θανάτῳ ἐν τοῖς κατὰ τοὺς χρόνους τῆς εἰκονομαχίας διωγμοῖς. Ἀδελφοὺς δ' ἔσχε τέσσαρας, Σέργιον, ὁμώνυμον τῷ πατρί, ὃς καὶ τὸ ἀξίωμα ἐκείνου ἀπέλαβε, Σπαθάριος ὤν, καὶ Κωνσταντῖνον, Σπαθάριον καὶ τοῦτον γενόμενον, καὶ Ταράσιον, ὃς Πατρίκιος ἐτετίμητο, ἔτι δὲ Θεόδωρον· καὶ τούτους ἐκ τῶν πρὸς αὐτοὺς γεγραμμένων ΦΩΤΙΟΥ ἐπιστολῶν γινώσκομεν.[2] Τῶν δ' ἄλλων αὐτοῦ συγγενῶν ὀνομαστότατος ἐγένετο Ταράσιος ὁ Πατριάρχης Κωνσταντινουπόλεως, ὁ τοσαῦτα κατὰ τῶν εἰκονομάχων πονήσας, καὶ μάλιστα διαπρέψας ἐν τῇ Ζ' Οἰκουμενικῇ Συνόδῳ, τῇ ἐν Νικαίᾳ τὸ δεύτερον συγκροτηθείσῃ, ἐν ᾗ τῶν εἰκονομάχων κατεπολεμήθη καὶ κατετροπώθη ἡ αἵρεσις. Οὗτος δὴ οὖν ὁ Ταράσιος θεῖος ἦν Σεργίου τοῦ ΦΩΤΙΟΥ πατρός, καὶ διὰ τοῦτο πατρόθειον αὐτὸν ἀποκαλεῖ ΦΩΤΙΟΣ ἔν τε τῇ ἀπολογητικῇ πρὸς τὸν Πάπαν Νικόλαον, καὶ ἐν τῇ ἐγκυκλίῳ πρὸς τοὺς τῆς Ἀνατολῆς Ἀρχιερατικοὺς θρόνους ἐπιστολῇ.[3]

κβ'. Καὶ τοιαύτη μὲν ἡ ΦΩΤΙΟΥ γένεσις, ὄντως ἀξία τοῦ μεγάλου αὐτοῦ προορισμοῦ.[4] Ἐκ παίδων δὲ τῆς προσηκούσης τυχὼν ἐν τῇ ἰδίᾳ πατρίδι παιδεύσεως, καὶ τούς

" εἰς κοίτην ἐδίδοτο Κωνσταντίνῳ τῷ κατὰ τὸν Βαβούτζικον, ἡ δὲ Καλομαρία Ἀρσαβήρ, τῷ τηνικαῦτα μὲν " Πατρικίῳ, ἔπειτα δὲ Μαγίστρῳ, ἡ δὲ Εἰρήνη τῷ Εἰρήνης, τῆς μητρὸς τοῦ μετὰ ταῦτα τὸν Πρτριαρχι- " κὸν θρόνον ἀντιλαβομένου Φωτίου, ἀδελφῷ." (Θεοφ. Χρον. συνέχ. σελ. 174—5, ἔκδ. Βόννης). Γεώργιος δὲ ὁ Κεδρηνὸς ἐν τῇ συνόψει τῶν Ἱστοριῶν (Τόμ. Β', σελ. 161) τὰ μὲν ἄλλα ὁμοίως ἱστορεῖ· τὸν δὲ τῆς Εἰρήνης σύζυγον οὐ τὸν τῆς Φωτίου μητρός, ἀλλ' αὐτοῦ Φωτίου τὸν ἀδελφὸν Σέργιον οὐκ ὀρθῶς φησὶ γενέσθαι. Ἴσως μέντοι τὸ ἐν τῷ κειμένῳ τοῦ Κεδρηνοῦ γεγραμμένον " ἀδελφῷ τυγχάνοντι Φωτίου τοῦ μετὰ ταῦτα Πατριάρχου " ἐγέγραπτο τὴν ἀρχὴν " ἀδελφῷ τυγχάνοντι τῆς μητρὸς Φωτίου κτλ.", ἀντιγραφέως δέ τινος ἀβλεψίᾳ ἐξερρύη τοῦ κειμένου ἡ Γεν. " τῆς μητρός." Ἐκ δὲ Κεδρηνοῦ ἄλλοι τε παραλαβόντες οὐκ ὀρθῶς ἱστορήκασιν ἀδελφὸν γενέσθαι Φωτίου τὸν τῆς Εἰρήνης σύζυγον, καὶ δὴ καὶ ὁ Ἄγγλος Ῥοβερσὼν ἐν τῇ Ἱστορίᾳ αὐτοῦ, ἧς ἄρτι ἐμνήσθημεν.

[1] Ἴδε ἐπιστ. Β', § 2 καὶ ἐπιστ. ρμβ'.

[2] Δύο μόνοι λέγονται ἐν τοῖς τῶν Ἀμφιλοχίων προλεγομένοις οἱ Φωτίου ἀδελφοί, Σέργιος ὁ Σπαθάριος καὶ Ταράσιος ὁ Πατρίκιος· ἀλλ' ἐν ταῖς Φωτίου ἐπιστολαῖς καὶ οἱ λοιποὶ δύο, Κωνσταντῖνος καὶ Θεόδωρος, ἀδελφοὶ ἐπιγράφονται. Ἴδε ἐπιστ. ΙΕ' καὶ ΙΖ', ἔτι δὲ καὶ τὴν Φωτίου βιογραφίαν ἐν τῷ Σμιθίου Βιογραφικῷ Λεξικῷ (Diction. of Greek and Roman biography ect.).

[3] Ἴδε τῆς Γ' ἐπιστ. § στ' καὶ τῆς Δ' § μβ'.

[4] Α δὲ Συμεὼν ὁ Μάγιστρος ἐν τῇ χρονογραφίᾳ αὐτοῦ (σελ. 668 ἐν τῇ συνεχ. τῆς Θεοφ. χρονογρ. ἔκδ. Βόννης) περὶ τῆς Φωτίου γεννέσεως ἱστορεῖ, μύθους πλάττων καὶ τερατευόμενος, ὡς δῆθεν ἐκ πατρὸς ἐθνικοῦ τοῦ Σεργίου καὶ μητρὸς Μοναχῆς ἀποσχηματισθείσης ἐγένετο, καὶ ἄλλα πολλὰ τοιαῦτα μυθολογῶν, ταῦτα οὐχ ὅπως ὑπὸ τῶν τῆς ἀληθείας φίλων, ἀλλὰ οὐδ' ὑπ' αὐτοῦ Ἰαγέρου ἐκρίθη προσοχῆς ἄξια. Πᾶσαν γὰρ οὗτος κατὰ τοῦ ἱεροῦ Πατριάρχου γεγραμμένην ὕβριν ἐπιμελῶς σταχυολογήσας, τῶν τοῦ Συμεῶνος τούτων καὶ ἄλλων λήρων οὐδένα λόγον ἐποιήσατο. Ἐν γοῦν τῇ Ἱστορίᾳ αὐτοῦ πάντας τοὺς κατὰ Φωτίου γράψαντας εὑρήσεις εἰς μαρτυρίαν προβαλλομένους, πλὴν Συμεῶνος τουτουὶ τοῦ Μαγίστρου. Ὤφελε δ' Ἰάγερος οὕτω καὶ περὶ τῶν ἄλλων Φωτίου ἐχθρῶν σκέπτεσθαι, Νικήτα φημὶ καὶ Στυ-

Digitized by Google

τε γεννήτορας καὶ τὸν περιώνυμον αὐτοῦ πατρόθειον οἰκεῖον ἀρετῆς καὶ κατὰ Θεὸν πολιτείας παράδειγμα προστησάμενος, καὶ διὰ τὸ φιλομαθὴς πεφυκέναι, πάντα, ὡς εἰπεῖν, τά τε Ἐκκλησιαστικὰ καὶ τὰ τῶν ἔξω σοφῶν ἀνδρῶν συγγράμματα ἐκμελετήσας, καὶ πᾶσαν ὑγιαίνουσαν διδασκαλίαν ἐξ αὐτῶν ἀπανθίσας, καὶ ἔργῳ περάνας, μέγας ἐγένετο ἐπὶ σοφίᾳ καὶ ἀρετῇ, καὶ κατ' αὐτοὺς αὐτοῦ τοὺς κατηγόρους τῶν μὲν κατ' αὐτὸν πάντων ὑπέρτατος, τοῖς δὲ ἀρχαίοις σοφοῖς ἐφάμιλλος.[1] *Ἐδήλωσε δέ· οὔπω γὰρ ἐν νέοις ἐξεταζόμενος, ἀλλ' ἤδη τὴν τῶν μειρακίων παραλάσσων ἡλικίαν, ὡς αὐτός φησι πρὸς Ἀμ-*

λιανοῦ Μάπα καὶ Μητροφάνους, καὶ τῶν ἄλλων τῶν τοιούτων, ὧν ἀκρίτως πάνυ τοὺς λήρους ἀντέγραψεν, οὐδὲν τοῦ δικαίου καὶ τῆς ἀληθείας φροντίσας.—Ἴδε περὶ τοῦ λήρου τούτου Συμεῶνος καὶ Ἀμφιλ. προλεγ. σελ. στ'. καὶ ζ'—ή.

[1] *Πρώτιστος πάντων ὁ πάντων ἐμπαθέστατος Φωτίου ἐχθρὸς καὶ ἀκριτόμυθος ὑβριστής, Νικήτας Δαβὶδ ὁ Παφλαγών, τάδε περὶ τῆς γενέσεως καὶ σοφίας αὐτοῦ μαρτυρεῖ λέγων· "Ἦν δὲ Φώτιος "οὐ τῶν ἀγενῶν τε καὶ ἀνωνύμων, ἀλλὰ καὶ τῶν εὐγενῶν κατὰ σάρκα καὶ περιφανῶν· σοφίᾳ τε κο- "σμικῇ καὶ συνέσει τῶν ἐν τῇ πολιτείᾳ στρεφομένων εὐδοκιμώτατος πάντων ἐνομίζετο. Γραμματικῆς "μὲν γὰρ καὶ ποιήσεως, ῥητορικῆς τε καὶ φιλοσοφίας, ναὶ δὴ καὶ ἰατρικῆς, καὶ πάσης ὀλίγου δεῖν ἐπι- "στήμης τῶν θύραθεν τοσοῦτον αὐτῷ τὸ περιττόν, ὡς μὴ μόνον, σχεδὸν φάναι, τῶν κατὰ τὴν αὐτοῦ "γενεὰν πάντων διενεγκεῖν, ἤδη δὲ καὶ πρὸς τοὺς παλαιοὺς αὐτῶν διαμιλλᾶσθαι. Πάντα γὰρ συνέ- "τρεχεν ἐπ' αὐτῷ, ἡ ἐπιτηδειότης τῆς φύσεως, ἡ σπουδή, ὁ πλοῦτος, δι' ὃν καὶ βίβλος ἐπ' αὐτὸν ἔρρει "πᾶσα, πλέον δὲ ταύτης ὁ τῆς δόξης ἔρως, δι' ὃν αὐτῷ καὶ νύκτες ἄϋπνοι, περὶ τὴν ἀνάγνωσιν ἐμμε- "λῶς ἐσχολακότι." (Νικήτας ἐν βίῳ Ἰγνατίου). Ἀλλ' ὅμως, ὃν εὐγενῆ καὶ πάνσοφον καὶ συνετὸν ὁμολογεῖ γενέσθαι, τοῦτον ὁ φιλόσοφος Ἀρχιερεὺς οὐκ ὤκνησε θηρίον αὐτόχρημα παραστῆσαι, οὕτως ἐμπαθῶς καὶ διὰ τοσαύτης πικρίας συκοφαντῶν καὶ καταψευδόμενος αὐτοῦ, ὥστε παρὰ πάντων τῶν τῆς ἀληθείας φίλων δικαίως κατακρίνεσθαι. Ἴδε τὰ περὶ τούτου ἐν τοῖς ἔμπροσθεν (§ β'). Ἐν δὲ τοῖς ἑξῆς ("Μαρτυρίαι περὶ Φωτίου") καὶ τοὺς ὑπ' ἄλλων Φωτιομάχων εἰς τὴν σοφίαν αὐτοῦ ἀπονεμομένους ἐπαίνους ἰδεῖν ἐστιν. Ὀρθῶς ἄρα οἵ τε ἄλλοι τῶν περὶ Φωτίου γραψάντων αὐτοὺς τοὺς Φωτιομάχους εἰς μαρτυρίαν προβάλλονται, καὶ δὴ καὶ Γίββων ὁ Ἱστορικὸς ἐν οἷς λέγει· "By the confession even of priestly hatred, no art or science, except poetry, was foreign to this universal scholar, who was deep in thought, indefatigable in reading, and eloquent in diction." (History of the decline and fall of the Roman Empire. Tom. VII. p. 128. London, 1848)· τοῦτ' ἔστιν· "Κατ' αὐτὴν τῶν Φωτιομάχων Κληρικῶν τὴν ὁμολογίαν, οὐδεμία μάθησις, οὐδεμία ἐπιστήμη, μόνης ἐξαιρουμένης τῆς ποιήσεως,* ἀλλοτρία ἦν τῷ πανσόφῳ τούτῳ ἀνδρί. Ἦν γὰρ κρίνειν μὲν βαθύνους, ἀναγινώσκειν δ' ἀκάματος, λέγειν δὲ ῥητορικός." Αὐτὰ δὲ ταῦτα καὶ ὁ τὴν Ἱστορίαν τῆς νεωτέρας Ἑλλάδος συγγράψας, ὁ πολυμαθὴς Ἄγγλος Ἰάκωβος Ἐμ. Τέννεντος περί τε Νικήτα καὶ τῶν ὁμοίων αὐτῷ φησίν· "The character of Photius has been assailed with all the venom of priestly hatred; but notwithstanding their bitterest revilings, his opponents have admitted that he was a proficient in every science and accomplishment of the age, and that, in vastness of intellect and profundity of knowledge, he left his most exalted rivals immeasurably behind etc. etc." (Hist. of modern Greece, etc. by Sir James Emerson Tennent, etc. Tom. II p. 116—7)· τοῦτ' ἔστιν· "Κατὰ τοῦ χαρακτῆρος τοῦ Φωτίου ἅπαν ἐπεχύθη τοῦ ἱερατικοῦ μίσους τὸ δηλητήριον. Ἀλλὰ καὶ πικρότατα κατ' αὐτοῦ βλασφημήσαντες οἱ ἀντίπαλοι, οὐκ ἠρνήσαντο, ὅτι πάσης μὲν γνώσεως καὶ ἐπιστήμης τοῦ αἰῶνος αὐτοῦ ἐγκρατέστατος ἐγένετο, τῇ δὲ νοημοσύνῃ καὶ βαθυνοίᾳ ὡς ὑπέρτατος τῶν ἐξοχωτάτων ἀντιπάλων αὐτοῦ." Ἴδε περὶ τούτου καὶ τὴν Φωτίου βιογραφίαν ἐν τῷ Σμιθίου Βιογραφ. Λεξικῷ.

* Ὅμως δὲ φέρονται τοῦ πανσόφου τούτου ἀνδρὸς καὶ ᾠδαί τινες.

Digitized by Google

φιλόχιον γράφων, τὸν ἠγαπημένον αὐτῷ Μητροπολίτην Κυζίκου,[1] συνέταξε τὸ μέχρι καὶ νῦν (ἐλλιπὲς ὅμως ἐν ἀρχῇ μάλιστα καὶ ἐν τέλει) σωζόμενον Λεξικόν, τὸ συνήθως ἐπιγραφόμενον — "Φωτίου τοῦ Πατριάρχου λέξεων συναγωγή" — περὶ οὗ ἐν οἰκείῳ τόπῳ εἰρήσεται τὰ προσήκοντα. Τὴν δ' ἄλλην αὐτοῦ περὶ τοὺς λόγους ἀκόρεστον διατριβήν, καὶ μάλιστα τὴν τῶν θείων Γραφῶν μελέτην,[2] καὶ τὴν μετὰ τῶν οἰκείων καὶ φιλων ἐν τοῖς λόγοις συνουσίαν, οὐ μόνον ἐκ τῶν πολλῶν καὶ πολυτίμων αὐτοῦ συγγραμμάτων καὶ μάλιστα τῆς Μυριοβίβλου, οἷόν τ' ἐστι γινώσκειν καὶ θαυμάζειν, ἀλλὰ καὶ ἐξ ὧν πρὸς τὸν Πάπαν Νικόλαον ἔγραφεν, ἐπὶ τῇ ἀπωλείᾳ κατοδυρόμενος τῆς εἰρηνικῆς ἐκείνης ζωῆς, ἐν ᾗ διῆγε τοῖς οἰκείοις καὶ φίλοις συνδιαλεγόμενος καὶ συνθεολογῶν καὶ συμφιλοσοφῶν, καὶ ἥσπερ ἀποσπασθείς, ἄκων τε καὶ ἑλκόμενος ἐπὶ τὸν Πατριαρχικὸν ἀνεβιβάσθη θρόνον. "Ἐξέπεσον (λέγει) εἰρηνικῆς ζωῆς· ἐξέπεσον γαλήνης γλυ- "κείας· ἐξέπεσον δὲ καὶ δόξης (εἴπέρ τισι καὶ κοσμικῆς δόξης ἔφεσις)· ἐξέπεσον τῆς "φίλης ἡσυχίας, τῆς καθαρᾶς ἐκείνης καὶ ἡδίστης μετὰ τῶν πλησίον συνουσίας, τῆς ἀ- "λύπου καὶ ἀδόλου καὶ ἀνεπιλήπτου συναναστροφῆς. . . . . Ἀλλὰ πῶς οἷόν τέ ἐστιν "ἀδακρυτὶ ταῦτα παρελθεῖν; Οἴκοι μὲν γὰρ μένοντι ἡ χαρίεσσα τῶν ἡδονῶν περιεπλέ- "κετο τέρψις, τῶν μανθανόντων ὁρῶντι τὸν πόνον, τὴν σπουδὴν τῶν ἐπερωτώντων, τὴν "τριβὴν τῶν προσδιαλεγομένων, δι' ὧν ἡ πρὸς τὸ ῥᾷστα παράγεσθαι καταρτίζεται γνώ- "μη, τῶν ταῖς μαθηματικαῖς σχολαῖς λεπτυνομένων τὴν διάνοιαν, τῶν ταῖς λογικαῖς με- "θόδοις ἰχνευόντων τὸ ἀληθές, τῶν τοῖς θείοις λογίοις ἰθυνομένων τὸν νοῦν πρὸς εὐσέβει- "αν· ὃ τῶν ἄλλων ἁπάντων ὑπάρχει πόνων ὁ καρπός. Τοιοῦτος γὰρ χορὸς τῆς "ἐμῆς οἰκίας ἦν ὁ χορός κ.τ.λ."[3]

κγ'. Τοιοῦτος δὴ ὢν κατά τε τὸ γένος καὶ τὴν σοφίαν καὶ ἀρετὴν ὁ ἀοίδιμος ΦΩΤΙΟΣ, μεγάλων, ὡς εἰκός, ἀπήλαυσε τιμῶν ἐν τῇ τοῦ Βυζαντίου Αὐλῇ, καὶ ταχέως ἐπὶ τὰ μέγιστα τῶν ἀξιωμάτων προήχθη, πρεσβευτὴς εἰς Ἀσσυρίαν ἀποσταλείς (ἔνθα καὶ τὴν περιώνυμον συνέγραψε Βιβλιοθήκην, τὴν καὶ ἄλλως Μυριόβιβλον καλουμένην, προθύμως τῷ ἀδελφῷ Ταρασίῳ ὑπηρετήσας, ἐξαιτησαμένῳ γράψαι τὰς ὑποθήκας ὧν ἀνέγνω βιβλίων, καὶ τοῦτο θαυμασίως πάνυ ἀπὸ μόνης μνήμης ἐξεργασάμενος), καὶ Πρωτοσπαθάριος

---

[1] Ἀμφιλοχ. Ζήτ. ΚΑ', σελ. 35 τῆς Οἰκον. ἐκδ.

[2] Πᾶσαν ὑπερηκόντισεν ἀναίδειαν Νικήτας ὁ Παφλαγών, ἐν οἷς φησὶ Φώτιον ὀψέ ποτε τῆς τῶν Ἐκκλησιαστικῶν βιβλίων ἀναγνώσεως ἐπιμεληθῆναι. "Ἐπεὶ δὲ (λέγει) καὶ πρὸς τὴν Ἐκκλησίαν αὐτήν, "ὡς μὴ ὤφειλεν, ἐπεισελθεῖν ἔδει, καὶ τῶν Ἐκκλησιαστικῶν διὰ τοῦτο βιβλίων τῆς ἀναγνώσεως οὐ "κατὰ πάρεργον ἐπεμελήθη." Μέγα δὲ κατὰ τῆς φλυαρίας ταύτης ἵσταται τρόπαιον ἥ τε ἐν τοῖς Ἀμφιλοχίοις καὶ ἐν ταῖς ἐπιστολαῖς καὶ ἐν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασι διαλάμπουσα Ἐκκλησιαστικὴ σοφία, μάλιστα δὲ ἡ ἐν τῇ Μυριοβίβλῳ, ἣν πολλῷ πρὸ τοῦ πατριαρχεῦσαι, μακρὰν τῆς πατρίδος καὶ τῶν βιβλιοθηκῶν, καὶ ἀπὸ μόνης μνήμης ἔγραψεν, ἔτι ἐν Ἀσσυρίᾳ πρεσβεύων.—Ἴδε περὶ τούτου καὶ τὴν Φωτίου βιογρ. ἐν τῷ Σμιθίου Λεξικῷ· ἔτι δὲ καὶ Παπιστικῶν ἐλέγχων Προλεγ. ἐν Τόμ. Α', σελ. ις'—ιζ'.

[3] Ἴδε Ἐπιστ. Γ', § ά καὶ β'.

Digitized by Google

καὶ Πρωτοασηκρῆτις ἀποδειχθείς,[1] ἐπὶ δὲ τούτοις καὶ πρῶτος τῶν Συγκλητικῶν. Οὐ μὴν διὰ ταῦτα τῆς μετὰ τῶν οἰκείων καὶ φίλων σπουδαίας συνδιατριβῆς καὶ τῆς τῶν λόγων μελέτης ἀπεκωλύετο· ἀλλὰ τὴν ἀπὸ τῶν πολιτικῶν σχολὴν εἰς τὴν τῶν λόγων κατηνάλισκε μελέτην, ὡς αὐτὸς αὖθις πρὸς Νικόλαον τὸν Πάπαν ἔλεγεν· "Ἦν γάρ μοι καὶ τοῦτο γέρας
" ἀφωσιωμένον ἐξαίρετον, τὸ μέτρον ἔχειν τὴν βούλησιν τῆς ἐν τοῖς βασιλείοις διατριβῆς.
" Ἐπανιόντι δὲ πάλιν πρὸ τῶν πυλῶν ἱστάμενος ὁ σοφὸς ἐκεῖνος ὑπήντα χορός· ἐξ ὧν
" οἱ μὲν ἐνεπάλουν τὴν βραδύτητα, οἷς καὶ θαῤῥεῖν τι τῶν ἄλλων πλέον δι' ὑπερβολὴν

---

[1] Σπαθάριοι μὲν ἐκαλοῦντο οἱ τὴν Αὐτοκρατορικὴν ἀποτελοῦντες φρουράν· ὅθεν Πρωτοσπαθάριος ἦν ὁ τῆς φρουρᾶς ταύτης ἄρχων. Πρωτοασηκρῆτις δὲ λέξις ἐστὶν ἀνάμικτος ἐκ τοῦ Ἑλληνικοῦ πρῶτος καὶ τοῦ Λατινικοῦ a secretis, τὸν πρῶτον ἐν τοῖς σεκρέτοις τοῦ Ἡγεμόνος σημαίνουσα, καὶ ὡς ἄν τις εἴποι πᾶσαν ἐξελληνίζων τὴν λέξιν, "πρῶτον τῶν ἐξ ἀπορρήτων" ἢ "πρῶτον τῶν μυστικῶν συμβούλων." Ἴδε Κ. Κουρουπαλάτου "Περὶ τῶν ὀφφικίων τοῦ παλατίου Κωνσταντινουπόλεως" σελ. 36 καὶ 38, ἔκδ. Βόννης, καὶ τὰς ἐν αὐτῷ σημειώσεις τοῦ Γρετσέρου καὶ Γοαρίου σελ. 142 καὶ 241.— Οὕτως ἡ εὐφωνοτάτη καὶ χαριεστάτη τῶν ὑπ' οὐρανὸν λαλουμένων γλωσσῶν, ἡ γλῶσσα τοῦ Πλάτωνος καὶ Ξενοφῶντος, ἐκ τῆς οἰκείας ἑστίας φυγαδευθεῖσα, καὶ πολλοὺς παθοῦσα μετασχηματισμοὺς ἔν τε Αἰγύπτῳ καὶ Ἀσίᾳ, ἐσχάτην ἔπαθε καταστροφὴν ἐν Βυζαντίῳ, πολλοὺς προσλαβοῦσα τὸ πρῶτον Λατινισμούς, ἔπειτα δὲ καὶ Ἰταλισμοὺς καὶ Τουρκισμούς, ἕως διεφθάρη εἰς τὸ παντελές, ὡς ποταμὸς καλλίῤῥοος, ἐν μὲν ταῖς πηγαῖς καὶ τῇ καθ' ἑαυτὸν ῥοῇ διαυγέστατα ἔχων τὰ νάματα, ἔπειτα δέ, παντοίων ῥυάκων ἐπιμιγνυμένων αὐτῷ, καταθολούμενος καὶ καταῤῥυπούμενος. Χάρις δέ, καὶ χάρις ἔστω μεγίστη, τῇ πανσέπτῳ ἡμῶν μητρὶ καὶ τροφῷ, τῇ Ὀρθοδόξῳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἐν ᾗ, ὡς ἐν θεοπήκτῳ κιβωτῷ, ἥ τε ὀρθόδοξος ἡμῶν πίστις καὶ ἡ ὀρθόφθογγος ἡμῶν γλῶσσα διετηρήθησαν ἡμῖν ἀπό τε τῶν ἄλλων καὶ ἀπὸ τοῦ μεγάλου βαρβαρικοῦ κατακλυσμοῦ, ὡς ἄλλοι τε πολλοί, καὶ ὁ ἐν μακαρίᾳ τῇ λήξει Ἰάκωβος Ῥίζος ὁ Νερουλὸς ἐν τῇ ἀξιολόγῳ αὐτοῦ "Περὶ τῆς νεωτέρας Ἑλληνικῆς φιλολογίας" πραγματείᾳ φησίν· "Les titres de tous les dignitaires de la nouvelle Rome étaient en langue Latine; les termes de jurisprudence l'étaient aussi. La Cour, les fonctionnaires publiques, les militaires, la haute societé, affectaient de parler la langue des dominateurs; celle des Grecs courait risque de se corrompre totalement *par la bigarrure difforme du Grec et du Latin.* Mais l'Eglise d'Orient, toujours libre, toujours au-dessus des vicissitudes politiques, conservait la langue originale des Saints Evangiles. C'est du sein de l'Eglise d'Orient que sont sortis les modèles de l'éloquence de la chaire, les Basile, les Grégoire, les Cyrille, et les Chrysostome. Ces Pères de l'Eglise Grecque, en prechant la morale Evangélique, maniaient la langue des anciens auteurs Grecs, et du haut de la chaire chrétienne, ne voyant dans tout leur auditoire, que des frères en Jesus, ils nivelaient les riches et les pauvres, les faibles et les puissants, les fils des Princes entourés de satellites, et les orfelins délaissés. La langue Grecque allait reprendre une partie de sa force et de sa pureté, quand un essaim de sectaires s'éleva de toute part, et couvrit l'orizon de l'Eglise. On cessa alors de prêcher au peuple la morale et les devoirs de l'homme en societé; on discuta en chaire sur les matières theologiques, et l'on réfuta les novateurs hérésiarques, qui semblables à l'hydre, se multipliaient sous les coups. Le peuple n'entendant rien au langage obscur de ces continuelles abstractions, ne pouvait tirer aucun profit de la chaire, seule alors capable de populariser la langue. Ainsi le peuple Grec, corrompant journellement sa langue par le melange des idiomes, l'altéra d'une manière sensible dès le temps même de Justinien. — Cours de Litterat. Grec. moderne, par Jacobaky Rizo Nerulos, p. 16—17. Genève 1827. — Ἴδε καὶ Κ. Ἀσωπίου τὸν Πρόλογον ἐν τῇ Ἱστορ. τῶν Ἑλλ. ποιητ. καὶ συγγρ. σελ. ρκβ' κ. ἑξ., ἔτι δὲ καὶ τὰς περὶ γλώσσης ἀξιολόγους ἐρεύνας καὶ κρίσεις τοῦ Σπυρίδωνος Ζαμπελίου ἐν τοῖς προλεγομένοις τῶν ὑπ' αὐτοῦ ἐκδεδομένων Δημοτικῶν ἀσμάτων τῆς Ἑλλάδος, μάλιστα δὲ τὸ ΝΘ' κεφάλαιον· καὶ Histoire de la Littérature Grecque profane, par M. Schoel. Sec. ed. Tom. VI. p. 30—32.

Digitized by Google

" ἀρετῆς ἐκεχάριστο· τισὶ δὲ καὶ προσειπεῖν ἤρκει· ἄλλοις δὲ καὶ τὸ δεῖξαι μόνον ὅτι " μεμενήκασι· καὶ τοῦτο κύκλῳ ἐγίνετο, οὐκ ἐπιβουλαῖς λυόμενον, οὐκ ὀλιγωρίᾳ μα- " ραινόμενον. Καὶ τίς ἂν τοιούτου βίου παθὼν ἐπανάστασιν, ἐκὼν τὴν μεταβολὴν καὶ " θρήνων ἐκτὸς ὑπενέγκοι; Τούτων ἁπάντων ἐξέπεσον· ὑπὲρ τούτων ὠδυρόμην· τού- " των ἀποσπωμένῳ πηγαὶ δακρύων ἀνεστομοῦντο, καὶ λύπης ἀχλὺς περιεκέχυτο." [1] Ἀπὸ δὲ τῶν πρωτίστων τούτων, ἐν οἷς διέπρεπε, τῆς πολιτείας ἀξιωμάτων ἄκων ἀποσπασθείς, ἐπὶ τὸν Πατριαρχικὸν ἀνεβιβάσθη θρόνον, ὡς λύχνος μὲν πολύφωτος ἐπὶ τὴν λυχνίαν τεθείς, καὶ τὸ φῶς αὐτοῦ κατὰ τὴν τοῦ Κυρίου ἐντολὴν ἔμπροσθεν τῶν ἀνθρώπων καταλάμψας, ὡς καλὸς δὲ στρατιώτης Ἰησοῦ Χριστοῦ κακοπαθήσας, καὶ γενναίως καταπολεμήσας τὸν ἐκ τῆς Ῥώμης ἐπιμανέντα θῆρα, ὡς εἶπεν ὀρθῶς ὁ Ῥῶσσος θεολόγος Θεοφάνης ὁ Προκοποβίκιος.[2] Τοὐντεῦθεν οὖν ἄρχονται οἱ ἔνδοξοι αὐτοῦ καὶ καλλίνικοι ὑπὲρ τῆς Ὀρθοδοξίας ἀγῶνες, καὶ οἱ διωγμοί, καὶ αἱ κακώσεις, καὶ οἱ ἐκ Ῥώμης ἀναθεματισμοί, δι' οὓς ἀκηράτου δόξης στεφάνοις ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐστεφάνωται, εἴπερ οἱ στέφανοι ἐκεῖνοι τῶν ὑπὲρ Πίστεως νομίμως ἀθλούντων εἰσίν, ὡς ὁ θεηγόρος εἶπε Παῦλος.[3]

κδ'. Ἀποθανόντος γὰρ Μεθοδίου τοῦ Πατριάρχου Κωνσταντινουπόλεως, τοῦ δι' εὐσέβειαν μαρτυρικὰς ὑποστάντος βασάνους ὑπὸ τοῦ εἰκονομάχου Αὐτοκράτορος Θεοφίλου, μετὰ δὲ τὸν ἐκείνου θάνατον ὑπὸ τῆς εὐσεβοῦς Θεοδώρας ἐπὶ τὸν Πατριαρχικὸν ἀναβιβασθέντος θρόνον,[4] Ἰγνάτιος ὁ ἀπὸ τῶν Αὐτοκρατόρων ἕλκων τὸ γένος (ἦν γὰρ υἱὸς Μιχαὴλ τοῦ Α' τοῦ ἐπικαλουμένου Κουρουπαλάτου καὶ Ῥαγκαβέ), ἐπί τε εὐσεβείᾳ καὶ ἀρετῇ κλεϊζόμενος, Πατριάρχης ἀνηγορεύθη Κωνσταντινουπόλεως ἐν μηνὶ Μαΐῳ τοῦ 846 ἔτους. [5]Ἦν δέ, ὡς ἔοικεν, ὁ Ἰγνάτιος τὰ μὲν ἄλλα ἀγαθός, καὶ δι' εὐσέβειαν μάλιστα πολλῶν ἄξιος ἐπαίνων, ὑπεροπτικὸς δὲ διὰ τὴν εὐγένειαν, καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐπιτιμητής. Διὸ καὶ πολλοῖς τῶν τε ἐκ τοῦ κλήρου καὶ τῶν ἐν τέλει, τὴν εἰς τὸν Πατριαρχικὸν θρόνον ἀνάβασιν αὐτοῦ ὡς παράνομον κατακρίνουσι,[5] βαρύς τις ἐδείκνυτο καὶ ἀλαζονικός, τῇ τε ἰδίᾳ σεμνυνόμενος εὐγενείᾳ, καὶ τῇ Αὐτοκρατορικῇ προστασίᾳ μάλιστα θαῤῥῶν, καὶ διὰ ταῦτα τῶν ἀντικειμένων αὐτῷ πάντων ἀδεῶς καταφρονῶν. Ἐκ τούτου δὲ καὶ Γρηγόριον τὸν ἐπικαλούμενον Ἀσβεστᾶν, Συρακουσῶν δὲ ὄντα Ἐπίσκοπον, χαλεπῶς ἐξύβρισε, τῆς ἱερουργίας αὐτὸν ἀποστήσας, καὶ τὴν Ἀρχιερατικὴν ἡμφιεσμένον στολὴν ἐξελάσας τῆς Ἐκκλησίας, ὅτε, τῆς χειροτονίας αὐτοῦ τελουμένης, παρεγένετο καὶ οὗ-

---

[1] ἔνθ. ἀνωτ. § β'.

[2] Ἴδε ἀνωτ. § ή.

[3] Παύλ. Β' πρὸς Τιμόθ. ἐπιστ. Β', 5.

[4] Ἴδε τὰ περὶ Μεθοδίου ἐν τῇ συνεχείᾳ τῆς Θεοφ. χρονογρ. σελ 151, καὶ ἐν τοῖς βίοις τῶν νέων Βασιλέων ὑπὸ Γεωργ. Μοναχοῦ (σελ. 811—4)· ἔτι δὲ καὶ ἐν τῇ Μελετίου Ἐκκλ. Ἱστορ. Τόμ. Β', σελ. 263 καὶ 273.

[5] Ἴδε τὰ περὶ τούτου ἐν τοῖς ἑξῆς (§ λβ').

Digitized by Google

τος, ὡς τοῖς ἄλλοις τῶν Ἐπισκόπων συνιερουργήσων.[1] Διὰ δὴ ταῦτα ὅ τε Γρηγόριος καὶ τῶν ἄλλων κληρικῶν πολλοί τε καὶ διάσημοι, ἔτι δὲ καὶ τῶν ἐν τέλει οἱ πρὸς τὴν Αὐτοκράτειραν Θεοδώραν δυσμενῶς διακείμενοι, κατεβόων τοῦ Ἰγνατίου, καὶ πάντων μάλιστα ὁ Καῖσαρ Βάρδας, ὁ τῆς Θεοδώρας ἀδελφός, ἀνὴρ πολεμικὸς καὶ δραστήριος,

---

[1] Γρηγόριος ὁ Ἀσβεστᾶς, Συρακουσῶν Ἐπίσκοπος, ἐν Κωνσταντινουπόλει διέτριβε τότε παρὰ τῷ χειροτονήσαντι αὐτὸν Πατριάρχῃ Μεθοδίῳ, ἐξ ἀνάγκης, διὰ τὴν τῶν Σαρακηνῶν εἰς Σικελίαν εἰσβολήν, τὸν ἑαυτοῦ θρόνον καταλιπών. Ἐτύγχανε δὲ καὶ τοῖς τότε Πάπαις διαφερόμενος, ἅτε τὰς ἐν Ἰταλίᾳ καὶ ταῖς παρακειμέναις χώραις αὐθαιρέτους ἐκείνων πράξεις οὐκ ἐπαινῶν (Ἴδε περὶ τούτου Παπιστ. ἐλέγχ. Προλεγ. ἐν Τόμῳ Α', σελ. ιγ'—ιδ'). Ὡς οὖν Ἰγνάτιος ἔμελλε Πατριάρχης χειροτονηθῆναι, τῷ τε Πάπα χαριζόμενος, ὡς ἔοικε, καὶ αὐτὸν δὴ τιμωρούμενος τὸν Γρηγόριον, ὅτι τοῖς τὴν ἐκλογὴν αὐτοῦ κατακρίνουσι συνετέτακτο, τοιαύτην αὐτῷ ἐποίησε τὴν ὕβριν, τῆς ἱερουργίας ἀποστήσας, καὶ τῆς Ἐκκλησίας ἤδη τὴν Ἀρχιερατικὴν ἡμφιεσμένον στολὴν ἀποπέμψας, οὐδὲν αὐτῷ πρότερον εἰπών, οὐδ' ἀπαγορεύσας μὴ παρεῖναι τῇ χειροτονίᾳ αὐτοῦ. Ἦ καὶ μάλα δικαίως ὅ τε Γρηγόριος καὶ ἄλλοι τῶν Ἐπισκόπων, οἱ διὰ τοῦτο κληθέντες Γρηγοριανοί, κατεβόων τοῦ Ἰγνατίου. Ὅτι δὲ δικαίως κατεβόων, καὶ Νικήτας αὐτὸς ὁ τοῦ Ἰγνατίου ἐγκωμιαστὴς μαρτυρεῖ, τάδε περὶ τούτου λέγων· "Τοῦτο ὁ Πατριάρχης ἐν πρώ- "τοις, οὐ καλῶς μέν, ὥς γε δοκοῦν τοῖς πολλοῖς, πέπραχε δ' οὖν ὅμως ἐν "δικαιοσύνῃ." Ἀλλὰ πῶς ἐν δικαιοσύνῃ τοῦτο πέπραχεν ὁ Πατριάρχης, ὅτε κατὰ τὴν τῶν πολλῶν κρίσιν οὐ καλῶς πέπραχεν; Οὐ γὰρ ἄν τις εἴποι μὴ οὐκ εἶναι καλὸν τὸ ἐν δικαιοσύνῃ πραττόμενον, ἀλλὰ καλόν, καὶ κάλλιστον, καὶ Θεῷ καὶ ἀνθρώποις ἀρεστόν· τὸ δ' ἐν ἀδικίᾳ πραττόμενον καὶ κακόν, καὶ κάκιστον, καὶ πᾶσι μεμπτόν. Εἰ τοίνυν ἐδόκει τοῖς πολλοῖς (ἦσαν δὲ οὗτοι τῶν Ἀρχιερέων τὸ ἐπισημότερον, ὡς αὐτός φησιν ὁ Νικήτας) οὐ καλῶς πεπράχθαι τῷ Ἰγνατίῳ τὴν τοῦ Γρηγορίου ἀποβολήν, ἄδικος ἄρα ἦν αὕτη καὶ κατακριτέα. Ὡς δὲ ταῦτα οὕτως εἶχεν, αὐτὸς Ἰγνάτιος δι' ὧν ἔπραξεν ἔπειτα τρανῶς ἐμαρτύρησεν, ὅτε τὸν Γρηγόριον παντὶ σθένει ἐδυσωπεῖτο, καὶ δικαίως κατὰ τῆς γενομένης αὐτῷ ἀδικίας κατακραυγάζοντα ἐπειρᾶτο πραΰνειν, ὡς αὐτὸς πάλιν ὁ Νικήτας ἱστορεῖ λέγων· "Ἐν ὅλοις μὲν "οὖν ἕνδεκα χρόνοις τῆς πρώτης αὐτοῦ Πατριαρχείας ὁ Ἰγνάτιος ἀποπειρώμενος, πᾶσαν δὲ δωρεῶν προ- "τεινόμενος φιλοτιμίαν, οὐχ' οἷός τε ἐγένετο τὴν τοῦ Ἀσβεστᾶ κακίαν κατασβέσαι." Δῆλον οὖν ἐκ τούτων τῶν Νικήτα λόγων, ὡς Ἰγνάτιος αὐτὸς ἐπὶ τοῖς πεπραγμένοις μεταμελούμενος, οὐκ ἐν δικαιοσύνῃ ταῦτα πεπράχθαι ἀνωμολόγει· "αἰσχρὸν γὰρ ἡ μετάνοια ποιεῖ καὶ τὸ καλῶς πεπραγμένον· ἡ δ' ἐξ ἐπιστήμης ὡρμημένη καὶ λογισμοῦ προαίρεσις, οὐδ' ἂν πταίσωσιν αἱ πράξεις, μεταβάλλεται," λέγει ὁ μέγας ἐκ Χαιρωνείας φιλόσοφος (ἐν βίῳ Τιμολέοντος § 6). Ὅθεν δὴ καὶ δωρεαῖς, καὶ οὐχ ἁπλῶς δωρεαῖς, ἀλλὰ πᾶσαν δωρεῶν προτεινόμενος φιλοτιμίαν, πραΰνειν ἐπειρᾶτο τὸν δικαίως κατ' αὐτοῦ κατακραυγάζοντα Γρηγόριον. Ὡς δ' οὐκ ἔπειθε τὸν ἄνθρωπον, φιλότιμον ὄντα, καὶ οὐδεμίαν δωρεὰν ἱκανὴν ἡγούμενον εἶναι τὴν μεγίστην ἐκείνην ὕβριν θεραπεῦσαι, ἄκριτον καὶ ἀναίτιον ὅλως τῆς Ἐπισκοπικῆς ἀξίας καθαιρεῖ. Οὐδὲν γὰρ αὐτοῦ παρ' οὐδενὸς ὁρίζεται ἔγκλημα· ἀλλὰ Νικήτας μὲν φησὶν "ἐπ' ἐγκλήμασί τισι κατηγορεῖσθαι αὐτόν," οἱ δὲ μετὰ Νικήταν πάντες, ἐν οἷς καὶ οἱ νεώτατοι Ἰάγερός τε καὶ Τόστης, οὕτω γενικῶς λέγουσι "βαρείας αὐτῷ ἐπικεῖσθαι αἰτίας," οὐδεμίαν δὲ τοιαύτην κατονομάζουσιν. Ἔπειτα δὲ τὴν ἄδικον ταύτην καθαίρεσιν, οἷον ἐπισημοτέραν ποιούμενος ὁ Ἰγνάτιος, εἰς Ῥώμην ἀπέστειλε κυρωθησομένην. Οὐ μέντοι ἐπεκύρωσεν αὐτὴν οὔτε Λέων ὁ Δ', οὔτε Βενέδικτος ὁ Γ', ὁ τὸν Λέοντα διαδεξάμενος, καθάπερ ἄλλοι τε καὶ Ἰάγερος αὐτὸς μετὰ Φλευρῆ μαρτυροῦσιν, ἐκ μετριοφροσύνης τῶν Παπῶν λέγοντες μὴ κυρωθῆναι τὴν καθαίρεσιν!!! (Fleury Hist. Eccl. Tom. XI. p. 6 καὶ 491.—Jager Hist. de Photius, p. 7). Ἴδε καὶ Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 274.— Μετὰ δὲ τὴν Ἰγνατίου ἔκπτωσιν, ὑπὸ τῆς Συνόδου τῶν Ἀρχιερέων, τῆς τὸν Φώτιον ἐκλεξαμένης Πατριάρχην, ἀπολυθεὶς τῆς καθαιρέσεως ταύτης ὁ Γρηγόριος (εἰ καὶ παρανόμως καθῄρητο), καὶ τὴν Ἐπισκοπικὴν ἀναλαβὼν ἀξίαν, ἐχειροτόνησε τὸν Φώτιον, ὡς ἐν τοῖς ἑξῆς εἰρήσεται ἐκτενέστερον.

Digitized by Google

ἅμα δὲ καὶ τῶν γραμμάτων φίλος καὶ θερμότατος προστάτης· ὃς τῷ νεανίσκῳ Μιχαὴλ μάλιστα προσκείμενος, καὶ τούτου προστατεύων, περὶ πολλοῦ ἐποιεῖτο τὴν βασιλεύουσαν μητέρα τῶν πραγμάτων ἀποστῆσαι, ὅπως, ἐκείνης ἐκποδὼν γενομένης, αὐτὸς διὰ τοῦ νεανίσκου Αὐτοκράτορος πάντα διέποι κατ' ἀρέσκειαν. Τοῦτον δὴ οὖν τὸν Βάρδαν, οὕτω πρὸς τὴν ἰδίαν ἀδελφὴν ἀντιπολιτευόμενον, δεύτερον μετὰ Γρηγόριον τὸν Ἀσβεστᾶν δημοσίᾳ Ἰγνάτιος ἐξύβρισεν, ἀνάξιον αὐτὸν κηρύξας τῆς τῶν θείων μυστηρίων κοινωνίας, ὅτι τὴν ἰδίαν ἀποπέμψας γυναῖκα τῇ ἑαυτοῦ συνῴκει νύμφῃ, ἤδη τετελευτηκότος αὐτῷ τοῦ υἱοῦ.[1] Οὐ μόνον δέ, ἀλλὰ καὶ προσερχόμενον μετὰ ταῦτα, καὶ δυσω-

---

[1] Ταύτην Ἰγνατίου τὴν πρᾶξιν ἱστορῶν Ἰάγερος ἐπιφωνεῖ μετὰ κατανύξεως "Hinc male labes"! καὶ μετὰ τοῦτο προστίθησιν· "Voilà l'origine des maux, qui ont troublé l'Eglise d'Orient, et divisé en deux la robe mystique de l'Homme-Dieu! (Hist. de Photius, p. 14). Καὶ εἴποι μὲν ἄν τις, ὅτι διὰ τούτων ἐμφαντικώτερον μεθερμηνεύει τὰ τοῦ Νικήτα λέγοντος· "Αὕτη γίνεται σκανδάλων ἀρχή· αὕτη πρώτη τῆς Ἐκκλησιαστικῆς ἀκαταστασίας ἀφορμή·" ἀλλ' οὐχ οὕτως ἔχει. Λέγει μὲν γὰρ ἐν τῷ προλόγῳ τῆς ἑαυτοῦ Ἱστορίας (p. XLIV), ὅτι ταῖς ἱστορικαῖς ἀκριβέστατα χρῆται πηγαῖς, ἃς ἐπιμελῶς ἐξεμελέτησε, καὶ πιστῶς καὶ ἀκριβῶς παρατίθεται· τὸ δ' ἀληθές, ἀνὰ πᾶσαν αὐτοῦ τὴν ὑπερτετρακοσιοσέλιδον Ἱστορίαν ἐπιπόνως ὁ ἄνθρωπος ἄλλους τε καὶ Μαιμβούργιον καὶ Φώχερον ἀντιγράφει· τοῖς δὲ ἀντιγεγραμμένοις συγγραφέων ὀνόματα ὑποσημειῶν —Νικήτας—Μανασσῆς—Κεδρηνὸς κτλ.— ὡς ἰδίας μελέτης ταῦτα ἐπιδείκνυσι προϊόντα· ὅθεν δικαίως ὑπὸ τοῦ ἀοιδίμου Οἰκονόμου δεινὸς μεταγραφεὺς ἡ πλαγιάριος ἐπωνόμασται. (Ἴδε Κ. Οἰκονόμου "περὶ τῶν Ο' ἑρμην. τῆς παλαιᾶς Θ. Γραφῆς" Τόμ. Δ', σελ. 753, σημ. ζ'). Οὕτω δὴ κἀνταῦθα σελίδας ὅλας ἀντιγράφων ἀπὸ Φωχέρου, εἰ καὶ κατηγορεῖ τούτου (ἔνθ. ἀνωτ.) ὡς ὑπερβολαῖς χρωμένου (αὐτὸς ὢν δῆθεν ἀκριβολόγος καὶ μέτριος!!!) καὶ τὴν χρονολογίαν συγχέοντος, καὶ κακῶς πολλάκις κρίνοντος, καὶ τοῦτο δὴ τὸ ἐπιφώνημα ἐξ ἐκείνου δανείζεται, αὐταῖς λέξεσι λέγοντος· "Voilà l'origine des maux, qui ont troublé l'Eglise d'Orient, et divisé en deux la robe mystique de l'Homme-Dieu." Παράβαλε Ἰαγ. Ἱστ. σελ. 14 κ. ἑξ. πρὸς σελ. 34 κ. ἑξ. τῆς ὑπὸ Φωχέρου ἐν Παρισίοις ἐκδεδομένης Ἱστορίας Φωτίου. (Histoire de Photius etc., par le Pre Chrysostome Faucher, à Paris 1772). Εἰ δὲ καὶ πᾶσαν βούλει παραβαλεῖν τὴν Φωχέρου πρὸς τὴν Ἰαγέρου Ἱστορίαν, ἅπασαν εὑρήσεις ἀντιγεγραμμένην, οὐ σελίδας τινάς, ὡς ὁ ἀντιγραφεὺς λέγει. Εὑρήσεις δ' ὅμως καὶ διαφοράς τινας· οἷον, Φώχερος μὲν (σελ. 15) φησίν· "Theodora fit voir que les fammes sont aussi capables que les hommes de tout ce qu'il y a de plus essentiel dans le grand art de regner." Ἰάγερος δὲ (ἐν σελ. 1)· "Theodora fit voir qu'il y a des fammes qui possèdent aussi bien que les hommes ce qu'il y a de plus essentiel dans le grand art de regner." καὶ προϊὼν εὑρήσεις τὸν μὲν πρῶτον λέγοντα· "un seconde Chrysostome," τὸν δὲ δεύτερον "un autre Chrysostome," καὶ αὖθις "fut toujours en augmentant — alla toujours croissant," καὶ πάλιν "mesurant sa vangeance — pesant cette vengeance." Οὕτω τοίνυν ἡ Ἰαγέρου Ἱστορία ἐκ τῆς τοῦ Πατρὸς Φωχέρου ἀντιγεγραμμένη, καί που περιπεφρασμένη, γνήσιον μὲν ἔχει πατέρα τὸν Πατέρα Φώχερον, Ἰάγερον δὲ πατρῴων, ἀλλότρια τέκνα ὡς ἴδια ἐπιδεικνύμενον. Ἀλλ' εἴτε ἀντιγράφων, εἴτε ἰδίαν ἀποφαινόμενος γνώμην, κακίστην ἐποιήσατο τοῦ πάθους διάγνωσιν ὁ εὐφυὴς παθογνώμων Ἰάγερος, ἐν τῷ τοῦ Βάρδα παθήματι πᾶσαν εὑρίσκων τοῦ σχίσματος τὴν ἀρχήν (ὅπερ δὴ καὶ Μαιμβούργιος πρὸ αὐτοῦ ἀπεφήνατο, τοῦτο δὴ λέγων εἶναι τὸ αἴτιον, ἐξ οὗ τὸν σκληρὸν τῆς Ὀθωμανικῆς τυραννίας ζυγὸν ἡ Ἑλληνικὴ Ἐκκλησία ὑπέστη!!! Hist. de schisme des Grecs, p. 2). Τί γὰρ πρὸς τὸ σχίσμα τῆς Ἐκκλησίας τὸ τοῦ Βάρδα πάθημα; Τοῦτο μὲν γὰρ τὸν Ἰγνατίου διωγμὸν ἐπήνεγκε, καὶ πρὸς καιρὸν τὴν ἐν τῇ Ἀνατολῇ Ἐκκλησίαν, διά τε τῶν ἀντιπολιτευομένων τὸ ἀξίωμα, καὶ μάλιστα διὰ τὴν Παπικὴν ῥαδιουργίαν, διετάραξεν· οὐ μέντοι καὶ τὸν χιτῶνα τοῦ θεανθρώπου διέσχισεν, ὥσπερ Ἰάγερος ἀποφαίνεται. Ναί· ἔσχισται μὲν ὁ μυστικὸς ἐκεῖνος χιτών, ἀλλ' οὐ διὰ τὴν τοῦ Βάρδα ἐπιτίμησιν, οὐδὲ διὰ τὴν Φωτίου καὶ τῶν ἐκείνου διαδόχων φιλοδοξίαν, ὡς Μαιμβούργιος εἴρηκεν, ἀλλὰ διὰ τοὺς ἀσεβῶς τὰ ἄνω τοῖς κάτω συμφύραντας, καὶ τὸν χιτῶνα ἐκεῖνον παρατόλμως κατασπάσαντας, καὶ τοῦτον ἑαυτοὺς περιβαλεῖν ἀποτολμήσαντας. Καὶ αὐτοὶ μὲν ἀπο-

Digitized by Google

τούμενον, καὶ συγχωρήσεως τυχεῖν δεόμενον, οὐ προσίετο τὸν Βάρδαν *Ἰγνάτιος, οὐδὲ συγχωρήσεως αὐτὸν ἠξίου· ἀλλὰ καὶ τοῦ Αὐτοκράτορος αὐτοῦ μεσιτεύσαντος, καὶ προσδεομένου ὑπὲρ τοῦ θείου, καὶ μὴν καὶ ἀπειλαῖς χρησαμένου, ἄκαμπτος ἦν Ἰγνάτιος, ὡς αὐτὸς ἐν τῷ πρὸς τὸν Πάπαν Νικόλαον λιβέλλῳ φησίν· "Ἐπὶ τούτοις ὁ κρατῶν ποτὲ μὲν ἐδυσώπει με, ποτὲ δ' ἠπείλει τὰ δεινά, εἰ μὴ πεισθείην δέξασθαι τὸν θεῖον αὐτοῦ."* [1] *Διὰ δὴ ταῦτα μένεα πνέων ὁ Βάρδας κατὰ τοῦ Ἰγνατίου, καιρὸν ἐξεδέχετο δίκην παρ' αὐτοῦ λαβεῖν, ὃς καὶ ἐπέστη μετ' οὐ πολύ. Γήβωνα γάρ τινα Μοναχόν, ἐκ Δυῤῥαχίου εἰς Κωνσταντινούπολιν ἀφικόμενον, καὶ ἑαυτὸν Θεοδώρας υἱόν, ἐξ ἑτέρου δῆθεν ἀνδρός, ἀνακηρύττοντα, ὁ μὲν Αὐτοκράτωρ, ὡς εἰκός, καθεῖρξέ τε καὶ παντοίαις ἐκόλαζε βασάνοις, ὡς ταραξίαν· Ἰγνάτιος δὲ βασανιζόμενον ἠλέει, καὶ συμπαθεῖν ἐδόκει τῷ ἀνθρώπῳ δι' ἀγαθότητα καὶ φιλανθρωπίαν. Ὁ μὲν οὖν Γήβων οὗτος ἀποθνήσκει βασανιζόμενος· Βάρδας δ' ἐκ τούτου τὴν ζητουμένην λαβὼν ἀφορμήν, τήν τε Βασιλομήτορα καὶ τὸν ὑπ' αὐτῆς προστατευόμενον Πατριάρχην πολλὰ καὶ κακὰ ἔλεγε, καὶ ἀμφοτέρων, ὡς ὁμοφρονούντων τῷ Γήβωνι, καὶ κατὰ τῆς Ἀρχῆς συνομωμοκότων, οὐκ*

σχισθέντες μεγάλων κακῶν ἐν παντὶ τῷ Κόσμῳ ἐγένοντο αἴτιοι· ἡ δὲ Ἀνατολικὴ Ἐκκλησία, οὐδὲν μὲν οὐδένα ποιήσασα κακόν, αὐτὴ δὲ πολλὰς ὑποστᾶσα δοκιμασίας, καὶ ἐπὶ ὅλους αἰῶνας, ὅμως οὐδὲ κεραίαν ἐξέκλινε τῆς Ὀρθοδοξίας· ἀλλὰ τῇ τοῦ Θεοῦ χάριτι πᾶσαν ἀπεκρούσατο ἐπιβουλήν, κραταιουμένη ἐν τῇ πίστει αὐτῆς, ἧς ὁμολογεῖ ἕνα μόνον ἀρχηγὸν καὶ τελειωτήν· "ὅς ἐστι κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ." — Καὶ ταῦτα μὲν εἰρήσθω πρὸς τοὺς περὶ Μαιμβούργιον καὶ Φώχερον καὶ τὸν δεινὸν αὐτῶν ἀντιγραφέα Ἰάγερον, πανταχοῦ μᾶλλον, ἢ παρ' ἑαυτοῖς, τὴν τοῦ σχίσματος αἰτίαν ἀνευρίσκοντας. Ἡ δὲ πρὸς Βάρδαν τοῦ Ἰγνατίου παῤῥησία, ἐν αὐστηρῷ ἐξεταζομένη δικαίῳ, οὐ προσηκόντως, οὐδ' ἐν ἰσότητι μάλιστα πρεπούσῃ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, εὑρίσκεται γενομένη. Τὸ μὲν γὰρ τοῦ Βάρδα ἀνόμημα λεγόμενον ἦν καὶ ἐν ἀμφισβητησίμῳ· τὰ δὲ τοῦ νεανίσκου Αὐτοκράτορος ἀνοσιουργήματα καὶ πᾶσι γνωστὰ καὶ αὐτῷ δὴ τῷ Ἰγνατίῳ λύπης καὶ στεναγμῶν αἴτια, ὡς οὐ δυναμένῳ παῦσαι αὐτὸν ἄλλως τε ἁμαρτάνοντα, καὶ τὰ τῆς Ἐκκλησίας μυστήρια διαπαίζοντα (ἴδε Θεοφ. Χρονογρ. συνέχ. σελ. 243 καὶ 245—6). Λέγει δὲ περὶ τούτου καὶ Ἐδουάρδος ὁ Μουράλδης ἐν τῇ Βυζαντινῇ αὐτοῦ χρονογραφίᾳ· "Les bouffoneries de Michel, ou ses singeries du culte avec ses compagnons, étaient dejà arrivées du temps de Theodora et d'Ignace, qui n'avait pas plus que Photius réussi à les empêcher. (Essai de Chronographie Byzant. par M. Edouard de Murald, p. 434. St. Petersbourg 1855· *ἔνθα κακῶς ὁ Μουράλτης λέγει, ὅτι καὶ Φώτιος οὐκ ἠδυνήθη διακωλῦσαι ἀσεβοῦντα τὸν Μιχαήλ· ἐπὶ γὰρ Φωτίου, νέος ὢν ἤδη, τὰς παιδικὰς ἐκείνας ἀταξίας παρητήσατο, ἐκείνῳ μάλιστα πειθόμενος νουθετοῦντι, ὡς ἐκ τῆς πρώτης Φωτίου ἐπιστολῆς* (§ γ') *μάλιστα δῆλον γίνεται). Ἀλλ' ὅμως Ἰγνάτιος τὸν μὲν Αὐτοκράτορα τῆς τῶν θείων μυστηρίων κοινωνίας ἠξίου, τὸν δὲ Βάρδαν ἀνάξιον τῆς κοινωνίας ταύτης ἐκήρυττε, καὶ τῆς Ἐκκλησίας ἀτίμως ἐξέπεμπεν. Ὀρθῶς ἄρα καὶ προσηκόντως ἄλλοι τε, καὶ Βασνάγιος φησίν·* "Bardas allant à l'autel était précédé par l'Empereur, que les écrivains anciens et modernes representent comme le Néron chrétien *(μάλιστα δὲ πάντων Ἰάγερος, τέρας τι τὸν Αὐτοκράτορα τοῦτον εἰκονίζων καὶ ἀγχόνης ἄξιον.* Hist. de Photius, p. 8—9, *καὶ ἀλλαχοῦ πολλάκις*). Cependant Ignace donnait la communion à l'un, et la refusait à l'autre, en protestant qu'il ne voulait point que les Sacrements fussent profanés. *Quand on fait son devoir sincèrement, on n'a aucune acception des personnes, et l'on ne respecte pas plus le titre d'Auguste que celui de Cesar.* (Hist. de l'Eglise, Tom. I. p. 323). *Ἴδε περὶ τούτου καὶ Παπιστ. ἐλέγχ. προλεγ. Τόμ. Α', σελ. ιή—κά. καὶ Ἀμφιλοχ. προλεγ. σελ. ιά—ιβ'.*

[1] *Ἴδε ἐν τοῖς Συνοδικοῖς τὸν Ἰγνατίου πρὸς τὸν Πάπαν Νικόλαον λίβελλον.*

Digitized by Google

ἐπαύσατο κατηγορῶν, ἕως ἀνέπεισε τὸν Αὐτοκράτορα τὴν μὲν μητέρα καὶ τὰς ἀδελφὰς καθεῖρξαι, Ἰγνάτιον δὲ τοῦ Πατριαρχικοῦ θρόνου ἐξελάσαι· ὃ δὴ καὶ ἐγένετο ἐν μηνὶ Ὀκτωβρίῳ τοῦ 857 ἔτους.[1]

κέ. Ὁ μὲν οὖν Ἰγνάτιος οὕτω τοῦ Πατριαρχικοῦ θρόνου ἐκπεσών, ἐν Τερεβίνθῳ τῇ νήσῳ διῆγεν ἐξόριστος.[2] Τῶν δὲ τῆς Ἐκκλησίας πραγμάτων διά τε τὸν ἐκ τῶν εἰκονομάχων ἀνανεούμενον σάλον καὶ τὴν Ἰγνατίου ἐξορίαν συνταραττομένων, Σύνοδον Ἀρχιερέων ὁ Αὐτοκράτωρ συγκαλεσάμενος, ἐκλογὴν προὐβάλετο Πατριάρχου, οἷου τὰ διεσπασμένα τῆς Ἐκκλησίας μέλη συνάψαι, καὶ τὴν εἰρήνην ἐπαναγαγεῖν. Οἱ δὲ συνελθόντες καὶ συσκεψάμενοι μόνον εὗρον ΦΩΤΙΟΝ διά τε σοφίαν καὶ ἀρετὴν ἱκανὸν ἐν τοιούτοις καιροῖς τοὺς τῆς Ἐκκλησίας ἀναλαβεῖν οἴακας, καὶ τοῦτον προβάλλονται τοῦ Ἰγνατίου διάδοχον. Ὡς δὲ ταῦτα οὕτως ἐγένετο, Νικήτας αὐτὸς μαρτυρεῖ, λέγων περὶ τῶν εἰς τὴν Σύνοδον ἐκείνην συνελθόντων Ἀρχιερέων· "Καὶ πλεῖστα καθ' ἑ-"αυτοὺς συσκεψάμενοι, καὶ πᾶσαν κεκινηκότες βουλήν, ΦΩΤΙΟΝ "Πρωτοσπαθάριόν τε ὄντα καὶ Πρωτασηκρῆτιν, εἰς Ἀρχιερέα τῆς βασιλίδος προβάλ-"λονται." ΦΩΤΙΟΣ δὲ μετὰ τῶν φίλων περὶ λόγους σπουδάζων, ὥσπερ προείρηται, καὶ τῆς καθαρᾶς καὶ ἡδίστης μετὰ τῶν πλησίον συνουσίας ἀπολαύων, τῆς ἀλύπου ἐκείνης, καὶ ἀδόλου, καὶ ἀνεπιλήπτου συναναστροφῆς, οὐδαμῶς τὴν ἐκλογὴν ἀπεδέχετο, ἀλλὰ πάντων ἐδεῖτο μὴ αὐτὸν ἀναγκάζειν τὸ τῆς Ἀρχιερωσύνης ἀξίωμα ἀναδέξασθαι. Οὐ μὴν ἔπειθεν· ἀλλὰ πάντες προσέκειντο καταναγκάζοντες αὐτόν, ὥστε καὶ καθειρχθῆναι ἐπιμένοντα καὶ ἀρνούμενον, ὡς αὐτός τε πολλάκις ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ φησί, καὶ πάντες ὡμολόγησαν αὐτῷ οἱ ἐν τῇ μεγάλῃ Συνόδῳ τῇ μετὰ τὸν θάνατον τοῦ Ἰγνατίου συγκροτηθείσῃ παρόντες ὀγδοήκοντα καὶ τριακόσιοι Ἀρχιερεῖς.[3] Τέλος δὲ τῇ ἀνυπερβλήτῳ

---

[1] Ἴδε περὶ τούτου καὶ τὴν συνοπτικὴν ἱστορίαν τοῦ σχίσματος τῆς Δυτικῆς Ἐκκλησίας ἀπὸ τῆς Ἀνατολικῆς, δημοσιευθεῖσαν ἐν τῷ Εὐαγ. Κήρυκι (Ἔτ. Δ', σελ. 261 καὶ ἑξῆς).

[2] Ἡ Τερέβινθος (νῦν κοινῶς λεγομένη Ἀνδερόβιθος) μία τις ἐστὶ τῶν ἐν τῷ Βοσπόρῳ κατὰ τὴν παραλίαν τῆς Βιθυνίας κειμένων μικρῶν νήσων, δύο μόλις ἀπέχουσα μίλια τῆς Πριγκίπου. Ἀκριβῆ τῶν ὡραίων ἐκείνων νήσων περιγραφήν, ἐν αἷς καὶ τῶν Πατριαρχῶν πολλοί, καὶ τῶν ἐν τέλει, καὶ Βασιλόπαιδες πολλάκις, ὑπὸ τῶν Βυζαντινῶν Αὐτοκρατόρων καταβιοῦν ἠναγκάζοντο ἐξόριστοι, ὁ ἀοίδιμος Πατριάρχης Κωνστάντιος ὁ ἀπὸ Σιναίου ἐποιήσατο ἐν τῇ Κωνσταντινιάδι αὐτοῦ, ἧς ἴδε σελ. 209—235, ἔκδ. δευτέρα, ἐν Κωνσταντινουπ. 1844.

[3] Ἴδε ἐν τοῖς ἑξῆς τὰ Πρακτικὰ τῆς μεγάλης ἐκείνης Συνόδου (Πρᾶξ. Β')· ἔνθα Φωτίου περὶ τῆς ἐκλογῆς αὐτοῦ λόγον ποιουμένου, καὶ τὴν γενομένην αὐτῷ βίαν διεξιόντος, πᾶσα ἐξεβόησεν ἡ Σύνοδος· "Τοῦτο οἰκείοις ὀφθαλμοῖς ἐθεασάμεθα οἱ πλείονες ἐξ ἡμῶν· καὶ ὅσοι μὴ ἑωράκασιν ἀπὸ τῶν ἑωρακότων "τότε, μέχρι νῦν τῆς φήμης ἀκαινοτομήτου διακρατούσης, ἀνεμάθομέν τε καὶ ἀκριβῶς ἐπιστάμεθα, ὅτι τοῦτο "οὕτως ἐγένετο." Οἱ μέντοι Φωτιομάχοι πεπλασμένα ταῦτα εὑρίσκουσι, καὶ συνεσκευασμένα Φωτίῳ, ὅπως ἔχοι λέγειν, ὅτι βίᾳ δῆθεν ὑπείκων ἀνεδέξατο τὴν Πατριαρχείαν. "Il convoite donc (λέγει Ἰάγερος) "cette dignité avec toute l'ardeur de son insatiable ambition; mais il dissimule, se laisse presser par "Michel et Bardas, afin de se couvrir du masque de la modestie, et de pouvoir dire plus tard qu'on "lui a fait violence" (Hist. de Photius, p. 21—22). Ἀλλ' ὅπερ ἐν Φωτίῳ ὑπόκρισιν εὑρίσκει καὶ ψεῦδος, τοῦτο ἐν τῷ Πάπᾳ Στεφάνῳ Ε', τῷ τὸν Ἀδριανὸν Γ' διαδεξαμένῳ, ἀλήθειαν εὑρίσκει καὶ

Digitized by Google

βίᾳ ὑπείκων ἀπεδέξατο τὴν ἐκλογήν, πάντων ὑπισχνουμένων, καὶ μήν γε καὶ ὁμωμοκότων, συνεργήσειν αὐτῷ πρὸς τὴν τῆς εἰρήνης καὶ τῆς κοινῆς ἁπάντων ὁμονοίας ἀποκατάστασιν.[1] *Ἐπὶ τούτοις οὖν κοινῇ πάντων ψήφῳ ἐπὶ τὸν* Πατριαρχικὸν *ἀναβιβάζεται θρό-*

ἀρετὴν ὁ ἀμερόληπτος ἱστοριογράφος Ἰάγερος. Λέγει τοίνυν ἄκοντα καὶ ἑλκόμενον ἀναβῆναι τὸν Στέφανον ἐπὶ τὸν Παπικὸν θρόνον, καὶ ταῦτα οὐχ ὑπὸ Αὐτοκράτορος καὶ Καίσαρος καὶ τῶν ἄλλων τῶν ἐν τέλει, καὶ τοῦ Κλήρου παντός, ὥσπερ Φώτιος, ἀλλ' ὑπὸ τῶν ἐν Ῥώμῃ Ἐπισκόπων καὶ ἱερέων. "A la mort d'Adrien (λέγει ὁ φιλαλήθης Ἰάγερος) les Evêques, le Clergé de Rome et tout le peuple le portèrent unanimement au souverain Pontificat. Lui seul s'en croyait indigne. C'est pourquoi il prit la fuite, et se cacha dans la maison. Il fallut l'en tirer de force pour l'élever sur le trone, au quel Dieu l'avait appelé." (Hist. de Photius, p. 377). *Τὰ δ' αὐτὰ καὶ περὶ Νικολάου αὐτοῦ ἱστοροῦσιν ἕτεροι τῶν Παπιστῶν, ἄκοντα καὶ τοῦτον λέγοντες ἐπὶ τὸν Παπικὸν ἀναβῆναι θρόνον.* "Ils allèrent (λέγει ὁ G. F. Chevé *ἐν τῷ βιογραφικῷ τῶν Παπῶν Λεξικῷ*) promptement le chercher à l'Eglise de St Pierre, où il s'était caché, se disant indigne d'une telle fonction. On l'en tira de force etc. etc." *Καὶ ἔστιν ὡς ἀληθῶς θαύματος ἄξιον, ὅτι τὴν Νικολάῳ ἀποδιδομένην ταύτην ἀρετὴν οὐκ ἐξύμνησεν Ἰάγερος· καὶ τοῦτο, ὡς ἔοικε, συνιδὼν ὁ καλὸς ἐκείνου ἀντιγραφεὺς Τόστης ἔσπευσεν εἰς ἀναπλήρωσιν τοῦ ἐλλείποντος· ὅπερ δὴ καὶ ἀλλαχοῦ εὑρήσομεν αὐτὸν ποιοῦντα. Οὐ μόνον δὲ τὴν Ἰαγέρου ταύτην ἔλλειψιν ὁ καλὸς ἀναπληροῖ Τόστης, ἀλλὰ καὶ Φωτίῳ τὸν Νικόλαον παραβάλλει (τοῦτο δὴ τὸ τῆς παροιμίας "τῇ Ἀθηνᾷ τὸν αἴλουρον")· καὶ φησὶν ἄξιον εἶναι σημειώσεως, ὅτι, ἐκείνου ἐκ λαϊκοῦ ἐν Κωνσταντινουπόλει τὸν Πατριαρχικὸν καταλαμβάνοντος θρόνον, οὗτος ἐν Ῥώμῃ ἄκων καὶ ἑλκόμενος ἐπὶ τὸν Παπικὸν ἀνεβιβάζετο.* "Ed è veramente cosa degna a notare, che mentre in Constantinopoli un laico ed uomo d'arme afferrato alla episcopale cattedra la faceva da persecutore della Chiesa per tenervisi, in Roma bisognava usar violenza con Niccolò per sollevarlo a quella del Beato Pietro (!!!) etc. etc. (Storia dell' origine dello Scisma Greco. Vol. I. p. 239.) *Ὅ τοίνυν ἐγένετο ἐν τῇ ἐκλογῇ τοῦ τε Νικολάου καὶ τοῦ Στεφάνου, τοῦτο κατ' Ἰάγερον οὐδαμῶς ἐστιν ἀληθεῦον, περὶ Φωτίου λεγόμενον· ἀλλ' ἐν ἐκείνοις μὲν τὰ πάντα κατ' αὐτὸν καὶ τοὺς ἄλλους Παπιστὰς ἁγιότης καὶ ἀρετή, ἐν τούτῳ δὲ τὰ πάντα πονηρία καὶ δολιότης. Ἀλλ' ὅμως οὔτε πρῶτον τοῦτο, οὔτε δεύτερον, ἰδεῖν ἐστιν ἐν τῇ ἱστορίᾳ τῶν τῆς Κωνσταντινουπόλεως Πατριαρχῶν, ἄκοντας καὶ ἀναγκαζομένους ἀποδέξασθαι τὴν Πατριαρχείαν. Φωτίῳ δὲ καὶ Ταράσιος ὁ πατρόθειος οἰκεῖον καὶ καλὸν ὑπῆρχε παράδειγμα· ὃς, πάντων ὁμοφώνως προβαλλομένων αὐτὸν Πατριάρχην, καὶ Εἰρήνης τῆς Βασιλίσσης συμψηφιζομένης, ἀπελογεῖτο λέγων·* "*Φόβῳ συνέχομαι συγκαταθέσθαι ἐπὶ τῇ ψήφῳ ταύτῃ, καὶ εὐλαβοῦμαι ἀπὸ προσώπου τοῦ Θεοῦ προσδραμεῖν οὕτως καὶ ὡς ἔτυχεν ἀπερισκέπτως, ἵνα μὴ ὑποπέσω φοβερῷ κατακρίματι κ.τ.λ.*" *Ἀλλὰ πάντων αὐτὸν καταναγκαζόντων, ἀπεδέξατο τὴν Πατριαρχείαν. (Θεοφ. Χρονογρ. Τόμ. Α', σελ. 709 καὶ ἑφεξῆς.— Γ. Κεδρηνὸς ἐν Συνόψει Ἱστοριῶν. Τόμ. Β', σελ. 22, ἔκδ. Βόννης). Τὸ μὲν οὖν Φώτιον ἄκοντα καὶ βιαζόμενον ἐπὶ τὸν Πατριαρχικὸν ἀναβῆναι θρόνον οἵ τε ἄλλοι πάντες σοφοὶ καὶ φιλοδίκαιοι ἄνδρες ἀποδέχονται, καὶ δὴ καὶ Γίββων ὁ Ἱστορικός, τάδε λέγων·* "At the pressing entreaty of the Cæsar, his friend, the celebrated Photius renounced the freedom of a secular and studious life, ascended the Patriarchal throne, etc. (*ἔνθ. ἀνωτ. Τόμ. Ζ', σελ.* 128)· *τοῦτ' ἔστιν·* "*Πειθανάγκῃ τοῦ Καίσαρος Βάρδα, φίλου ὄντος αὐτῷ, ὁ περικλεὴς Φώτιος τὴν τοῦ λαϊκοῦ καὶ σπουδαίου βίου καταλιπὼν ἀπραγμοσύνην, ἐπὶ τὸν Πατριαρχικὸν ἀνέβη θρόνον.*"

[1] "*Οτι δὲ πάντες κοινὴν ὑπεσχοντο ὁμόνοιαν, τοῦτο καθαρῶς δείκνυται ἐξ ὧν τότ' εὐθὺς πρὸς τοὺς Ἀρχιερατικοὺς τῆς Ἀνατολῆς θρόνους ἔγραφε Φώτιος.* "*Οὐκ οἶδα* (λέγει) *εἴτε προνοίᾳ Θεοῦ, εἴτ' ἐπ' ἐ-*
"*λέγχῳ τῶν ἡμετέρων ἁμαρτημάτων, τὸν τῆς Ἀρχιερωσύνης ζυγὸν ἐπιφορτίζουσιν, ἐνὶ μόνῳ μικρὰν τῆς*
"*ἀθυμίας παραψυχὴν ἐφευρίσκοντι· ὅτι, σχεδὸν εἰπεῖν, πρὸς ἀλλήλους διαφερομένων ἁπάντων,*
"*καὶ ἀλλήλων ἀποτέμνεσθαι καὶ ἀποῤῥήγνυσθαι φιλονεικούντων, ὁμοφροσύνη τις καὶ ὁμογνωμο-*
"*σύνη ταῖς αὐτῶν ἐμφυεῖσα ψυχαῖς, τὰ διεσκορπισμένα συνῆγε, καὶ τὰ διεῤῥωγότα συσφίγγουσα*
"*τὴν προτέραν ὁμόνοιαν ἐχαρίζετο.*" (*Ἐπιστ. Β', § γ'*). *Λέγεται δ' ὑπό τινων, ἐν οἷς καὶ Δοσίθεος*

Digitized by Google

νον τὴν κέ Δεκεμβρίου τοῦ 857 ἔτους, πάντας ἐν ἡμέραις ἓξ τοὺς ἱερατικοὺς διελθὼν βαθμούς, ἀπὸ τοῦ Μοναχοῦ καὶ Ἀναγνώστου μέχρι τοῦ Πατριάρχου.

κστ'. Ταῦτα μὲν οὖν οἱ ΦΩΤΙΟΥ καὶ τῆς ἀληθείας πολέμιοι πολυτρόπως μεταπλάττουσιν, ἀπάτην λέγοντες τῶν Ἀρχιερέων τεχνάσασθαι τὸν Βάρδαν, καὶ τοιαῦτα πολλὰ φλυαροῦντες, ὅπως τὴν ΦΩΤΙΟΥ ἐξυβρίσωσιν ἀρετήν· μέγα δ' αὐτοῦ καὶ βαρὺ εὑρίσκουσιν ἁμάρτημα, ὡς ὑπὸ Γρηγορίου τοῦ Ἀσβεστᾶ, καθῃρημένου δῆθεν ὄντος, ἐδέξατο τὴν χειροτονίαν. Ἀλλ' οἱ ἀπαθῶς ταῦτα ἐξετάζοντες νομιμωτάτην καὶ πάσης ἐκτὸς ἐπηρείας εὑρίσκουσι τὴν ἐκλογὴν αὐτοῦ, καὶ μαρτυροῦντα ἔχουσιν αὐτὸν τὸν ἀμείλικτον ΦΩΤΙΟΥ ἐχθρόν, Νικήταν τὸν Παφλαγόνα, διαῤῥήδην λέγοντα μεγίστης τῶν Ἀρχιερέων σκέψεως καὶ πάσης βουλῆς ἔργον τὴν ἐκλογὴν ἐκείνην γενέσθαι· αὐτὸν δὲ ΦΩΤΙΟΝ πάντες ἀνομολογοῦσιν ἄκοντα καὶ ἀνανεύοντα ψηφισθῆναί τε καὶ χειροτονηθῆναι, ὥσπερ δὴ καὶ αὐτὸς ἐν πάσῃ εἰλικρινείᾳ πρὸς τὸν Πάπαν Νικόλαον ἔγραφεν. "Συνεσχέθημεν ἄκοντες· κακούργοις ἴσα καθείρχθημεν· ἐτηρούμεθα φυλασσό-" μενοι· ἐψηφίσθημεν ἀνανεύοντες· ἐχειροτονήθημεν κλαίοντες, ὀδυρόμενοι, κοπτόμενοι. " Ἴσασι ταῦτα πάντες· οὐδὲ γὰρ ἐν γωνίᾳ ἐγένετο, καὶ τὸ μέγεθος τῆς ἐπηρείας τὴν ἱστο-" ρίαν εἰς πάντας ἐξήνεγκεν." Καὶ ταῦτα οὐ πρὸς Νικόλαον μόνον, μακρὰν ἀπέχοντα, καί, ὡς ἄν τις εἴποι Παπιστὴς ἀνήρ, διὰ τὸ τῆς ὁδοῦ μῆκος παρακρουόμενον, ἔγραφεν, ἀλλὰ καὶ πρὸς τοὺς Ἀρχιερατικοὺς τῆς Ἀνατολῆς θρόνους, καὶ πρὸς Βάρδαν αὐτόν, τὸν ἐν αὐτῇ παρόντα τῇ Κωνσταντινουπόλει, τὸν κατὰ τοὺς Παπιστὰς πάντα μετὰ ΦΩΤΙΟΥ συσκευάσαντα· καὶ πρὸς τοῦτον, οὐ δεόμενος, οὐδὲ δικαιολογούμενος, ἀλλ' ἐλέγχων αὐτοῦ τὰ ἔργα καὶ τὴν ὠμότητα· " Διὰ τοῦτο γὰρ ἀγόμενος καὶ ἑλκόμενος ἀπεδυσπέτουν " πρὸς ταῦτα . . . . ὑφ' ὧν βαλλόμενος καὶ πικρῶς ἀλγυνόμενος, ἔκλαιον, ἐδυσώπουν, " πάντα μᾶλλον ἐποίουν, ἢ τοῖς ψηφιζομένοις καὶ βιαζομένοις συγκατένευον, παρενεχθῆ-" ναι τὸ ποτήριον ἀπ' ἐμοῦ τῶν πολλῶν καὶ πολυτρόπων φροντίδων καὶ πειρασμῶν ποτνιώ-" μενος."[1] Ὥστε καὶ εἴ τις λέγοι πεπλασμένα γράφειν ἐκεῖνα πρὸς τὸν Πάπαν Νικόλαον, οὐκ ἐσθ' ὅπως ἔχει λέγειν, ὅτι πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Ἀρχιερεῖς, ἐγγύθεν ὁρῶντας τὰ γινόμενα πάντα, καὶ πρὸς Βάρδαν αὐτόν, ἠδύνατο ψεύδεσθαι, καὶ ταῦτα ἐλέγχων καὶ κατακρίνων αὐτόν, καὶ ἐνώπιον Θεοῦ διαμαρτυρόμενος, ἐφ' οἷς δεινοπαθοῦντας ἑώρα τοὺς Κληρικοὺς καὶ ταρασσομένην τὴν Ἐκκλησίαν.[2] Τὸ μὲν οὖν νομίμως καὶ ἀνεπηρεάστως ἐψηφίσθαι τὸν ΦΩΤΙΟΝ, ἄκοντα δὲ καὶ βιαζόμενον τὴν ἐκλογὴν ἀποδέξασθαι καὶ χειροτονηθῆναι, οὐκ ἔστιν ὅστις οὐκ ἂν ὁμολογήσειε, σώας ἔχων καὶ φθόνου καθαρευού-

---

ὁ Πατριάρχης Ἱεροσολύμων, μάλιστα πάντων ἀξιόχρεως, ἑκόντα τὸν Ἰγνάτιον παραιτήσασθαι τὴν Πατριαρχείαν (Ἴδε Τόμον Χαρᾶς, σελ. δ'. τὰ δὲ πλείω περὶ τούτου ἐν τοῖς τῶν Ἀμφιλοχ. προλεγ. σελ. ιγ', καὶ ἐν τοῖς τῶν Παπιστ. ἐλέγχων. Τόμ. Α', § ιά). Ἀλλὰ καὶ Γίββων τὴν περὶ παραιτήσεως τοῦ Ἰγνατίου δόξαν ἀποδεχόμενος φαίνεται, ἐν οἷς Ἰγνάτιον ἀποκαλεῖ παραιτηθέντα τοῦ Φωτίου προκάτοχον—his abdicated predecessor. (ἔνθ. ἀνωτ. σελ 449).

[1] *Ἴδε Ἐπιστ. ρνθ'.*

[2] *Ἴδε περὶ τούτου καὶ Βασνάγιον ἐν τῇ Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 325.*

Digitized by Google

σας τὰς φρένας· τὸ δὲ ὑπὸ Γρηγορίου, ἀνιέρου δῆθεν Ἐπισκόπου, χειροτονηθῆναι, περὶ οὗ τοσοῦτον ποιοῦνται πάταγον οἵ τε Πάπαι καὶ οἱ Παπισταί, τοῦτο νῦν ἐξεταστέον.

κζ'. Καὶ δὴ λέγομεν, ὅτι καθῄρητο μὲν ἀδίκως ὁ Γρηγόριος, ὥσπερ προείρηται,[1] ἀπελέλυτο δὲ τῆς ἀδίκου καὶ παραλόγου καθαιρέσεως, ὅτε τὸν ΦΩΤΙΟΝ ἐχειροτόνησε· καὶ ἀπελέλυτο νομίμως πάνυ. Νόμιμον γάρ ἐστι τῶν Ἀρχιερέων κριτήριον ἡ τῶν Ἀρχιερέων Σύνοδος· ἡ δὲ τὸν ΦΩΤΙΟΝ ἐκλεξαμένη Πατριάρχην Σύνοδος, αὕτη καὶ Γρηγόριον τῆς ἀδίκου καθαιρέσεως ἀπολύσασα, ἐπέταξεν αὐτῷ τὴν χειροτονίαν ἐπιτελέσαι. Δῆλον δὲ τοῦτο γίνεται, οὐκ ἐξ ὧν ΦΩΤΙΟΣ, ἢ φίλοι ἐκείνου λέγουσιν, ἀλλ' ἐξ ὧν Νικόλαος αὐτός, ὁ ΦΩΤΙΟΥ ἄσπονδος πολέμιος πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Κληρικοὺς ἔγραφε λέγων· "Εἰ δὲ λέγει πάλιν ὁ Γρηγόριος ὑπὸ τῶν Ἀρχιερέων λυθῆναι, μάταιος. Οὐ γὰρ "ὑπὸ τῶν ὑποδεεστέρων ἢ τῶν ἴσων, ἀλλ' ὑπὸ μείζονος προσώπου, καί, ὡς ἐκ τῶν Ἀπο- "στολικῶν κανόνων μανθάνομεν, ὑπὸ τοῦ αὐτὸν ἀφορίσαντος, ἢ προδήλως (!!!) ὑπὸ "τῶν τοῦ πρώτου θρόνου δικαίων ἔμελλε λυθῆναι. Ὑποδεέστερος γὰρ ἡ ὁμοταγὴς προ- "τεταγμένον ἢ ὁμοταγῆ, μὴ περινεύοντος τοῦ μείζονος, λῦσαι οὐ δύναται."[2] Ἔλεγεν ἄρα ὁ Γρηγόριος ὑπὸ τῶν Ἀρχιερέων λελῦσθαι· καὶ τοῦτο Νικόλαος ἀποδέχεται μὲν ὡς γενόμενον, οὐ μέντοι οἴεται ὀρθῶς γενέσθαι, ὅτι ὤφειλεν ὑπ' αὐτοῦ τοῦ ἀφορίσαντος, ἢ προδήλως (ἄδηλον δὲ τὸ προδηλον τοῦτο) ὑπὸ τῆς Αὐτοῦ Μακαριότητος λελῦσθαι. Ἀλλ' ὅτι ταῦτα λέγων ὁ Νικόλαος σοφίζεται, καὶ κανόνα πλάττει Ἀποστολικόν, οὐδέποτε ὑπάρξαντα, τοῦτο παντὶ δῆλον. Οὐδεὶς γὰρ τῶν Ἀποστολικῶν κανόνων τοιοῦτόν τι διατάσσει, εἰ μὴ ἄρα λέγει τὸν ΛΒ'. ἀλλ' ἐκεῖνος περὶ Πρεσβυτέρων καὶ Διακόνων, οὐχὶ δὲ καὶ Ἐπισκόπων, τέτακται, οὕτως ἔχων· "Εἴ τις Πρεσβύτερος ἢ Διάκονος ὑπὸ "Ἐπισκόπου γένηται ἐν ἀφορισμῷ, τοῦτον μὴ ἐξεῖναι παρ' ἑτέρου δεχθῆναι, ἢ παρὰ τοῦ "ἀφορίσαντος αὐτόν, εἰ μὴ ἂν κατὰ συγκυρίαν τελευτήσῃ ὁ ἀφορίσας αὐτὸν Ἐπίσκοπος." Τοῦτον δὲ τὸν κανόνα ἑρμηνεύων ὁ Ζωναρᾶς λέγει· "Ἑτέρας ἐνορίας Ἐπισκόπῳ λῦσαι "τὸν ἐπιτετιμημένον παρ' ἑτέρου οὐ δέδοται, εἰ μήπου Συνοδικὴ ἐξέτασις γένηται, "καὶ φανείη μὴ δικαίως ὁ Ἐπίσκοπος ἀφορίσας. Τοῦτο γὰρ καὶ ζώντων ἔτι τῶν ἀφορι- "σάντων γίνεσθαι ἐπιτέτραπται."[3] Ὥστε κατὰ ταῦτα, εἴπερ ἐξ ἀναλογίας εἴποι τις τὸν κανόνα τοῦτον καὶ ἐπὶ τῶν Ἐπισκόπων κρατεῖν, Νικολάῳ μὲν λῦσαι τὸν Γρηγόριον οὐ προσῆκεν, ἅτε ὑπὸ Ἰγνατίου καθηρημένον (ἑτέρας γὰρ ἐνορίας Ἐπισκόπῳ λῦσαι τὸν ἐπιτε- τιμημένον παρ' ἑτέρου ΟΥ ΔΕΔΟΤΑΙ)· τῆς δὲ Συνόδου τὴν ἐξέτασιν ποιησαμένης, καὶ μὴ δικαίως ἀφωρίσθαι τὸν Γρηγόριον εὑρούσης, νομίμως πάνυ ὁ τῷ ἀδίκῳ ὑποβεβλημένος ἀφορισμῷ ἀπελέλυτο, ὑπὸ τῆς συνόδου τῶν Ἀρχιερέων λυθείς, ὡς αὐτὸς ὁμολογεῖ ὁ Νικόλαος. Ὅτι δὲ Σύνοδος Ἐπισκόπων καὶ δικάζει τοὺς Ἐπισκόπους, καὶ τῆς καθαιρέ- σεως ἀπολύει, τοῦτο σαφῶς μαρτυρεῖ ὅ τε τῶν Ἀποστόλων ΟΔ' κανὼν καὶ τὸ περὶ τὸν θεῖον Χρυσόστομον γενόμενον. Τοῦτον γὰρ ὑπὸ Θεοφίλου καθαιρεθέντα Σύνοδος Ἐπι-

[1] Ἴδε ἐν τοῖς ἔμπροσθεν § κδ'.

[2] Ἴδε τὴν Νικολάου ἐπιστολὴν ἐν τοῖς Πρακτικοῖς τῆς ψευδοσυνόδου (Πρᾶξ Ζ').

[3] Σύντ. τῶν Κανόνων ὑπὸ Γ. Α. Ῥάλλη καὶ Μ. Ποτλῆ. (Τόμ. Β', σελ. 43).

Digitized by Google

σκόπων κρατεῖν τὸν θρόνον ἐδικαίωσαν. Ὅτε δὲ πάλιν ὑπὸ τῆς Βασιλίσσης ἐξεβλήθη, διεμαρτύρετο, ὅτι οὐκ ἐπέτρεπον αὐτῷ ὑπὸ Ἐπισκόπων κριθῆναι· καί φησι περὶ τούτου ὁ ἱερὸς ΦΩΤΙΟΣ· " Οὐκ ἂν δὲ οὗτος ἠτεῖτο (καίτοι γε τίς ἐν τοῖς τοιούτοις αὐτοῦ ἐπιστη- " μονικώτερος ;), εἰ ἦν τοῦτο παράλογον, τὸ ὑπὸ Ἐπισκόπων κρίνεσθαι." [1] Ἀλλὰ μὴν καὶ παρ' αὐτοῦ τοῦ Αὐτοκράτορος (ὥσπερ Νικόλαος ἐν τῇ αὐτῇ ἐπιστολῇ φησιν) εἴπερ ἐκελεύετο Γρηγόριος χειροτονῆσαι τὸν ΦΩΤΙΟΝ, πάντως μετὰ τὸ ἀπολελῦσθαι τῆς καθαιρέσεως τοιαύτην ἐλάμβανεν ἐντολήν. Οὔτε γὰρ τὴν Σύνοδον εἰκὸς ἦν ἐπιτρέψαι τῷ καθῃρημένῳ Γρηγορίῳ τὴν χειροτονίαν ἐπιτελέσαι, οὔτε ΦΩΤΙΟΣ αὐτός, εἴπερ τις καὶ ἄλλος, τὰ τῆς Ἐκκλησίας νόμιμα ἐπιστάμενος, ἀπεδέχετο τοῦτο, ἄλλως τε καὶ πολλῶν παρόντων Ἀρχιερέων, φίλων αὐτοῦ, καὶ αὐτῶν δὴ τῶν Ἰγνατιανῶν, οἳ προσέκειντο παρακαλοῦντες αὐτὸν ἀποδέξασθαι τὴν ἐκλογήν, ἐξ ὧν εἶχε λαβεῖν τὸν χειροτονήσοντα. Μάτην οὖν οἱ Φωτιομάχοι, Νικολάου τοῦ Πάπα προεξάρχοντος, τοσοῦτον ποιοῦνται θόρυβον, καὶ τοῦτο πρὸς ὕβριν τοῦ πανιέρου ΦΩΤΙΟΥ πλάσαντες, ὡς ὑπὸ καθῃρημένου Ἐπισκόπου τὴν χειροτονίαν ἔλαβεν· οὐδεὶς γὰρ ἂν τοιούτοις πιστεύσειε πλάσμασιν. [2] Καὶ περὶ μὲν τούτων ἅλις· ὅθεν δ' ἀπέστημεν τοῦ προκειμένου διὰ τὴν ἀναγκαίαν τῶν δύο κατὰ ΦΩΤΙΟΥ συκοφαντιῶν ἐξέτασιν ἐπανακτέον αὖθις τὸν λόγον.

κή. ΦΩΤΙΟΣ μὲν οὖν οὕτω τοὺς τῆς Ἐκκλησίας ἀναλαβὼν οἴακας, καὶ ἐν νόμῳ Θεοῦ τὸ ταύτης κυβερνᾷν προαιρούμενος σκάφος, πρὸς μὲν τὸν Πάπαν Νικόλαον καὶ τοὺς ἐν τῇ Ἀνατολῇ Πατριαρχικοὺς θρόνους περί τε τῆς ἐκλογῆς καὶ τῆς χειροτονίας αὐτοῦ ἐπέστειλε τὰ προσήκοντα, ἅμα τὴν αὐτοῦ ὁμολογίαν τῆς Πίστεως κατὰ τὸ εἰωθὸς ἐκτιθέμενος· τοῖς δ' ἐν Κωνσταντινουπόλει Κληρικοῖς καὶ λαϊκοῖς, τοῖς τε περὶ Ἰγνάτιον καὶ τοῖς ἄλλοις ἅπασιν, ἐν ἀδόλῳ προσφερόμενος ἀγάπῃ, πάντα πρὸς τὴν τῆς Ἐκκλησίας εἰρήνην καὶ εὐόδωσιν ἔπραττεν. Ἰγνάτιος δὲ οὐχ οὕτως, ὡς μήποτ' ὤφελεν· ἀλλ' ἐν ἀλαζονείᾳ καὶ ὑπεροψίᾳ πλείστῃ, ἣν οἱ περὶ αὐτὸν ἰδίων ἕνεκα συμφερόντων ὑπεξέκαιον, πρός τε τὸν Καίσαρα καὶ τὸν Αὐτοκράτορα χαλεπῶς ἀντεμετρεῖτο, καὶ ΦΩΤΙΟΝ δι' ἐκείνους πολλὰ καὶ κακὰ ἔλεγε, λῃστὴν ἀποκαλῶν αὐτὸν καὶ μοιχόν, καὶ τοὺς ὑπὲρ αὐτοῦ ψηφισαμένους Ἀρχιερεῖς ἐξυβρίζων, αὐτός τε καὶ οἱ φίλοι αὐτοῦ. Ὥστε πάλιν εἰς τὴν προτέραν ἐπανῆλθε τὰ πράγματα ταραχήν, ἡμερῶν μόλις τεσσαράκοντα κατ' Ἰγνάτιον αὐτόν, ἑξήκοντα δὲ κατὰ Νικήταν τὸν πανηγυριστὴν αὐτοῦ, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διελθουσῶν. [3] Ὁ μὲν γὰρ Βάρδας βίᾳ

---

[1] Ἴδε κατωτέρω ἐν ταῖς Συναγωγαῖς καὶ ἀποδείξεσι κ.τ.λ. τὸ ΣΤ' ἐρώτημα.

[2] Ἴδε περὶ τούτου καὶ Βασνάγιον (ἔνθ. ἀνωτ.) καὶ Παπιστ. ἐλέγχ. προλεγ. Τόμ. Α' § ιβ' καὶ Τόμ. Β', σελ. 210—1, καὶ Ἀμφιλοχ. Προλεγ. σελ ιδ', σημ. ά. Σημειωτέον δὲ καὶ τοῦτο, ὅτι Νικόλαος ἐν μὲν ταῖς πρώταις αὐτοῦ ἐπιστολαῖς, πρός τε τὸν Αὐτοκράτορα καὶ τὸν Φώτιον, οὐδένα περὶ τούτου ποιεῖται λόγον, ἀλλὰ μόνον ἐν αὐταῖς εὑρίσκει Φωτίου ἔγκλημα, τὸ ἀθρόον ἐκ λαϊκοῦ εἰς τὸ τῆς Πατριαρχείας ἀξίωμα προστῆναι, καὶ τοῦτο δὴ πρόθυμος δεικνύμενος παρ' οὐδὲν ἡγήσασθαι, εἰ τὰ παρ' αὐτοῦ ζητούμενα παρεδέχοντο· ἀλλ' ἐκείνων ἀποτυχών, τότε δὴ καὶ τοῦτο κατὰ Φωτίου ἐξήνεγκε τὸ κατηγόρημα, ὡς ὑπὸ καθῃρημένου Ἀρχιερέως ἐκεχειροτόνητο, καὶ ἄλλα εἶπε καὶ ἔπραξε, περὶ ὧν ἐν τοῖς ἑξῆς εἰρήσεται τὰ προσήκοντα.

[3] Ἰγνάτιος μὲν αὐτὸς ἐν τῷ πρὸς τὸν Πάπαν Νικόλαον λιβέλλῳ (ὃν ἴδε ἐν τοῖς Πρακτικοῖς τῆς ψευ-

Digitized by Google

τὴν τῶν Ἰγνατιανῶν αὐθάδειαν καταστέλλειν ἐπειρᾶτο· οἱ δὲ μᾶλλον ἀξαγριούμενοι, καὶ τὴν τῆς Ἀρχῆς βίαν εἰς ΦΩΤΙΟΝ παραλόγως ἀνάγοντες, οὐ μόνον ἄλλα κατεθρασύνοντο αὐτοῦ, ἀλλὰ καὶ τὰς προτέρας ἑαυτῶν ὁμολογίας ἀθετήσαντες, εἰς ἰδίαν συνῆλθον Σύνοδον, ἐν ᾗ ΦΩΤΙΟΝ, ὡς παρανόμως δῆθεν Πατριαρχεύσαντα, πάσης Ἐπισκοπικῆς ἱερουργίας ἀπεκήρυξαν· ἀδικώτατον δὲ τοῦτο ἦν τῶν ἔργων αὐτῶν. Εἰ γὰρ ἀληθῶς ἡ ΦΩΤΙΟΥ ἐκλογὴ καὶ χειροτονία παράνομος ἦν, τί δήποτε παρόντες τότε οὐ κατεψηφίζοντο, ὅτε πολλὴ περὶ ἐκλογῆς Πατριάρχου ἐγένετο σύσκεψις, καὶ κατ' αὐτὴν Νικήτα τὴν φράσιν, π ᾶ σ α ἐ κ ι ν ή θ η β ο υ λ ή, ἀλλὰ τοὐναντίον καὶ ἐπέκειντο προτρέποντες καὶ ἐκλιπαροῦντες αὐτὸν ἀποδέξασθαι τὴν ἐκλογήν;[1] Εἰ δὲ μὴ παρῆσαν, ἢ ἄλλως ἠναγκάσθησαν, ἢ ἠπατήθησαν, τίνος ἕνεκεν οὐ μετὰ τὴν ἐκλογὴν αὐτὴν διεμαρτύροντο, καὶ τὸν παρανόμως ἐκλεχθέντα καὶ χειροτονηθέντα οὐκ ἀπεκήρυττον, ἀλλὰ μετὰ μῆνας ὅλους δύο κατεξανέστησαν καὶ κατεκραύγαζον; Ἢ δῆλον ὅτι διὰ τὸν ὑπὸ Βάρδα γενόμενον αὐτοῖς διωγμόν; Ἀλλὰ τί πρὸς ΦΩΤΙΟΝ τοῦτο; ὅς γε καὶ περιεῖπεν αὐτούς, καὶ ὡς ἀδελφοῖς αὐτοῖς οὐ διέλειπε χρώμενος, καὶ ὑπὲρ τῆς κοινῆς ἁπάντων ὁμονοίας ἀγωνιζόμενος. Εἰ δὲ στασιάσαντες κατὰ τῆς Ἀρχῆς, καὶ ταύτην διασύροντες καὶ ἀτιμάζοντες, κακῶς ἔπαθον, οὐ ΦΩΤΙΟΝ, ἀλλ' ἑαυτοὺς αἰτιᾶσθαι προσῆκε, τὸ τοῦ Ἡσιόδου ἐνθυμουμένους ἐκεῖνο,

Ἄφρων ὃς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν·
Νίκης τε στέρεται, πρὸς τ' αἴσχεσιν ἄλγεα πάσχει.[2]

δογδόης Συνόδου) φησίν· "Καὶ οὕπω τ ε σ σ α ρ ά κ ο ν τ α ἡ μ έ ρ α ι μετὰ τὴν χειροτονίαν παρῆλθον, καὶ καθήρεσέ με κ.τ.λ." Νικήτας δὲ ὁ Ἰγνατίου πανηγυριστής, "Οὕπω δὲ μετὰ τὴν χειροτονίαν δ ύ ο μ ῆ ν ε ς παρῆλθον, καὶ αὐτὸς τοὺς ὅρκους ἠθετηκὼς κ.τ.λ." Πόθεν ἄρα ἡ προφανὴς αὕτη διαφωνία τοῦ βιογραφοῦντος πρὸς τὸν βιογραφούμενον αὐτόν; μῶν ὁ λίβελλος ἐκεῖνος οὐ γέγραπται, ἀλλ' ἔῤῥαπται; Ἀλλὰ τὸ συμφωνίαν ἐν τοῖς τῶν Φωτιομάχων λόγοις ζητεῖν ταὐτόν ἐστι καὶ δικτύῳ ἄνεμον θηρᾶν. Τοσοῦτο γὰρ εὑρίσκονται διαφωνοῦντες ἀλλήλοις, καὶ ἑαυτοῖς πολλάκις, ὥστε τοῖς ἐν σκότει πλανωμένοις καὶ ἀλλήλοις συμπίπτουσιν ὅμοια φαίνονται πάσχοντες, καὶ εὐάλωτοι γίνονται τοῖς ἀπαθῶς τὴν ἀλήθειαν ἐκζητοῦσιν. "Εὐάλωτον γὰρ ἡ πονηρία, κατὰ τὸν θεολόγον Γρηγόριον, καὶ πανταχόθεν ἑαυτῇ περιπίπτουσα."

[1] Οὐδεμία ἐγένετο ἐν τῇ μακρᾷ τῆς Συνόδου ἐκείνης διασκέψει ἀντίῤῥησις κατὰ τῆς Φωτίου ἐκλογῆς· ἀλλὰ πάντες ὁμοφώνως ἐκεῖνον μόνον ἀνεκήρυττον ἱκανὸν τῶν τῆς Ἐκκλησίας πραγμάτων προστῆναι. Εἰ δέ τις ἠναντιοῦτο (ὥς φησι Γενέσιος ἐν τῇ Δ' Βασιλειῶν ἕνα μόνον ἠναντιῶσθαι, Κωνσταντῖνον τὸν ἐξ Ἀρμενίων, φίλον ὄντα Ἰγνατίῳ), πάντες ἂν οἱ περὶ Νικήταν σύγχρονοι Φωτιομάχοι ἐμνήσθησαν τούτου, καὶ πολὺν ἐποιήσαντο λόγον· νῦν δ' οὐδὲν οὐδαμοῦ λέγουσι τοιοῦτον· ἀλλὰ τοὐναντίον Νικήτας αὐτὸς καὶ καταμέμφεται τοὺς Ἰγνατιανούς, ὡς εὐθὺς μετὰ τὴν ἐκείνου ἔκπτωσιν μεταβαλομένους, καὶ τοὺς ἑαυτῶν ὅρκους ἀθετήσαντας· φησὶ γοῦν ὁ Νικήτας· "Οὕπω τρεῖς μετὰ τὴν κατάβασιν διεληλύθεσαν "ἡμέραι, καὶ παρῆσαν τῶν Ἐπισκόπων οἱ νομιζόμενοι λογάδες, λίβελλον ἀποταγῆς, ἤτοι παραίτησιν, "διὰ τὴν ἐνεστῶσαν τοῦ καιροῦ κακίαν ἀξιοῦντες λαβεῖν παρ' αὐτοῦ. Καὶ ταῦτα τίνες; οἱ ἐγγράφως "αὐτῷ πρότερον ὁμωμοκότες, καὶ αὐτῆς ἐκπεσεῖν τῆς ὑπερουσίου Τριάδος εὐξάμενοι, εἴ γε τὸν οἰκεῖον "ποιμένα ἄνευ καταγνώσεως ἀθετήσαιεν κανονικῆς." Γεώργιος δὲ ὁ Κεδρηνὸς ἐν τῇ Συνόψει τῶν ἱστοριῶν (Τόμ. Β', σελ. 172, ἔκδ. Βόννης) λέγει· "Ὅμως δὲ ὑπενδόντες, οἱ μὲν ἀπειλαῖς, οἱ δ' ὑποσχέσεσιν, εἴκουσι τῷ τοῦ Βάρδα θελήματι, τῆς ἀρετῆς καὶ δόξης ἔρωτα χρημάτων καὶ λειποταξίαν ἀνταλλαξάμενοι."

[2] Ἡσιόδ. Ἔργ. καὶ Ἡμ. 194.

Digitized by Google

τὸ δὲ πρὸς ΦΩΤΙΟΝ ἀνάγειν τὴν τῶν ἰδίων παθημάτων ἀρχήν, τοῦτο τὴν ἀβουλίαν καὶ ἀδικίαν αὐτῶν καταφανεστέραν ἐποίει.[1] Πῶς γάρ; ὅς γε καὶ πρὸ τοῦ γενέσθαι ταῦτα φρονίμως καὶ νουνεχόντως προλαβεῖν ἠγωνίζετο, καὶ γενόμενα κατέκρινε, καὶ πρὸς Βάρδαν αὐτὸν γράφων ὑπὲρ τῶν δεινοπαθούντων ἐδεῖτο, πικρῶς ἐξελέγχων αὐτοῦ τὴν ὠμότητα. Πῶς οὖν ἔνοχος ἂν εἴη τοῖς διωγμοῖς ἐκείνοις ΦΩΤΙΟΣ, εἰ μὴ κατὰ τὴν Ἰαγέρου λογικήν; Οὗτος γὰρ καὶ διὰ ταῦτα ΦΩΤΙΟΝ αἰτιώμενος, ὑποκρίνεσθαί φησι δυσανασχετοῦντα, καὶ ὀδυρόμενον ἐπὶ τοῖς γινομένοις, καὶ περιέργους γράφοντα πρὸς Βάρδαν ἐπιστολάς, τῇ δὲ προχειροτάτῃ τοῦ κακοῦ θεραπείᾳ φεύγοντα χρήσασθαι, τοῦ Πατριαρχικοῦ δῆλον ὅτι ἀποστῆναι θρόνου, καὶ Ἰγνάτιον ἐπαναγαγεῖν· ἀλλὰ περὶ τούτου μὲν οὐδὲν λέγει, φιλανθρωπίαν δ' ὑποκρίνεται χριστιανικήν, καὶ περιπαθῶς ἐπὶ τοῖς γινομένοις κατοδύρεται.[2]

κθ'. Ἀλλὰ ταῦτα μὲν Ἰάγερος λέγει, ἀχλύν τινα βαρεῖαν πρὸ τῶν ὀφθαλμῶν φέρων, δι' ἣν τὴν ἀλήθειαν ἰδεῖν καὶ κατανοῆσαι καὶ ὁμολογῆσαι οὐ δύναται, τῆς δὲ τὴν ἀχλὺν ἀφελούσης Ἀθηνᾶς προσδεόμενος,

Ὄφρ' εὖ γιγνώσκῃ ἠμὲν Θεὸν ἠδὲ καὶ ἄνδρα.[3]

Οἱ δὲ τὴν ἀλήθειαν ἀπαθῶς ζητοῦντες, καὶ ὑγιαίνουσι τοῖς ὀφθαλμοῖς ἀναγινώσκοντες, ληρεῖν λέγουσι τὸν καλὸν Ἰάγερον, ὅταν ἔν τε ἄλλαις τῶν ΦΩΤΙΟΥ ἐπιστολῶν καὶ ἐν τῇ πρώτῃ πρὸς Βάρδαν τάδε γεγραμμένα καθαρῶς ἀναγινώσκωσιν· "Καὶ τοσαῦτα "μὲν πεπόνθαμεν ἔμπροσθεν· ὥσπερ δὲ λείποντος τοῦ κακοῦ, προσεπινοεῖται καὶ τρόπος "ἄλλος κακώσεως· καὶ κακοῦνται δι' ἡμᾶς ἕτεροι, καὶ λιμαγχονεῖται Κλῆρος, καὶ τῶν "ὑπὸ χεῖρα τὸ ἐπισημότερον· ἵν' ἐφ' ἡμῶν ὑποστῆναι τὴν συμφορὰν καὶ λέγοντες καὶ "μνημονεύοντες, τὸν ὀνειδισμὸν καὶ τὴν ἀρὰν ἐπὶ κεφαλὴν ἡμῶν ἀναφέρωσιν.[4] . . . . .

---

[1] Καὶ Ἰγνάτιος δὲ αὐτὸς Νικολάῳ γράφων τὸν λίβελλον, Βάρδαν μόνον αἰτιᾶται, Φώτιον δὲ οὐδαμῶς. Ἀκούσωμεν οὖν αὐτοῦ λέγοντος Ἰγνατίου· "Ὅθεν δὴ ταῦτά μοι συνεκύρησεν, ἰδοὺ γράφω. Προϋπῆρχον "ἐν πάλῃ καὶ μάχῃ πρὸς τὸν τοῦ Βασιλέως θεῖον Βάρδαν τὸν τυραννήσαντα, καὶ παίων τοῖς τοῦ πνεύμα"τος λόγοις οὐκ ἐπαυόμην, ἀντετυπτόμην δὲ ταῖς ἀπειλαῖς καὶ ἐπιβουλαῖς. Ἡ δ' αἰτία, ὅτι ἤλεγχον τοῦ"τον διὰ τὴν Ἡρωδιανὴν χαμαιτυπίαν, καὶ μὴ πειθόμενον ἔξω ἐθέμην τῆς Ἐκκλησίας. Ἐπὶ τούτοις ὁ "κρατῶν ποτὲ μὲν ἐδυσώπει με, ποτὲ δ' ἠπείλει τὰ δεινά, εἰ μὴ πεισθείην δέξασθαι τὸν θεῖον αὐτοῦ. "Ὡς δὲ τούτῳ πεισθεὶς ὁ κρατῶν ἠβουλήθη τήν τε μητέρα καὶ τὰς ἀδελφὰς ἐξοστρακίσαι τῶν βασι"λείων, ἐγκελεύεταί μοι κεῖραι αὐτάς. Ἐγὼ δ' οὐκ ἐπειθόμην διὰ τὸ τῶν γυναικῶν περὶ τὴν κουρὰν ἀ"κούσιον. Διὰ ταῦτα γοῦν καὶ τῆς Ἐκκλησίας ἀπηλάθην, εἶτα καὶ ἐτυπτήθην, "καὶ ἐξωρίσθην, καὶ δέδεμαι, καὶ κέκλεισμαι πρὸ τῆς τῶν καθ' ἡμᾶς κριτῶν "ἐνδημίας. Καὶ οἱ σὺν ἐμοὶ δὲ ταὐτὰ πεπόνθασιν." Τούτων τοίνυν οὕτως ὑπ' αὐτοῦ τοῦ παθόντος ἱστορουμένων, ὃς καὶ τὴν αἰτίαν τοῦ διωγμοῦ, πολὺ πρὸ τῆς Φωτίου ἐκλογῆς ὑπάρχουσαν, καὶ τὸν διώκοντα καταδείκνυσιν ἐξονομάζων αὐτόν, πῶς ἄν τις ὑγιῶς ἔχων τὰς φρένας Φώτιον αἰτιάσαιτο; Τί δ' ἄλλο ἢ βλασφημίας ἀναπεπταμένας τὰς περὶ τούτου φωνὰς τῶν Φωτιομάχων ἀποκαλέσειε, μάλιστα δὲ τὰς διὰ μακρῶν ὑπὸ Ἰαγέρου ἐκπεμπομένας; (Hist. de Photius, p. 26.—)

[2] Hist. de Photius, p. 28 καὶ 30.

[3] Ὁμήρ. Ἰλ. Ε, 127.

[4] Ὀρθῶς ὁ ἀθῶος Πατριάρχης προέθλεπεν, ὡς οἱ πανταχοῦ αἰτίαν κατ' αὐτοῦ ζητοῦντες εἰς αὐτὸν

Digitized by Google

" Ἀλλ' οὔτε τὸν ἡμέτερον ζῆν ἐστι δυνατόν, οὔτε ἡμᾶς ἐνταῦθα μένειν, οὕτω " διαιρεθέντας. . . . . Ἐξερχόμεθα τοῦ τόπου· παυέτω φθόνος. . . . . " Καὶ τὸν κονιορτὸν ἐκτινάσσοντες, ἀποτιθέμεθα τὸν θρόνον· ἀποτιθέσθωσαν " τὸν καθ' ἡμῶν δόλον, τὰς ἐπιτηρήσεις, τὰς ἐνέδρας, τὰς ἐπιβουλάς. Ὦ δίκη, καὶ " νόμοι, καὶ Θεοῦ κριτήρια! ὅτι μὴ πατοῦμεν ἡμᾶς ἀδικοῦμεν, καὶ ὅτι στέργομεν " οὐ φιλούμεθα, καὶ ὅτι ὑπὲρ ὑμῶν ἱστάμεθα, διχαζόμεθα." [1] Καὶ αὖθις πρὸς τὸν αὐτὸν περὶ τοῦ Χαρτοφύλακος Βλασίου, τοῦ πολλὰ καὶ χαλεπὰ τὴν Ἀρχὴν λοιδοροῦντος, καὶ διὰ τοῦτο τὴν γλῶσσαν ἀποτμηθέντος, γράφων ὁ πρᾶος καὶ ἀμνησίκακος Πατριάρχης, πικρῶς τὸ γενόμενον κατακρίνει, καὶ τελευτῶν κατενώπιον Θεοῦ διαμαρτύρεται, λέγων· " Ἐν σοὶ δ' ἐστὶ τὸ λοιπόν, ἢ πρώτην, ἢ τελευταίαν τήν δε τὴν ἐπιστολὴν " δέξασθαι· Ἐγὼ γὰρ κατενώπιον Κυρίου λέγω, ὡς, εἰ οὕτως ἐστὶν ὑμῖν " σκοπὸς ἐν ταῖς εὐλόγοις ἡμῶν ἱκεσίαις καὶ παρακλήσεσι παρακρούεσθαι ἡμᾶς καὶ ἀπο- " πέμπεσθαι, καὶ εἰ μή τις γένηται τῷ ἀθλίῳ ἐκείνῳ παραψυχὴ καὶ παράκλησις, οὔτε " γράψω, οὔτε ἄλλως πως ἐνοχλήσω· ἀλλ' ἡσυχάσω, ἐμαυτὸν ἐπισκοπῶν καὶ τὰ ἐμαυτοῦ " ὀδυρόμενος κ.τ.λ." [2] Οὐ μόνον δὲ πρὸς Βάρδαν ταῦτα μετὰ παῤῥησίας ἔγραφε, κατενώπιον Κυρίου ἐπὶ τοῖς γινομένοις κακοῖς διαμαρτυρόμενος, καὶ τὸν θρόνον

ἀνοίσουσι τὰς συμφοράς, ἃς διὰ τὴν ἑαυτῶν ἀβουλίαν ὑπέστησαν, ἀναιδῶς κατὰ τῆς Ἀρχῆς στασιάζοντες. Διὰ τοῦτο δὴ καὶ περιαλγὴς ἀνακράζει· " Ἐξερχόμεθα τοῦ τόπου . . . ἀποτιθέμεθα τὸν θρόνον." Ἀλλὰ ταῦτα Ἰάγερος οὔτε βλέπει οὔτε ἀκούει· λέγει δὲ καὶ βεβαιοῖ μηδὲν περὶ τούτου λέγειν τὸν Φώτιον· " Il avait entre ses mains un moyen facile, qui était de descendre de son trône Patriarcal, et d'y replacer le pasteur légitime. *Photius n'en parle pas*" (!!!). Οὐχ οὕτω δὲ περὶ Φωτίου κρίνουσιν οἱ καθαρεύουσι τοῖς ὀφθαλμοῖς τοὺς ἐκείνου λόγους ἀναγινώσκοντες, ὧν καὶ Φραγκῖσκός ἐστιν ὁ Φοντάνας, τάδε περὶ τούτου λέγων· " Dire angebatur animo Photius, cumque videret sui causa malis quibusque affici insontes, Bardam compellat datis ad ipsum Epistolis, in quibus cordis fui crutiatus ob res Ecclesiæ pesumdatas ex obortis simultatibus aperiens. Ἐξερχόμεθα τοῦ τόπου, ait, παυέτω φθόνος κ.τ.λ. Num igitur dicendum Photium affectasse Patriarchatum, idque malis quibusque artibus, qui loco ultro cedit ne aliorum in se invidia insontibus obsit?" τοῦτ' ἔστιν· " Περιαλγὴς τὴν ψυχὴν ὁ Φώτιος, " ὅτι διὰ τὸν κατ' αὐτοῦ φθόνον ἀθώους ἔβλεπε δεινοπαθοῦντας, πρὸς Βάρδαν ἐπιστέλλει δεινολογούμενος " ἐπὶ τοῖς γινομένοις, ἃ τὴν Ἐκκλησίαν συνετάραττεν. Λέγει τοίνυν ' Ἐξερχόμεθα τοῦ τόπου . . . παυέ- " τω φθόνος κ.τ.λ.' Πῶς οὖν ἄν τις εἴποι Φώτιον διὰ πάσης δολιότητος τὴν Πατριαρχείαν ἐπιζητεῖν, " ὃς ἡδέως τε καὶ προθύμως ταύτην ἀπετίθετο, μὴ διὰ τὸν κατ' αὐτοῦ φθόνον ἀθῶοι κακῶς πάσχοιεν;"— (Franc. Fontana—Novæ eruditorum deliciæ. Tom. I. p. XXVII. Florentiæ 1785). Ἴδε καὶ Δοσίθεον ἐν Τόμῳ Χαρᾶς· σελ. δ'—έ, καὶ Πέτραν Σκανδάλου ὑπὸ Ἡλ. Μηνιάτου· σελ. 24. Ἀθήνησι 1840· ἔτι δὲ καὶ Νέανδρον αὐτόν· ὃς τ' ἄλλα τοῖς Φωτιομάχοις ἑπόμενος, ἐνταῦθα Φώτιον ἀθῶον καὶ ἀναίτιον ἀποφαίνεται, οὐδὲν ἐκείνῳ προσήκειν λέγων τὰ τῶν Ἰγνατιανῶν παθήματα. (Neander—Ἐκκλ. Ἱστορ. Τόμ. Ε', σελ. 303 τῆς Ἀγγλ. μεταφρ· ὑπὸ Joseph Torrey, 1852). Λυπηρὸν δὲ τὸ τοῦ Σαϊντ-Κροΐου, ὅτι καὶ οὗτος τοῖς Φωτιομάχοις συντασσόμενος ἀβασανίστως, ὑπόκρισιν καὶ δόλον ἐν τοῖς Φωτίου λόγοις ἀνευρίσκει· καὶ λυπηρόν, λέγομεν, ὅτι λοιδορίαι τοιαῦται, τῷ Ἰαγέρου πρέπουσαι μυθιστορήματι, κηλίδες εἰσὶν ἀπρεπεῖς τῷ ἄλλως πολυτίμῳ ἐκείνου συγγράμματι—Examen Critique des Historiens d'Alexandre le Grand—ἔνθα ὅρα σελ. 753—4.

[1] Ἐπιστ. ρνζ'.

[2] Ἐπιστ· ρνθ'.

Digitized by Google

προθύμως ἀποτιθέμενος, ἀλλὰ καὶ πρὸς τὸν Πάπαν Νικόλαον ταὐτὰ γράφει ἐν τῇ ἀπολογητικῇ ἐπιστολῇ, λέγων, ὅτι καὶ ἄκων εἰσῆλθε, καὶ ἄκων ἐπὶ τοῦ θρόνου καθέζεται, εἰ καὶ πολυτρόπως ηὔχετο τῆς Ἀρχῆς ταύτης ἀπαλλαγῆναι. "Οὕτως ἐγὼ (λέγει) τοῦ "θρόνου ἐφίεμαι, καὶ οὕτω σφόδρα ἀντέχομαι. Οὐ γὰρ ἀρχομένῳ μὲν βάρος ἦν ὁ θρόνος, "προϊόντι δὲ δι' ἐπιθυμίας ἐγίνετο· ἀλλ' ὥσπερ ἄκων εἰσῆλθον, οὕτως "ἄκων καθέζομαι· καὶ τοῦ βιασθῆναι πρὸς τὴν εἴσοδον μετὰ τῶν ἄλλων ἐναργὴς "ἀπόδειξις τὸ μέχρι τοῦ νῦν ἀπ' ἀρχῆς τῆς ἀρχῆς ταύτης ἐθέλειν "ἐξίστασθαι."[1]

λ'. Οὕτω τοίνυν καθαρῶς διαμαρτυρομένου ΦΩΤΙΟΥ, καὶ πάντα ποιοῦντος ὑπὲρ τῶν δεινοπαθούντων Ἰγνατιανῶν, καὶ προθύμως ὑπὲρ τῆς κοινῆς ἁπάντων ὁμονοίας ἀποτιθεμένου τὸν θρόνον, τί ἄν τις εἴποι πρὸς Ἰάγερον, ἄλλα τε πολλὰ καταφλυαροῦντα ΦΩΤΙΟΥ, καὶ δὴ καὶ λέγειν τολμῶντα, ὡς εἶχε μὲν πρόχειρον τὴν τῶν κακῶν θεραπείαν, τὸ τοῦ θρόνου ἀποστῆναι, οὐ μέντοι ἐχρήσατο ταύτῃ, οὐδέ λόγον περὶ τούτου ἐποιήσατο; Ἤπου ἀρκέσει λεγόμενον αὐτῷ τὸ τοῦ Ἡσαΐου, ὅτι τὸ κατὰ ΦΩΤΙΟΥ πάθος τετύφλωκεν αὐτοῦ τοὺς ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτοῦ τὴν καρδίαν; Ὁ μὲν οὖν ἦν ἐπὶ ΦΩΤΙΩι, τοῦτο δὴ καὶ ἐγένετο· Ἰγνάτιον δὲ εἰς τὸν Πατριαρχικὸν ἐπαναγαγεῖν θρόνον,

. . . . . Βάρδα ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο,

οὔτε ΦΩΤΙΟΥ, οὔτ' ἄλλου τινὸς τῶν ἐπὶ γῆς ἦν ἀνθρώπων. Ἐκεῖνος γὰρ τοσούτῳ μᾶλλον κατ' Ἰγνατίου καὶ τῶν φίλων αὐτοῦ ἠγανάκτει, καὶ παντοίοις αὐτοὺς ὑπέβαλλε διωγμοῖς, ὅσῳ στασιάζοντας ἑώρα, καὶ τὴν πολιτείαν μετὰ τῆς Ἐκκλησίας ἄνω καὶ κάτω ποιοῦντας, καὶ τῇ τῶν εἰκονομάχων αἱρέσει ἀφορμὴν παρέχοντας ἀνακύπτειν αὖθις εἰς μέσον, καὶ τὴν Ἐκκλησίαν λυμαίνεσθαι. Διὰ δὴ ταῦτα πολλὰς μὲν αὐτοὶ καὶ δεινὰς ὑπέστησαν κακώσεις, ἄκοντος ΦΩΤΙΟΥ καὶ διαμαρτυρομένου ὑπὲρ αὐτῶν, καὶ Ἰγνάτιος δὲ πολλὰ παθὼν ὑπὸ Βάρδα, τέλος εἰς Μιτυλήνην ἐξορίζεται, μηνὸς ἀρχομένου Αὐγούστου τοῦ 858 ἔτους· ἐκεῖ δὲ μῆνας διατρίψας ἓξ, αὖθις εἰς Τερέβινθον ἐπανάγεται.[2]

---

[1] Ἐπιστ· Γ', § γ'.

[2] "Οτι μὲν πολλὰ καὶ δεινὰ ὁ ἀγαθὸς Ἰγνάτιος ὑπὸ Βάρδα πέπονθεν, οἷα δὴ καὶ ἄλλοι τῶν Πατριαρχῶν πολλοί, ὅσοι ποτὲ τοῖς κρατοῦσιν ἀντέστησαν, καὶ Φώτιος αὐτός, ὅτε γενναίως, καὶ ἅμα δικαίως, τὸν Αὐτοκράτορα Βασίλειον ἤλεγξε, τοῦτο καὶ ἡ Ἐκκλησιαστικὴ Ἱστορία πρὸς τιμὴν τῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας ποιμένων μαρτυρεῖ, καὶ οὐδεὶς ἂν ἔχοι ἀντιλέγειν. "Οτι δὲ Νικήτας ὁ Παφλαγὼν τὰ Ἰγνατίου ἱστορῶν παθήματα πολλαῖς κέχρηται καὶ μεγάλαις ὑπερβολαῖς, καὶ λόγους πλάττει μυθώδεις, τούτου τῶν τὸν Ἰγνατίου βίον ἀναγινωσκόντων οὐδεὶς ἂν ἔξαρνος γένοιτο· ὥσπερ δὴ καὶ ἐν τοῖς ἔμπροσθεν ἡμῖν εἴρηται, ἄλλους τε καὶ Νέανδρον αὐτὸν εἰς μαρτυρίαν προβαλλομένοις (§ β', σημ. 2). Μάλιστα δὲ πάντων ἃ περὶ τῆς Ἰγνατίου φυγῆς καὶ τοῦ ὀνείρου τοῦ Καίσαρος Βάρδα διατραγῳδεῖ, μυθολογικώτατον δείκνυσι τὸν ἄνθρωπον καὶ ἀμετροεπῆ. Ἔχει δ' αὐτῷ ὁ Βάρδα ὄνειρος οὑτωσί· "Οὐ κατα- "σιγήσω δὲ ἐγὼ τὸν τοῦ Καίσαρος ὄνειρον, οὐδὲ δίκαιον . . . . . Βάρδας ὁ Καῖσαρ οὗτος Φιλόθεον "ἐκεῖνον Γενικόν ποτε Λογοθέτην καὶ φίλον αὐτῷ πιστὸν ὄντα προσκαλεσάμενος, λίαν ἐφκει τεθορυβη- "μένῳ· καὶ ἄσθματι πυκνῷ συνεχόμενος,—Ὦ Φιλόθεε, ἔφη, ὅραμα εἶδον, καὶ πάντα μου συνέτριψε τὰ

Digitized by Google

λά. Τούτων τοίνυν οὕτως ἐχόντων, καὶ τῆς Ἐκκλησίας συνταραττομένης, βουλόμενος ὁ Αὐτοκράτωρ τὴν εἰρήνην ἐπαναγαγεῖν, καὶ τὰς ἀναφυομένας αἱρετικὰς ταραχὰς καταπαῦσαι, Σύνοδον Οἰκουμενικὴν ἔγνω συγκαλέσαι ἐν Κωνσταντινουπόλει, ὀγδόην ταύτην μετὰ τὴν ἐν Νικαίᾳ κατὰ τῶν εἰκονομάχων συνελθοῦσαν. Καὶ δὴ γράφει πρὸς τὸν Πάπαν Νικόλαον, καὶ πρέσβεις ὡς αὐτὸν δωροφόρους, ὥσπερ εἴθιστο, ἀποστέλλει· καὶ τὴν ἀνάγκην τοῦ Συνοδικῶς τὴν τῶν εἰκονομάχων ἀναβλάστησιν ἐκκοπῆναι ὑποδεικνύς, παρεκάλει πέμπειν πρὸς τοῦτο τοὺς ἑαυτοῦ τοποτηρητάς· ἅμα δὲ καὶ τὰ κατὰ ΦΩΤΙΟΝ προσετίθει, ὡς ἐγένετο, οὐ τῶν γενομένων ἐξαιτούμενος τὸ κῦρος, ἀλλὰ πᾶσαν παρὰ τῶν Ἰγνατιανῶν ψευδῆ περὶ τούτων εἰσήγησιν προκαταλαμβάνων, καὶ οἷον ἐξ ἐπισήμου παρέχων αὐτῷ τὴν τῶν γεγονότων ἀλήθειαν καταμαθεῖν. Αὕτη δὲ ἡ τοῦ Αὐτοκράτορος πρὸς τὸν Πάπαν Νικόλαον ἐπιστολή, οὐ διασωθεῖσα μὲν μέχρις ἡμῶν, ἐκ δὲ τῆς τοῦ Πάπα ἀπαντήσεως καὶ ἐξ ἑτέρας αὐτοῦ ἐγκυκλίου ἐπιστολῆς πρὸς τοὺς ἁπανταχοῦ

" ὁστᾶ, καὶ τοὺς ἁρμοὺς τῆς ὀσφύος μου ἔλυσεν. Ὤμην γὰρ κατὰ ταύτην τὴν νύκτα, ὡς δῆθεν προε-
" λεύσεως οὔσης, εἰς τὴν μεγάλην Ἐκκλησίαν μετὰ τοῦ Βασιλέως εἰσιέναι· κατὰ πάσας δὲ θυρίδας τὰς
" ἄνω καὶ τὰς κάτω εἰκόνας ὁρᾷν ἐδόκουν Ἀρχαγγελικὰς πρὸς τὸν ναὸν βλεπούσας. Καὶ ὅτε πλησίον
" ἦμεν τοῦ ἄμβωνος, ὤφθησαν ὥσπερ κουβικουλάριοι * δύο ἀπότομοι καὶ ἐμβριθεῖς· ὧν ὁ μὲν δέσμιον
" τὸν Βασιλέα λαβών, καὶ ἐπὶ τὰ δεξιὰ κατασύρων ἐξωθεῖτο τῆς σολέας,** κατακρίνων ὡς ὑπεύθυνον·
" ἐμὲ δὲ ὁ ἕτερος ὁμοιοτρόπως διὰ τῶν ἀριστερῶν ἀπῆγεν. Ἄφνω δὲ περιβλεψάμενος ὁρῶ ἐν τῷ συνθρό-
" νῳ τοῦ ἀδύτου καθήμενον ἄνδρα γηραλέον, ἀπαραλλάκτως ἐοικότα τῇ εἰκόνι τοῦ κορυφαίου τῶν Ἀπο-
" στόλων Πέτρου. Καὶ αὐτῷ δύο τινὲς παρειστήκεισαν φοβεροί, πραιποσίτων*** τάξιν ἐπιφαίνοντες.
" Ὁρῶ δὲ πρὸς τοῖς γόνασι τοῦ καθημένου τὸν Ἰγνάτιον ἱκετεύοντα, καὶ πολλοῖς δάκρυσι περιῤῥαινόμενον
" οὕτως, ὥστε κἀκεῖνον αὐτῷ συλλυπούμενον στενάξαι· καὶ αὐτὸς ἐβόα· ' Κλειδοῦχε τῆς βασιλείας τῶν
" ' οὐρανῶν, καὶ πέτρα, ἐφ ᾗ Χριστὸς ὁ Θεὸς τὴν Ἐκκλησίαν ἐστηρίξατο, εἰ οἶδας, ὅτι ἠδικήθην, παραμύ-
" ' θησόν μου τὸ πολύθλιπτον γῆρας.' Ὁ δὲ πρὸς αὐτόν, ' δεῖξον, ἔφη, τὸν ἀδικήσαντά σε, καὶ ὁ Θεὸς σὺν
" ' τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν.' Καὶ στραφεὶς ὁ Ἰγνάτιος, τῇ δεξιᾷ χειρὶ ἐπέδειξεν ἐμέ, λέ-
" γων· ' Οὗτος περισσότερον πάντων ἐλυμήνατό με, καὶ κόρον τῆς κατ' ἐμοῦ ὕβρεως οὐκ ἔσχεν.' Νεύ-
" σας οὖν ὁ ἐπὶ τοῦ θρόνου πρὸς τὸν ἐκ δεξιῶν αὐτοῦ καθεστηκότα, καὶ μικρὰν πάνυ μάχαιραν ἐκβαλών,
" εἰς ἐπήκοον πάντων ἀπεφήνατο· ' Τὸν θεόργιστον Βάρδαν παράλαβε, καὶ πρὸ
" τοῦ νάρθηκος ἔξω κατάκοψον μεληδόν.' Αὐτίκα τοίνυν ἑλκόμενος δῆθεν πρὸς θά-
" νατον εἶδον, ὅτι καὶ τῷ Βασιλεῖ τὴν χεῖρα ἐπισείων, ' Ἔκδεξαι, ἔφη, ἀσεβότεκνον.' Καὶ
" οὕτως ἐμαυτὸν εἶδον, ὡς ὑπαρ καταμελιζόμενον.— Ταῦτα μὲν οὖν ὁ Καῖσαρ θαμβούμενος ἅμα καὶ κλαί-
" ων ἐξηγεῖτο κ.τ.λ κ.τ.λ." Καὶ τοιοῦτος μὲν ὁ τοῦ Βάρδα ὄνειρος, οἷον αὐτὸν Νικήτας ἐξύφανεν, ἢ ὅστις ποτ' ἂν ἦ ὁ τοῦ μύθου τούτου πατήρ. Τὸ γὰρ Πέτρον τὸν Ἀπόστολον ἐπὶ τοῦ συνθρόνου παραστῆσαι καθήμενον, ἀλλὰ μὴ τὸν Χριστὸν αὐτόν, ὑπὲρ οὗ κακοπαθεῖν ἐδόκει Ἰγνάτιος, ἤ γουν Ἰάκωβον τὸν ἀδελφόθεον, ὃν μάλιστα ἐφίλει Ἰγνάτιος, ὡς Νικήτας αὐτὸς ἱστορεῖ, καὶ τὸ μάχαιραν ἔχειν τὸν Πέτρον ἐν αὐτῷ τῷ συνθρόνῳ τοῦ ἀδύτου, ὅθεν οὐ μάχαιραι πρὸς ἀνθρωποκτονίαν, ἀλλ' ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος ἐκπηγάζουσι, καὶ ὅθεν εἰρηνεύειν ἀλλήλοις καὶ ἀγαπᾷν ἀλλήλους διδασκόμεθα, καὶ ὅπου μετὰ φόβου Θεοῦ, Πίστεως καὶ Ἀγάπης προσέρχεσθαι κελευόμεθα, ταῦτα πάντα Παπιστὴν ὑποδεικνύουσιν εἶναι τὸν τοῦ ὀνείρου πατέρα, ἤ γουν Παπίζειν αὐτὸν τὸν Νικήταν. Εἰ δὲ τὰ τοιαῦτα διηγήματα ἀληθινὰ τυγχάνει ὄντα, καὶ πάσης προ-

* Ἐκ τοῦ Λατ. cubicularius=κατακοιμιστής, παρακοιμώμενος.— ** Καὶ τοῦτο ἐκ τοῦ Λατ. sol, solis (ὁ ἥλιος)· λέγεται καὶ ἁρσ. ὁ σολέας=μέρος τοῦ ναοῦ παρὰ τὸν ἄμβωνα. Ἴδε Κ. Κουροπαλάτου. σελ. 90 καὶ 94 (ἔκδ. Βόννης).— *** Καὶ τοῦτο ἐκ τοῦ Λατ. præpositus (μετ. τοῦ ῥήμ. præpono)=προστάτης, ἐπιστάτης.

Digitized by Google

πιστοὺς γινωσκομένη, καὶ ὑπὸ πολλῶν μνημονευομένη, ἅμα τῇ τοῦ ΦΩΤΙΟΥ ἐνθρονιστικῇ, περὶ ἧς ἐν τοῖς ἔμπροσθεν (§ κή) εἴρηται, ἐπεδόθησαν τῷ Πάπᾳ Νικολάῳ ὑπὸ τῶν πρέσβεων, οἵπερ καὶ λόγῳ πάντα ἐξήγγειλαν αὐτῷ τὰ ἐν Κωνσταντινουπόλει γενόμενα, ὡς ἐγένετο. Ἀλλὰ καὶ τῶν Ἰγνατιανῶν τινες εἰς Ῥώμην ἀφίκοντο, τοῦ τε Ἰγνατίου ἐπιστολὴν πρὸς Νικόλαον κομίζοντες, καὶ τὰ καθ' ἑαυτοὺς ἐκτραγῳδοῦντες, καὶ προστάτην αὐτὸν καὶ ἀντιλήπτορα ἐπικαλούμενοι.

λβ'. Ταῦτα τοίνυν δεξάμενος ὁ Πάπας Νικόλαος τὰ γράμματα, καὶ τοὺς ἑκατέρωθεν ἀκούσας λόγους, ὑπερήσθη, ὡς εἰκός, ὅτι τοῖς φιλοδόξοις αὐτοῦ ὀνείρασι συναγωνιζόμενον ἔβλεπε τὸν καιρόν. Ἦν γὰρ δὴ ὁ ἄνθρωτος, ὡς παρὰ πολλῶν ὁμολογεῖται, καὶ ἐκ τῶν ἰδίων αὐτοῦ καταφαίνεται ἔργων, ἀλαζονικώτατος καὶ τυραννικώτατος, καὶ τὴν ἐκ πολλοῦ ὑποδειχθεῖσαν τῶν ἐν Ῥώμῃ Ἐπισκόπων φιλοδεσποτείαν, εἴπέρ τις καὶ ἄλλος,

---

λήψεως ψεύδους ἀπηλλαγμένα (φησὶ γὰρ ὁ Νικήτας ἐν προοιμίῳ τῆς ξυγγραφῆς αὐτοῦ, τῆς Ἰγνατίου, λέγω, βιογραφίας, ὅτι "σφοδρὸς κατακάρδιος τῆς ἀληθείας πόθος κατέλαβεν αὐτὸν ἀληθινοῖς διηγήμασι καὶ πάσης προλήψεως ἀπηλλαγμένοις ψεύδους, τὸν μέγαν Ἱεράρχην καὶ ποιμένα τῆς βασιλίδος Ἰγνάτιον ὁποῖός τις ἦν ἀποδεῖξαι"), οὐ χαλεπὸν διαγνῶναι τὸν ἀναγινώσκοντα. Περιττὸν δὲ λέγειν, ὡς ἡ τοῦ ὀνείρου τούτου διήγησις πάντων τῶν τοὺς Νικήτα λήρους ἀντιγραψάντων κατακοσμεῖ τὰ συγγράμματα, μάλιστα δὲ τὴν Ἰαγέρου Ἱστορίαν (σελ. 121—2), ὃς καὶ προστίθησι θαῦμα τοῦτο πάντας ἠγήσασθαι τοὺς τότε συγγραφεῖς. Τόστης δὲ οὐ μόνον ἀντιγράφει, ἀλλὰ καὶ συμπληροῖ τὸν ὄνειρον, πρὸς τὰ μετὰ ταῦτα γενόμενα συμβιβάσαι τοῦτον φιλοτιμούμενος, καὶ οἷον τὴν τοῦ πρώτου συῤῥάψαντος τὸν ὄνειρον διορθῶν ἀβλεψίαν. Ὅθεν δή φησι μὴ μόνον Βάρδαν ἐν τῷ νάρθηκι κρεουργηθῆναι, ἀλλὰ καὶ αὐτὸν τὸν Αὐτοκράτορα· εἰκότως νὴ Δία τὸν τοὺς τοιούτους ὀνείρους καταπέμποντα! Οὐ γὰρ μόνον ὁ Βάρδας ἀπέθανεν ὑπὸ Βασιλείου τοῦ Μακεδόνος κρεουργηθείς, ἀλλὰ καὶ Μιχαὴλ αὐτὸς ὑπ' αὐτοῦ τούτου τοῦ Βασιλείου. Ἔδει τοίνυν τὸν ὄνειρον, ἀμφοτέρους ὡς ἐν σκηνῇ τῇ Ἐκκλησίᾳ παραστήσαντα, καὶ ἀμφοτέρους δεῖξαι κρεουργουμένους ἐν τῷ νάρθηκι· καὶ τοῦτο Νικήτα μὴ καλῶς προϊδόντος, μηδὲ προσθέντος τῷ ὀνείρῳ, ἀλλὰ μόνον Βάρδαν δείξαντος κρεουργούμενον, Τόστης ὁ καλὸς Νικήτα καὶ Ἰαγέρου μεταφραστὴς προσθεῖναι δεῖν ᾠήθη τῷ ὀνείρῳ, καὶ προσέθηκεν ὁ ἄνθρωπος, λέγων· " Allora ad un cenno del' Apostolo parvemi che uno de' suoi assistenti eseguisse su di me e l'Imperadore la sua sentenza:— Traeteli fuori, e mettete in pezzi le loro membra col ferro" (Stor. dell' origine etc. Tom. I. p. 313). Ἐπειδὴ τοίνυν Νικήτας, ἐξ οὗ τὸν ὄνειρον Τόστης μεταφράζει, οὐ λέγει τὸν Αὐτοκράτορα κρεουργηθῆναι ἐν τῷ νάρθηκι μετὰ τοῦ Βάρδα, ἀλλὰ μόνον ἀπειληθῆναι διὰ τοῦ "ἔκδεξαι, ἀσεβότεκνον," ὁ καλὸς Τόστης τὴν ἔλλειψιν ἀναπληρῶν, καὶ τοῦτο προστίθησιν, ὅπως μηδὲν ἐλλιπὲς ἔχῃ πρὸς τὰ γενόμενα ὁ ὄνειρος. Οὕτως ἄρα συμβαίνει τοὺς τὰ Νικήτα ἀντιγράφοντας Παπιστὰς μὴ τούτοις μόνοις ἀρκεῖσθαι, ἀλλὰ καὶ τὰ ἴδια αὐτῶν προστιθέναι, ὥσπερ καὶ ἀρχόμενοι ἐλέγομεν (§ β'), ὅπως τὴν Φωτίου ἐξυβρίσωσιν ἀρετήν. Ἀλλὰ καὶ οὕτως οὐδὲν ἀνύουσιν οἱ ἀσύνετοι· καὶ γὰρ ἐξ αὐτοῦ τοῦ ὀνείρου (εἰ χρὴ πιστεύειν ὀνείροις, καὶ ταῦτα οὕτως ἀσεβῶς πεπλασμένοις), ὥσπερ δὴ καὶ ἐκ τοῦ πρὸς τὸν Πάπαν Νικόλαον λιβέλλου τοῦ Ἰγνατίου, ὃν ἐν τοῖς ἔμπροσθεν (§ κή) εἴδομεν, οὐ Φώτιος δείκνυται τῶν Ἰγνατίου δεινῶν αἴτιος, ἀλλ' ὁ Καῖσαρ μετὰ τοῦ Αὐτοκράτορος. Ἴσως μέντοι τῶν Φωτιομάχων τις τὴν ἔλλειψιν ταύτην τοῦ τε λιβέλλου καὶ τοῦ ὀνείρου συνιδὼν ἐπιχειρήσει ἀμφότερα συμπληροῦν, ἐν μὲν τῷ λιβέλλῳ συγκατηγορούμενον, ἐν δὲ τῷ ὀνείρῳ συγκρεουργούμενον τῷ Βάρδᾳ καὶ Μιχαὴλ παρεμβάλλων τὸν Φώτιον, ἤ γουν εἰς Σκέπην (ἔνθα μετὰ ταῦτα ὑπὸ Βασιλείου ἐκθρονισθεὶς διῆγεν ἐξόριστος) τῇ τοῦ Ἀποστόλου Πέτρου κελεύσει δέσμιον φρουρούμενον. Τούτου δὲ γενομένου, πλήρης νὴ Δία ἔσται ὁ ὄνειρος, καὶ οὐδὲν ἐλλιπὲς ἕξει πρὸς τὰ ἐν Κωνσταντινουπόλει τῇ τοῦ Πάπα ῥαδιουργίᾳ γενόμενα.

Digitized by Google

ἀσκῶν, καὶ παντὶ σθένει ταύτην φιλοτιμούμενος προάγειν.[1] *Τοῦτο δὲ κατὰ τοὺς Παπιστὰς ἡ μεγίστη ἐστὶ τῶν ἀρετῶν, δι' ἣν μάλιστα θαυμάζουσι τὸν Πάπαν Νικόλαον, μέγαν αὐτὸν ἐπικαλοῦντες, καὶ Γρηγορίῳ τῷ μεγάλῳ (590—604) ἀσεβῶς ἐξομοιοῦντες.*[2]

---

[1] *Περὶ τῆς τοῦ Πάπα Νικολάου ἀλαζονείας ἄλλα τε πολλὰ παρὰ πολλῶν ἱστορεῖται, καὶ ὅτι πρῶτος αὐτὸς ἐπὶ τῆς Παπικῆς τιάρας Βασιλικὸν ἐπιθεῖναι στέμμα ἐτόλμησεν. Καὶ πρὸς αὐτοὺς δὲ τοὺς Βασιλεῖς καὶ Αὐτοκράτορας πολλὴν ἐπεδείκνυτο τὴν ὑπεροψίαν. Οὗτος γὰρ καὶ τὸν Αὐτοκράτορα Λουδοβῖκον τὸν Β' ἠνάγκασεν, ὡς λέγεται, πεζῇ προπορεύεσθαι αὐτοῦ, τὸν ἵππον ἐκ τῶν ῥυτήρων ἐφέλκοντα.* (*Ἴδε Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 290—1 καὶ Πέτραν Σκανδάλου ὑπὸ Ἠλ. Μηνιάτου, σελ. 26, ἔτι δὲ καὶ Παπιστ. ἐλέγχων προλεγ. Τόμ. Α', σελ. κθ'—λ', καὶ Ἀμφιλοχ. Προλεγ. σελ. κ', καὶ Σπ. Ζαμπελίου "Βυζαντινὰς Μελέτας," σελ. 455*). *Τὴν δὲ τοιαύτην τοῦ Νικολάου ἀλαζονείαν καὶ τῶν ἑτεροδόξων οἱ φιλαλήθεις μετὰ θαυμασμοῦ καὶ ἐκπλήξεως ἱστοροῦσιν. Ὁ γὰρ τῆς τῶν Παπῶν ἱστορίας συγγραφεὺς τάδε περὶ τούτου φησίν·* "Deux jours après il mangea avec l'Empereur ; et l'alla visiter, quand il fut sorti de Rome, au lieu nommé Quintus. Il fit paraitre en cette occasion un *orgueil insupportable, et justifia que l'Humilité se trouve très rarement sous le Harmois Ecclésiastique.* Car il souffrit non seulement que l'Empereur vint à pied au devant de lui, mais encore qu'il tint son cheval par la bride, et qu'il le conduisit, en qualité d'Ecuyer, la longeur d'un trait d'arc. Uu autre auteur ajoute, que l'Empereur baisa le pied du Pape : ce qui me parait une horrible Lacheté dans un Prince, qui était souverain de Rome et de son Pontife, etc. (Hist. des Papes depuis St Pierre jusqu'à Benoit XIII. Tom. II. p. 36—37). *Ὁ δὲ Γίββων ἀλαζονικώτατον καὶ πλεονεκτίστατον τῶν Ῥωμαίων Ποντιφίκων ἀποκαλεῖ τὸν Νικόλαον*—one of the proudest and most aspiring of the Roman Pontiffs (*ἔνθ. ἀνωτ. σελ.* 449).

[2] Depuis Grégoire le Grand (*λέγει ὁ Ἰάγερος*) le siége de Rome n'avait pas un Pontife aussi distingué. Il avait l'*idée la plus complète de la Papauté,* et il a su la réaliser dans des temps bien difficiles. (Hist. de Photius, p. 32—33). *Τίς δὲ κατ' Ἰάγερον ἡ πληρεστάτη τῆς Παπικῆς Ἀρχῆς ἰδέα; Οὐδὲν ἔλαττον, ἢ τὸν Πάπαν Ἡγεμόνων καὶ τυράννων κρατεῖν, καὶ τούτων ἄρχειν, ὡς ὁ Θεὸς τοῦ παντὸς Κόσμου. Τοῦτο δὲ αὐτὸς μὲν οὐ λέγει, ἕτερον δὲ παράγει τὸν λέγοντα, Ἀββᾶν καὶ τοῦτον, τὸν χρονογράφον Ῥηγῖνον·* "Post beatum Gregorium usque in praesens nullus in Romana urbe illi videtur æquiparandus. Regibus ac tyrannis imperavit, eisque ac si Dominus orbis terrarum auctoritate praefuit. (Regino ad ann. 858)—*τοῦτ' ἔστιν—Ἀπὸ τοῦ θείου Γρηγορίου μέχρι τοῦ νῦν* (*μέχρι δῆλον ὅτι τοῦ ἔτους* 858) *οὐδεὶς ἐν Ῥώμῃ ἐφάμιλλος ἐκείνῳ ἀναδέδεικται. Οὗτος γὰρ* (*ὁ Νικόλαος*) *Ἡγεμόνων καὶ τυράννων ἐκράτησε, καί, ὥσπερ ὁ Θεὸς τοῦ σύμπαντος Κόσμου, οὕτω κἀκείνων ὁ Πάπας ἦρξεν." Τοῦτο κατ' Ἰάγερον καὶ τοὺς ὁμοίους αὐτῷ ἡ πληρεστάτη ἐστὶν ἰδέα τῆς Παπικῆς Ἀρχῆς· ἰδέα ὄντως Εὐαγγελική! ἰῶτα ἓν ἢ μίαν κεραίαν οὐκ ἀφισταμένη τῶν ἐντολῶν καὶ τῆς διδασκαλίας τοῦ ὑπὸ τῶν Παπῶν ἐκπροσωπουμένου Ἰησοῦ Χριστοῦ, καὶ τῶν Ἀποστόλων!!! Ὁ μὲν γὰρ Κύριος ἔλεγε τοῖς ἑαυτοῦ μαθηταῖς·* "*Οἴδατε, ὅτι οἱ* "*ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. ΟΥΧ ΟΥΤΩΣ* "*ΔΕ ΕΣΤΑΙ ΕΝ ΥΜΙΝ· ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔστω ὑμῶν διάκονος· καὶ* "*ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος· ὥσπερ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν" (Ματθ. Κ', 25—29). Καὶ αὖθις τῷ αἰτοῦντι αὐτὸν εἰπεῖν τῷ ἀδελφῷ μερίσασθαι μετ' αὐτοῦ τὴν κληρονομίαν ἀπεκρίνατο·* "*Ἄνθρωπε, τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς ;" (Λουκ. ΙΒ', 13—15). Καὶ ἀνακρινόμενος δὲ ὑπὸ τοῦ Πιλάτου* "*Ἡ βασιλεία ἡ ἐμή, ἔλεγεν, οὐκ ἔστιν ἐκ τοῦ Κόσμου τούτου." (Ἰωάν. ΙΗ', 36). Τούτοις δὲ συνῳδὰ καὶ οἱ Ἀπόστολοι διδάσκοντες ἔλεγον, ὁ μὲν Παῦλος* "*Ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Ἰησοῦν Χριστόν" (πρὸς Φιλιπ. Γ', 20)· καὶ* "*ἐν σαρκὶ περιπατοῦντες οὐ κατὰ σάρκα στρατευόμεθα· τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων" (πρὸς Κορινθ. Γ', 3 καὶ 4)· ὁ δὲ Πέτρος, οὗ διαδόχους ἀμέσους ἀπο-*

Digitized by Google

λγ'. Τοιοῦτος δὴ ὢν ὁ Πάπας Νικόλαος ὑπερήσθη τοῖς ἐν Κωνσταντινουπόλει γενομένοις. Καιρὸς γὰρ ἦν ἐκεῖνος λίαν εὐπρόσδεκτος αὐτῷ, ὅπως καὶ τῶν διαφερομένων δικαστὴν ὑπέρτατον ἑαυτὸν ἀναδείξῃ, καὶ χώρας τινάς, ὧν παραλόγως ἀντεποιεῖτο, προσκτήσηται,[1] καὶ ἄλλην λείαν ἐν τῇ ταραχῇ ἐκείνῃ ποιήσηται. Ἀλλὰ πάντα οὗλος

καλοῦντες ἑαυτοὺς ἀποσεμνύνονται οἱ τῆς Ῥώμης Ἐπίσκοποι, "Πρεσβυτέρους, λέγει, τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων . . . . . ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, Ἐπισκοποῦντες μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως, μηδὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως, μηδ' ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου." (Καθ. Α' Ἐπιστ. Ε', 1—4). Τὴν δὲ θείαν καὶ σωτήριον ταύτην διδασκαλίαν καὶ ἡ τῆς Δύσεως Ἐκκλησία ἐγίνωσκέ τε καὶ ἐτίμα μεχρι τινός· καὶ κατὰ ταύτην ἄλλοι τε τῶν Ἐπισκόπων αὐτῆς ἐφρόνουν καὶ ἐποίουν καὶ ἐδίδασκον, καὶ Ὅσιος ὁ Κορδούβης Ἐπίσκοπος πρὸς Κωνστάντιον τὸν Αὐτοκράτορα γράφων ἔλεγεν· "Ἀπόδοτε, γέγραπται, τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Οὔτε τοίνυν ἡμῖν ἄρχειν ἐπὶ τῆς γῆς ἔξεστιν, οὔτε σὺ τοῦ θυμιᾶν ἐξουσίαν ἔχεις, Βασιλεῦ. (Ἴδε τὴν ἐπιστολὴν ταύτην ἐν τῷ βίῳ Ὁσίου τοῦ Ὁμολογητοῦ—Κ. Κοντογόνου φιλολ. καὶ κριτικὴ Ἱστορία τῶν Ἁγίων Πατέρων, Τόμ. Β', σελ. 56—71). Καὶ Γρηγόριος δὲ ὁ μέγας, ᾧ τὸν Νικόλαον παραβάλλοντες ἀσεβοῦσι, τὰ προεκτεθέντα τοῦ Σωτῆρος ἡμῶν καὶ τῶν μαθητῶν αὐτοῦ καὶ Ἀποστόλων λόγια τοὺς ἐκ τοῦ Κλήρου πάντας ἀναμιμνήσκει ἐν τῷ περιωνύμῳ αὐτοῦ συγγράμματι, ὃ ἐπιγέγραπται "Librum regulæ pastoralis," φεύγειν διδάσκων τὴν ἀλαζονείαν καὶ τὸ βούλεσθαι τῶν ἄλλων κατάρχειν. Αὐτὰ δὲ ταῦτα διδάσκει καὶ ἐν ταῖς πρὸς τὸν Αὐτοκράτορα Μαυρίκιον καὶ τὸν Πατριάρχην Ἰωάννην τὸν Νηστευτὴν ἐπιστολαῖς, ἐν αἷς τὸν ψιλὸν τίτλον "Οἰκουμενικὸς Πατριάρχης" κατακρίνει, ὃν τότε ψήφῳ Συνοδικῇ ὁ Ἰωάννης ἀνέλαβεν. Οὐ μόνον δέ, ἀλλὰ καὶ τῷ ἰδίῳ παραδείγματι τὴν κατὰ Χριστὸν ταπεινοφροσύνην διδάσκων, πρῶτος ἑαυτὸν ἐπέγραψε "Δοῦλον τῶν δούλων τοῦ Θεοῦ." Δικαίως ἄρα καὶ μέγας ἐπεκλήθη ὁ Γρηγόριος, καὶ τῶν ἀγαθῶν τῆς Ῥώμης Ἐπισκόπων ὁ ἔσχατος. (Ἴδε Γρηγορίου τὰς ἐπιστολὰς καὶ τὸ προειρημένον σύγγραμμα "Librum regulæ pastoralis" καὶ Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 141 καὶ σελ. 132—6). Ἀλλ' οἱ ἐπιγενόμενοι τούτων ἁπάντων καταφρονήσαντες, καὶ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον, ἤπερ τὴν δόξαν τοῦ Θεοῦ ἀγαπήσαντες, Ἡγεμόνων καὶ τυράννων κρατεῖν ἠξίωσαν, καὶ τούτων ἡγεῖσθαι, ὡς ὁ Θεὸς τοῦ σύμπαντος Κόσμου· ὥστε τοῦτ' αὐτὸ τὸ τοῦ Ὁμήρου (Ἰλ. Α, 87—89)

. . . . . περὶ πάντων ἔμμεναι ἄλλων,
πάντων μὲν κρατέειν ἐθέλειν, πάντεσσι δ' ἀνάσσειν,
πᾶσι δὲ σημαίνειν . . . . . .

Ἰδοὺ καὶ τοῦ σχίσματος τῆς Ἐκκλησίας καὶ πάντων τῶν ἐκ τούτου γενομένων κακῶν ἡ μόνη καὶ ἀληθὴς ἀρχὴ καὶ ῥίζα. Οὕτως ἡ Παπικὴ ἀλαζονεία καταθρασυνομένη, καὶ οἷον ἐκβακχευομένη τῷ τῆς κοσμικῆς ἀρχῆς ἔρωτι, ἀπέτεκε τελευτῶσα τὸν τῆς Ἀποκαλύψεως δράκοντα, "τὸν πυῤῥὸν καὶ μέγαν, "τὸν ἔχοντα κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα, ὃς ἕστηκεν "ἐνώπιον τῆς γυναικός, τῆς μελλούσης τεκεῖν, ἵνα, ὅταν τέκῃ, τὸ τέκνον αὐτῆς καταφάγῃ." Ἀλλὰ κατ' αὐτὴν ταύτην τὴν Ἀποκάλυψιν οὐκ ἠδυνήθη ὁ δράκων τὸ τέκνον τῆς γυναικὸς καταφαγεῖν. Λέγει γάρ· "Καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος Διάβολος· καὶ ὁ Σατανᾶς, ὁ "πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλήθη εἰς τὴν γῆν, καὶ οἱ Ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ ἐβλήθησαν, κ.τ.λ." (Ἀποκαλ. κεφ. ΙΒ' καὶ ΙΓ' ἐν τῇ Καινῇ Διαθήκῃ τῇ ἐκδοθείσῃ ὑπὸ Θ. Φαρμακίδου, Τόμ. Ζ', σελ. 324 καὶ ἑξ. — Ἴδε καὶ τὴν 11ην σημείωσιν τοῦ σοφοῦ Κοραῆ ἐν τῇ Συμβουλῇ τῶν τριῶν Ἐπισκόπων, σελ. 12—17, ἐν Ἀθήναις 1836).

[1] Αὗται ἦσαν αἱ Ἐπαρχίαι τῆς Ἠπείρου, Ἰλλυρίας, Θεσσαλίας, Μακεδονίας, Ἀχαΐας, Δακίας, Μοισίας, Δαρδανίας κρὶ Πραιβαλίδος, περὶ ὧν Νικόλαος διϊσχυρίζετο, ὅτι πρότερον ὑπὸ τὸν τῆς Ῥώμης τοποτηρητήν, τὸν Θεσσαλονίκης Μητροπολίτην, ἐτέλουν, καὶ ἀδίκως ἀφαιρεθεῖσαι τῷ τῆς Κωνσταντινου-

Digitized by Google

ἦν ὄνειρος, μάτην αὐτοῦ τὴν ἀλαζονείαν ὑποθρέψας. Οὐδεὶς γὰρ αὐτὸν ἐκάλει δικαστήν· ἀλλὰ ΦΩΤΙΟΣ μὲν ἁπλῶς τὰ περὶ τῆς ἑαυτοῦ ἐκλογῆς ἀνήγγελλε, καὶ τὴν ὁμολογίαν τῆς Πίστεως κατὰ τὸ ἀρχαῖον ἔθος ἐστηλογράφει, "ἀρίστην εἶναι λέγων κοι-"νωνίαν τὴν κοινωνίαν τῆς Πίστεως, καὶ τῆς ἀληθοῦς ἀγάπης "τοῦτο δὴ τὸ αἰτιώτατον·"[1] ὁ δὲ Αὐτοκράτωρ οὔτε δικάσαι ἐπέτρεπεν αὐτῷ, οὔτ' ἐξουσίαν ἄλλην οὐδεμίαν ἐδίδου· ἀλλ' ἁπλῶς πέμπειν παρεκελεύετο τοὺς ἑαυτοῦ τοποτηρητὰς εἰς Οἰκουμενικῆς Συνόδου συγκρότησιν, ᾗ μόνῃ νομίμως ἀπέκειτο περὶ πάντων ἀποφήνασθαι. Ὁ δὲ Νικόλαος ἄλλ' ἀντ' ἄλλων ἀποκρινόμενος (ἐν μηνὶ Σεπτεμβρίῳ τοῦ 860 ἔτους) πρὸς μὲν τὸν Αὐτοκράτορα τὸ μέγα τῆς ἐν Ῥώμῃ Ἐκκλησίας κράτος ἐπεδείκνυτο καὶ ἐπέσειε, καὶ τὴν ΦΩΤΙΟΝ ἐκλεξαμένην Σύνοδον, ὡς ἄνευ ἀδείας αὐτοῦ συνελθοῦσαν, κατέκρινε, καὶ ἀναβάλλεσθαι τὴν περὶ τούτου κρίσιν ἐλεγεν (ὥσπερ εἴ τις αὐτὸν ἐκάλει δικαστήν), ἄχρις ἂν παρὰ τῶν ἰδίων τοποτηρητῶν, ἐπανελθόντων εἰς Ῥώμην, καταμάθῃ τὰ ἐν Κωνσταντινουπόλει γενόμενα, ὡς ἐγένετο. Τελευτῶν δὲ καὶ τὴν ἀφανῆ τῶν ἐπιφυλάξεων τούτων αἰτίαν ὑπεδείκνυεν ὁ Νικόλαος, περὶ τῶν ἐπαρχιῶν ἐκείνων λόγον ποιούμενος, καὶ περὶ τῆς ἀποδόσεως αὐτῶν δεόμενος. Πρὸς δὲ ΦΩΤΙΟΝ ἀντέγραψε, πρῶτον μὲν Ἐπίσκοπον Κωνσταντινουπόλεως ἀποκαλῶν αὐτόν (ὅπερ μετ' οὐ πολὺ μηδ' ἀκούειν ἠνείχετο), ἔπειτα δὲ τὴν σοφίαν αὐτοῦ καὶ τὴν ὁμολογίαν τῆς Πίστεως ἐπαινῶν καὶ ἀποδεχόμενος, καὶ τοῦτο μόνον κατακρίνων, ὅτι παρὰ τὸν Γ' κανόνα τῆς ἐν Σαρδικῇ Συνόδου καί τινα Παπικὰ δόγματα εὐθὺς ἐκ λαϊκοῦ εἰς τὸ τῆς Πατριαρχείας προήχθη ἀξίωμα· περὶ δὲ τούτου, ταὐτὰ καὶ πρὸς τὸν Αὐτοκράτορα λέγων, δικάσειν ὑπισχνεῖτο μετὰ τὴν τῶν τοποτηρητῶν εἰς Ῥώμην ἐπάνοδον· τούτοις δὲ καὶ ἰδίᾳ ἐνετέταλτο περὶ τῶν ἐπαρχιῶν ἐκείνων ΦΩΤΙΩι κοινολογήσασθαι.[2] Ταῦτα

πόλεως ὑπετάχθησαν θρόνῳ.—Ἴδε τὰ περὶ τούτου ἐν ἐκτάσει γεγραμμένα ἔν τε τῷ Συνοδικῷ Τόμῳ ὑπὸ Θ. Φαρμακίδου (σελ. 231—266) καὶ ἐν τοῖς Ἀμφιλοχ. προλεγομένοις (σελ. κβ'—κγ').

[1] "Ἐπεὶ δὲ πασῶν ἀρίστη κοινωνία ἡ κοινωνία τῆς Πίστεως, καὶ τῆς ἀληθοῦς ἀγάπης τοῦτο δὴ τὸ "αἰτιώτατον, ὡς ἂν τὸν πρὸς τὴν ὑμετέραν Ὁσιότητα καθαρόν τε καὶ ἀδιάσπαστον δεσμὸν ἐργασώμεθα, "χρῆναι καὶ τὰ τῆς ΗΜΩΝ καὶ ΥΜΩΝ Πίστεως ὡς ἐν βραχέσι στηλογραφῆσαι διεγνώκαμεν, ἐν-"τεῦθεν τάς τε ἡμετέρας εὐχὰς θερμότερον ἐπισπώμενοι, καὶ τὴν ἡμετέραν πρὸς ὑμᾶς διάθεσιν ἀνα-"πτύσσοντες." Τί ταῦτα λέγων βούλεται νοεῖν Φώτιος, καὶ τίνος ἕνεκα τοῦτο τῆς ἐπιστολῆς τὸ μέρος διάφορόν ἐστι τοῦ πρὸς τοὺς Ἀρχιερατικοὺς ἐν τῇ Ἀνατολῇ θρόνους, τ' ἄλλα πάντα, ὅσα γε περὶ τὴν ὁμολογίαν τῆς Πίστεως, ἀπαραλλάκτως ἐχούσης ἐκείνῃ, περὶ τούτων ἐν οἰκείῳ τόπῳ (Ἐπιστ. Α') εἰρήσεται τὰ προσήκοντα.

[2] Ἴδε τὰς Νικολάου ταύτας ἐπιστολὰς ἐν τοῖς Πρακτικοῖς τῆς ψευδογδόης Συνόδου. Σκόπει μοι δέ, ὅτι περὶ τῆς τῶν Ἐπαρχιῶν ἐκείνων ἀποδόσεως κοινολογούμενος Φωτίῳ διὰ τῶν ἰδίων τοποτηρητῶν ὁ Νικόλαος, Πατριάρχην ἐκεῖνον ἀνεγίγνωσκεν. Οὐ γὰρ οἷόν τε ἦν πρὸς ἰδιώτην περὶ τῶν τοιούτων κοινολογεῖσθαι, καὶ παρ' αὐτοῦ τὴν τῶν Ἐπαρχιῶν ἀπόδοσιν ἀπαιτεῖν. Ἀλλὰ παντὶ δῆλον τοῦτό γε, ὡς εἰ μὲν τὰ ζητούμενα ἐδίδου Φώτιος, ἦν ἂν καὶ Πατριάρχης νόμιμος καὶ Νικολάῳ φίλτατος· εἰ δὲ μή, αἱρετικὸς καὶ ἐπιβήτωρ καὶ τὰ πάντα κακός. Ἦν οὖν ἡ τοῦ Νικολάου ἐπιφύλαξις οἷόν τι δέλεαρ, ἐντέχνως μέν, μάτην δὲ βεβλημένον. Φώτιος γάρ, ὥσπερ τις λάβραξ, τὸ ἄγκιστρον τῷ δελέατι συγκατέσπασεν· οὐ μόνον δέ, ἀλλὰ καὶ τὸν ἁλιέα αὐτόν. (Ἴδε περὶ τούτου Μόσχειμ Ἐκκλησ. Ἱστορ. Τόμ. Β', σελ. 213 τῆς Ἀγγλ. μεταφρ. ὑπὸ James Murdock, 1841, καὶ Παπιστ. ἐλέγχ. Τόμ. Β', σελ. 215—6).

Digitized by Google

δὲ Νικόλαος γράφων, τὴν ἀληθῆ τῶν ἐπιφυλάξεων αὐτοῦ αἰτίαν ὑπεδείκνυεν, οἷόν τι Δαμοκλέους ξίφος ὑπὲρ κεφαλὴν ΦΩΤΙΩι αἰωρῶν, καὶ μελλούσας προαναγγέλλων καταιγίδας, ἐὰν μὴ τύχῃ τοῦ ποθουμένου· ὅπερ δὴ καὶ ἐγένετο.

λδ'. Ταύτας οὖν κομίζοντες τὰς ἐπιστολὰς οἱ τοῦ Πάπα Νικολάου τοποτηρηταὶ ἀφίκοντο εἰς Κωνσταντινούπολιν, ἔνθα περὶ πάντων ἀκριβῶς ἐξετάσαντες, καὶ ΦΩΤΙΟΝ νόμιμον Πατριάρχην ἀποδεξάμενοι καὶ ὁμολογήσαντες, ἐκοινώνησαν αὐτῷ.[1] Ἦσαν δ' οὗτοι Ῥοδόαλδος καὶ Ζαχαρίας, Ἐπίσκοποι, ὡς μὲν ΦΩΤΙΟΣ ἐν τῇ ἀπολογητικῇ ἐπιστολῇ βεβαιοῖ, ἄνδρες θεοσεβέστατοι καὶ τιμιώτατοι, ὡς δὲ τοὐναντίον αὐτὸς ὁ ἐκλεξάμενος καὶ ἀποστείλας αὐτούς, καὶ πάντες οἱ Παπισταὶ λέγουσιν, ἀσεβεῖς καὶ δόλιοι, τὰς δεδομένας αὐτοῖς ἐντολὰς παραβάντες, καὶ ΦΩΤΙΩι παρὰ τὰ ἐντεταλμένα κοινωνήσαντες καὶ ἀκολουθήσαντες.[2] Ἔπειτα δὲ καὶ τῶν ἄλλων πανταχόθεν συνελθόντων Ἀρχιερέων, Σύνοδος ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων ἐκ 318 Πατέρων, ἰσαρίθμων τοῖς ἐν Νικαίᾳ συνελθοῦσι τὸ πρῶτον, συνεκροτήθη, ἐν ᾗ παρῆσαν ὅ τε Αὐτοκράτωρ καὶ ὁ Βάρδας καὶ τῶν ἐν τέλει οἱ διασημότεροι, καὶ οἱ τοῦ Πάπα Νικολάου τοποτηρηταί· προεξῆρχε δὲ ΦΩΤΙΟΣ. Ἐν γοῦν τῇ Συνόδῳ ταύτῃ πρῶτον μὲν τὰ κατὰ τὸν Ἰγνάτιον ἐκρίθη, παρόντα τε καὶ ἀπολογούμενον· καὶ καθαιρεῖται μὲν οὗτος, δύο καὶ ἑβδομήκοντα Κληρικῶν τε καὶ λαϊκῶν καταμαρτυρησάντων αὐτοῦ,[3] νόμιμος δὲ

---

[1] Ἃ δὲ περὶ τούτων οἱ Παπισταὶ πλάττουσιν, ἐκβιασθῆναι λέγοντες τοὺς τοποτηρητάς, καὶ βασάνοις ἀπειληθῆναι, εἰ μὴ Φωτίῳ κοινωνήσειαν, λῆρος ταῦτα πλατύς. Εἰ γὰρ βίᾳ καὶ ἀπειλαῖς ἐνδόντες ἐκοινώνησαν Φωτίῳ, καὶ πάνθ', ὡς ἐκεῖνος ἐβούλετο, ἔπραξαν, τίνος ἕνεκεν αὐστηρῶς, εἰς Ῥώμην ἐπανελθόντες, ἐτιμωρήθησαν; Οὐ γὰρ κατὰ πάντα νόμον ὁ ἀνυπερβλήτῳ βίᾳ ἐξαμαρτάνων κολάσιμος. Ἀλλὰ ταῦτα μετὰ τὴν τῶν τοποτηρητῶν ἐπενοήθη ἐπάνοδον, ὅτε Νικόλαος ἀποτυχὼν τῶν ἐλπίδων ἐξεμάνη κατὰ Φωτίου, καὶ προφάσεσιν ἐχρῆτο παντοίαις κατ' αὐτοῦ. Διὰ δὴ τοῦτο καὶ οἱ τὰ τοιαῦτα ἱστοροῦντες Παπισταὶ μόνον ἔχουσι τῶν λεγομένων μαρτύριον αὐτοῦ τοῦ Νικολάου τὰς ἐπιστολάς, καὶ εἴ τις ἄλλος ἐκείνας ἀντέγραψεν, οἷοί πέρ εἰσι Στυλιανὸς ὁ Μάπας καὶ Μητροφάνης ὁ Σμύρνης.— Ἴδε τὴν Ἰαγέρου Ἱστορίαν, σελ. 43—44.

[2] Οὐ μόνον δὲ κατὰ τῶν δύο τούτων τοποτηρητῶν, ἀλλὰ καὶ κατὰ τῶν ἔπειτα ἐν τῇ δευτέρᾳ Συνόδῳ ἀποσταλέντων, ταὐτὰ λέγουσιν οἱ Παπισταί, τοὺς ἰδίους αὐτῶν Ἐπισκόπους ὡς προδότας καὶ δώροις ὑπὸ Φωτίου διαφθαρέντας ἐξυβρίζοντες, καὶ ὅμοιόν τι πάσχοντες τοῖς πολύπουσιν, οἵπερ ἄλλης ἀποροῦντες τροφῆς τοὺς ἰδίους αὐτῶν λέγονται κατεσθίειν πλοκάμους. Ἰάγερος δὲ ποῦ μὲν τῆς Ἱστορίας αὐτοῦ (σελ. 40) τοὺς τοποτηρητὰς τούτους —tous deux hommes d'esprit et de mérite— ἀποκαλεῖ (καὶ τοιοῦτοι πάντως ἦσαν οἱ πρὸς τοιοῦτον ἔργον ἀποστελλόμενοι), ποῦ δὲ προδότας τῶν ἰδίων καθηκόντων (σελ. 56), καὶ δώροις ὑπὸ Φωτίου διαφθαρέντας (σελ. 77). Τὰ δ' αὐτὰ καὶ περὶ τῶν δευτέρων λέγει, τῶν ὑπὸ τοῦ Πάπα Ἰωάννου Η' εἰς τὴν δευτέραν ἐπὶ Φωτίου Σύνοδον ἀποσταλέντων, ὅτι χαμερπῶς Φωτίῳ ἑαυτοὺς ἐξέδοντο —bassement vendus à l'ussurpateur—(σελ. 333).

[3] Παράνομος ἡ Ἰγνατίου ἐκλογὴ ἐμαρτυρεῖτο, ὡς τῇ προστασίᾳ τῆς Αὐτοκρατείρας, ἀλλ' οὐ τῇ τῶν Ἀρχιερέων ψήφῳ γενομένη παρὰ τὸν Α' κανόνα τῶν Ἀποστόλων, λέγοντα· "Εἴ τις Ἐπίσκοπος, κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῶν ἐγκρατὴς Ἐκκλησίας γένηται, καθαιρείσθω."— Ἴδε πλείω περὶ τούτου ἐν τοῖς Ἀμφιλοχίοις προλεγομ. (σελ. κδ'). Νικήτας δέ, ὡς εἰκός, ψευδομάρτυρας ἀποκαλεῖ τοὺς καταμαρτυρήσαντας τῆς Ἰγνατίου ἐκλογῆς, καὶ ἀνθρώπους ἀγελαίους καὶ αἰσχίστους καὶ μιαρωτάτους, ἅμα λέγων Συγκλητικοὺς εἶναι τοὺς πλείους αὐτῶν καὶ Πατρικίους. Ἀλλὰ "παπαὶ τοῦ τῶν ψευδομαρτύρων πλήθους! (εἰκότως ἄν τις εἴποι μετὰ Νικηφόρου τοῦ Θεοτόκη)· καὶ μὴν δύο ἢ τρεῖς ἐξήρκουν."

Digitized by Google

Πατριάρχης ἀνακηρυττεται ΦΩΤΙΟΣ. Ἔπειτα δὲ καὶ περὶ τῶν ἄλλων διασκεψαμένη, καὶ τὰ προσήκοντα κανονίσασα, ἀεὶ παρόντων καὶ συνευδοκούντων ἐν πᾶσι τῶν τοῦ Πάπα τοποτηρητῶν, διελύθη μὲν ἡ Σύνοδος ἐκείνη·[1] τὰ δὲ Πρακτικὰ μετὰ τῆς προσηκούσης πρὸς τὰς τοῦ Πάπα ἐπιστολὰς ἀπαντήσεως παρά τε τοῦ Αὐτοκράτορος καὶ ΦΩΤΙΟΥ, εἰς Ῥώμην εὐθὺς μετὰ τὸ πέρας τῆς Συνόδου ἐξαπεστάλη διὰ Λέοντος τοῦ Ἀσηκρῆτις, ᾧ συναπῆλθον καὶ οἱ τοῦ Πάπα τοποτηρηταί. Τότε δὴ καὶ ἡ ΦΩΤΙΟΥ ἐκείνη γέγραπται Ἀπολογητικὴ ἐπιστολή, ἣν καὶ αὐτοὶ θαυμάζουσιν οἱ Φωτιομάχοι, ὡς ἐν οἰκείῳ τόπῳ δηλώσομεν.

λέ. Ἀλλὰ ταῦτα πάντα ὅλως ἐναντία ταῖς τοῦ Πάπα προσδοκίαις ἐγένετο. Οὔτε γὰρ ἡ κυριαρχία αὐτοῦ, ἣν σοβαρῶς ἐπεδείκνυτο καὶ ἐπέσειεν, ἀνεγνωρίζετο, οὔτ' αἱ ζητούμεναι Ἐπαρχίαι ἀπεδίδοντο· ὅπερ δὴ τῶν πάντων λόγων καὶ ἀγώνων ἦν τὸ σκοπούμενον. Ὡς οὖν Νικόλαος τά τε Πρακτικὰ καὶ τὰς ἐπιστολὰς ἀνελέξατο, καὶ πάσας εἶδε τὰς ἑαυτοῦ προσδοκίας διαψευσθείσας, τοὺς μὲν τοποτηρητάς, ὡς δῆθεν παραπρεσβεύσαντας, κατέκρινε· πρὸς δὲ τὸν Αὐτοκράτορα γράφων τά τε περὶ Ἰγνατίου καὶ ΦΩΤΙΟΥ δόξαντα τῇ Συνόδῳ ἀπεδοκίμαζε, καὶ ἀμφοτέρους πέμπειν εἰς Ῥώμην ἠξίου, ἐπ' αὐτοῦ κριθησομένους. Ἔγραψε δὲ καὶ πρὸς ΦΩΤΙΟΝ, οὐκέτι Πατριάρχην οὐδ' Ἐπίσκοπον αὐτὸν ἀποκαλῶν, ἀλλ' ἁπλῶς ἄνδρα φρονιμώτατον, καὶ ἄλλως αὐτόν τε καὶ τὴν γενομένην Σύνοδον κατακρίνων, καὶ ἀναιδῶς ἐξυβρίζων.[2] Οὐ μὴν ἀλλὰ καὶ ἐγκύκλιον ἔγραψεν ἐπιστολὴν πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Ἐπισκόπους, τοῦ τε Αὐτοκράτορος καὶ ΦΩΤΙΟΥ πολλὰ κατηγορῶν, ἔτι δὲ καὶ τῶν ἰδίων αὐτοῦ τοποτηρητῶν ὡς παραπρεσβευσαμένων.[3] Ἐπὶ δὲ πᾶσι Σύνοδον πολλῶν τῆς Δύσεως Ἐπισκόπων ἐν Ῥώμῃ συγκαλέσας (ἐν ἔτει 863), τὸν μὲν ἕτερον τῶν τοποτηρητῶν αὐτοῦ καθεῖλε, Ῥοδόαλδον δὲ ἀπόντα τότε τιμωρήσειν ἀνεβάλλετο· καὶ ΦΩΤΙΟΝ μὲν ἀναθεματίσας ἔκπτωτον τῆς Πατριαρχείας ἐκήρυξεν, Ἰγνάτιον δὲ κοινωνὸν καὶ ἀδελφόν.[4] Καὶ λοιπὸν κατέπεσε τὸ ΦΩΤΙῼ ἐπαιωρηθὲν ξίφος· οὐ μὴν ἔβλαψεν

---

[1] Αὕτη ἐστὶν ἡ καλουμένη Πρώτη καὶ Δευτέρα ἢ Πρωτοδευτέρα Σύνοδος, περὶ ἧς ἴδε ἐν τῷ Συντάγματι τῶν Κανόνων ὑπὸ Γ. Α. Ράλλη καὶ Μ. Ποτλῆ (Τόμ. Β' σελ. 647—8), καὶ ἐν Πηδαλίῳ (σελ. 197—8).

[2] Ἐν ταύτῃ τῇ ἐπιστολῇ πολλὰ πονήσας ὁ Νικόλαος, ὅπως τὰ Φωτίου λογικώτατα ἐπιχειρήματα καταπολεμήσῃ, δι' ὧν πᾶσα κατ' αὐτοῦ μέμψις ἀνετρέπετο, ὡς παρανόμως δῆθεν εὐθὺς ἐκ λαϊκοῦ εἰς τὴν Πατριαρχείαν προαχθέντος, οὐδὲν ἤνυσεν ὁ ἄνθρωπος· σοφίσμασι γὰρ τὰ περὶ Νεκταρίου καὶ Ταρασίου καὶ Ἀμβροσίου τοῦ Μεδιολάνων συγκαλύπτει, ὡς δῆθεν ἐξ ἀνάγκης τῶν δύο πρώτων, καὶ ἐκ θαύματος τοῦ τρίτου, προχειρισθέντων· οὐδὲν δὲ λέγει, οὐδ' εἶχεν εἰπεῖν, περὶ Νικηφόρου, ὃς οὐτ' ἀνάγκῃ οὔτε θαύματι Πατριάρχης ἐγένετο εὐθὺς ἐκ λαϊκοῦ, ἀλλὰ μόνῃ τῇ τῶν Ἀρχιερέων ψήφῳ. Πρὸς δὲ τὴν τελευταίαν Φωτίου μέμψιν, ὅτι παρὰ τοὺς Κανόνας ὁ τῶν Κανόνων ἐπαγγελλόμενος ὑπέρμαχος τοὺς ἐκ τῆς Ἀνατολῆς εἰς Ῥώμην ἐρχομένους Κληρικοὺς ἄνευ συστατικῶν ἐπιστολῶν ἐδέχετο, οὐδὲν ἀποκρίνεται, ὡς οὐδὲν ἔχων τοῖς ὀρθῶς εἰρημένοις ἀντιτάξαι. Ἴδε τὴν Νικολάου ἐπιστολὴν ἔν τε τοῖς Πρακτικοῖς τῆς ψευδογδόης Συνόδου καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ (σελ. 87—92)· ἀλλ' ἴδε καὶ τὴν περὶ τούτου σημ. τοῦ Δοσιθέου ἐν Τόμῳ Χαρᾶς (σελ. 114—5).

[3] Ἴδε καὶ ταύτην Νικολάου τὴν ἐπιστολὴν ἔνθ. ἀνωτέρω (Πρᾶξ. Ζ').

[4] Ὀρθῶς περὶ τούτου φησὶν ὁ φιλαλήθης Βασνάγιος, ὅτι διττὰ ἔφερεν ὁ Πάπας Νικόλαος τῆς δικαιοσύνης τὰ σταθμά. Ῥοδόαλδον μὲν γὰρ ἀπόντα κρῖναι οὐκ ἠξίου, εἰ καὶ ἠδύνατο, Φώτιον δὲ καὶ μακρὰν

Digitized by Google

αὐτόν, οὐδὲ τὸ παράπαν, ἅτε δὴ ἄτρωτον αὐτὸν εὑρὸν ὑπὲρ τῆς Ὀρθοδοξίας ἀγωνιστήν, πάσας τὰς ἐκ τῆς Δύσεως ἀπειλὰς καὶ τὰ ἀναθέματα εἰς οὐδὲν εὐλόγως λογιζόμενον.

λστ'. Τῶν μέντοι παρατόλμως τῷ Νικολάῳ πεπραγμένων ἐν Κωνσταντινουπόλει γνωσθέντων· δικαίως ἐπ' αὐτοῖς ὀργισθεὶς ὁ Αὐτοκράτωρ, ἀποστέλλει πρὸς αὐτὸν Μιχαὴλ τὸν Πρωτοσπαθάριον, ἐπιστολὴν κομίζοντα, ἐν ᾗ δριμύτατα τὴν Παπικὴν ἐξήλεγχεν ἀλαζονείαν· καὶ τελευτῶν ἔλεγεν, ὅτι οὐδεὶς αὐτὸν ἄρχοντα καὶ δικαστὴν κατέστησε, καὶ ὅτι τὰς ἀποφάσεις αὐτοῦ καὶ ἀξιώσεις εἰς οὐδὲν λογίζεται, ΦΩΤΙΟΣ δέ, καὶ ἄκοντος αὐτοῦ, Πατριάρχης ἔσται Κωνσταντινουπόλεως. Αὕτη τοῦ Αὐτοκράτορος ἡ ἐπιστολὴ κατελύπησε μὲν τὸν Πάπαν Νικόλαον (ὡς ἐκ τῆς σωζομένης ἀπαντήσεώς ἐστιν εἰκάσαι, ἐν ᾗ φησι τὸν ιὴν ἐπιστολὴν ἐκείνην γράψαντα εἰς φάρυγγα ὄφεως τὸν κάλαμον βάψαι, ΦΩΤΙΟΝ πάντως αἰνιττόμενος), οὐ μέντοι καὶ σωφρονεῖν ἐποίησεν αὐτόν. Νέας γὰρ συῤῥαψάμενος ὕβρεις κατά τε τοῦ Αὐτοκράτορος καὶ ΦΩΤΙΟΥ, καὶ τὰ προνόμια τοῦ τῆς Ῥώμης θρόνου, ὡς ὑπ' αὐτοῦ τοῦ Σωτῆρος δεδομένα, διακωδωνίζων,[1] ἑαυτῷ μόνῳ προσήκειν ἔλεγε τὰ περὶ ΦΩΤΙΟΥ καὶ Ἰγνατίου δικάσαι· καὶ αὖθις ταὐτὰ καὶ πρότερον λέγων, εἰς Ῥώμην ἀμφοτέρους ἠξίου κριθησομένους παραγενέσθαι. Ἀλλ' οὐδεμιᾶς πρὸς ταῦτα ἀξιωθεὶς ἀπαντήσεως, πρέσβεις ἀποστέλλει τρεῖς (ἤδη φθίνοντος τοῦ 886 ἔτους) Δονάτον τὸν Ἐπίσκοπον, καὶ Λέοντα τὸν Πρεσβύτερον, καὶ Μαρτῖνον τὸν Διάκονον, ἐπιστολὰς κομίζοντας, ἐν αἷς τά τε ἐν ταῖς προτέραις περὶ ΦΩΤΙΟΥ καὶ Ἰγνατίου γεγραμμένα ἐπανέλεγε, καὶ τῆς τοῦ Αὐτοκράτορος αὐστηρᾶς ἐκείνης ἐπιστολῆς ἀπῄτει τὴν ἀνάκλησιν, πολλὰ καὶ δεινὰ ποιήσειν ἀπειλῶν, ἐὰν μὴ ταῦτα γένηται. Τούτους μέντοι τοὺς πρέσβεις ὁ Αὐτοκράτωρ οὐκ ἐδέξατο, οὐδὲ μὴν ἐπέτρεψεν εἰς τὸ Κράτος αὐτοῦ εἰσελθεῖν· ἀλλ' ἐν τοῖς μεθορίοις κρατηθέντες, καὶ ἐρωτώμενοι, εἰ ΦΩΤΙΟΝ νόμιμον Πατριάρχην ἀνομολογοῖεν, ὡς ἀπηρνοῦντο, ἄπρακτοι εἰς Ῥώμην ἀπεπέμφθησαν, καὶ τὸ φορτίον συναποφέροντες τῶν ἐπιστολῶν, ἃς ἐκόμιζον πρός τε τὸν Αὐτοκράτορα καὶ τὴν Βασιλομήτορα, καὶ πρὸς Εὐδοκίαν τὴν Αὐτοκράτειραν, καὶ πρὸς ΦΩΤΙΟΝ, καὶ πρὸς Βάρδαν αὐτὸν ἤδη τεθνηκότα, καὶ πρὸς ἄλλους τῶν ἐν τέλει καὶ τῶν ἐκ τοῦ Κλήρου πολλούς.

λζ'. Ταῦτα δὲ τοῦ Πάπα ῥαδιουργοῦντος, καὶ γράφοντος, καὶ ἀπειλοῦντος, ὁ ἀληθὴς τῆς εἰρήνης φίλος καὶ τῆς Ἐκκλησίας σοφώτατος κυβερνήτης ΦΩΤΙΟΣ οὐδὲν ἐκείνῳ ἀντέγραψεν· ἀλλὰ χαίρειν ἐκεῖνον ἐάσας, αὐτὸς περί τε τὴν κατὰ Θεὸν τῆς Ἐκκλησίας διοίκησιν ἐσπούδαζε, καὶ τὰς ὑπὸ τῶν εἰκονομάχων γεγενημένας ἐρημώσεις καὶ καταστροφὰς Ἐκκλησιῶν καὶ βιβλιοθηκῶν ἐπανορθοῦν ἐφρόντιζε, καὶ τὴν Ὀρθοδοξίαν κρατύνειν καὶ ἐπεκτείνειν, πόλεις καὶ ἔθνη πρὸς τὴν σωτήριον ἀλήθειαν, ὡς ἀληθὴς τοῦ Ἀρχιποί-

---

ἀπόντα ἔκρινέ τε καὶ κατέκρινεν, εἰ καὶ μηδεμίαν εἶχεν ἐξουσίαν κατ' αὐτοῦ. (Hist. de l'Eglise, Tom. I. p. 329).

[1] Ὅρα τὰ ἐν τοῖς ἔμπροσθεν (§ στ') σημειωθέντα περὶ τούτου· ἔτι δὲ καὶ τὰ ἐν τοῖς Προλεγ. τῶν Ἀμφιλοχ. (σελ. κά, σημ. δ').

Digitized by Google

μενος Χριστοῦ μαθητής, ποδηγετῶν. Τηνικαῦτα δὴ ταῖς ἐκείνου προσπαθείαις καὶ διδασκαλίαις ἔν τε Ἀρμενίᾳ καὶ ἐν Μεσοποταμίᾳ τὸ τοῦ Εὐαγγελίου κήρυγμα διεδέδοτο, καὶ τὸ τῶν Βουλγάρων ἔθνος καὶ τὸ τῶν Ῥώσσων, τῶν δαιμονίων καὶ πατρῴων ἐκστάντες ὀργίων, ὡς αὐτός φησιν ἐν τῇ πρὸς τοὺς Ἀρχιερατικοὺς τῆς Ἀνατολῆς θρόνους ἐγκυκλίῳ ἐπιστολῇ, εἰς τὴν τῶν Χριστιανῶν μετεκεντρίσθησαν πίστιν.[1]

λή. Ὁ δὲ Πάπας Νικόλαος νέαν μηχανώμενος κατὰ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας ἐπιβουλήν, καὶ νέα ἐμβάλλων σκάνδαλα, εἰς Βουλγαρίαν μεθίστησι τὸν τῆς ἑαυτοῦ πονηρίας ἱστόν. Οἱ μὲν γὰρ Βούλγαροι πρὸ μικροῦ τὴν εἰς Χριστὸν ἀσπασάμενοι πίστιν, ΦΩΤΙΩι τε προσεῖχον, καὶ ὑπὸ τὴν τῆς Κωνσταντινουπόλεως Ἐκκλησίαν, ἐξ ἧς τὴν σωτήριον ἔλαβον διδασκαλίαν, ἐτέλουν. Νικόλαος δέ, ἤτοι τοῦ τῶν Βουλγάρων Ἡγεμόνος, ὥς τινες λέγουσιν, ἐπιθυμήσαντος καὶ τὰ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας ἔθιμα διδαχθῆναι, καὶ τοῦτ' αὐτὸν αἰτησαμένου,[2] ἢ καὶ ἐξ ἰδίας ὁρμώμενος φιλοδοξίας καὶ φιλοπραγμοσύνης, δύο μὲν Ἐπισκόπους, Παῦλον τὸν Ποπουλανίας καὶ Φόρμοσον τὸν Ὠστίας, πολλὴν δὲ μετ' αὐτῶν συνοδίαν Κληρικῶν, εἰς Βουλγαρίαν ἀποστέλλει· καὶ τούτοις ἐπετέτακτο τά τε ἄλλα τῆς Δυτικῆς Ἐκκλησίας ἔθιμα, ὅσα ἡ καθόλου Ἐκκλησία, ὡς ἀρτιφυῆ ἐν τῷ καθαρῷ τῆς Ὀρθοδοξίας ληΐῳ ζιζάνια, οὐ παρεδέχετο, εἰσαγαγεῖν ἐκεῖ, καί, τὸ πάντων ἀσεβέστατον, τὴν ἐν τῷ Συμβόλῳ πανάθεσμον προσθήκην "καὶ ἐκ τοῦ Υἱοῦ." Οὕτως οὖν οἱ δυσσεβεῖς ἐκεῖνοι καὶ ἀποτρόπαιοι τοῦ Πάπα Νικολάου ἀπόστολοι "ἐκ σκότους ἀναδύντες (τῆς γὰρ ἑσπερίου μοίρας ὑπῆρχον γεννήματα) . . . "οὗτοι πρὸς τὸ νεοπαγὲς εἰς εὐσέβειαν καὶ νεοσύστατον ἔθνος, ὥσπερ κεραυνός, ἢ "σεισμός, ἢ χαλάζης πλῆθος, μᾶλλον δ' οἰκειότερον εἰπεῖν, ὥσπερ ἄγριος μονιός, "ἐμπηδήσαντες, τὸν ἀμπελῶνα Κυρίου, τὸν ἠγαπημένον καὶ νεόφυτον, καὶ ποσὶ καὶ "ὀδοῦσιν, ἤτοι τρίβοις αἰσχρᾶς πολιτείας καὶ διαφθορᾷ δογμάτων, τό γε εἰς τόλμαν "ἦκον τὴν αὐτῶν, κατανεμησάμενοι ἐλυμήναντο. Ἀπὸ γὰρ τῶν ὀρθῶν καὶ καθαρῶν "δογμάτων, καὶ τῆς τῶν Χριστιανῶν ἀμωμήτου Πίστεως, παραφθείρειν τούτους καὶ "ὑποσπᾶν κατεπανουργήσαντο. . . . . Ἀλλὰ γὰρ οὐχὶ μόνον εἰς ταῦτα παρανομεῖν "ἐξηνέχθησαν, ἀλλὰ καὶ εἴ τις κακῶν ἐστι κορωνίς, εἰς ταύτην ἀνέδραμον. "Πρὸς γάρ τοι τοῖς εἰρημένοις ἀτοπήμασι, καὶ τὸ ἱερὸν καὶ ἅγιον Σύμβολον, ὃ πᾶσι "τοῖς Συνοδικοῖς καὶ Οἰκουμενικοῖς ψηφίσμασιν ἅμαχον ἔχει τὴν ἰσχύν, νόθοις λογι"σμοῖς, καὶ παρεγγράπτοις λόγοις, καὶ θράσους ὑπερβολῇ κιβδηλεύειν ἐπεχείρησαν (ὦ τῶν "τοῦ πονηροῦ μηχανημάτων!), τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ Πατρὸς μόνον, ἀλλά

---

[1] Ἴδε τῆς ἐγκυκλίου ἐκείνης § β', γ' καὶ λέ· ἔτι δὲ καὶ Θεοφ. Χρονογρ. συνέχ. (σελ. 162—5)· καὶ Ἱστορίαν τῆς Ῥωσσικῆς Ἐκκλησίας, ἐκ τῆς Ῥωσσικῆς εἰς τὴν Ἑλλην. μεταφρασθεῖσαν ὑπὸ Θ. Βαλλιάνου (σελ. 5—6), καὶ Καραμζίνου Ἱστορ. τῆς Ῥωσ. Αὐτοκρατ. (Τόμ. Α', σελ. 116—120, μετάφρ. Κροκιδᾶ). Παράβαλε δὲ καὶ τὰ ἐν τοῖς Ἀμφιλ. προλ. (σελ. λ') καὶ τὰ ἐν τῷ Εὐαγ. Κήρυκι (Ἔτ. Δ', σελ. 368—9 καὶ Ἔτ Ε', σελ. 122).

[2] Ἀπίθανον δὲ καθ' ἡμᾶς τοῦτο. Πῶς γὰρ ὁ νεοφώτιστος τῶν Βουλγάρων Ἡγεμών, ἄρτι τὴν εἰς Χριστὸν διδαχθεὶς πίστιν, καὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας μιᾶς καὶ ἀδιαιρέτου τότε γνωριζομένης, ἐπεθύμησε τὰ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας καταμαθεῖν ἔθιμα;

Digitized by Google

" γε καὶ ἐκ τοῦ Υἱοῦ, ἐκπορεύεσθαι καινολογήσαντες." [1] *Ταῦτα τοίνυν οἱ τοῦ Πάπα Νικολάου δυσσεβεῖς ἀπόστολοι οὐ μόνον ἐν Βουλγαρίᾳ, ἀλλὰ καὶ ἐν ταῖς ὁμορενούσαις χώραις, διδάσκοντες, καὶ πολλὰ τὴν ἐν τῇ Ἀνατολῇ Ἐκκλησίαν ὡς κακοδοξοῦσαν διαβάλλοντες, παντοίων κακῶν τὰς χώρας ἐκείνας ἐνέπλησαν.*

λθ'. Οὕτω δὴ τῆς τοῦ Πάπα Νικολάου αὐθαδείας κορυφωθείσης, καὶ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας διὰ τὴν ἄμετρον ἐκείνου φιλοπρωτίαν καὶ φιλοδοξίαν αὖθις συνταραττομένης, βαρέως φέρων ὁ πανίερος ΦΩΤΙΟΣ *τὴν τῶν Βουλγάρων ἀπὸ τῆς Ὀρθοδοξίας ἀποπλάνησιν, ἐφ' οἷς οὐ μικρὰ ἐμεμοχθήκει, καὶ τὴν ἀναπεπταμένην βλασφημίαν, ἧς ἤδη Νικόλαος φανερῶς ἐδόκει προστατεῖν, ἐκ τοῦ συστάδην καταπο-*

---

[1] *Ἴδε τῆς Δ' Φωτίου ἐπιστολῆς § ἡ καὶ ἑξῆς. Δῆλον δ' ἐκ τούτων, ὅτι τότε πρῶτον ἠκούσθη ἐν τῇ Ἀνατολῇ ἡ πανάθεσμος ἐκείνη προσθήκη, πρότερον οὐδ' ἐν αὐτῇ τῇ Ῥώμῃ λεγομένη, ἀλλά γε καὶ καταπολεμηθεῖσα ὑπὸ τῶν Παπῶν, ὅτε ἐξ Ἰβηρίας, ἢ ἄλλοθέν ποθεν, ἐφάνη ἀνακύπτουσα (ἴδε τῆς Ε' Φωτίου ἐπιστολῆς " πρὸς τὸν Ἀκυληίας Μητροπολίτην " § γ'). Καὶ ὅμως, τούτων οὕτως ἐχόντων, ὁ αὐθάδης Παπιστὴς De-Maîstros λέγειν τολμᾷ μηδέποτε πρὸ τοῦ σχίσματος ζήτησιν γενέσθαι περὶ τούτου, ἀλλὰ καὶ αὐτὰς τὰς ἐν Κωνσταντινουπόλει Λατινικὰς Ἐκκλησίας ἄνευ σκανδάλου τινὸς ψάλλειν τὸ Σύμβολον, καὶ τὰς δύο ἐν Κωνσταντινουπόλει γενομένας Οἰκουμενικὰς Συνόδους μηδένα περὶ τῆς προσθήκης ποιήσασθαι λόγον!!! Φώτιον δέ φησιν οὐ τούτου ἕνεκα πρὸς τὸν Πάπαν διενεχθῆναι, ἀλλ' ὅτι τὸν τοῦ Οἰκουμενικοῦ Πατριάρχου τίτλον ἐξαιτησάμενος παρ' ἐκείνου λαβεῖν, ἀπέτυχε τοῦ ποθουμένου!!!* " Photius était né dans cette unité. Il reconnaissait si bien l'autorité du Pape, que c'est au Pape qu'il demanda avec tant d' instance le titre de *Patriarche Oecuménique,* absurde dès qu' il n' est pas unique. Il ne rompit même avec le souverain Pontife, que parce qu' il ne put en obtenir ce grand titre qu'il ambitionnait. Car, il est bien essentiel de l'observer, jamais il ne fut question de dogmes entre nous au commencement de la grande et funeste scission. C'est après qu' elle fut opérée, que, pour lui donner une base plausible, on en vint aux disputes de dogmes. L'addition du *Filioque,* faite au symbole, ne nous avait nullement brouillés avec les Grecs. Les Eglises Latines, établies en grand nombre à Constantinople, chantait le Symbole sans exciter le moindre scandale. Que veut-on de plus? Deux conciles œcuméniques furent tenus à Constantinople depuis l'addition du *Filioque,* sans aucune plainte de la part des Orientaux." (Du Pape par le Comte Joseph De-Maistre. Liv. IV. Chap. 4.) *Ἀλλὰ ποῦ καὶ πότε Φώτιος τὸν τοῦ Οἰκουμενικοῦ Πατριάρχου τίτλον παρὰ τοῦ Πάπα ἐξητήσατο; ποῖαι δὲ τῶν Οἰκουμενικῶν Συνόδων τὴν προσθήκην γινώσκουσαι οὐ κατέκριναν; Γνωστὸν δὲ τοὐναντίον, ὅτι ἐν πάσαις ταῖς Συνόδοις καὶ ἀνεγινώσκετο ἐν τέλει καὶ ἐπεβεβαιοῦτο τὸ Σύμβολον τῆς Πίστεως, οἷον ἐν τῇ πρώτῃ οἰκουμ. ἐξετέθη, καὶ ἐν τῇ δευτέρᾳ πληρέστερον ἐβεβαιώθη. Ἰδίᾳ δὲ ἡ ἐν Κωνσταντινουπόλει ἕκτη Σύνοδος τὴν ὀκτωκαιδεκάτην καὶ τελευταίαν πρᾶξιν αὐτῆς ἐν τοῖς δε συνεπλήρωσε τοῖς ῥήμασιν·* " *Καὶ* " *τὸ παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων ἐκτεθέν, καὶ αὖθις παρὰ τῶν ἑκατὸν πεντήκοντα* " *θεοφρόνως βεβαιωθέν, ὅπερ καὶ αἱ λοιπαὶ ἅγιαι Σύνοδοι ἐπ' ἀναιρέσει πάσης ψυχοφθόρου αἱρέσεως* " *ἀσπασίως ἐδέξαντο καὶ ἐπεκύρωσαν Σύμβολον, καὶ ἡ καθ' ἡμᾶς ἁγία καὶ οἰκουμενικὴ θεοπνεύστως* " *ἐπεσφράγισε Σύνοδος." Ἕπεται δὲ τούτοις τό τε Σύμβολον τῆς Πίστεως, καὶ τῶν Πατέρων αἱ ὑπογραφαί, ὧν προεξάρχουσιν οἱ τοῦ Πάπα Ἀγάθωνος τοποτηρηταί, Θεόδωρος καὶ Γεώργιος οἱ Πρεσβύτεροι καὶ Ἰωάννης ὁ Διάκονος. Αὐτὰ δὲ ταῦτα καὶ ἐν τῇ ἑβδόμῃ Συνόδῳ, τῇ δευτέρᾳ ἐν Νικαίᾳ, ἐγένετο, παρόντων τε καὶ συνυπογραψάντων τῶν τοῦ Πάπα Ἀδριανοῦ τοποτηρητῶν. Πῶς οὖν, τῶν Συνόδων ἁπασῶν καὶ ἀναγινωσκουσῶν καὶ ἐπικυρουμένων τὸ τῆς Πίστεως Σύμβολον, οἷον ἐν Νικαίᾳ ἐξετέθη, καὶ ἐν Κωνσταντινουπόλει ἐβεβαιώθη, καὶ τῶν τοῦ Πάπα τοποτηρητῶν τοιοῦτον αὐτὸ ἀποδεχομένων, οὐδενὸς δὲ πώποτε λόγου περὶ τῆς παναθέσμου ἐκείνης προσθήκης γενομένου, οὐδὲ*

Digitized by Google

λεμῆσαι προτιθέμενος, τὸ μὲν πρῶτον Σύνοδον τοπικὴν συνεκάλεσεν, ἐν ᾗ τὰ τῶν λυμεώνων ἐκείνων διδάγματα κατεκρίθη, καὶ αὐτοὶ τῆς τῶν Χριστιανῶν ἐξεκηρύχθησαν ποίμνης· ἔπειτα δέ, ὡς οὐκ ἐπαύοντο τὴν Ἐκκλησίαν ταράττοντες, ἀλλὰ καὶ τοὺς ὁμόρους τῇ Βουλγαρίᾳ Σλαβικοὺς λαοὺς ἀπό τε τῆς πολιτείας καὶ τῆς Ἐκκλησίας τῆς ἐν Κωνσταντινουπόλει ἀποπλανᾷν ἐπειρῶντο, βαρυτέραν λοιπὸν ἔγνω τὴν τιμωρίαν αὐτοῖς ἐπιθεῖναι. Καὶ δὴ γράφων πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Ἀρχιερατικοὺς θρόνους τὴν θαυμαστὴν ἐκείνην καὶ πλήρη χάριτος καὶ εὐσεβείας ἐγκύκλιον ἐπιστολήν, τά τε τῶν Παποδούλων ἐκείνων ἀνόσια ἔργα ἐξήγγελλεν αὐτοῖς, καὶ πρὸς συγκρότησιν Οἰκουμενικῆς Συνόδου, τῇ τοῦ Αὐτοκράτορος κελεύσει γενησομένης, τοὺς ἰδίους παρεκελεύετο πέμψαι τοποτηρητάς.[1] Τούτων δὲ ἀφικομένων, πολυάριθμος ἐν Κωνσταντινουπόλει

τὸ παράπαν γινωσκομένης, τολμᾷ λέγειν ὁ Δε-Μαΐστρος, ὡς οὐδεὶς τῶν Ἀνατολικῶν ἐν ταῖς Συνόδοις τὴν προσθήκην ἐκείνην κατέκρινεν; Ἢ ἐροῦσι καὶ ἐν τούτοις οἱ Παπισταί, ὡς πεπλασμένα τυγχάνει ὄντα τῶν Συνόδων τὰ Πρακτικά, καὶ δώροις οἱ τῶν τότε Παπῶν τοποτηρηταὶ διεφθάρησαν, οἷα δὴ καὶ περὶ τῶν ἐπὶ Φωτίου γενομένων Συνόδων μέχρι κόρου καὶ ἀηδίας ἀφορήτου διαθρυλλοῦσιν; Ἦν ἄρα καινολογία τὸ γεγονός, ἐπὶ Φωτίου πρῶτον ἐν τῇ Ἀνατολῇ ἀκουσθεῖσα, καὶ τότε μὲν εὐθὺς ὁμοφώνως ὑπὸ τῆς Ἀνατολικῆς Ἐκκλησίας κατακριθεῖσα καὶ ἀναθεματισθεῖσα, ἐφεξῆς δὲ καὶ ἐσαεὶ ὑπὸ πάντων τῶν Ὀρθοδόξων δικαίως ἀναθεματιζομένη, ὡς παρὰ τὴν Εὐαγγελικὴν διδασκαλίαν τὸ τῆς Πίστεως Σύμβολον κιβδηλεύουσα. Τοιαύτην δέ, ὡς ἔφθημεν εἰπόντες, καὶ ὁ πανίερος Φώτιος τὴν διδασκαλίαν ἐκείνην ὀνομάζει, καινολογίαν ἀθέμιτον, ἐν οἷς λέγει "τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἐκ τοῦ Πατρὸς μόνου, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ, ἐκπορεύεσθαι καινολογήσαντες." Καὶ πρὸς τὸν Ἀκυληΐας Μητροπολίτην ἔγραφεν· "Ἦκεν εἰς ἡμετέρας ἀκοάς, ὥς τινες τῶν ἀνὰ τὴν Δύσιν τὸ θεῖόν τε καὶ πανάγιον Πνεῦμα οὐ μόνον ἐκ τοῦ Θεοῦ καὶ Πατρός, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ, ἐκπορεύεσθαι παρεισάγουσιν." (Ἐπιστ. Ε'. § γ'.)

[1] Αὕτη τοῦ Φωτίου ἡ ἐγκύκλιος ἐπιστολὴ μετὰ τῆς ὑπὸ τοῦ Αὐτοκράτορος πρὸς τοὺς Βουλγάρους γεγραμμένης εἰς Ῥώμην περιελθοῦσαι, οὕτω τὸν Νικόλαον κατεθορύβησαν, ὥστε παραχρῆμα τοὺς ἐν Γαλατίᾳ καὶ Γερμανίᾳ Ἐπισκόπους εἰς συμμαχίαν ἐπεκαλέσατο, ὡς δεινοῦ πολεμίου τὴν Παπικὴν κατασείοντος δυναστείαν. Ἄλλα τε οὖν παρεκελεύετο αὐτοῖς, καὶ δὴ καὶ τὴν καθ' ἑαυτοὺς συγκαλέσαντα Σύνοδον ἕκαστον βουλεύσασθαι περὶ τοῦ πρακτέου, καὶ ὡς τάχιστ' αὐτῷ τὰ προσήκοντα ὑποθέσθαι. Ὁ γὰρ πολέμιος (ἔλεγεν), εἴτ' οὖν ὁρατός, εἴτε ἀόρατος, μάλιστα πάντων τὴν ἡμετέραν δέδοικεν ὁμόνοιαν. Ἴωμεν οὖν ἐπὶ τοὺς κοινοὺς πολεμίους, οὐ διεσπασμένῳ τῷ στρατῷ, ἀλλ' ἅμα πάντες, καὶ ὡς εἰς μάχην συντεταγμένοι. — Οἷος Τυρταίου ἄξιος θούριος! Ἀλλ' ἀκούσωμεν καὶ Ἰαγέρου τὸν θούριον τοῦτον ἐν τῇ ἑαυτοῦ ᾄδοντος ἱστορίᾳ. "L'ennemi, soit visible, soit invisible, ne craint rien tant en nous que la concorde. Marchons donc contre les ennemis communs, non par troupes séparées, mais tous ensemble, de concert, et comme une armée rengée en bataille." Ὡς πολλή Σου καὶ μεγάλη ἡ δύναμις, πανίερε Φώτιε! ἐλαφροτάτῳ γὰρ ὅπλῳ, τῷ σῷ τροπαιοφόρῳ καλάμῳ, τὴν Παπικὴν πλήξας τιάραν, ἐν ἅρμασι καὶ ἐν ἵπποις πᾶσαν ἐποίησας εἰς μάχην καταβῆναι τὴν Παπικὴν σπεῖραν, καὶ νενικημένην ἐν καταισχύνῃ ἀπελθεῖν, καὶ τούτῳ μόνῳ τὴν λύπην παραμυθεῖσθαι, ταῖς ὕβρεσι καὶ ταῖς βλασφημίαις, ἃς μέχρι καὶ νῦν ἀκορέστως κατὰ τῆς ἱερᾶς Σου ἐξερεύγεται μνήμης! Τὸν δ' οὖν προεκτεθέντα θούριον τῆς τοῦ Νικολάου ἐπιστολῆς μετ' ἐνθουσιασμοῦ ᾄδων ὁ καλὸς Ἰάγερος, καὶ τάδε περὶ τῆς ἐνισταμένης μάχης φησίν· "On voit par cette lettre que le Pape comprend toute l'étendue du mal que pourra faire Photius avec son prodigieux talent, et la nécessité de lutter désormais contre lui, non plus corps à corps, comme on l'avait fait juspu'à present, mais avec tous les Evêques ensemble, *avec une armée rengée en bataille.* (Hist. de Photius, p. 161.—Ἴδε καὶ Fleury Hist. Eccles. Tom. XI. p. 177—186). Τότε δὴ πρώτιστοι πάντων κατέβησαν εἰς τὸν ἀγῶνα οἱ

Digitized by Google

συνέστη Σύνοδος, ἐν ᾗ, παρόντος τοῦ Αὐτοκράτορος καὶ τοῦ μετὰ τὸν θάνατον τοῦ Βάρδα συμβασιλεύοντος αὐτῷ Βασιλείου τοῦ Μακεδόνος,[1] καὶ τῶν ἀντιπροσώπων τῶν λοιπῶν ἐν τῇ Ἀνατολῇ Πατριαρχικῶν θρόνων, ὁ μὲν Πάπας Νικόλαος ἅμα τοῖς ἐν Βουλγαρίᾳ δυσσεβέσιν αὐτοῦ ὑπηρέταις ἀναθεματίζεται, τὰ δὲ τῆς Συνόδου Πρακτικά, χιλίας φέροντα ὑπογραφάς, διὰ Ζαχαρίου τοῦ Χαλκηδόνος καὶ Θεοδώρου τοῦ Λαοδικείας πρὸς αὐτὸν τὸν Νικόλαον ἀποστέλλεται. Ἐγένετο δὲ ἡ Σύνοδος ἐκείνη ἐν ἔτει 867.[2]

μ΄. Ἀλλ' οὕτω τῶν πραγμάτων ἐχόντων, μεγάλη τις ἐν τοῖς βασιλείοις ἐπιγίνεται μεταβολή, οἵαν ταύτην ἡ Παπικὴ παρεσκεύασε ῥαδιουργία. Ὁ μὲν γὰρ Αὐτοκράτωρ Μιχαὴλ ὑπὸ Βασιλείου τοῦ Μακεδόνος, ὃν αὐτὸς ἐκ μικροῦ καὶ ταπεινοῦ μέγαν καὶ τῆς βασιλείας κοινωνὸν ἀνέδειξε, καὶ θετὸν υἱὸν καὶ κληρονόμον τοῦ θρόνου ἀνεκήρυξεν, ἀπανθρώπως τε καὶ ἀσεβῶς ἔπεσε δολοφονηθείς·[3] αὐτὸς δὲ Βασίλειος Αὐτοκράτωρ

κατὰ τὸν Ἰάγερον περίδοξοι μονομάχοι (illustres champions), Αἰνείας ὁ Παρισίων Ἐπίσκοπος, καὶ Ὄδονος ὁ Βεωβαίσης (Odon évêque de Beauvais) καὶ Ῥάτραμος ὁ Μοναχός, οἳ πρῶτοι τὸν ἀγῶνα πρὸς Φώτιον ἀναδεξάμενοι, πολλὰ μέν, ἀτὰρ οὐ κατὰ κόσμον (ὡς ὁ Ὁμήρου Θερσίτης) ἔγραψαν κατὰ Φωτίου καὶ τῆς ἐκείνου ἐπιστολῆς, οὐδὲν ἄλλο ἢ τὴν ἑαυτῶν διατρανώσαντες ἀσθένειαν καθ' οὗπερ ἀντιπαρετάξαντο πολεμίου, καὶ τῶν ἐν τῇ ἐγκυκλίῳ ἐκείνῃ ἐκτεθειμένων ἀληθειῶν οὐδ' ἰῶτα ἓν ἢ μίαν κεραίαν ἀνατρέψαι δυνηθέντες, ὡς ἐν οἰκείῳ τόπῳ δειχθήσεται. Ἡ δὲ Παπικὴ ἀλαζονεία ἐκ τοῦ συστάδην τὸν φοβερὸν πολέμιον οὐ δυναμένη καταβαλεῖν, οὐδὲ μὴν ἁπλῶς τρῶσαι, ἅτε τῷ ἀκαταμαχήτῳ τῆς ἀληθείας θώρακι τεθωρακισμένου, ἄλλην δρῦν, τὸ τῆς παροιμίας, ἐβαλανίσατο, ὅπως Φώτιον ἐκποδὼν ποιησαμένη, καὶ Ἰγνάτιον εἰς τὸν Πατριαρχικὸν ἐπαναγαγοῦσα θρόνον, αὐτὴ κατάρξῃ τῶν πάντων, ὡς προϊὼν ὁ λόγος δείξει σαφέστατα.

[1] Ὁ μὲν Βάρδας ἐν μηνὶ Ἀπριλίῳ τοῦ 866 ἔτους ἔπεσε θῦμα τοῦ ἑαυτῷ τὴν βασιλείαν μνωμένου Βασιλείου τοῦ Μακεδόνος, ὃς αὐτὸν ἰδίᾳ χειρὶ κατεκρεούργησεν, οὐκ ἐν ἀγνοίᾳ, ἀλλ' ἐν γνώσει καὶ συστάσει τοῦ ἀσυνέτου Αὐτοκράτορος Μιχαήλ· ταῖς γὰρ Βασιλείου πειθόμενος ὁ ἄφρων διαβολαῖς, ἐπιβουλεύειν ὑπώπτευσε τὸν Βάρδαν τῇ Ἀρχῇ. Βασίλειος δέ, οὗτος δὴ ὁ τὸν Βάρδαν κρεουργήσας, τότε μὲν εὐθὺς ὑπὸ τοῦ Αὐτοκράτορος υἱοθετηθείς, κοινωνὸς αὐτῷ τῆς Ἀρχῆς ἀνεδέδεικτο ἐν μηνὶ Μαΐῳ τοῦ αὐτοῦ ἔτους· ἔπειτα δὲ καὶ αὐτὸν τὸν υἱοθετήσαντα ταὐτὰ ἐργασάμενος, αὐτὸς ἀνηγόρευτο Αὐτοκράτωρ, καρποφόρος γενόμενος δρῦς τῇ ἀσεβῶς βαλανιζομένῃ Παπικῇ ἀλαζονείᾳ, ὡς προϊόντες ὀψόμεθα.

[2] Καὶ περὶ τῆς Συνόδου ταύτης πολλὰ καὶ δεινὰ οἱ Φωτιομάχοι Νικήτας καὶ Μητροφάνης καὶ Ἀναστάσιος κατεψεύσαντο, εὐαρίθμους τινὰς εἰπόντες γενέσθαι τοὺς συνελθόντας καὶ ὑπογράψαντας, καὶ Φώτιον τὰ τῆς Συνόδου Πρακτικὰ πρὸς τὸν τότε ἐν τῇ Δύσει ἡγεμονεύοντα Λουδοβῖκον καὶ τὴν ἐκείνου σύζυγον Ἡγγιβέργην ἀποστείλαντα, πολλὰ καὶ μεγάλα ὑπισχνεῖσθαι αὐτοῖς, καὶ δὴ καὶ Αὐτοκράτορας ἀποδείξειν Κωνσταντινουπόλεως (!!!), εἰ τὸν Πάπαν Νικόλαον ἀποπέμψαιντο τοῦ θρόνου. Ταύτας δ' αὐτῶν τὰς ἀναπεπταμένας φλυαρίας οἵ τε ἄλλοι τῶν Παπιστῶν προθύμως ἀντέγραψαν, καὶ δὴ καὶ Ἰάγερος, ὡς εἰκός, ἐν τῇ Ἱστορίᾳ αὐτοῦ (σελ. 148). Ἀλλὰ ταῦτα μὲν οὐ χαλεπὸν συνιδεῖν καὶ τὸν ἐλάχιστον ἔχοντα νοῦν, ὅτι προσοχῆς καὶ τῆς ἐλαχίστης ἀνάξια· ἐκεῖνο δὲ παρατηρητέον, ὅτι τ' ἄλλα διαπραξαμένη ἡ Παπικὴ ἀλαζονεία, καὶ Βάρδαν καὶ Μιχαὴλ καὶ Φώτιον ἐκποδὼν ποιησαμένη, πρώτιστα πάντων ἐπεμελήθη τὰ τῆς Συνόδου ἐκείνης Πρακτικὰ παρὰ Βασιλείου λαβεῖν, καὶ πυρὶ ταῦτα καταναλῶσαι. Δῆλον δ' ἐντεῦθεν, ὁπόσον διὰ τὴν Σύνοδον ἐκείνην ἐθορηβήθη, καὶ ὅπως ἐπὶ τῶν πτωμάτων τοῦ Βάρδα καὶ Μιχαὴλ πατοῦσα εἰς τὴν ποθουμένην ἀνέβη περιωπήν.

[3] Ὅτι τὴν δολοφονίαν ταύτην ὁ Παπικὸς ὑπεκίνησε δάκτυλος, τῇ Βασιλείου φιλαρχίᾳ καὶ ἀσεβείᾳ εὐχρήστῳ χρησάμενος ὅπλῳ, ἀρκούντως ἐν τοῖς τῶν Ἀμφιλοχίων προλεγομένοις (σελ. λδ΄) δέδεικται. Τοῦτο δὲ καὶ Ἰάγερος αὐτὸς μαρτυρεῖ (εὐάλωτον γὰρ ἡ πονηρία κατὰ τὸν θεολόγον Γρη-

Digitized by Google

ἀνηγορεύθη ἐν μηνὶ Σεπτεμβρίῳ τοῦ 867 ἔτους, ἑπτακαίδεκα δῆλον ὅτι μῆνας μετὰ τὴν τοῦ Βάρδα δολοφονίαν. Τοῦτον δὲ ὁ Πατριάρχης ΦΩΤΙΟΣ ἔχρισε μὲν εἰς βασιλέα κατὰ τὸ εἰωθός, οὐ μέντοι τὴν ἀχαριστίαν ἐπῄνει τοῦ ἀνδρός· ἀλλὰ καὶ πρότερον ἐλέγχων αὐτοῦ τὴν ὠμότητα,[1] τότε τὴν πατροκτονίαν ἐν παῤῥησίᾳ μάλιστα πρεπούσῃ τῷ τῆς Ἐκκλησίας προεστῶτι φανερὸς ἦν ἀποδοκιμάζων καὶ κατακρίνων. Ὡς οὖν μετὰ ταῦτα εἰς κοινωνίαν τῶν ἀχράντων μυστηρίων προσῆλθεν ὁ μιαιφόνος, ἀνάξιον αὐτὸν τῆς τῶν μυστηρίων κηρύξας μεταλήψεως, ὡς τῷ τοῦ εὐεργέτου αἵματι μεμιασμένον, ἀπέπεμψε τῆς Ἐκκλησίας. Διὰ δὴ τοῦτο θυμοῦ πλησθεὶς ὁ Αὐτοκράτωρ, ΦΩΤΙΟΝ μὲν τοῦ Πατριαρχικοῦ καταβιβάζει θρόνου, καὶ ἐν Σκέπῃ, μονῇ τινι οὐ πολὺ τῆς Κωνσταντινουπόλεως ἀπεχούσῃ, καθείργει· Ἰγνάτιον δὲ τὸ δεύτερον Πατριάρχην καθίστησι τὴν 23 Νοεμβρίου τοῦ 867 ἔτους.[2] Ἤδη δὲ καὶ ὁ Πάπας Νικόλαος πρὸ ἡμερῶν

γόριον), ἐν οἷς φησι τὸν Πάπαν Νικόλαον τὸν τοῦ Μιχαὴλ θάνατον προφητεῦσαι, ὅτε πρὸς τὸν Γολιὰθ αὐτὸν ἀντιπαρέβαλλε, καὶ μετὰ μικρὸν ἥξειν αὐτῷ τὴν τιμωρίαν ἐπηγγέλλετο. "Attendez; tant soit peu, et vous le verrez frappé au nom de Dieu, et abattu par son glaive." Τὰ δὴ Νικολάῳ ταῦτα περὶ Μιχαὴλ γεγραμμένα ἑρμηνεύων Ἰάγερος λέγει· "C'est une espèce de prophètie relativement à l'Empereur Michel, comme nous le verrons bientôt (Hist. de Photius, p. 114). Καὶ ἀληθῶς, εἴποι τις ἄν, προφητεία ἦν τὸ εἰρημένον, καὶ προφητεία πληρωθεῖσα!!! Τίς δὲ ἦν ὁ Βασίλειος, ὁ τὸν Βάρδαν πρῶτον, ἔπειτα δὲ καὶ τὸν Αὐτοκράτορα δολοφονήσας, καὶ πόθεν καὶ πῶς εἰς τὸν Αὐτοκρατορικὸν εἰσαχθεὶς οἶκον, ταῖς ἐν αὐτῷ διχονοίαις ἀφορμὴν ἐχρήσατο πρὸς τὸ τὴν Ἀρχὴν ἑαυτῷ παρασκευάσασθαι, πᾶσιν ἐπιβουλεύσας, καὶ τελευταῖον αὐτὸν τὸν Αὐτοκράτορα ἰδίᾳ χειρὶ κρεουργήσας, περὶ τούτων ἁπάντων ἴδε Παπιστ. ἐλέγ. προλεγ. (Τόμ. Α', § ζ', ι, ιγ', κγ' κδ' κέ καὶ λ'). Ἰδίᾳ δὲ βίον τοῦ Αὐτοκράτορος τούτου Κωνσταντῖνος ὁ Πορφυρογέννητος, ὁ υἱωνὸς αὐτοῦ, ἔγραψε, πολλὰ τὸν ἴδιον πάππον ἐγκωμιάζων, ὡς εἰκός, καὶ εἴ τι μὲν ἐκείνῳ κακῶς πέπρακται, συγκαλύπτων, εἴ τι δὲ λόγου ἄξιον κατακοσμῶν καὶ μεγαλύνων. Ἐντεῦθεν οὖν καὶ τὰ πρὸς Φώτιον ἀδίκως ὑπὸ Βασιλείου πραχθέντα ὁ καλὸς υἱωνὸς οἰκονομεῖ κατὰ δύναμιν. (Ἴδε τὸν Βασιλείου βίον ἐν τῇ συνεχείᾳ τῆς Θεοφ. Χρονογρ. (σελ. 211—353.)

[1] Ἴδε τὴν πρὸς αὐτὸν ἐπιστολὴν Φωτίου, Πατρίκιον ὄντα καὶ Ἔπαρχον, ἐν ᾗ τὰς τυραννικὰς αὐτοῦ πράξεις ἐλέγχων, καὶ τάδε λέγει πρὸς αὐτόν· "Πόθεν οὖν ἡ τοσαύτη τῶν κακῶν Ἰλιάς; Ὅτι σὺ μέν, "ὡς φασιν, ἄρχεις, οἱ δέ σου πολὺ κρείσσους ἄρχειν τὸν σὸν βαρὺν ἕλκειν ζυγὸν ἀναγκάζονται. . . . . "Τοῦτό ἐστιν ὁ ἐν πόλει λῃστὴς καὶ ὁ πάνδημος δήμιος." (Ἐπιστ. ργ').

[2] Ὁμοία τις τοῦ Ἰγνατίου παῤῥησία εἰς πολλὰ ἐνέβαλεν ἐκεῖνον κακά, ὥσπερ προείρηται. Καὶ Φώτιος δέ, εἰ καὶ ἐγίγνωσκε τὴν Βασιλείου ὠμότητα, καὶ πολλὰ πήσεσθαι ὑπ' ἐκείνου κακὰ προσεδέχετο, ὅμως περὶ πλείονος ἐποιήσατο κακῶς παθεῖν, ἢ τῷ ἰσχύοντι χαριζόμενος τὴν κακίαν παρορᾷν ἀτιμώρητον. Τοῦτο δὲ καὶ αὐτὸς Συμεὼν ὁ Μάγιστρος, ὁ τοσαῦτα κατὰ Φωτίου τερατευσάμενος, οὐκ ἠδυνήθη διαψεῦσαι, ἀλλὰ σαφῶς ἐν τῇ χρονογραφίᾳ αὐτοῦ ταύτην μόνην γενέσθαι τῆς Φωτίου ἐκθρονίσεως τὴν αἰτίαν ὁμολογεῖ, τάδε λέγων· "Φώτιος δὲ ὁ Πατριάρχης, ἐλθόντος τοῦ Βασιλέως ἐν τῇ Ἐκκλησίᾳ, καὶ "μέλλοντος αὐτοῦ κοινωνεῖν, λῃστὴν καὶ φονέα ἔλεγε, καὶ ἀνάξιον τῆς θείας κοινωνίας. Ὁ δὲ θυμω- "θεὶς . . . . τοῦτον τοῦ θρόνου ἐξέωσεν· καὶ ἀναβιβάζει πάλιν Ἰγνάτιον τὸν ἐν ἁγίοις Πατριάρχην τὸ "δεύτερον." (σελ. 688—9 ἐν τῇ συνεχ. τῆς Θεοφ. χρονογρ.). Καὶ ἕτερος δὲ Φωτίου σύγχρονος, Γεώργιος Μοναχός, ὁ ἐπικαλούμενος Ἁμαρτωλός, ἐν τῷ Χρονικῷ αὐτοῦ, τῷ ἐν τῇ βιβλιοθήκῃ τοῦ Οὐατικανοῦ ἀνεκδότῳ τηρουμένῳ, λέγει· "Τοῦ Βασιλείου ἐν τῇ Ἐκκλησίᾳ ἐλθόντος, καὶ τῆς ἀχράντου θυσίας μετα- "λαβεῖν βουληθέντος, ὁ Πατριάρχης Φώτιος τῆς θείας αὐτὸν ἀπεῖργε μεταλήψεως, ἀνδροφόνον ἀπο- "καλῶν καὶ λῃστὴν καὶ τῶν ἀχράντων μυστηρίων ἀνάξιον· ἐφ' οἷς θυμωθεὶς ὁ Βασίλειος, ἐκ Ῥώμης

Digitized by Google

δέκα ἐτετελευτήκει ἐν Ῥώμῃ, οὐκ ἐπιδὼν πεπληρωμένην τὴν ἑαυτοῦ προφητείαν, ἀλλ' ὑπὸ λύπης ἀποθανών, ὡς λέγεται, ὅτι οὐ κατὰ θυμὸν αὐτῷ ἐχώρει τὰ πράγματα. Ἡ μὲν γὰρ κατ' Ἀνατολὰς Ἐκκλησία ὁμοφώνως αὐτόν τε καὶ τὰ ἔργα αὐτοῦ ἀπεκήρυττεν, ἐν οὐδενὶ λόγῳ τὰς ἐγκυκλίους ἐκείνας τιθεμένη, ἃς ἔγραφε κατὰ ΦΩΤΙΟΥ,

---

" Ἐπισκόπους ἐλθεῖν παρεσκεύασε, Τόμον ἐπιφερομένους τοῦ Πάπα, καὶ τοῦ Πατριαρχικοῦ θρόνου " τοῦτον ἐξώθησεν· Ἰγνάτιον δὲ τὸν ἐν ἁγίοις Πατριάρχην προεχειρίσατο τὸ δεύτερον."— (Ἴδε περὶ τούτου Maii Scriptorum Veterum nova collectio, Tom. I. p. 44 ἐν τοῖς Προλεγ.—Περὶ δὲ Γεωργίου τοῦ Ἀμαρτωλοῦ καὶ τῶν ὑπ' αὐτοῦ γεγραμμένων ἴδε Φαβρ. Ἑλ. Βιβλ. Τόμ. Ζ', σελ. 463, καὶ Τόμ. ΙΒ', σελ. 30, ἔκδ. Harles). Τὰ δ' αὐτὰ καὶ τοῦ Ζωναρᾶ περὶ τῆς Φωτίου εὐσεβοῦς παῤῥησίας ἱστοροῦντος, Βαρώνιος ὁ Καρδινάλιος (an. 867 n. 100—103) οὐ προσεκτέον εἶναι λέγει τοῖς ἱστορουμένοις, ὅτι σχισματικὸς ἦν ὁ Ζωναρᾶς !!! Ἦ καὶ μάλα δικαίως ὁ φιλαλήθης Μοντακούτιος τὴν Βαρωνίου ἐλέγχων ἄνοιαν, γελοῖον αὐτὸν ἀποκαλεῖ καὶ τοῦ κοινοῦ νοὸς ἀπεστερημένον· " Pudenta certe Baronii malendicentia communem ei sensum expectoravit." Ἀλλὰ καὶ αὐτὸς ὁ τῆς Ἱστορίας τῶν Παπῶν συγγραφεὺς πολλὰ τὴν Φωτίου ἐπαινεῖ ἀρετὴν καὶ εὐσεβῆ παῤῥησίαν, λέγων· " Mais Photius ne put fermer les yeux sur un crime de cette nature. Un jour de fête Basile étant entré dans la Grande Eglise pour participer à la Communion, Photius le repoussa, et lui dit avec fermeté, qu'il était indigne d'entrer dans l'Assamblée des Fidèles, pouisqu'il avait encore les mains fouillées du sang de son bienfaiteur. Basile, irrité de ce reproche, chassa dès le lendemain le Patriarche, et rappela Ignace. (Hist. des Papes, Tom. II. p. 99). Ἔπιθι δὲ καὶ Σπυρίδωνος Ζαμπελίου τὰς περὶ τούτου καὶ τῆς ψευδογδόης Συνόδου σκέψεις (Βυζαντιναὶ μελέται, σελ. 482—5). Ὁ δὲ Παφλαγὼν Νικήτας, πολλὰ παφλάζων ἐν ἄλλοις κατὰ Φωτίου, ἐν τούτῳ μόνῳ βάτραχος Σεριφιος, τὸ τῆς παροιμίας, γίνεται, λέγων ἁπλῶς. " Τῇ δ' ἑξῆς μετὰ τὴν ἀναγόρευσιν τοῦ Πατριαρχικοῦ θρόνου τὸν Φώτιον καταβιβάζει, καὶ ἐν μοναστηρίῳ τινι καλουμένῳ Σκέπῃ τοῦτον εὐθὺς ὑπερορίζει." Ἐντεῦθεν οὖν καὶ Ἰάγερος, ὁ πιστὸς Νικήτα ἀντιγραφεύς, οὐκ ἐθέλει πείθεσθαι τοῖς λέγουσι Φώτιον διὰ τὴν εὐσεβῆ ἐκείνην παῤῥησίαν καταβιβασθῆναι τοῦ θρόνου, ὅτι παρὰ Νικήτᾳ ταῦτα οὐχ' εὕρηται· ἑτέραν δὲ ζητῶν τοῦ πράγματος αἰτίαν, τοιαύτην ὁ καλὸς ἱστοριογράφος εὑρίσκει τὴν Φωτίου ἀπιστίαν, ἣν Βασίλειος εἰδὼς ἀπαλλαγῆναι ἤθελεν αὐτοῦ !!! (Hist. de Photius, p. 170—1). Τὰ δ' Ἰαγέρου ταῦτα καὶ Τόστης ἀντιγράφων, οὐδὲ κατὰ λέξιν μίαν ἀπολείπεται τοῦ πρωτοτύπου· ἀλλὰ τυφλὸς τυφλῷ ἑπόμενος ὁδηγῷ εἰς τὸν αὐτὸν ἐκείνῳ συγκαταπίπτει βόθρον. (Storia dell' origine dello scisma Greco, Vol. 1. p. 325). Ἀλλ' εἴπερ Βασίλειος ὡς ἄπιστον ἐξεθρόνισε Φώτιον, τί ὅτι μετὰ τρία ἔτη τὸν ἄπιστον τοῦτον ἐξαγαγὼν τοῦ δεσμωτηρίου, τῶν τε ἰδίων τέκνων κατέστησε διδάσκαλον, καὶ πάσῃ τιμῇ περιεῖπεν αὐτὸν ἐν τοῖς βασιλείοις, καὶ συνεργῷ πρὸς τὴν τῶν Νόμων ἐπεξεργασίαν ἐχρήσατο, καὶ πάλιν εἰς τὸν Πατριαρχικὸν ἐπανήγαγε θρόνον; Δι' οὐδὲν ἄλλο πάντως, ἢ ὅτι ἐγίνωσκέ τε καὶ ἐτίμα τὴν τοῦ ἀνδρὸς παντοδαπῇ σοφίαν καὶ ἀρετήν, ὡς αὐτὸς ὁ Βασιλείου υἱωνὸς Κωνσταντῖνος ὁ Πορφυρογέννητος βεβαιοῖ λέγων· " Οὐ μὴν οὐδὲ πρὸ τούτου διέλιπε φιλοφρονούμενος αὐτὸν καὶ τιμῶν διὰ τὴν ἐν αὐτῷ παντοδαπῆ ΣΟΦΙΑΝ τε καὶ ΑΡΕΤΗΝ." Τούτων τοίνυν οὕτως ἐχόντων, ποῦ ἄν τις θείη τὴν Ἰαγέρου κρίσιν " il détestait sa perfidie;" τί δὲ κοινὸν τῇ Ἀρετῇ καὶ τῇ Ἀπιστίᾳ; Πολὺ νὴ Δία σωφρονέστερος Ἰαγέρου δείκνυται Φλευρῆς, τὴν βατραχώδη Νικήτα μιμούμενος σιωπήν, καὶ ἁπλῶς ἐκείνου μεταφράζων τὰς λέξεις, οὐδὲν δὲ λέγων ἴδιον αὐτός. (Fleury Hist. Eccl. Tom. XI. p. 145). Μόνη ἄρα τῆς Φωτίου ἐκθρονίσεως αἰτία ἡ εὐσεβὴς αὐτοῦ παῤῥησία ἐγένετο, δι' ἣν θαυμάζεσθαι ἄξιος, καὶ δικαίως παρὰ πάντων τῶν ἀπαθῶς περὶ αὐτοῦ κρινόντων θαυμάζεται· ἃ γὰρ ἐν τοῖς Ἀμφιλοχίοις λέγει περὶ Προδρόμου, τοῦ τὸν Ἡρῴδην ἐλέγξαντος, ταῦτα καὶ ἔργῳ ἐπεδείξατο, Βασίλειον ἐλέγξας, καὶ ὡς ἄλλος Πρόδρομος, ὁ ἐν γεννητοῖς γυναικῶν μείζων, δίκην δοὺς τῆς εὐσεβοῦς παῤῥησίας. Λέγει γοῦν περὶ Προδρόμου τάδε· " Καὶ τὸν ἔλεγχον ὁ Πρόδρομος " ποιεῖται, οὐ τοσοῦτον κηδόμενος ἐκείνου (τοῦ Ἡρῴδου), ὅσον τὸ πλῆθος διορθοῦσθαι πρόνοιαν ποιῶν. " Καὶ γὰρ τῶν τοῖς ἄρχουσι καὶ βασιλεῦσι πλημμελουμένων ἀνεπιτιμήτων μενόντων, ἑτοίμως τὸ πλῆθος " πρὸς τὴν μίμησιν παρακαλεῖται· ἐκείνων δὲ τῆς πράξεως ἀναχαιτιζομένων, ἀναγκάζεται καὶ τὸ ὑπή-

Digitized by Google

πᾶσαν ἐλπίζων τὴν Ἀνατολὴν ἐπαναστήσειν κατ' ἐκείνου· ἡ δὲ κατὰ δυσμὰς διὰ τὴν ἐν τῷ Συμβόλῳ προσθήκην κατεστρηνία, καὶ πολλοὶ τῶν Ἐπισκόπων κατὰ τῆς προσθήκης διεμαρτύροντο, ὧν εἷς ἐτύγχανε καὶ ὁ Μητροπολίτης Ἀκυληΐας Ἰωάννης, πρὸς ὃν ΦΩΤΙΟΣ τὴν κεχαριτωμένην ἐκείνην ἔγραψεν ἐπιστολήν.[1]

μά. Καὶ ἰδοὺ πεπλήρωται ἡ Ἰαγέρου εὐχή,[2] ΦΩΤΙΟΥ μὲν ἐν τῇ Σκέπῃ κατακεκλεισμένου, καὶ κουστωδίᾳ στρατιωτῶν φρουρουμένου, Ἰγνατίου δὲ εἰς τὸν Πατριαρχικὸν ἐπαναβάντος θρόνον· οὐ μόνον δέ, ἀλλὰ καὶ Βάρδα καὶ Μιχαὴλ τοῦ Αὐτοκράτορος καὶ Νικολάου τοῦ Πάπα ἐκλελοιπότων. Ὥστε διὰ ταῦτα εἴποι τις ἂν βεβαίαν ἐπανελθεῖν τὴν εἰρήνην τῇ τε Ἐκκλησίᾳ καὶ τῇ πολιτείᾳ, καὶ γαλήνην ἀσφαλῆ τὸν πρότερον διαδέξασθαι σάλον, ἤδη πεπληρωμένης τῆς Ἰαγέρου εὐχῆς. Ἀλλὰ πολλοῦ γε δεῖ. Ἡ γὰρ ἀληθὴς τῶν κακῶν ἀρχή, ἡ Παπικὴ φιλοπρωτία καὶ ἀλαζονεία, οὐ συνετάφη τῷ Πάπᾳ Νικολάῳ, ἀλλὰ μετ' Ἀδριανοῦ τοῦ Β', τοῦ τὸν Νικόλαον διαδεξαμένου, ἀγέρωχος τῷ τῆς Ῥώμης ἐπεκάθητο θρόνῳ· ἡ δὲ κατὰ ΦΩΤΙΟΥ λύσσα τῶν Ἰγνατιανῶν, παντοῖα κατὰ τοῦ ἱεροῦ ἐκείνου ἀνδρὸς μηχανωμένη, καὶ τὸν ἀγαθὸν γέροντα Ἰγνάτιον ὄργανον ἔχουσα πειθήνιον, ἀφορμὴν παρεῖχε τῇ ἀμέτρῳ ἐκείνῃ δοξομανίᾳ κατορχεῖσθαι ἐν Κωνσταντινουπόλει, πάντα διέπουσαν καὶ ἐπιτάττουσαν.

μβ'. Μετὰ γὰρ τὴν Ἰγνατίου εἰς τὸν Πατριαρχικὸν θρόνον ἐπάνοδον, μένεα πνέοντες οἱ φίλοι αὐτοῦ κατά τε ΦΩΤΙΟΥ καὶ τῶν σὺν αὐτῷ, μάλιστα δὲ τῇ Παπικῇ ὑπείκοντες ῥαδιουργίᾳ, πρώτιστα μὲν πάντων ἔπεισαν τὸν Πατριάρχην, τοὺς ὑπὸ ΦΩΤΙΟΥ κεχειροτονημένους, ἢ κοινωνήσαντας ἐκείνῳ, πάντας καθελεῖν, τὰ δὲ παρ' ἐκείνῳ χειρόγραφα βίᾳ στρατιωτῶν ἁναρπάσαι καὶ πυρὶ ἐξαφανίσαι, ὅπως μήποτ' ἔχῃ τὰς παρανομίας αὐτῶν καὶ τὰ πονηρεύματα ἐξελέγξαι· ὃ δὴ καὶ ἐγένετο, πολλῶν τότε καὶ πολυτίμων χειρογράφων, οὐ μόνον δημοσίων, ἀλλὰ καὶ ἰδίων τοῦ σοφωτάτου Πατριάρχου συγγραμμάτων, ἀσεβῶς πυρποληθέντων.[3] Ἔπειτα δὲ τὸν Αὐτοκράτορα παρασύροντες εἰς τοσαύτην ἥλα-

---

"κοον εὐλαβέστερον πρὸς τὰς παρανομίας διακεῖσθαι." Ἀμφιλοχ. Ζήτ. ΤΕ', σελ. 350—1 τῆς Σ. Οἰκονόμου ἐκδόσεως.—Ὅρα δὲ αὐτόθι καὶ Προλεγ. σελ. λδ'). Αὐτὰ δὲ ταῦτα καὶ Μιχαὴλ τῷ Βουλγαρίας ἄρχοντι παραινεῖ λέγων· "Ὅσῳ τις προέχει τῇ Ἀρχῇ, τοσούτῳ χρεωστεῖ πρωτεύειν καὶ τῇ ἀρετῇ." καὶ αὖθις—"Ὁ τῶν ἀρχόντων τρόπος νόμος γίνεται τοῖς ὑπὸ χεῖρα." (Ἐπιστ. ΣΤ', § μ' καὶ μζ'). Μέγας οὖν ἀληθῶς ὁ ἀοίδιμος Φώτιος, ὅτι οὐκ ἐδίδασκε μόνον, ἀλλὰ καὶ ἐποίει κατὰ τὸν εἰπόντα Κύριον· "Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν Οὐρανῶν." (Ματθ. Ε', 19).

[1] Ἴδε τὴν ἁ ἡμῶν σημ. ἐν τῇ Ε' ἐπιστολῇ—καὶ Παπιστ. ἐλέγχ. προλεγ. ἐν Τόμῳ Α', σελ. μζ'.

[2] Ἴδε ἐν τοῖς ἔμπροσθεν § κθ', σημ.

[3] Ἐάν τις καὶ τοῦτο τῶν ἀναιδῶν ἀκούσῃ Φωτιομάχων, θαυμάσει πάντως αὐτοὺς τῆς ἀναιδείας. Εὑρήσει γὰρ ἐν αὐτοῖς, ἀπὸ Νικήτα δὴ τοῦ Παφλαγόνος ἀρχόμενος καὶ εἰς Ἰάγερον καὶ Τόστην τελευτῶν, ὅτι τοὺς Φωτίου ὑπηρέτας, λάθρα τῆς οἰκίας ἑπτὰ σάκκους ἐσφραγισμένους ἐκκομίζοντας, συλλαβόντες οἱ τοῦ Αὐτοκράτορος στρατιῶται, καὶ τοὺς σάκκους ἀφελόμενοι, παντοῖα εὗρον ἐν αὐτοῖς Πρακτικὰ Συνόδων ψευδῆ καὶ παρέγγραπτα, καὶ τὴν Ἰγνατίου φέροντα εἰκόνα ἐν πολλαῖς καὶ ποικίλαις διαμορφώσεσι καὶ ἐπιγραφαῖς (—Ὁ Διάβολος—Ὁ υἱὸς τῆς ἁμαρτίας—Ὁ Ἀντίχριστος—) χειρὶ δῆθεν Γρηγορίου

σαν αὐτὸν ἀπόνοιαν, ὥστε καὶ ναοὺς ὑπὸ ΦΩΤΙΟΥ καθιερωμένους κατεδαφίζειν, καὶ σκεύη ἱερὰ βεβηλούμενα καὶ καταπατούμενα παρορᾷν, καὶ ὅλως κατασελγαίνειν περὶ τὰ θεῖα, ὅπως ΦΩΤΙΟΝ λυπήσωσιν. Ὅτι δὲ ταῦτα πάντα δάκτυλος ὑπεκίνει Παπικὸς πρὸς χλεύην τε καὶ ταπείνωσιν τῆς Ἀνατολικῆς Ἐκκλησίας, οἶμαι δῆλον ἅπασιν εἶναι. Οὐκ ἤρκεσε δὲ ταῦτα τοῖς ὑπηρέταις τῆς ἀνομίας· ἀλλὰ καὶ ἄλλως ἐν τῇ αὐτῶν μανίᾳ τὴν Ὀρθόδοξον ἐξύβρισαν Ἐκκλησίαν, ὡς μάλιστα πάντων ἡ ἐπελθοῦσα αὐτοῖς μετάνοια ἐδήλωσεν. Ὁ γὰρ Αὐτοκράτωρ πρὸς τὸν Πάπαν γράφων Ἀδριανόν, τὴν τῶν γενομένων κύρωσιν (ὦ τῆς ταπεινώσεως καὶ καταισχύνης!) ᾐτεῖτο παρ' αὐτοῦ· καὶ τῆς πρότερον ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων γενομένης Συνόδου, τῆς τὸν Πάπαν Νικόλαον ἀναθεματισάσης, τὰ Πρακτικὰ ἀπέστειλεν ἐκείνῳ, δῶρον ἀγλαὸν καὶ πολυπόθητον. Ὁ δὲ

τοῦ Ἀσβεστᾶ γεγραμμένην. Τοιαῦτά τις ἀναγινώσκων ληρήματα, πῶς οὐκ ἂν δικαίως τὸ τοῦ κωμικοῦ "δότε μοι λεκάνην" ἐπιφωνήσειεν; Εὑρήσει δ' ὅμως ἐν τοῖς τὰ τοιαῦτα ἱστοροῦσι καὶ τήν δε τὴν διαφοράν· ὅτι Νικήτας μὲν ταῦτα γράφων ἐρυθριᾷ πως ἐπ' αὐτοῖς, καὶ τὴν ἰδίαν αἰσχύνην οὐκ ἀποκρύπτεται, ἀλλ' ἐπιλέγει· "Ταῦτα ἐγὼ μὲν αἰσχύνομαι νὴ τὴν ἀλήθειαν ἐπὶ γλώσσης ἄγων, καὶ εἰς μνήμην τούτων ἰών·" οἱ δὲ Νικήτα ἀντιγραφεῖς ἀνερυθριάστως τοὺς τοιούτους ἀντιγράφουσι λήρους, καὶ τούτους ἐπεκτείνοντες οἴονταί τι λέγειν σοφὸν οἱ σοφοί. Οὐ παροπτέον δὲ καὶ τοῦτο Νικήτα τὸ προφανέστατον ψεῦδος, ὅτι "τὰς βίβλους ἐκείνας ὕστερον ἐνεγκόντες ἐπὶ τῆς Συνόδου, καὶ κατὰ πρόσωπον τῷ αὐτουργῷ αὐτῶν παραστήσαντες, καὶ παραδειγματίσαντες, οὕτω παρέδωκαν τῷ πυρί." Ἐν γὰρ τῇ ψευδογδόῃ Συνόδῳ κατέκαυσαν μὲν τὰ Φωτίου χειρόγραφα, ὡς ὁ Πάπας Ἀδριανὸς ἐκέλευεν (ἴδε τὴν ἐφεξῆς σημείωσιν), οὐ μέντοι Φωτίῳ ταῦτα παραστήσαντες, οὐδὲ μὴν τὸ παράπαν λόγον αὐτῷ περὶ τούτου ποιησάμενοι· ῥᾳδίως γὰρ ἂν ἡ ἀσέβεια αὐτῶν ἐξηλέγχθη, καὶ ἡ Φωτίου εὐθύτης διέλαμψεν· ἀλλ' ἐκείνου καθειργμένου ἐν τῇ Σκέπῃ, αὐτοὶ καθ' ἑαυτοὺς καὶ τὴν ἀσέβειαν ταύτην εἰργάσαντο, πολύτιμα τοῦ σοφωτάτου Πατριάρχου χειρόγραφα πυρπολήσαντες οἱ παράνομοι, ὅπως τῷ τε Πάπᾳ ὑπηρετήσωσι μετὰ σπουδῆς τοῦτο κελεύοντι, καὶ τὰ ἴδια αὐτῶν ἐξαφανίσωσιν αἴσχη. (Ἴδε τὰ Πρακτικὰ τῆς ψευδογδόης Συνόδου, Πρ. Ε', Ζ' καὶ Η'.) Ἀλλ' ἐῤῥέτωσαν οἱ πονηροὶ συκοφάνται Φωτίου, αὐτοὶ ἑαυτοῖς περιπίπτοντες· νικάτω δὲ ἡ ἀλήθεια, ἣν ὁ πολυμαθὴς ἐκδότης τῆς Ἱστορίας τῆς ἐν Φλωρεντίᾳ Συνόδου, Ῥόβερτος ὁ Κρεϋχθόνιος, τρανῶς διεκήρυξεν. Οὗτος γὰρ ἐν τοῖς προλεγομένοις τῆς Ἱστορίας ἐκείνης τήν τε ἄλλην ἐλέγχει μοχθηρίαν τῶν ἀναιδῶν Φωτιομάχων, Ἀναστασίου τοῦ Βιβλιοθηκαρίου καὶ Νικήτα τοῦ Παφλαγόνος, καὶ ἐπὶ τῇ πυρπολήσει τῶν πολυτίμων ἐκείνων χειρογράφων κατοδυρόμενος λέγει· "Illud certe non sine gemitu effari possim, quod ex isto Paphlagone intelexi, duo volumina Photii, sub nominibus Actionum Synodalium contra sanctos Ignatium et Nicolaum, Latinos flammis mandavisse, et multum metuo ne veritas ipsa in eo igne concrepuerit, aut aliqua rariora Photii monumenta . . . . Nam qui propriis oculis, et non alienis in rerum momenta introspicient, mecum fatebuntur spero, illustri Photio doctiorem in omni genere literarum, prudentiorem in rebus gerendis, omnis juris divini, humanique peritiorem, nunquam sedisse in quovis solio, vel Romæ Papam, vel Constantinopoli Patriarcham." (Vera Historia Unionis non veræ inter Græcos et Latinos.—Præfatio, p. 34)· τοῦτ' ἔστιν· "Οὐ δῆτα τὸ παρὰ "τοῦ αὐτοῦ Παφλαγόνος λεγόμενον ἀναλγήτως ἐξειπεῖν ἔχω, ὡς ἄρα δύο τόμους Φωτίου, Συνοδικῶν "Πρακτικῶν ὄνομα φέροντας, κατὰ δὲ τῶν ἁγίων Ἰγνατίου καὶ Νικολάου γεγραμμένους, οἱ Λατῖνοι "κατέκαυσαν· μάλα γὰρ δέδια, μὴ καὶ αὐτὴ ἡ ἀλήθεια ἐν τῷ αὐτῷ ἐκείνῳ πυρὶ κατηνάλωται, ἢ ἕτερα "Φωτίου σπανιώτερα συγγράμματα. . . . . Τοὺς γὰρ ἰδίοις, ἀλλ' οὐκ ἀλλοτρίοις, τοῖς ὀφθαλμοῖς τὴν "τῶν πραγμάτων ἀλήθειαν ὁρᾶν βουλομένους οἶμαί μοι συνομολογήσειν, ὡς οὐδέποτε Φωτίου σοφώ"τερος ἐν λόγοις, οὐδὲ περὶ τὴν τῶν πραγμάτων διοίκησιν συνετώτερος, οὐδὲ τοῦ θείου καὶ ἀνθρωπίνου "δικαίου ἐπιστημονικώτερος ἄλλος ἐπὶ τὸν θρόνον ἀνέβη, οὔτε Πάπας ἐν Ῥώμῃ, οὔτε "Πατριάρχης ἐν Κωνσταντινουπόλει."

Digitized by Google

ταῦτα λαβών, καὶ Σύνοδον τῶν ἐν τῇ Δύσει Ἀρχιερέων συγκαλέσας, ἐν χαρᾷ καὶ ἀγαλλιάσει τῷ Ἡφαίστῳ παρέδωκεν εἰς βοράν, ἐπειπὼν τὸ τοῦ Πλάτωνος ἐκεῖνο·

Ἥφαιστε, πρόμολ' ὧδε· Πάπας νύ τοι σεῖο χατίζει.

ἔπειτα δὲ ἀντέγραψε πρὸς τὸν Αὐτοκράτορα, πολλὰ τοῦτον ἐπαινῶν, ὡς εἰκός, καὶ Σύνοδον οὐκ εὐαρίθμητον συγκαλέσαι κελεύων ἐν Κωνσταντινουπόλει, ἐφ' ᾗ καὶ ἰδίους ἀπέστειλε τοποτηρητάς, ὅπως προκαθεσθέντες καὶ δικάσαντες, κἀκεῖ τὸ αὐτὸ πρὸς τελείαν τῶν Πρακτικῶν ἐκείνων ἐξαφάνισιν ποιήσωσιν. Ἐν τέλει δὲ τῷ τε Αὐτοκράτορι καὶ τῷ Ἰγνατίῳ ἀγερώχως ἐνετέλλετο μηδαμῶς ἀπὸ τῶν ἐνταλμάτων τοῦ Ἀποστολικοῦ θρόνου παρεκκλῖναι.[1] Τοὺς οὖν τοποτηρητὰς τούτους, εἰς Κωνσταντινούπολιν ἀφικομένους, ἐν τιμαῖς μεγάλαις ὁ Αὐτοκράτωρ ὑπεδέξατο, καὶ τοσαύταις, ὥστε καὶ Τόστην γαυριῶντα τὴν εἰς τὴν πόλιν τῶν τοποτηρητῶν εἴσοδον ἀληθῆ τοῦ Ῥωμαίου Ποντίφικος θρίαμβον ἀποκαλεῖν.[2]

μγ'. Συντρέχει λοιπὸν (ἐν μηνὶ Ὀκτωβρίῳ τοῦ 869 ἔτους) τὸ τῶν παρανόμων ἐκεῖνο συνέδριον·[3] καὶ ἐν τῷ πανσέπτῳ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας ὀλίγιστοί τινες συνέρχονται, καίπερ πολλὴν ποιουμένου σπουδὴν τοῦ Αὐτοκράτορος, ὅπως οὐκ εὐαρίθμητοι εἶησαν οἱ συνελθόντες, καθάπερ αὐτῷ ὁ Πάπας ἐκέλευεν, ἐξάρχων ἤδη πόῤῥωθεν, καὶ ἀδεῶς ἐπιτάσσων.[4] Τῷ δ' οὖν τοιούτῳ συνεδρίῳ παραστῆναι κελεύεται

---

[1] "Βουλόμεθα δὲ διὰ τῆς ὑμετέρας εὐσεβοῦς σπουδῆς οὐκ εὐαρίθμητον ἐν τοῖς αὐτόθι τελεσθῆναι συνέλευσιν, ὡς ἂν οἱ ἡμέτεροι ἀποκρισάριοι προκαθεσθέντες, καὶ τὰς τῶν πταισμάτων τε καὶ προσώπων διαφορὰς σαφέστερον διαγνόντες, ὁλικῶς τὰ τοῦ ἀνοσίου συνεδρίου ὑπομνήματα παραχρῆμα ἐκ τῶν κατεσχηκότων αὐτὰ ἀφαιρεθέντα κατακαύσωσιν. . . . . Τούτων οὕτω τεθεσπισμένων, δυσωποῦμεν τὴν θεοφρούρητον τῆς Γαληνότητός Σου κεφαλὴν εἰς τὸ ἐναρχθὲν τῆς εὐσεβείας ἔργον περὶ τὸν ἀδελφὸν καὶ συνιερέα μου Ἰγνάτιον διαμεῖναι, καὶ ἀπὸ τῶν ἐνταλμάτων τοῦ Ἀποστολικοῦ θρόνου μὴ παρεκκλῖναι."—Ἴδε τὴν ἐπιστολὴν ταύτην ἐν τοῖς Πρακτικοῖς τῆς ψευδογδόης Συνόδου (Πρ. Α'). Ἐὰν δὲ καὶ τὴν ὀγδόην αὐτῆς διέλθῃς πρᾶξιν, εὑρήσεις ἐν αὐτῇ τετελεσμένην τὴν τοῦ Πάπα διαταγήν. Τῶν γὰρ Φωτίου χειρογράφων προσενεχθέντων τῇ τοῦ Αὐτοκράτορος κελεύσει, προετέθη μέσον τῆς Συνόδου σκεῦος χαλκοῦν πλῆρες πυρός· καὶ τῶν χειρογράφων ἕκαστον διὰ τῶν ὑπηρετούντων τοῖς τοποτηρηταῖς εἰς τὸ πῦρ ἐνεβλήθη, καὶ καυθέντα ἠφανίσθησαν. Ἦν ἄρα τὸ παράνομον ἐκεῖνο Συνέδριον πρόδρομος ἀπαίσιος τῶν Σταυροφόρων ἐκείνων Παπιστῶν, τῶν ἐν τῇ ὑπ' αὐτῶν ἁλώσει τῆς Κωνσταντινουπόλεως πολύτιμα θεολογικὰ καὶ φιλολογικὰ συγγράμματα ἐν Τουρκικῇ μανίᾳ πυρπολησάντων, καὶ ἄλλα πολλὰ κατασεβησάντων.

[2] Fu poi cosa veramente mirabile a vedere il loro ingresso in città, che fecero il dì appresso di domenica; il quale poteva dirsi *un vero triomfo del Romano Pontifice*, stato poco innanzi in quella stessa città sagrilegamente svillaneggiato da Fozio etc. (ἔνθ. ἀνωτ. Τόμ. Α', σελ. 339). Ἴδε καὶ Ἰαγέρου Ἱστορίαν ἐν σελίδι 185—6.

[3] Ἐν τῷ Συνεδρίῳ ἐκείνῳ, ἀπεσταλμένοι τῶν Σαρακηνῶν ἐν Κωνσταντινουπόλει παρόντες, ὡς δῆθεν ἀντιπρόσωποι τῶν ἐν τῇ Ἀνατολῇ Πατριαρχικῶν θρόνων προσελήφθησαν, ὡς κατωτέρω δειχθήσεται.

[4] Δώδεκα μόνοι παρῆσαν ἐν τῇ πρώτῃ Συνεδριάσει, αὐτοῦ τε Ἰγνατίου καὶ τῶν τοῦ Πάπα τοποτηρητῶν συμπεριλαμβομένων. Ἔπειτα δὲ κατὰ πᾶσαν τῶν ἐφεξῆς γενομένων συνεδριάσεων, τὰ μὲν ἀναπειθόμε-

Digitized by Google

ΦΩΤΙΟΣ· καὶ προσέρχεται βίᾳ ὑπείκων, καὶ ὑπὸ λαϊκῶν συνοδευόμενος· πρὸς ὕβριν γὰρ αὐτοῦ καὶ τοῦτο οἱ περὶ τὸν Ἰγνάτιον ἔπραξαν, τοῖς τοῦ Πάπα πειθόμενοι τοποτηρηταῖς. Ὡς δ' εἰσῆλθε καὶ παρέστη τῷ Συνεδρίῳ, ταυρηδὸν πρὸς αὐτὸν ὑποβλέψαντες οἱ τοποτηρηταὶ, ἀνεβόησαν χαιρεκακοῦντες· " Οὗτός ἐστιν ὁ " ΦΩΤΙΟΣ, δι' ὃν ἡ ἁγία τῶν Ῥωμαίων Ἐκκλησία ἐν ἑπτὰ ἔτεσι καὶ πλέον ὑπέμεινε " πόνους πολλούς; ὁμοίως δὲ καὶ οἱ Ἀνατολικοὶ θρόνοι καὶ ἡ Κωνσταντινουπόλεως " Ἐκκλησία ἀνάστατος γέγονεν;" Ἔπειτα δὲ πολλὰ ἐρωτώμενος ὑπ' αὐτῶν, εἰς οὐδὲν ἀπεκρίνετο, τῇ σιωπῇ διδάσκων αὐτούς, ὡς οὐ νομίμους γινώσκει δικαστάς. Ὡς δὲ πάλιν ἠρωτᾶτο, μεγαλοφρόνως ἅμα καὶ τοῖς ἐρωτῶσιν ἐπιτιμητικῶς ἀπεκρίνατο κατὰ

νοι, τὰ δὲ καὶ βιαζόμενοι, προσήρχοντο καὶ πλείους· ὥστ' ἐν τῇ τελευταίᾳ συνεδριάσει, πέντε ὅλους μῆνας τῆς πρώτης ἀπεχούσῃ, μόγις πάνυ εἰς δύο καὶ ἑκατὸν παρεῖναι λέγεται. (Ἴδε Basnage—Hist. de l'Eglise, Tom. I. p. 572—3· καὶ Παπιστ. ἐλέγχ. Τόμ. Α', σελ. ξά.) Τούτου δὲ αἴτιον ἦν οὐ μόνον τὸ Φώτιον τιμᾶν ἅπαντας καὶ τὴν ἀδικίαν φεύγειν, ἀλλὰ καὶ τὸ τὴν ὑποδούλωσιν τῆς Ἐκκλησίας ἀποτροπιάζεσθαι. Οἱ γὰρ τοῦ Πάπα τοποτηρηταὶ προκαθεσθέντες λίβελλον προὐβάλοντο, ὃν πάντως ἔδει τοὺς τοῦ Συνεδρίου μετέχοντας ἀποδέξασθαι καὶ προσυπογράψαι. Τί δ' ἦν τὸ ἐν τῷ λιβέλλῳ ἐκείνῳ; Πρῶτον μὲν οἱ περὶ Φώτιον πάντες κατανεθεματίζοντο, καὶ πάντα τὰ κατὰ Νικολάου καὶ Ἰγνατίου ταῖς προγενομέναις Συνόδοις δόξαντα κατεκρίνοντο καὶ ἀπεδοκιμάζοντο· ἔπειτα δέ, τὸ πάντων αἴσχιστον, ὁ Πάπας Ἀδριανὸς Εὐαγγελικὸς ἄκρος Ἀρχιερεὺς καὶ Οἰκουμενικὸς Πάπας ἀνεκηρύττετο (Evangelicus sumus Pontifex et Universalis Papa), ὡς αὐτὸς Ἀναστάσιος μαρτυρεῖ (Ἴδε καὶ Fleury Hist. Eccl. Tom. XI. p. 211—2). Ἦ καὶ μάλα δικαίως, ἅμα δὲ καὶ μάλα γλαφυρῶς, ἀπὸ τῆς ὑπερορίας τοῖς Ἐπισκόποις γράφων, τὴν Παπικὴν ταύτην ἀλαζονείαν καὶ πονηρίαν κατεστιγμάτιζεν ὁ ἀοίδιμος Φώτιος, καὶ τὴν θείαν ὑπεδείκνυε δύναμιν ὑπὲρ τῆς Ἐκκλησίας ἀνθισταμένην τῷ πονηρῷ, καὶ καταθριαμβεύουσαν αὐτοῦ. " Καινὸν μὲν γὰρ (λέγει) καὶ παράλογον ὁ πολυμήχανος " ὄφις Κόσμῳ παραδεῖξαι ἐνεανιεύσατο· ἀλλὰ καινότερον καὶ παραδοξότερον καὶ θεῖον ἔργον ὡς ἀληθῶς " ὁ τῆς φύσεως ἡμῶν πλάστης καὶ δημιουργὸς κατέστησεν. Ὁ μὲν γὰρ ἀνθρώπους τρισαλιτηρίους . . . " τούτους ὑπεισδύς, καὶ τῆς οἰκείας πονηρίας ἐργαστήριον προστησάμενος, δι' αὐτῶν πᾶσαν καταστρέ- " ψαι καὶ καταλαβεῖν τὴν Ἐκκλησίαν ἐφρυάξατο. Ὁ δέ, οἷα δὴ θαυμάσια μόνος ποιῶν, καὶ ἐν ταῖς " θλίψεσι πλατύνων τοὺς ἐπικαλουμένους αὐτόν, καὶ τότε μάλιστα δεικνύων τὸ τῆς Προνοίας ἄφατον " καὶ σοφόν, ὅτε πανταχόθεν τὸ ἄπορον περιέστηκε καὶ δεινόν, ἐπὶ τοσοῦτον αὐτὴν συγκεκροτημένην " καὶ κατηρτισμένην, καὶ ὡς ἀληθῶς ἐν ἑαυτῷ τεθεμελιωμένην ἀνέδειξεν, ὡς οὐ μόνον ἀντίῤῥοπον " τῆς κακουργίας τὸν πονηρὸν τὴν πληγὴν δέξασθαι, ἀλλὰ πολὺ χαλεπωτέραν καὶ ἀλγεινοτέραν " εἰσπράττεσθαι . . . . . Ἀλλ' (ὅπερ ἔλεγον) ὁ μὲν πονηρὸς ἀθρόως ἅπαντας καταπιεῖν, καὶ τῆς αὐτοῦ " πανουργίας ἔργον δεῖξαι, ἐφυσᾶτο καὶ ἐφρυάττετο· τὸ δὲ τῆς Ἐκκλησίας ἅγιον πλήρωμα τοσοῦτον " αὐτοῦ τὰς μηχανὰς καὶ τὰς ἐπινοίας ἐξεμυκτήρισάν τε καὶ κατεγέλασαν, Χριστῷ τῇ κεφαλῇ στρατη- " γούμενοί τε καὶ καθοδηγούμενοι, ὡς ἐκεῖθεν μᾶλλον αἰχμαλωτίσαι τινάς, καὶ τῇ ἀληθείᾳ προσαγαγεῖν, " ἢ λειποτάκτην ἕνα τινὰ τῆς καλῆς αὐτῶν παραχωρῆσαι γενέσθαι τάξεως κ.τ.λ." (Ἴδε τὴν ρμστ' ἐπιστολήν, καθόλου μὲν οὖσαν θαυμαστήν, μάλιστα δ' ἐν τούτοις, οἷς τὴν τῶν διωκομένων Ἐπισκόπων σταθερότητα καὶ τὸν ὑπὲρ Χριστοῦ ζῆλον ἐπαινεῖ). Ἰστέον δέ, ὅτι καὶ ἐπὶ Φωτίου τοιοῦτόν τινα λίβελλον οἱ τοῦ Πάπα Νικολάου τοποτηρηταὶ ἐκόμισαν εἰς Κωνσταντινούπολιν· ἀλλ' ἀποδοκιμασθείς, ὡς εἰκός, ἀπερῥίφθη. Διὸ καὶ λέγει περὶ τούτου ἀγανακτῶν ὁ Ἰάγερος· " Le Pape Nicolas l'avait déjà envoyé précédemment à Constantinople; Mais les circonstances étaient trop favorables à l'usurpateur. Son usurpation s'était trop accréditée pour que cette formule d'union (ὀρθότερον δ' ἄν τις εἴποι de la servitude) produisit un effet salutaire, et que la tranquillité fut rétablie. *Il usa de tout son pouvoir pour empêcher qu'elle ne fut reçue, et il en vint à bout.*" (Hist. de Photius, p. 193.) Ἰδοὺ ὁ μόνος λόγος, δι' ὃν

Digitized by Google

Χρυσόστομον· "Τῆς φωνῆς καὶ σιγῶντος ὁ Θεὸς ἀκούει."[1] Ἀπειλῇ δὲ χρησαμένων ἐκείνων, καὶ εἰπόντων, ὡς οὐκ ἐκφεύξοιτο τὴν κατάκρισιν σιωπῶν, διὰ βραχέων αὖθις ἀπεκρίνατο· "Οὐδὲ ὁ Ἰησοῦς σιωπῶν ἐξέφυγε τὴν κατάκρισιν." Ἀλλ' οὐδὲν ἧττον ἐπικειμένων αὐτῷ, καὶ ἐρωτώντων, καὶ ἀπειλούντων, ὅτι τὴν ὑπὸ τοῦ ἁγιωτάτου Πάπα Νικολάου κρίσιν ἐπιβαλοῦσιν αὐτῷ, καὶ Βαάνους τοῦ Πραιποσίτου εἰπόντος, "Λάλησον, Κύριε Φώτιε, τί ἔχεις δίκαιον," ἐκεῖνος τοῦτο τελευταῖον αὐτοῖς εἶπε· "Τὰ ἐμὰ δίκαια οὐκ εἰσὶν ἐν τῷ κόσμῳ τούτῳ." Τότε μὲν οὖν ἀφέθη ἀπελθεῖν, καὶ βουλεύσασθαι κάλλιον ἐκελεύετο. Μεθ' ἡμέρας δέ τινας αὖθις παραστὰς τῷ Συνεδρίῳ μετὰ Γρηγορίου τοῦ Συρακουσῶν Ἐπισκόπου, καὶ τῇ κελεύσει τῶν τοποτηρητῶν τὴν Ἀρχιερατικὴν βακτηρίαν ἀφαιρεθείς, αὖθις ἠρωτᾶτο διὰ Βαάνους, εἰ τὸν λίβελλον δέχοιτο, καὶ τὰς τῆς Ῥωμαϊκῆς ἕδρας ἀποφάσεις ἀσπάζοιτο. Ὁ δὲ καὶ πάλιν διὰ βραχέων ἀπεκρίνατο εἰπών· "Ὁ Θεὸς φυλάξαι εἰς πολλὰ ἔτη τὸν βασιλέα ἡμῶν τὸν ἅγιον· τοῖς δὲ τοποτηρηταῖς ἀπολογίαν οὐ παρέχομεν· εἰ εἶπον ἐπὶ ἰδίᾳ μετανοίᾳ τὸν προσδιορισμόν, ὃν ἔθεσαν χάριν ἡμῶν, δι' ἔργων ἐπιδειξάτωσαν, καὶ μετανοησάτωσαν αὐτοὶ ἐφ' οἷς ἐπλημμέλησαν." Ταῦτα δὲ καὶ τοῦ Γρηγορίου εἰπόντος, καὶ ἄλλοι τῶν ΦΩΤΙΟΥ φίλων προσκληθέντες παρεκελεύοντο τόν τε λίβελλον ποιῆσαι, καὶ ΦΩΤΙΟΝ ἀναθεματίσαι· ἀλλ' ὁ μὲν

καὶ τότε οἱ Πάπαι Φώτιον κατανεθεμάτιζον, καὶ νῦν ἔτι οἱ Παπισταὶ ὑβρίζουσιν αὐτὸν ἀσεβέστατα. Πόσας ἂν εἶπον ὑπὲρ αὐτοῦ εὐλογίας μὲν καὶ εὐχὰς ἐκεῖνοι, ἐγκώμια δὲ οὗτοι, εἴπερ Εὐαγγελικὸν ἄκρον Ἀρχιερέα καὶ Παγκόσμιον Πάπαν ἀνωμολόγει καὶ ἀπεδέχετο τὸν Νικόλαον! Ἀλλὰ τούτου πᾶν τοὐναντίον ἔπραττε Φώτιος, εὐσεβῶς ἅμα καὶ εὐθαρσῶς μετὰ τοῦ θεηγόρου Παύλου λέγων πρὸς τὸν ἐν Ῥώμῃ ἄκρον Ἀρχιερέα κηρυττόμενον· "Ἔχοντες ἡμεῖς Ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας" (πρὸς Ἑβρ. Δ', 14). Ὅσῳ δ' ἐκεῖνος ἀνοήτως καὶ ἀσεβῶς ὑπερῆρεν ἑαυτὸν ἐπὶ τῆς γῆς, τοσούτῳ μᾶλλον Φώτιος τὸν ἐν οὐρανοῖς μέγαν Ἀρχιερέα ὑπεδείκνυεν αὐτῷ, αὖθις λέγων μετὰ τοῦ θεοπνεύστου Παύλου· "Τοιοῦτον ἔχομεν Ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος." (αὐτ. Η', 1—4.) Δοκεῖ δέ μοι καὶ τοῦτο τῶν ὑπὸ Ἰαγέρου λεγομένων οὐ μικρᾶς προσοχῆς ἄξιον εἶναι· ὅτι ἐπὶ Φωτίου ὁ λίβελλος ἐκεῖνος ἀπέῤῥιπτο, ἅτε τῶν καιρῶν τότε βοηθούντων ἐκείνῳ. Δῆλον γὰρ ἐντεῦθεν, ὅτι ἐπὶ Ἰγνατίου τὸν αὐτὸν λίβελλον ἀπεδέξαντο καὶ ὑπέγραψαν οἱ τοῦ παρανόμου ἐκείνου συνεδρίου μετασχόντες, ἅτε τῶν καιρῶν βοηθούντων τῷ Πάπᾳ Ἀδριανῷ, ὃς καὶ διεπράξατο ἅπερ Νικόλαος διαπράξασθαι προθυμούμενος οὐκ ἠδυνήθη διὰ Φώτιον, τοῦτ' ἔστι τὸ τὴν Ἐκκλησίαν ἅπασαν ἑαυτῷ ὑποδουλῶσαι. Καὶ τούτων οὕτως ἐχόντων, οἷον μὲν ἐπαίνων ἄξιος ἐκεῖνος, ὁ τὴν Παπικὴν ὀφρὺν πατάξας καὶ καταστείλας, οἷον δ' ἐλέγχων οὗτοι, οἱ τὴν ὀφρὺν ἐκείνην θωπεύσαντες, καὶ οὕτως ἀπρεπῶς τὴν Ἐκκλησίαν, εἰ καὶ πρὸς καιρόν, ὑποδουλώσαντες; Ὅτι δὲ παράνομα εἰργάσαντο οἱ δείλαιοι, αὐτὴ αὐτῶν ἡ μεταμέλεια σαφῶς ἐδήλωσε, καὶ ἡ μετὰ ταῦτα ἐν μεγάλῃ Οἰκουμενικῇ Συνόδῳ γενομένη ἀκύρωσις τῶν παρανόμως καὶ ἀσεβῶς πεπραγμένων αὐτοῖς, ὡς προϊόντες ὀψόμεθα.

[1] Χρυσοστ. ὁμιλ. "εἰς τὴν ἐπίλυσιν τῆς Χαναναίας" § ιά. "Κἂν ἔξω ᾖς, κράζε καὶ λέγε, Ἐλέησόν με, μὴ κινῶν τὰ χείλη, ἀλλὰ τῇ διανοίᾳ βοῶν· καὶ σιωπώντων γὰρ ἀκούει ὁ Θεός." Τὸ δὲ τοῦ Χρυσορῥήμονος κατὰ τὸ Γραφικὸν ἐκεῖνο εἴρηται, "Κἂν ἀφέλῃς τὸ τῆς φωνῆς ὄργανον, καὶ σιωπώντων ἀκούει ὁ Θεός." (Μακκαβ. Δ'. Κεφ. Ι', 18.)

Digitized by Google

Ἡρακλείας Ἰωάννης εἶπεν· "Ὁ ἀναθεματίζων τὸν Ἀρχιερέα αὐτοῦ ἔστω ἀνάθεμα·" οἱ δὲ λοιποὶ πάντες ὁμοφώνως ἀνεβόησαν· "Τοῖς παραλόγως πραττομένοις οὐ συναινοῦμεν." Καὶ αὖθις προτρεπόμενοι καὶ ἀπειλούμενοι ὁμοφώνως ἀπεκρίναντο· "Τοὺς τοποτηρητὰς κριτὰς οὐ δεχόμεθα."[1] Ἐκ τούτων οὖν τῶν ἀπαντήσεων θυμοῦ πλησθέντες οἱ τοποτηρηταὶ καὶ οἱ τὸ πονηρὸν ἐκεῖνο πληροῦντες συνέδριον, ἀνάθεμα κατὰ ΦΩΤΙΟΥ ἐξεφώνησαν, καὶ τοῖς Πρακτικοῖς συνυπέγραψαν, οὐκ ἐν μέλανι, ἀλλ' ἐν αὐτῷ τῷ αἵματι τοῦ Χριστοῦ τὸν κάλαμον βάπτοντες, ὡς Νικήτας αὐτὸς ἱστορεῖ. "Ὑπογράφουσι δὲ τῇ καθαιρέσει, οὐ ψιλῷ τῷ "μέλανι τὰ χειρόγραφα ποιούμενοι, ἀλλὰ, τὸ φρικωδέστατον,[2] ὡς τῶν εἰδότων ἀκήκοα "διαβεβαιουμένων, καὶ ἐν αὐτῷ τοῦ Σωτῆρος τῷ αἵματι βάπτοντες τὸν κάλαμον."[3]

μδ'. Τοιοῦτον μὲν ἐγένετο, καὶ τοιαῦτα ἐτερατεύσατο τὸ παράνομον ἐκεῖνο Συνέδριον·[4] ὃ πέντε ὅλους μῆνας ἐργαζόμενον, οὐδεμίαν μὲν ἐποίησε πρᾶξιν πρὸς τὰ τῆς Ἐκκλησίας δόγματα ἢ τὴν διοίκησιν ἀφορῶσαν, ἀλλὰ καὶ τοὐναντίον κατῄσχυνε τὴν Ἐκκλησίαν, οὕτως ἀπρεπῶς τῇ παρανόμῳ Ἀρχῇ τοῦ Πάπα καθυποβαλὸν αὐτήν, καὶ τὸν λαὸν ἅπαντα κατελύπησε, τὴν καταισχύνην ἐκείνην οὐδαμῶς ἀνεχόμενον. Μετὰ δὲ τὴν τοῦ Συνεδρίου διάλυσιν, τήν τε κοινὴν κατάκρισιν καὶ τοῦ ἰδίου συνειδότος οὐ

---

[1] Ἴδε Πρακτικὰ τῆς ψευδογδόης Συνόδου (Πρ. Ζ').

[2] Διὰ τί δ' οὐ λέγει καὶ — ἀσεβέστατον;

[3] Πρῶτος Θεόδωρος ὁ Ῥώμης Ἐπίσκοπος (642—649) τῇ ἀσεβεστάτῃ ταύτῃ καινοτομίᾳ ἐχρήσατο, ὅτε τὴν καθαίρεσιν ἔγραψε Πύῤῥου τοῦ αἱρετικοῦ Πατριάρχου Κωνσταντινουπόλεως, τῷ μέλανι καὶ τὸ τοῦ Χριστοῦ ἀναμίξας αἷμα, ὅπως φοβερωτέραν ποιήσηται τὴν ἀπόφασιν. (Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 175—6.)

[4] Περιττὸν λέγειν, ὡς οἰκοθεν ἐννοούμενον, ὅτι μεγίστην οἱ Παπισταὶ ἀπονέμουσι τῷ Συνεδρίῳ ἐκείνῳ τιμήν, ὀγδόην αὐτὸ Οἰκουμενικὴν Σύνοδον ἀποκαλοῦντες, ἅτε δῆθεν νομίμως συγκεκροτημένον, καὶ οὐδὲν τῶν Οἰκουμ. Συνόδων ἀπολειπόμενον, ἢ κατὰ τὸν ἀριθμὸν τῶν συνελθόντων, ὃν καὶ αὐτοὶ μικρὸν ὁμολογοῦσι γενέσθαι. Διὰ τοῦτο δὲ καὶ Ἰάγερος ἐν ἐκτάσει τὰ τοῦ Συνεδρίου τούτου ἐξιστορεῖ, πολλά, καθάπερ εἴωθε, Φωτίου καταφλυαρῶν, καὶ ὅλας ἑπτὰ καὶ τεσσαράκοντα σελίδας τῆς ἑαυτοῦ Ἱστορίας εἰς ἔκθεσιν τῶν τοῦ Συνεδρίου ἔργων πληρῶν (Hist. de Photius, p. 188—235). Ἔοικε δὲ ὁ ἄνθρωπος λυπουμένῳ καὶ βαρέως φέροντι, ὅτι τῶν τοῦ Συνεδρίου ἐκείνου μετασχόντων ἐλάχιστος ἦν ὁ ἀριθμός, λυπηρὸν εἶναι λέγων, ὅτι ἐν μὲν τῇ ὑπὲρ Φωτίου γενομένῃ ψευδοσυνόδῳ (τὸ 861) ὀκτωκαίδεκα καὶ τριακόσιοι παρῆσαν, ἐν δὲ τῇ οἰκουμενικῇ ταύτῃ (!!!) μόγις πάνυ εἰς δύο καὶ ἑκατὸν παρεγένοντο (αὐτ. σελ. 225—6). Ἀλλ' ἴδε τὴν ἀκριβῆ καὶ περινενοημένην ἐξιστόρησιν τῶν ἐν τῷ Συνεδρίῳ ἐκείνῳ γενομένων ἐν ὅλῳ τῷ Θ' Κεφαλαίῳ τῆς Ἐκκλ. Ἱστορίας τοῦ σοφοῦ καὶ φιλαλήθους Βασναγίου (Τόμ. Α', σελ. 572—584). Καὶ Μίλμανος δὲ ὁ Ἄγγλος ἐν τῇ Ἱστορίᾳ τῆς Λατιν. Ἐκκλησίας τὸ Συνέδριον ἐκεῖνο ἐχθρικὴν ἀποκαλεῖ Σύνοδον — a hostile council — καὶ περὶ τῶν ἀντιπροσώπων τῶν ἐν τῇ Ἀνατολῇ Πατριαρχῶν τάδε κατειρωνευόμενος τῶν Παπιστῶν ὑποσημειοῖ· "The representatives of those sees at the council of Photius are *of course* impostors; those of the present real and authentic representatives." τοῦτ' ἔστιν· "Οἱ τῶν θρόνων τούτων ἀντιπρόσωποι ἐν μὲν τῇ Φωτίου Συνόδῳ ψευδεῖς ἦσαν (πῶς γὰρ οὔ;), ἐν δὲ τῇ παρούσῃ ἀληθεῖς τε καὶ αὐθεντικοί! (Milman's History of Latin Christianity, etc. Tom. II. p. 355.) Ἐν δὲ τῇ Μελετ. Ἐκκλ. Ἱστορίᾳ (Τόμ. Β', σελ. 306—310) τά τε γενόμενα ἐν τῇ ψευδοσυνόδῳ ταύτῃ, καὶ ὁ ἐκ Ῥώμης κομισθεὶς λίβελλος Ἑλληνιστί τε καὶ Λατινιστὶ ἐκτεθειμένος εὑρίσκεται.

Digitized by Google

δυνάμενοι φέρειν τὸν ἔλεγχον, μετέγνωσαν οἱ ΦΩΤΙΟΥ *διῶκται ἐφ' οἷς ἀνοήτως καὶ ἀσεβῶς ἔπραξαν· καὶ πρὸς τὸν Αὐτοκράτορα συνδραμόντες, τήν τε ὑποδούλωσιν τῆς Ἐκκλησίας ἀπωδύροντο, καὶ τοῦ γενομένου κακοῦ τὸ μέγεθος ὑποδεικνύντες, παρεκάλουν τὰ τοῦ Συνεδρίου Πρακτικά, καὶ πάντων μάλιστα τὸν αἰσχρὸν ἐκεῖνον λίβελλον, ᾧ ὑπέγραψαν, παρὰ τῶν τοποτηρητῶν ἀφελόμενον ἐξαφανίσαι πυρί.*[1] *Τηνικαῦτα δὴ καὶ ὁ Αὐτοκράτωρ αὐτὸς τῆς ἑαυτοῦ ἀβουλίας τὸ μέγεθος συνιδών, πάντα ἐποίησεν, ὥστε τὰ Πρακτικὰ καὶ τὸν λίβελλον ἐκεῖνον ἀφελεῖν τῶν τοποτηρητῶν καὶ ἐξαφανίσαι. Ὡς δὲ πολλὰ πονήσας οὐκ ἠδυνήθη, οἱ μὲν ἀπῆλθον, τὴν τῆς Ἐκκλησίας καταισχύνην καὶ καταδίκην συναποφέροντες· γενόμενοι δὲ περὶ Δυῤῥάχιον τῆς Ἠπείρου (ὅθεν καὶ Γήβων ἐκεῖνος ὥρμητο, ὡς ἐν τοῖς ἔμπροσθεν (§ κδ') εἴρηται), εἰς χεῖρας λῃστῶν Σλάβων ἐνέπεσον, καὶ τούτων πάντως ὑπὸ Βασιλείου, ὥσπερ δὴ καὶ ὁ Γήβων ἐκεῖνος,*

---

[1] *Παράδοξός ἐστιν ὁ τρόπος, ἐν ᾧ Τόστης τὰ περὶ τοῦ λιβέλλου τούτου ἱστορεῖ, τοὺς μὲν ὑπογράψαντας αὐτῷ ἐκβιασθῆναι λέγων, τὸν δὲ λίβελλον αὐτὸν αἰσχρὸν ἀποκαλῶν.* " Avevano (λέγει), come narrammo, i Legati recato da Roma un libello o formola di giuramento, dell' accetazione e soscrizione della quale *obligarono* tutti del Concilio: et tutti la soscrissero. Ora ripensanto i Greci à questo atto della Papale autorità, s'intesero pungere sul vivo: avevano voluto il Concilio non solo a rendere inappellabile la sentenza contro di Fozio, ma anche per sustituire l'autorità Sinodale alla Papale. Il libello Romano sottoscritto innanzi che la Sinodo diffinisse, *era un documento della supremazia del Pontifice, che essi avevano confessato: Ne sentirono forte pentimento.* Alcuni di loro si recarono all Imperadore, et con molte lamentanze chiesero venissero tolti dalle mani dei Legati i libelli sottoscritti dai Vescovi, come quelli che *testificavano la Bizantina Chiesa ridotta in servitù della Romana.* Basilio che si voleva far calpestare dai piedi dei Vescovi per amore dell'unione, concitato à gelosia di Roma, si condusse ad un plebeo consiglio, indegno non solo di un Imperadore, ma di ogni onesto uomo. Comandò che quando i Legati fossero fuori di casa, i suoi ufficiali andassero a frugare le loro masserizie ed involassero i *vergognosi libelli.* Frugarono, gl'involarono; ma non tutti. Quelli che recavano le soscrizioni delle prinzipali sedi erano stati messi in luogo sicuro dai Legati, *che sapevano con qual gente avessero a fare.* (Storia dell' orig. dello scisma Greco, Vol. 1. p. 370—1.—*Ἴδε καὶ Ἰαγέρου Ἱστορ. σελ. 226—8 καὶ σελ. 233.) Τοιαύτη τις ἦν ἡ τῶν συνελθόντων εἰλικρίνεια, καὶ τοιοῦτος ἐκατέρωθεν ὁ ζῆλος ὑπὲρ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας! Οἱ μὲν γὰρ ἐκ Ῥώμης πρὸς ἕν τι τοῦτο ἀπέβλεπον, ὅπως τὴν Ἀνατολικὴν Ἐκκλησίαν τῷ Παπικῷ ὑποτάξειαν ζυγῷ· οἱ δὲ Φωτίου πολέμιοι, ὅπως Φώτιον ἀτιμάσειαν, πάντα τ' ἄλλα δεύτερα ποιούμενοι, καὶ τότε μόνον συμφρονήσαντες, ὅτε καὶ τὸν λαὸν εἶδον ἀγανακτοῦντα, καὶ ἑαυτοὺς τῇ Παπικῇ τιάρᾳ δεδουλωμένους. Δικαίως ἄρα καὶ ἐν τῇ ἑφεξῆς Συνόδῳ, τῇ μετὰ τὸν Ἰγνατίου θάνατον γενομένῃ, ἀναγινωσκομένου τοῦ ὑπομνήματος, ὃ παρὰ τοῦ Πάπα Ἰωάννου ἀπεστάλη,* " *θέλομεν ἐνώπιον* " *τῆς ἐνδημούσης Συνόδου ἀνακηρυχθῆναι, ἵνα ἡ Σύνοδος ἡ γεγοννῖα κατὰ τοῦ προῤῥηθέντος Πατριάρχου* " *Φωτίου ἐν τοῖς καιροῖς Ἀδριανοῦ τοῦ ἁγιωτάτου Πάπα, ἔν τε Ῥώμῃ καὶ ἐν Κωνσταντινουπόλει, ἀπὸ* " *τοῦ παρόντος ἐστὶν ἐξωστρακισμένη, καὶ ἄκυρος καὶ ἀβέβαιος, καὶ μὴ συναριθμεῖσθαι αὐτὴν μεθ' ἑτέρας* " *ἁγίας Συνόδου*" *(καὶ ὅμως μέχρι τῆς σήμερον οἱ Παπισταὶ Οἰκουμενικὴν ἐκείνην τὴν Σύνοδον ἀνακηρύττουσιν)— τούτου δὴ τοῦ μέρους τοῦ ὑπομνήματος ἀναγινωσκομένου, Ἡλίας ὁ Μητροπολίτης Μαρτυρουπόλεως καὶ Ἡλίας ὁ Ἱεροσολύμων τοποτηρητὴς ἀνεβόησαν·* " *Καὶ πῶς ἂν Σύνοδος κληθείη ἡ μυρίων* " *σχισμάτων τὴν Ἐκκλησίαν πληρώσασα; Τίς ὀνομάσειε Σύνοδον τὴν Σαρακηνῶν ἀποκρισαρίους κριτὰς* " *καὶ νομοθέτας καθίσασαν; Ποίαις Συνόδοις ἀριθμηθείη ἡ πάντων τῶν ἁγίων καὶ πασῶν τῶν Συνόδων* " *ἐναντία τολμήσασα; κ.τ.λ.*" (*Ἴδε τὸ τοῦ Πάπα Ἰωάννου Κομονιτόριον ἐν τοῖς Πρακτ. τῆς Η' Συνόδου, καὶ Μελετ. Ἐκκλ. Ἱστορ. Τόμ. Β', σελ. 306—7. Ἐπιθι δὲ καὶ Σπυρ. Ζαμπελίου τὰς Βυζαντινὰς Μελέτας, σελ. 483—4.)*

Digitized by Google

παρεσκευασμένων·[1] οἱ τά τε σκεύη καὶ τὸ ἀργύριον αὐτῶν διαρπάσαντες, καὶ τὸ κειμήλιον συνήρπασαν, ὅπερ ἀγαλλόμενοι μετεκόμιζον εἰς Ῥώμην. Ὥστε τῷ μὲν Πάπᾳ Ἀδριανῷ πανηγυρίσαι τὰ ἐπινίκια οὐκ ἐξεγένετο· ἡ δὲ Ἀνατολικὴ Ἐκκλησία τῆς καταισχύνης ἐκείνης ἀπήλλακτο, κακῷ τὸ κακὸν θεραπεύσαντος τοῦ τὴν καταισχύνην ἐκείνην ὑπὲρ τῶν ἰδίων συμφερόντων ἐργασαμένου Βασιλείου.[2] Ἐκεῖνο γὰρ τὸ Συνέδριον μέγα ὄντως καὶ βαρὺ τῇ κατ' Ἀνατολὰς Ἐκκλησίᾳ ἐγένετο ὄνειδος, διά τε τὰς ἄλλας αὐτοῦ παρανόμους καὶ ἀσεβεῖς πράξεις, καὶ διὰ τὴν τῶν Σαρακηνῶν πρέσβεων εἰς Ἀρχιερατικοὺς ἄνδρας μετάπλασιν, ὡς ὁ ἀοίδιμος ΦΩΤΙΟΣ πρὸς Θεοδόσιον ἔγραφε τὸν μονάζοντα. " Ἀλλὰ γὰρ, εἰ καὶ μέχρι νῦν οὐ τετόλμηται, οὐδ' ἔστιν ἔχον παρά-" δειγμα, Ἰσμαηλιτῶν ἀθέων πρέσβεις καὶ ὑπηρέτας εἰς Ἀρχιερατικοὺς ἄνδρας μετα-" πλάσαι, καὶ Πατριαρχικὰ τούτοις προνόμια περιθεῖναι, καὶ τοῦ θαυμασίου αὐτῶν " συνεδρίου κορυφαίους ἀποφῆναι, ἀλλ' οὖν μηδὲ τοῦτό σε ξενιζέτω."[3] Καὶ ἄλλως δὲ ἡ τῶν Σαρακηνῶν πρέσβεων παρουσία ἐν τῷ συνεδρίῳ ἐκείνῳ σαφῶς ἐξ ἐπιστολῆς Ἠλία τοῦ Πατριάρχου Ἱεροσολύμων πρὸς τὴν Η' Οἰκουμεν· Σύνοδον μαρτυρεῖται· ἧς καὶ Βαρώνιος μνημονεύων, παρέγγραπτον καὶ ταύτην ἀποκαλεῖ κατὰ τὸ εἰωθὸς ἐκείνῳ τε καὶ τοῖς ἄλλοις τῶν Παπιστῶν.[4] Τί δ' ἄν τις εἴποι καὶ περὶ τοῦ ἀναθέματος αὐτοῦ, ὃ κατὰ ΦΩΤΙΟΥ ἐξεφωνήθη; Τίς τὰς ὀκτὼ ἐκείνας ἀναγινώσκων ἀσεβεστάτας φωνάς,

Φωτίῳ τῷ βουλευτικῷ καὶ ἐπιβήτορι ἀνάθεμα.
Φωτίῳ τῷ κοσμικῷ καὶ ἀγοραίῳ ἀνάθεμα.
Φωτίῳ τῷ νεοφύτῳ καὶ τυράννῳ ἀνάθεμα.
Φωτίῳ τῷ σχισματικῷ καὶ κατακεκριμένῳ ἀνάθεμα.
Φωτίῳ τῷ τέκτονι τῶν ψευσμάτων ἀνάθεμα.
Φωτίῳ τῷ μοιχῷ καὶ πατροκτόνῳ ἀνάθεμα.
τῷ νέῳ Δισκόρῳ ἀνάθεμα.
τῷ νέῳ Ἰούδᾳ ἀνάθεμα.

οὐ καθορᾷ τὴν Παπικὴν ἀλαζονείαν τὸν τῆς Ἁγίας τοῦ Θεοῦ Σοφίας ναὸν εἰς ἐργαστήριον

---

[1] Ἴδε Παπιστ. ἐλέγχ. προλεγ. (Τόμ. Α', § ξβ').

[2] Ἀλλὰ μὴ διὰ τοῦτο νομίσῃ τις ἀπορῆσαι τοὺς Παπιστὰς ἀντιγράφου τῶν πρακτικῶν ἐκείνων. Προνοίᾳ γὰρ (λέγουσιν οὗτοι) τῶν τότε παρόντων ἐν Κωνσταντινουπόλει πρέσβεων τοῦ Αὐτοκράτορος Λουδοβίκου (Σούπων δὲ καὶ Ἀναστάσιος ὁ βιβλιοθηκάριος ἦσαν οὗτοι) ἀντίγραφον τῶν Πρακτικῶν εἰς Ῥώμην μετεκομίσθη, ἀπαράλλακτον πάντως τῷ πρωτοτύπῳ (!!!), ἐξ οὗ δὴ καὶ ἐκδέδονται ταῦτα ἐν πάσαις τῶν Συνοδικῶν ταῖς ἐκδόσεσιν, εἰσαγωγὴν φέροντα μάλιστα πρέπουσαν αὐτοῖς τὴν περιβόητον Νικήτα τοῦ Παφλαγόνος ξυγγραφήν, τὸν Ἰγνατίου βίον, καὶ αὐτοῦ τοῦ Ἰγνατίου τὸν πρὸς τὸν Πάπαν Νικόλαον λίβελλον, καὶ τὰς ἐπιστολὰς τοῦ Πάπα, καὶ εἴ τι ἄλλο τοιοῦτον, ἄξιον τοῦ λῃστρικοῦ ἐκείνου συνεδρίου προοίμιον. Μαρτυρεῖ δὲ τοῦ ἀντιγράφου ἐκείνου τὸ γνήσιον (πῶς γὰρ οὔ;) καὶ τῆς μεταφράσεως αὐτοῦ τὸ πιστὸν καὶ ὁ πολλῆς ἄξιος πίστεως ἱστορικὸς Ἰάγερος (σελ. 233—5). Ἀλλ' ἴδε περὶ τούτου Ἀμφιλοχ. προλ. σελ. λζ', σημ. β'.

[3] Ἐπιστ. ΡΞΑ'.

[4] Baron. ann. 879, n. 68.—Ἴδε τὴν ἐπιστολὴν τοῦ Πατριάρχου Ἠλία ἐν τοῖς ἑξῆς (Πρακτ. τῆς Η' Συν. Πρᾶξ. Δ') καὶ Πέτραν σκανδάλου (σελ. 55).

Digitized by Google

πάσης ἀνομίας καὶ πονηρίας μεταβαλοῦσαν καὶ πάντα τρόπον βεβηλώσασαν, ἰδίᾳ δὲ φωνῇ καὶ γλώσσῃ τὸ ἀσεβέστατον ἐκεῖνο ἐκ τῆς ἰδίας καρδίας ἐξερευξαμένην ὀκτάφωνον; Ἀλλ' ἀρκέσει πάντως εἰς αἰῶνας ἡ εὐσεβὴς ΦΩΤΙΟΥ φωνὴ τῇ τῶν ἀλαστόρων ἐκείνων ἀσεβοφωνίᾳ ἀντιτιθεμένη, καὶ αἰώνιον αὐτοῖς ἐγκολάπτουσα τὸ αἶσχος. Περὶ γάρ τοι τοῦ ἀναθέματος ἐκείνου πρὸς Ἰγνάτιον γράφων, τὸν Κλαυδιουπόλεως Μητροπολίτην, λέγει· "Ἦν ποτε φρικτὸν καὶ φοβερὸν τὸ ἀνάθεμα, ὅτε κατὰ τῶν ἐνόχων τῆς ἀσεβείας ὑπὸ τῶν "τῆς εὐσεβείας κηρύκων ἐφέρετο. Ἀφ' οὗ δὲ ἡ τολμηρὰ καὶ ἀναίσχυντος τῶν ἀλαστόρων "ἀπόνοια, παρὰ πάντα θεσμὸν θεῖόν τε καὶ ἀνθρώπινον, καὶ παρὰ πάντα λόγον Ἑλλη-"νικόν τε καὶ βάρβαρον, τὸ οἰκεῖον ἀνάθεμα κατὰ τῶν προμάχων τῆς Ὀρθοδοξίας[1] ἀνα-"στρέφειν ἐφρυάξατο, καὶ τὴν βαρβαρικὴν μανίαν Ἐκκλησιαστικὴν "προνομίαν ἐφιλονείκησαν ἀπεργάσασθαι, αὐτίκα καὶ τὸ φρικτὸν ἐκεῖ-"νο καὶ ποινῆς ἁπάσης πέρας ἔσχατον εἰς μύθους καὶ παίγνια μεταπέπτωκεν· μᾶλλον δὲ "τοῖς εὐσεβέσι καὶ αἱρετὸν παρεσκεύασται. . . . . Δι' ὃ καὶ ἕκαστος τῶν εὐσεβῶν "καὶ ἁγίων ὑπ' αὐτῶν ἠλλοτριωμένων Χριστοῦ μυριάκις αἱρεῖται προπηλακίζεσθαι, ἢ "τοῖς αὐτῶν μισοχρίστοις καὶ θεοστυγέσι μετὰ λαμπρᾶς τῆς εὐφημίας κοινωνῆσαι "πονηρεύμασιν."[2]

μέ. Τούτων δὲ γινομένων, καὶ τῶν μὲν περὶ Ἰγνάτιον ἐν Κωνσταντινουπόλει τὴν ἰδίαν αἰσχύνην συγκαλύψαι σπουδαζόντων, τοῦ δὲ Πάπα Ἀδριανοῦ τὰ τοῦ Συνεδρίου Πρακτικὰ δι' Ἀναστασίου τοῦ βιβλιοθηκαρίου συσκευάζοντος ἐν Ῥώμῃ,[3] ΦΩΤΙΟΣ ἐν τῇ Σκέπῃ, ὥσπερ ζώθαπτος νεκρός, κατακεκλεισμένος, καὶ στρατιωτῶν περιφρουρούμενος κουστωδίᾳ, τὰς μὲν ἄλλας κακοπαθείας καὶ στερήσεις, ὅσας αὐτῷ πρὸς ὕβριν καὶ ταλαιπωρίαν οἱ ἀσεβεῖς αὐτοῦ διῶκται ἐμηχανήσαντο, καρτερικῶς ὑπέμενεν· ἐπὶ δὲ τῇ τῶν βιβλίων στερήσει, ἣν ἡ ἐξουσία πρὸς μείζονα θλῖψιν αὐτοῦ ἀπανθρώπως ἐπέταξεν (ᾔδεσαν γὰρ τοῦ ἀνδρὸς τὸ φιλομαθὲς οἱ παράνομοι, καὶ καλῶς ᾠήθησαν μεγίστην αὐτῷ θλῖψιν τὴν τῶν βιβλίων στέρησιν ἔσεσθαι), βαρέως φέρων, τὴν θαυμαστὴν ἐκείνην ἔγραψε τῷ Αὐτοκράτορι ἐπιστολήν, ἐν ᾗ τάς τε ἄλλας τῶν γινομένων αὐτῷ ἀδικιῶν, μάλιστα δὲ τὴν τῶν βιβλίων στέρησιν, ἐν παῤῥησίᾳ σοφοῦ καὶ εὐσεβοῦς ἀνδρὸς ἀξίᾳ διεκτραγῳδεῖ, καινόν τι τοῦτο καὶ παράδοξον ἀποκαλῶν μηχάνημα, καὶ νέαν κατ' αὐτοῦ ἐπινενοημένην τιμωρίαν.[4] Τηνικαῦτα δὴ καὶ πρὸς ἄλλους τῶν φίλων αὐτοῦ ἔγραψεν ἐπιστο-

---

[1] Τοῦτο δὲ λέγει, ὅτι μετ' αὐτοῦ καὶ οἱ ὁμοφρονοῦντες ἀνεθεματίσθησαν.

[2] Ἐπιστ. ΡΞΓ.

[3] Ἴδε Ἰάγερον ἔνθ. ἀνωτ.

[4] Συντόμως καὶ ἐμφαντικώτατα περιγράφει ἐν τῇ πρὸς Μιχαὴλ τὸν Σπαθάριον ἐπιστολῇ ἅπερ ἔπασχεν ἐν τῇ φυλακῇ, λέγων· "Τὸ σῶμα ταῖς νόσοις, ἡ δὲ ψυχὴ τοῖς παθήμασιν, ὁ δὲ βίος ὅλος ταῖς ἐξ ἀνθρώ-"πων ἐπηρείαις ἀπεῖπε ταλαιπωρούμενος. Φίλων ἐρημία· θεραπόντων αἰκισμοὶ καὶ αἰχμαλωσίαι· συγ-"γενεῖς τῇ τῶν ἀπειλῶν βαρύτητι δυσωπούμενοι· στερήσεις καὶ αὐτῶν τῶν ἀναγκαίων· ἁρπαγαὶ βιβλί-"ων· ἱερῶν ἐκπορθήσεις οἴκων, οὓς ἱλαστήριον ἡμεῖς ἐστησάμεθα· ψαλλόντων, ἀναγινωσκόντων, ἐν πᾶσι "θείοις ὑπηρετούντων, κατὰ πάντων ἁπλῶς ἀποφάσεις πικραὶ καὶ ψηφίσματα, ἵνα μηδεὶς μηδὲ τοῦ

Digitized by Google

λάς, ἅμα μὲν ἐκείνους ὑπὸ τῆς ἐξουσίας κακουμένους, ἅμα δ' ἑαυτὸν παραμυθούμενος, καὶ τὴν τῶν διωκόντων αὐτοὺς μανίαν θείᾳ βουλήσει παρελεύσεσθαι λέγων, ὅταν τῆς δοκιμασίας παρέλθῃ ὁ καιρός, ἐν ᾗ πάντες οἱ δίκαιοι δοκιμάζονται, ὅπως τὸν ἀγῶνα τὸν καλὸν τελέσαντες ἀξιωθῶσι τοῦ τῆς δικαιοσύνης στεφάνου. Ταῦτα δὲ γράφων, οὐδαμοῦ φαίνεται τοὺς τῶν δεινῶν αὐτοῦ αἰτίους ἀγενῶς ὑβρίζων, οὐδὲ καταρώμενος αὐτῶν· ἀλλὰ πάντα μὲν αὐτὸς τὰ δεινὰ ἐν πραότητι καὶ συνέσει ὑπομένων, τοῖς δὲ δι' αὐτὸν κακῶς πάσχουσι καὶ διωκομένοις τοῦτ' αὐτὸ παραινῶν, τὴν τοῦ Σωτῆρος καὶ τῶν Ἀποστόλων διδασκαλίαν ὑπεμίμνησκεν αὐτούς, προσεύχεσθαι λέγων ὑπὲρ τῶν Βασιλέων, καὶ τὰ ἐκείνων προνόμια συντηρεῖν καὶ διασώζειν. "Τοῦτο γὰρ (ἔλεγε) φίλον Θεῷ καὶ ἡμῖν ἁρμοδιώτατον."[1] Οὐ μὴν ἀλλὰ καὶ ἐν τῇ θαυμαστῇ ἐκείνῃ ἐπιστολῇ, ἣν ἀπὸ τοῦ δεσμωτηρίου πρὸς τὸν Αὐτοκράτορα ἔγραψε, τοιοῦτός τις φαίνεται ὁ ἀληθῶς μέγας ἐκεῖνος ἀνήρ, τὰ μὲν πρὸς ἑαυτὸν ἀδικήματα μετὰ παῤῥησίας δικαίας ἐκτιθέμενος, τὸ δὲ πρὸς τὸν βασιλεύοντα σέβας ἀμετάβλητον διασώζων. Ἀρχόμενος μὲν γὰρ οὕτω λέγει· "Ἄκουσον, ὦ φιλανθρωπότατε Βασιλεῦ" (καὶ φιλανθρωπότατον ἀποκαλεῖ, ὃν ἂν δικαίως θηριωδέστατον ἀποκαλέσειεν)· τελευτῶν δὲ μᾶλλον φαίνεται τῆς τοῦ Βασιλέως κηδόμενος τιμῆς, ἢ ὑπὲρ ἑαυτοῦ δεόμενος. Λέγει γοῦν· "Τί οὖν αἰτοῦμαι; ἢ ζῆν μὴ "χαλεπωτέραν θανάτου ζωήν, ἢ θᾶττον ἀπαλλαγῆναι τοῦ σώματος. Δυσωπήθητι τὴν "φύσιν· αἰδέσθητι τοὺς κοινοὺς τῶν ἀνθρώπων νόμους· αἰδέσθητι τῆς Ῥωμαϊκῆς Ἀρχῆς "τὰ κοινὰ δίκαια· μηδὲ καινόν τι παραχωρήσῃς ἐπεισαχθῆναι τῷ βίῳ διήγημα, ὅτι ποτὲ "βασιλεύς, ἐπιείκειαν καὶ φιλανθρωπίαν ἐπαγγελλόμενος, φίλον Ἀρχιερέα καὶ σύντε"κνον ποιησάμενος,[2] ὑφ' οὗ χερσὶν αὐτός τε καὶ ἡ Βασιλὶς τὸ χρίσμα τῆς βασιλείας ἐ"χρίσθη, καὶ τὸ ἀξίωμα ἐνεδύσατο, ὑφ' οὗ λίαν ἐφιλήθη, καὶ πρὸς ὃν ὅρκια καὶ πίστεις "φρικώδεις ἔθετο, ὃν ὑπεραγαπᾷν καὶ στέργειν ἐπεδείκνυτο ἅπασι, τοῦτον ἐξορίᾳ καὶ "λιμῷ πικρῷ παραδούς, καὶ μυρίοις ἄλλοις κατατήξας κακοῖς, εὐχόμενον ὑπὲρ αὐτοῦ "τῷ θανάτῳ παρέπεμψεν."[3] Οἷον λόγου κάλλος! Οἵα φρονήματος μετριότης, ὄντως Ἀρχιερατική! Εἴθε τοιαύτῃ καὶ Ἰγνάτιος ἐχρῆτο μετριότητι· οὕτω γὰρ οὔτ' ἂν ἐκεῖνος τοσαῦτα ἐπεπόνθει κακά, οὔτε τοιοῦτον ἡ Ἐκκλησία ὄνειδος, τῇ Παπικῇ ἀλαζονείᾳ

"παραγενέσθαι πρὸς ἡμᾶς πλησίον γένηται . . . . . Ἀντὶ δὲ συγγενῶν, ἀντὶ φίλων, ἀντὶ δὲ θεραπόν"των, ἀντὶ ψαλλόντων, ἀντὶ δὲ πάσης ἀνθρωπίνης παραμυθίας, τί; στρατιῶται καὶ κουστωδία, "καὶ τριβοῦνοι καὶ βικάριοι, καὶ στρατιωτικοὶ λόχοι περικάθηνται. κ.τ.λ." (Ἐπιστ. ΣΙΑ'.)

[1] Ἴδε τὰς δύο παραμυθητικὰς ἐπιστολὰς "Ἀπὸ τῆς ὑπερορίας πρὸς τοὺς Ἐπισκόπους," ἐν αἷς ὁ ἱερώτατος Πατριάρχης, ἀληθὴς δεικνύμενος μαθητὴς καὶ μιμητὴς τοῦ πραοτάτου Ἰησοῦ Χριστοῦ, τοῦ τὸν ἴδιον Πατέρα ὑπὲρ τῶν σταυρούντων αὐτὸν παρακαλοῦντος, πᾶσι τοῖς συνδεδιωγμένοις Ἐπισκόποις τὰ τῶν Βασιλέων προνόμια συντηρεῖν καὶ συνδιασώζειν παρακελεύεται, αὐτοὺς δ' ἐν ἀκλονήτῳ καὶ ἀσαλεύτῳ τῆς εὐσεβείας φρονήματι τοὺς διωγμοὺς ὑπομένειν (Ἐπιστ. ΡΜΣΤ' καὶ ΡΜΖ').

[2] Ἦν γὰρ Φώτιος Στεφάνου τοῦ Βασιλείου ἀνάδοχος.

[3] Τῆς ἐπιστολῆς ταύτης τὸ ῥητορικὸν καὶ ἅμα Ἱεραρχικὸν ὕφος καὶ αὐτοῦ Ἰαγέρου τὸν θαυμασμὸν ἐπεσπάσατο· "οἶδε γὰρ καὶ πολέμιος θαυμάζειν ἀνδρὸς ἀρετήν." Καὶ ὅρα μοι ἐφεξῆς ἐν ταῖς περὶ Φωτίου μαρτυρίαις τὴν περὶ τῆς ἐπιστολῆς ταύτης κρίσιν τοῦ Ἰαγέρου.

Digitized by Google

ὑπενδοῦσα καὶ δουλωθεῖσα, εἰ καὶ πρὸς καιρόν. Ἀλλ' ἐκεῖνα μὲν ὁ ἀγαθὸς Ἰγνάτιος οὐκ ἐξ οἰκείας ἔπραξε προαιρέσεως, ἀλλὰ μᾶλλον τοῖς περὶ αὐτὸν ὑπείκων, καὶ ὑπ' ἐκείνων παραπειθόμενος· ταῦτα δὲ νῦν ΦΩΤΙΟΣ πράττει, ἅτε αὐτὸς ἐν τῇ οἰκείᾳ συνέσει καὶ σοφίᾳ πάντα διέπων τὰ καθ' ἑαυτόν, καὶ τοὺς ἑαυτοῦ φίλους ἄγων, ἀλλ' οὐχ ὑπ' ἐκείνων ἀγόμενος.[1]

μστ'. Οὕτω τοίνυν ὁ ποιμὴν ὁ καλός, ἐπί τε τοῦ Πατριαρχικοῦ θρόνου καθήμενος, καὶ μακρὰν αὐτοῦ ὑπάρχων ἐν βασάνοις, τοῦτο μόνον ἔσχε μέλημα περισπούδαστον, τὴν τοῦ Σωτῆρος Χριστοῦ καὶ τῶν ἱερῶν ἐκείνου μαθητῶν καὶ Ἀποστόλων διδασκαλίαν τιμᾶν, καὶ ταύτῃ μόνῃ τὸν νοῦν προσέχειν εἰς δόξαν καὶ στερέωσιν τῆς Ἐκκλησίας, πάντα τ' ἄλλα δεύτερα ποιούμενος. Καὶ ἐν εἱρκτῇ δὲ κακῶς πάσχων, οὔτε πρεσβείας ἀποστέλλει, οὔτε βοηθείας ἀνθρώπων ἐπικαλεῖται, οὐδὲ τοὺς διώκοντας αὐτὸν ἀπειλεῖ, οὐδ' ἐξυβρίζει· ἀλλὰ μόνην ἐπισείει τοῖς ἀδίκως αὐτὸν καταδιώκουσι τὴν τοῦ Θεοῦ δικαίαν καὶ ἄφευκτον κρίσιν. Ὅθεν τὴν δευτέραν πρὸς τὸν Αὐτοκράτορα ἐπιστολὴν ἐν ταῖσδε ταῖς λέξεσι καταπαύει· " Ἀλλ' ὅρα, φίλε, κἂν μὴ βούλῃ, βασιλεῦ, ὅτι τὸ πειρᾶ-
" σθαι πείθειν ἀνθρώπους, οὐ μόνον οὐδὲν συντελεῖ πρὸς τὸ πεῖσαι Θεόν, ἀλλὰ καὶ εἰς
" τοὐναντίον περιτρέπεται· καὶ τῶν ἀδεῶς ἐνταῦθα πραττομένων μᾶλλόν ἐστιν ἐκεῖθεν ἡ
" παντέφορος δίκη κριτής." Οὐ μὴν ἀλλὰ καὶ τοῦ μεγάλου καὶ φοβεροῦ ἐκείνου σεισμοῦ γενομένου τότε (τὴν 9 Ἰανουαρίου τοῦ 870 ἔτους), τοῦ πολλὰς καὶ μεγάλας ἐπενεγκόντος καταστροφάς, καὶ πάντας ἐκφοβήσαντος, καὶ πολλῶν λεγόντων θεόθεν τὴν δίκην ταύτην ἐπελθεῖν διὰ τὰ πρὸς τὸν Πατριάρχην γενόμενα ἀδικήματα, ἐκεῖνος παραινεῖ μὴ τοιαῦτα ἐννοεῖν, μηδὲ λέγειν. " Ἐγὼ μὲν (γράφει περὶ τούτου πρὸς Γρηγόριον τὸν Διάκονον) οὐκ
" ἂν φαίην δίκας τίνουσαν τὴν πόλιν τῶν εἰς ἡμᾶς ἀδικημάτων ἀντὶ πόλεως πολυάνδριον
" γενέσθαι· παραινῶ δὲ μηδὲ τὴν ὑμῶν Ὁσιότητα ταῦτα ἐννοεῖν. Τίνες γὰρ ἡμεῖς, εἰ καὶ
" πεπόνθαμεν ἀδιήγητα, ἵνα τηλικαύτην ὀργὴν ἐκκαλεσώμεθα τοῦ Θεοῦ;"[2]

---

[1] Τὴν ἀλήθειαν ταύτην ἄλλα τε τῶν Ἰγνατίου ἔργων πρὸς τὰ Φωτίου παραβαλλόμενα μαρτυρεῖ, καὶ πάντων μάλιστα ὁ πρὸς Νικόλαον τὸν Πάπαν λίβελλος (εἴπερ Ἰγνατίου τὸ ἔργον ἐκεῖνο) πρὸς τὰς ἐπιστολὰς ταύτας παραβαλλόμενος, καὶ πρὸς τὰς ἄλλας, ὅσας ἐκ τῆς ὑπερορίας τοῖς τε συνδεδιωγμένοις Ἐπισκόποις καὶ τοῖς ἐν τέλει ἔγραψεν.

[2] Τοιοῦτός τις ἐγένετο σεισμὸς καὶ ἐν τῷ καταδιώκεσθαι τὸν Ἰγνάτιον· καὶ τὸν σεισμὸν ἐκεῖνον ὅ τε Νικήτας καὶ οἱ ἀντιγραφεῖς αὐτοῦ, μάλιστα δὲ πάντων Ἰάγερος, ἐκ θεομηνίας λέγουσι γενέσθαι διὰ τὸν Ἰγνατίου διωγμόν· τοῦ δὲ τελευταίου τούτου τὴν τοῦ ἐδάφους ποιότητα, ἐφ' ᾧ ἡ Κωνσταντινούπολις ᾠκοδόμηται, αἰτίαν ὁ φιλαλήθης Ἀββᾶς φησὶ γενέσθαι. Ἀκούσωμεν τοίνυν καὶ φυσιολογοῦντος αὐτοῦ· " La qualité du sol, sur le quel Constantinople est construite, expose souvent cette ville Impériale à des tremblements de terre. Le 9 Janvier 870, avant la fin de Concile, était arrivé un tremblement de terre épouventable . . . . L'Eglise de Sainte-Sophie (ἐν ᾗ τὸ παράνομον ἐκεῖνο συνήρχετο συνέδριον) éprouva des grandes secousses, et serait tombée sans le soin des princes etc. etc. (Hist. de Photius, p. 81 καὶ 244). Ὅτε τοίνυν Ἰγνάτιος κατεδιώκετο, ὁ Θεὸς κατ' Ἰάγερον κατέσεισε διὰ τοῦτο τὴν Κωνσταντινούπολιν· ὅτε δὲ Φώτιος, ἡ τοῦ ἐδάφους ποιότης. Οὕτω τὴν ἐν τῷ προλόγῳ τῆς ἑαυτοῦ Ἱστορίας προτεταγμένην ἀρχὴν " On décrit l'histoire, et on ne la fait pas " νοεῖν οἶδεν ὁ ἄνθρωπος. Ἀλλ' ἡ ἀλήθεια μίαν οἶδεν ὁμολογεῖν τὴν τοῦ αὐτοῦ ἀποτελέσματος αἰτίαν. Εἰ οὖν δι' Ἰγνάτιον ὁ πρῶτος ἐγένετο σεισμός, καὶ διὰ

Digitized by Google

μζ'. Ἐν τοιαύτῃ ταλαιπωρίᾳ, ὡς χρυσὸς ἐν χωνευτηρίῳ, δοκιμαζόμενος ὁ ἀοίδιμος Πατριάρχης, τρία ὅλα διήγαγεν ἔτη. Τότε δὲ ὁ Αὐτοκράτωρ Βασίλειος εἰς ἑαυτὸν ἐλθών, καὶ τὴν πρὸς τὸν μέγαν ἐκεῖνον ἄνδρα λογισάμενος ἀδικίαν, καὶ ἅμα μὲν τὰ ἐκ τῆς ἀβουλίας αὐτοῦ προελθόντα δεινὰ διὰ τὸ παράνομον ἐκεῖνο Συνέδριον θεραπεῦσαι βουλόμενος, ἅμα δὲ συμβούλου χρῄζων καὶ συνεργοῦ σοφοῦ εἴς τε τὴν τῶν ὅλων διοίκησιν καὶ τὴν τῶν πολιτικῶν νόμων ἐπεξεργασίαν, ἀνακαλεῖται μὲν ΦΩΤΙΟΝ, πάσῃ δὲ τιμῇ περιεῖπεν ἐν τοῖς βασιλείοις, αὐτός τε συμβούλῳ χρώμενος, καὶ τῶν ἰδίων παίδων διδάσκαλον κα-

---

Φώτιον ὁ δεύτερος· εἰ δὲ διὰ τὴν τοῦ ἐδάφους ποιότητα ὁ δεύτερος, δι' αὐτὴν ταύτην καὶ ὁ πρῶτος. Δικαίως δ' ἄν τις θαυμάσειεν, ὅτι ἐνταῦθα μόνον Ἰάγερος εὑρίσκεται Νικήτᾳ διαφωνῶν· ἐκεῖνος γὰρ τοῦ τε σεισμοῦ καὶ τῆς ἐπιγενομένης καταιγίδος, καὶ μήν γε καὶ τῆς τοῦ βουβάλου εἰς τὸν τῆς Ἁγίας Σοφίας ναὸν εἰσπηδήσεως, ἄλλην λέγει γενέσθαι τὴν αἰτίαν. Τὴν ποίαν ταύτην; ὅτι Φώτιος ἔμελλεν αὖθις (μετὰ δέκα δῆλον ὅτι ἐνιαυτούς) εἰς τὸν Πατριαρχικὸν ἐπαναβῆναι θρόνον. Ταύτην τοίνυν τὴν μετὰ δέκα ἔτη μέλλουσαν γενέσθαι συμφορὰν ὁ Θεὸς κατὰ Νικήταν Δαβὶδ τὸν Παφλαγονίας Ἐπίσκοπον διὰ τῶν σημείων ἐκείνων προεμήνυεν!!! Εἰ δὲ καὶ ὀχληρὸν πάντως καὶ δυσφόρητον τοιούτους παρατιθέναι λήρους, ὅμως διὰ τοὺς ἐπιθυμοῦντας αὐτοῦ Νικήτα λέγοντος ἀκοῦσαι, καὶ ἐκ τούτου ἀσφαλῶς καὶ περὶ τῶν ἄλλων αὐτοῦ κρίσεων καὶ λόγων τεκμαίρεσθαι, αὐτοὺς αὐτοῦ παραθήσομεν τοὺς λόγους. Λέγει γοῦν ὁ φιλόσοφος Ἀρχιερεύς· "Τοῦτο δέ τινες (ὅτι δηλαδὴ πάλιν ἔμελλε Φώτιος εἰς τὸν Πατριαρχικὸν θρόνον "ἐπανελθεῖν) καὶ ἀπὸ τῶν παρηκολουθηκότων τοῖς τότε χρόνοις τεκμηρίων ἐμφρόνως ἐστοχάσαντο. Καὶ "γὰρ μήπω ταυτησὶ τῆς Συνόδου συγκεκροτημένης, ἔτι δὲ ἐλπιζομένης, βούβαλοι ἔξωθέν ποθεν "ἐλαυνόμενοι κατὰ μέσης διήγοντο τῆς πόλεως. Ἀθρόως δὲ θροηθέντες ὧδε κακεῖσε διεσκορπίζοντο· εἰς "δὲ αὐτῶν κατὰ τῆς μεγάλης εὐθυδρομήσας Ἐκκλησίας, καὶ ἔνδον τοῦ ἱεροῦ γεγονώς, ἄχρις αὐτοῦ τρέχων "τοῦ ἄμβωνος κατήντησεν. Ὥρα δὲ ἦν ἐννάτη τῆς ἡμέρας· καὶ αὐτὸς οὐκ ἀγαθὸς ἄγγε-"λος τοῖς τὰ τοιαῦτα κρίνειν εἰδόσι κατεφαίνετο. Τούτου δὲ μείζων ἀπόδειξις "ὁ φρικωδέστατος σεισμός, ὃς κατ' ἐκεῖνον συνέβη τὸν καιρόν . . . . . Ταῦτα μὲν πρὸ τῆς Συνόδου· καὶ "μετ' αὐτὴν ἐξαίφνης ἐπῆλθε πνεύματος σφοδρὰ καταιγὶς . . . . Οὐκ εἰκῇ δὲ ταῦτα παρηκολούθηκε τὰ ση-"μεῖα· ἀλλὰ τῆς μελλούσης αὖθις ἀκαταστασίας καὶ ταραχῆς διὰ τοῦ ταραχοποιοῦ δαίμονος ἐπὶ τῆς "Ἐκκλησίας ἐνίστατο τεκμήρια σαφῆ. (!!!)" Θαυμαστὸν τοίνυν, ὅτι τὴν σοφὴν ταύτην Νικήτα σκέψιν οὐ φαίνεται σεβόμενος Ἰάγερος· ἀλλ' ἑτέραν οὗτος ζητῶν τοῦ σεισμοῦ αἰτίαν, ἐν τῇ τοῦ ἐδάφους ποιότητι ταύτην εὑρίσκει, οὐχ' ἧττον καλῶς φυσιολογῶν ἢ θεολογῶν ὁ καλὸς τῆς Ἱστορίας Καθηγητὴς καὶ συγγραφεύς. Προσσημειωτέον δὲ λόγου πάρεργον κἀκεῖνο· ὅτι τὸν μὲν ἐπὶ τῆς Φωτίου καταδιώξεως γενόμενον σεισμὸν εὑρίσκομεν μνημονευόμενον ἐν τῇ τῆς Κωνσταντινουπόλεως περιγραφῇ, τῇ ὑπὸ τοῦ ἡμετέρου Σκαρλάτου τοῦ Βυζαντίου ἐπιμελῶς συγγεγραμμένῃ· τὸν δὲ πρῶτον ἐκεῖνον, περὶ οὗ τοσοῦτον ἐποιήσαντο λόγον ὅ τε Παφλαγὼν Νικήτας καὶ οἱ ἀντιγραφεῖς αὐτοῦ, οὐδόλως εὑρίσκομεν μνημονευόμενον. Ἐκ δὲ τούτου δυοῖν θάτερον εἰκάζειν ἐστίν, ἢ ὅτι ὁ σεισμὸς ἐκεῖνος τὴν αὐτὴν ἔχει καταγωγὴν τῷ τοῦ Βάρδα τεραστίῳ ὀνείρῳ, ἢ ὅτι λόγου καὶ μνήμης οὐκ ἦν ἄξιος· λέγει γὰρ ὁ τῆς περιγραφῆς ἐκείνης ἀξιότιμος συγγραφεύς, ὅτι τοὺς ἐπισημοτέρους τῶν ἐν Κωνσταντινουπόλει γενομένων σεισμῶν ἐκτίθησι χρονολογικῶς (Ἴδε Σκαρλ. Βυζαντίου Περιγραφὴν τῆς Κωνσταντινουπόλεως, Τόμ. Α', σελ. 27—28). Καὶ ταῦτα μὲν ἡμεῖς πρὸς Ἰάγερον περὶ τῶν δύο ἐκείνων σεισμῶν. Πρός δε τὸν ταὐτὰ κατὰ Φωτίου φλυαρήσαντα Καρδινάλιον Βαρώνιον ἱκανῶς ὁ τῆς ἀληθείας εἰλικρινὴς φίλος Ῥιχάρδος ὁ Μοντακούτιος ἀπήντησεν, ἐν οἷς ἐν τῇ προειρημένῃ Φωτίου ἐπιστολῇ πρὸς Γρηγόριον τὸν Διάκονον ὑπεσημειώσατο, ἅπερ δὴ καὶ ἡμεῖς ἐν οἰκείῳ τόπῳ οὐ παροψόμεθα. Λέγει δὲ περὶ τούτου καὶ ὁ σοφὸς Βασνάγιος, τὴν Φωτίου ἐπαινῶν ἀρετήν, καὶ τὴν Βαρωνίου στηλιτεύων μοχθηρίαν· " Il compatit à la misère de la ville, au lieu de lui insulter: et ce sentiment digne d'un Chrétien fait voir l'injustice de Baronius, qui sensure Photius, comme s'il avait eu là-dessus des pensées vaines et ridicules." (Hist. de l'Eglise, Tom. 1. p. 329.)

Digitized by Google

ταστησάμενος.[1] Ὁ δὲ τὰς προτέρας ἀναλαβὼν τιμάς, καὶ πάντα παρὰ τῷ Αὐτοκράτορι δυνάμενος, οὐτ' εἰς ἐκδίκησιν τῶν ἀπηνῶς αὐτὸν διωξάντων ἐτράπετο, οὐτ' ἄλλως ἐπεχείρει κατ' αὐτῶν στασιάζειν· ἀλλὰ πρᾶος ὢν καὶ ἀμνησίκακος, καὶ πᾶσιν εὔνους καὶ φίλος, οὕτως ὑπὸ πάντων ἠγαπᾶτο καὶ ἐτιμᾶτο, ὥστε τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν ἔν τε τῇ Ἐκκλησίᾳ καὶ τῇ πολιτείᾳ ἐπαναγαγεῖν. Ἰγνατίῳ δὲ διαλλαγείς, ἤδη τὴν τῶν πραγμάτων ἀλήθειαν συνιδόντι, καὶ περὶ τῆς ΦΩΤΙΟΥ ἀρετῆς πεπεισμένῳ, ἅμα δὲ καὶ

---

[1] Καὶ ταῦτα οἱ ἀσεβεῖς τῆς ἀληθείας πολέμιοι οὐκ ὤκνησαν μεταπλάσασθαι. Ἀπὸ γὰρ Νικήτα τοῦ ἀληθοῦς Παφλαγόνος μέχρις Ἰαγέρου καὶ Τόστου, οἱ πάντες τῆς Φωτίου ἀνακλήσεως αἰτίαν λέγουσι γενέσθαι τὴν πονηρίαν αὐτοῦ καὶ πλαστογραφίαν, καινόν τι κατ' αὐτοὺς πρὸς ἀπάτην τοῦ Αὐτοκράτορος, μηχανησαμένου. Ἃ δὲ καὶ περὶ τούτου λέγουσιν οὐδὲν διαφέρει τοῦ τερατώδους ἐκείνου ὀνείρου, καὶ τῆς εἰς τὸν ναὸν τῆς Ἁγίας Σοφίας εἰσπηδήσεως τοῦ βουβάλου, καὶ τῶν ἄλλων τῶν τοιούτων, ἃ πρὸς ὕβριν Φωτίου ἀσεβῶς τερατολογοῦσιν. Φασὶ μέντοι γε οἱ φιλαλήθεις οὗτοι βιβλίον πλάσαι τὸν Φώτιον, ἐν ᾧ Βασίλειον ἀπὸ Τηριδάτου, τοῦ μεγάλου τῶν Ἀρμενίων βασιλέως, γενεαλογήσας, ἄνδρα προὔλεγεν ἔσεσθαι μέγαν. Αὐτοῦ γὰρ Βασιλείου καὶ τῆς Αὐτοκρατείρας καὶ τῶν τέκνων αὐτῶν ἀπολαβὼν τὰ ὀνόματα (Βασίλειος, Εὐδοκία, Κωνσταντῖνος, Λέων, Ἀλέξανδρος, Στέφανος), καὶ ἐκ τῶν ἀρκτικῶν γραμμάτων ὄνομα συνθέμενος ΒΕΚΛΑΣ, τοῦτον ἔλεγεν ἔσεσθαι τὸν υἱόν, ὃν ἔμελλε γεννήσειν ὁ τοῦ Βασιλείου πατήρ, εὐκλεῶς πάνυ καὶ ἐπὶ πολλὰ βασιλεύσοντα ἔτη. Τοῦ δ' οὖν πλάσματος τούτου διὰ Θεοφάνους τοῦ Παλαιστίνου ἐν τῇ Αὐτοκρατορικῇ κατατεθέντος βιβλιοθήκῃ, περιτυχὼν αὐτῷ Βασίλειος, ἐπυνθάνετο Θεοφάνους, ὅ,τι ποτὲ τὰ γεγραμμένα σημαίνειν βούλοιντο. Ὁ δὲ διαπορῶν δῆθεν, μόνον ἔλεγε Φώτιον ἱκανὸν εἶναι τὰ ἐν τῷ βιβλίῳ ἐκείνῳ γεγραμμένα συμβαλεῖν καὶ ἐξηγήσασθαι. Οὕτως οὖν Βασίλειος ἐξαπατηθείς, Φώτιον αὐτῷ προσελθεῖν ἐκέλευσεν· ὁ δὲ προσελθὼν καὶ τὰ γεγραμμένα ὡς προφητείαν ἑρμηνεύσας, αὐτῷ Βασιλείῳ ἑρμότουσαν, οὕτως ἐξιλέωσε τὸν Αὐτοκράτορα, καὶ συγχωρήσεως ἠξίωται. Καὶ ταῦτα μὲν Νικήτας καὶ οἱ τυφλῶς ἐκείνῳ ἑπόμενοι μυθολογοῦσιν, ἑαυτῶν μὲν ἄξια μυθεύματα, Φωτίου δὲ καὶ Βασιλείου αὐτοῦ πάντως ἀνάξια ἔργα. Στυλιανὸς δὲ ὁ Μάπας τοῖς μυθεύμασι τούτοις οὐκ ἀρκούμενος, καὶ μαγικῇ τέχνῃ χρήσασθαι Φώτιον προστίθησιν, ὅπως τὸν Αὐτοκράτορα διαφθείρῃ. (Ἴδε τὴν τοῦ λήρου τούτου ἐπιστολὴν πρὸς τὸν Πάπαν Στέφανον Ε' ἐν τέλει τῶν Πρακτ. τῆς ψευδογδόης Συνόδου). Τοιαύταις μὲν τερατολογίαις οἱ ἀνόσιοι τῆς ἀληθείας πολέμιοι τὴν ἀκήρατον τοῦ πανιέρου Πατριάρχου ἀρετὴν καὶ δόξαν πειρῶνται ἀμαυροῦν. Οἱ δὲ τῆς ἀληθείας καὶ τοῦ δικαίου φίλοι καὶ ταύτην αὐτῶν τὴν ἀναιδῆ συκοφαντίαν ἐξελέγχουσι καὶ κατακρίνουσιν. Ὁ μὲν οὖν Κρεϊχθόνιος τὰ περὶ τοῦ ΒΕΚΛΑΣ εἰρημένα τῷ Νικήτᾳ ἐν τοῖς προλεγομένοις τῆς Ἱστορίας τῆς ἐν Φλωρεντίᾳ Συνόδου παρατιθεὶς (σελ. 33—34) τάδε φησίν· "Quod mihi in memoriam revocat ad principia nostrorum motuum nuperorum in Anglia, aliquot concionatores puritanos, contra Episcoporum sacrum nomen stilum acuentes, SMECTYMNUUS pro autoris nomine in titulu præfixisse, connexis prioribus elementis, tot nebulonum nomina designantibus. At hæc omnia ut ego de Photio credam non magis necessum habeo, quam ut Legenda aurea in Evangelia adoptem." τοῦτ' ἔστιν· "Τοῦτο με τὸ "ἐν ταῖς ἐσχάταις ἡμῶν (ἐν Ἀγγλίᾳ) θρησκευτικαῖς στάσεσι γενόμενον ἀναμιμνήσκει. Τῶν γὰρ Καθα- "ριστῶν (Puritani) δημαγωγοί τινες κατὰ τῶν Ἐπισκόπων γράφοντες, ὄνομα συγγραφέως ἐπεγράψαντο "SMECTYMNUUS, ἐκ τῶν ἀρκτικῶν γραμμάτων παντοίων ὀνομάτων τοῦτο συνταξάμενοι τοὔνομα. "Ἀλλά, τό γ' ἐπ' ἐμοί, ταὐτὸν ἡγοῦμαι τοῖς τοιούτοις περὶ Φωτίου λήροις πίστιν παρέχειν, καὶ μύθους "ἀντὶ τῶν Εὐαγγελικῶν ἀποδέξασθαι λογίων."— Φραγκίσκος δὲ ὁ Φοντάνας γραώδεις ἀποκαλεῖ μύθους τοὺς περὶ Φωτίου τούτους λόγους τοῦ Παφλαγόνος, πολλοῦ τοῦ γέλωτος ἀξίους. "Quis non solutis cachinnis excepisset anilem hanc fabellam, indignam prorsus et Photii ingenio et Basilii natura, qui præstans erat animo, et cordatus, si Nicetam quamdoque excipias, ab historicis describitur?" (Novæ crudit. deliciæ, Tom. 1. p. LV.) τουτ' ἔστιν· "Τίς οὐκ ἂν ἐκτόπως γελάσειε, τοῦτον ἀκούων τὸν μῦθον, γραϊδίου μέν τινος ἄξιον, μάλιστα δ' ἀνάξιον τοῦ τε ἤθους Φωτίου καὶ τῆς Βασιλείου φύσεως, ἐπί τε μεγα-

Digitized by Google

τὴν ἐξωφρυωμένην Παπικὴν *ἀλαζονείαν οὐ δυναμένῳ ἐπὶ πλέον ἀνέχεσθαι, εἴς τε τὴν ἄλλην τῆς* Ἐκκλησίας *διοίκησιν ἐβοήθει αὐτῷ, καὶ χειροτονίας ἐτέλει· καὶ ἀσθενήσαντα τὸν ἀγαθὸν γέροντα οὕτω προθύμως ἐθεράπευε καὶ πᾶσι δυνάμει παρεμυθεῖτο, ὥστ' ἐκεῖνον τελευτῶντα τὴν τῶν οἰκειοτάτων προστασίαν ἀναθέσθαι* ΦΩΤΙΩι, *ἀγαπᾷν τε καὶ προστατεῖν αὐτῶν δεόμενον.*[1]

λοψυχίᾳ διαφέροντος, καὶ ὑπὸ πάντων τῶν ἱστορικῶν, εἴ πού τις ἐξέλοι Νικήταν, *διὰ γενναιότητα κλειζομένου;*"— *Ὁ δὲ* Βασνάγιος *τὰς* Νικήτα *καὶ* Στυλιανοῦ *ταύτας φλυαρίας ἐκθείς, τοιόνδε ἀμφοτέροις ἐγκολάπτει ῥάπισμα, αὐτοῦ μὲν ἄξιον δοῦναι, ἐκείνων δὲ λαβεῖν, καὶ ἡμῖν λυπηρὸν ἀναγινώσκειν τε καὶ ἀναγράφειν, ἅτε περὶ Ἀρχιερέων τῆς ἡμετέρας* Ἐκκλησίας *ὄντος τοῦ λόγου, πρὸς οὓς μέγα ἡμῶν τὸ σέβας καὶ ἦν ἀεί, καὶ ἔστι, καὶ ἔσται. Ἀλλὰ νικάτω ἡ ἀλήθεια, ὑπὲρ ἧς καὶ αὐτὸς ὁ Σωτὴρ ἡμῶν ἀπέθανεν ἐπὶ σταυροῦ, καὶ τὸ ὄνομα αὐτῆς ἐξηγίασεν, ἑαυτῷ τοῦτο ἀναλαβὼν ἐν τῷ εἰπεῖν* " Ἐγὼ εἰμὶ ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή" (Ἰωάν. ΙΔ', 6). *Ἄλλως τε δέ, καὶ τοῦτο πάντας ἀναμιμνήσκειν ἀναγκαῖον, ὅτι τῶν κακῶς ἐνταῦθα λεγομένων καὶ πραττομένων, οἷοι ποτ' ἂν εἶεν οἱ λέγοντες καὶ πράττοντες, οὐ μόνον ἐστὶν ἐκεῖθεν ἡ παντέφορος δίκη κριτής, ὡς ὁ ἀοίδιμος ἔγραφε Φώτιος, ἀλλὰ καὶ ἕτερον ἐνταῦθα καταλείπεται κριτήριον ἀδυσώπητον, ἡ ἀληθὴς ἱστορία, ἑνὶ ἑκάστῳ τὰ προσήκοντα ἐν δικαιοσύνῃ ἀποδιδοῦσα. Εἰ δὲ καὶ ἄλλο τι καταλείπεται ἱστορίας εἶδος, τῆς τὴν ἀλήθειαν πειρωμένης κατακρύπτειν, ἢ ἀφανίζειν, οὐδὲν ὠφελεῖ τοῦτο, θᾶττον ἢ βράδιον τῆς ἀληθείας εἰς φῶς ἐρχομένης, καὶ καταλαμπούσης ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς δόξαν μὲν τοῦ Θεοῦ, αἰσχύνην δὲ καὶ ὄνειδος τῶν πολεμίων αὐτῆς. Λέγει τοίνυν ὁ σοφὸς Βασνάγιος περὶ τῶν Νικήτα καὶ Στυλιανοῦ τούτων φλυαριῶν*" Ce sont des contes, que nous ne raportons qu'afin de faire voir, que la passion aveugle souvent les Evêques, commes les autres hommes, et qu'il ne craignent de sacrifier la vérité à leur haine. Photius était homme de mérite, habile: il avait beaucoup de protecteurs à la Cour, où il avait passé une grande partie de sa vie. Le plus grand nombre des Evêques d'Orient lui était encore attaché, malgré la condamnation du huitième concile. On put avoir égard à son mérite et à la nécessité de le rapeller, pour reunir l'Eglise, qui était alors dans une afreuse division, etc. etc." (Hist. de l'Eglise, Tom. 1. p. 458). *Τὰ δ' αὐτὰ καὶ Μίλμανος ἀποφαίνεται ἐν τῇ τῆς Λατινικῆς* Ἐκκλησίας *ἱστορίᾳ, μόνην λέγων τὴν Φωτίου σοφίαν καὶ ἀρετὴν αἰτίαν αὐτῷ γενέσθαι τῆς ἀνακλήσεως.* (History of Latin Christianity etc. Tom. II. p. 357). *Ἐπὶ δὲ πᾶσι καὶ ὁ τὴν Φωτίου βιογραφίαν ἐν τῷ Σμιθίου βιογραφικῷ λεξικῷ συντάξας, ὃς δή φησιν οὐδεμιᾶς εἶναι προσοχῆς ἄξιον τὸ Νικήτα τοῦτο ἀλλόκοτον διήγημα*—the strange tale related by Nicetas.— *Ἀλλὰ πάντων μάλιστα τὴν ἀναιδῆ ταύτην συκοφαντίαν αὐτὸς καταψεύδει ὁ Βασιλείου υἱωνὸς Κωνσταντῖνος ὁ Πορφυρογέννητος, οὐδὲν μὲν τοιοῦτον λέγων ἐν ᾧ συνέγραψε βίῳ τοῦ ἰδίου πάππου, τοὐναντίον δὲ καὶ ἐπαινῶν μετὰ τοῦ πάππου τὸν Φώτιον.* " *Οὐ μὴν οὐδὲ πρὸ τούτου διέ-*" *λιπε φιλοφρονούμενος αὐτὸν καὶ τιμῶν διὰ τὴν ἐν αὐτῷ παντοδαπὴν σοφίαν τε καὶ ἀρετήν·* " *ἀλλὰ κἂν εἰ τῆς καθέδρας μετέστησεν, οὐδὲν τοῦ δικαίου θέλων ἄγειν ἐπίπροσθεν (τούτοις ὁ καλὸς υἱωνὸς τὴν τοῦ πάππου πειρᾶται συγκαλύπτειν ἀδικίαν, ἀντίθετον αὐτῇ τιθέμενος ὄνομα τὸ τῆς δικαιο-*" *σύνης), ὅμως τῶν εἰς παραμυθίαν οὐδὲν ἐνέλειπε παρεχόμενος. Ὅθεν κἂν τοῖς βασιλείοις διατριβὴν* " *αὐτῷ δούς, τῶν οἰκείων παίδων ἀπέδειξε παιδευτὴν καὶ διδάσκαλον*" (Θεοφ. Χρονογρ. συνέχ. σελ. 276—7). *Ἀλλὰ τί δεῖ λέγειν τὸν Βασιλείου υἱωνόν; ὅπου γε καὶ Βασίλειος αὐτὸς τὰς τῶν Φωτιομάχων καταψεύδει συκοφαντίας, πᾶσιν ἐξ ὧν ἔπραξε τὴν ἑαυτοῦ δηλώσας μεταμέλειαν καὶ τὸ πρὸς τὴν σοφίαν καὶ ἀρετὴν Φωτίου μέγα σέβας; Ἔτι γὰρ δεσμίου ἐν Σκέπῃ διάγοντος, διὰ Θεοφάνους τοῦ Διακόνου ἐπέστειλεν αὐτῷ, λύσιν ἀποριῶν προβάλλων, ὡς ἔστιν ἰδεῖν ἐν τῇ πρὸς Θεοφάνην ἐπιστολῇ Φωτίου, ἐν ᾗ τὴν ὑποβεβλημένην λύων ἀπορίαν (ἣν δὲ αὕτη—*" Πῶς ἐσοφίσατο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπους καὶ ὑπὲρ Γαιθὰν τὸν Ἰσραηλίτην." *ἴδε ἐπιστ. Ν'), ἅμα τῶν εἰς αὐτὸν γενομένων ἀδικημάτων πικρῶς ἐν προοιμίοις ἐξελέγχει τὸν αἴτιον.—Ἴδε περὶ τούτου καὶ Παπιστ. ἐλέγχ. προλεγ. ἐν Τόμῳ Α', σελ. πέ, σημ. ά.*

[1] *Ὅτι δὲ ταῦτα οὕτως ἔχει, ἐξ αὐτῶν μαρτυρεῖται τῶν μετὰ τὸν θάνατον τοῦ Ἰγνατίου γεγραμμένων*

Digitized by Google

μή. Ἀλλ' ὅμως, τούτων οὕτως ἐχόντων, καὶ ἐν τηλικαύτῃ Συνόδῳ κατενώπιον τριῶν καὶ ὀγδοήκοντα καὶ τριακοσίων Πατέρων *ἀνομολογηθέντων καὶ διαλαληθέντων, οἱ ἀσεβεῖς* ΦΩΤΙΟΥ *συκοφάνται οὐκ ὤκνησαν ἐκεῖνον καὶ φονέα τοῦ* Ἰγνατίου *ἀνειπεῖν. Ὁ δὲ πάντας ἀβασανίστως ἀντιγράψας* Ἰάγερος *οὐ φονέα μόνον, ἀλλὰ καὶ τυμβωρύχον ἀπεκάλεσε, δύο ταῦτα ὡσπερεὶ κεφάλαια τοῖς ἑαυτῷ νενεανιευμένοις ἐπιτιθείς·*[1] *καὶ πάλιν ἔχει μαρτυροῦντας αὐτῷ, τὸ μὲν πρῶτον* Στυλιανὸν *τὸν* Νεοκαισαρείας Ἐπίσκοπον,[2] *τὸ δὲ δεύτερον* Νικήταν *τὸν* Παφλαγονίας.[3] *Ὁ δὲ πάντων ἐστὶ παραλογώτατον ἐν τοῖς* Ἰαγέρου *τούτοις λόγοις, ὅτι αὐτὸς ὁ* ΦΩΤΙΟΝ *φονέα τοῦ* Ἰγνατίου *ἀποκαλῶν*—par la main de quelques scélérats, instruments de sa fureur et de sa vengeance—*αὐτὸς οὗτος πρὸ μικροῦ τὰ περὶ θανάτου τοῦ* Ἰγνατίου

Φωτίῳ, ἐν οἷς εὐσεβῶς τοῦ ἀποθανόντος Πατριάρχου μέμνηται, ἅγιον καὶ ἁγιώτατον αὐτὸν ἀποκαλῶν. Οὐδ' εἶχεν ἐρυθριᾶν ἐπὶ τούτῳ· οὐδὲ γὰρ ζῶντα οὐδέποτε οὔτε κακῶς εἶπεν, οὔτε κακῶς ἐποίησεν, εἰ καὶ αὐτὸς πολλὰ δι' ἐκεῖνον ὑπέστη, καί, τὸ πάντων ἀτοπώτατον, τὸ κατ' αὐτοῦ ἀδίκως καὶ παραλόγως χάριτι τῇ πρὸς τὸν Πάπαν ἐκφωνηθὲν ἐν τῷ παρανόμῳ ἐκείνῳ συνεδρίῳ ὀκτάφωνον ἀνάθεμα. "Ορα δ' ἐν τοῖς ἑξῆς τὸ ἐν ταῖς "Συναγωγαῖς καὶ ἀποδείξεσι" ἐρώτημα Ι', ἔνθα ἅγιον καὶ ἁγιώτατον ἀποκαλεῖ τὸν Ἰγνάτιον. Οὐ μὴν ἀλλὰ καὶ ἐν τῇ μεγάλῃ ἐκείνῃ Συνόδῳ, τῇ μετὰ τὸν θάνατον τοῦ Ἰγνατίου γενομένῃ, τὰ καθ' ἑαυτὸν διεξιὼν ἔλεγεν· "Τοὐναντίον δὲ τὴν πρὸς αὐτὸν εἰρήνην πᾶσι τρόποις συσφίγγειν καὶ "κρατύνειν διεμηχανώμεθα, ἥτις γέγονεν, ἐν τῷ παλατίῳ παραγεγονότος, ἀλλήλων μὲν τοῖς ποσὶν ἀμφοῖν "προσπεσόντων, καὶ εἴ τι ἑκατέρῳ πρὸς τὸν ἕτερον διημάρτηται, τῆς συγγνώμης τούτων ἀφ' ἑκατέρου "ἀφελομένης. Μετὰ τοῦτο νόσῳ κατακλιθέντος, καὶ τὴν ἡμετέραν ἐπιζητήσαντος παρουσίαν, οὐχ ἅπαξ "καὶ δίς, ἀλλὰ καὶ πολλάκις ἐπισκεψόμενος αὐτὸν παρεγενόμην. Καὶ ὅσα μὲν ἦν ἐμοὶ δυνατόν, ἐκείνου "ἀξιοῦντος, ὑγιάζειν τὴν νόσον συνεβαλόμην. Ἐπεὶ δὲ καὶ λόγος παραμυθίας ἐπάγειν ἰσχὺν ἔχει, καὶ "τὴν ἀπὸ τούτου προσῆγον αὐτῷ θεραπείαν. "Ωστε καὶ πολλὴν αὐτὸν τὰ τελευταῖα τὴν πρὸς ἡμᾶς "πληροφορίαν δεξάμενον, τοὺς οἰκειοτέρους αὐτοῦ τῶν ἀνθρώπων εἰς τὰς ἡμετέρας χεῖρας παραθέσθαι, "ὡς δὴ μετὰ τὴν ἐκδημίαν ἐκείνου προνοητὰς καὶ σωτῆρας γενέσθαι· ὃ καὶ θείᾳ γέγονε χάριτι, καὶ οὐδεὶς "ἂν μέμψαιτο τῶν αὐτοῦ τὴν ἐκείνου τελευταίαν φροντίδα τε καὶ διοίκησιν" (Πρακτ. τῆς Η' Συνόδου Πρ. Β'). Καὶ Νέανδρος δὲ αὐτὸς τοῖς λόγοις τούτοις Φωτίου πειθόμενος, τὰ ὑπὸ Νικήτα καὶ Ἀλλατίου ἱστορηθέντα καταφρονῶν ἀποῤῥίπτει· (Neander.— Eccl. Hist. Tom. VI. p. 320—1 τῆς Ἀγγλ. μεταφρ. ὑπὸ Joseph Torrey, 1852).

[1] *Δημοσθ. κατὰ Μειδίου § ή.*

[2] *Ἔνθ. ἀνωτ.*

[3] *Ἄξιον δὲ καὶ τὰ περὶ τούτου γεγραμμένα Νικήτᾳ μὴ παραλιπεῖν, ὡς μᾶλλον καταφανὴς γένηται, ὃν εἶχεν ὁ ἄνθρωπος κατακάρδιον τῆς ἀληθείας πόθον. Λέγει γοῦν καὶ περὶ τούτου· "Πῶς γὰρ τοῦ Λυδοῦ Σακελλαρίου σιωπῇ τὸ πρᾶγμα παραπέμψομεν; ὃς ὑποβολῇ Φωτίου τοῦ ἀναιδοῦς "εἰς τὸ μοναστήριον εἰσελθών, ὥστε πάντας τοὺς τῷ ἁγίῳ τάφῳ προσλιπαροῦντας ἀσθενεῖς μετὰ μα- "στίγων ἐξῶσαι καὶ ὕβρεων, καὶ τοῦτο δεδρακώς, προστίθησι κακὸν τῷ κακῷ, καὶ προστάσσει πλησιαίτατα "τοῦ ἱεροῦ τάφου κατορύσσειν, καὶ εἰς βάθος ἀνασκάπτειν τὴν γῆν, πρόφασιν μέν, ὡς ἐν αὐτῷ τῷ τύπῳ "πρώην ὑπὸ τοῦ Πατριάρχου χρυσίου κατακρυβέντος πολλοῦ, τὸ δ' ἀληθές, ὡς ἂν ἀτιμίαν τῷ τιμίῳ "λειψάνῳ προστρίψαιτο. Οὕτως αὐτῷ ὁ φθόνος πάντη κεκυριευκὼς τῆς μανιώδους ψυχῆς, οὐδὲ μετὰ "τὸν θάνατον ἠρεμεῖν εἴα. Ἅμα δὲ τῷ λόγῳ τοῦ ἀθεμίτου ἐκείνου προστάγματος, καὶ θεήλατος τὸν "ἀσεβῆ ἐκεῖνον μετῆλθεν ὀργή, ἐνταῦθα μόνον οὐκ ἀνασχομένης ἐπ' αὐτῷ τῆς τοῦ Θεοῦ μακροθυμίας, "ἀλλ' ὀξυτάτην ἐνδίκως ἐπενεγκούσης τὴν τομήν. Εὐθὺς οὖν μεγάλα βοῶν ὁ σοβαρός, οἷα σφαγιαζό- "μενος, ἄνωθέν τε καὶ κάτωθεν τῷ ἰδίῳ αἵματι κρουνηδὸν περιῤῥαινόμενος, καὶ φοράδην οἴκαδε ἀναγό-*

Digitized by Google

ἱστορῶν, διαῤῥήδην λέγει, ὅτι πλήρης δόξης καὶ ἡμερῶν ηὔχετο τῆς τοῦ σώματος φυλακῆς ἀπαλλαγῆναι· καὶ ταύτης αὐτῷ τῆς εὐχῆς εἰσακουσθείσης, ἀπέθανεν ὡς ἅγιος, εὐλογῶν καὶ εὐχόμενος τοῖς περὶ αὐτόν.[1] Εἰρήσθω τοίνυν καὶ αὖθις, ὅτι οὕτως οἶδεν Ἰάγερος τὴν ὡραίαν ἐκείνην ἀρχήν, ἣν αὐτὸς ἔθετο, τιμᾷν " On décrit l'histoire, et on ne la fait pas." Ἀλλ' ἡμεῖς καὶ ἕτερον ὑποδείξομεν αὐτῷ φρικτότερον ἀσέβημα, εἰς ὃ τὸ κατὰ ΦΩΤΙΟΥ καὶ τῆς ἀληθείας πάθος παρέσυρεν αὐτόν. Εἰ γὰρ Ἰγνατίῳ θεόθεν ὁ θάνατος ἐπεγένετο, εἰσακουσθείσης αὐτοῦ τῆς δεήσεως, ὡς Ἰάγερος ἱστορεῖ, ΦΩΤΙΟΣ δὲ ἦν ὁ δολοφονήσας Ἰγνάτιον, ὡς αὐτὸς πάλιν Ἰάγερος ἱστορεῖ, θείαν ἄν τις εἴποι τὸν ΦΩΤΙΟΝ ἐκτελέσαι βουλήν, καὶ ἀτεχνῶς τῷ Θεῷ ὑπηρετοῦντα δολοφονῆσαι τὸν Ἰγνάτιον. Ἀλλὰ κατὰ ταύτην τὴν Ἰαγέρου λογικὴν μέτρῳ μετρεῖται ὁ Θεὸς Ἰησουϊτικῷ, τὴν τῶν δολοφόνων ὁπλίζων χεῖρα. Ἐκεῖνοι γὰρ ἱστοροῦνται τό τε ξίφος καὶ τὸν δολοφόνον καθαγιάζειν, ὃν εἰς τὸ μυσαρὸν τοῦτο ἔργον ἀποστέλλουσιν.[2] Οὕτως ἄρα τὸ πρὸς τὴν ἀλήθειαν ἀσεβεῖν πρὸς Θεόν ἐστιν ἀσεβεῖν. Χαίρειν οὖν εἰπόντες τοῖς τὰ τοιαῦτα κατὰ τῆς ἀληθείας τερατευομένοις, ἐπὶ τὸ προκείμενον τὸν λόγον ἐπαναγάγωμεν.

μθ'. Ὁ μὲν οὖν Ἰγνάτιος πλήρης ἡμερῶν ἐτελεύτησε τὸν βίον (τὴν 23 Ὀκτωβρίου τοῦ 878 ἔτους), Ἀρχιερεὺς γενόμενος εὐσεβέστατος, καὶ τ' ἄλλα πάντα λίαν ἀγαθός, ὅσα μὴ τῇ ἰδίᾳ εὐγενείᾳ ἐναβρυνόμενος ἀλαζονικὸς ἐδείκνυτο καὶ βαρὺς τοῖς ἀντιδιατιθεμένοις αὐτῷ· διὰ δὲ τοῦτο ἔστιν ἃ κακῶς ἔπραξε καὶ ἀναξίως ἑαυτοῦ, ἐφ' οἷς ὕστερον μεταμελούμενος ἐφαίνετο· οἷά περ ἦν τό τε περὶ Γρηγόριον τὸν Ἀσβεστᾶν καὶ τὸ περὶ ΦΩΤΙΟΝ, ὅτε τὸ πονηρὸν ἐκεῖνο συνέστη συνέδριον, ὃ τῇ Ἐκκλησίᾳ μέγα καὶ βαρὺ ἐγένετο αἴσχος. Εἰ δὲ καὶ τ' ἄλλα ἐδόκει τῇ Παπικῇ ἀλαζονείᾳ ὑπείκειν, καὶ διὰ τοῦτο προσφιλέστατος ἦν αὐτῇ, ὅμως διὰ τὸ μὴ προθύμως ὑπακοῦσαι τῇ περὶ Βουλγαρίας αἰτήσει τοῦ Πάπα, μικροῦ ἐδέησε τὰ ΦΩΤΙΟΥ ἐν ταῖς ἐσχάταις αὐτοῦ ἡμέραις παθεῖν. Λόγου γὰρ περὶ

" μενος, ἄφωνος ἐν ἡμέραις τέσσαρσιν ἀπέψυξε τιμωρούμενος." Τοιοῦτός τίς ἐστιν ὁ τοῦ Παφλαγόνος κατακάρδιος τῆς ἀληθείας πόθος, ὃν δικαίως ἄν τις ὀρθότερον εἴποι καταπτέρνιον· πανταχοῦ γὰρ τῆς ἀθλίας αὐτοῦ συγγραφῆς ἡ μὲν ἀλήθεια " λάγδην πατεῖται" κατὰ τὸν τραγῳδόν, ὁ δὲ φθόνος καὶ τὸ ψεῦδος κατακάρδιον ἔχουσι τὴν ἕδραν, ἐκεῖνο κατὰ δυστυχίαν ἐπαληθεῦον δεικνύοντα, ὅπερ ὁ φιλαλήθης εἶπε Βασνάγιος, ὅτι τὸ πάθος καὶ αὐτοὺς πολλάκις ἐκτυφλοῖ τοὺς Ἐπισκόπους, ὥσπερ καὶ τοὺς ἄλλους τῶν ἀνθρώπων κ.τ.λ. (Ἴδε τὴν ἐν § μζ' σημείωσιν).

[1] Ἰδοὺ οἱ περὶ τούτου λόγοι τοῦ Ἰαγέρου. " Comblé de gloire, chargé d'années, Ignace souhaitait depuis long-temps d'être délivré de la prison de son corps, où il avait souffert tant de travaux, enduré tant de tourments, et d'être réuni à celui, pour qui il les avait supportés. *Ses voeux furent exaucés* le 23 Octobre 878, jour où les Grecs célèbrent la fête de l'Apôtre Saint Jacques. *Il mourut comme un Saint, après avoir fait ses adieux aux assistans et leur avoir donné sa bénédiction.* Καὶ ταῦτα μὲν ἐν σελ. 280 τῆς ἑαυτοῦ Ἱστορίας λέγει ὁ Ἰάγερος· ἐν δὲ τῇ 282 φονέα τοῦ Ἰγνατίου καὶ τυμβωρύχον ἀναγράφει τὸν Φώτιον.—" Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ"—εἶπεν ὁ Κύριος ἡμῶν τοῖς Ἰουδαίοις (Ἰωάν. Η', 44).

[2] Τὰ περὶ τῆς μυσαρᾶς ταύτης τελετῆς, ἐν ᾗ τό τε ξίφος καὶ τὸν δι' αὐτοῦ ἐξοπλιζόμενον καὶ εἰς δολοφονίαν ἀποστελλόμενον οἱ Ἰησουῖται καθαγιάζουσιν, ἴδε ἐν τῷ συγγράμματι τοῦ Ἀλεξάνδρου Δουφίου " οἱ Ἰησουῖται." μετάφρ. Ἑλλην. ὑπὸ Μ. Δ. Καλαποθάκη. Ἀθήνησι 1858 (σελ. 84—86).

Digitized by Google

τούτου ἐν τοῖς Ἀνακτόροις γενομένου μετὰ τὴν τοῦ συνεδρίου ἐκείνου διάλυσιν, παρόντος καὶ τοῦ Αὐτοκράτορος, καὶ πολλὰ τῶν τοποτηρητῶν τοῦ Πάπα ὑπὲρ τῆς αἰτήσεως συνηγορησάντων, ὅ τε Ἰγνάτιος καὶ τῶν ἐν τῇ Ἀνατολῇ Πατριαρχικῶν θρόνων οἱ τοποτηρηταὶ ὁμοφώνως ἀπεφήναντο τὴν Βουλγαρίαν τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ προσήκειν, ἅτε ὑπὸ τούτου τὸ Χριστιανικὸν λαβοῦσαν φώτισμα, καὶ πολὺν ἤδη χρόνον ὑπὸ τοῦτον τελέσασαν, καὶ αὐτῶν δὲ τῶν Βουλγάρων ὑπὸ τοῦτον διατελεῖν βουλομένων. Ἔνθα δὴ τῆς Παπικῆς φιλίας καὶ προστασίας διετρανώθη ἡ εἰλικρίνεια. Ὅ τε γὰρ Πάπας Ἀδριανὸς Β′ καὶ ὁ ἐκεῖνον διαδεξάμενος (τὸ 872) Ἰωάννης Η′, οὐ μόνον ἐπιστολὰς ἔγραψαν Ἰγνατίῳ, τὴν Βουλγαρίαν ἀπαιτοῦντες, ἀλλὰ καὶ βαρείαις ἀμφότεροι ἐχρήσαντο ἀπειλαῖς, τὰ ΦΩΤΙΟΥ πήσεσθαι λέγοντες καὶ αὐτόν, ἐὰν μὴ τῆς Βουλγαρίας ἀποστήσηται. Οὐ μὴν ἀλλὰ καὶ Ἰάγερος, ὁ τοσαῦτα Ἰγνάτιον ἐγκωμιάσας, καὶ τοσούτους ὑπὲρ αὐτοῦ σταχυολογήσας λήρους ἔκ τε Νικήτα καὶ Στυλιανοῦ, οὐ μικρὸν εὑρίσκει τὸ ἁμάρτημα, ὅτι τῇ Παπικῇ κυριαρχίᾳ τὴν Βουλγαρίαν οὐκ ἀπέδωκεν. Λέγει γοῦν ὁ ἀπαθὴς Ἱστορικὸς οὐκ ἐν πᾶσι τοῖς Ἰγνατίῳ πεπραγμένοις ἔχειν σεμνύνεσθαι τὴν Ἐκκλησίαν, ἅτε καὶ παράνομά τινα ἐργασαμένῳ.[1] *Ἀλλὰ καὶ ἐν τῷ θάπτειν τὸν Πατριάρχην οὐκ ἐπελάθετο τοῖς ἐγκωμίοις καὶ τὸ ἔγκλημα συναναμίξαι, ὅτι τὴν Βουλγαρίαν οὐκ ἀπέδωκε, τὸ μῆλον τοῦτο τῆς ἔριδος.*[2] *Ὥστε κατὰ ταῦτα, εἰ μὴ προλαβὼν ὁ θάνατος*

---

[1] Cependant l'Eglise n'eut point à se louer de toute sa conduite. Ignace mérita des reproches sur un point fort essentiel du droit Canonique etc. (Hist. de Photius, p. 249—252).

[2] Une seule faute peut lui être réprochée, c'est son obstination à excerser sa juridiction sur la Bulgarie, malgré la défence des Papes; en quoi il a fait voir combien il était difficile aux Patriarches de Constantinople, dans la position brillante où ils se trouvaient, de se renfermer dans le cercle de leurs droits et de leurs devoirs (*ἔνθ. ἀνωτ. σελ.* 269 *καὶ* 281). *Ἀλλὰ καὶ ἕτεροι πολλῷ Ἰαγέρου σοβαρώτεροι ἄνδρες ἔρχονται μαρτυρήσοντες ἡμῖν, ὅτι τὴν ἐξορίαν Φωτίου καὶ τὴν Ἰγνατίου ἐπάνοδον ἡ Παπικὴ ἀλαζονεία καὶ φιλαρχία παρεσκεύασεν, ἐπὶ τῇ Βουλγαρίᾳ δεινῶς ἀγανακτοῦσα· ἔπειτα δέ, ὅτι καὶ τὸ συνέδριον ἐκεῖνο, οὐ κατανεῦσαν τῇ τῆς Βουλγαρίας ἀποδόσει, οὐδὲν ἔδοξεν ὠφελῆσαι, εἰ καὶ τ' ἄλλα πάντα κατὰ τὴν Παπικὴν ἔπραξε θέλησιν· καὶ Ἰγνάτιος αὐτὸς ἀγνώμων ἀνακηρύττεται τοῖς εἰς τὸν θρόνον αὐτὸν ἐπαναγαγοῦσιν, ὅτι τὴν Βουλγαρίαν οὐκ ἀπεδίδου. Καὶ λοιπὸν διὰ τὴν Βουλγαρίαν Φώτιος ἔπαθε· διὰ τὴν Βουλγαρίαν Ἰγνάτιος ἐμισήθη· διὰ τὴν Βουλγαρίαν ἀνωφελὲς κηρύττεται τὸ ἐν πᾶσι τῇ Παπικῇ ἀλαζονείᾳ ὑπηρετῆσαν ἐκεῖνο συνέδριον· διὰ τὴν Βουλγαρίαν ὁ Πάπας Ἰωάννης Φωτίῳ φίλος ἐγένετο, τὴν ἀλωπεκῆν ὅπου ἡ λεοντῆ οὐκ ἐξικνεῖτο προσράπτων· διὰ τὴν Βουλγαρίαν ἔπειτα ὁ αὐτὸς Ἰωάννης παλινῳδίαν ᾄδων ἀνεθεμάτιζε καὶ σὺτος τὸν Φώτιον, ὡς αὐτοὶ λέγουσιν οἱ Παπισταί· καὶ πᾶσα τῶν γεγονότων ἡ ἀλληλουχία οὐδὲν ἢ τοῦτο καταδείκνυσι, τὴν Παπικὴν πλεονεξίαν μόνην γενέσθαι καὶ τῶν σκανδάλων τότε καὶ τοῦ σχίσματος ἔπειτα πηγὴν καὶ ἀρχήν.* (*Ἴδε τὴν περὶ τούτου ὀρθὴν κρίσιν τοῦ Ἰακώβου Βασναγίου ἐν ταῖς περὶ Φωτίου μαρτυρίαις*—Canisii Lectiones antiquae etc. Tom. II. pars II, p. 375—*ἔτι δὲ καὶ τὴν ὑπὸ Δοσιθέου ἐν Τόμῳ Χαρᾶς σελ.* 115.) *Ἀλλ' ἀκούσωμεν, τί περὶ τούτου καὶ οἱ τῆς ἄρτι ἐκδοθείσης Ἱστορίας τῆς Ἑλλάδος συγγραφεῖς Δε-Πρέσλης καὶ Βλαγκέτιος ἀποφαίνονται.* " A ce moment s'éleva la question de savoir si les Bulgares nouvellement convertis au Christianisme devaient rélever de l'Eglise de Rome, ou de celle de Constantinople. Le concile décida en faveur de cette dernière, malgré les protestations des Legats. Ignace lui même, *qui devait son rétablissement à la Cour de Rome,* résista à quelques-unes de ses pretentions. En un mot, ce concile, qui devait sceller l'union des deux Eglises, prépara peut-être la rupture, qui fut

Digitized by Google

Ἰγνάτιον ἀπήγαγε, βαρὺς αὐτῷ ἐπέκειτο πόλεμος· ἤδη γὰρ αὐτῷ καὶ τὸ τελεσιγραφον ἐπεδέδοτο, ὅτι τὰ ΦΩΤΙΟΥ πήσεται, ἐὰν μὴ ἐν ἡμέραις τριάκοντα τὴν Βουλγαρίαν τοῖς τοῦ Πάπα τοποτηρηταῖς παραδῷ·[1] ἄλλαι τε ἐν προοιμίοις ὑπεδείκνυντο συσκευαζόμεναι κατ' αὐτοῦ κατηγορίαι, ὅτι λαϊκοὺς εὐθὺς εἰς Διακόνου προάγει τάξιν· καί, ἁπλῶς εἰπεῖν, πάντων τῆς Παπικῆς ὀργῆς τῶν τηλεβόλων ἐπ' αὐτὸν ἦσαν ἐστραμμένα τὰ στόματα.[2] Ἀλλ' ὁ θάνατος τὸν ἀγαθὸν Ἰγνάτιον τῆς ὑπὸ τῶν ἄλλοτε φίλων καὶ θαυμαστῶν αὐτοῦ ἐπαπειλουμένης καταδρομῆς καὶ καταστροφῆς ἀπαλλάξας, ἄλλον ἀντ' ἐκείνου φέρων ἔστησεν ἐν τῷ τῆς μάχης πεδίῳ· ὃς τὰ Παπικὰ τελεσίγραφα καὶ τηλεβόλα παρ' οὐδὲν ἡγεῖσθαι εἴθιστο, καθ' οὗ τε, ὡς καθ' ὑψηλοῦ κρημνοῦ, τὰ ἐκ τῆς Δύσεως εἰς τὴν Ἀνατολὴν κυλισθέντα πελώρια κύματα τῆς κακοδοξίας καὶ τῶν παραλόγων ἀπαιτήσεων πάντα συνετρίβησαν ἐξαφρωθέντα. Ἦν δ' οὗτος ὁ ἀοίδιμος ΦΩΤΙΟΣ· ὃς δεύτερον ἤδη ἐπὶ τὸν Πατριαρχικὸν θρόνον κοινῇ πάντων τῶν Ἀρχιερέων ἀναβιβάζεται ψήφῳ (τὴν 26 Ὀκτωβρίου τοῦ 878 ἔτους).

---

consommée dix ans plus tard par la réintegration de Photius (Grece—depuis la conquête Romaine jusqu' à nos jours, par M. Brunet de Presle et par M. Alex. Blanchet, p. 153. Paris 1860). Οὕτω καὶ ὁ Πάπας Ἰωάννης ἀγνωμοσύνης ἐλέγχει τὸν Ἰγνάτιον γράφων αὐτῷ· " *Oubliant les nombreux bienfuits que vous devez à la chaire Apostolique,* vous vous êtes élevé contre elle, et lui ravissant une de ses anciennes provinces, vous n'avez pas craint, contrairement aux lois divines, de mettre la faux dans la moisson d'autrui etc. (Ἴδε τὴν ἐπιστολὴν ταύτην Ἰωάννου παρ' Ἰαγέρῳ—σελ. 271).

[1] Ταύτην τὴν ἀπειλὴν Ἰωάννης ὁ Πάπας ἐποιήσατο πρὸς Ἰγνάτιον, τάδε λέγων κατὰ τὴν Ἰαγέρου μετάφρασιν (ἔνθ. ἀνωτ.)—" Que si vous ne les retirez dans ce temps (ἐν ἡμέραις δῆλον ὅτι τριάκοντα), et ne renoncez à toute juridiction sur la Bulgarie, *vous demeurerez privé du corps et du sang de Notre Seigneur jusqu' à ce que vous obéissiez, à commencer deux mois après la réception de cette lettre.* Si vous persistez avec obstination dans cet envahissement et dans votre indiscipline, et si vous ne chassez pas de leurs siéges les évêques que vous avez consacrés, ou que ceux-ci ont eux-mêmes consacrés pour cette contrée: *par le jugement du Dieu tout-puissant, par l'autorité du prince des apôtres et par notre propre sentence, soyez dépouillé de la dignité patriarcale que vous tenez de notre fateur, et privé entièrement de tous les priviléges attachés à la plénitude du sacerdoce.*" Τούτων δ' οὕτως ἐχόντων, ἡδέως ἄν τις Ἰάγερον ἔροιτο· πότερον, ἡ ὑπὸ Ἰγνατίου γενομένη τῷ Βάρδα ἐπιτίμησις τὸν τοῦ Θεανθρώπου χιτῶνα διέῤῥηξεν (ἴδε ἀνωτ. § κδ'), ἢ τῶν Παπῶν ἡ ἀντίχριστος αὕτη φιλοδοξία, τὸ "πάντων μὲν κρατέειν ἐθέλειν, πάντεσι δ' ἀνάσσειν, πᾶσι δὲ σημαίνειν," ὥσπερ δὴ καὶ ἐν τῷ ἔμπροσθεν λόγῳ ἐλέγομεν; (Ἴδε § λβ'. σημ.)

[2] " Ἐμάθομεν δὲ (ἔγραφε πρὸ τοῦ Ἰωάννου ὁ Πάπας Ἀδριανὸς πρὸς Ἰγνάτιον) καὶ ἄλλα πολλὰ ἐναντία τῶν Πατρικῶν ὅρων ὑμᾶς διαπράττεσθαι· ἀλλὰ δὴ καὶ τοῦτο. Τινὰς γὰρ νεωστὶ ἀπὸ τῶν λαϊκῶν ἄφνω Διακόνους ἐχειροτονήσατε, ἐναντία μὲν καὶ τοῖς πάλαι Πατράσιν, ἀλλὰ δὴ καὶ τῇ προσφάτως συναθροισθείσῃ Οἰκουμενικῇ Συνόδῳ. Οὐκ ἀγνοεῖτε δέ, ὅτι ἡ τοῦ Φωτίου πτῶσις ἐκεῖθεν τὴν ἀρχὴν ἔλαβεν." (Ἴδε τὴν Ἀδριανοῦ ἐπιστολὴν ἐν τοῖς Πρακτικοῖς τῆς ψευδογδόης Συνόδου).—Εἴ τις ταῦτα παραβάλοι τοῖς ὑπὸ τοῦ Πάπα Νικολάου πρὸς Φώτιον τότε γραφομένοις, ἐν οἷς ἐκεῖνος τὰ μὲν πρῶτα Φώτιον ἐπῄνει, καὶ ἐπεφυλάττετο, πρὸς τὸ τυχεῖν τοῦ ποθουμένου, ἔπειτα δὲ ἀποτυχὼν μυρίας συνέῤῥαψε κατ' αὐτοῦ κατηγορίας, καὶ πολλοῖς ἔβαλεν ἀναθέμασι, ῥαδίως ἂν κατανοήσειεν, ὅτι καὶ Ἰγνάτιος ταὐτὰ παθεῖν ἔμελλεν ὑπὸ τοῦ Ἀδριανοῦ καὶ τοῦ Ἰωάννου, εἰ μὴ προλαβὼν ἀπήλλαξεν αὐτὸν ὁ θάνατος.—Ἴδε καὶ τὰ περὶ τούτου Ἰαγέρῳ ἱστορημένα—σελ. 250, 252 καὶ 269.—

Digitized by Google

ν'. Ἀναλαβὼν οὖν τοὺς τῆς Ἐκκλησίας οἴακας ὁ σοφὸς κυβερνήτης, πρώτιστα μὲν πάντων τῆς κοινῆς ἐπεμελεῖτο εἰρήνης καὶ ὁμονοίας, πᾶσι κοινὸς ὤν, καὶ οὐδενὶ οὐδαμῶς ἀντιφερόμενος, οὐδὲ μνησικακῶν, ἀλλὰ κατὰ τὸν θεηγόρον Παῦλον, ἀξίως τῆς κλήσεως, ἧς ἐκλήθη, περιπατῶν, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενος πάντων ἐν ἀγάπῃ, καὶ σπουδάζων τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης·[1] ἔπειτα πᾶσαν ἐκ μέσου ἆραι διχοστασίας ἀφορμὴν προθυμούμενος, καὶ πάντων μάλιστα τὴν ἐκ τῆς Δύσεως προκύψασαν βλασφημίαν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος κατασβέσαι βουλόμενος, καὶ ψήφῳ Συνοδικῇ τὴν Ὀρθοδοξίαν ἀπὸ τῆς αἱρετικῆς ἐκείνης προφυλάξαι λύμης, Σύνοδον ἐπὶ τοῦτο μεγάλην συγκαλέσαι πείθει τὸν Αὐτοκράτορα.[2] Ὁ δὲ ἐκείνῳ τε πειθόμενος, καὶ τὰ ἑαυτῷ προημαρτημένα ἐπανορθώσασθαι προθυμούμενος, πρέσβεις ἀποστέλλει πρὸς τὸν Πάπαν Ἰωάννην Η', τήν τε ΦΩΤΙΟΥ ἀποκατάστασιν ἐξαγγέλλων αὐτῷ, καὶ ἅμα τοὺς ἰδίους τοποτηρητὰς εἰς Οἰκουμενικῆς Συνόδου συγκρότησιν ἀποστεῖλαι παρακελευόμενος. Ὁ δὲ Πάπας Ἰωάννης ἐν καιροῖς τότε ὢν χαλεποῖς, ἅτε τῶν Σαρακηνῶν εἰς Ἰταλίαν εἰσβεβληκότων, καὶ τὴν Ῥώμην αὐτὴν ἀπειλούντων, οὐδενὸς δὲ βοηθοῦντος αὐτῷ, ἀλλὰ πάσης βοηθείας ἐξ Ἀνατολῶν προσδοκωμένης, καὶ ἅμα τὰ τῆς Παπικῆς ἀλαζονείας αἴσχη καταφανῆ γενόμενα συγκαλύψαι βουλόμενος, οὐκ ἔγνω δεῖν τὸν Νικολάου καὶ Ἀδριανοῦ μιμήσασθαι τρόπον· ἀλλὰ τόν τε Φώτιον ἀνενδοιάστως νόμιμον Πατριάρχην ἀπεδέξατο, καὶ τὰς κατ' αὐτοῦ πρότερον γενομένας ἔν τε Ῥώμῃ καὶ ἐν Κωνσταντινουπόλει Συνόδους ἀδίκους ἐκήρυξε καὶ ἀκύρους, καὶ πρὸς πάντας γράφων παρεκελεύετο ΦΩΤΙΩι πειθαρχεῖν, ὡς πνευματικῷ πατρί, καὶ ἑαυτοῦ ἀδελφῷ καὶ συλλειτουργῷ· τοὺς δὲ μὴ πειθομένους τιμωρητέους εἶναι ἔλεγε, καὶ ἀναθέματι παρεδίδου. Ἰδίᾳ δὲ πρὸς τὸν Αὐτοκράτορα γράφων καὶ πρὸς ΦΩΤΙΟΝ αὐτόν, τά τε ἄλλα ἐπῄνει καὶ ἐθαύμαζεν αὐτούς, καὶ δὴ καὶ τὴν κατὰ ΦΩΤΙΟΥ γενομένην Σύνοδον τέλεον ἔλεγεν ἀκυρῶσαι καὶ ἐξοστρακίσαι καὶ ἀποβαλέσθαι· ἀλλὰ τῆς προθυμίας αὐτοῦ ταύτης μισθὸν

---

[1] Πρὸς Ἐφεσ. Δ', 1—5.

[2] Ἴδε περὶ τούτου καὶ τῶν ἐν τῇ μεγάλῃ ἐκείνῃ Συνόδῳ πεπραγμένων τὰς ὀρθὰς καὶ δικαίας σκέψεις Σπυρίδωνος τοῦ Ζαμπελίου ἐν ταῖς Βυζαντιναῖς αὐτοῦ μελέταις (σελ. 485—7).

[3] "Τὴν δὲ γενομένην κατὰ τῆς σῆς εὐλαβείας Σύνοδον ἐν τοῖς αὐτόθι ἠκυρώσαμεν, ἐξωστρα-"κίσαμεν παντελῶς, καὶ ἀπεβαλόμεθα κ.τ.λ." (Ἴδε ἐν τοῖς ἑξῆς τὰς Ἰωάννου ἐπιστολὰς—Πρακτ. τῆς Η' Συνόδου. Πρ. Β'). Ἐπὶ ταύτῃ δὲ τῇ παραδόξῳ μεταβολῇ δικαίως Μίλμανος ἐκπληττόμενος λέγει· "The Pope acknowledged the usurper, the monster of wickedness, the persecutor, the heretic, him who had dared to assert the co-equality, the supremacy of Constantinople to Rome, as the legitimate Patriarch." (History of Latin Christianity, etc. Tom. II. p. 357)· τοῦτ' ἔστιν—"Τὸν ἅρπαγα, τὸ τῆς πονηρίας τέρας, τὸν διώκτην, τὸν αἱρετικόν, τὸν τὴν ἰσοτιμίαν, μᾶλλον δὲ τὴν ὑπεροχὴν τῆς Κωνσταντινουπόλεως πρὸς τὴν Ῥώμην, ἰσχυρίσασθαι τολμήσαντα, τοῦτον ὁ Πάπας νόμιμον Πατριάρχην ἀνεγνώρισεν"!— Οἱ δὲ παπισταὶ πολλὰ διὰ τοῦτο τὸν Ἰωάννην κατακρίνουσιν, ἄνανδρον αὐτὸν λέγοντες καὶ θηλυδρίαν. Βαρώνιος δὲ καὶ προστίθησιν ἐντεῦθεν τὰ περὶ Παπίσσης Ἰωάννας ἱστορούμενα λαβεῖν τὴν ἀρχὴν (ἃ δὴ καὶ μῦθον ἀποκαλεῖ, εἰς ἔλεγχον δῆθεν τῆς τοῦ Πάπα Ἰωάννου ἀνανδρίας πλασθέντα),

Digitized by Google

ἠτεῖτο τὸ μηδαμῶς εἰς Βουλγαρίαν τὴν τῆς Κωνσταντινουπόλεως Ἐκκλησίαν ἐπεμβαίνειν, καὶ παντὸς ἐν ἐκείνῃ δικαιώματος ἀποστῆναι· καὶ τελευτῶν τοποτηρητὰς ὠνόμαζεν ἑαυτοῦ τοὺς τέως ἐν Κωνσταντινουπόλει διατρίβοντας Ἐπισκόπους, Παῦλον καὶ Εὐγένιον, οἷς προσετίθετο τρίτος ὁ τὰς ἐπιστολὰς κομίζων Πέτρος ὁ Πρεσβύτερος καὶ Καρδινάλιος.

νά. Ἐν τούτοις δὲ καὶ τῶν ἐκ τῆς Ἀνατολῆς τοποτηρητῶν καὶ τῶν ἄλλων Ἀρχιερέων ἐν Κωνσταντινουπόλει συνελθόντων, Σύνοδος ἐν τῷ ναῷ τῆς Ἁγίας Σοφίας συνεκροτήθη (ἐν μηνὶ Νοεμβρίῳ τοῦ ἔτους 879), πάντη τοῦ πρὸ ἐτῶν δέκα ἐν τῷ αὐτῷ ναῷ συνελθόντος ἐκείνου συνεδρίου διάφορος. Οὐδὲ γὰρ ὀλίγοι τινές, ὡς ἐν ἐκείνῳ, συνῆλθον,

---

ὅτι καὶ πρὸς εὐνοῦχον ὁ Ἰωάννης ἀντιστῆναι οὐκ ἐτόλμησε, Φώτιον καὶ τοῦτο πρὸς τοῖς ἄλλοις συκοφαντῶν καὶ ἐξυβρίζων ὁ ἀσεβὴς Καρδινάλιος. Ἀλλ' εἰ μὲν τὸ περὶ Παπίσσης ἱστορούμενον ὀρθῶς ἔχει, εἴτε μή, οὐ νῦν καιρὸς λέγειν· ἃ δὲ περὶ τούτου Μίλμανος Βαρωνίου κατειρωνεύεται οὐ παροπτέον· "Baronius supposes this *feminine* weakness of John VIII to have given rise to the fable of Pope Joan! Was an act of peace and conciliation the monstrous and painful travail, which revealed her sex?" (ἔνθ. ἀνωτ.)· τοῦτ' ἔστιν· "Βαρώνιος τὴν Ἰωάννου Η' θηλυπρεπῆ ταύτην ἀνανδρίαν ἀφορμὴν γενέσθαι τοῦ περὶ Παπίσσης Ἰωάννας μύθου ὑπολαμβάνει! Ἆρ' οὖν πρακτικόν τι ἦν εἰρήνης καὶ διαλλαγῆς ἡ τεραστία καὶ περιώδυνος λοχεία, ἡ τὸ γένος ἐκείνης ἀποκαλύψασα;"—Τὰ δὲ περὶ Ἰωάννου ὑπὸ Βαρωνίου λεγόμενα ἄλλοι τε τῶν Παπιστῶν διορθοῦν πειρῶνται ὅπως δήποτε, καὶ Λουδοβῖκος ὁ Τόστης, ἀκρισίας τὸν Καρδινάλιον γραφόμενος, ὅτι τὴν Ἰωάννου ἐκείνην πρᾶξιν "indignum facinus Romano Pontifice" ἐτόλμησεν ἀποκαλέσαι· ἐλέγχει δ' αὐτόν, ὅτι οὐδὲν πρὸς τοὺς καιροὺς ἀπέβλεψε, δι' οὓς Ἰωάννης ἐκεῖνα πράττειν ἠνάγκαστο· οὐδὲ τοῦτο ἐνεθυμήθη, ὅτι τῶν καιρῶν μεταβληθέντων, καὶ τῆς ἀνάγκης παρελθούσης (πρόσθες δὲ—καὶ τῆς Βουλγαρίας οὐκ ἀποδοθείσης—), πάντων ἐπιλαθόμενος τῶν προγεγενημένων ὁ Ἰωάννης, καὶ τὴν Νικολάου καὶ Ἀδριανοῦ ἀναλαβόμενος τόλμην, ἀναθέμασι Φώτιον ἐκεραύνωσεν. "Non avendo più paura di Saraceni, con la fortezza di Niccola, di Adriano, et dei Padri del Ottava Sinodo fulminò di anatemi Fozio et i suoi seguaci"—ἐκείνους δῆλον ὅτι, οὓς πρότερον ἀνεθεμάτιζεν, εἰ μὴ Φωτίῳ ἔποιντο, καὶ τοῦτον Πατριάρχην νόμιμον ἀνομολογοῖεν.—Καὶ τοιαύτη μὲν ἡ Τόστου ὑπεράσπισις καθ' ὧν Βαρώνιος περὶ τοῦ Πάπα Ἰωάννου εἰπεῖν ἐτόλμησεν (Stor. dell' orig. etc. Tom. I. p. 387—). Τὸ δὲ Φώτιον εὐνοῦχον γενέσθαι, ὅπερ Βαρώνιος αὐτὸν ὑβρίζων ἀποκαλεῖ, λῆρός ἐστιν ἄντικρυς καὶ ἀναπεπταμένη συκοφαντία, ἣν πρῶτος ὁ Καρδινάλιος ἐπλάσατο, ἀνίπτοις, ὡς ἔοικε, τοῖς ὀφθαλμοῖς τὴν πρὸς Ἰωάννην τὸν Πατρίκιον ἐπιστολὴν Φωτίου ἀναγνούς, καὶ ἀντιστρόφως αὐτήν, ὡς παρὰ τοῦ Ἰωάννου πρὸς Φώτιον στελλομένην, ἐκλαβών (Ἴδε Ἐπιστ. ΣΑ'). Εἰ δὲ καὶ ἄλλως ἀκατάκριτον τὸ καὶ Φώτιον τοῦτο παθεῖν ἐξ ἀνάγκης, ὅπερ δὴ καὶ Ἰγνάτιος καὶ ἄλλοι τῶν ἐπιφανῶν διὰ τὸ τότε βάρβαρον καὶ ἀποτρόπαιον ἔθος κατ' ἀνάγκην ὑπέστησαν, ὅμως δὲ τῆς ἀληθείας χάριν πολλοὶ τὴν Βαρωνίου ταύτην συκοφαντίαν ἐξήλεγξαν. Καὶ ὅρα μοι τὰ περὶ τούτου ἐν ἐκτάσει σημειωθέντα ὑπὸ τοῦ ἀοιδίμου Κωνσταντίνου Οἰκονόμου ἐν τῷ Δ' τόμῳ τῆς σοφῆς αὐτοῦ τετραβίβλου "Περὶ τῶν Ο' ἑρμηνευτῶν τῆς παλαιᾶς θείας Γραφῆς" (σελ. 755—7). Ἀλλὰ καὶ Φαβρίκιος (Ἑλλην. Βιβλιοθ. Τόμ. Α' σελ. 702 καὶ Τόμ. Ι' σελ. 671—2) μῦθον ἀποκαλεῖ τὸ Βαρωνίου τοῦτο ἱστόρημα, ὥσπερ δὴ καὶ ὁ τὴν Φωτίου βιογραφίαν ἐν τῷ Σμιθίου βιογραφ. Λεξικῷ συγγράψας. Ὅτι δὲ καὶ ἄλλοι τινὲς ἐκ Βαρωνίου παραλαβόντες εὐνοῦχον εἶπον τὸν Φώτιον, οὐδὲν θαυμαστόν· ἀνύβριστον γὰρ ἡγούμενοι εἶναι τὸ πρᾶγμα τοῖς ἐξ ἀνάγκης τοῦτο παθοῦσιν, ἀβασανίστως ὡς πιθανὸν παρεδέξαντο τὸ τοῦ Βαρωνίου. Διὰ δὴ τοῦτο καὶ Κοραῆς ὁ πάνυ, εἰ καὶ ἀλλαχοῦ (Συμβ. τῶν τριῶν Ἐπισκ. σελ. 17, σημ. ιβ') ἄκριτον ἱστορικὸν ἀποκαλεῖ τὸν Βαρώνιον, ὅμως ἐξ αὐτοῦ παραλαβὼν εὐνοῦχον λέγει γενέσθαι καὶ Φώτιον, οὐχ ὑβρίζων ἐκεῖνον (ἄπαγε!)· πολλαχοῦ γὰρ τῶν ἑαυτοῦ σοφῶν συγγραμμάτων ἐπαινέτης Φωτίου καὶ θαυμαστὴς φαίνεται (ἴδε ἐν τοῖς ἑξῆς τὴν ἐξ αὐτοῦ εἰλημμένην μαρτυρίαν)· ἀλλὰ τοῖς ἄλλοις ἐπισήμοις ἀνδράσιν, οἳ τὴν βάρβαρον ταύτην ὑπέστησαν ἐκτομήν, συναριθμῶν (Κοραῆ Ἄτακτα—Τόμ. Ε', σελ. 82 ἐν λέξει "εὐνοῦχος").—Ἴδε περὶ τούτου καὶ Ἀμφιλοχ. προλεγ. σελ. ιγ', σημ. ά.

Digitized by Google

οὐδὲ πρέσβεις Σαρακηνῶν, ὡς ἀντιπρόσωποι δῆθεν Πατριαρχικῶν θρόνων, παρέστησαν· ἀλλὰ τῶν τε θρόνων ἐκείνων οἱ νόμιμοι τοποτηρηταί, καὶ οὓς προείπομεν τρεῖς τοῦ Πάπα Ἰωάννου Η', καὶ τῶν ἄλλων Ἀρχιερέων οἱ πρόκριτοι καὶ λογάδες, ὥστ' εἰς τρεῖς καὶ ὀγδοήκοντα καὶ τριακοσίους ἀριθμεῖσθαι τοὺς συνελθόντας· ὧν ὁ ἱερώτατος προεξῆρχε ΦΩΤΙΟΣ. Ἐν τῇ τοιαύτῃ οὖν καὶ τηλικαύτῃ Συνόδῳ πᾶσα διχονοίας καὶ διχοστασίας ἀπεσκορακίσθη πρόφασις, κοινῇ πάντων τὰ ΦΩΤΙΩι γενόμενα κατακρινάντων ἀδικήματα, καὶ τοῦτον νομιμώτατον γενέσθαι Πατριάρχην ἀνομολογησάντων, ἐπὶ πᾶσι δὲ ἰδίοις ἰδεῖν ὀφθαλμοῖς καὶ ἀκριβῶς εἰδέναι μαρτυρησάντων, ὅτι ἄκων καὶ ἑλκόμενος ἀνῆλθε τὸ πρῶτον ἐπὶ τὸν Πατριαρχικὸν θρόνον. Οὕτω μὲν οὖν ἡ ἁπασῶν τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ ἕνωσις ἐστερέωται. Περὶ δὲ Βουλγαρίας γενομένου λόγου, καὶ τῶν τοῦ Πάπα τοποτηρητῶν, καθ' ἃ προφορικῶς τε καὶ ἐγγράφως αὐτοῖς ἐνετέταλτο, τὴν Σύνοδον ἐπερωτησάντων, εἰ τὴν τοῦ Πάπα αἴτησιν ἀποδέχοιντο, ὁμοφώνως ἀπεφήναντο μὴ αὐτῶν εἶναι περὶ τούτου κρίνειν· οὐ γὰρ εἰς τὸ διαστέλλειν ἐνορίας συνῆλθον.[1]

νβ'. Ταῦτα μέν, καὶ ἕτερα τὴν Ἐκκλησιαστικὴν εὐταξίαν κρατύνοντα, ἐν ταῖς πρώταις πέντε τῆς Συνόδου συνεδριάσεσιν ἐκρίθη τε καὶ κοινῇ πάντων ἐψηφίσθη ψήφῳ· καὶ κανόνες ἐγράφησαν τρεῖς, ὧν ὁ μὲν πρῶτος τὴν τῆς Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας ἕνωσιν καὶ ὁμόνοιαν ἐβεβαίου, οἱ δὲ λοιποὶ δύο πρὸς τὴν Ἐκκλησιαστικὴν ἀπέβλεπον τάξιν.[2] Τὴν ἕκτην δὲ συνεδρίασιν ἐν τῷ παλατίῳ τοῦ χρυσοτρικλίνου ἐποιήσαντο, ἐν ᾗ παρῆσαν ὅ τε Αὐτοκράτωρ μετὰ τῶν υἱῶν αὐτοῦ, καὶ οἱ τοῦ Πάπα τοποτηρηταί, καὶ τῶν ἐγκριτοτέρων Ἀρχιερέων ὀκτωκαίδεκα μετὰ ΦΩΤΙΟΥ τοῦ Πατριάρχου. Προηγόρευε δ' ἐν ἐκείνῃ τῇ συνεδριάσει ὁ Αὐτοκράτωρ, λέγων, ὅτι ταῖς μὲν προγενομέναις συνεδριάσεσιν οὐ παρεγένετο, ὅπως μηδενὶ ἐξῇ λέγειν, ὅτι παρὼν τὰς τῶν Πατέρων ἐδέκασε ψήφους·[3] νῦν δὲ, τῆς εἰρήνης ἐπελθούσης, καὶ τῆς τῶν Ἐκκλησιῶν ἑνώσεως ἀδεκάστῳ τῶν συνελθόντων βουλῇ καὶ γνώμῃ καταπραχθείσης, ἔδοξε δὴ καλῶς ἔχειν, αὐτοῦ παρόντος καὶ προεξάρχοντος, ὁμοφώνως ἅπαντας τὸ τῆς Πίστεως Σύμβολον, ὡς τινα θείαν καὶ ἱερὰν τῶν καλῶς περὶ εἰρήνης καὶ ὁμονοίας δεδογμένων ἐπισφράγισιν, ἀναφωνῆσαι. Πάντων δὲ τὸν λόγον τοῦτον ἐπαινεσάντων καὶ ἀποδεξαμένων, Πέτρος μὲν ὁ θεοφιλέστατος Διάκονος καὶ Πρωτονοτάριος, ΦΩΤΙΟΥ κελεύσαντος, ἀνέγνω τὸ Σύμβολον· οἱ δὲ παρόντες ἅπαντες ἅμα τοῖς τοῦ Πάπα τοποτηρηταῖς ἐπεβόησαν· " Πάντες οὕτω φρονοῦμεν, οὕτω πιστεύομεν. Ἐν ταύτῃ τῇ ὁμολογίᾳ ἐβαπτίσθημέν τε " καὶ τοῦ ἱεροῦ βαθμοῦ ἠξιώμεθα· τοὺς ἑτέρως δὲ παρὰ ταῦτα φρονοῦντας τῷ ἀναθέματι

---

[1] Ἴδε Πρακτ. πράξ. Δ'.

[2] Ἴδε τοὺς κανόνας τούτους ἔν τε τοῖς Πρακτικοῖς (Πρᾶξ. Ε') καὶ ἐν τῷ Συντάγματι τῶν Κανόνων ὑπὸ Γ. Α. Ῥάλλη καὶ Μ. Ποτλῆ (Τόμ. Β' σελ. 705—712).

[3] Καὶ ὅμως ὁ λῆρος Τόστης καὶ περὶ τούτου φησὶ τόν τε Αὐτοκράτορα καὶ τοὺς υἱοὺς αὐτοῦ Φωτίῳ πάντα συνεργεῖν, τὴν τῶν Ἀρχιερέων ἐκβιάζοντας ψῆφον. " L'imperadore co'suoi figli v'intervenne coprendo del suo favore Fozio, e snervando l'animo di que' Vescovi, che per piacergli disertavano le sacrosante ragioni della Chiesa." (ἔνθ. ἀνωτ. σελ. 411).

Digitized by Google

" καθυποβάλλομεν κ.τ.λ." Μετὰ δὲ τοῦτο ὅ τε Αὐτοκράτωρ μετὰ τῶν υἱῶν τῇ ἰδίᾳ ἕκαστος ὑπογραφῇ τὰ γενόμενα ἐπεσημήναντο· καὶ τῇ ἐπαύριον (13 Μαρτίου) αὖθις ἡ γενικὴ Σύνοδος ἐν τῷ ναῷ τῆς Ἁγίας Σοφίας εἰς ἑβδόμην ταύτην καὶ τελευταίαν συνεδρίασιν συνελθοῦσα, τὰ τῇ προτεραίᾳ ἐν τῷ παλατίῳ γενόμενα ἔγνω· καὶ πάντες ταῦτα ἐν χαρᾷ καὶ ἀγαλλιάσει ἀπεδέξαντο, τοῦ τε Αὐτοκράτορος καὶ ΦΩΤΙΟΥ τοῦ Πατριάρχου καὶ Ἰωάννου τοῦ Πάπα ὑπερευχόμενοι· εἰ δέ τις ΦΩΤΙΟΝ μὴ βούλοιτο γινώσκειν Πατριάρχην ἅγιον, ἔστω, ἔλεγον, ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα.[1]

νγ'. Οὕτως οὖν τὸ δεύτερον εἰς τὸν Πατριαρχικὸν ἀναβὰς θρόνον ὁ ἀοίδιμος ΦΩΤΙΟΣ, πάσῃ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ τὴν εἰρήνην ἐπρυτάνευσε, καὶ τὴν Ὀρθοδοξίαν ἐκράτυνεν, αὖθις τὴν Παπικὴν καταστείλας ὀφρύν.[2] Ὁ δὲ Πάπας Ἰωάννης, τῶν ἰδίων αὐτοῦ τοποτηρητῶν εἰς Ῥώμην ἐπανελθόντων, τὰ ἐν τῇ Συνόδῳ γενόμενα πάντα καταμαθών, ἔγραψε πρὸς τὸν Αὐτοκράτορα, τὰ μὲν ἄλλα τῆς Συνόδου ἀποδεχόμενος, καὶ εὐεργέτην αὐτὸν ὀνομάζων δι' ἣν ἀπέστειλε κατὰ τῶν Σαρακηνῶν δύναμιν, τὰ δὲ περὶ Βουλγαρίας αὖθις ἀνακινῶν, καί πως ἀπειλῶν, εἰ μὴ τύχοι τοῦ ποθουμένου· ταύτην δὲ τὴν ἐπιστολὴν διὰ τοῦ Ἐπισκόπου Μαρίνου, ἢ Μαρτίνου, ἀπέστειλε τῷ Αὐτοκράτορι. Ὁ δὲ Μαρῖνος οὗτος εἷς ὢν ἐτύγχανε τῶν πρότερον εἰς τὸ κατὰ ΦΩΤΙΟΥ συνελθὸν ἐκεῖνο συνέδριον ἀποσταλέντων τοποτηρητῶν τοῦ Πάπα Ἀδριανοῦ, θρασύς τις, ὡς ἔοικε, καὶ οἰηματίας ἀνήρ, ταὐτὰ καὶ νῦν ἐλπίζων ὑπὲρ τοῦ Πάπα διαπράξεσθαι, ἅπερ καὶ πρότερον ἐπὶ Ἰγνατίου. Ὡς δὲ λέγων οὐκ ἔπειθε τὸν Αὐτοκράτορα, ἄλλως νῦν ἢ τότε φρονοῦντα, θρασυνόμενος πρὸς αὐτὸν καὶ πολλὰ καταυθαδιάζων, τότε μὲν ἀξίαν ἔδωκε δίκην τοῦ θράσους, ἐν εἱρκτῇ κατακλεισθείς· ἔπειτα δὲ εἰς Ῥώμην ἀπεπέμφθη, οὐδὲν ἀνύσας ὧν ἤλπιζεν.

νδ'. Νέαι τοίνυν διὰ τὰς ἐκ Ῥώμης ἀπαιτήσεις ταραχαί, καὶ νέαι πάλιν ἀπειλαί, καὶ νέα πάλιν κατὰ ΦΩΤΙΟΥ ἀναθέματα. Ὁ μὲν γὰρ Πάπας Ἰωάννης ἀποθνήσκει

---

[1] Ἀκριβέστερον τὰ τῆς Συνόδου ταύτης διελθεῖν περιττὸν ᾠήθην εἶναι, ὡς τῶν Πρακτικῶν αὐτῆς ἐν τοῖς ἑξῆς προστιθεμένων, καὶ ἐν ἐκείνοις ἔχοντος ἑκάστου τὰ γενόμενα ὁρᾷν ἀκριβέστατα. Ὅτι δὲ καὶ κατὰ τῆς Συνόδου ταύτης οἱ Παπισταὶ κατεξανίστανται, πολλὰ κατ' αὐτῆς λέγοντες, ἔνιοι δὲ μηδὲ γενέσθαι τὸ παράπαν λέγειν τολμῶντες, ἀλλὰ Φώτιον πάντα καθ' ἑαυτὸν συσκευάσαι, καὶ τοῦτο λέγειν περιττόν. Ἱκανῶς δὲ καὶ τὰς φλυαρίας αὐτῶν ταύτας ἄλλοι τε πολλοὶ καὶ Δοσίθεος ὁ ἱεράτατος Πατριάρχης ἀνεσκεύασεν ἐν τῷ ΙΣΤ' κεφαλαίῳ τοῦ Τόμου Χαρᾶς (σελ. 124 κ. ἑφεξ.), ὃ ἐπιγέγραπται· " Ἀντιθέσεις τῶν Λατίνων κατὰ ταύτης τῆς ἐπὶ Φωτίου Συνόδου, καὶ λύσεις αὐτῶν." Λογικώτατα δὲ καὶ Βασνάγιος (Hist. de l'Eglise, Tom. I. p. 584—590) πάσας καταστρέφει τὰς τῶν Παπιστῶν μέμψεις, μάλιστα δὲ τὰς Ἀλλατίου, ὃν δικαίως ἀποκαλεῖ "plus zêlé pour Rome que les Latins mêmes"—καὶ τῶν Παπιστῶν αὐτῶν Παπιστότατον.—Ἴδε καὶ Ἀμφιλοχ· προλεγ. (σελ. μέ, σημ. ά) καὶ Παπιστ. ἐλέγχ. Τόμ. Β', σελ. 212—4 καὶ 227—260.—Ἰάγερος δὲ κἂν τούτοις εἰς πλάτος λέγει τὰ ἑαυτοῦ (Hist. de Photius, p. 282—338), προχειροτάτους ἔχων τοὺς μαρτυροῦντας αὐτοῦ τοῖς λόγοις, Νικήταν τε τὸν Παφλαγόνα καὶ τὸν τὸ σαθρὸν αὐτοῦ οἰκοδόμημα ὑποβαστάζοντα στῦλον Στυλιανὸν Μάπαν τὸν Νεοκαισαρείας. Ὁ δὲ Φλευρῆς τὸ μὲν γενέσθαι τὴν Σύνοδον οὐ φαίνεται ἀρνούμενος, τὰ δὲ πρακτικὰ ταύτης ἐξ ἀντιγράφου ἐρανισάμενος, ὅπερ ἐκ Ῥώμης ἔλαβε Βελούζιος, ἐξέδωκε Γαλλιστὶ ἐν τῇ Ἐκκλ. αὐτοῦ Ἱστορίᾳ (Tom. XI. p. 411—439).

[2] Ἴδε Παπιστ. ἐλέγχ. Τόμ. Β', σελ. 243 κ. ἑξ.

Digitized by Google

μετ' οὐ πολύ· Μαρῖνος δέ, οὗτος δὴ ὁ ἐν Κωνσταντινουπόλει τῇ Βασιλείου κελεύσει καθειρχθείς, ἐκεῖνον διαδέχεται· ὃς ἄλλως οὐ δυνάμενος παρὰ Βασιλείου δίκην λαβεῖν τῆς καθείρξεως, ἀρκοῦσαν ἐνόμισε δίκην τὸ ΦΩΤΙΟΝ ἀναθεματίσαι.[1] Τὰ δ' αὐτὰ καὶ ὁ τὸν Μαρῖνον, ἐν βραχεῖ τελευτήσαντα, διαδεξάμενος Ἀδριανὸς Γ' ἔπραξεν. Τηνικαῦτα δὴ καὶ Βασίλειος δικαίως ἐπὶ τούτοις ἀγανακτήσας, πικρὰν ἔγραψε τῷ Ἀδριανῷ ἐπιστολήν, ἐν ᾗ πολλὰ τὴν Παπικὴν ἀλαζονείαν ἐξήλεγχε, καὶ τὰς παρανόμους καὶ τυραννικὰς αὐτῆς κατέκρινε πράξεις. Οὐ μὴν Ἀδριανὸς τὴν Βασιλείου ταύτην ἐπεῖδεν ἐπιστολήν, ἅτε καὶ οὗτος ἐν βραχυτάτῳ τελευτήσας· ἀλλὰ ταύτην ἐδέξατο Στέφανος Ε', ὁ τὸν Ἀδριανὸν διαδεξάμενος, ὃς καὶ ἀντέγραψε πρὸς τὸν Αὐτοκράτορα, πολλά τε καὶ ἄλλα κατακομπάζων, καὶ τὰς προνομίας τῆς ἐν Ῥώμῃ Ἐκκλησίας ἐξαριθμῶν, καὶ τὰ πολυθρύλλητα " Σὺ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν," καὶ τὸ " Δώσω σοι τὰς κλεῖς τῆς Βασιλείας τῶν οὐρανῶν " μετὰ πολλοῦ τοῦ στόμφου ἀναμιμνήσκων τὸν Αὐτοκράτορα· τελευτῶν δὲ καὶ οὗτος ἔβαλλε κατὰ τοῦ κοινοῦ τῆς Ῥώμης σκοποῦ, ΦΩΤΙΟΥ κατατοξεύων, καὶ οὐ λέγων αὐτὸν Πατριάρχην ἐπιγινώσκειν, καὶ τ' ἄλλα τὰ συνήθη καὶ τετριμμένα κατ' αὐτοῦ ἐξερευγόμενος.[2]

---

[1] *Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ.* 318 *καὶ* Mosheim Tom. II. p. 245—6 *τῆς Ἀγγλ. μεταφρ. ὑπὸ* J. Murdock. London, 1841.

[2] *Ἴδε ταύτην τοῦ Πάπα Στεφάνου τὴν ἐπιστολὴν ἐν τέλει τῶν Πρακτικῶν τῆς ψευδογδόης Συνόδου, καὶ ὄψει τὸν ἄνθρωπον ἐν λεοντῇ τὴν ἀλωπεκῆν προσερράμμενην φερούσῃ λαλοῦντα τῷ Αὐτοκράτορι, καὶ πῇ μὲν βρυχώμενον, πῇ δὲ καὶ θωπεύοντα. Ταύτην δὲ καὶ Ἰάγερος ἐν τῇ Ἱστορίᾳ αὐτοῦ παρεντίθησιν, ὡς πολλοῦ ἀξίαν, καὶ τῇ Φωτίου, δι' ὃν γέγραπται, ἀνήκουσαν ἱστορίᾳ·* " comme une lettre d'une grande importance, et qui appartient à l'histoire de Photius, qui l'avait provoquée " (p. 377—382). *Ἀλλ' ἡμεῖς τῆς ἐπιστολῆς ταύτης ἓν τοῦτο μόνον ἐθαυμάσαμεν μάλιστα, ἐν ᾧ λέγει ἀρχόμενος·* " *Καθ' ὃν οὖν τρόπον ἐκ Θεοῦ τὸ ἄρχειν τῶν βιωτικῶν ὑμῖν δέδοται, οὕτω καὶ ἡμῖν διὰ τοῦ κορυφαίου* " *Πέτρου τὸ ἄρχειν τῶν πνευματικῶν. Δέξαι, παρακαλῶ, εὐμενῶς τὰ ἑξῆς. Ἐδόθη σοι φροντίζειν, ἵνα* " *τῶν τυραννούντων τὸ ἄθεον καὶ θηριῶδες τῷ ξίφει τῆς Ἀρχῆς διατέμῃς, ἵνα πράττῃς δίκαια τοῖς ὑπὸ* " *χεῖρα, ἵνα νόμους συγγράφῃς, ἵνα γῇ τε καὶ θαλάσσῃ τὰ πολεμικὰ στρατεύματα διευθετῇς. Αὕτη* " *ἐστὶ τῆς ἡμετέρας Ἀρχῆς ἡ φροντίς· τὸ δὲ καταπιστευθὲν ἡμῖν ποίμνιον τοσοῦτόν ἐστιν ὑψηλότερον,* " *ὅσον διάφορον οὐρανοῦ πρὸς τὰ ἐπὶ γῆς.*" *Θαυμαστά γε ταῦτα καὶ μάλιστα πρέποντα Θεοῦ Ἀρχιερεῖ, καλῶς εἰδότι τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ ἀποδιδόναι· ὅμοια δὲ καὶ οἷς πολὺ πρὸ τοῦ Στεφάνου Ὅσιος ἔγραφεν ὁ Κορδούβης Ἐπίσκοπος πρὸς Κωνστάντιον τὸν Αὐτοκράτορα,* "*Οὔτε τοίνυν ἡμῖν ἄρχειν ἐπὶ τῆς γῆς ἔξεστι, οὔτε σὺ τοῦ θυμιᾶν ἐξουσίαν ἔχεις, Βασιλεῦ.*" (*Ἴδε τὴν ἐν § λβ' σημ.*). *Πολλῆς οὖν ἐστιν ἀπορίας ἄξιον, ὅτι Ἰάγερος τὴν κατ' αὐτὸν σπουδαιοτάτην ταύτην ἐπιστολὴν οὐ συνεῖδε καταδίκην οὖσαν περίτρανον τοῦ τε Πάπα Νικολάου (ἐν αὐτὸς Ἰάγερος πολλὰ καὶ μεγάλα ἐπῄνεσεν, ὡς τὴν πληρεστάτην τῆς Παπικῆς Ἀρχῆς ἰδέαν ἔχοντα, τὸ Ἡγεμόνων καὶ τυράννων κρατεῖν, καὶ τούτων ἄρχειν, ὡς ὁ Θεὸς τοῦ σύμπαντος Κόσμου. Ἴδε τὴν προειρημένην σημ.*), *καὶ πάντων τῶν Στεφάνου διαδόχων, τῶν μέχρι καὶ νῦν ἐν μὲν τῇ Ἐκκλησίᾳ θυμιώντων καὶ δεσμευόντων καὶ λυόντων, ἐν δὲ τῇ πολιτείᾳ νομοθετούντων, καὶ γῇ τε καὶ θαλάσσῃ τὰ πολεμικὰ διευθετούντων, καὶ ἄλλα πολλὰ πραττόντων, ἐφ' οἷς διωλύγιον οἱ ὑπ' αὐτῶν τυραννούμενοι ἀνακράζουσιν·* " *Ἅλις τῶν κακῶν! Βασιλέα Πάπαν, ἢ Πάπαν Βασιλέα ἡ Ἰταλία οὐ δέχεται.*" (*Ἴδε τὴν ἐν § δ'. σημ.*). *Οὕτως Ἰάγερος αὐτὸς ἑαυτῷ περιπίπτων εὐάλωτος γίνεται, καὶ δικαίαν παρέχει τὴν ἀφορμὴν ἐπᾴδειν αὐτῷ τὸ τοῦ θείου Γρηγορίου·* " *Εὐάλωτον ἡ πονηρία, καὶ πανταχόθεν ἑαυτῇ περιπίπτουσα.*" *Ἀλλὰ καὶ ἀλλαχοῦ τῆς ἑαυτοῦ Ἱστορίας* (σελ. 323) *τοὺς μὲν Αὐτοκράτορας ἐλέγχων,*

Digitized by Google

νέ. ΦΩΤΙΟΣ *δὲ πάντων τῶν λεγομένων καὶ πραττομένων ἐν Ῥώμῃ καταφρονῶν, ὅτι μὴ μόνου τοῦ νῦν ἐπὶ μᾶλλον διαδιδομένου θεοστυγοῦς τολμήματος, τῆς ἐν τῷ Συμβόλῳ προσθήκης "καὶ ἐκ τοῦ Υἱοῦ," ταύτην μὲν κατεκεραυνοβόλει, πρός τε ἄλλους τῶν Ἀρχιερέων θαυμαστὰς καὶ πλήρεις χάριτος καὶ εὐσεβείας γράφων ἐπιστολάς, καὶ δὴ καὶ πρὸς Ἰωάννην τὸν Ἀκυληίας Μητροπολίτην τὴν ὑπερθαύμαστον ἐκείνην, πᾶσι παρακελευόμενος ἀγρυπνεῖν, καὶ σκοπεῖν τοὺς τὰς διχοστασίας καὶ τὰ σκάνδαλα ποιοῦντας παρὰ τὴν διδαχήν, ἣν παρὰ τοῦ Σωτῆρος καὶ τῶν μαθητῶν αὐτοῦ παρέλαβον· τοὺς δὲ παρ' ἑαυτῷ διετέλει διδάσκων ἀπὸ τῆς Πατριαρχικῆς ἕδρας, ἐφ' ἣν ὡς πολύφωτος ἐπὶ τὴν λυχνίαν ἐτέθειτο λύχνος, τὰ σωτήρια καὶ ἀσφαλῆ τῆς Ὀρθοδοξίας δόγματα. Βασίλειον δὲ τὸν Αὐτοκράτορα εἰς ἔργα παροτρύνων ἀγαθά, ἀντὶ τοῦ κατεδαφίζειν, ὥσπερ πρότερον, οἰκοδομεῖν καὶ ἀνοικοδομεῖν ναοὺς ἐποίησε, καὶ τούτους κόσμῳ καταλαμπρύνειν πολυτελεῖ. Λέγεται γὰρ εἰς δύο καὶ τεσσαράκοντα ναοὺς οἰκοδομῆσαι τὸν Βασίλειον ἐν Κωνσταντινουπόλει καὶ ἀλλαχοῦ. Ἔτι δὲ πρὸς τούτοις καὶ τὴν τῶν πολιτικῶν νόμων ἐπεξεργασίαν,* ΦΩΤΙΟΥ *συνεπιλαμβανομένου,*[1] *ἐποιήσατο Βασίλειος τότε, τοὺς καλουμένους Προχείρους νόμους συντάξας, οἵπερ συνοπτικὴ τῆς πάσης νομοθεσίας ἦσαν συλλογή, καὶ τὰ καλούμενα Βασιλικά, ἐν οἷς ἀλλήλων διεκρίθησαν ὅσοι τῶν παλαιῶν νόμων τῷ χρόνῳ ἄκυροι ἐγένοντο, καὶ οἱ ἐς τοὐπιὸν ἰσχύειν καὶ κρατεῖν μέλλοντες. Τηνικαῦτα δὲ καὶ ἴδιον ἐξεπόνησε Νομικὸν ἔργον ὁ σοφώτατος* ΦΩΤΙΟΣ, *τὸν οὕτω καλούμενον Νομοκάνονα, περὶ οὗ ἐν οἰκείῳ τόπῳ εἰρήσεται τὰ προσήκοντα. Οὐ μὴν ἀλλὰ καὶ τὰς Βασιλείου παραινέσεις πρὸς τὸν υἱὸν Λέοντα εἴ τις πρὸς τὰ* ΦΩΤΙΩι *συμβεβουλευμένα τῷ Βουλγαρίας Ἄρχοντι ἀντιπαραβάλοι (τοιαύτην δ' ἡμεῖς ἀντιπαραβολὴν πολλαχοῦ τῆς ἐπιστολῆς ἐκείνης ἐποιησάμεθα), οὐκ ἂν ἀπεικότως ἔκ τε τῆς φράσεως καὶ τῶν ἐν αὐταῖς θρησκευτικῶν τε καὶ πολιτικῶν ἐννοιῶν τεκμαίροιτο κακεῖνο τῆς ἀριστογράφου δεξιᾶς* ΦΩΤΙΟΥ *ἔργον εἶναι.*

ὡς ἀθεμίτως τοῖς Ἐκκλησιαστικοῖς ἐπεμβαίνοντας πράγμασιν, Ὅσιον δὲ τὸν προειρημένον Ἐπίσκοπον Κορδούβης, καὶ τοὺς Πάπας Γελάσιον καὶ Σύμμαχον ἐπαινῶν, ὥσπερ δὴ καὶ ἐνταῦθα τὸν Στέφανον, ἔλαθεν ἑαυτὸν τοὺς μετέπειτα Πάπας, τοὺς τἀναντία ἐκείνοις φρονήσαντας καὶ πράξαντας, κατακρίνων, καὶ ἄκων Φώτιον ἐπαινῶν, ὃς τὴν ἀλαζόνα Νικολάου τοῦ Πάπα ὀφρὺν γενναίως πάνυ καὶ ὀρθοδόξως ἐπάταξεν.

[1] Toutefois Photius ne paraît pas avoir été complètement étranger à la rédaction de ces travaux, et la main du Patriarche s'y décèle dans plusieurs occasions. Ainsi dès le début de la préface de l'*Epanagoge*, les Empereurs se livrent à une controverse sur l'origine et la nature de la loi, avec la pensée manifeste de combattre l'hérésie naissante du Manichéisme, et leur discussion reproduit fidèlement la théorie développée par Photius dans divers écrits dirigés contre cette erreur. Selon toute vraissemblance, Photius, esprit universel, qui s'occupait alors de travaux sur les lois et sur les canons, dut lui-même activemeut concourir ou présider à la rédaction de cette préface et à la Révision du *Prochiron*. C'est par ce concour seulement qu'il est possible d'expliquer cette circonstance singulière que divers chapitres de l'Epanagoge sont indiqués par quelques annotations marginales du manuscrit Bodleien 173, comme provenant de ce Patriarche, et ces annotations sont à leur tour une preuve non équivoque de ce concours. (Mortreuil. Hist. du droit Byzantin, etc. Tom. II. p. 56—57).

Digitized by Google

νστ'. Οὕτως ἄρα τοῖς βασιλεῦσιν αἴτιοι πολλάκις ἁμαρτάνειν οἱ πονηροὶ γίνονται σύμβουλοι· ἀγαθὰ δ' ἐργάζεσθαι καὶ ἄξια ἑαυτῶν οἱ χρηστοὶ καὶ φιλοδίκαιοι. Κατὰ μὲν γὰρ τὸν ἀπὸ σκηνῆς φιλόσοφον,

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ· [1]

κατὰ δὲ τὸν φιλόπατριν Ἰσοκράτην, "Σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων κτημάτων ἐστίν." [2] Διὰ δὴ τοῦτο ἄλλοι τε πολλοὶ πολλὰ τοῖς βασιλεῦσι περὶ κτήσεως φίλων παρήνεσαν, καὶ ΦΩΤΙΟΣ *αὐτὸς Μιχαὴλ τῷ Βουλγαρίας Ἄρχοντι καὶ τάδε περὶ τούτου παρήνει. "Κτῶ τοίνυν φίλους, μὴ τοὺς φαύλους, ἀλλὰ "τοὺς ἀρίστους· ἐκ γὰρ τῶν φιλουμένων ὡς τὰ πολλὰ κρίνεται τὰ ἤθη τῶν φίλων. "Καὶ διὰ μὲν τῶν σπουδαίων ῥᾷον ἄν τις, καὶ παρασφαλεὶς, ἐπαναχθείη· οἱ φαῦλοι "δὲ καὶ τὴν προσοῦσαν λυμαίνονται καλοκαγαθίαν. Καὶ οἱ μὲν καὶ τὸ λεῖπον εἰς "ἀρετὴν δι' ἑαυτῶν ἐπιτειχίζοντες, ἀνελλιπὲς φαίνεσθαι ποιοῦσιν· ἡ δὲ πρὸς τοὺς φαύλους "ἐπιμιξία, καὶ ὅπερ ἐστὶν ὑπόλοιπον ἀρετῆς, νόθον ἀποφαίνει." [3] Τὸ δὲ τῆς ἀληθείας ταύτης μέγεθος ἔν τε ἄλλοις τῶν Ἡγεμόνων, καὶ ἐν Βασιλείῳ μάλιστα δῆλον ἐγένετο. Τὸ μὲν γὰρ πρῶτον ὑπὸ φίλων φαύλων πολὺ τῆς κατὰ Θεὸν ὁδοῦ καὶ πολιτείας ἐξέκλινε, καὶ πλεῖστα κακὰ καὶ ἀνόσια διεπράξατο ἔργα·* [4] *ἔπειτα δὲ διὰ* ΦΩΤΙΟΝ *τά τε προημαρτημένα ἐπηνωρθώσατο, καὶ φήμην ἀνδρὸς θεοσεβοῦς καὶ δημοκηδοῦς Ἡγεμόνος ἐκτήσατο.* [5]

νζ'. Ἐν μηνὶ δὲ Αὐγούστῳ τοῦ 886 *ἔτους Βασίλειος μὲν ὁ Αὐτοκράτωρ ἐτελεύτησε τὸν βίον, Λέων δὲ ὁ υἱὸς ἐκείνου, ὁ Σοφὸς ἐπικληθείς, διεδέξατο τὴν Ἀρχήν. Τοῦτον δὴ τὸν Λέοντα οὐ μόνον ἐξεπαιδεύκει* ΦΩΤΙΟΣ, *ἀλλὰ καὶ ὡς υἱὸν ἴδιον ἠγάπα, καὶ ἐνουθέτει τὰ προσήκοντα· καί ποτε διαβληθέντα πρὸς τὸν πατέρα, ὡς ἐπιβουλεύοντα αὐτῷ, καὶ τὰς*

---

[1] *Εὐριπ. παρὰ Στοβ. ἐν Ἀνθολ. ΜΗ', 5.*

[2] *Πρὸς Νικοκλ. § ιέ.*

[3] *Ἴδε τῆς Ε' ἐπιστ. § μ'.*

[4] *Ταῦτα ἐν τοῖς Ἀμφιλοχ. προλεγ. (σελ. λδ', σημ. ε) ἴδοι τις ἂν ἐξαριθμούμενα.*

[5] *Ἰάγερος δὲ τὰ μὲν ἄλλα θαυμάζει Βασίλειον, εἰς δὲ τὰ τῆς Ἐκκλησίας ἐπαινετὸν ἅμα καὶ ἐπίμεμπτον εὑρίσκει.* "L'Eglise (λέγει) eut à se louer comme à se plaindre de son gouvernement. Il avait d'abord réparé une grande injustice, et ramené la paix dans l'Eglise de Constantinople en rétablissant Ignace dans sa première dignité, en le soutenant contre ses adversaires et en favorisant tous les efforts de son zèle. *Ἐξαριθμῶν δὲ τὰ Βασιλείου ἔργα, καὶ ἐξυμνῶν αὐτά, δείκνυσι τέλος καὶ τὸ ἐπίψογον, αἴθις τὰ περὶ τοῦ ΒΕΚΚΑΣ ἐκεῖνα ὑπαινιττόμενος καὶ ἀναμασῶν, ὅπως Βασίλειον ἐκ ματαιοφροσύνης ὑπὸ Φωτίου ἐξηπατημένον ἐπιδείξῃ· καί φησιν ὁ ἄκριτος Ἱστορικός·* "Mais la vanité qu'il avait d'ajouter la naissance à son mérite personnel lui a fait ternir sa gloire. Il s'est laissé séduire et exploiter par deux insignes imposteurs, qui l'ont conduit à rompre tous ses engagements précédants, à mettre le deuil dans sa famille, à élever un mur de séparation entre l'Orient et l'Occident, et à troubler de nouveau cette Eglise de Constantinople, où il avait rétabli la paix. (Hist. de Photius p. 383—4). *Ὡς μὲν ὀρθῶς, ὡς δὲ δικαίως εἴποι τις ἂν καὶ περὶ Ἰαγέρου ὁ περὶ Βαρωνίου Βασνάγιος εἶπεν!* "Celà fait voir l'excés au quel l'amour pour le Siège de Rome porte les écrivains!" (Hist. de l'Eglise, Tom. 1. p. 324).

Digitized by Google

ὄψεις μέλλοντα πηρωθῆναι, ΦΩΤΙΟΣ ἐρρύσατο, πείσας Βασίλειον.[1] Ἀλλ' ἀγνώμων πρὸς τοσαύτας καὶ τηλικαύτας εὐεργεσίας ὁ Λέων γενόμενος, καὶ ἅμα τῶν σοφῶν ΦΩΤΙΟΥ νουθεσιῶν ἀπαλλάξαι βουλόμενος ἑαυτόν, ὡς μηδὲν ἔχῃ τὸ ἐμποδὼν πρὸς τὴν τῶν ἰδίων θελήσεων πλήρωσιν, ἅμα δὲ τὸν ἀδελφὸν Στέφανον Πατριάρχην ἀποδεῖξαι σπεύδων, ἄκριτον καὶ ἀναίτιον τοῦ Πατριαρχικοῦ καταβιβάζει θρόνου τὸν ἴδιον διδάσκαλον καὶ εὐεργέτην καὶ σωτῆρα, πρόφασιν τῆς ἀδικίας αὐτοῦ καὶ ἀχαριστίας προβαλλόμενος, ὅτι Θεοδώρῳ τῷ Σανδαβαρηνῷ (ὃν ὡς διαβαλόντα αὐτὸν τῷ πατρί, καὶ τῶν παθημάτων ἐκείνων γενόμενον αὐτῷ αἴτιον, μάλιστα ἐμίσει) φίλος ἦν ΦΩΤΙΟΣ καὶ συνέταιρος.[2] Ἀλλὰ ταῦτα μὲν ὀλίγον ὕστερον ἐπισήμως καὶ ἐν αὐστηρᾷ τῇ ἀνακρίσει οὐδ' ὁπωστιοῦν ἀληθείας ἐχόμενα ἐξηλέγχθη· τότε δ' ὅμως εἰς τὴν ἄδικον τοῦ δικαίου καταδίκην ἐξήρκεσεν.[3]

---

[1] "Διηρεθίζετο δὲ (ὁ Βασίλειος) παρὰ τοῦ Σανδαβαρηνοῦ καὶ τοὺς λύχνους ἀποσβέσαι τῶν ὀφθαλμῶν "αὐτοῦ· ἀλλὰ τοῦτο μὲν ἐκωλύθη ποιῆσαι ὑπὸ τοῦ Πατριάρχου καὶ τῆς Συγκλήτου Βουλῆς, τῆς "εἱρκτῆς δὲ ὅμως εἶχεν ἐντός." (Γ. Κεδρηνὸς ἐν τῇ Συνόψει τῶν ἱστοριῶν, Τόμ. Β', σελ. 246). Καὶ ὁ Βασιλείου δὲ υἱωνὸς Κωνσταντῖνος ταὐτὰ πρὸ τοῦ Κεδρηνοῦ ἱστόρηκεν· "Διηρέθιστο δὲ παρὰ τοῦ ἐχθροῦ "καὶ ἐκδικητοῦ πρὸς τὸ καὶ τοὺς λύχνους ἐπισβέσαι τῶν ὀφθαλμῶν· ἀλλὰ τοῦτο μὲν ὑπὸ τοῦ τῆς "βασιλίδος Ἀρχιερέως καὶ τῆς Συγκλήτου Βουλῆς κωλύεται διαπράξασθαι κ.τ.λ." (Θεοφ. Χρονογρ. συνέχ. σελ. 350).

[2] Ὅτι ταῦτα Λέων ἔπραξεν οὐ διὰ τὴν πρὸς τὸν Σανδαβαρηνὸν φιλίαν Φωτίου, οὐδὲ διὰ τὴν Στεφάνου τοῦ Πάπα ἐπιστολήν, ὡς οἱ Παπισταὶ λέγουσιν, ἣν αὐτός, ἤδη τεθνηκότος τοῦ πατρός, ἔλαβεν, ἀλλὰ δι' οὓς εἴπομεν λόγους, ἐξ αὐτῆς αὐτοῦ τῆς ἐπιστολῆς πρὸς τὸν Πάπαν Στέφανον μαρτυρεῖται. Ἐν γὰρ τῇ ἐπιστολῇ ἐκείνῃ, οἷον καταιδούμενος ἐπὶ τοῖς πεπραγμένοις, καὶ τὴν ἰδίαν πειρώμενος συγκαλύψαι αἰσχύνην, λέγει, "ὅτι Φώτιος ἡσυχαστικὴν ζωὴν ᾑρετίσατο, καὶ ἐννυπογράφως τὸν θρόνον παρῃτήσατο, καὶ πράττειν τὰ ἑαυτοῦ συνεφώνησε, ταπείνωσιν ἀντὶ ὑπερηφανείας ἑλόμενος." Εἰ οὖν διὰ τὴν Στεφάνου ἐπιστολὴν Λέων ἐξεθρόνισε Φώτιον, πάντως ἂν ἐκείνῳ γράφων τὴν προθυμίαν ἐπεδείκνυτο· ἀλλὰ τούτου πᾶν τοὐναντίον· λέγει γὰρ ψευδόμενος, ὅτι Φώτιος τὸν θρόνον παρῃτήσατο. Διὰ τοῦτο δὲ δικαίως ὁ Πάπας ἀπορεῖ, τὰ τοῦ Αὐτοκράτορος ταῦτα πρὸς τὰ ὑπὸ τῶν ἄλλων γραφόμενα παραβάλλων, καὶ λέγει περὶ τούτου ἐν τῇ πρὸς τοὺς Ἐπισκόπους καὶ Κληρικοὺς ἐπιστολῇ αὐτοῦ· "Ἡμεῖς δὲ τὸ Βασιλικὸν "γράμμα ἀναγνόντες, πλεῖστον ἀπὸ τοῦ ὑμετέρου διϊστάμενον εὕρομεν. Περιεῖχε γὰρ οὕτως, ὅτι Φώτιος "ἡσυχαστικὴν ζωὴν ᾑρετισατο, καὶ ἐννυπογράφως τὸν θρόνον παρῃτήσατο, κ.τ.λ. . . . . οὐ δὴ χάριν ἐν "ἀμφιβολίᾳ ἐγενόμεθα· πολὺ γὰρ διαφέρει τὸ παραιτήσασθαι τοῦ ἐξωσθῆναι." Ὅτι δὲ καὶ τὰ περὶ Σανδαβαρηνοῦ λεγόμενα οὐδαμῶς ἀληθείας εἶχοντο, καὶ τότε μὲν εὐθὺς ἐξηλέγχθη, αὐστηρᾶς γενομένης ἀνακρίσεως, καὶ μετὰ ταῦτα, ὅτε Λέων ἐπὶ τοῖς πεπραγμένοις μεταμεληθείς, ἀπό τε τῆς ἐξορίας τὸν Σανδαβαρηνὸν ἀνεκάλεσε, καὶ σιτηρέσιον αὐτῷ ἀφώρισε, καὶ τοὺς ὀφθαλμοὺς τοῦ ταλαιπώρου Ἀρχιερέως (ἦν γὰρ Εὐχαΐτων Ἀρχιεπίσκοπος), οὓς ἐν τῇ παραφορᾷ αὐτοῦ ἐξορῦξαι ἐκέλευσεν, ἀπέδωκεν ἄν, εἴπερ ἠδύνατο.—Ἴδε τὰ περὶ τούτου ἐν τῇ συνεχ. τῆς Θεοφ. Χρονογρ. (σελ. 354—6) καὶ ἐν τῇ Γ. Κεδρηνοῦ Συνόψει τῶν ἱστοριῶν (Τόμ. Β', σελ. 250—3).

[3] "Ὑποστρέψαντες οὖν τῷ βασιλεῖ τὰ λαληθέντα ἀνήγγειλαν· ὁ δὲ βασιλεὺς θυμῷ καὶ ὀργῇ ἀκατα"σχέτῳ ληφθείς, ὡς μὴ εὔλογον αἰτίαν κατὰ τοῦ Πατριάρχου εὑρηκώς, ἀπο"στείλας ἔτυψε τὸν Σανδαβαρηνὸν σφοδρῶς, καὶ ἐξώρισεν ἐν Ἀθήναις· κατόπιν δὲ ἀποστείλας "ἐξετύφλωσεν αὐτὸν καὶ ἐξώρισεν εἰς Ἀνατολήν. Χρόνων δὲ παρῳχηκότων πολλῶν, ἐκ τῆς ἐξορίας αὐ"τὸν ἀνεκαλέσατο . . . προστάξας σιτηρέσια τοῦτον ἐκ τῆς νέας Ἐκκλησίας λαμβάνειν." (Θεοφ. Χρ. συνέχ. καὶ Γ. Κεδρηνὸς ἔνθ. ἀνωτ.)

Digitized by Google

νή. Αὖθις οὖν ὑπερόριος γενόμενος ὁ ἀοίδιμος ΦΩΤΙΟΣ, *ἐν τῇ τῶν Ἀρμενιανῶν, ἢ κατ' ἄλλους Ἀρμονιανῶν, κατακλείεται μονῇ. Ἀλλὰ καὶ ταύτην, ὥσπερ καὶ τὴν πρώτην ἐκείνην δοκιμασίαν, ἐν Ἰωβείῳ ὑπομένων ἀνεξικακίᾳ, καὶ οὐδένα μὲν οὐδαμῶς κακὰ λέγων, ἐν δὲ τῇ τῶν θείων λόγων μελέτῃ καὶ ἐν προσευχαῖς ὑπὲρ τῶν διωκόντων καὶ ἐπηρεαζόντων αὐτὸν πέντε ὅλα διανύσας ἔτη, πλήρης ἡμερῶν ἐξεδήμησε πρὸς Κύριον (τῇ 6 Φεβρουαρίου τοῦ 891 ἔτους). Ἐπορεύθη δὲ κατὰ τὸν Προφητάνακτα εἰς τόπον αἰῶνος αὐτοῦ, μέγα καὶ σωτήριον συναποφέρων ἐφόδιον τὰς πολλὰς καὶ μεγάλας αὐτοῦ ἀρετάς, καὶ τοὺς ὑπὲρ τῆς Ὀρθοδοξίας καλλινίκους ἀγῶνας· ἐφ' οἷς ἐνταῦθα μὲν παρ' ἀνθρώπων ὀνείδη καὶ διωγμοὺς ὑπέμεινε, καὶ ἀναθέματα ἤκουσεν ἄφθονα, ἐκεῖ δὲ τῶν ἀμαράντων τῆς Οὐρανίου βασιλείας ἠξίωται στεφάνων παρὰ τοῦ ἀθλοθέτου Θεοῦ, τοῦ τοὺς ἕνεκεν αὐτοῦ μισουμένους, καὶ ἀφοριζομένους, καὶ ὀνειδιζομένους, καὶ κακῶς ἀκούοντας ὑπὸ τῶν ἀνθρώπων, μακαρίους ποιήσειν ἐπαγγειλαμένου.* "Μακάριοι "ἐστέ, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσω- "σιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν "ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου."[1] *καὶ διὰ στόματος δὲ Πέτρου τοῦ Ἀποστόλου λέγοντος·* "Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χρι- "στοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ πνεῦμα "ἐφ' ὑμᾶς ἀναπαύεται· κατὰ μὲν αὐτοὺς ΒΛΑΣΦΗΜΕΙΤΑΙ, κατὰ "δὲ ὑμᾶς ΔΟΞΑΖΕΤΑΙ."[2] *Ἡ δὲ Ὀρθόδοξος ἡμῶν Ἐκκλησία, ὑπὲρ ἧς τοσούτους καὶ τηλικούτους ὁ μακάριος* ΦΩΤΙΟΣ *ὑπέστη ἀγῶνας καὶ διωγμούς, καὶ τοσοῦτον ἐπόνησε, λόγῳ τε καὶ γραφῇ διδάξας, καὶ ἐσαεὶ διδάσκων καὶ φωτίζων τοὺς τῷ καθαρωτάτῳ τῆς ἀληθείας φωτὶ βουλομένους φωτίζεσθαι, εἰς τὴν τῶν Ὁμολογητῶν καὶ Μαρτύρων χορείαν δικαίως καὶ προσηκόντως ἔταξεν αὐτόν, καὶ ὡς ἕνα τῶν μεγάλων Διδασκάλων καὶ Ἱεραρχῶν τιμᾷ καὶ δοξάζει, τὴν μνήμην αὐτοῦ γεραίρουσα ἐν ᾗ ἡμέρᾳ πρὸς Κύριον ἐξεδήμησεν.*[3]

---

[1] *Λουκ. ἐν Κεφ. ΣΤ', 22.*

[2] *Καθολ. Α' Ἐπιστολῆς κεφ. Δ', 14.*

[3] *Ἐτελεῖτο μὲν καὶ πρότερον ἐν πάσῃ τῇ Ὀρθοδόξῳ ἡμῶν Ἐκκλησίᾳ ἡ τοῦ ἁγιωτάτου Πατριάρχου μνήμη, μάλιστα δ' ἐν τῇ εὐαγεῖ Μονῇ τῆς Ἡρεμίας, ἔνθα καὶ τέθαπται· τελεῖται δὲ καὶ νῦν ἐπαξίως ἐν τῇ κατὰ τὴν νῆσον Χάλκην εὐαγεῖ Μονῇ τῆς Ἁγίας Τριάδος, ἥπερ καὶ λέγεται ὑπ' αὐτοῦ τὸ πρῶτον οἰκοδομηθῆναι (ἴδε τοῦ ἀοιδίμου Πατριάρχου Κωνσταντίου τὴν Κωνσταντινιάδα σελ. 217, ἐν Κωνσταντινουπόλει 1844), καὶ ἔνθα πρὸ πολλῶν ἐτῶν συνέστη καὶ διατηρεῖται ἀκμάζουσα Σχολὴ Θεολογική, διά τε τοὺς ἐν αὐτῇ διδάσκοντας καὶ τοὺς ἐξ αὐτῆς θεαρέστους καρποὺς πλείστου λόγου ἀξία. Ἐν ταύτῃ τοίνυν τῇ Μονῇ τελεῖται μεγαλοπρεπῶς ἡ μνήμη τοῦ πρώτου αὐτῆς κτίστου καὶ πρώτου καὶ μεγίστου τῆς Τριαδικῆς Θεότητος ὑπερμάχου κατὰ τῶν τὴν βλάσφημον αἵρεσιν τῆς καὶ ἐκ τοῦ Υἱοῦ ὑποστατικῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος εἰσαγαγόντων· δὶς δὲ τελεῖται τοῦ ἔτους, τήν τε ΣΤ' Φεβρουαρίου, ἐν ᾗ πρὸς Κύριον ἐξεδήμησε, καὶ τὴν ὑστεραίαν τῆς τοῦ παναγίου Πνεύματος ἑορτῆς, ὀρθῶς πάνυ καὶ προσηκόντως. Καὶ Ἀκολουθία δὲ τοῦ ἐν Ἁγίοις Πατρὸς ὑπὸ τοῦ Πανιερωτάτου Κωνσταντίνου Μητροπολίτου Σταυρουπόλεως τοῦ Τυπάλδου συνετάχθη, ἀξία τῆς εὐσεβείας τοῦ τε ὑμνουμένου καὶ τοῦ ὑμνογράφου, καὶ ἐν Κωνσταντινουπόλει (1848) ἐκδέδοται, τῆς ἐξ ἀρχῆς συντεταγμένης ἐκλιπούσης τῷ χρόνῳ.*

Digitized by Google

νθ'. Τοιοῦτος μὲν ὡς ἀληθῶς ἐγένετο, καὶ τοιαῦτα ὑπὲρ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἠγωνίσατο, ὁ τῆς Ὀρθοδοξίας ἀήττητος ὑπέρμαχος, ΦΩΤΙΟΣ ὁ σοφώτατος καὶ ἀοίδιμος Πατριάρχης Κωνσταντινουπόλεως. Τὰ δὲ κατ' αὐτοῦ πεπλασμένα ὑπό τε τῶν συγχρόνων αὐτῷ πολεμίων, ὅσοι διὰ φθόνον ἀφθόνως καὶ ἀσεβῶς αὐτοῦ κατεψεύσαντο, καὶ τῶν μετ' ἐκείνους, ὅσοι τῇ Παπικῇ δουλεύοντες τιάρᾳ, καὶ εἴ τινες ἀβασανίστως τὰ γραφόμενα παραλαμβάνοντες, πᾶσαν κατὰ τοῦ ἱεροῦ ἀνδρὸς ὕβριν ἀκρίτως ἀντέγραψαν, καὶ ἰδίαις ἐπηύξησαν βλασφημίαις καὶ συκοφαντίαις, ταῦτα οὐδ' ὁπωστιοῦν τὴν ἀκήρατον τοῦ ἀοιδίμου Πατριάρχου ἀρετὴν καὶ τὴν δικαίως τὸ ὄνομα αὐτοῦ περιβάλλουσαν δόξαν ἠδυνήθησαν ἀμαυρῶσαι· οὐδ' οὐ μὴ δυνηθῶσιν. Οὐκ ἔστι γὰρ ὅστις τῶν εὖ φρονούντων τὰ πράγματα παριδών, καὶ τῆς ὑπ' αὐτῶν τρανῶς διαλαλουμένης ἀληθείας καταφρονήσας, ταῖς ἀναπεπταμέναις ἐκείνων βλασφημίαις καὶ τερθρείαις προσέχειν τὸν νοῦν αἱρήσεται. Τούτου δὲ μαρτύριον ἀσφαλέστατον οὐ μόνον ἡ τῆς καθ' ἡμᾶς Ὀρθοδόξου Ἐκκλησίας πάγκοινος ὁμολογία, ἀλλὰ καὶ ἡ τῶν ἑτεροδόξων σοφῶν ἀνδρῶν, ὅσοι τὰ περὶ ΦΩΤΙΟΥ ἀπαθῶς καὶ ἀμερολήπτως κρίνοντες, μάλιστα τιμῶσιν ἐκείνου τὴν σοφίαν καὶ ἀρετήν· καὶ τούτους, ὥσπερ καὶ ἀρχόμενοι ἐλέγομεν, ἐν τοῖς τῶν Ἀμφιλοχίων προλεγομένοις ἰδεῖν ἐστιν ἀπαριθμουμένους·[1] καὶ τῇ ἀδεκάστῳ τούτων κρίσει μάλιστα πιστευτέον τοὺς τὴν ἀλήθειαν προαιρουμένους γινώσκειν τε καὶ τιμᾶν. Ὡς ἔπος γὰρ εἰπεῖν, εἴ τις ἀπαθῶς τὰ περὶ τοῦ ἀοιδίμου ἐκείνου ἀνδρὸς ἐξερευνήσειεν, οὐδὲν εὑρήσει οὔτε τοῦ γένους οὔτε τῆς μεγάλης αὐτοῦ σοφίας ἀνάξιον. Εὑρήσει γὰρ αὐτὸν ἐν μὲν ταῖς εὐημερίαις ἄτυφον γενόμενον, καὶ ταπεινοφροσύνης τῆς κατὰ Χριστὸν ὑπόδειγμα, πάντα πρὸς τὴν κοινὴν ἁπάντων ὁμόνοιαν καὶ τὴν τῆς Ἐκκλησίας εἰρήνην βουλευόμενόν τε καὶ πράττοντα, ἐπὶ δὲ πᾶσι λόγῳ τε καὶ ἔργῳ τὴν Ὀρθοδοξίαν κρατύνοντα, καὶ ὑπὲρ ταύτης παντὶ σθένει κατὰ τῶν τὰς διχοστασίας καὶ τὰ σκάνδαλα ποιούντων ἀγωνιζόμενον· ἐν δὲ ταῖς δυσημερίαις καρτερικόν τε καὶ ἀνεξίκακον, ὑπὲρ μὲν τῶν ἀδίκως διωκομένων φίλων αὐτοῦ δικαίως ἀχθόμενον, καὶ τούτους ἐν λόγῳ Κυρίου παραμυθούμενον, τοῖς δ' ἑαυτὸν διώκουσιν ἐν πραότητι τῇ κατὰ Χριστὸν συγχωροῦντα, καὶ ἐν τοιαύτῃ ἀρετῇ τὴν ἰδίαν ψυχὴν τῷ Θεῷ παρατιθέμενον. Εἰ δέ τις καὶ τὰ ἐξ ἐκείνου μέχρι τοῦ νῦν γενόμενα, καὶ πάντα τὸν τοῦ Γένους ἡμῶν βίον, τὸν ἐν τῇ μακρᾷ καὶ πολυωδύνῳ δουλείᾳ, ἐπιμελῶς ἐξετάσειε, κατανοήσει πάντως τῆς ἀληθείας τὸ μέγεθος, ἣν ὁ πολυμαθὴς καὶ εὐφραδὴς συγγραφεὺς Σπυρίδων ὁ Ζαμπέλιος ὀρθότατα διεκήρυξεν. " Ὁ ΦΩΤΙΟΣ " καταβαίνει εἰς τὸν τάφον ὁμολογητὴς τῶν πατρίων παραδόσεων· ὅμως τὸ ψήφισμα τῆς " ὀγδόης ἐκείνης Συνόδου, ἡ Καινὴ αὕτη διαθήκη τῆς Ἑλληνικῆς ἑνότητος, ἐπιζῇ,

---

Οὐ μόνον δέ, ἀλλὰ καὶ καθ' ἑκάστην Κυριακὴν τῆς Ὀρθοδοξίας, ἥτις ἐστὶν ἡ πρώτη Κυριακὴ τῶν νηστειῶν, ἡ Ὀρθόδοξος ἡμῶν Ἐκκλησία ἐπιφωνεῖ·—" Ἰγνατίου καὶ Φωτίου, Στεφάνου, Ἀντωνίου καὶ Νικολάου, τῶν ἁγιωτάτων καὶ Ὀρθοδόξων Πατριαρχῶν, Αἰωνία ἡ μνήμη!" Καὶ αὖθις· " Ἅπαντα τὰ κατὰ τῶν ἁγίων Πατριαρχῶν, Γερμανοῦ, Ταρασίου, Νικηφόρου, Μεθοδίου, Ἰγνατίου, Φωτίου, Νικηφόρου, Ἀντωνίου καὶ Νικολάου γραφέντα ἢ λαληθέντα Ἀνάθεμα!" (Συνοδικὸν ἐν Τριῳδίῳ σελ. 135 καὶ 146).

[1] *Σελ. δ', ἐ καὶ ξθ'.*

Digitized by Google

"ἐπικρατεῖ, ἡγεμονεύει, καὶ τὸ γένος μας θωρακίζει ἐπὶ χι-
"λίους ἐνιαυτούς."[1]

ξ'. Γένοιτο δὲ ὁ βίος ἅπας τοῦ πανιέρου Πατριάρχου παράδειγμα σεβαστὸν καὶ ζηλωτὸν τοῖς τὸ μέγιστον καὶ ὕψιστον τῆς Ἱερωσύνης καὶ Ἀρχιερωσύνης ἀξίωμα τολμῶσιν ἀναδέχεσθαι· καὶ εἴη αὐτοῖς τὴν τοῦ Χριστοῦ ποιμαίνειν ποίμνην, ἐκείνου τὴν ῥάβδον ἐν χερσὶ φέροντας, καὶ τὸ τῆς Ἐκκλησίας οἰακοστροφεῖν σκάφος, ὥσπερ ἀσφαλῆ πυξίδα, τὰ θεῖα προβαλλομένους συγγράμματα, ἃ πᾶσι μέν, μάλιστα δὲ τοῖς ἐκ τοῦ ἱεροῦ Κλήρου κατέλιπεν "ὁ πάνσοφος Διδάσκαλος, τὸ στόμα τὸ ὑπὲρ τὸ χρυσίον ἐκλάμπον, οὗ καὶ οἱ λόγοι ὡς ἄνθρακες ἀπαστράπτουσι, πῇ μὲν καθαίροντες, πῇ δὲ φωτίζοντες τοὺς ὑποδεχομένους αὐτούς."[2] Ἡμῖν δ' ἐν τούτοις τὰ περὶ τοῦ βίου καὶ τῶν καλλινίκων αὐτοῦ ὑπὲρ τῆς Ὀρθοδοξίας ἀγώνων περάνασι, περὶ τῶν πολυτίμων θησαυρῶν, οὓς ἡμῖν κατέλιπε, καὶ δὴ λεκτέον.

Δ'.

ξά. Τῶν πολλῶν καὶ σοφῶν τοῦ ἀοιδίμου ΦΩΤΙΟΥ συγγραμμάτων τὸν ἀριθμὸν ὅ τε περικλεὴς Φαβρίκιος,[3] καὶ Φραγκίσκος ὁ Φοντάνας,[4] καὶ Καζίμηρος Οὐδῖνος,[5] καὶ Κά-

---

[1] Βυζαντιναὶ Μελέται, σελ. 485—8.— Λέγει δὲ περὶ τούτου καὶ ὁ ἀοίδιμος Κοραῆς ἐν τοῖς προλεγ. τοῦ Α' Τόμου τῶν Ἀτάκτων (σελ. κδ')· "Εἰς δεισιδαιμονίαν ἡμῶν ἀποδίδουσιν οἱ Λατῖνοι τὸ πεῖσμα τοῦ "κοινοῦ λαοῦ νὰ μὴν ἑνωθῇ μὲ τοὺς Παπιστάς, καὶ τὴν σταθερὰν αὐτοῦ ἀντίστασιν εἰς τοὺς ἐπιθυμοῦντας "νὰ τὸν ἑνώσωσιν Αὐτοκράτορας. Εἰς τὴν δεισιδαιμονίαν ὅμως ταύτην (ἂν ἐγέννησέ ποτέ τι καλὸν ἡ "δεισιδαιμονία) χρεωστοῦμεν οἱ σημερινοὶ Γραικοὶ τὴν ὕπαρξίν μας. Χωρὶς τὸ εὐτυχέστατον τοῦτο πεῖ-"σμα τῶν πρὸ ἡμῶν, καὶ ἡ δεισιδαιμονία ἤθελ' αὐξηθῆν ἐπιπλέον, καὶ τὰ πολυπληθῆ τάγματα τῶν "Δυτικῶν Μοναχῶν ἔμελλαν νὰ καταβρωμίσωσι τὸ ἔδαφος τῆς ταλαιπώρου Ἑλλάδος, καὶ τὰ Νερωνικὰ "τῆς Ἱερᾶς ἐξετάσεως κριτήρια νὰ φλογίζωσι τοὺς Ἕλληνας, ὡς κατέφλεξαν πολλὰς μυριάδας Δυτι-"κῶν, καὶ ἡ Ἀνατολικὴ Ἐκκλησία νὰ ὑποταχθῇ ὡς εἰς κεφαλὴν τὸν Πάπαν, καθὼς ὑποτάσσονται ἀκόμη "σήμερον (1828) πολλοὶ τῆς φωτισμένης Εὐρώπης λαοί, ἄλλοι, διότι κρατοῦν ἀκόμη τοὺς ὀφθαλμοὺς "κλεισμένους εἰς τὰ πανταχόθεν περιλάμποντα φῶτα τῆς παιδείας, καὶ ἄλλοι, διότι ἔχοντες καὶ αὐτοὶ "μεταξύ των ὄχι ὀλίγους ἀκόμη ἐκουσίους τυφλούς, ἔκριναν φρονιμώτερον ν' ἀφήσωσι τὴν κατάτριψιν "τῆς Παπικῆς τυραννίας εἰς τὸ ῥινίον τῆς τυπογραφίας, παρὰ νὰ τὴν πελεκήσωσι μὲ βίαν. Καὶ ἡ τυ-"πογραφία δὲν θέλει προδώσειν τὰς ἐλπίδας των. Ἡ ἀκαταμάχητος αὐτῆς ὁπλοθήκη

" . . . . Πολλάων πολίων κατέλυσε κάρηνα,
" Ἠδ' ἔτι λύσει . . . . . "

(Ἰλιάδ. Β', 117).

[2] Ταῦτα περὶ Ἰωάννου εἶπε τοῦ Θεολόγου Εὐστράτιος ὁ τῆς Μεγάλης Ἐκκλησίας Πρεσβύτερος, περὶ οὗ ἴδε Φαβρ. Ἑλλην. Βιβλ. Τόμ. Ι', σελ. 725—7.

[3] Ἑλλην. Βιβλ. Τόμ. Γ' ἐν τέλει καὶ ΙΑ' ἐν ἀρχῇ.

[4] Franc. Fontani Novæ eruditorum deliciæ, Tom. I. p. 1—80.

[5] Casimiri Oudini Commentar. de Script. Eccles. antiq. Tom. II. p. 200.

Digitized by Google

βεος,[1] καὶ Ἠλίας ὁ Δουπῖνος,[2] καὶ Κειλλιέρος,[3] καὶ Σχοίλλιος,[4] καὶ ὁ τὴν ΦΩΤΙΟΥ βιογραφίαν ἐν τῷ Σμιθίου βιογραφικῷ Λεξικῷ συγγράψας,[5] καὶ ἄλλοι τῶν περὶ αὐτοῦ γραψάντων δεδηλώκασιν· πάντων δὲ τελευταῖος, ὅσα γε ἡμεῖς ἴσμεν, ἀλλὰ καὶ πάντων πληρέστατα, ὁ πολλάκις ἐν τοῖς ἔμπροσθεν μνημονευθεὶς ἐκδότης τῶν Ἀμφιλοχίων, Σοφοκλῆς Κ. Οἰκονόμου, τά τε μέχρι νῦν ἐκδεδομένα τῶν ΦΩΤΙΟΥ συγγραμμάτων, καὶ τὰς κατὰ καιροὺς καὶ τόπους ἐκδόσεις αὐτῶν, καὶ τὰ ἐν χειρογράφοις ἀνέκδοτα ἐν ταῖς βιβλιοθήκαις ἀποκείμενα, καὶ τὰ ἤδη ἐκλελοιπότα, καὶ τὰ ψευδεπιγράφως ΦΩΤΙῼ ἀποδιδόμενα, ἐν τέλει τῶν ἐν τοῖς Ἀμφιλοχίοις προλεγομένων κατέλεξεν.[6] Τὴν δὲ ἀξίαν αὐτῶν οὐκ ἔστιν ὅστις τῶν περὶ ΦΩΤΙΟΥ γραψάντων οὐχ ὁμολογεῖ μεγίστην εἶναι· ἀλλὰ πάντες μὲν πολυτίμους θησαυροὺς σοφίας ἀποκαλοῦσιν αὐτά, οἱ δὲ πλείους καὶ ἀποφαίνονται εὐχῆς ἔργον εἶναι ἅμα πάντα συνεκδοθῆναι, καὶ κοινοτέραν τὴν ἀνάγνωσιν αὐτῶν καὶ μελέτην γενέσθαι.[7] Δι' ὃ καὶ πολλοὶ τῶν ἐπὶ σοφίᾳ διασήμων τὰ κάλλιστα τούτων ἐκδοῦναι ἐσπούδασαν, οἷά πέρ εἰσιν ἡ περιώνυμος Μυριόβιβλος, ἡ τῶν λέξεων συναγωγὴ (Λεξικόν), ἡ ἐπιτομὴ ἐκ τῶν Ἐκκλησιαστικῶν Ἱστοριῶν Φιλοστοργίου, αἱ Ἐπιστολαί, ὁ καλούμενος Νομοκάνων, τὰ περίφημα Ἀμφιλόχια, αἱ περὶ Ἐπισκόπων καὶ Μητροπολιτῶν συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς, ἡ περὶ τῆς τῶν Μανιχαίων ἀναβλαστήσεως διήγησις, αἱ κρίσεις καὶ ἐπιλύσεις πέντε κεφαλαίων, τρεῖς τῶν ὑπ' αὐτοῦ πεποιημένων ἐννέα Ὠδῶν, καὶ τρεῖς Λόγοι, ὁ εἰς τὸ Γενέσιον τῆς ὑπεραγίας Θεοτόκου, ὁ εἰς τὰ ἐγκαίνια τῆς ὑπὸ Βασιλείου οἰκοδομηθείσης νέας Ἐκκλησίας, καὶ ὁ περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας. Καταλεκτέον οὖν καὶ ἡμῖν τὰ τοῦ πανσόφου ΦΩΤΙΟΥ συγγράμματα, τά τε νῦν περιόντα, καὶ τὰ μήπω. Ἔστι δὲ τάδε·

Α'. Λεξικόν, ἤ, ὡς συνήθως ἐπιγράφεται, "Φωτίου τοῦ Πατριάρχου Κωνσταντινουπόλεως λέξεων συναγωγή, αἳ μᾶλλον τῶν ἄλλων ῥήτορσι καὶ λογογράφοις ἀνήκουσιν εἰς χρείαν. Προσ-

---

[1] G. Cave. Scriptorum Eccles. Histor. Litter. Tom. II. p. 47—50. Oxonii 1740.

[2] Ellies Du Pin. Nouvelle Biblioth. des auteurs Eccles. Tom. VII. p. 103—9. Autrecht, 1731.

[3] Ceillier. Hist. générale des auteurs sacrés et Eccles. Tom. XIX. p. 426—453.

[4] Schoel. Hist. de la Litter. Grc. Tom. VI. p. 285 et 305. Tom VII. p. 31 et 238.

[5] Diction. of Greek and Roman Biography etc. ἐν λ. Φώτιος.

[6] Ἀμφιλοχ. προλεγ. ὑπὸ Σοφ. Κ. Οἰκονόμου. σελ. μή—ξβ'.

[7] Ὡς βεβαιοῖ ὁ σοφὸς Καρδινάλιος Μάϊος ἐν τοῖς προλεγομένοις τοῦ πολυτίμου αὐτοῦ συγγράμματος "Scriptor. Veter. nova collectio" (Tom. I. p. XLIV.), δύο τῶν ἐν Ῥώμῃ λογίων, Ἰωάννης Ἀνδρέσιος καὶ Ἰάκωβος Μορέλλιος, ἁπάντων τῶν Φωτίου συγγραμμάτων ἀνέλαβον τὴν ἔκδοσιν· ἀλλ' ἡ τοιαύτη συλλογὴ, πᾶσι τοῖς τῶν λόγων ἐρασταῖς ποθητή, οὔπω ἐκδέδοται, ὅσα γε ἡμεῖς ἴσμεν. Εὔχονται δὲ περὶ τῆς ἁπάντων τῶν Φωτίου συγγραμμάτων ἐκδόσεως ἄλλοι τε τῶν σοφῶν ἀνδρῶν, καὶ ὁ ἀοίδιμος Κωνσταντῖνος Οἰκονόμος τάδε λέγων. "Καὶ ἔστι μυρίας ἄξιον εὐχῆς, εἴ τις παρ' ἡμῖν ἀπαρτισθείη ἔκδοσις ἁπάντων τῶν σωζομένων Φωτίου συγγραμμάτων (ὀλίγων μὲν ἐκδεδομένων, πολλῶν δὲ εἰσέτι ἀνεκδότων), πρὸς πλουτισμὸν ἐν γένει τῆς φιλολογίας, καὶ ἰδίως τῆς Ἑλληνικῆς, καὶ παντοίαν ὠφέλειαν καὶ κλέος τοῦ γένους ἡμῶν. (Περὶ τῶν Ο' ἑρμην. τῆς Παλ. Θείας Γραφῆς Τόμ. Δ', σελ. 757, σημ. ά).

Digitized by Google

πεφώνηται δὲ Θωμᾷ Πρωτοσπαθαρίῳ καὶ ἄρχοντι τοῦ Λυκοτομίου, οἰκείῳ μαθητῇ." Πολλὰ μὲν σώζονται τοῦ Λεξικοῦ τούτου ἀπόγραφα· τούτων δὲ πληρέστατον κέκριται τὸ καλούμενον Γαληνανόν (ἅτε ὑπὸ Θωμᾶ Γάλη τῇ ἐν Κανταβριγίᾳ βιβλιοθήκῃ δωρηθέν). Πρῶτον μὲν οὖν ἐκδέδοται ὑπὸ τοῦ σοφοῦ Γοδοφρέδου Ἑρμάνου ἐκ χειρογράφου τῆς ἐν Δρέσδῃ βιβλιοθήκης (ἐν Λειψίᾳ 1808), τρίτον ἀποτελοῦν τόμον, τῶν δύο πρώτων τὸ εἰς Ἰωάννην τὸν Ζωναρᾶν ἀποδιδόμενον Λεξικὸν περιεχόντων· ἐπεὶ δὲ ἀτελὴς ἦν ἡ ἔκδοσις ἐκείνη διὰ τὸ τῶν χειρογράφων ἡμαρτημένον, δύο ἐπανορθωτικαὶ αὐτοῦ ἐξεδόθησαν πραγματεῖαι ὑπὸ τοῦ σοφοῦ Σκλευσινέρου (1810 καὶ 1812). Ἡ δὲ δευτέρα αὐτοῦ ἔκδοσις, ὑπὸ μὲν τοῦ σοφοῦ Ῥιχάρδου Πόρσωνος ἐκ τοῦ Γαληνοῦ χειρογράφου παρασκευασθεῖσα, ὑπὸ δὲ τοῦ Πέτρου Δοβρέου μετὰ τὸν ἐκείνου θάνατον δημοσιευθεῖσα (ἐν Κανταβριγίᾳ 1822) ἐξενίκησεν ὡς τελειοτέρα, καὶ μετετυπώθη ἐν Λειψίᾳ τὸ 1823. Ὡς μὲν οὖν ΦΩΤΙΟΣ τὸ Λεξικὸν τοῦτο, κομιδῇ νέος, καί, ὡς αὐτὸς ἐν Ἀμφιλοχίοις φησίν, ἤδη τὴν τῶν μειρακίων ἡλικίαν παραλάσσων, συνέταξεν, εἴρηται ἡμῖν ἐν τοῖς ἔμπροσθεν.[1] Θαυμαστὸν δέ, ὅτι καὶ ΦΩΤΙΟΥ αὐτοῦ τοῦτο διαῤῥήδην λέγοντος, ἐτόλμησέ τις εἰπεῖν, ὡς οὐδ' ἄκρῳ δακτύλῳ τοῦ ἔργου τούτου ΦΩΤΙΟΣ ἥψατο, ἀποδέδοται δ' αὐτῷ, ἅτε ἐν τοῖς βιβλίοις αὐτοῦ εὑρεθέν. Ἀλλὰ τὴν ἀλλόκοτον, μᾶλλον δὲ αὐθάδη, ταύτην δόξαν καὶ ὁ τὴν ΦΩΤΙΟΥ βιογραφίαν ἐν τῷ Σμιθίου βιογραφικῷ λεξικῷ συντάξας, ὡς ἀνυποστήρικτον, ἀπέκρουσεν.

Β'. Ἡ Μυριόβιβλος, καὶ ἄλλως λεγομένη Φωτίου Βιβλιοθήκη, τήνδε φέρουσα τὴν ἐπιγραφήν· "Ἀπογραφὴ καὶ συναρίθμησις τῶν ἀνεγνωσμένων ἡμῖν βιβλίων, ὧν εἰς κεφαλαιώδη διάγνωσιν ὁ ἠγαπημένος ἡμῶν ἀδελφὸς Ταράσιος ἐξητήσατο. Ἔστι δὲ ταῦτα εἴκοσι δεόντων ἐφ' ἑνὶ τριακόσια." Ταύτην ὁ κλεινὸς Φαβρίκιος καὶ Φραγκίσκος ὁ Φοντάνας θησαυρὸν ἐπίσημον ἀποκαλοῦσι, καὶ οὐ βιβλίον.[2] Ἀλλὰ καὶ Δουπῖνος καὶ Κειλλιέρος καὶ Γίββων, καὶ ἄλλοι, τὴν αὐτὴν ἀποδιδοῦσιν ἐπωνυμίαν τῷ τοῦ ΦΩΤΙΟΥ τούτῳ ἔργῳ, πάντες θησαυρὸν αὐτὸ πολυτιμότατον ἀποκαλοῦντες, οἷον καὶ ἀληθῶς ἐστιν.[3] Ἄρχεται δὲ ἐξ ἐπιφωνήσεως πρὸς τὸν ἀδελφὸν Ταράσιον ὧδε·

---

[1] Ἴδε § κβ'.

[2] Insignis thesaurus, non liber, qui ab auctore inscribitur "Ἀπογραφὴ καὶ συναρίθμησις κ.τ.λ." (Ελ. Βιβλ. Τόμ. Γ'. σελ. 678 κ. ἑξ.). Ὁ δὲ Φοντάνας λέγει. "Inter ea igitur quae luculentissima oratione, nec non omnigena eruditione Photius scripsit ante initum Patriarchatum, ceteris sane praestat Bibliotheca, quam thesaurum dicas, non librum, etc. (De Photio, ejusque scriptis disertatio. ἐν τῷ Novae erud. delic. Tom. I. p. LXVI.).

[3] Le fruit le plus considérable des études et des veilles de Photius est sa Bibliotheque, intitulée *Myriobible* etc. Μετά τινας δὲ σκέψεις ἰδίας περὶ τῆς τάξεως τῶν ἐν τῇ Μυριοβίβλῳ μνημονευομένων συγγραφέων λέγει. "Cela n'empêche pas néanmoins qu'on ne lui soit fort obligé et que son travail ne soit un trésor très précieux, qui renferme ce qu'il y a de plus curieux sur toutes les sciences, et qui nous conserve la memoire et des fragmens de quantité d'ouvrages et d'auteurs, dont nous n'aurions eû aucune connaissance, et dont il ne nous serait rien resté sans le travail de ce sçavant homme (Du

Digitized by Google

"Φώτιος ἠγαπημένῳ ἀδελφῷ Ταρασίῳ ἐν Κυρίῳ χαίρειν" καὶ μετὰ τὸ προοίμιον, ἐν ᾧ φησιν ἀπὸ μνήμης τὴν πολύτιμον ταύτην Ἀνθολογίαν συγγράψαι, ἡ ἐξαρίθμησις ἕπεται τῶν ἀνεγνωσμένων αὐτῷ βιβλίων, εἰς ὀγδοήκοντα καὶ διακόσια συναριθμουμένων, καὶ παντοῖα πραγματευομένων, θεολογικά, φιλολογικά, φιλοσοφικά, ἰατρικά, νομικὰ καὶ γραμματικὰ ὑποκείμενα. Ἐπεὶ δὲ τῶν ὑπ' αὐτοῦ ἀνεγνωσμένων καὶ κρινομένων συγγραμμάτων οὐκ ὀλίγα τῷ χρόνῳ ἀπώλοντο, πολύτιμον τοῦ ἀρχαίου ἡμῶν πλούτου λείψανον τυγχάνει οὖσα ἡ Μυριόβιβλος, ὡς μετὰ τῶν προειρημένων καὶ ὁ ἡμέτερος Κωνσταντῖνος ὁ Κούμας φησίν.[1] Ἐν δὲ τῷ ἐπιλόγῳ τελειότερον ὑπισχνεῖται τῷ ἀδελφῷ ποιήσειν τὸ ἔργον, ἐπειδὰν οἴκαδε ἐπανέλθῃ. Ἐτύγχανε γὰρ πρεσβεύων τότε εἰς Ἀσσυρίους, κἀκεῖθεν τῷ ἀδελφῷ Ταρασίῳ τὸ ἀγλαὸν τοῦτο ἀπέστειλε δῶρον, ὡς ἐν τοῖς ἔμπροσθεν (§ κγ') εἴπομεν. Τῶν οὖν ἐν αὐτῇ μνημονευομένων καὶ ἐπικρινομένων συγγραμμάτων τὰ μήπω περιόντα τάδ' ἐστίν, ὡς ἐν τῷ Σμιθίου Λεξικῷ καταλέγονται·

ά. Κτησίου τὰ Περσικὰ καὶ Ἰνδικά (κώδ. 72).

β'. Ἀρριανοῦ τὰ μετ' Ἀλέξανδρον, καὶ τὰ Παρθικὰ καὶ Βιθυνικά (κώδ. 58, 92 καὶ 93).

γ'. Ὀλυμπιοδώρου Ἱστορικοὶ Λόγοι κβ' (κώδ. 80).

δ'. Κόνωνος διηγήσεις (κώδ. 186).

έ. Πτολεμαίου τοῦ Ἡφαιστίωνος περὶ τῆς εἰς πολυμαθίαν καινῆς Ἱστορίας (κ. 190).

στ'. Μέμνονος Ἱστορικὸν ἀπὸ τοῦ Θ' Λόγου μέχρι τοῦ ΙΣΤ' (κ. 224).

ζ'. Ἐκ τοῦ Ἰσιδώρου βίου τοῦ φιλοσόφου (κ. 242).

ή. Ἱμερίου τοῦ σοφιστοῦ διάφοροι μελέται (κ. 243).

θ'. Διοδώρου τοῦ Σικελιώτου τῆς βιβλιοθήκης τὸ τελευταῖον βιβλίον (κ. 244).

Pin. Nouvel. Biblioth. des auteurs Eccles. Tom. VII. p. 103—4). Γίββων δὲ τὴν Φωτίου ταύτην συγγραφὴν ἐμφαντικώτερον ἀπεκάλεσε "ζῶν μνημεῖον πολυμαθείας καὶ κρίσεως ὀρθῆς" a living monument of erudition and criticism (Hist. of the decline etc. Tom. VII. p. 128). Ἀλλὰ καὶ Σαίντ-Κρόϊος πολύς ἐατιν ἐν τῷ θαυμάζειν τό Φωτίου τοῦτο ἔργον, ἐπιφωνῶν μετὰ τὴν τῶν περιεχομένων ἔκθεσιν. " Jamais personne n'aima plus l'étude que cet homme célebre etc " (Examen. critiqne etc. p. 754—5). Ἐπὶ δὲ πᾶσιν ὁ τῆς Φωτίου βιογραφίας ἐν τῷ Σμιθίου βιογραφικῷ Λεξικῷ συγγραφεὺς οὐ μόνον διὰ μακρῶν ἐγκωμιάζει τὴν Μυριόβιβλον, ἀλλὰ καὶ τὸν ἀπερίσκεπτον καὶ τετυφωμένον (ὡς αὐτὸν οὗτος ἀποκαλεῖ) συντάκτην τοῦ ἐν τῇ Ἐδιμβουργείῳ Ἐπιθεωρήσει (Τόμ. ΚΑ', σελ. 329 κ. ἑξ) κατὰ Φωτίου δημοσιευθέντος ἄρθρου ἐξελέγχει φλυαροῦντα, ἐν οἷς εἶπε τὴν Μυριόβιβλον πολλαῖς ἐξωγκῶσθαι προσθήκαις, καὶ τὸ ἥμισυ μόλις αὐτῆς Φωτίῳ προσήκειν. Ἔοικε δὲ καὶ αὕτη τοῦ καλοῦ συγγραφέως ἡ δόξα τοῖς ἄλλοις ἐκείνοις, ἃ περὶ Φωτίου ἐν τῇ διατριβῇ αὐτοῦ ἀκρίτως ἔγραψεν, ἐφ' οἷς δικαίως ἐν τῷ Λεξικῷ ἐλέγχεται. Ὅτι δὲ γελοία ἡ δόξα ἐκείνη, ἀρκέσει δεῖξαι πρὸ παντὸς ἄλλου μόνη ἡ τοῦ προοιμίου τῆς Μυριοβίβλου ἀνάγνωσις.

[1] Κωνστ. Κούμα Ἱστορία Τόμ. Δ', σελ. 209—210.

Digitized by Google

ί. Ἀγαθαρχίδου Λόγοι δύο, ὁ πρῶτος καὶ ὁ πέμπτος, περὶ τῆς ἐρυθρᾶς θαλάσσης καὶ ἑτέρων παραδόξων ἔργων ἐν κεφαλαίῳ διαλαμβάνοντες (κ. 250).

ιά. Ἀνωνύμου βίος ἢ ἀθλησις τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παύλου τοῦ Κωνσταντινουπόλεως Ἐπισκόπου, τοῦ Ὁμολογητοῦ, καὶ βίος ἤτοι ἄθλησις [τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἐπισκόπου Ἀλεξανδρείας] τοῦ μεγάλου Ἀθανασίου (κ. 257 καὶ 258).

ιβ'. Διάφοροι μήπω σωζόμενοι Λόγοι Ῥητορικοὶ Ἀντιφῶντος, Ἰσοκράτους, Λυσίου, Ἰσαίου, Δημοσθένους, Ὑπερίδου, Δεινάρχου καὶ Λυκούργου (κ. 259—268).

ιγ'. Ἑλλαδίου Βησαντινόου χρηστομαθειῶν Α', Β', Γ', Δ' (κ. 279).

ιδ'. Καὶ ἄλλα παντοῖα, Θεολογικά, Ἐκκλησιαστικά, καί τινα Ἰατρικὰ συγγράμματα.[1]

Πρῶτος μὲν οὖν τὴν ΦΩΤΙΟΥ Μυριόβιβλον Δαβὶδ ὁ Οἰσχέλιος ἐξέδωκεν (ἐν Αὐγούστῃ Βινδελικῶν 1601), σημειώσεις τινὰς ἐν τέλει, καὶ τῶν ΦΩΤΙΟΥ ἐπιστολῶν πέντε καὶ τριάκοντα προσθείς. Μετ' οὐ πολὺ δὲ Ἀνδρέας ὁ Σχῶττος δευτέραν ἐποιήσατο ἔκδοσιν μετὰ Λατινικῆς μεταφράσεως καὶ μακροτέρων σημειώσεων (ἐν Αὐγ. 1606). Ἀλλὰ τοῦ κειμένου ὡς μὴ ἀκριβοῦς κατακριθέντος, αὖθις ἐκδέδωκεν αὐτὴν ἀκριβέστερον (ἐν Γενεύῃ 1612 καὶ ἐν Ῥουένῃ 1653). Τελευταῖος δὲ ὁ πολὺς Βέκκερος ἐκ τεσσάρων χειρογράφων ἐξέδωκεν αὐτήν, τό τε κείμενον ἀκριβέστερον ἔχουσαν καὶ πίνακα ἐν τέλει, οὐ μέντοι καὶ Λατινικὴν μετάφρασιν, οὐδὲ σχόλια (ἐν Βερολίνῳ 1824—1825)· καί γε πολλῇ τῷ χαλκεντέρῳ τούτῳ τῆς Γερμανίας σοφῷ ἡ χάρις ἀνακείσεται, ὅτι πρὸς τοῖς ἄλλοις αὐτοῦ πόνοις, οἷς τὴν Ἑλληνικὴν φιλολογίαν κατεκόσμησε, καὶ τὴν ΦΩΤΙΟΥ Μυριόβιβλον, δυσεύρετον πρότερον οὖσαν καὶ δυσπόριστον, εὐωνοτάτην καὶ χρησιμωτάτην πᾶσι κατέστησεν.

Γ'. Ἐπιτομὴ ἐκ τῶν Ἐκκλησιαστικῶν Ἱστοριῶν Φιλοστοργίου ἀπὸ φωνῆς ΦΩΤΙΟΥ Πατριάρχου.[2] Ταύτην ὁ Κάβεος λείψανον εἶναι λέγει ἑτέρου μεγάλου ἔργου, τῇ Μυριοβίβλῳ ἐοικότος· ἀλλὰ τὴν γνώμην ταύτην οἱ περὶ Σμίθιον οὐ παραδεχόμενοι, διὰ τοῦτο λέγουσι πολύτιμον εἶναι τὸ ἔργον, εἰ καὶ ἀτελές, ὅτι πολλὰ τῶν τῆς Ἐκκλησίας πραγμάτων ἐν τῇ πολυπράγμονι γενομένῃ διὰ τὸν Ἄρειον τετάρτῃ ἑκατονταετηρίδι διέσωσεν ἡμῖν. Ἐκδέδοται δὲ τὸ μὲν πρῶτον ὑπὸ Ἰακώβου Γοδοφρέδου μετὰ Λατινικῆς μεταφράσεως καὶ μακρῶν σημειώσεων (ἐν Γενεύῃ 1643)· ἔπειτα δὲ καὶ ὑπὸ Ἐρρίκου Βαλεσίου συνεκδέδοται τοῖς ἄλλοις τοῖς Ἐκκλησια-

---

[1] Μετὰ δὲ τὴν ἀπαρίθμησιν ταύτην ὁ τῆς Φωτίου βιογραφίας πολυμαθὴς συγγραφεὺς τάδε προστίθησιν. "The above enumeration will suffice to show the inestimable value of the Bibliotheca of Photius, especially when we reflect how much the value of his notices is enhanced by the soundness of his judgment," τοῦτ' ἔστιν· "Αὕτη ἀρκέσει δεῖξαι ἡ ἀπαρίθμησις τὴν τῆς Φωτίου βιβλιοθήκης ἀνεκτίμητον ἀξίαν, μάλιστα δ' εἴ τις ἐνθυμηθείη, ὡς τὰς σημειώσεις αὐτοῦ ταύτας τὸ τῆς κρίσεως αὐτοῦ ὑγιὲς πολυτιμοτέρας καθίστησιν."

[2] Ἴδε περὶ τοῦ Φιλοστοργίου τούτου ἐν Μυριοβ. (κ. 40) καὶ Φαβρ. Ἑλ. Βιβλ. Τόμ. Ζ'. σελ. 420—3. ἔτι δὲ καὶ Schoell. Hist. de la Litter. Grec. Tom. VII. p. 15.

Digitized by Google

στικὴν γράψασιν Ἱστορίαν, Θεοδωρήτῳ φημὶ καὶ Εὐαγρίῳ καὶ Θεοδώρῳ (ἐν Παρισίοις 1673)· ἔτι δὲ καὶ ὑπὸ Ῥειδιγγίου (ἐν Κανταβριγίᾳ 1720).

Δ'. Κατὰ Μανιχαίων Λόγοι Δ'.— Τούτου τοῦ συγγράμματος οὔκ ἔστι κοινὴ ἐπιγραφή, ἀλλ' ἰδίᾳ τῶν Λόγων ἕκαστος ἐπιγράφεται· ὁ μὲν Α'—Διήγησις περὶ τῆς τῶν Μανιχαίων ἀναβλαστήσεως·—ὁ δὲ Β'—Ἀπορίαι καὶ λύσεις τῶν (ἴσ. περὶ τῶν) Μανιχαίων·—ὁ δὲ Γ'—Τοῦ Φωτίου Λόγος Γ'.—ὁ δὲ Δ'—Κατὰ τῆς τῶν Μανιχαίων ἀρτιφυοῦς πλάνης, Ἀρσενίῳ τῷ ἁγιωτάτῳ Μοναχῷ Πρεσβυτέρῳ καὶ Ἡγουμένῳ τῶν ἱερῶν.—Ἐπεὶ δὲ πολλὰ τῶν ἐν τῷ πρώτῳ Λόγῳ ὅμοιά ἐστι τοῖς ὑπὸ Πέτρου τοῦ Σικελοῦ περὶ τῆς αὐτῆς ὑποθέσεως γεγραμμένοις, εἰσὶν οἳ κακῶς λέγουσι ΦΩΤΙΟΝ ἐξ ἐκείνου τὸν Λόγον τοῦτον καταρτίσασθαι.[1] Ἐκδόσεις δὲ τούτου γεγόνασι, πρώτη μὲν ἡ ὑπὸ Μοντφωκονίου (ἐν ἔτει 1715), τὸν πρῶτον ἐκδόντος Λόγον μετὰ Λατινικῆς μεταφράσεως ἐν τῇ Κοισλινιανῇ αὐτοῦ Βιβλιοθήκῃ (σελ. 349 κ. ἑξ.)· δευτέρα δὲ ἡ σύμπαντος τοῦ συγγράμματος ὑπὸ Ἰω. Χριστοφ. Οὐολφίου μετὰ Λατινικῆς μεταφράσεως καὶ σημειώσεων ἐν τοῖς Ἑλληνικοῖς αὐτοῦ Ἀνεκδότοις (Τόμ. Α' καὶ Β', ἐν Ἀμβούργῃ 1722), ἐξ ὧν Γαλλάνδος ἐν τῷ ΙΓ' Τόμῳ τῆς ὑπ' αὐτοῦ ἐκδοθείσης Βιβλιοθήκης τῶν Πατέρων τοῦτο μετετύπωσεν.

Ε'. Συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς, συνειλεγμέναι ἐκ τῶν Συνοδικῶν καὶ Ἱστορικῶν Γραφῶν περὶ Ἐπισκόπων καὶ Μητροπολιτῶν, καὶ λοιπῶν ἑτέρων ἀναγκαίων ζητημάτων.— Ἐρωτήματα δέκα σὺν ἴσαις ταῖς ἀποκρίσεσιν.— Ταύτας πρῶτος ἐξέδωκεν ὁ Φραγκίσκος Φοντάνας, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἡμῖν εἴρηται (§ ιδ'), ἐν τῷ Α' Τόμῳ τοῦ συγγράμματος αὐτοῦ, ὃ ἐπιγέγραπται "Novæ eruditorum deliciæ" (Fiorentiæ 1785) μετὰ σημειώσεων καὶ προλόγου, ἐν ᾧ πολλὰ τῶν κατὰ ΦΩΤΙΟΥ εἰρημένων τοῖς περὶ Βαρώνιον ἀναιρεῖ, καὶ ψευδομένους αὐτοὺς ἐξελέγχει, ἔτι δὲ καὶ τὰ ΦΩΤΙΟΥ καταλέγει συγγράμματα. Ἀλλ' ὁ πρόλογος οὗτος, τοιοῦτος ὤν, καὶ αὐτοῦ δὴ τοῦ συγγράμματος ἡ ὑπόθεσις, αἴτια γεγόνασι τοῦ ταχὺ πᾶν ἀπολωλέναι τὸ ἀξιόλογον ἐκεῖνο τοῦ Φοντάνα ἐράνισμα. Διὰ γὰρ τὸν πρόλογον οἱ τῶν Παπιστῶν εὐσεβέστατοι ἅπαν ἐξωλόθρευσαν τὸ σύγγραμμα, πυρὶ παραδιδόντες αὐτό, ὡς ὀρθῶς εἰκάζει Στέφ. ὁ Οἰκονόμου.[2] Διὰ δὴ τοῦτο ἔγνωμεν ἡμεῖς αὐτὸ ἐν τῷ παρόντι συνεκδοῦναι τεύχει, ἐκ τοῦ Φοντάνα παραλαβόντες.

---

[1] Οὕτω μὲν ὁ τὴν Φωτίου βιογραφίαν ἐν τῷ Σμιθίου Λεξικῷ συντάξας εἰκάζει. Οὐόλφιος δὲ τοὐναντίον φησί, Πέτρον τὸν Σικελὸν πολλὰ τῶν Φωτίου ἐν τῇ ἰδίᾳ συγγραφῇ (Ἱστορία περὶ τῆς καινῆς καὶ ματαίας τῶν Μανιχαίων αἱρέσεως κ.τ.λ.) ἀπανθίσασθαι.—Ἴδε Ἀμφιλ. Προλεγ. σελ. μθ'. σημ. γ'.

[2] Αὐτόθ. σημ. Γ'. Ἄλλην δὲ τῶν Παπιστῶν εἰλικρίνειαν ὁ σοφὸς ἐλέγχει Βασνάγιος, δικαίως θαυμάζων, ὅτι ἄνδρες Θεολόγοι καὶ Κριτικοὶ ἐπαγγελλόμενοι τοσαύτην ἐπιδείκνυνται μοχθηρίαν, ὥστε καὶ τὴν ἐπιγραφὴν τοῦ συγγραμματίου τούτου μεταποιεῖν, οἷα δὴ Λαμβέκιος οὐκ ἠσχύνθη ποιῆσαι, οὕτωσὶ τὴν ἐπιγραφὴν ταύτην ἐκλατινίζων. "Photii Patriarchae Constantinopolitani liber schismaticus de

Digitized by Google

ΣΤ'. Λόγος εἰς τὸ Γενέσιον τῆς Ὑπεραγίας Θεοτόκου, οὗ ἡ ἀρχὴ ὧδε παρά τε Φαβρικίῳ καὶ Καζιμήρῳ Οὐδίνῳ ἐκφέρεται. "Πᾶσα μὲν ἑορτὴ καὶ "πᾶσα πανήγυρις, καθ' ἣν ὁ τῶν εὐσεβούντων φαιδρύνεται σύλλογος, λύει μὲν τὰς πρὸς "ἀλλήλους διαφορὰς καὶ τὰς ἔριδας, συνάγει [δὲ] καὶ τοὺς ἀπ' ἀλλήλων γνώμῃ διεστῶ- "τας, καὶ τὸν δεσμὸν τοῦ φίλτρου στάσει λύσαντας." Τοῦτον τὸν Λόγον πρῶτος ἐξέδωκεν ὁ Κομβεφίσιος ἐν τῷ Ἀναπληρώματι τῆς τῶν Πατέρων βιβλιοθήκης (Τόμ. Α', σελ. 1583· ἐν Παρισίοις 1648), καὶ Λατινιστὶ ἔπειτα (ἐν Παρισ. 1662)· ἐκ δὲ Κομβεφισίου καὶ Γαλλάνδος παραλαβὼν ἐξέδωκεν ἀμφότερα, τό τε κείμενον καὶ τὴν Λατινικὴν μετάφρασιν, ἐν τῇ ἰδίᾳ αὐτοῦ Βιβλιοθήκῃ τῶν Πατέρων. Λαμβέκιος δὲ μετὰ τοῦ Λόγου τούτου καὶ τὸν ἄλλον ἐκεῖνον συνεξέδωκεν, ὃς ἐπιγέγραπται "Ἔκφρασις τῆς ἐν τοῖς βασιλείοις νέας Ἐκκλησίας τῆς Ὑπεραγίας Θεοτόκου, ὑπὸ Βασιλείου τοῦ Μακεδόνος οἰκοδομηθείσης" (Σημειώσεις Λαμβεκίου εἰς Κωδινόν, σελ. 296). Καὶ ὁ ἡμέτερος δὲ Εὐγένιος ὁ Βούλγαρις ἀμφοτέρους τούτους τοὺς Λόγους ἐξέδωκεν ἐν τῷ Ε' Τόμῳ τῶν Θεοδωρήτου σωζομένων (ἐν Χάλλῃ 1775). Ἀλλὰ καὶ ἐν τῇ σειρᾷ τῶν Βυζαντινῶν Ἱστορικῶν εὕρηται μετατυπωθεῖσα ἡ "Ἔκφρασις."—Ἴδε "Γεωργίου τοῦ Κωδινοῦ παρεκβολαὶ κ.τ.λ." σελ. 195—202, ἔκδ. Βόννης.—Καὶ τρίτον δὲ ΦΩΤΙΟΥ Λόγον "εἰς τὴν ταφὴν τοῦ Κυρίου" ἐξέδωκεν ὁ σοφὸς Καρδινάλιος Μάϊος,[1] ὃν εἰκότως οἱ περὶ Σμίθιον ἀπόσπασμα Λόγου τοιούτου εἰκάζουσιν εἶναι. Ὁμοίως δὲ καὶ τὸ "περὶ τοῦ μὴ δεῖν πρὸς τὰ ἐν τῷ βίῳ λυπηρὰ ἐπιστρέφεσθαι," ὅπερ ἄλλοι λέγουσιν Ὁμιλίαν εἶναι, ἀπόσπασμα ἐπιστολῆς παρ' αὐτῶν κρίνεται. Τοῦτο δὴ καὶ ἡμεῖς, ὡς τοιοῦτον, ἐν ταῖς ἐπιστολαῖς ὑπ' ἀριθμὸν 141 ἐτάξαμεν, ἐκ τοῦ "Eccles. Græc. monumenta" τοῦ Ἰωάννου Βαπτιστοῦ Κοτελερίου ἀντιγράψαντες αὐτό.

Ζ'. Κρίσεις καὶ ἐπιλύσεις πέντε κεφαλαίων, τῷ θεοφιλεστάτῳ, ὁσιωτάτῳ συλλειτουργῷ Λέοντι Ἀρχιεπισκόπῳ Καισαρείας. Καὶ ταύτας ἐξέδωκεν ὁ Καρδιν. Μάϊος ὑπὸ τὴν ἐπιγραφὴν "Responsa Canonica" ἐν τῷ πρώτῳ Τόμῳ τῆς Συλλογῆς, ἧς ἄρτι ἐμνήσθημεν. Καταδικάζει δὲ τὴν ἔκδοσιν ταύτην ὁ ἡμέτερος Σοφ. Οἰκονόμου, ὡς ἀμελῶς γενομένην.[2]

Episcopis et Metropolitis aliisque quaestionibus contra Romanos sive Latinos." τοῦτ' ἔστιν—Φωτίου τοῦ Πατριάρχου Κωνσταντινουπόλεως βιβλίον σχισματικὸν περὶ Ἐπισκόπων καὶ Μητροπολιτῶν καὶ ἄλλων ζητημάτων κατὰ Ῥωμαίων ἢ Λατίνων.—Ταύτην δὴ τὴν ὑπὸ Λαμβεκίου οὕτως ἀναιδῶς μεταβεβλημένην ἐπιγραφὴν παρατιθεὶς Βασνάγιος ἐπιλέγει· "Καὶ τὸ Λαμβεκίου τοῦτο παραχάραγμα ἦν ἂν πιστευτόν, "εἰ μὴ τῇ Λατινικῇ αὐτοῦ μεταφράσει καὶ τὴν Ἑλληνικὴν παρετίθει ἐπιγραφήν, ἣν ἐλευθέρως πάνυ (ἵνα "μή τι χεῖρον εἴπω) ὑπὸ Λαμβεκίου ἐκλατινισθεῖσαν ἡμεῖς Ἕλληνιστί τε καὶ Λατινιστὶ παραθήσομεν, "ὅπως ἴδωσιν οἱ ἀναγινώσκοντες, ὁπόσον ἡ Λαμβεκίου μετάφρασις τῆς ἀληθείας ἀφίσταται." Τοῦτο δὲ ποιήσας ὁ ἀληθῶς σοφὸς καὶ φιλαλήθης ἀνήρ, καὶ τὴν Λαμβεκίου μοχθηρίαν ἐλέγξας, πρὸς τὸν ἀναγινώσκοντα τὸν λόγον στρέφων φησίν· Judicet Lector! "Κρινάτω ὁ ἀναγινώσκων" (Jacobi Basnagii de Photio ejusque scriptis observatio.—ἐν τῷ Canisii Lectiones antiquae etc. Tom. II. pars. II. p. 378.

[1] Scriptor. veter. nova collect. proleg. in Vol. I. p. XLI.

[2] Ἀμφιλοχ. Προλεγ. σελ. ν'.

Digitized by Google

Η'. Περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγιας.[1] Τὴν πραγματείαν ταύτην πρῶτος ἐξέδωκεν ἐπ' ἐσχάτων ὁ Καθηγητὴς τῆς Θεολογίας Ἐργενροίθηρος (ἐν Ῥατισβόνῃ 1857), τὰ μὲν ἄλλα κομψῶς, οὐ μέντοι καὶ γραφικῶν παροραμάτων καθαρεύουσαν, ὡς ὁ αὐτὸς Σοφ. Οἰκονόμου παρατηρεῖ, ὃς καὶ τὰς ὑπὸ τοῦ ἐκδότου προστεθειμένας ἱστορικὰς καὶ θεολογικὰς σημειώσεις ἀναξίας τῆς τοῦ γράψαντος πολυμαθείας οὐκ ἀπεικότως ἀποκαλεῖ.

Θ'. Ἐπιστολαί, περὶ πολλῶν καὶ ποικίλων ὑποθέσεων πραγματευόμεναι. Εἰσὶ γὰρ αὐτῶν, ὥσπερ προείρηται,[2] αἱ μὲν δογματικαὶ καὶ τῶν θείων Γραφῶν ἑρμηνευτικαί, αἱ δὲ παραινετικαί, αἱ δὲ παραμυθητικαὶ θλιβομένων, πολλαὶ δὲ καὶ ἐπιτιμητικαὶ ἁμαρτανόντων, καὶ ἄλλαι περὶ ἄλλων, πᾶσαι δὲ γλαφυρότατα γεγραμμέναι, καὶ κατὰ τὸ εἰρημένον "Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται," τὴν τοῦ γράψαντος μαρτυροῦσαι σοφίαν καὶ ἀρετήν. Τούτων τοίνυν τῶν ἐπιστολῶν πέντε μὲν καὶ τριάκοντα ἐξέδωκε τὸ πρῶτον ἐν τέλει τῆς Μυριοβίβλου ὁ πρῶτος κἀκείνης ἐκδότης Δαβὶδ ὁ Οἰσχέλιος (1601) ἐξ ἀπογράφου τοῦ Μαξίμου Μαργουνίου, Ἐπισκόπου Κυθήρων· κατὰ δὲ τὸ αὐτὸ ἔτος καὶ Κορράδος ὁ Ῥιττερσχώσιος ἐξέδωκεν ἐν Νυρεμβέργῃ τὴν πρὸς Εὐσεβίαν τὴν μονάζουσαν, παραμυθητικὴν ἐπὶ ἀδελφῇ τελευτησάσῃ, μετὰ Λατινικῆς μεταφράσεως.[3] Ἀλλὰ μετὰ πεντήκοντα ἔτη (1651) ἐξεδόθη ἐν Λονδίνῳ, εἰ καὶ μὴ πλήρης, ἀλλ' οὖν γε τὰς πλείστας τῶν ΦΩΤΙΟΥ ἐπιστολῶν περιέχουσα συλλογή, ἣν Ῥιχάρδος μὲν ὁ Μοντακούτιος, Ἐπίσκοπος Νορουϊκίας, ἐκ κώδηκος τῆς ἐν Ὀξωνίᾳ Βοτλεϊανῆς βιβλιοθήκης παρεσκεύασε μετὰ Λατινικῆς μεταφράσεως καί τινων σημειώσεων, Δανιὴλ δὲ ὁ Ῥόγηρος, ἐκείνου τετελευτηκότος, ἐξέδωκε, καὶ ἑτέρας προσθεὶς πέντε, ἃς εὗρεν ἐν τῇ Ἀνατολῇ ὁ Χριστιανὸς Ῥάβιος· ὥστε εἶναι τὰς πάσας ἐν τῇ συλλογῇ ἐκείνῃ τρεῖς καὶ πεντήκοντα καὶ διακοσίας. Περὶ δὲ τῶν ὑπὸ τοῦ Πατριάρχου Δοσιθέου ἐν Τόμῳ Χαρᾶς ἐκδεδομένων, καὶ τῶν σποράδην ὑπό τινων ἄλλων, καὶ περὶ τῆς παρούσης ἐκδόσεως, ἐν ὅλῳ τῷ δευτέρῳ Κεφαλαίῳ τῶν Προλεγομένων τούτων διὰ μακρῶν εἴρηται τὰ προσήκοντα.

Ι'. Ὠδαί. Καὶ ᾠδὰς ἐννέα ἔγραψεν ὁ πολυγραφότατος ΦΩΤΙΟΣ, ἐν τῇ τῶν Παρισίων Κλερμοντινῇ βιβλιοθήκῃ ἀνεκδότους ἀποκειμένας, ὥς φησι Λαββαῖος. Ἐκδέδονται δ' ὅμως τρεῖς αὐτῶν ὑπὸ τοῦ σοφοῦ Καρδιναλίου Μαΐου ἐν τῇ Ῥωμαϊκῇ Σταχυολογίᾳ (Spicilegium Romanum, Tom. IX. p. 739)· καὶ τούτων ἡ μὲν πρώτη ἐπιγρά-

---

[1] Παρὰ ταύτην καὶ ἄλλης μνημονεύει τοιαύτης πραγματείας ὁ ἀοίδιμος Κ. Οἰκονόμος, ἣ ἐπιγέγραπται "Περὶ τοῦ ἁγίου καὶ ζωοποιοῦ καὶ προσκυνητοῦ Πνεύματος. Φώτιος ἐλέῳ Θεοῦ Ἐπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, τῷ Ὁσιωτάτῳ καὶ εὐλαβεστάτῳ Ἐπισκόπῳ Βέδᾳ ἐν Κυρίῳ χαίρειν." Ἀπόκειται δὲ αὕτη ἀνέκδοτος ἐν τῇ τοῦ Οὐατικανοῦ βιβλιοθήκῃ (Περὶ τῶν Ο' ἑρμην. τῆς Παλ. θείας Γραφῆς. Τόμ. Δ', σελ. 756 σημ.).

[2] Ἴδε ἐν τοῖς ἔμπροσθεν § ιε'.

[3] Ἡ Ἐπιστολὴ αὕτη ὑπ' ἀριθμὸν ρμδ' ἐν τῇ παρούσῃ τέτακται συλλογῇ.

Digitized by Google

φεται "Ὕμνος ἐκ προσώπου Βασιλείου Δεσπότου·" ἡ δὲ δευτέρα "Ὕμνος ἐκ προσώπου τῆς Ἐκκλησίας εἰς Βασίλειον τὸν φιλόχριστον Βασιλέα·" ἡ δὲ τρίτη "Ὕμνος ἐγκωμιαστικὸς εἰς Βασίλειον τὸν φιλόχριστον Δεσπότην." Ἑκάστης δὲ τῶν ᾠδῶν τούτων εἰς εἴκοσι καὶ τέσσαρα διαιρουμένης τετράστιχα, ἕκαστον τῶν τετραστίχων ἀφ' ἑνὸς ἄρχεται τῶν εἰκοσιτεσσάρων γραμμάτων, ἐξῆς λαμβανομένων. Ἡ τρίτη ὅμως οὐκ ἔστιν ἀκέραιος, ἀλλὰ μέχρι τοῦ γράμματος Ζ.

ΙΑ'. Νομοκάνων. Εἴρηται μὲν ἐν τοῖς ἔμπροσθεν (§ νέ), ὅτι ΦΩΤΙΟΣ ἐν τῇ δευτέρᾳ αὐτοῦ Πατριαρχείᾳ τῷ τε Αὐτοκράτορι Βασιλείῳ εἰς τὴν τῶν πολιτικῶν νόμων ἀναθεώρησιν συνεπελάβετο, καὶ αὐτὸς τὸν Νομοκάνονα συνέταξεν. Ῥητέον δ' ἐνταῦθα, ὅτι συλλογὴ τῶν Ἀποστολικῶν καὶ Συνοδικῶν κανόνων ἐστὶν ὁ οὕτω καλούμενος Νομοκάνων, εἰς τεσσαρασκαίδεκα διαιρούμενος τίτλους, ὧν ἕκαστος εἰς κεφάλαια ὑποδιαιρεῖται. Τοιαύτη δὲ συλλογὴ ὑπῆρχε μὲν καὶ πρότερον ἀπὸ τοῦ Ζ' αἰῶνος, οὐ μέντοι πάντας, ἀλλὰ μόνους τοὺς τῶν πέντε Οἰκουμενικῶν Συνόδων κανόνας περιελάμβανεν· ΦΩΤΙΟΣ δὲ πλήρη ταύτην ἐκπονήσας, πάντας ἐν αὐτῇ περιέλαβε. Καὶ πρῶτον μὲν ἐξέδωκε τὸ οὕτως ἐπιγραφόμενον "Σύνταγμα τῶν κανόνων" εἰς τεσσαρασκαίδεκα διαιρούμενον τίτλους, ἐν οἷς περιέχονται οἵ τε Ἀποστολικοὶ καὶ Συνοδικοὶ κανόνες, καὶ οἱ κανόνων τάξιν ἐπέχοντες λόγοι τῶν ἁγίων Πατέρων, ἔτι δὲ καὶ οἱ τούτοις παράλληλοι τῶν πολιτικῶν νόμων. Ἐν ἔτει δὲ 883 τὸν Νομοκάνονα συνέταξεν, ἐν ᾧ καὶ τῶν ἐπ' αὐτοῦ γενομένων δύο Συνόδων τοὺς κανόνας συμπεριέλαβεν, πληρεστάτην οὕτως ἀπαρτίσας τὴν συλλογὴν καὶ πάσης ἄλλης προφερεστέραν. Ὅθεν ὁ τὸν Νομοκάνονα σχολιάσας Βαλσαμὼν ὀρθῶς παραινεῖ πᾶσαν ἄλλην τοιαύτην συλλογὴν παραβλέποντας ταύτῃ μόνῃ προσέχειν τῇ ὑπὸ ΦΩΤΙΟΥ γενομένῃ. "Παρεγγυῶμαι (λέγει) πᾶσι τοῖς μέλλουσιν ἀναγινώσκειν Νομοκόνονον μὴ προσχεῖν τοῖς παλαιοτέροις βιβλίοις, ἀλλ' ἀναγινώσκειν τὸ παρὰ τοῦ Πατριάρχου ΦΩΤΙΟΥ πονηθὲν καὶ εἰς τεσσαρασκαίδεκα τίτλους διαιρούμενον." Ἐν τούτῳ δὲ τῷ Νομοκάνονι οὐκ ἐκτίθενται οἱ κανόνες αὐταῖς λέξεσιν· ἀλλ' ἑκάστης ὑποθέσεως προβαλλομένης, σημειοῦνται οἱ ἀριθμοὶ τῶν περὶ ταύτης πραγματευομένων Ἀποστολικῶν καὶ Συνοδικῶν κανόνων, καὶ τούτοις παρατίθενται ὅσοι τῶν πολιτικῶν νόμων συνῳδὰ τοῖς Ἐκκλησιαστικοῖς κανόσι διακελεύονται. Δῆλον οὖν ἐντεῦθεν, ὅτι πλείστου ἄξιόν ἐστι καὶ τὸ περίφημον τοῦτο ΦΩΤΙΟΥ σύνταγμα, ὅπερ καὶ Λατινιστὶ μετεφράσθη, καὶ Ῥωσσιστὶ δέ, καὶ πολλάκις ἐξεδόθη ἀπὸ τοῦ 1561 μέχρι τοῦ νῦν. Τελευταία δὲ καὶ λόγου ἀξία ἔκδοσις αὐτοῦ ἐγένετο ἐν Ἀθήναις ὑπὸ τῶν Κυρίων Γ. Α. Ῥάλλη καὶ Μ. Ποτλῆ ἐν τῷ Α' Τόμῳ τοῦ συντάγματος τῶν θείων καὶ ἱερῶν κανόνων (1852), ἔνθα καὶ περὶ τῶν μέχρι τοῦδε γενομένων ἐκδόσεων αὐτοῦ ἔχει τις ἰδεῖν τὰ προσήκοντα.[1]

[1] Ἴδε περὶ τούτου καὶ Φιλολογ. Σχεδ. περὶ τῶν Συλλογῶν καὶ Κανόνων τῆς Ἀνατ. Ἐκκλ. ὑπὸ Α. Βεινέρου, τὸ ἐκ τοῦ Λατινικοῦ Ἑλληνιστὶ μεταφρασθὲν ὑπὸ Π. Καλλιγᾶ (σελ. 26—31, ἐν Ἀθήναις; 1840) καὶ Schoell—Histoire de la Litterat. Grecque profane, Tom. VII. p. 238—9· μάλιστα δὲ Mortreuil—Hist. du droit Byzantin, etc. Tom. I. p. 222 et suiv. et Tom. II. p. 490—3.

Digitized by Google

ΙΒ'. Ἀμφιλόχια, ἢ λόγων ἱερῶν συλλογή, ἐν ᾗ ζητήματα τῆς θείας Γραφῆς διαλύεται. Περὶ τοῦ πολυτιμοτάτου τούτου συγγράμματος ἡμεῖς μὲν πάντως, ἄλλοι δ' ἴσως οὔτε πλείω οὔτε κρείττονα δυνήσονται εἰπεῖν τῶν ἐν τῇ ἐσχάτῃ τούτου ἐκδόσει ὑπὸ Σοφοκλέους Κ. Οἰκονόμου εἰρημένων. Δι' ὃ μικρὰ περὶ τούτου λέγοντες, ἐκεῖ παραπέμψομεν τοὺς ἐν ἀκριβείᾳ βουλομένους μαθεῖν τό τε περιεχόμενον ἐν αὐτῷ καὶ τὰς πολλὰς καὶ παντοίας ἐκδόσεις τὰς ἐκ πολλῶν τῶν σωζομένων χειρογράφων γενομένας κ.τ.λ. [1] Ἐν γοῦν τῷ καιρῷ τοῦ πρώτου διωγμοῦ τὸ πολύτιμον τοῦτο σύγγραμμα ὁ ἀοίδιμος Πατριάρχης ἐφιλοπόνησεν· πολλὰ δ' ἐν αὐτῷ τῶν θείων Γραφῶν ἑρμηνεύει μέρη πρὸς Ἀμφιλόχιον τὸν Κυζίκου Μητροπολίτην, ἐξ οὗ καὶ Ἀμφιλόχια ἐπιγέγραπται· [2] μάλιστα γὰρ ἐφίλει τε καὶ ἐτίμα ΦΩΤΙΟΣ τὸν Ἱεράρχην ἐκεῖνον, ὡς ἐκ τῶν πρὸς αὐτὸν γραφομένων φαίνεται. Σπουδαιότατον δὲ ὂν τοῦτο τῶν ΦΩΤΙΟΥ συγγραμμάτων, ἐν πολλοῖς μὲν διετηρήθη ἀντιγράφοις, πολλὰς δὲ καὶ παντοίας ἔλαβεν ἐκδόσεις, μερικάς τε καὶ ὁλικάς· ὧν ἁπασῶν πληρεστάτη ἐστὶ καὶ ἀκριβεστάτη ἡ ἐν Ἀθήναις γενομένη (1858) ἑνδεκάτη, ἔργον τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου Κωνσταντίνου Οἰκονόμου, ἡμιτελὴς μὲν ὑπ' ἐκείνου καταλειφθεῖσα, ὑπὸ δὲ τοῦ ἀξίου ἐκείνου υἱοῦ Σοφοκλέους ἐπιμελῶς συντελεσθεῖσα, ὡς ἐν τοῖς ἔμπροσθεν (§ ιθ') εἴπομεν. Ἐγένετο δὲ ἡ ἔκδοσις αὕτη ἐξ ἀπογράφου, ληφθέντος ἐκ τοῦ κώδηκος τῆς ἐν Ἄθωνι εὐαγοῦς Μονῆς τῆς μεγάλης Λαύρας, καὶ ταύτης προτέτακται σοφὰ προλεγόμενα, ἐξ ὧν καὶ ἡμεῖς πολλὰ τῶν περὶ τοῦ βίου τοῦ ἀοιδίμου Πατριάρχου καὶ τῶν συγγραμμάτων αὐτοῦ ἠρανισάμεθα· ἔτι δὲ καὶ ἡ εἰκὼν αὐτοῦ, οἵα ἐν τῷ αὐτῷ κώδηκι εὕρηται, οὐχὶ δὲ κατ' ἀρέσκειαν ἢ κατὰ φαντασίαν ἰχνογραφηθεῖσα, οἵαν ἰδεῖν ἐστι τὴν ἐν τῇ πρώτῃ ἐκδόσει τῆς Ἰαγέρου ἱστορίας. Ἐκείνην γὰρ Ἰάγερος, ἤτοι καὶ ἐν εἰκόνι τὸν ἀοίδιμον ΦΩΤΙΟΝ ὑβρίσαι προτιθέμενος, ἢ πάντα τὰ κατ' ἐκεῖνον παρηλλαγμένα καὶ ἔξαλλα ἐπιδεῖξαι φιλοτιμούμενος, ἐν τῇ πρώτῃ τῆς ἑαυτοῦ ἱστορίας ἐκδόσει προὔταξε, καλόν γε τοῦτο τῆς τε ἰδίας αὐτοῦ εἰλικρινείας καὶ τῆς μελλούσης ἐν ἅπαντι τῷ συρράμματι ἐπικρατήσειν τερθρείας προτάξας τὸ δεῖγμα· ἀλλὰ μεταμεληθείς, ὡς ἔοικε, τὴν δευτέραν ἐποιήσατο ἔκδοσιν, τὰ μὲν ἄλλα τῆς πρώτης οὐδὲ κεραίαν παραλλάττουσαν, τῆς εἰκόνος δ' ἐκείνης ἔρημον. Ἐντεῦθεν δ' ἴσως ἄν τις ἐλπίσειεν (εἰ ἀλλάξαιτο Αἰθίοψ τὸ δέρμα αὐτοῦ καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς), ὡς ἐν τρίτῃ τῆς ἱστορίας αὐτοῦ ἐκδόσει, λογικώτερόν πως καὶ χριστιανικώτερον σκεπτόμενος, ἀθρόον ἐπανορθώσεται τὸ πλῆθος τῶν ἐν αὐτῇ παρὰ τὴν ἀλήθειαν καὶ τὸ δίκαιον εἰρημένων κατὰ τοῦ, ὡς αὐτὸς ὁμολογεῖ, σοφωτάτου καὶ ὑπὸ τοῦ πνεύματος τοῦ Ἀποστόλου Παύλου ἐμπνεομένου Πατριάρχου. [3]

---

[1] Ἴδε Προλεγ. Ἀμφιλοχ. σελ. νά—ξά.

[2] Εἰς τριακόσια ἦσαν τὰ εἰς λύσιν ὑπὸ τοῦ Ἀμφιλοχίου προτεθειμένα ζητήματα, ὡς αὐτὸς Φώτιος ἐν τῷ προλόγῳ φησίν· "Πῶς δ' ἂν πλῆθος ζητημάτων, εἰς τριακοσίων συγκεφαλαιούμενον ἀριθμὸν (μέχρι "γὰρ τοσούτου τὰ περὶ ταῦτά σου φιλότιμον τὴν παροῦσαν ἡμῶν στενοχωρίαν πλατύνειν ἐνόμισεν), οὐχὶ "καὶ συχνὸν συναναλώσει χρόνον, καὶ τὴν ἡμετέραν σχολὴν ἐκβιάσοιτο;"

[3] Ἴδε ἐν ταῖς περὶ Φωτίου μαρτυρίαις τὴν ἐξ Ἰαγέρου εἰλημμένην.

Digitized by Google

Ταῦτα μέν ἐστι ΦΩΤΙΟΥ τὰ μέχρι νῦν ἐκδεδομένα συγγράμματα· τὰ δ' ἐν ταῖς ἁπανταχοῦ βιβλιοθήκαις ἐν χειρογράφοις ἀποκείμενα τάδε·

ά. Σύμβολον πίστεως πρὸς τοὺς μέλλοντας χειροτονεῖσθαι Ἐπισκόπους. Τούτου μέμνηνται Λαμβέκιος, Κάβεος καὶ Ἀρλέσιος· ἀλλ' ὁ τὴν ΦΩΤΙΟΥ βιογραφίαν ἐν τῷ Σμιθίου Λεξικῷ συγγράψας εἰκάζει οὐκ ἰδίαν εἶναι ταύτην πραγματείαν, ἀλλὰ τῆς πρὸς τὸν Πάπαν Νικόλαον ἐνθρονιστικῆς ἐπιστολῆς ἀπόσπασμα. Ἀπόκειται δὲ κατὰ Λαμβέκιον ἐν τῇ τῆς Βιέννης βιβλιοθήκῃ.

β'. Περὶ τῶν συγγραμμάτων τοῦ ἁγίου Ἀθανασίου, ἐν τῇ τῆς Βασιλείας (Bâle) βιβλιοθήκῃ σωζόμενον.

γ'. Ἑρμηνεῖαι τῶν τοῦ Ἀποστόλου Παύλου ἐπιστολῶν, ἐν τῇ τῆς Κανταβριγίας βιβλιοθήκῃ σωζόμενον, οὐ μέντοι ἀκέραιον, ὡς οἱ περὶ Σμίθιον λέγουσιν. Πολλὰ δ' ἐξ αὐτοῦ ὁ Οἰκουμένιος ἠρύσατο, μᾶλλον δὲ τὰ πλεῖστα, ὡς ἐν τῇ ἐκδόσει τῶν Ὑπομνημάτων αὐτοῦ τῇ ἐν Βερόνῃ γενομένῃ (1532) φαίνεται, ἐν ᾗ τὸ ΦΩΤΙΟΥ ὄνομα ταῖς ἐξ αὐτοῦ εἰλημμέναις μαρτυρίαις παρασημειοῦται.

δ'. Περὶ τοῦ ἁγίου καὶ ζωοποιοῦ καὶ προσκυνητοῦ Πνεύματος, ὅπερ, ὡς ἄρτι εἴπομεν, ὑπὸ Κωνσταντίνου τοῦ Οἰκονόμου μνημονευόμενον, ἔοικεν ἀποκεῖσθαι ἐν τῇ τοῦ Οὐατικανοῦ βιβλιοθήκῃ.

έ. Ὠδαὶ ἐννέα, περὶ ὧν ὀλίγῳ πρότερον εἴπομεν, ὅτι ἐν τῇ τῶν Παρισίων Κλερμοντινῇ βιβλιοθήκῃ σώζονται ἅπασαι· τρεῖς δὲ αὐτῶν, αἵπερ ἐν Ῥώμῃ ἦσαν, ὑπὸ Μαΐου ἐκδέδονται.

στ'. Ἐπιγράμματά τινα, ἐν τῇ Λεονάρδου Φιλαρᾶ τοῦ Ἀθηναίου χειρογράφῳ Ἀνθολογίᾳ εὑρισκόμενα, ἧς τὸ ἀπόγραφον ἐν τῇ Κοισλιανῇ βιβλιοθήκῃ διασώζεται.

ζ'. Ὁμιλίαι τεσσαρεσκαίδεκα ἐν τῷ ναῷ τῆς Ἁγίας Σοφίας καὶ ἐν τῷ τῆς Ἁγίας Εἰρήνης ἐκφωνηθεῖσαι, περὶ ὧν ὁ Γάζης Μητροπολίτης Παΐσιος ὁ Λειγαρίδης ἐν τῇ πρὸς Εἴνσιον ἐπιστολῇ διέλαβεν. Τούτων δ' ἑκάστης τήν τε ὑπόθεσιν καὶ τὴν ἀρχὴν ἐκτίθησι Φαβρίκιος ἐν τῷ ΙΑ' τόμῳ τῆς Ἑλλην. βιβλιοθήκης (σελ. 30—32) καὶ Καζίμηρος Οὐδῖνος ἐκτενέστερον (Comentar. de Script. Eccles. antiq. Tom. II. p. 200), ἐξ οὗ καὶ ἡμεῖς ταύτας παραλαβόντες ἐκτιθέμεθα·[1]

Α'.

Ὁμιλία λεχθεῖσα τῇ ἁγίᾳ Παρασκευῇ ἐν τῷ ἄμβωνι τῆς Ἁγίας Εἰρήνης κατὰ (Φαβρ.

---

[1] Κατὰ δὲ Φαβρίκιον καὶ ἄλλη παρὰ ταύτας σώζεται Φωτίου Ὁμιλία ἐν τῇ τῆς Μόσχας βιβλιοθήκῃ, "Ἐγκώμιον εἰς τὴν ἁγίαν πρωτομάρτυρα Θέκλαν," οὗ ἡ ἀρχή—"Τῆς Θέκλης ἡ μνήμη τῆς πρωτομάρτυρος·" τῶν δὲ ὑπὸ Ἀλεξάνδρου Βαρουετίου μνημονευομένων ἕνδεκα Φωτίου Ὁμιλιῶν, ὡς ἐν τῇ Σκωρελιανῇ βιβλιοθήκῃ ἀποκειμένων, ἄδηλος ἡ ὑπόθεσις καὶ ἡ ἀρχή, πλὴν δύο μόνων, ἅς φησι Φαβρίκιος λεχθῆναι, τὴν μὲν "εἰς τὴν Ἀνάληψιν," τὴν δὲ "εἰς τὴν ἔφοδον τῶν φώτων (in festo Epiphaniæ), ὅπερ Στέφ. Οἰκονόμου γραπτέον εἶναι εἰκάζει "εἰς τὴν ἔφοδον τῶν Ῥὼς" ἢ "εἰς τὴν πρόοδον τῶν φώτων."—Ἴδε Φαβρ. Ἑλ. βιβλ. ἔνθ. ἀνωτ. καὶ Ἀμφιλ. προλεγ. σελ. ξά, σημ. ά.

Digitized by Google

μετὰ) τὴν συμπλήρωσιν τῶν κατηχήσεων, ἧς ἡ ἀρχή—" Ἀλλὰ ταῦτα μὲν προηγουμένῳ " Λόγῳ τοῖς ἤδη παρεσκευασμένοις πρὸς τὸ βάπτισμα, οὔπω δὲ κατηρτισμένοις τὴν " τελειότητα, ἀλλ' ἔτι καὶ τῆς καθάρσεως ἐπιδεομένοις, καὶ τῆς μυστικῆς τραπέζης " ἀπειργομένοις." [1]

Β'.

ΦΩΤΙΟΣ Ἀρχιεπίσκοπος νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης. [2] " Μετὰ " (Φαβρ. κατὰ) τὴν τῶν Κατηχητικῶν λογίων ἀνάγνωσιν, ὧν ὑμεῖς ἐν προσοχῇ καὶ τὴν " τῆς ψυχῆς ἐπιδεικνύντες κατάνυξιν ἐποιεῖσθε τὴν ἀκρόασιν, καὶ ἡμεῖς (Φαβρ. ἡμᾶς) " τὸν παρόντα καιρὸν προσομιλεῖν ὑμῖν ἔγνωμεν ἀποδεῖν."

Γ'.

ΦΩΤΙΟΥ τοῦ ἁγιωτάτου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Ὁμιλία τρίτη, λεχθεῖσα ἐν τῷ ἄμβωνι τῆς Ἁγίας Εἰρήνης τῇ ἁγίᾳ Παρασκευῇ μετὰ τὴν ἀνάγνωσιν τῆς κατὰ συνήθειαν Κατηχήσεως.—" Ὅτε τοῦ Διαβόλου τὸ κράτος σκυλεύεται, ὅτε τοῦ " θανάτου τὸ κέντρον ἀμβλύνεται, ὅτε τὸ κατὰ τοῦ ᾅδου τρόπαιον ἵσταται, τότε τῶν " συνθηκῶν ὑμῖν ὁ πίναξ ὑπαναγινώσκεται, τότε τῆς ὁμολογίας τὸ χειρόγραφον προνο- " μίζεται (Φαβρ. προκομίζεται), τότε τῶν ὑποσχέσεων ἡ ξυλογραφία (Φαβρ. στηλο- " γραφία) θριαμβεύεται. Διὰ τί;"

Δ'.

Τοῦ αὐτοῦ ἁγιωτάτου ΦΩΤΙΟΥ Ὁμιλία πρώτη εἰς τὴν ἔφοδον τῶν Ῥώς.—" Τί " τοῦτο; τίς ἡ χαλεπὴ αὕτη καὶ βαθεῖα πληγὴ καὶ ὀργή; πόθεν ἡμῖν ὁ ὑπερβόρειος " οὗτος καὶ φοβερὸς ἐπέσκηψε κεραυνός;"

Ε'.

Τοῦ αὐτοῦ ἁγιωτάτου ΦΩΤΙΟΥ, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, νέας Ῥώμης, Ὁμιλία δευτέρα εἰς τὴν ἔφοδον τῶν Ῥώς.—" Οἶδα μέν, ἅπαντες συνεπίστασθε, ὅσοι τε " δεινοὶ συνιδεῖν ἀποστροφὴν πρὸς τοὺς ἀνθρώπους Θεοῦ, ὅσοι τε ἀμαθέστερόν πως " πρὸς (Φαβρ. περὶ) τὰ τοῦ Κυρίου διάκεισθε κρίματα."

ΣΤ'.

Τοῦ αὐτοῦ ΦΩΤΙΟΥ, ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως, Ὁμιλία λεχθεῖσα εἰς τὸν Εὐαγγελισμὸν τῆς Ὑπεραγίας Θεοτόκου Μαρίας.—" Φαιδρὰ τῆς παρούσης ἡμέρας

---

[1] Τοιαύτη μὲν φέρεται παρά τε Φαβρικίῳ καὶ Οὐδίνῳ τῆς Ὁμιλίας ταύτης ἡ ἀρχή· ἔοικε δὲ μᾶλλον τὸ δεύτερον εἶναι μέρος τοῦ προοιμίου, ἢ τῆς ὅλης Ὁμιλίας.

[2] Ἴσως γραπτέον κατὰ Γεν. ὡς καὶ ἐν ταῖς ἑξῆς ἁπάσαις φέρεται· " Φωτίου Ἀρχιεπισκόπου κ.τ.λ." Ἔχει δὲ καὶ ἡ δευτέρα αὕτη τὴν αὐτὴν τῇ πρώτῃ ὑπόθεσιν.

Digitized by Google

" καθέστηκεν ἡ πανήγυρις, καὶ λαμπρὰν τὴν χαρὰν τοῖς πέρασιν ἀποφέρεται. Χαρὰν " χορηγεῖ, λύπην παλαιὰν διαλύουσαν. Χαρὰν χορηγεῖ, κοσμικὴν ἀρὰν ἐξορίζουσαν, " καὶ τοῦ πεπτωκότος πάλαι τὴν ἔγερσιν ἐγκαινίζουσαν, καὶ τὴν σωτηρίαν πᾶσιν ἡμῖν " ὑπογράφουσαν."

Ζ'.

Τοῦ αὐτοῦ ἁγιωτάτου ΦΩΤΙΟΥ, Πατριάρχου Κωνσταντινουπόλεως, Ὁμιλία δευτέρα εἰς τὸν Εὐαγγελισμὸν τῆς Ὑπεραγίας Θεοτόκου. Ἐλέχθη ἐπὶ παρουσίᾳ τοῦ Βασιλέως.— " Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν Δυνάμεων, καιροῦ καλοῦντος, μετὰ (Φαβρ. " κατὰ) τοῦ Προφήτου βοήσομαι Δαβίδ, τῶν λογικῶν προβάτων τὰς τῆς Ἐκκλησίας " αὐλὰς ὁρῶν τῷ πλήθει στενοχωρουμένας, πολυανθεῖ τῇ τερπνότητι καὶ ποικιλίᾳ τῶν " συνελευθερωθότων."

Η'.

ΦΩΤΙΟΥ τοῦ ἁγιωτάτου Πατριάρχου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Ὁμιλία εἰς τὰ Βάϊα καὶ εἰς τὸν Λάζαρον.— " Ὅτε τῶν παίδων Ὡσανὰ ἐν τοῖς ὑψίστοις ἀναβοών- " των ἡ Ἐκκλησία σαλπίζει, καὶ τῆς λαμπρᾶς ἐκείνης καὶ θεοπρεπεστάτης φωνῆς ταῖς " ἀκοαῖς τὸν ἦχον ἐλκύσω, μετάρσιος ὅλος γίνομαι τῇ προθυμίᾳ."

Θ'.

Τοῦ αὐτοῦ ἁγιωτάτου ΦΩΤΙΟΥ, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Ὁμιλία ῥηθεῖσα εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ ἁγίῳ Σαββάτῳ.— " Ἀφ' ἑκάστου μὲν τῶν τοῦ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν ἔργων καὶ πράξεων τῆς περὶ " ἡμᾶς φιλανθρωπίας τὸ μέγεθος ἐμφανίζεται, καὶ τῆς σωτηρίας ἡμῶν λαμπρῶς αἱ χάριτες " ἀναπτύσσονται· καὶ πολὺς ὁ τῆς εὐφροσύνης γλυκασμός, ταῖς τῶν ἀνθρώπων ἐπιστα- " ζόμενος ψυχαῖς."

Ι'.

Τοῦ αὐτοῦ ἁγιωτάτου ΦΩΤΙΟΥ, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Ὁμιλία λεχθεῖσα ἐν τῷ ἄμβωνι τῆς Ἁγίας Σοφίας τῇ Παρασκευῇ τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν.— " Ἦκομεν ὑμῖν τὴν προθεσμίαν προφθάσαντες, καὶ τῆς ὀφειλῆς τὴν κατα- " βολὴν προκαταθέσθαι σπουδάσαντες."

ΙΑ'.

Τοῦ αὐτοῦ ΦΩΤΙΟΥ, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Ὁμιλία λεχθεῖσα ἐν τῷ ἄμβωνι τῆς μεγάλης Ἐκκλησίας.[1]— " Τῆς προλαβούσης ὁμιλίας τὸ τέλος, εἴ τι

[1] Τῆσδε τε καὶ τῆς ἀμέσως ἑπομένης ΙΒ' οὐ σημειοῦται ἡ ὑπόθεσις· ἔοικε μέντοι κατὰ τῶν αἱρέσεων ἀμφοτέρας εἰρῆσθαι, ὡς καὶ τὴν ΙΔ'.

Digitized by Google

" μέμνησθε, τὸν Ἄρειον παρεδίδου καθαιρούμενον, τῆς Ἐκκλησίας ἐξωθούμενον, ἀναι-
" σχυντοῦντα, πλαττόμενον, ὑποκρινόμενον τὴν εὐσέβειαν."

IB'.

Τοῦ αὐτοῦ ἁγιωτάτου ΦΩΤΙΟΥ, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Ὁμιλία λεχθεῖσα ἐν τῷ ἄμβωνι τῆς μεγάλης Ἐκκλησίας.—" Τῶν προμάχων τῆς Ἐκκλησίας,
" ὡς καὶ πρόσθεν ἔφημεν, ὑπὸ τῶν ἐχθρῶν τῆς ἀληθείας συσκευασθέντων, καὶ τῶν ἰδίων
" μὲν νομέων τῶν ποιμνίων ἐρημωθέντων."

IΓ'.

Τοῦ αὐτοῦ ἁγιωτάτου ΦΩΤΙΟΥ, Πατριάρχου Κωνσταντινουπόλεως, Ὁμιλία λεχθεῖσα ἐν τῷ ἄμβωνι τῆς μεγάλης Ἐκκλησίας τῷ μεγάλῳ Σαββάτῳ, ἐπὶ παρουσίᾳ τοῦ φιλοχρίστου Βασιλέως, ὅτε ἡ τῆς Θεοτόκου ἐξεικονίσθη καὶ ἀνεκαλύφθη μορφή.—" Σιγᾷν εἴ
" τις διὰ παντὸς μελετήσειε τοῦ βίου, νῦν λάλος τις εἶναι, καὶ πρὸς ῥητόρων τέχναις
" παρεσκευᾶσθαι τὴν γλῶσσαν, εἴπερ ἄλλο τι, διὰ σπουδῆς ἂν ὅτι μάλιστα ποιήσαιτο."

IΔ'.

Τοῦ αὐτοῦ Ὁμιλία λεχθεῖσα ἐν τῷ ἄμβωνι τῆς Ἁγίας Σοφίας, ἡνίκα τοῖς Ὀρθοδόξοις καὶ μεγάλοις ἡμῶν [Βασιλεῦσι] Μιχαὴλ καὶ . . . . ὁ κατὰ πάσης αἱρέσεως ἐστηλογραφήθη θρίαμβος.—" Ἦν ἄρα ἐκ πολλοῦ γεγηρακὼς ὁ χρόνος, καὶ νέαν οὐκ ἔχων ὠδῖνα,
" καθ' ἣν ἀκμάζων ἐθάῤῥει σεμνύνεσθαι."

Ταῦτα μέν ἐστι καὶ τὰ σωζόμενα ΦΩΤΙΟΥ ἀνέκδοτα συγγράμματα· τῶν δ' ἐκλελοιπότων καὶ ἐν ὀνόματι ἐκείνου μνημονευομένων, τὰ μὲν ὡς ἀληθῶς ἐκείνου λέγονται εἶναι, τὰ δὲ ψευδεπιγράφως ἔχειν κρίνονται. Καὶ ὡς γνήσια μὲν ἐκείνου σημειοῦνται—
α') τὸ περὶ τῆς τῶν εἰκόνων προσκυνήσεως,—β') τὸ κατὰ Ἰουλιανοῦ τοῦ παραβάτου, οὗ μνείαν ποιεῖται ἐν ἀρχῇ τῆς ΞΣΤ' ἐπιστολῆς " Χριστοφόρῳ Σπαθαρίῳ κ.τ.λ." ἣν ἴδε.—
γ') τὸ κατὰ Λεοντίου τοῦ αἱρετικοῦ (οὗ καὶ Σουΐδας μνημονεύει ἐν λ. Λεόντιος)·—καὶ δ') ἡ εἰς τὸν Ματθαῖον σειρά. Ψευδεπίγραφα δὲ τάδε νομίζονται·—α') τὰ περὶ τῆς Ἐκκλησίας τῶν Λατίνων αἰτιώματα μερικά·—β') Ἐρωτήσεις Μοναχῶν τινων ἔξω τῆς πόλεως ἀσκουμένων, ἃς οἱ περὶ Σμίθιον ἔργον εἶναι λέγουσι τοῦ ΙΑ' αἰῶνος, ἐπὶ Ἀλεξίου Α' τοῦ Κομνηνοῦ γενόμενον·—γ') Ἐξηγήσεις εἰς τὴν " Κλίμακα," τὴν ὑπὸ Ἰωάννου τοῦ ἐπικαλουμένου Σχολαστικοῦ, καὶ συνηθέστερον Κλιμάκου, συντεθεῖσαν, αἵπερ οὐ ΦΩΤΙΟΥ, ἀλλ' Ἡλία τοῦ Μητροπολίτου Κρήτης εἰσίν, ἕνα πρὸ τοῦ ΦΩΤΙΟΥ αἰῶνα ἀκμάσαντος, καὶ τῇ ἐν Νικαίᾳ τὸ δεύτερον γενομένῃ Συνόδῳ παρόντος·—καὶ δ') τὸ περὶ ἐναντιοφανῶν.[1]

---

[1] Ἴδε περὶ τούτων Φαβρ. Ἑλ. Βιβλ. Τόμ. IX. σελ. 522, καὶ Τόμ. XI. σελ. 37· ἔτι δὲ καὶ τὴν Φωτίου βιογραφ. ἐν τῷ Σμιθίου Λεξικῷ· καὶ Ἀμφιλοχ. προλεγ. σελ. ξά. Τὰ δὲ περὶ Ἰωάννου τοῦ Σχολαστικοῦ καὶ

Digitized by Google

Ε'.

ξβ'. Καὶ τοσαῦτα μὲν ἡμεῖς, ὀλίγα ἐκ πολλῶν, ὅσα τις ἔχει εἰπεῖν, περὶ τε τοῦ βίου καὶ τῶν συγγραμμάτων τοῦ σοφωτάτου Πατριάρχου ΦΩΤΙΟΥ, τοῦ γενναίου καὶ ἀηττήτου τῆς Ὀρθοδοξίας προμάχου καὶ σωτῆρος. Τὰ δὲ πλείω, ὡς καὶ ἀρχόμενοι ἐλέγομεν, ἔκ τε τῶν ἐπιμελῶς συντεταγμένων προλεγομένων ὑπὸ τοῦ πολυμαθοῦς τῶν Ἀμφιλοχίων ἐκδότου, οὗ πολλάκις ἐμνήσθημεν, καὶ ἐκ τῶν Παπιστικῶν ἐλέγχων, ἔργου καὶ τούτου πολυτίμου τοῦ πολυομμάτου ἀομμάτου Καθηγητοῦ τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς, καὶ τοῦ ἐν ἰατροῖς καὶ φιλολόγοις εὐδοκιμωτάτου Στεφ. Καραθεοδωρῆ, καὶ ἐκ τῶν πρότερον ὑπὸ Δοσιθέου συγγεγραμμένων καὶ ἐκδεδομένων, καὶ Ἠλία τοῦ Μηνιάτου, καὶ Νικηφόρου Θετόκη τοῦ πάνυ, καὶ πολλῶν ἄλλων σοφῶν καὶ εὐσεβῶν ἀνδρῶν, ἡμετέρων τε καὶ ἀλλοδαπῶν, ὧν πολλάκις ἐν τοῖς ἔμπροσθεν ἐμνήσθημεν, ἔξουσιν οἱ βουλόμενοι καταμαθεῖν· μάλιστα δὲ πάντων ἔκ τε τῶν ἄλλων ΦΩΤΙΟΥ συγγραμμάτων, καὶ ἐκ τῶν ἐπιστολῶν αὐτοῦ, ἐν αἷς ἡ μεγάλη τοῦ ἀνδρὸς καταφαίνεται σοφία καὶ ἀρετή. "Κατόπτρῳ μὲν γὰρ ἐμφανίζεται τύπος τῆς μορφῆς τοῦ σώματος, ὁμιλίαις δὲ καὶ λόγοις τὸ τῆς ψυχῆς ἦθος χαρακτηρίζεται." Νῦν δὲ ὀλίγας ἐκ τῶν πολλῶν παραθήσομεν περὶ ΦΩΤΙΟΥ μαρτυρίας ἔκ τε τῶν συγχρόνων αὐτῷ καὶ τῶν ἔπειτα, καὶ δὴ καὶ ἐξ αὐτῶν αὐτοῦ τῶν ἀμειλίκτων πολεμίων καὶ ἀσεβῶν συκοφαντῶν, οἷοί πέρ εἰσι Νικήτας Δαβὶδ ὁ Παφλαγονίας Ἐπίσκοπος, ὁ καὶ φιλόσοφος, οὐκ οἶδ' ὅπως, ἐπικληθείς, καὶ νεώτατος πάντων ὁ Γαλάτης Ἀββᾶς Ἰάγερος. Ἵνα γὰρ κατὰ ΦΩΤΙΟΝ αὐτὸν εἴπω, "ἆ [παρὰ] τοῖς ἐχθροῖς εἰς ἔπαινον ὁρᾷ μαρτυρίας, οὐκ ἔστιν ὅστις οὐκ ἂν ἐκδυσωπηθείη, κἂν μέγα θέλῃ φρονεῖν ἐπὶ τὸ πάντα φιλόνεικος εἶναι." Ταῦτα δὲ περὶ τοῦ θεηγόρου Παύλου πρὸς Γεώργιον γράφων τὸν Μητροπολίτην Κυζίκου (ἐπιστ. ΚΖ'), καὶ τοὺς τοῦ Ἀποστόλου διώκτας ὑπὲρ τῆς σοφίας ἐκείνου παράγων μαρτυροῦντας, καὶ τάδε προστίθησιν, αὐτῷ μάλιστα προσήκοντα τῷ τοῦ Παύλου μιμητῇ. "Ὁρᾷς, ὅπως τοὺς ἐχθίστους καὶ ἄκοντας ἡ τῶν τοῦ ἀριστέως λόγων δύναμις εἰς μαρτυρίαν ἐξεβιάσατο; Ὅτε δὲ καὶ τοῖς ἐχθροῖς ἡ Παύλου σοφία ἔργῳ καὶ λόγῳ διαβεβόηται, πῶς τοῖς ἐκεῖθεν τὰ τῆς εὐσεβείας μεμυημένοις οὐ διαφερόντως καὶ ἀξίως τιμηθήσεται;" Οὕτως ἄρα τῶν μὲν Φωτιομάχων σαφέστερον ἐξελεγχθήσεται ἡ ἀδικία, τοῦ δὲ ἀοιδίμου Πατριάρχου λαμπρότερον ἀπαυγάσει τὸ κλέος, ὃ κατὰ τὸν ποι-

---

τῆς ὑπ' αὐτοῦ συγγεγραμμένης Κλίμακος διὰ μακρῶν ἱστορεῖ ὁ Δουπῖνος (Nouvel. Biblioth. des auteurs Eccles. Tom. V. p. 98—101).

Digitized by Google

ητὴν οὔ ποτ' ὀλεῖται· ἀλλὰ παρὰ μὲν ἀνθρώποις τοῖς νοῦν ἔχουσιν ἀκήρατον διαμενεῖ,

Ἔς τ' ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ τεθήλῃ,
ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
καὶ ποταμοὶ πλήθωσιν, ἀνακλύζῃ δὲ θάλασσα· [1]

παρὰ δὲ Θεῷ, τῷ τοὺς Ἁγίους αὐτοῦ δοξάζοντι, καὶ τοὺς ἕνεκεν αὐτοῦ μισουμένους, καὶ ἀφοριζομένους, καὶ ὀνειδιζομένους, καὶ κακῶς ἀκούοντας ὑπὸ τῶν ἀνθρώπων, μακαρίους ποιήσειν ἐπαγγειλαμένῳ, ΕΙΣ ΑΙΩΝΑΣ ΑΙΩΝΩΝ.

Ταῦτά μοι ἐν Λονδίνῳ, ἔτους ἀρχομένου Σωτηρίου τοῦ 1863, *ἐγράφετο.* [2]

I. N. B.

---

[1] *Ὁμήρ. Ἐπίγραμ. Γ'.*

[2] *Ἐνταῦθά μοι τοῦ προλόγου περατουμένου, δηλῶσαι τοῖς ἐντυγχάνουσιν ὀφείλω, ὅτι τὰ Φωτίου συγγράμματα καὶ τὰς παντοίας αὐτῶν ἐκδόσεις καταριθμῶν, οὔπω τὴν ἐν τῇ Μιγνίου Πατρολογίᾳ τετράτομον ἔκδοσιν τῶν ἁπάντων αὐτοῦ συγγραμμάτων ἑωράκειν· ὀψὲ δὲ ταύτην εἶδον ἐν τῇ βιβλιοθήκῃ τοῦ Βρεττανικοῦ Μουσείου εἰς κοινὴν ἐκτεθεῖσαν χρῆσιν τῶν ἐν αὐτῷ τὰς μελέτας ποιουμένων, ἤδη μου τῶν χειρογράφων τῷ τυπωτῇ παραδεδομένων, καὶ τῆς τοῦ προλόγου τοῦδε τυπώσεως ἐπὶ τοσοῦτον προηγμένης, ὥστε μηκέτι μὲν ἐγχωρεῖν περὶ τῆς ἐκδόσεως ταύτης λόγον ποιήσασθαι, μόνον δ' ἐξεῖναι ἀπ' αὐτῆς καρπώσασθαι, εἴ τι ἐν τῷ κειμένῳ τῶν ἐπιστολῶν ἐπὶ τὸ βέλτιον διώρθωται· ἀλλὰ καὶ ταῦτα μικρά τινα τυγχάνει ὄντα τὰ διορθώματα, τῶν πλείστων, οὐκ οἶδ' ὅπως, ἀδιορθώτων καταλειφθέντων κατά τε τὴν Μοντακουτίου καὶ Ἰαγέρου ἔκδοσιν, καὶ τῶν ἄλλων, ὅσοι Φωτίου ἐπιστολὰς ἐκδεδώκασιν. Ὅμως δὲ καὶ ταύτην ἐφεξῆς πρόχειρον ἔχοντες τὴν ἔκδοσιν τῶν Φωτίου συγγραμμάτων, ὑποδείξομεν ἑκασταχοῦ τὰς διαφοράς. Περιέχει δὲ ἡ τετράτομος αὕτη ἔκδοσις* (Migne—Patrologiæ cursus completus — Series Græca — Tom. 101, 102, 103 *καὶ* 104) *πάντα τὰ μέχρι νῦν ἐκδεδομένα τῶν Φωτίου συγγραμμάτων, οἷα ταῦτα ἐν τῷ Δ' μέρει τοῦ παρόντος προλόγου διεδηλώσαμεν, πλὴν τοῦ Λεξικοῦ, καὶ τῆς ἐπιτομῆς τῶν Ἐκκλησιαστικῶν Ἱστοριῶν Φιλοστοργίου.*

Digitized by Google

ΜΑΡΤΥΡΙΑΙ ΠΕΡΙ ΦΩΤΙΟΥ

ΕΚ ΤΕ ΤΩΝ ΣΥΓΧΡΟΝΩΝ ΑΥΤΩι ΚΑΙ ΝΕΩΤΕΡΩΝ.

'Αρεταὶ δ' αἰεὶ μεγάλαι πολύμνηστοι. (Πίνδ.)

Α'.

'Εκ τῆς ἐπιστολῆς τοῦ Πάπα ΙΩΑΝΝΟΥ Η' πρὸς
Βασίλειον τὸν Αὐτοκράτορα.

"... Διὰ τοῦτο καὶ ἡμεῖς τῇ αὐθεντίᾳ τοῦ κορυφαίου τῶν 'Αποστόλων Πέτρου χρώμενοι, μετὰ πάσης τῆς καθ' ἡμᾶς ἁγιωτάτης 'Εκκλησίας παρεγγυώμεθα ὑμῖν, καὶ δι' ὑμῶν τοῖς τε ἁγιωτάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν ..... Καὶ πρῶτον μὲν ἀποδέξασθαι Φώτιον τὸν θαυμασιώτατον καὶ εὐλαβέστατον 'Αρχιερέα Θεοῦ, καὶ Πατριάρχην, ἀδελφὸν ἡμῶν καὶ συλλειτουργόν, καὶ τῆς κοινωνίας τῆς πρὸς τὴν ἁγίαν τῶν 'Ρωμαίων 'Εκκλησίαν σύμμοιρόν τε καὶ συμμέτοχον καὶ κληρονόμον, διά τε τὴν ἄλλην ἀρετὴν τὴν προσοῦσαν αὐτῷ, καὶ τὸ τὰ σκάνδαλα ἐκποδὼν γενέσθαι, καὶ τὸ τὴν εἰρήνην τοῦ Θεοῦ καὶ ἀγάπην τὴν εἰς ἀλλήλους ἐν ὑμῖν φυτευθῆναι. Δέξασθε δὲ αὐτὸν ἀδιστάκτῳ καὶ ἀναμφιβόλῳ γνώμῃ καὶ ἀγάπῃ καὶ πίστει, πάντα κακίας καὶ δολιότητος ἰὸν καὶ διψυχίας καὶ ἀμφιβολίας ἐκ τῶν καρδιῶν ὑμῶν ἀπελαύνοντες, καθὼς αὐτὸν ἀπεδέξατο καὶ ἡ τῶν 'Ρωμαίων 'Εκκλησία. 'Αναμανθάνομεν γὰρ σχεδὸν παρὰ πάντων τῶν πρὸς ἡμᾶς ἐκ τῶν αὐτόθι φοιτώντων τὸν ἄνδρα πᾶσι προτερήμασι τοῖς κατὰ Θεὸν κομᾷν, τοῦτο μὲν σοφίᾳ καὶ συνέσει τῇ περὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα πάντων διαφέρων (γρ. διαφέροντα), τοῦτο δέ, περὶ τὴν ἄλλην πρακτικὴν ἀρετὴν καὶ ἐπιμέλειαν τῶν θείων ἐνταλμάτων ἀνεπαίσχυντον ἐργάτην διαβοώμενον· καὶ οὐ δίκαιον ἐκρίναμεν εἶναι τοιοῦτον καὶ τηλικοῦτον ἄνδρα ἀργὸν καὶ ἄπρακτον διαμένειν· ἀλλ' ἐφ' ὑψηλοῦ τῆς καθ' ὑμᾶς 'Εκκλησίας πάλιν ἀνατεθέντα καὶ ἀναλάμψαντα, τά τε αὐτῷ συνήθη καὶ Θεῷ φίλα ἱερεῦσί τε καὶ 'Αρχιερεῦσιν ἔργα διαπράττεσθαι κ.τ.λ."— ('Ιδε ἐν τοῖς ἑξῆς τὴν 'Ιωάννου ταύτην ἐπιστολήν.— Πρακτ. τῆς Η' Συνόδου, πρᾶξ. Β').

Β'.

'Εκ ΝΙΚΗΤΑ ΔΑΒΙΔ, τοῦ Παφλαγονίας 'Επισκόπου
(ἐν βίῳ 'Ιγνατίου).

"'Ην δὲ Φώτιος οὐ τῶν ἀγενῶν τε καὶ ἀνωνύμων, ἀλλὰ καὶ τῶν εὐγενῶν κατὰ σάρκα καὶ περιφανῶν, σοφίᾳ τε κοσμικῇ καὶ συνέσει τῶν ἐν τῇ πολιτείᾳ στρεφομένων εὐδοκιμώτατος πάντων ἐνομίζετο ....

Digitized by Google

ὡς μὴ μόνον, σχεδὸν φάναι, τῶν κατὰ τὴν αὐτοῦ γενεὰν πάντων διενεγκεῖν, ἤδη δὲ καὶ πρὸς τοὺς παλαιοὺς αὐτὸν διαμιλλᾶσθαι. κ.τ.λ."—ἅπερ ἴδε ἐν τοῖς ἔμπροσθεν § κβ'. σημ.—

Γ'.

Ἐκ ΓΕΩΡΓΙΟΥ ΜΟΝΑΧΟΥ

(*ἐν τοῖς βίοις τῶν νέων βασιλέων*).

" Τοῦ δὲ μὴ πεισθέντος, Φώτιον Πατριάρχην ἀντ' αὐτοῦ χειροτονεῖ, Πρωτασηκρῆτιν ὄντα τῷ κατ' ἐκεῖνο καιροῦ καὶ λογιώτατον πάνυ." (*Θεοφ. Χρονογρ. συνέχ. σελ.* 826, *ἔκδ. Βόννης.*)

Δ'.

Ἐκ ΓΕΩΡΓΙΟΥ ΚΕΔΡΗΝΟΥ

(*ἐν τῇ συνόψει τῶν ἱστοριῶν*, Τόμ. Β' σελ. 172, *ἔκδ. Βόννης*).

" Ὃν (Ἰγνάτιον) ἐπεὶ πολλὰ λιτανεύων καὶ δυσωπῶν ὁ Βάρδας συγχωρήσεως ἀξιωθῆναι οὐκ ἠδυνήθη, ἄλλων ἀπογνοὺς πρὸς ἄμυναν διανίσταται, καὶ τῆς Ἐκκλησίας ἐκβάλλει . . . . Φώτιον δέ, ἄνδρα ἐπὶ σοφίᾳ γνώριμον, πρωτασηκρήτην τηνικαῦτα ὑπάρχοντα, προχειρίζεται Πατριάρχην."

Ε'.

Ἐκ τοῦ ΙΩΑΝΝΟΥ ΖΩΝΑΡΑ

(*ἐν Χρονικοῖς* Τόμ. Γ').

" Προχειρίζεται δὲ Πατριάρχην τὸν Φώτιον, ἄνδρα τῶν ἐπισήμων, Πρωτασηκρήτην τότε τυγχάνοντα, καὶ ἐν λόγοις ὀνομαστότατον."

ΣΤ'.

Ἐκ ΜΑΞΙΜΟΥ ΜΑΡΓΟΥΝΙΟΥ, Ἐπισκόπου Κυθήρων [1]

(*ἐν τῇ πρώτῃ ἐκδόσει τῆς Φωτίου Μυριοβίβλου ὑπὸ Δ. Οἰσχελίου* [2]).

" Μάξιμος ὁ Μαργούνιος, ταπεινὸς Κυθήρων Ἐπίσκοπος, τοῖς τῶν λόγων ἐρασταῖς ἐν τοῖς καλοῖς ἐπίδοσιν.—Ἄλλοι μὲν ἄλλους τῶν περὶ τὴν σοφίαν περιττῶν θαυμαζόντων, καὶ ᾧ ἕκαστος ἔχει ἐπιτηδειότητος καὶ δυνάμεως, ταύτῃ πλεκέτω τούτων ἑκάστου καὶ τὰ ἐγκώμια, εἴτε τὴν ἐν λόγοις ἐπαίρων δεινότητα, εἴτε τὸ ἀνθηρὸν καὶ κεκομψευμένον τῆς φράσεως, εἴτε τὸ περὶ τὴν φιλοσοφίαν ἐμβριθές τε καὶ ὅλως ἐξηκριβωμένον καὶ πάγιον. Ἐμοὶ δὲ καὶ πρὸς τοῖς ἄλλοις παντὸς ἄξιος ἐγκωμίου, καὶ

---

[1] Ἦν ὁ Μάξιμος οὗτος τὴν πατρίδα Κρής, Κυθήρων δ' Ἐπίσκοπος, ἐν τῷ ΙΣΤ' αἰῶνι ἀκμάσας, ἀνὴρ τῶν τότε ἐλλογιμώτατος. Περὶ τῶν συγγραμμάτων αὐτοῦ ἴδε Φαβρ. Ἑλ. Βιβλ. Τόμ. Ζ', Η' καὶ Ι'. ἔκδ. Harles.

[2] Καὶ ἐν τῇ δευτέρᾳ δὲ ἐκδόσει, τῇ ὑπὸ Ἀχώττου γενομένῃ, ὡς καὶ ἐν τῇ τῶν Ἐπιστολῶν ὑπὸ Δ. Ῥογήρου, ἡ Μαξίμου αὕτη ἐπιστολὴ τετάκται.

Digitized by Google

μάλα, ὁ σοφώτατος ἐκεῖνος καὶ ἱερὸς πολλάκις ἔδοξε Φώτιος· οὐ μόνον ὅτι τοὺς τῆς ἱερᾶς Ἐκκλησίας ἐμπιστευθεὶς οἴακας, τὸ τοῦ Χριστοῦ λογικὸν ποίμνιον εἰς νομὰς εἰσῆγέ τε καὶ ἐξῆγε σωτηριώδεις, εὐσεβείᾳ τε τῇ πάνυ διατρέφων, καὶ βίου κατακαλλύνων ὀρθότητι, ἀλλ' ὅτι καὶ πᾶσαν μετελθὼν παιδείαν, πάντας τοὺς ἐπ' αὐτοῦ πολλῷ τῷ μέσῳ ὑπερηκόντισεν. Μαρτυροῦσιν αὐτοῦ τὸ πολὺ τῆς σοφίας οἱ Πανηγυρικοὶ τῶν λόγων, οἷς τηλικαύτην ἐνέθηκε τὴν χάριν καὶ τὴν γλυκύτητα, ὡς δεινὸν τίθεσθαι τοὺς ἐντυγχάνοντας τὴν ὀπωσοῦν ἀπὸ τούτων ἀπαλλαγήν. Οὕτω τὰς τῶν ἀκουόντων καταθέλγει ψυχὰς ταῖς τῶν οἰκείων σειρήνων σωστικαῖς ἐπῳδαῖς, καὶ τῷ τῶν πίστεων ἐφελκυστικῷ τὸ τῆς πειθοῦς αὐταῖς ἐγγενᾶσθαι παρασκευάζει θέλγητρον. Τοιαῦται καὶ αἱ θαυμασταὶ τούτου πρὸς διαφόρους ἐπιστολαί. Τὸ δὲ πρὸς τὰς τῶν ἀποριῶν λύσεις ἕτοιμον, ἄλλως τε καὶ ὅσαι ἐπὶ τὴν ἱερὰν τείνουσι φιλοσοφίαν, καὶ τὸ τῆς θείας Γραφῆς, ἐν οἷς μάλιστα μυστικώτερόν τι ἐναποκέκρυπται, ἀγχίνουν τε καὶ διερμηνευτικόν, τίς τῷ τῶν Ἀμφιλοχίων αὐτῷ πεπονημένῳ συγγράμματι ἐντυχών, οὐκ ἂν εἰκότως θαυμάσειεν; Ἀλλὰ γὰρ καὶ τὴν περὶ τὴν ἱστορίαν ἀκρίβειαν, καὶ τὸ τῆς σοφίας ποικίλον, καὶ τὸ περὶ τὴν κρίσιν τῶν τοῖς ἄλλοις συντεθειμένων ἔντεχνόν τε ἅμα καὶ εὐκρινέστατον, ἡ μετὰ χεῖρας αὕτη βίβλος[1] *τοῖς τοῦτ' ἂν ἑλομένοις καταμαθεῖν ἐπιδείξει τρανώτατα, πολλὴν μὲν τοῖς περὶ τοὺς λόγους καὶ τὴν ἔξω φιλοσοφίαν καταγινομένοις τὴν ὠφέλειαν προξενοῦσα, τοσαύτην δὲ καὶ τοῖς τῆς ἱερᾶς ἀντεχομένοις θρησκείας χορηγοῦσα τὴν λυσιτέλειαν, ὡς πάμφορόν τινα οἷον ταύτην εἶναι χώραν, ποικίλοις μὲν κομῶσαν τοῖς καρποῖς καὶ τοῖς ἄνθεσιν, οὐχ' ἧττον δὲ τῇ γεύσει τῶν δρεπομένων τὴν αἴσθησιν κορεννῦσαν, ἢ τῇ ὄψει καὶ τῇ ὀσμῇ καθηδύνουσάν τε καὶ κατατέρπουσαν. Ταύτην οὖν φιλοφρόνως δεξάμενοι, πολλὰς τῷ σοφωτάτῳ Ἐσχελίῳ τὰς χάριτας ἔχοιτε, τοῦτο καὶ μόνον ἀεὶ διὰ μελέτης ἔχοντι, ὅπως χρήσιμόν τι τῷ κοινῷ τῶν λογίων ἐπωφελὲς ἐκδιδῶται, καὶ μάλιστα. — Ἐρρωσθε ἐν Χριστῷ Σωτῆρι. Κατὰ τὸ ᾱχ' ἔτος τὸ σωτήριον, Ἰουλίου τρίτῃ φθίνοντος.*"

Ζ'.

Ἐκ ΔΑΒΙΔ ΟΙΣΧΕΛΙΟΥ (David Hoeschelius)

(*ἐν τῇ ἀφιερωτικῇ ἐπιστολῇ τῆς Α' ἐκδόσεως τῆς Μυριοβίβλου*, 1601).

"..... Ἀρχαῖαι δ' ἀρεταὶ (ut Lyrici verbis utar) ἀμφέρονται, ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος.— Nimirum omnibus seculis aliqui divinitus excitantur, qui disciplinas liberales propagatum eunt, quae solae genus hominum salvum atque incolume conservant. Quo feliciore hanc aetatem nostram judico, qua cum alii Scriptores antiqui revixerunt, tum inter caeteros ille ipse (quem dixi) in omni genere doctrinarum praestantissimus scriptor PHOTIUS. Cui ut à lumine nomen, ita luce tandiu carendum fuisse, demiror; auctori, cujus è Myriobiblo Theologi, Medici, Historici, Oratores, Philologi denique huberrimum fructum et jucundissimum capere possunt. Id quod eulogia docent, quae huic Operi nunc primum à nobis edito praeponenda curavimus. Nam Eclogas, cum censuris, non ex iis duntaxat libris, qui sunt in manibus fere omnium, PHOTIUS attulit: sed longe plura ex illorum monutis *ἀποσπασμάτια*, qui vel temporum injuria prorsus amissi, vel quorundam *βιβλιοτάφων* invidia non nisi blattis expositi sunt. Neque ex sacris tantum, sed et exteris Scriptoribus. Tam enim horum prodest lectio, judicium si adhibeatur, quam Moysi non obfuit Aegyptiorum, Danieli Chaldaeorum, D. Paulo Graecorum disciplinas cognovisse, Israëlitis denique

---

[1] Τὴν Μυριόβιβλον λέγει, ἥτις ἡ ἐπιστολὴ ἦδε, ὅς τις πρόλογος, προτέτακται.

Digitized by Google

vasa ex Aegypto in Palaestinam secum transtulisse. Ideò summa hic fide, qui delectus haberi, unde plus minusve expectari possit, PHOTIUS ostendit" . . . . . etc. etc. —— *τοῦτ' ἔστιν*— . . . . . "*Ἵνα γὰρ κατὰ τὸν Δυρικὸν εἴπω,*

. . . . . *ἀρχαῖαι δ' ἀρεταὶ*
ἀμφέρουσ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος.[1]

Ἐν ἑκάστῳ δὴ αἰῶνι θεῖοί τινες γίνονται ἄνδρες, οἳ τὰς ἐλευθερίους ἐπεκτείνουσι μαθήσεις, μόνας δυναμένας διασώζειν τὸ ἀνθρώπινον. Δοκεῖ δ' ἐμοὶ τὸν ἡμέτερον τοῦτον αἰῶνα εὐδαιμονέστερον εἶναι, ὅτι σὺν ἄλλοις τῶν ἀρχαίων συγγραφέων (οὓς δὴ προείρηκα) ἀναγεννώμενον ὁρᾷ καὶ ΦΩΤΙΟΝ, τὸν ἐν πάσαις ταῖς μαθήσεσι πάντων μάλιστα διαφέροντα· περὶ οὗ θαυμάζω, ὅτι τοσοῦτον χρόνον τοῦ φωτὸς ἐστερεῖτο, τοῦ τε φωτὸς παρώνυμος ὤν, καὶ τοιοῦτος, ἐξ οὗ τῆς Μυριοβίβλου Θεολόγοι τε καὶ ἰατροὶ καὶ ἱστορικοὶ καὶ ῥήτορες καὶ φιλόλογοι πολλὰ καὶ καλὰ καρπώσασθαι ἔχουσιν· ὅπερ δὴ καὶ τὰ εἰς αὐτὴν ἐγκώμια διδάσκει σοφῶν ἀνδρῶν, ἃ τῆς παρούσης προτάσσομεν βίβλου, τῆς νῦν πρῶτον ὑφ' ἡμῶν ἐκδιδομένης.[2] *ΦΩΤΙΟΣ γὰρ οὐ τῶν συγγραμμάτων μόνον, ἃ πάντες διὰ χειρῶν ἔχουσιν, ἐκλογὰς μετὰ κριτικῶν σημειώσεων ἐποιήσατο, ἀλλὰ καὶ πολλῶν ἀποσπασμάτια διετήρησεν, ὧν τὰ μὲν τῷ χρόνῳ ἐξηφάνισται, τὰ δὲ φθόνῳ βιβλιοτάφων τινῶν τῇ στιλφῃ παραδέδοται· καὶ ταύτας ἐποιήσατο τὰς ἐκλογάς, οὐκ ἐκ τῶν Ἐκκλησιαστικῶν μόνον, ἀλλὰ καὶ τῶν ἔξω. Οὐ γὰρ ἀλυσιτελὴς ἐστὶν ἡ τούτων μελέτη τοῖς τὰ θεῖα ἐξερευνῶσιν· οὐδὲ γὰρ Μωϋσῆς τὴν τῶν Αἰγυπτίων παιδείαν ἀπηξίωσε καταμαθεῖν, οὐδὲ Δανιὴλ τὴν τῶν Χαλδαίων,*[3] *οὐδὲ Παῦλος ὁ θεῖος τὴν τῶν Ἑλλήνων· ἀλλὰ καὶ Ἰσραηλῖται αὐτοὶ Αἰγύπτια εἰς Παλαιστίνην μετεκομίσαντο σκεύη. Τούτου δὴ ἕνεκα ΦΩΤΙΟΣ, οἵαν δεῖ ποιεῖσθαι τὴν ἐκλογήν, καὶ οἵαν ἐντεῦθεν προσήκει πορίζεσθαι τὴν ὠφέλειαν, κατέδειξεν*" . . . κ.τ.λ. κ.τ.λ.

Η'.

Ἐκ τοῦ ΦΡΑΓΚΙΣΚΟΥ ΤΟΥΡΡΙΑΝΟΥ (Franc. Turrianus)

(Prooemio in Apostolicas Constitutiones Clementis Romani.)

"PHOTIUS incredibilis lectionis et acris judicii auctor . . . . Quis igitur nostrae aetatis se cum PHOTIO conferre audeat, sive ingenium ejus spectemus, sive *πολυμαθίαν* et *πολυπειρίαν?*"—*τοῦτ' ἔστιν*· "*ΦΩΤΙΟΣ παραδόξου πολυμαθείας καὶ περινενοημένης κρίσεως ἐγένετο συγγραφεύς . . . . . Τίς ἂν ἐν τῷ παρόντι ΦΩΤΙΩι τολμήσειεν ἀμιλλᾶσθαι κατά τε πολυμαθίαν καὶ πολυπειρίαν;*"

Θ'.

Ἐκ τοῦ ΙΣΑΑΚ ΚΑΣΩΒΩΝΟΣ (Isaaci Casauboni)

(*ἐν τῇ ἐπιστολῇ αὐτοῦ πρὸς Δαβὶδ τὸν Οἰσχέλιον*).

"Ain tu autem? esse te in eo ut Photii Bibliothecam edas? O munus vere munificum! O te

---

[1] Πινδ. Νέμ. ΙΑ', 37.

[2] Πολλὰ δὲ τοιαῦτα ἐγκώμια ἡ εὐλογίαι προτέτακται τῆς ἐκδόσεως ἐκείνης, ὑπὸ πολλῶν τῶν τότε σοφῶν γεγραμμένα, ἔμμετρά τε καὶ ἄμετρα, ὧν καὶ ἡμεῖς τέσσαρα, τὰ τῇ παρούσῃ μαρτυρίᾳ ἐπόμενα, παρελάβομεν.

[3] Τοῦτο κατὰ Βασίλειον λέγει τὸν Μέγαν, τάδ' ἐν τῇ πρὸς τοὺς νέους Ὁμιλίᾳ (§ γ') λέγοντα· "Λέγεται τοίνυν Μωϋσῆς ἐκεῖνος ὁ "πάνυ, οὗ μέγιστόν ἐστιν ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ἀνθρώποις ὄνομα, τοῖς Αἰγυπτίων μαθήμασιν ἐγγυμνασάμενος τὴν διάνοιαν, οὕτω προσελ- "θεῖν τῇ θεωρίᾳ τοῦ Ὄντος. Παραπλησίως δὲ τούτῳ κἀν τοῖς κάτω χρόνοις τὸν σοφὸν Δανιὴλ ἐπὶ Βαβυλῶνός φασι τὴν σοφίαν Χαλδαίων "μαθόντα, τότε τῶν θείων ἅψασθαι παιδευμάτων."—Ἴδε καὶ Πράξ. Ζ', 22. Δανιήλ. Α'. Ὅρασις Β'.

Digitized by Google

liberalem! facile est ex iis quae sunt edita de illius libris tanquam ex unguibus leonem aestimare."—*τοῦτ' ἔστιν· " Τί δὲ φῄς; Τὴν Φωτίου Βιβλιοθήκην διανοῇ ἐκδοῦναι; Ὦ τῆς τοῦ δώρου λαμπρότητος! Ὦ τῆς σῆς μεγαλοδωρίας! ἐκ γὰρ τῶν ἐκδεδομένων αὐτοῦ βιβλίων ῥᾴδιόν ἐστιν, ὡς ἐξ ὄνυχος τὸν λέοντα, διαγνῶναι τὸν ἄνδρα."*

Γ'.

ΓΕΩΡΓΙΟΥ ΡΕΜΟΥ (Georgii Remi)

Ἐπίγραμμα εἰς τὴν τῆς Μυριοβίβλου ἔκδοσιν.

Ἔσχήλιος φῶς Φωτίῳ φέρει σοφῷ·
σοφῷ φέρει Ἐσχηλίῳ φῶς Φώτιος.
μέγα θαῦμα. καὶ γὰρ τήνδ' ἀμοιβὴν ἥλιος
Φοίβης παρὰ ἀδελφῆς ποτ' οὐ μὴ δέξεται.

ΙΑ'.

ΚΟΡΡΑΔΟΥ ΡΙΤΤΕΡΣΧΟΥΣΙΟΥ (Conradi Rittershusii)

Ἐπίγραμμα εἰς τὴν αὐτήν.

Φῶτα φέρων πρὸς φῶς τῷ φωτὶ παρώνυμον ἡμῖν
αἶνων ἀσβεστον φῶς ἔχει Ἐσχέλιος.

ΙΒ'.

Ἐπίγραμμα εἰς τὴν δευτέραν τῆς Μυριοβίβλου ἔκδοσιν, τὴν ὑπὸ Ἀνδρέου Σχώττου ἢ Σκόττου γενομένην.

Σκόττος[1] ἀπὸ σκοτίοιο φερώνυμός ἐστιν ὁμίχλης,
Φώτιος ὡς λαμπροῦ κληδόνα φωτὸς ἔχει.
Τὸν δ' ἐπεὶ καὶ Σκόττος ἀπήγαγεν ἀχλύος αἰνῆς,
Φωτικὰ λαμπρύνων γράμματα φωτὶ νέῳ
(Τοῖσι παλαιγενέων σφραγίσατο Φώτιος ἀνδρῶν
Μνήματα, τιμήσας στίγμασιν ἀμφαδίοις),
Εἰ θέμις ἀτρεκέεσι παναπρεκὲς οὔνομα θεῖναι,
Ὅς ποτε Σκόττος ἦην, Φώτιος ἄλλος ἔοι.

ΙΓ'.

Ἐκ ΛΟΥΔΟΒΙΚΟΥ ΜΑΙΜΒΟΥΡΓΙΟΥ[2] (Louis Maimbourg)

(ἐν τῇ Ἱστορίᾳ τοῦ Σχίσματος, σελ. 12—13. Paris, 1686).

" Mais ce qu'il y a de plus étonnant dans cet homme extraordinaire, et ce qu'on peut raisonablement

---

[1] Οὕτως ἐξελληνίσας τὸ τοῦ ἐκδότου ὄνομα ὁ τὸ ἐπίγραμμα τοῦτο ποιήσας, καὶ πρὸς τὸ Φωτίου ἀντιπαραταθείς, χαριεστάτην ἔλαβε τοῦ ἐπιγράμματος ὑπόθεσιν. · Ἀλλὰ τὸ τοῦ Σκόττου καταφωτίσας ὄνομα, τὸ ἴδιον αὐτοῦ ἐν σκότῳ κατέκρυψεν, ἀνωνύμως ἐκδοὺς τὸ ἐπίγραμμα.

[2] Ἴδε τὰ περὶ τοῦ λάβρου τούτου Φωτιομάχου ἐν τοῖς ἔμπροσθεν (§ β', σημ.) εἰρημένα.

Digitized by Google

appeler un prodige de la nature et de l'art, auquel il serait assez difficile d'en trouver encore un autre semblable dans tous les siècles, c'est que cet homme de Guerre et d'Etat, si fort employé dans les grandes affaires, avait l'esprit si beau, si aisé, si vif, et si pénétrant, et d'une si vaste étendue, joint à une forte application, et à une si grande assiduité au travail et à l'étude, à qui il passait la plus grande partie des nuits, qu'il se rendit sans contredit le plus habile et le plus savant homme de son temps en toutes sortes des belles disciplines, dans les quelles il excella pardessus tous les savans de son siècle. Car il est certain qu'il fut toujours en réputation d'être le plus grand et le plus parfait Grammairien, Poëte, Orateur, Critique, Philologue, Mathématicien, Philosophe, Médecin, et Astrologue de son temps, n'ayant tiré toutes cet belles connaissances, ni même celle de la Théologie, depuis qu'il fut fait Patriarche,[1] que de son propre fonds, sans le secours et la direction des maîtres, par la seule force de son esprit, et par la lecture d'une infinité de bons livres. La seule liste qu'il nous en a laissée, avec le compte qu'il en rend à la postérité dans sa fameuse et savante Bibliothéque, est encore aujourd' hui le plus riche trésor des gens de lettres, qui y trouveut en abrégé ces rares pièces de l'antiquité, que l'injure des temps nous a ravies, et dont la mémoire même serait absolument perdue sans lui.

ΙΔ'.

Ἐκ ΡΟΒΕΡΤΟΥ ΚΡΕΪΧΘΟΝΙΟΥ (Robertus Creyghton)

(ἐν τοῖς Προλεγομένοις τῆς Ἱστορίας τῆς ἐν Φλωρεντίᾳ Συνόδου).

" Qui propriis oculis, et non alienis, in rerum momenta introspicient, mecum fatebuntur spero, illustri *Photio* doctiorem in omni genere literarum, prudentiorem in rebus gerendis, omnis juris divini, humanique peritiorem, nunquam sedisse in quovis solio, vel Romae Papam, vel Constantinopoli Patriarcham."—*Ἴδε τὴν μετάφρασιν ἐν τοῖς ἔμπροσθεν* (§ *μβ'*, *σημ.*).

ΙΕ'.

Ἐκ τοῦ ΙΑΚΩΒΟΥ ΒΑΣΝΑΓΙΟΥ (Jacobus Basnagius)

(De Photio ejusque scriptis observatio.—Canisii Lect. antiq. etc. Tom. II. para II. p. 375).

" De *Photio* Litteratis omnibus notissimo nihil foret dicendum, nisi vapularet Baronio, Lambecio caeterisque. Hunc seductorem quo nullus deterior potuit inveniri, criminibus manifestissimis iisque plurimis involutum asserit Annalista.—Primo fuit *Photius* vir sui saeculi doctissimus, omnium liberalium artium et diciplinarum studio, cognitioneque tantopere claruit, ut aevi sui facile princeps haberetur, imo et cum veteribus jam posset componi. Omnia quippe confluxerant in illum, aptitudo quaedam, naturae vis, felicitas, opes, quibus sibi librorum omnium maximam copiam comparabat, et quod prae cunctis, gloriae laudisque cupido qua flagrans totas noctes, ut lectioni assidue vacaret, insomnes ducebat.

---

[1] Ἐκ Νικήτα καὶ ταύτην ὁ καλὸς Ἰησουΐτης ἀντιγράφει τὴν φλυαρίαν (ἴδε τὴν περὶ τούτου σημ. ἐν τοῖς ἔμπροσθεν, (§ *β'*), οὐ συνιείς, ὡς ἐξ ὧν μετ' ὀλίγον λέγει, τὴν Φωτίου θαυμάζων Μυριόβιβλον, σαφῶς ἐλέγχεται φλυαρῶν. Ἐκείνην γὰρ πολὺ πρὸ τοῦ Πατριαρχεῦσαι Φώτιος ἔγραψεν, ὅτι ἐν Ἀσσυρίᾳ πρεσβεύων· ἀλλ' ὅμως μεγίστη καὶ λόγου παντὸς ὑπερτέρα ἡ τοῦ ἀνδρὸς πολυμάθεια περί τε τὰ τῆς Ἐκκλησίας καὶ τὰ ἔξω ἐν ἐκείνῃ καταφαίνεται.

Digitized by Google

Haec *Nicetas* Ignatii defensor et panegyrista, *Photio* caetera infensissimus. Secundo humilitatem, patientiamque summam in aerumnis declarant ejus epistolae. ' *Caeterum*, iniquit, *et ista nos propter Christum et divinas leges toleravimus antea, et gratias Deo agimus, qui cum angimur quod celantur aerumnae, et sic inglorie patimur.*' Amicos ubi vidit in vinculis male tractari, verberibus dilacerari, linguis exscindi, temperare non potuit a lachrymis et querelis, sed mala sua patiebatur inglorius, gratias ea de re Christo rependens. Quidquid dixerit Annalista, me latet, an non haec summa sit virtus. Tertio, objiciunt illi, quod Laicus Episcopus sit ordinatus, et de foro repente transierit ad Ecclesiae praefecturam: quasi Ambrosio Mediolanensi apud Latinos, vel Tarasio apud Orientales idem non evenisset a Theologis omnibus probatum. Quarto, ajunt sedem Ignatii Imperatoris jussu depositi invasisse: quasi illud juris ab initio fere non habuissent Imperatores, quos libet Patriarchas deponendi, aliosque in sedem expulsorum promovendi. Id Theodora fecit, quae ipsi Baronio tanto erat in pretio. Nec desunt similia exempla, quae historiam Ecclesiasticam legenti in infinitum occurrunt. Quindo, unde tantae lites inter Orientalem Patriarcham et Pontificem Romanum, nisi ob Bulgariam? Caeteras causas contempserat ipse Johannes VIII, qui *Photium* Patriarcham, quamvis saepius damnatum, agnoscebat. Legas quae refert Schotus tanquam e prima sessione Concilii Constantinopolitani excerpta: *quod Dominus noster Apostolicus admittit Dominum Photium in Patriarcham testatur pontificalis epistola a summo Pontifice Domino nostro Johanne ad eum missa, quam propterea direxit, ut omnes intelligant et certo sciant Dominum Photium recipi a summo pontifice in Patriarcham.* Haec ego non legi nec in Concilio Constantinopolitano, nec in Johannis Octavi epistolis; nihilominus certum est, consentiente Pontifice Johanne VIII post mortem *Ignatii* sedem Constantinopolitanam fuisse restitutam *Photio*. Unde constare debuit ipsis etiam Latinis, tanta non fuisse *Photii* scelera, qui damnari non potest, nisi prius damnato Pontifice ipsum restituente. Sed haec obiter, ob *Baronium* tantum virum inique exagitantem."—*τοῦτ' ἔστιν·*

" *Οὐδὲν ἄν ἔδει λέγειν ὑπὲρ Φωτίου, ὃν κάλλιστα πάντες γινώσκουσιν οἱ λόγιοι, εἰ μὴ Βαρώνιος καὶ Λαμβέκιος καὶ ἄλλοι τὸν ἄνδρα διέβαλον. Φησὶ γὰρ ὁ Χρονογράφος (Βαρώνιος) πάντων κάκιστον γενέσθαι ἀπατεῶνα, καὶ πλείστοις αὐτὸν ἐνέχεσθαι φανεροῖς κρίμασιν. Ἀλλὰ πρῶτον μὲν Φώτιος τῶν καθ' ἑαυτὸν σοφώτατος ἐγένετο, καὶ τοσοῦτον ἁπάντων διήνεγκε τῇ τε ἄλλῃ μαθήσει καὶ τῇ τῶν ἐπιστημῶν μελέτῃ, ὥστε μὴ μόνον τῶν κατὰ τὴν αὐτοῦ γενεὰν πάντων διενεγκεῖν, ἤδη δὲ καὶ πρὸς τοὺς παλαιοὺς αὐτὸν διαμιλλᾶσθαι. Πάντα γὰρ συνέτρεχεν αὐτῷ, ἡ ἐπιτηδειότης τῆς φύσεως, ἡ σπουδή, ὁ πλοῦτος, δι' ὃν καὶ βίβλος ἐπ' αὐτὸν ἔῤῥει πᾶσα· πλέον δὲ ταύτης ὁ τῆς δόξης ἔρως, δι' ὃν αὐτῷ καὶ νύκτες ἄϋπνοι, περὶ τὴν ἀνάγνωσιν ἐμμελῶς ἐσχολακότι. Ταῦτα Νικήτας φησίν, ὃς Ἰγνατίῳ μὲν συνήγορος ἦν καὶ πανηγυριστής, Φωτίῳ δὲ ἔχθιστος.—Δεύτερον δέ, ὅτι πρᾶός τε ἦν καὶ σφόδρ' ἀνεξίκακος, ἐκ τῶν ἐπιστολῶν αὐτοῦ καταδείκνυται. Ἀλλὰ ταῦτα μὲν (φησίν) ὑπὲρ Χριστοῦ καὶ τῶν θείων νόμων ὑπέστημεν ἔμπροσθεν· καί γε χάρις Θεῷ, τῷ πλέον αὔξοντι τὸν μισθὸν ἐν τῇ τοῦ λανθάνειν ἀθυμίᾳ καὶ τῇ τῶν παθῶν ἀδοξίᾳ."*[1] *Τοὺς δὲ φίλους ὁρῶν ἐν δεσμοῖς καὶ μαστιγώσεσι κακῶς πάσχοντας, καὶ τὴν γλῶσσαν ἀποτεμνομένους,*[2] *κατέχειν οὐχ' οἷός τε ἦν τὰ δάκρυα καὶ τὰς δεινολογίας,*

[1] *Ἴδε τὴν πρὸς τὸν Βάρδαν ά Ἐπιστολήν—ἀρθ. ρνζ'.*

[2] *Ταῦτα περὶ Βλασίου λέγει τοῦ Κληρικοῦ, τοῦ τὴν γλῶσσαν ἀποτμηθέντος, περὶ οὗ, καίπερ τοῖς Ἰγνατιανοῖς συντασσομένου, καὶ διὰ τοῦτο κακοπαθήσαντος ὑπὸ Βάρδα, πικρῶς Φώτιος ἀπωδύρετο, πρεσβεύων ὑπὲρ αὐτοῦ.—Ἴδε τὴν πρὸς Βάρδαν γ' ἐπιστολήν—ἀρθ. ρνθ'.*

Digitized by Google

εἰ καὶ τὰ ἑαυτοῦ παθήματα σιγῶν ὑπέμενε καὶ δόξαν ἀναπέμπων Θεῷ. Εἰ τοίνυν τοῦτο, ὑπὸ τοῦ Χρονογράφου (Βαρωνίου) ἱστορούμενον, μὴ τῶν ἀρετῶν ἐστιν ἡ μεγίστη, οὐκ οἶδ' ὅ,τι ποτ' ἂν εἴη. — Τρίτον, κατηγοροῦσι Φωτίου, ὡς ἐκ λαϊκοῦ εὐθὺς Ἐπίσκοπος ἐγένετο, καὶ ἀθρόον ἐκ τῆς ἀγορᾶς εἰς τὸ τῆς Ἐκκλησίας μέγιστον προήχθη ἀξίωμα· ὥσπερ εἰ μὴ πάντες οἱ θεολόγοι τοῦτ' αὐτὸ ἐν Ἀμβροσίῳ τῷ Μεδιολάνων παρὰ Λατίνοις, καὶ ἐν Ταρασίῳ παρὰ τοῖς Ἀνατολικοῖς, ἐπεδοκίμασαν. — Τέταρτον δὲ προστιθέασιν, ὅτι τὸν θρόνον κατέλαβεν Ἰγνατίου, προστάγματι τοῦ Αὐτοκράτορος ἐκβληθέντος· ὥσπερ εἰ μὴ ἀνέκαθεν τοῦτο τοῖς Αὐτοκράτορσιν ἀνεγνωρίζετο τὸ δίκαιον, Πατριάρχας ἐκβάλλειν τοῦ θρόνου, καὶ ἑτέρους ἀντικαθιστάναι· τοῦτο δὲ καὶ Θεοδώρα ἔπραξεν ἡ Αὐτοκράτειρα, ἣν μάλιστα Βαρώνιος αὐτὸς ἐτίμα· καὶ πολλὰ τοιαῦτα ἴδοι τις ἂν τὰ παραδείγματα, τὴν Ἐκκλησιαστικὴν διεξερχόμενος Ἱστορίαν. — Πέμπτον δέ· πόθεν αἱ τοσαῦται τῶν ἐν τῇ Ἀνατολῇ Πατριαρχῶν καὶ τῶν ἐν Ῥώμῃ Ποντιφίκων διαφοραί, εἰ μὴ διὰ τὴν Βουλγαρίαν; Ὁ γὰρ Πάπας Ἰωάννης Η' πάσας ἀναξίας λόγου τὰς ἄλλας ἡγήσατο διαφοράς, καὶ Φώτιον Πατριάρχην ἀπεδέξατο, καίπερ πολλάκις ὑπὸ τῶν πρὸ αὐτοῦ Παπῶν κατακεκριμένον. Ἔπιθι δὲ τὸ ὑπὸ Σχώττου ἐκ τῆς πρώτης συνεδριάσεως τῆς ἐν Κωνσταντινουπόλει Συνόδου παρατιθέμενον, ἐν ᾧ λέγει· 'Σαφῶς δὲ δείκνυται τὸν ἡμέτερον Ἀποστολικὸν Δεσπότην νόμιμον ἀποδέχεσθαι Πατριάρχην τὸν Φώτιον, ἐξ ἧς ἔγραψε πρὸς ἐκεῖνον ἐπιστολῆς, ὅπως πάντες γινώσκοιεν, ὅτι νόμιμον Πατριάρχην ὁ Πάπας τὸν Φώτιον ἀπεδέξατο.' Τοῦτο δ' ἐγὼ οὔτ' ἐν τῇ τῆς Κωνσταντινουπόλεως Συνόδῳ, οὔτ' ἐν ταῖς Ἰωάννου ἐπιστολαῖς ἀνέγνων·[1] *ἀλλά γε βέβαιόν ἐστιν, ὅτι, τελευτήσαντος Ἰγνατίου, ὁ Κωνσταντινουπόλεως θρόνος ἀπεδέδοτο Φωτίῳ, αὐτοῦ συναινοῦντος τοῦ Πάπα Ἰωάννου. Ἐντεῦθεν οὖν καὶ οἱ Λατῖνοι συμπεραίνειν ὤφειλον, ὅτι οὐ μεγάλα τὰ Φωτίου ἐγένοντο ἁμαρτήματα· καὶ πρὸ τοῦ κατακρῖναι Φώτιον, Ἰωάννην τὸν Πάπαν ὤφειλον κατακρίνειν, ὃς εἰς τὴν ἐκείνου συνήνεσεν ἀποκατάστασιν. — Εἰρήσθω δὲ ταῦτα διὰ Βαρώνιον, ὃς τηλικοῦτον ἄνδρα πάνυ ἀδίκως διέσυρεν."*

ΙΣΤ'.

Ἐκ ΤΟΥ ΑΥΤΟΥ

(*ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ. Τόμ. Α', σελ. 324. ἐν Ῥοττερδάμῃ* 1699).

" PHOTIUS était d'une naissance illustre. Tarase, qui avait eu tant de part à la faveur d'Irène, était son grand oncle; le Patrice Sergius son frère tenait à la Cour un rang considérable, et il avait été lui même chef des Secrétaires. D'ailleurs c'était le plus bel esprit et le plus savant homme de son siècle. Les Grammairiens, les Orateurs, les Poëtes, les Philosophes, les Theologiens, les Médecins et les Astrologues le reconnaisaient pour leur maître, parcequ'il avait porté plus loin qu'eux ses lumières dans toutes ces sciences. Il était infatigable au travail, comme il paraît par cette excellente Bibliotheque, qu'il nous a laissée; et la plus grande douleur qu'il sentait dans son exil, était celle de n'avoir point de livres. Nous ne pouvons pas connaître les mouvemens interieurs: Dieu seul en est le juge; mais il paraît par ses lettres qu'il avait un zèle ardent pour la gloire de Dieu, une soumission profonde à ses volontés, quelques rigoureuses qu'elles fussent. Il reconait que Dieu ne l'avait fait Evêque que pour le châtier de ses pechés. Il adorait cette justice. Il sentait de la joie au milieu des

---

[1] Παράδοξον τοῦτο λέγει Βασνάγιος· ὅμως δὲ ἴδε τὰς Ἰωάννου ἐπιστολὰς πρός τε τὸν Αὐτοκράτορα Βασίλειον καὶ τὸν Φώτιον ἐν τοῖς ἐφεξῆς Πρακτικοῖς τῆς Η' Συνόδου.

Digitized by Google

maux qu'il soufrait. Il rendait graces à Dieu de ce que ses soufrances étaient secrètes, parceque sa recompense serait plus grande dans le ciel. Il parait avoir été plus sensible aux aflictions de ses amis, à qui l'on avait coupé la langue,[1] et qu'on chargeait de chaines, qu'à sa propre misère; car c'est là ce qui fait le sujet le plus ordinaire de ses plaintes.

" Ce portrait est bien éloigné de celui qu'on en fait. On le represente quelque-fois comme un fourbe, un menteur, un perfide, etc. etc.[2] Mais il vaut mieux juger *Photius* par ses paroles et par ses écrits, que par ceux de ses ennemis. . . . . Baronius fait de Photius un monstre; il lui derobe jusqu'à son savoir, et lui donne des passions et des mouvemens de haine, qui l'aveuglent assez pour lui faire dire des puerilités . . . . . Celà fait voir l'excés au quel l'amour pour le Siége de Rome porte les Ecrivains!

IZ'.

Ἐκ τοῦ ΦΡΑΓΚ. ΦΟΝΤΑΝΑ (Fr. Fontana)

(De Photio Novae Romae Episcopo ejusque scriptus dissertatio.—*ἐν τῷ* Novae eruditorum deliciae, etc. Tom. I. p. XVII—XXII.).

" *Photius* ortu, ut videtur, Constantinopolitanus, Tarasii Patriarchae nepos, splendorem generis a parentibus, qui mortem pro Christo, causa forte Iconoclastarum, obierant, acceptum, eruditione, doctrina, et pro Republica muniis illi delatis auxit adeo, ut brevi summi honores ultro ei petuerint, in iisque ita se gesserit ut nulla cum amicis intercederet laudis aemulatio . . . . . Magnam utique hisce Maximi momenti muniis obeuntis iniit *Photius* gratiam cum Imperii proceribus, suisque adjutus virtutibus, non ambitu et malis artibus, uti contendit Baronius, ad Patriarchatus dignitatem evectus est, etc. etc.—*Τοῦτ' ἔστιν*·

" *Φώτιος, ὁ Ταρασίου τοῦ Πατριάρχου ἀνεψιός, ἐν Κωνσταντινουπόλει, ὡς ἔοικε, γεννηθείς, ἐπιφανεῖς ἔσχε γεννήτορας, ὑπὲρ Χριστοῦ μαρτυρικῷ τελευτήσαντας θανάτῳ, ἴσως ἐν τοῖς ὑπὸ τῶν εἰκονομάχων γενομένοις διωγμοῖς. Διὰ δὲ τὴν ἰδίαν πολυμάθειαν καὶ σοφίαν καὶ τὴν ἀκριβῆ τῶν πολιτικῶν ἔργων ἐκπλήρωσιν οὕτω τὴν τοῦ γένους ἐπηύξησε λαμπρότητα, ὥστε ταχὺ εἰς τὰς ὑψίστας τῆς πολιτείας ἀνήχθη τιμάς, πάντας τοὺς καθ' ἑαυτὸν ὑπερβαλόμενος . . . . . Ἐκείνας δὲ τὰς λειτουργίας ἐπιτελέσας ἐμβριθέστατα, πᾶσι τοῖς ἐν τῇ πολιτείᾳ πρωτεύουσιν ἐγένετο προσφιλέστατος· καὶ διὰ τὰς ἰδίας αὐτοῦ ἀρετάς, ἀλλ' οὐ δόλῳ καὶ πανουργεύμασιν, ὡς Βαρώνιος ἰσχυρίζεται, εἰς τὸ Πατριαρχικὸν ἀνήχθη ἀξίωμα, κ.τ.λ.—*

IH'.

Ἐκ τοῦ ΣΧΟΙΛΛΙΟΥ (M. Shoell)

(*ἐν τῇ* Ἱστορίᾳ *τῆς* Ἑλληνικῆς Φιλολογίας. *Τόμ.* ΣΤ'. *σελ.* 304 *καὶ* 305. Paris, 1823).

" PHOTIUS a été le savant le plus illustre de neuvième siècle . . . . *Photius* était un homme d'une grande érudition et des connaissances très variées, etc. etc.

---

[1] Ἴδε περὶ τούτου τὴν 2αν σημείωσιν ἐν τῇ πρὸ ταύτης μαρτυρίᾳ.

[2] Μαιμβουργίου αὗται εἰσιν αἱ βλασφημίαι, ὡς ἐν τοῖς ἔμπροσθεν (ᾗ β') ἐσημειωσάμεθα.

Digitized by Google

Τούτοις δὲ Σχοίλλιος τὴν Ἰακώβου Βρυκερίου κρίσιν περὶ Φωτίου ὑποσυνάπτει, οὕτως ἔχουσαν·

"Tantis ingenii dotibus eum natura effinxerat, tantis ornamentis ars et industria nobilitaverat, ut qui literarum laude illi isto tempore praeferri possit, inveniretur nemo. Veterum enim lectione et accurato judicio subactus, dici non potest, quantis eruditionis philosophicae, medicae, theologicae liberaliumque disciplinarum thesauris palmam omnibus suae aetatis praeripuerit." (Iac. Bruckeri Instit. hist. philos. usui acad. juvent. adornata. Ed. Bom. p. 477)· τοῦτ' ἔστιν. "Οὕτως εἶχεν εὐφυΐας, καὶ τοσοῦτον αὐτῷ κόσμον ἡ ἐπιστήμη καὶ ἡ παίδευσις ἐπέθηκεν, ὡς μηδένα τῶν κατ' αὐτὸν οἷόν τ' εἶναι εὑρεῖν τῇ τῶν γραμμάτων δόξῃ προφερέστερον. Τὴν γὰρ τῶν ἀρχαίων συγγραμμάτων μελέτην ἐπιπόνως καὶ ἐν ἀσφαλεῖ τῇ κρίσει ποιησάμενος, ἀμήχανον εἰπεῖν, οἵοις φιλοσοφίας καὶ ἰατρικῆς, θεολογίας τε καὶ φιλολογίας θησαυροῖς δαφνηφόρος ἐν πᾶσι τοῖς καθ' ἑαυτὸν ἀναδέδεικται."

ΙΘ'.

Ἐκ τοῦ ΑΔΑΜΑΝΤΙΟΥ ΚΟΡΑΗ

(ἐν τοῖς Προλεγ. τῆς τῶν Αἰσωπείων μύθων συναγωγῆς, σελ. κέ).

"Τὴν ἐννάτην (ἑκατονταετηρίδα) ἐλάμπρυνεν ὁ πολυμαθέστατος Πατριάρχης Φώτιος μὲ τὰ σοφά του καὶ ποικίλα συγγράμματα, καὶ ὁ μαθητὴς αὐτοῦ Μιχαὴλ ὁ Ψελλός."

Κ'.

Ἐκ ΤΟΥ ΑΥΤΟΥ.

(ἐν τοῖς Προλεγ. τῆς Ἰσοκράτους ἐκδόσεως. Τόμ. Α', σελ. μστ').

"Ἡ μνήμη τοῦ Φωτίου καὶ Εὐσταθίου θέλει μείνει ἀνεξάλειπτος εἰς ὅλων ἐκείνων τὰς ψυχάς, ὅσοι χαίρουσιν εἰς τὴν δόξαν τῆς Πατρίδος."

ΚΑ'.

Ἐκ τοῦ ΒΙΛΛΕΜΑΙΝΟΥ (M. Villemain)

(ἐν τῇ περὶ τῶν Ἑλληνικῶν μυθιστορημάτων διατριβῇ.—Etudes de Littérature ancienne et etrangère, σελ.. 157. Paris, 1846).

"Malgré ces vices de l'empire Grec, on ne peut nier qu'il n'ait conservé jusqu' à sa chute une civilisation dont profita le reste de l'Europe.

"Dans la barbarie du moyen âge la science de Constantinople était un phénomène. On ne trouverait rien, à cette époque, dans l'Occident, qui puisse donner l'idée du vaste savoir et de l'esprit philosophique de *Photius*, etc. etc.

ΚΒ'.

Ἐκ τοῦ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΟΙΚΟΝΟΜΟΥ

(ἐν τῷ "Περὶ τῶν Ο' ἑρμηνευτῶν τῆς παλαιᾶς Θείας Γραφῆς." Τόμ. Δ', σελ. 752—755· ἐν Ἀθήναις 1844—9).

"ΦΩΤΙΟΣ, τὸ μέγα ὄνομα, καὶ τοῦ τε κατ' αὐτὸν καὶ τῶν μετ' αὐτὸν αἰώνων τὸ θαῦμα· οὗτινος με-

Digitized by Google

σταὶ πᾶσαι μὲν βιβλιοθῆκαι, πᾶσαι δὲ σελίδες τῆς Ἐκκλησιαστικῆς Ἱστορίας· ὁ γένει τε καὶ πλούτῳ καὶ ἀξιώμασι, καὶ δὴ καὶ μεγαλοφυΐᾳ, καὶ σοφίᾳ, καὶ ἀρετῇ, καὶ εὐσεβείᾳ περικλεέστατος· τὴν πατρίδα Βυζάντιος, υἱὸς γονέων μαρτυρικῷ κοσμηθέντων στεφάνῳ, καὶ προγόνων περιφανῶν, Ταρασίου τοῦ ἀοιδίμου Πατριάρχου ἀνεψιός, ἀδελφὸς δὲ Ταρασίου Πατρικίου τὴν ἀξίαν (ᾧ καὶ τὴν Μυριόβιβλον προσεφώνησε), καὶ αὐτὸς Βασιλικὸς Πρωτοσπαθάριος, καὶ τῆς Συγκλήτου Βουλῆς ἀρχιγραμματεύς, καὶ ἐξ ἀπορρήτων (Πρωτοασηκρῆτις), καί, τέλος, Πατριάρχης Κωνσταντινουπόλεως (τῷ 858), μετὰ τὴν ὑπὸ τοῦ Καίσαρος Βάρδα παράνομον ἔξωσιν τοῦ μακαρίου Ἰγνατίου, ἄκων μὲν καὶ μετὰ βίας ἀφορήτου ἀγόμενος, καὶ ἐλκόμενος, καὶ ἀποδυσπετῶν (ὡς αὐτὸς ὁ Φώτιος ἐν τῇ πρὸς αὐτὸν τὸν Βάρδαν ἐπιστολῇ περίτρανα καὶ περιπαθῶς διακηρύττει), ἀλλ' ὅμως ἐπ' ἀγαθῷ τῆς Ἀνατολικῆς Ἐκκλησίας καὶ τῆς Ὀρθοδοξίας, θείᾳ νεύσει καὶ ψήφῳ τοῦ Κλήρου καὶ τοῦ λαοῦ προχειρισθείς. Σιγάτω πᾶσα συκοφαντία. Οὔτε Νικήτα Δαβίδ, τοῦ Παφλαγονίας Ἐπισκόπου, καὶ αὐτόχρημα Παφλαγόνος, ἡ παφλάζουσα γλωσσαλγία, οὔτε Στυλιανοῦ τοῦ Νεοκαισαρείας, τοῦ καὶ Μάπα, οἱ λῆροι, οὔτε τοῦ Σμύρνης Μητροφάνους ἡ πεισμονή, οὔτε Θεογνώστου, τοῦ δύο Ποντιφήκων, Νικολάου καὶ Ἀδριανοῦ, δουλοπαροίκου πρόσφυγος, οὐδὲν ἔβλαψαν τὸ κλέος, ὅπερ ἀγήραντον ἡ τῶν πραγμάτων ἀλήθεια τὸν Φώτιον περιβάλλει. Καὶ τούτους μὲν ἐμνημονεύσαμεν ὡς ἡμεδαπούς, οἵτινες ἐκδικοῦντες τὸν ἀναξιοπαθήσαντα (ᾧ προσέκειντο) Ἰγνάτιον, ἠδίκησαν συκοφαντήσαντες τὸν ἀναίτιον Φώτιον· οὗ τὸ μέγεθος ἑτέρωθεν καὶ αὐτοί, πρὸς ἴδιον ἑαυτῶν ἔλεγχον, καθομολογοῦσιν. Τῶν δ' ἑκατὸν καὶ δώδεκα πηγῶν τοῦ χιλιοίκου Βατικάνου τὰ μυριόκρουνα στόματα, σφοδρὰ καὶ μάτην ῥέοντα κατὰ Φωτίου, παραλείπομεν. Ὅσῳ γὰρ πλείω γεγράφασι, καὶ γράφουσι δὲ μέχρι καὶ σήμερον,[1] τοσούτῳ μείζονα μὲν τὴν ἀρίζηλον Φωτίου δόξαν, λαμπροτέραν δὲ τὴν ἑαυτῶν ἀδικίαν ἀποδεικνύουσιν. Μέχρις ἄν, Θεοῦ νεύσαντος, ὑποκλίνωσι τὰς Ῥωμαϊκὰς πελεκοφόρους δέσμας ἐνώπιον τοῦ τροπαίου τῆς τοῦ Ἀποστόλου Πέτρου Ὀρθοδοξίας, ὃ πρῶτος ἔστησεν ὁ Φώτιος κατὰ τῆς τὸ σχίσμα τῶν Ἐκκλησιῶν τερατοτοκησάσης Ἀνομίας. Καὶ ταῦτα μὲν Θεῷ μελήσει, 'ὅς ἐστιν ἡ εἰρήνη ἡμῶν.' Τοῦ δὲ Φωτίου τὰς ἀρετὰς κηρύττουσιν εἰς αἰῶνας, ἃς κατέλιπε κοινὸν πᾶσι τοῖς ἔθνεσι θησαυρόν, αἱ ἀθάνατοι βίβλοι. Ὁποῖον πολυμαθείας πελάγιον χεῦμα! Ὅστις ἀναγνῷ τὴν Μυριόβιβλον αὐτοῦ Βιβλιοθήκην, ἐξίσταται, βλέπων ἄνδρα βιβλιακώτατον, ἀχανεστάτης ἀναγνώσεως ταμιοῦχον, ἀκριβέστατον ἱστορικόν, γραμματικόν, μουσικόν, περὶ τὴν ποίησιν δεξιόν (φέρονται δὲ τούτου καὶ Ὠδαί), γεωγράφον, χρονολόγον, ἀρχαιολόγον, πάμπλουτον φιλολόγον, μεγαλοφυέστατον κριτικόν. Ἐὰν δὲ καὶ τ' ἄλλα, καὶ μάλιστα τὰς ἐπιστολάς, ἀναγνῷς, θαυμάσεις τὸν φιλόσοφον, τὸν μαθηματικόν, τὸν ἰατρόν, τὸν εὐφραδέστατον ῥήτορα. Τὰς δὲ περὶ τὴν Νομικὴν ἐξηκριβωμένας αὐτοῦ γνώσεις; τὰς δὲ περὶ τὰ πολιτικά; τὰς δὲ περὶ τὰ Κανονικά, καὶ πάντα τὰ τῆς Ἐκκλησίας; Πάμμουσον ὁρᾷς παιδείας ἐνδιαίτημα· ἐξαιρέτως δὲ τῆς Θεολογίας ἱερώτατον τέμενος, καὶ στόμα τῆς Ὀρθοδοξίας τρανόφθογγον, λέξει τε καὶ φράσει κεχαριτωμένη καὶ ἐκφαντορικῇ τὰ πανάγια τῆς εὐσεβείας μυστήρια τελεστικῶς ἀναπτύσσοντα, καὶ ἱερουργοῦντα. Καὶ πανταχοῦ δὲ τὸ πρέπον τοῦ λόγου διατηρεῖ, συνάπτων εὐφυῶς τῆς Ἀττικῆς Μούσης τὴν ἀκρίβειαν πρὸς τὰς νεωτέρας χάριτας τῆς

---

[1] Ἐνταῦθα καὶ τάδε ὁ ἀοίδιμος ὑποσημειοῖ συγγραφεύς—"Ἴδε τὴν ὑπὸ τοῦ Ἀββᾶ Ἰαγήρου Ἱστορίαν τοῦ Φωτίου· ὅπου ὁ δεινὸς οὗτος μεταγραφεύς, ἡ πλαγιάριος, ἐφιλοτιμήθη παραστῆσαι μετὰ δύο ἤδη αἰῶνας τὰ τοῦ Ῥαθήρου καὶ Βαρωνίου καὶ ἄλλων Ἀββάδων Ἰησουϊτῶν εὐρωτιῶντα ψεύδη, τῆς φύσεως αὐτῶν αἰσχρότερα, ἐπιχρώσας ταῦτα καὶ διά τινων ἐπαριστέρων αὐτοῦ συμπερασμῶν, μηδὲν ἕτερον ἐμφαινόντων, ἢ κακοηθείας ὑπερβολήν. Ἀλλ' ἱκανῶς κατέστιξε τὴν μὴτ' ἰὰν μήτε γῆρυν ἀληθείας φωνοῦσαν Ἰαγήρειον ταύτην ῥαψῳδίαν ὁ χαρίεις κάλαμος τοῦ ἡμετέρου Στεφάνου Καραθεοδωρῆ, τοῦ ἰατροῦ.—Ἴδε τὸ Ἐπίμετρον εἰς τὴν ἐπιστολιμαίαν ἐπίκρισιν, ὅπερ ὁ μουσοτραφὴς Ἠλίας ὁ Τανταλίδης ἐξέδωκεν ἐν Κωνσταντινουπόλει, ϛωμζ'. Συγχρόνως ἐῤῥάπισε τὴν ἀλαζονείαν τοῦ Ἀββᾶ καὶ ὁ Mortreuil: Hist. du Droit Byzantin, Tom. 2. p. 496."

Digitized by Google

Ἀλεξανδρινῆς εὐγλωττίας.[1] *Καὶ δικαίως ἄρα Μάξιμος ὁ Μαργούνιος ἐθαύμαζε τὸν ἱερὸν καὶ σοφώτατον Φώτιον κ.τ.λ. κ.τ.λ.*"

ΚΓ.

Ἐκ τοῦ ΣΠΥΡΙΔΩΝΟΣ ΖΑΜΠΕΛΙΟΥ τοῦ Λευκαδίου

(*ἐν τῇ Ἱστορικῇ Μελέτῃ περὶ Μεσαιωνικοῦ Ἑλληνισμοῦ, σελ.* 321—325)

Κεφ. ΞΖ'.

Τὸ σχίσμα καὶ ὁ Φώτιος.[2]

"*Εἰς τὰς παρεκτροπὰς τοῦ Κλήρου καὶ τὴν ἐνδεχομένην τῶν πνευματικῶν ποιμένων διαφθορὰν ἡ πάνσοφος καὶ θεόπνευστος τῆς Νικαίας Τριαδικὴ θεολογία εἶχεν ἐγείρει ἔμποδον ἀνυπέρβατον. Κατὰ τὰ δόγματα τοῦ Συμβόλου τῆς Πίστεως καὶ τοὺς Κανόνας, ἡ καθολικὴ τοῦ Χριστοῦ Ἐκκλησία οὐδ' εἶχεν, οὐδὲ ἠδύνατο νὰ λάβῃ ποτὲ Δεσπότην ἐπίγειον, ἢ λαϊκόν, ἢ μικτὸν ἔχοντα χαρακτῆρα, κεφαλῆς οὔσης τοῦ Χριστοῦ, τούτου μόνου καὶ οὐδενὸς ἄλλου. Δογματίζουσα δὲ κατὰ τὴν Εὐαγγελικὴν διδασκαλίαν καὶ τὰς ἀποστολικὰς παραδόσεις τὴν ἐκπόρευσιν τοῦ ἁγίου Πνεύματος ἐκ μόνης τῆς ὑποστάσεως τοῦ Πατρός, καὶ οὐχὶ ἐκ τῆς τοῦ Υἱοῦ, γινομένην, ἐμπόδισεν εἰς οἰονοῦν λεγόμενον ἐπὶ γῆς ἀντιπρόσωπον Ἰησοῦ Χριστοῦ, καὶ κεφαλὴν τῆς Ἐκκλησίας, νὰ σφετερισθῇ τὴν ἐξουσίαν τοῦ ἁγίου Πνεύματος, καὶ νὰ ἄρχῃ ἀνεξελέγκτως καὶ σκανδαλωδῶς ἐν ὀνόματι τῆς Θεότητος.*

"*Οἱ Λατῖνοι, οἵτινες ἐπισήμως ὡμοφρόνησαν ἐν Νικαίᾳ καὶ ταῖς ἀκολούθοις Συνόδοις εἰς τοῦ δόγματος τούτου τὴν καθιέρωσιν, ἢ δὲν ἐννόησαν τὰς ἱστορικὰς καὶ πολιτικὰς τοῦ συμβόλου συνεπείας, ἢ δὲν ἠδυνήθησαν ν' ἀντιτάξωσιν εὐγλωττίαν καὶ δραστηριότητα εἰς τὴν φιλελευθέραν καὶ ὀρθότομον ρομφαίαν τῆς τῶν Ἀνατολικῶν Πατέρων εὐγλωττίας. Βέβαιον, ὅτι διὰ τοιούτου μέσου οἱ 318 θεοφόροι Πατέρες ἀποκλείσαντες εἰς πάντα τὸν αἰῶνα τῆς Ἐκκλησίας τὸν θεοκρατικὸν ἀπολυτισμόν, ἔρριψαν οὕτω τὰ θεμέλια τῆς δημοκρατικῆς μέν, ἀλλὰ συνετῆς πολιτείας τῆς Ὀρθοδοξίας. Ἀλλὰ καθ' ἣν εἴπομεν ἐποχὴν σφετερισμοῦ καὶ σπουδαρχίας, ἡ Τριαδικὴ αὕτη καὶ δημοκρατικὴ θεολογία τῆς Ἀνατολικῆς Ἐκκλησίας δὲν συνέφερεν οὐδόλως εἰς τὸν ἀρχολίπαρον τῆς Ῥώμης Ἐπίσκοπον. Ἡ Ῥώμη λοιπὸν βιάζει τὸ Σύμβολον, ὅπως ὑπερυψωθῇ κοσμικῶς· ἀθετεῖ τῆς Α' Συνόδου τὸ ἰσχυρότερον θεμέλιον, αὐτὴν τὴν ψυχὴν τῆς παραδόσεως, ἵνα αὐτοκηρυχθῇ κεφαλὴ ὑπερτάτη τῆς Ἐκκλησίας, μοναδικὴ ἀτομικότης, ἐπίγειον ἐξεικόνισμα τῆς πλήρους Τριάδος ἐν τῇ Χριστιανωσύνῃ, καὶ (φεῦ τῆς βλασφημίας!) τετάρτη σχεδὸν τῆς Τριάδος ὑπόστασις. Κατ' αὐτὴν τὸ ἅγιον Πνεῦμα, τὸ τρίτον τῆς θεαρχίας πρόσωπον,*

---

[1] Vir infinitæ lectionis, stupendæ eruditionis, omnium non sui modo, sed, et omnium pene seculorum doctissimus. etc. Cave, p. 387. *Οὐδ' αὐτὸς ὁ κλεινὸς Καρδινάλιος Μάϊος ἠρνήσατο τοὺς (ὅσον ἐπὶ πολυμαθείᾳ) ὀφειλομένους τῷ Φωτίῳ ἐπαίνους. Προστίθησι δὲ ὁ σοφὸς ἀνὴρ καὶ ὅσα ὁ τῆς ἀληθείας συνήγορος Φώτιος ἔγραψεν, ἀριθμῶν μετ' ἐπαίνων τοὺς ἐπισήμους Πάπας τῆς Ῥώμης, ὅσοι τὸ θεῖον Σύμβολον ὁμολόγουν χωρὶς τῆς στυγερᾶς καὶ παναθέσμου προσθήκης· καὶ τούτων οὐ μόνον τοὺς παλαιοτέρους καταλέγει (οἷον τὸν τρισόλβιον Δάμασον, τὸν Κελεστῖνον, Λέοντα τὸν Μέγαν, τὸν κλεινὸν Βιγίλιον, τὸν καλὸν κἀγαθὸν Ἀγάθωνα, Γρηγόριον τὸν Α' καὶ Ζαχαρίαν), ἀλλὰ καὶ τοὺς αὐτῷ συγχρόνως Παπεύσαντας, Λέοντα τὸν Δ' (τῷ 855), Βενέδικτον τὸν Γ', Ἰωάννην τὸν Η', ἐφ' οὗ καὶ Φώτιος αὐτὸς ἐπατριάρχευσεν. κ.τ.λ.*

[2] *Ἅπαν παραθεῖναι τὸ περὶ Σχίσματος Κεφάλαιον τῆς ἀξιολόγου ἐκείνης πραγματείας ἔγνων, ὡς οὐ μόνον περὶ Φωτίου μαρτυροῦν, καὶ τοὺς μεγάλους ἐκείνου καὶ θεαρέστους ὑπὲρ τῆς Ὀρθοδοξίας καὶ τῆς πολιτικῆς ἐλευθερίας ἀγῶνας δικαίως ἐξυμνοῦν, ἀλλὰ καὶ ὡς τὴν ἀληθῆ τοῦ Σχίσματος αἰτίαν ὀρθῶς καταδεικνῦον, οἷα περ ἦν, καὶ ἔστι καὶ ἔσται. Ἐν τούτῳ γὰρ ἡ ἀλήθεια, καθάπερ καὶ ὁ θαυμαστὸς Θεοφάνης ὁ Προκοποβίκιος ἀπεφήνατο (ἴδε ἐν τοῖς ἔμπροσθεν, § ἡ)· καὶ ἐπὶ τούτῳ μόνῳ ἔχει τις ὀρθῶς καὶ δικαίως ἐπιφωνῆσαι, ὅπερ οὐκ ὀρθῶς ἐπὶ τῇ τοῦ Βάρδᾳ ἐπιτιμήσει ὁ Ἱστοριογράφος καὶ Καθηγητὴς τῆς Ἱστορίας Ἰάγερος ἐπεφώνησεν· "Hinc male labes!" καί, "Voilà l'origine des maux, qui ont troublé l'Eglise, et divisé en deux la robe mystique de l'Homme-Dieu!" (Ἴδε ἐν τοῖς ἔμπροσθεν, § κδ' σημ.)*

Digitized by Google

αὐτὸ τὸ πρόσωπον, καθ' οὗ ὅστις ἁμαρτάνει συγχώρησιν ἂς μὴ προσδοκᾷ·[1] κατ' αὐτήν, λέγομεν, τὸ ζωοποιὸν Πνεῦμα δὲν ἐκπορεύεται πλέον παρὰ τοῦ Πατρός, ὡς ἐθέσπισεν ἡ ἐν Νικαίᾳ Σύνοδος κατὰ τὸν νοῦν καὶ τὴν θεολογίαν αὐτῆς ἐκείνης τῆς θεότητος, ἀλλ' ἐκπορεύεται παρὰ τοῦ Πατρὸς καὶ παρὰ τοῦ Υἱοῦ.—Ὁ Πάπας, Υἱοῦ ἀντιπρόσωπος καὶ πληρεξούσιος διακηρυττόμενος, ἐξεπόρευσε λοιπὸν τὸ ἅγιον Πνεῦμα· ἐπὶ ταύτῃ δὲ τῇ ἀσαλεύτῳ πέτρᾳ οἰκοδομῶν τὴν ἐξουσίαν του, προεχειρίσατο ἑαυτὸν ἐπὶ πάσης γῆς μόνον ἐκ τῶν θνητῶν ἀλάνθαστον καὶ ἀναμάρτητον. Τοιουτοτρόπως ἀποστέλλων τὸ κύριον καὶ ζωοποιοῦν καὶ φωτίζον μέρος τῆς Θεότητος ὁ δοῦλος τῶν δούλων τοῦ Θεοῦ,[2] ὕψωσε τὴν κεφαλὴν οὐ μόνον ὑπεράνω λαῶν καὶ Ἡγεμόνων, ἀλλ' ἐπίσης ὑπεράνω καὶ αὐτῆς τῆς μιᾶς, ἁγίας, καὶ καθολικῆς Ἐκκλησίας, ταύτης τῆς μόνης ἀλανθάστου καὶ ἀναμαρτήτου Ἀνάσσης καὶ Βασιλίδος τῆς γῆς, καὶ καθέδρας τοῦ Πνεύματος.

"Πλὴν τοῦτον τὸν σφετερισμόν, ὅστις θεολογικῶς μὲν ἐτάραττε τὰ θεμέλια τῆς Χριστιανικῆς θρησκείας διὰ τῆς ἀλλοιώσεως τοῦ Δόγματος, ἠθέτει δὲ πάσας τὰς Συνόδους, ὅσαι ἐκύρωσαν αὐτό, κατ' ἐξοχὴν τὴν πρώτην καὶ τρίτην, τοῦτον τὸν σφετερισμὸν ἡ Ἀνατολικὴ Ἐκκλησία, αὕτη ἡ ἀληθῶς Ὀρθόδοξος καὶ δημοκρατικῶς συντασσομένη τοῦ Χριστοῦ Νύμφη, δὲν ἠδύνατο νὰ συνομολογήσῃ κατ' οὐδένα τρόπον, χωρὶς νὰ παραβῇ τοὺς ἀνωτάτους νόμους τῆς ὑπάρξεώς της καὶ τῆς οἰκονομίας της, χωρὶς νὰ παραδώσῃ χειροδέσμιον εἰς ἕνα ἱερέα Ἰταλὸν τὸν εὐγενῆ καὶ παλαιγενῆ τῆς Ἑλλάδος λαόν, χωρὶς νὰ παραδώσῃ τὰς τύχας τῆς Ἀνατολῆς ὑποχειρίους εἰς τὴν ἔτι μιξοβάρβαρον καὶ ἀπολίτευτον Δύσιν.

"Ἐντεῦθεν ἡ πέτρα τοῦ σκανδάλου, ἡ ἀρχὴ τῆς ἀνεξαντλήτου διχονοίας ἐκείνης ἀναμέσον Δύσεως καὶ Ἀνατολῆς, ἥτις θέλει κλονίσει θρόνους, θέλει ἀναστατώσει λαούς, θέλει διαπεράσει ταραχωδῶς τὴν ἱστορίαν δώδεκα ἑκατονταετηρίδων, ὑπὸ σχῆμα καὶ ὄνομα διάφορα διαιροῦσα τὴν γῆν τοῦ πολιτισμοῦ εἰς δύο μέρη, ἔνθεν τὸ μέρος τῆς Ὀρθοδοξίας ἐν τῇ δημοκρατίᾳ καὶ τῇ ἑνότητι, ἐκεῖθεν δὲ τὸ τῆς πολυδοξίας ἐν τῷ διαμελισμῷ.

"Τὸ κλεινὸν ὄνομα τοῦ Φωτίου συνδέεται μὲ τὴν ἱστορίαν τοῦ Σχίσματος, καθὼς τρόπῳ καὶ χρόνῳ διαφόροις ἡ μνήμη τοῦ Κόδρου περιφανῶς συνδέεται μὲ τὸ τῆς Ἑλλάδος δημοκρατικὸν πολίτευμα, ἢ ἡ μνήμη τοῦ Μεγάλου Ἀλεξάνδρου μὲ τὸν πρῶτον ἐκεῖνον Ἀνατολικὸν τῆς Ἑλλάδος χρωματισμόν. Νοῦς πολὺς καὶ φερέπονος, ψυχὴ πάντως Ἀγγελικὴ καὶ Εὐαγγελική, καρδία πάλλουσα φιλογενεστάτους καὶ φιλορθοδόξους παλμούς, ζῶσα βιβλιοθήκη, μουσεῖον σοφίας παλαιᾶς καὶ νεωτέρας, κοσμιότητος θησαυροφυλάκιον, ὁ Φώτιος, ἱστάμενος ὡς μνημεῖον θεόκτιστον ἀρχαίου καὶ μεταγενεστέρου μεσαιωνισμοῦ, συνεχίζει τὰς διαφόρους ἐποχὰς τῆς δούλης τοῦ ἔθνους ἡμῶν ἱστορίας, ἱστορία

---

[1] Τοῦτο κατὰ τὴν τοῦ Σωτῆρος ἡμῶν διδασκαλίαν λέγει ὁ συγγραφεύς. "Διὰ τοῦτο λέγω ὑμῖν· πᾶσα ἁμαρτία καὶ βλασφημία "ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις. Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ "ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τούτῳ τῷ αἰῶνι, οὔτε ἐν τῷ "μέλλοντι." (Ματθ. ΙΒ', 31—33). Σημ. ἡμετ.

[2] Τίς τῶν Παπῶν πρῶτος ἑαυτὸν οὕτως ἐπωνόμασεν, εἴρηται ἡμῖν ἐν τοῖς ἔμπροσθεν (ᾗ λβ' σημ.). Ὁ δὲ δολίβιμος Κορραῆς καὶ τάδε περὶ τούτου σημειοῖ ἐν τῇ Συμβουλῇ τῶν τριῶν Ἐπισκόπων πρὸς τὸν Πάπαν Ἰούλιον Γ'. (σελ. 6).—"Οἱ Πάπαι (λέγει) θέλοντες τάχα ν' ἀκολουθήσωσι ταύτην τοῦ Χριστοῦ τὴν περὶ ταπεινοφροσύνης διδασκαλίαν ("ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος" καὶ "ὃς ἂν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος"), ἐπενόησαν νὰ λέγωνται καὶ νὰ γράφωνται Δοῦλοι τῶν δούλων τοῦ Θεοῦ, Servi servorum Dei. Ἐπινόημα ὄχι ἀδέξιον! ἐπειδὴ ὁμολογοῦντες ἑαυτοὺς δούλους κυρόνουν ἐνταυτῷ καὶ τὸ μείζονες τῆς Εὐαγγελικῆς φράσεως. Καὶ τὴν ὑπεροχὴν ταύτην παντοῦ καὶ πάντοτε τὴν ἐζήτησαν, καὶ τὴν ἐσφετερίσθησαν κατὰ τῶν λοιπῶν Ἐπισκόπων καὶ Πατριαρχῶν μὲ τόσην πεισμονήν, ὅσην δὲν ἔδειξάν ποτε οἱ ἄρχοντες τῶν ἐθνῶν. Τὸ δὲ Δοῦλοι αὐτοὶ μόνοι τὸ λέγουν· ἀλλὰ δὲν ὑποφέρουν νὰ τὸ ἀκούσωσιν ἀπὸ ἄλλου στόμα. Ἐπέγραψέ τις Γερμανὸς ἱερεὺς τὴν πρὸς τὸν Πίον Δ' ἐπιστολήν του, πιστεύσας ὁ ταλαίπωρος εἰς τὴν φαινομένην τῶν Παπῶν ταπεινοφροσύνην, "Τῷ Μακαριωτάτῳ Πίῳ τετάρτῳ, δούλῳ τῶν δούλων τοῦ Θεοῦ." Ἀλλ' ἐπιδημήσας ἔπειτα εἰς Ῥώμην, καὶ φιλακισθεὶς ἀπὸ τὸ κριτήριον τῆς Ἱερᾶς ἐξετάσεως, ἔμαθεν, ὅτι τὰ τοιαῦτα δὲν πρέπει νὰ ἐξηγῶνται κατὰ γράμμα.

Digitized by Google

ὧν αὐτὸς ἐκεῖνος δραματικὴ καὶ τραγικωτάτη τῆς ὥρας τῆς μᾶλλον δεινῆς καὶ κρισίμου τοῦ γένους μας.

" Τὸ ὑπερέχον Ἑλληνικὸν πνεῦμα τοῦ Φωτίου, πνεῦμα ὀξυδερκές, προγνωστικόν, ἐλθὸν θείᾳ χάριτι κατὰ καιρόν, ὅτε ἡ Μεσαιωνικὴ Ἑλλὰς ἡτοιμάζετο νὰ μεταβῇ ἀπὸ τῶν Συνόδων εἰς τὴν διπλωματίαν, τοῦτο, λέγομεν, τὸ θεόπνευστον ὄργανον τῆς Προνοίας, διὰ γενναιοψυχίας ἀπαραμιμήτου καὶ θυσιῶν ἀφειδῶν εἰρήνης, πλούτου, παιδείας, προσωπικῆς ἐλευθερίας, ἀφήρπασεν ἐκ τῶν ὀνύχων τοῦ Παπισμοῦ τό τε κινδυνεῦον ἱερὸν σκάφος τῶν Ἀποστόλων καὶ τὴν ἑτοιμόῤῥοπον Ἑλληνικὴν κοινωνίαν.

" Ὁ Φώτιος ἔσωσε τὴν Ὀρθοδοξίαν καὶ τὸ ἔθνος ἐκ τῆς προκειμένης ἀβύσσου. Καὶ ἡ μὲν εὐγνωμονοῦσα μήτηρ Ἐκκλησία ἑορτάζει τὴν ἁγίαν του μνήμην τῇ στ' Φεβρουαρίου· τὸ δὲ ἔθνος μνημονεύει αὐτὸν μεταξὺ τῶν ἡρωϊκωτέρων σωτήρων του.—Τίς ἤθελεν εἶσθαι κατὰ τὸ τυχὸν ἡ εἱμαρμένη τοῦ Ἑλληνισμοῦ; ποῦ δὲ σήμερον τὸ σεβάσμιον αὐτὸ τῆς Ἑλλάδος ὄνομα, ἐὰν οἱ πατέρες ἡμῶν εἶχον καθυποβληθῆ ὑπὸ ζυγὸν Λατίνων ἱερέων, " ἀνδρῶν δυσσεβῶν, ὡς ὁ Φώτιος γράφει, καὶ ἀποτροπαίων, ἀνδρῶν ἐκ τοῦ σκότους ἀναδύντων, τῆς Ἑσπερίου μοίρας ὑπαρχόντων γεννήματα;"

" Τοῦ περιβοήτου προσώπου τούτου ἡ βιογραφία (ἣν εἴθε γλαφυρός τις κάλαμος φιλοδωρήσει πρὸς τὴν ἀναγεννηθεῖσαν Ἑλλάδα ὡς χάρισμα ἐρατὸν καὶ ἀγλαότιμον), ὁ βίος τοῦ ἱστορικωτάτου τούτου τῶν Μεσαιωνικῶν ἡμῶν ἀνδρῶν εἶναι ἀξιοζήλωτον παράδειγμα τῆς ἐπιμονῆς καὶ τῆς ἐγκαρτερήσεως, αἵτινες συνήθως ἐπιῤῥωνύουσιν ἐν ταῖς συμφοραῖς τὴν εἴς τινα μεγάλην ἰδέαν προσαφωσιωμένην μεγαλόνοιαν. Ἀπειλαί, καὶ ἐξορίαι, καὶ φυλακισμοί, καὶ ὕβρεις, καὶ ἐκθρονισμοὶ κατ' οὐδὲν ἴσχυσαν ἐπὶ τῆς ἀπτοήτου καὶ ἀταράχου, καὶ ὄντως ἀρχετύπου ψυχῆς τοῦ ἀδυσωπήτου πολεμίου τῆς Παπικῆς θεοκρατίας. Ἔγραφεν ὁ θεῖος φιλολογικὴν καὶ θεολογικὴν ὕλην ἐν τῇ πολυοδύνῳ ἐξορίᾳ μετὰ τῆς αὐτῆς γαλήνης, ἧς ἔχαιρεν ἐν τῷ Πατριαρχικῷ σπουδαστηρίῳ του· ἐκ τῆς ἐξορίας δὲ τὰς σοφὰς ἔπεμπε καὶ ψυχωφελεῖς καὶ μεγαλόφρονας ἐκείνας ἐπιστολάς, ἃς ὁ σημερινὸς Ἕλλην ἐπανειλημμένως δύναται ν' ἀναγνώσῃ καὶ ἀκουράστως. Φώτιος, λέγει ὁ Οἰκονόμος, τὸ μέγα ὄνομα . . . . . κ.τ.λ

" Τοῦτον λοιπὸν τὸν σοφώτατον καὶ ἐθνικώτατον ἄνδρα ἡ ἐθνικὴ τῆς Ἑλλάδος Ἐκκλησία καθάπερ ἅγιον εὐφημεῖ. Καὶ ἰδοὺ ποῖον ἀκριβῶς εἶναι τὸ γνώρισμα τῆς Μεσαιωνικῆς ἱστορίας μας. Ὅπου ἔπεσεν αἵματος ῥανίς, ἐκεῖ ὡς ἐκ θαύματος ἐφύτρωσε μνήμη τις σεβασμία! Ὅπου ἠγέρθη μαρτυρίου κολαστήριον, ἐκεῖ ταπεινῶς ἠγέρθη ναὸς ἀπερικόσμητος μέν, πλὴν ἐμφρουρῶν μίαν τινα παράδοσιν ἐθνοσωτήριον! Ὅπου ἐξήστραψεν ἀρετὴ καὶ σοφία καὶ παιδεία καὶ ἀγάπη πρὸς τὴν φυλήν, ἐκεῖ ὑψώθη ψαλμῳδία καὶ δοξολογία. Ἡ Ἐκκλησία τῶν Λατίνων ἐκανόνισεν Ἡγεμόνας καὶ Βασιλεῖς καὶ μεγιστάνας· ἡ Ἑλληνικὴ διένειμε, καὶ διανέμει σήμερον ἔτι, στεφάνους ἀμαραντίνους πρὸς γυμνητεύοντας καὶ διωκομένους, πρὸς πένητας καὶ μαρτυροῦντας διὰ τὴν ἀλήθειαν, διὰ τὴν ἐλευθερίαν, διὰ τὸν φωτισμόν! Οἱ σημερινοὶ τῆς Δυτικῆς καινοτομίας ὀπαδοὶ ἃς θεωρῶσιν ὑπεροπτικῶς τοὺς βίους τῶν ἁγίων καὶ τῶν Ὁσίων τῆς Ὀρθοδοξίας μας· ἡμεῖς πολλάκις ἐκλαύσαμεν ἐπ' αὐτῶν· καὶ ἐκ τῶν καρδιοσταλάκτων ἐκείνων δακρύων μας ὁμολογοῦμεν, ὅτι περισσότερον ἐδιδάχθημεν, ἢ ἔκ τινων πεφωτισμένων Εὐρωπαϊκῶν βιβλίων. Δι' ἐκείνους, οἵτινες πιστεύουσιν εἰς τὴν ἐπίβλεψιν τῆς θείας Προνοίας, τὸ Συναξάριον, αὕτη ἡ ἱερὰ τῆς Μεσαιωνικῆς ἡμῶν Ἑλλάδος Ὀδύσσεια, περιέχει πρωτότυπον ὕλην, ἥτις δὲν περιμένει πλὴν τὸν προσήκοντα λαμπρυσμόν."

Ἴδε τοῦ αὐτοῦ συγγραφέως καὶ τὰς " Βυζαντινὰς μελέτας " ἐν σελίδι 454 καὶ ἐφεξῆς· ἔνθα (σελ. 467) παραδόξως βλέπομεν τὴν εἰς τὸν Πατριαρχικὸν θρόνον ΦΩΤΙΟΥ ἀνάβασιν παράνομον ἐπεισαγωγὴν καλουμένην. Ὅτι μὲν γὰρ Ἰγνάτιος ἀδίκως καὶ παρα-

Digitized by Google

νόμως ἐξεθρονίσθη, τοῦτ' ἀληθές ἐστι, ὡς καὶ ἡμεῖς μετὰ πάντων εἴπομεν· ὅτι μέντοι ΦΩΤΙΟΣ *παρανόμως ἐπεισήχθη, τοῦτο οὐκ ὀρθῶς εἴρηται.*

ΚΔ'.

Ἐκ τῶν Δομινικανῶν ΡΙΧΑΡΔΟΥ καὶ ΓΙΡΩΔΟΥ (Richard et Giraud)

(*ἐν τῇ Ἐκκλησιαστικῇ Βιβλιοθήκῃ. Τόμ. ΙΘ'. ἐν Παρισίοις* 1824).

" *Photius* fut régardé même par ses ennemis comme le premier homme de son siècle, et digne d'être comparé aux anciens, pour son esprit, son savoir, et son éloquence. Grammairien, poète, philosophe, orateur, mathématicien, critique, médecin, politique, astronome, théologien, interprète, il était habile dans toutes sortes des sciences, et *si l'on excepte les ecrits qu'il composa contre l'Eglise,*[1] tous ceux qui nous restent portent le caractère des ouvrages qui méritent d'être transmis à la postérité; Une grande netteté dans le style, beaucoup de force et de précision dans le raisonnement, de l'élevation dans les pensées, de la purcté dans les expressions, de la noblesse dans les sentiments, une critique fine et judicieuse, un tour d'éloquence délicat, persuisif et gracieux: c'est ce que l'on remarque principalement dans ses lettres. Il joignait à tant des talens une grandeur d'âme bien supérieure à ses disgraces, et qui dans le temps même qu'il était captif et exilé, le faisait parler aux Empereurs avec la même force et la même hardieuse, que si l'eut été en pleine liberté. *Heureux! s'il ne se fût pas laissé dominer par une ambition démésurée, qui occasiona le schisme entre les Eglises d'Orient et d'Occident.*" [2]

ΚΕ'.

Ἐκ τοῦ ΚΕΙΛΛΙΕΡΟΥ (Remy Ceillier)

(*ἐν τῇ Γενικῇ Ἱστορίᾳ τῶν Ἐκκλησιαστ. συγγραφέων. Τόμ. ΙΘ'*).

"*Ὅσα μὲν οἱ Δομινικανοὶ Ῥιχάρδος καὶ Γιρῶδος περὶ Φωτίου γεγράφασιν, ἐκ τοῦ περιωνύμου ταῦτα παρειλήφασι συγγράμματος τοῦ Κειλιέρου*—" Histoire Générale des auteurs sacrés et Ecclésiastiques, par le R. P. Dom. Remy Ceillier "—*πάντα κατὰ λέξιν ἐξ ἐκείνου ἀντιγράψαντες. Αὐτὸς δ' ἐκεῖνος ὁ διάσημος συγγραφεὺς τὰ περὶ Φωτίου καὶ τῶν συγγραμμάτων αὐτοῦ ἐν ἐκτάσει ἐξιστορῶν* (*Τόμ. ΙΘ', σελ.* 426—453), *εἰ καὶ ἐν πολλοῖς φαίνεται ἀναξίως ἑαυτοῦ Νικήτᾳ τῷ Παφλαγόνι καὶ τοῖς ἄλλοις τῶν Φωτιομάχων ἑπόμενος, ὅμως πολύς ἐστιν ἐν τῷ θαυμάζειν τὸν Φώτιον, καὶ τάδε πρὸς τοῖς εἰρημένοις λέγων περὶ αὐτοῦ.* " *La nature et la fortune s'étaient comme réunies pour faire de Photius un des plus grands hommes de son siècle.*"

Τὰ δ' *αὐτὰ καὶ παρ'* ΗΛΙΑ*ι τῷ* ΔΟΥΠΙΝΩ*ι ἰδεῖν ἐστι περὶ* ΦΩΤΙΟΥ *καὶ τῶν συγγραμμάτων αὐτοῦ λεγόμενα, ἀλλ' ἐν τέλει καὶ τὴν συνήθη καὶ στερεότυπον ἐκείνην φέ-*

---

[1] Ὁ Φώτιος ἔγραψε κατὰ τῆς Ἐκκλησίας!!! Κατὰ τῶν αἱρέσεων ναί· Ἀλλὰ κατὰ τῆς Ἐκκλησίας ποῦ καὶ πότε;

[2] Αὕτη ἐστὶν ἡ συνήθης καὶ στερεότυπος παρὰ πᾶσι τοῖς Παπισταῖς ἐξαίρεσις, ὅταν περὶ Φωτίου γράφωσιν. Ἀλλ' εἰ διὰ φιλοδοξίαν τὸ τῆς Ἐκκλησίας ἐγένετο σχίσμα, οὐ Φωτίου ἡ τοιαύτη φιλοδοξία, οὗ πᾶς ὁ βίος ταπεινοφροσύνης τῆς κατὰ Χριστόν ἐστιν ὑπόδειγμα, ἀλλὰ τῶν ἀλαζόνων ἐκείνων, οἱ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον, ἤπερ τὴν δόξαν τοῦ Θεοῦ ἠγάπησαν.

Digitized by Google

οοντα ἐξαίρεσιν—" *Heureux, s'il sú s'en servir pour le bien de l'Eglise*, etc. etc. (Ellies Du-Pin. Nouvelle Bibliothèque des auteurs Ecclésiastiques. Tom. VII. p. 80—109. Autrecht, 1731).

ΚΣΤ'.

Ἐκ τοῦ ΣΑΙΝΤ-ΚΡΟΪΟΥ (Sainte-Croix)

(Examen critique des Historiens d'Alexandre le Grand, p. 753—5. Sec. Edit. Paris, 1804).

" Cent ans après, parut *Photius*, critique habile, savant profond et universel, dont quelques écrits [1] respirent la vertu et la sagesse, l'homme le plus capable de coopérer au rétablissement des lettres, et de donner une impulsion salutaire aux esprits."

Ἕπεται μετὰ ταῦτα ἡ στερεότυπος ἐκείνη ἐξαίρεσις — Mais ambitieux, méchant—καὶ τ' ἄλλα τὰ τοιαῦτα, ἅπερ, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν (§ κθ' σημ.) εἴπομεν, κηλίδες εἰσὶν ἀπρεπεῖς τῷ πολυτίμῳ ἐκείνῳ συγγράμματι καὶ τῷ τοῦ σοφοῦ συγγραφέως ὀνόματι. Ἀλλ' ὅμως ταῦτα καὶ ὁ σοφὸς Σαὶντ-Κρόϊος τῷ Παπισμῷ σπεισάμενος, αὖθις ἐπάνεισιν εἰς τοὺς τῆς ΦΩΤΙΟΥ σοφίας ἐπαίνους, περὶ τῆς Βιβλιοθήκης αὐτοῦ λόγον ποιούμενος· καὶ τελευτῶν ἐπιλέγει·

" Jamais personne n'aima plus l'étude que cet *homme célèbre*, et il se plaint avec raison de ceux qui le privèrent dans son exil de la societé de ses livres, supplice étrange, nouveau et imaginé pour lui seul."

ΚΖ'.

Ἐξ αὐτοῦ ΙΑΓΕΡΟΥ (Abbé Jager)

(ἐν ᾗ πολλάκις ἐμνήσθημεν Ἱστορίᾳ τοῦ Φωτίου, σελ. 394 κ. ἑξ.).

" On m'aura taxé sans doute d'exagération, lorsqu'en dépeignant sa noire perfidie et sa profonde perversité, j'ai constamment rendu hommage à ses rares talents. [2] Mais je n'ai point à me rétracter: le langage que j'ai tenu est celui de ses contemporains, de ceux-là même qui étaient le plus opposés à sa conduite. [3] Nicétas nous le représente toujours comme le plus éminent personnage de son siècle, comme digne d'être placé, par son génie et son savoir, à côté de plus grands savants des siècles précédents. Il possédait les connaissances les plus variées, l'éloquence, la poésie, la philosophie, la théologie et le droit canon. La médecine et la politique n'avaient rien de caché pour lui: il pénétrait les secrets de l'une, il sondait les profondeurs de l'autre, avec une égale sagacité. Doué d'une ardeur

---

[1] Διὰ τί δέ τινα, ἀλλ' οὐ πάντα;

[2] Τοῦτο μᾶλλον ὤφειλε φοβεῖσθαι Ἰάγερος ἐν οἷς καταβλασφημεῖ τοῦ πανιέρου Φωτίου, οὐδεμίαν ἀπολιπὼν ψεύδους καὶ συκοφαντίας ὑπερβολήν· τοῦ δὲ δόξαι ὑπερβολῇ κεχρῆσθαι, ἐν οἷς τὴν σοφίαν αὐτοῦ ἐξυμνεῖ, φόβος οὐδείς. Πολλῷ γὰρ πλέον Ἰαγέρου τὴν σοφίαν Φωτίου ὕμνησαν πάντες οἱ ἐξ ἐκείνου μέχρις ἡμῶν γεγονότες, ἀνδρῶν σοφῶν σμῆνος, οἱ τὰ σοφὰ καὶ θεόπνευστα ἐκείνου συγγράμματα οὐ μόνον ἀναγνόντες, ἀλλὰ καὶ γνόντες. Ἰάγερος δέ, ὡς ἔοικεν, ἤτοι οὐδόλως ἀνέγνω, ἢ κακῶς ἔγνω τὰ Φωτίῳ γεγραμμένα, ὡς πολλάκις ἐν τοῖς ἑξῆς καταδείξομεν.

[3] Καὶ διὰ τοῦτο μάλιστα μὲν ἀξιοπίστων ἐν τούτοις (" οἶδε γὰρ καὶ πολέμιος θαυμάζειν ἀνδρὸς ἀρετήν ") ἥκιστα δ' ἐν οἷς Φωτίου κατεθρασύναντο.

Digitized by Google

infatigable pour le travail, il avait tout lu, tout étudié, et les extraits qu'il nous a laissés nous montrent qu'il avait su tirer profit de ses lectures. Son talent d'écrire se rapproche bien souvent des anciens. Sans doute, lorsqu'il s'élève contre le chef de l'Eglise,[1] et qu'il entre en controverse avec lui, ou lorsqu'il accuse l'Eglise Latine d'hérésie au sujet de la procession du Saint-Esprit, il est faible et embarrassé, *parce que tout ce qui est contre la vérité est de sa nature faible, et s'écroule de soi même.*[2] Mais nous avons remarqué dans ces mêmes écrits une extrême adresse, et un coloris de style qui couvre la faiblesse de ses arguments. Quelque-fois même il s'élève à une haute éloquence: la lettre écrite aux Orientaux nous en offre des exemples. Mais lorsqu'il a la vérité pour lui,[3] sa plume enfante souvent des chefs-d'oeuvres dignes de l'antiquité. Alors plus rien d'embarrassé, tout est naturel, tout coule de source, sa diction est pure, son style châtié, sa logique serrée, ses pensées sont nobles, ses sentiments élevés; alors il sait embellir tout ce qui tombe sous sa plume, même les matières les plus arides. Si le sujet se prête à la richesse de son talent, il fait briller tous les trésors de son érudition, avec toutes les finesses de la dialectique, avec tout le feu du génie et de l'éloquence. Ses écrits nous en fournissent de nombreux exemples. Ses lettres surtout ont un charme plus facile à sentir qu' à décrire; il sait leur donner un tour gracieux, délicat et persuasif, joindre la force à l'élégance du style, allier la science à une critique fine et judicieuse. Nous avons pu le remarquer dans les lettres qu'il a écrites de son exil, et surtout dans celle qu'il a adressée à l'Empereur, où il décrit, sans aigreur, comme sans bassesse, avec toute la vivacité de son pinceau, les malheurs de sa captivité. La peinture qu'il fait de ses peines et de ses disgrâces est si vive et si pathétique, qu'on en serait touché, si l'on ne connaissait pas les crimes qui les lui avaient attirées.[4]

---

[1] *Ἄπαγε τῆς βλασφημίας! Οὐδαμοῦ γὰρ οὐδὲν εἶπε Φώτιος κατὰ Χριστοῦ, ὃς μόνος κατὰ Παῦλον τὸν θεόπνευστόν ἐστιν ἡ Κεφαλὴ τῆς Ἐκκλησίας. "Ὁ γὰρ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης, ... πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ καὶ αὐτὸν ἔδωκε Κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ· ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ πάντα ἐν πᾶσι πληρουμένου."* (πρὸς Ἐφεσ. Α', 17—23.) *Εἰ δ' ἄλλον Ἰάγερος λέγει τῆς Ἐκκλησίας εἶναι κεφαλήν, λεγέτω μὲν αὐτός, καὶ αὐτὸς πιστευέτω· Φώτιος δὲ καὶ πάντες οἱ ὀρθῶς πιστεύοντες οὐκ ἂν τὴν Ἰαγέρου ψευδῆ καὶ κατάπτυστον ταύτην δόξαν τῆς τοῦ Παύλου θείας διδασκαλίας περὶ πλείονος ποιήσαιντο. Ὁ γὰρ Παῦλος ἕνα μόνον ἡμᾶς διδάσκει ἐκ Θεοῦ δεδόσθαι εἰς Κεφαλὴν τῆς Ἐκκλησίας, καὶ τοῦτον ΥΠΕΡ ΠΑΝΤΑ.*

[2] *Ἀληθὲς μὲν τοῦτο λέγει Ἰάγερος, οὐ μὴν κατὰ Φωτίου, ἀλλὰ καθ' ἑαυτοῦ μᾶλλον. Ἃ μὲν γὰρ Φώτιος κατὰ τῆς παναθέσμου ἐκείνης προσθήκης ἔγραψε, ἀκράδαντον ἔστηκε καὶ κάλλιστον τρόπαιον εὐσεβείας ἅμα καὶ εὐφραδείας, πᾶσι θαυμαστὸν καὶ σεβάσμιον, οὐχ' ἡμῖν μόνοις, ἀλλὰ καὶ τῶν ἑτεροδόξων πολλοῖς καὶ σοφοῖς ἀνδράσιν. Ὁ μὲν γὰρ Μοσταικούτιος τὴν ἐγκύκλιον ἐπιστολὴν Φωτίου, ἐν ᾗ τάς τε ἄλλας τῶν Λατίνων καινοτομίας, καὶ τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, κεραυνοβολεῖ, σημαντικὴν ἀποκαλεῖ ἐπιστολήν* (insignis epistola)· *Φαβρίκιος δὲ ἀξιομνημόνευτόν τε καὶ ἀξιολογωτάτην* (memorabilis ac celebratissima). *Τὰ δ' αὐτὰ πάντες καὶ περὶ τῆς πρὸς τὸν Μητροπολίτην Ἀκυληίας ὁμολογοῦσιν. Ἡ δὲ Ἰαγέρου ξυγγραφὴ μαρτύριον ἔστηκε ταυτησὶ τῆς ἀληθείας, ὅτι— tout ce qui est contre la vérité est de sa nature faible, et s'écroule de soi même. Πανταχόθεν γὰρ κατακεκριμένη, ἐλεεινὸν κατέπεσεν ἐρείπιον, εἰς μαρτύριον τοῖς ἔθνεσιν.* (Ἴδε τὴν περὶ τούτου σημείωσιν ἐν τοῖς ἔμπροσθεν, § β'.)

[3] *Τοῦτ' ἔστι, πάντοτε καὶ πανταχοῦ.*

[4] *Φώτιος, ὥσπερ οὐδ' Ἰγνάτιος, οὐκ ἰδίων ἁμαρτημάτων ἕνεκα τοὺς διωγμοὺς ἐκείνους ὑπέστη καὶ τὰς κακώσεις, ἀλλ' ὡς μάρτυς ὑπὲρ Χριστοῦ, μᾶλλον ἑλόμενος κακῶς παθεῖν, ἢ τοῖς ἰσχύουσι χαριζόμενος τὴν κακίαν παρορᾷν ἀνεξέλεγκτον, καὶ τὰ ὄσια βεβηλούμενα. Ἐκεῖνα γοῦν τὰ παθήματα ὁ λαμπρότατός ἐστι τῶν Φωτίου στεφάνων· ἃ δὲ λέγει Ἰάγερος περίτρανός ἐστι φλυαρία καὶ βλασφημία. Καὶ τοῦτο δὲ προσσημειωτέον, ὅτι καὶ τὴν περὶ τῶν Φωτίου ἐπιστολῶν ταύτην κρίσιν, ὡς καὶ τ' ἄλλα πάντα, ἐκ Φωχέρου ἀντιγράφει ἡ παραφράζει ὁ δεινὸς ἀντιγραφεὺς Ἰάγερος. Εἰ δὲ καὶ ἀρκούντως ἡμῖν ἐν τοῖς ἔμπροσθεν (Προλ. § κδ' σημ.) ἡ Ἰαγέρου αὕτη δεινότης καταδέδειται, ἀλλ' οὖν καὶ ἐνταῦθα τοὺς Φωχέρου παραθήσομεν λόγους, ὅπως ἥ τε Ἰαγέρου δεινότης μᾶλλον γένηται καταφανής, καὶ Φώχερος αὐτός, ὁ λειτουργότατος Φωτίου συκοφάντης, ἅμα μὲν συμμαρτυρήσῃ τοῖς ἄλλοις ὑπὲρ τῆς Φωτίου σοφίας, ἅμα δὲ τὴν ἑαυτοῦ καταδείξῃ οὕτως ἀσεβῶς ὑπὸ Ἰαγέρου κατακορθουμένην. Λέγει τοίνυν περὶ τῶν Φωτίου ἐπιστολῶν ὁ Πατὴρ Φώχερος τάδε·* "Ses lettres surtout ont un tour d'éloquence gracieux, délicat et persuasif: c'est ce que l'on a dû remarquer particulièrement dans celle qu'il écrivit à l'Empreur, où rien ne surpasse la vivacité de son pinceau, lorsqu'il décrit ses maux et ses malheurs. C'était alors que le cœur dictait à l'esprit ce que la main devait écrire. En effet, quelle énergie d'expression et de sentiments! et si l'on n'était instruit de ses crimes et de ses forfaits on serait touché de ses peines et de ses disgraces, en jettant les yeux sur les descriptions qu'il en fait: tant elles sont touchantes et pathétiques, etc. etc. (Histoire de Photius, etc. par le Pre Chrys. Faucher, p. 295.)

Digitized by Google

Ἔπειτα δὲ περὶ τῶν ΦΩΤΙΟΥ *συγγραμμάτων λόγον ποιούμενος, καὶ τούτων μάλιστα θαυμάζων τὴν* Μυριόβιβλον, *λέγει·*

" Le livre, qui l'a rendu le plus célèbre dans l'histoire des lettres, et qui a immortalisé son nom à titre de savant, est sa *Bibliothèque.* C'est l'idée sommaire, générale et critique de tous les livres qu'il avait lus dans les loisirs qui lui laissaient ses occupations politiques, soit comme secrétaire d'Etat, soit comme ambassadeur; c'est une espèce de journal littéraire qui peut servir de modèle, et qui ne sera peut-être jamais surpassé. . . . . Il fallait un esprit juste, une vaste conception et une rare patience pour analyser deux cent quatre-vingts ouvrages si différents, sans rien passer d'important. Il fallait un esprit merveilleux, pour répandre de l'intérêt sur les matières les plus abstraites, et pour jeter des fleurs sur les discussions les plus arides. Les jugements qu'il porte sur tant de productions diverses, et les extraits qu'il en fait, sont dictés par le goût le plus pur, par la critique la plus judicieuse et la plus éclairée: il sont soutenus par un caractère d'aménité et d'enjouement qui en rend la lecture agréable et piquante, lors même que le sujet s'y prête le moins. Tous ceux qui ont fait une étude speciale de ce livre en sont dans l'admiration, et le placent au premier rang."

Οὐχ ἧττον δὲ καὶ τ' ἄλλα τῶν ΦΩΤΙΟΥ *συγγραμμάτων, ὅσα κατὰ τῶν αἱρέσεων* ΦΩΤΙΩι *γέγραπται, ὑπερθαυμάζει* Ἰάγερος· *οὐ μὴν ἅπαντα, ὡς εἰκός, ἀλλὰ μόνα τὰ κατὰ τῶν ἀρχαίων αἱρετικῶν γεγραμμένα, δεικνὺς μὲν τῇ διαστολῇ ταύτῃ, ὅτι καὶ νεώτεροι γεγόνασιν αἱρετικοί, φεύγων δὲ τὸ τοὺς κατὰ τούτων καλλινίκους ἀγῶνας τοῦ πανιέρου* Πατριάρχου *ἐπαινέσαι. Λέγει τοίνυν καὶ περὶ τούτου·*

" S'il a rendu des services à la science, il en a rendu aussi, il ne faut pas se le dissimuler, à l'Eglise, en prenant la defence de la doctrine catholique contre les anciens hérétiques. [1] Du temps du Photius, il y avait encore de nombreux hérétiques, Ariens, Macédoniens, Nestoriens, Eutychiens, Monothelites et Iconoclastes, qui levaient la tête de temps en temps, cherchant à faire revivre leurs doctrines. Les Manichéens, profitant des troubles politiques et religieux, inondaient la Grèce. Photius les attaqua dans toutes les occasions avec un talent prodigieux, il les réfute avec toute la force et la finesse de la dialectique; il s'attache surtout à faire sentir l'impiété de leurs principes, et a en inspirer de l'horreur aux fidèles. [2] Rien n'est plus beau que la défence qu'il prend de la doctrine des Sept premières Conciles, dont il donne une analyse au Roi des Bulgares: la vérité catholique y brille dans tout son éclat, l'erreur est écrasée, [3] etc. etc. etc."

Προϊὼν δέ, καὶ περὶ ἄλλων τινῶν τῶν ΦΩΤΙΟΥ *συγγραμμάτων λόγον ποιούμενος, ἄλλον* Παῦλον *ὁμολογεῖ γενέσθαι τὸν* ΦΩΤΙΟΝ, *ὑπὸ μὲν τοῦ πνεύματος, ᾧ ἐνεπνέετο*

---

[1] Διὰ τί δὲ κατὰ μόνων τῶν ἀρχαίων αἱρετικῶν; Εἰρήσθω πλήρης ἡ ἀλήθεια, ὅτι κατά τε τῶν ἀρχαίων καὶ τῶν ἐπ' αὐτοῦ ἐκ σκότους ἀναδύντων αἱρετικῶν ἡρωϊκῶς ὑπὲρ τῆς Ὀρθοδοξίας ὁ πανίερος ἠγωνίσατο Φώτιος.

[2] Οὐδὲν τούτου διάφορον ἔπραξεν ὁ δολίδιμος καὶ κατὰ τῶν ἐπ' αὐτοῦ αἱρετικῶν· καὶ τούτων γάρ, ὡς κἀκείνων, ἐπήτταξε τὴν ἀσέβειαν, καὶ τοῖς πιστοῖς ἅπασι μῖσος καὶ ἀποστροφὴν κατὰ τῆς θεοστυγοῦς αἱρέσεως ἐμποιῆσαι ἐσπούδασε, καλῶς γε πράττων καὶ προσηκόντως ἑαυτῷ.

[3] Εἰ καὶ τὴν πρὸς τὸν Μητροπολίτην Ἀκυληίας ἐπιστολὴν ἀπαθῶς Ἰάγερος ἀνεγίνωσκε, καὶ τὴν πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Ἀρχιερατικοὺς θρόνους περιβόητον ἐγκύκλιον, τὴν αὐτὴν ἂν καὶ περὶ ἐκείνων ἐξέπεμψε δικαίαν φωνήν, λέγων μετὰ τοσούτων ἄλλων σοφῶν ἀνδρῶν, τῶν τὰς ἐπιστολὰς ἐκείνας δικαίως θαυμαζόντων· " La vérité catholique y brille dans tout son éclat, l'erreur est écrasée." Ἀλλὰ διὰ τὸν ὑπερβάλλοντα ὑπὲρ τοῦ Παπισμοῦ ζῆλον ἐκὼν τοὺς ὀφθαλμοὺς καταμύων πρὸς τὴν ἀλήθειαν, αὐτὸς ἑαυτὸν ὑπέβαλε τῇ δικαίᾳ τοῦ σοφοῦ Βασναγίου κρίσει, ἣν περὶ Βαρωνίου ἐποιήσατο· " Celà fait voir l'excés auquel l'amour pour le Siége de Rome porte les écrivains!"

Digitized by Google

Παῦλος ἐμπνεόμενον, διάφορα δ' ἐκείνου αἰσθανόμενον. Ὁ τοίνυν ἅρπαξ, καὶ δόλιος, καὶ πλαστογράφος, καὶ δολοφόνος, καὶ τυμβωρύχος (καὶ τί κακόν, τί δ' ἀνόσιον οὐκ ἀκούσας ἐν πάσῃ τῇ Ἰαγέρου Ἱστορίᾳ;), οὗτος ἐν τέλει ὀπαδὸς ἀποκαλεῖται τοῦ Ἀποστόλου Παύλου, τῷ πνεύματι, ᾧ ἐκεῖνος ἐνεπνέετο, ἐμπνεόμενος, μιμητὴς δὲ καὶ ζηλωτὴς τοῦ Γρηγορίου καὶ Χρυσοστόμου. Ὡς μεγάλη καὶ θαυμαστὴ τῆς ἀληθείας ἡ δύναμις! διὰ γὰρ τῶν πυκνῶν τοῦ στυγεροῦ φθόνου ἐπικαλυμμάτων καὶ ἐπισκοτίσεων τὰς φωτοβούλους αὐτῆς ἀκτῖνας διαπέμπουσα, καταγελάστους ποιεῖ καὶ καταπτύστους τοὺς τὸ ἄσβεστον αὐτῆς φῶς κατασβέσαι πειρωμένους. Ἀλλ' ἀκούσωμεν λέγοντος Ἰαγέρου·

" Le docteur des nations, Saint Paul, était pour lui, comme pour Saint Gregoire de Nazianze et Saint Chrysostome, l'objet d'une vénération toute spéciale. Il en fait le plus grand éloge dans la plupart de ses lettres, et s'attache avec un soin tout particulier à en expliquer les passages obscurs. Il relève surtout sa sagesse et son éloquence, l'élévation de ses pensées, la force de ses raisonnements, l'énergie de ses expressions, la noblesse de son style, la dignité et la majesté de ses maximes, la convenance et la variété de ses figures. *Photius, en parlant de ce sujet semble être tout pénétré de l'esprit de ce divin apôtre, dont les sentiments sont si opposés aux siens.* [1]

Οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν ΦΩΤΙΟΥ ἐπιστολῶν πολλὰ καὶ καλὰ λέγει· καί τινας αὐτῶν μεταφράζων (οὐ πάσας μέντοι πιστῶς, ὡς ἐν οἰκείῳ τόπῳ δηλώσομεν), ἐν αἷς καὶ τὴν περίφημον παραμυθητικὴν πρὸς τὸν ἀδελφὸν Ταράσιον, τάδε προοιμιάζεται·

" *Les Pères de l'Eglise n'ont jamais tenu un langage plus chrétien.*"

Καὶ τελευτῶν πολύς ἐστιν ἐν τῷ θαυμάζειν τὴν πρὸς τὸν Ἄρχοντα Βουλγαρίας ἐπιστολήν· καὶ αὖθις ΦΩΤΙΟΝ μέγαν ἀνακηρύττων, μόνην κατακρίνει τὴν φιλοδοξίαν αὐτοῦ, δι' ἣν ἀφθόνως τῷ ΚΗ' Κανόνι τῆς ἐν Χαλκηδόνι Συνόδου χρησάμενος, τὰς τῆς Δυτικῆς Ἐκκλησίας κακοδοξίας κατεστηλίτευσε, καὶ τῇ ἀκαταμαχήτῳ τοῦ λόγου αὐτοῦ δυνάμει οὕτω τοῖς τῶν Ἑλλήνων πνεύμασι τὰς κακοδοξίας ἐκείνας ἐνετύπωσεν, ὥστε μέχρι καὶ νῦν ἀνεξιτήλους αὐτὰς παραμένειν. Ἀπὸ γοῦν τῆς τοιαύτης Ἰαγερείου λογικῆς, ὡς ἀπὸ τέρατος ἐγκυμονοῦντος, τὸ τερατῶδες ἀποτίκτεται συμπέρασμα, ἐν ᾧ ἡ ὑπερτετρακοσιοσέλιδος αὐτοῦ τελευτᾷ Ἱστορία.

" Le schisme de l'Orient a donc pour première origine l'ambition des Patriarches de Constantinople, favorisée par celle des Empereurs: c'est là résumé net et clair de toute l'histoire Ecclésiastique du Bas-Empire."

Τοιοῦτον μέντοι συμπέρασμα μόνοι οἱ ἀναστροφάδην τὴν Ἱστορίαν ἀναγινώσκοντες συνάγειν ἔχουσιν ἐξ αὐτῆς· οἱ δ' ἐν εὐθύτητι ταύτην διεξερχόμενοι, καὶ τὰ πεπραγμένα

---

[1] Ἦν ἄρα Φώτιος τῷ τοῦ Παύλου πνεύματι ἐμπνεόμενος, καὶ τούτῳ τοὺς θεοπνεύστους ἐκείνου λόγους θαυμασίως ἑρμηνεύων, ὥς φησιν Ἰάγερος· οὐ μέντοι ταὐτὰ τῷ Παύλῳ, ἀλλ' ἀντίθετα ἐφρόνει. Ἀλλ' ὦ τῆς ἀβουλίας! (ἵνα μή τι χεῖρον εἴπῃ τις). Εἰ γὰρ τὸ πνεῦμα τοῦ Θεοῦ ἦν ἐνοικοῦν ἐν τῷ Παύλῳ, διττὴν εὑρίσκει τὴν τοῦ Θείου Πνεύματος ἐνέργειαν ὁ θεολόγος Ἰάγερος· ὡς ἐν μὲν τῷ Ἀποστόλῳ εἶναι πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα φόβου Θεοῦ, ἐν δὲ τῷ Φωτίῳ πνεῦμα πονηρίας, πνεῦμα ἀσυνεσίας, πνεῦμα ἀφοβίας Θεοῦ. Οἵα βλασφημία! Ὡς δικαίως καὶ πάλιν τὴν Βασιλείου ἐπιφωνήσειεν ἂν τις δικαίαν τῶν Παπικῶν ὀργάνων κατάκρισιν!

Digitized by Google

μάρτυρας προβαλλόμενοι, μόνην εὑρίσκουσι τοῦ σχίσματος ἐκείνου ἀφορμὴν τὴν τῶν ἐν Ῥώμῃ Παπῶν ἀντίχριστον φιλοδοξίαν, ὡς ἀρκούντως ἐν τοῖς ἔμπροσθεν (Μέρ. Α') *καταδέδεικται.*

ΚΗ'.

Ἐκ ΜΟΡΤΡΕΤΪΛΟΥ (J. A. B. Mortreuil)

(Histoire du droit Byzantin. Tom. II. p. 496—9).

Ἀκούσωμεν νῦν καὶ Μορτρευΐλου, περί τε τῆς Ἰαγέρου Ἱστορίας καὶ ΦΩΤΙΟΥ γνώμην ἀποφαινομένου·

" M. l'abbé Jager, professeur d'histoire à la Sorbonne, vient de faire paraître, il y a peu de jours, une histoire de Photius.[1] La biographie de ce patriarche n'a été pour le savant écrivain que le cadre où il a raconté le schisme des grecs avec toute l'ardeur, et, disons même, toutes les préventions d'un théologien ultramontain. La discussion l'a même entraîné si loin que c'est bien certainement de la vie et des travaux de Photius qu'il s'agit le moins dans ce livre.

" Le nom de Photius est un des plus célèbres que l'on puisse inscrire dans les fastes littéraires de Byzance. Sorti d'une des plus illustres et de plus riches maisons de Constantinople, Photius était petit-neveu du patriarche Tarasius et frère du patrice Sergius qui avait épousé Irène, une des sœurs de l'impératrice Theodora.[2] Il reçut l'éducation la plus brillante sous la direction de Bardas, le restaurateur des lettres. Il fit dans toutes les sciences de rapides progrès ; sa haure naissance et ses talents l'élevèrent bientôt aux premières charges de l'état. . . . . .

" Sa *Bibliotheque* a immortalisé son nom. Elle contient l'analyse de deux cent soixante dix-neuf ouvrages qu'il avait lus dans son ambassade. Les extraits qu'il donne, faits avec beaucoup d'art et avec une critique sûre, sont d'autant plus précieux qu'une partie des ouvrages analysés a péri. Son *Lexique* jouit parmi les Philologues d'une juste réputation, le premier texte en a été donné il y a quelques années par Pierre-Paul Dobrée.

" Comme théologien nous devons à Photius des questions relatives à différents passages de l'écriture sainte intitulées *Amphilochia*, parce qu'elles étaient adressées à Amphilochius, évêque de Cyzique, une *Exposition des épitres de Saint Paul*, et un *Traité contre les Manichéens* divisé en quatre livres. On lui doit encore une *Histoire abrégée des sept premiers conciles* qui fait partie de sa première lettre à Michel, prince de Bulgarie et des *Συναγωγαὶ καὶ ἀποδείξεις*, ou recueils des questions relatives à l'état ecclésiastique.

" Nous avons vu que Photius ne fut point étranger aux publications législatives de Basile ; nous

---

[1] Histoire de Photius, patriarche de Constantinople, auteur du Schisme des Grecs, *d'après les monuments originaux* la plupart encore inconnus, par M. l'abbé Jager, *Paris*, 1844, in-8°. On a lieu d'être étonné que dans cette histoire, annoncée comme écrite d'après les monuments originaux, il n'y soit pas fait une seule fois mention de la Bibliothèque de Voël et du *Synodicon* de Beveridge, où sont recueillis les monuments de l'église grecque et les écrits canoniques de Photius. Aussi M. l'abbé Jager a-t-il été complètement inexact dans la faible partie de son livre qu'il a consacrée à ces écrits.

[2] *Οὐχ ὁ Φωτίου, ἀλλ' ὁ τῆς μητρὸς αὐτοῦ ἀδελφὸς γυναῖκα ἴσχε τὴν τῆς Αὐτοκρατείρας Θεοδέρας ἀδελφήν. Ἴδε περὶ τούτου τὰ ἐν τοῖς ἔμπροσθεν* (Προλεγ. § κά) *εἰρημένα.*

Digitized by Google

savons ce qu'il a fait pour donner aux rapports du droit civil et du droit canonique une fixité jusqu'alors incertaine. Avant que Biener eut déterminé la part de Photius dans le *Nomocanon* qui porte son nom, quelques auteurs lui avaient également attribué le traité des antinomies (*περὶ ἐναντιοφανῶν*); mais le véritable caractère de cette monographie a été déterminé d'une manière trop précise, pour qu'il soit possible de perpétuer une semblable erreur.

" Photius après sa mort a laissé de longues traces de son épiscopat: ses écrits ont toujours été en Orient l'objet d'un culte religieux; it suffit, pour apprécier le caractère et les talents de cet homme vraiment extraordinaire, de se souvenir qu'il a lutté lui seul pendant trente-cinq ans contre l'autorité de neuf papes et que l'église grecque le vénère encore aujourd'hui comme son apôtre."

κθ'.

Τῶν δὲ σοφῶν Ἀγγλων ἄλλοι τε, οἱ πάντες σχεδόν, καὶ οἱ σεβάσμιοι τῆς Ἐκκλησιαστικῆς Ἱστορίας συγγραφεῖς J. B. S. Carwithen καὶ A. Lyall τάδε περὶ ΦΩΤΙΟΥ ἀποφαίνονται·

" The ninth century is styled the *Photian age*, and therefore this illustrious Patriarch of Constantinople claims the first place in the catalogue of learned men. . . . . His writings are an evidence of his profound and universal erudition, and his high attainments obtained the commendation even of his enemies. His great work is his Bibliotheca, in which is shown the acuteness of his genius, the solidity of his judgment, and the extent of his reading. His epistles exhibit him as a Philosopher, a Mathematician, a philologist, a lawyer, and a divine, etc."—History of the Christian Church by Rev. J. B. S. Carwithen and Rev. A. Lyall. London, 1856.—*τοῦτ' ἔστιν·*

" Ἡ ἐννάτη ἑκατονταετηρὶς Φωτίου αἰὼν ἐπικαλεῖται· ἐντεῦθεν οὖν ὁ περικλεὴς οὗτος Πατριάρχης τῆς πρώτης ἀξιοῦται τάξεως ἐν τοῖς τότε λογίοις . . . . . Τὰ μὲν συγγράμματα αὐτοῦ τὴν βαθεῖαν καὶ καθόλου πολυμάθειαν αὐτοῦ μαρτυροῦσι· τὴν δὲ μεγίστην αὐτοῦ σοφίαν καὶ αὐτοὶ αὐτοῦ οἱ ἐχθροὶ θαυμαζουσιν. Καὶ μέγιστον μὲν αὐτοῦ ἔργον τυγχάνει οὖσα ἡ Μυριόβιβλος, ἐν ᾗ τό τε ἀγχίνουν καὶ τὸ τῆς κρίσεως ἀσφαλὲς καὶ τὸ πολὺ τῶν ἀναγνώσεων αὐτοῦ καταδείκνυται· ἐν δὲ ταῖς ἐπιστολαῖς φιλόσοφός τε ἅμα καὶ μαθηματικὸς καὶ φιλόλογος καὶ νομικὸς καὶ θεολόγος καταφαίνεται. κ.τ.λ. "

λ'.

Ἐκ τοῦ βιογραφικοῦ Λεξικοῦ τῶν Ἑλλήνων καὶ Ῥωμαίων
ὑπὸ ΣΜΙΘΙΟΥ. ἐν λ. ΦΩΤΙΟΣ.

" Of the eminent men, whose names occur in the long series of the Byzantine annals, there is hardly one, who combines so many claims upon our attention as *Photius*. The varied informations, much of it not to be found elsewhere, contained in his works, and the sound critical judgment displayed by him, raise him to the very highest rank among the Byzantine writers: his position, as one of the great promoters of the schism between the Eastern and Western Churches, give him an almost equal eminence in Ecclesiastical history; and his position, striking vicissitudes of fortune, and connection with

Digitized by Google

the leading political characters of his day, make him a personage of importance in the domestic history of the Byzantine Empire."—*τοῦτ' ἔστιν*

" Τῶν διασήμων ἀνδρῶν, ὧν ἐν τῇ σειρᾷ τῶν Βυζαντινῶν χρονικῶν εὑρίσκονται τὰ ὀνόματα, οὐδεὶς Φωτίου ἀξιολογώτερος. Αἱ μὲν γὰρ ἐν τοῖς συγγράμμασιν αὐτοῦ παντοῖαι γνώσεις, ὧν πολλὰς οὐκ ἔστιν εὑρεῖν ἀλλαχοῦ, καὶ τὸ τῶν κρίσεων ἀσφαλές, εἰς τὴν ὑψίστην αὐτὸν ἀνάγουσι τάξιν ἐν τοῖς Βυζαντινοῖς συγγραφεῦσιν· ἡ δὲ θέσις αὐτοῦ ἐν τοῖς μάλιστα τὸ τῶν Ἐκκλησιῶν σχίσμα προαγαγοῦσιν οὐχ ἧττον αὐτὸν ἔξοχον ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ δείκνυσιν· καὶ ἡ ἄλλη δὲ αὐτοῦ ἐν τῇ πολιτείᾳ ἀναστροφή, καὶ τῆς τύχης αὐτοῦ αἱ θαυμασταὶ μεταβολαί, καὶ οἱ πρὸς τοὺς μεγίστους τῶν κατ' αὐτὸν πολιτικῶν ἀνδρῶν συνάφεια, μέγιστον αὐτὸν ἐν τῇ ἐσωτερικῇ τοῦ Βυζαντινοῦ Κράτους Ἱστορίᾳ ἀναδεικνύουσιν· "

Μετὰ δὲ τὴν τοῦ βίου αὐτοῦ ἐξιστόρησιν, ὁ τὴν βιογραφίαν ἐκείνην συντάξας πάντας ἐξελέγχει τοὺς Φωτιομάχους, τούς τε Παπιστάς, καὶ τοὺς τὰ ἐκείνων ἀβασανίστως ἀποδεχομένους, μάλιστα δὲ πάντων τὸν ἐν τῇ Ἐδιμβουργείῳ Ἐπιθεωρήσει (Τόμ. ΚΑ', σελ. 329) *ἀκρίτως περὶ* ΦΩΤΙΟΥ *γράψαντα· καὶ τελευτῶν μῦθον ἀποκαλεῖ τὸ περὶ* ΦΩΤΙΟΥ *ὑπὸ τῶν Παπιστῶν λεγόμενον, ὡς εὐνοῦχος ἦν, ὀρθῶς ἐντεῦθεν εἰκάζων, ὅτι μηδὲν ἔχοντες εἰπεῖν κατὰ τῆς τοῦ ἀνδρὸς ἀρετῆς, εὐνοῦχον αὐτὸν ἐμυθολόγησαν γενέσθαι· τοῦτο δὲ μάλιστα τεκμήριόν ἐστι μέγιστον τῆς τε ἐκείνου ἀρετῆς καὶ τῆς τῶν ἐχθρῶν αὐτοῦ μοχθηρίας.*

ΛΑ'.

Ἐκ τῆς ἄρτι ἐκδοθείσης Ἱστορίας τῆς Ἑλλάδος, ἀπὸ τῆς τῶν Ῥωμαίων κατακτήσεως μέχρι τοῦ νῦν,
ὑπὸ ΔΕ-ΠΡΕΣΛΙΟΥ *καὶ* ΒΛΑΓΧΕΤΟΥ.

Οὐδ' οὗτοι τὴν ἐπὶ σοφίᾳ δόξαν ΦΩΤΙΟΥ *καὶ τοὺς προσήκοντας αὐτῷ ἐπαίνους ἠρνήσαντο, εἰ καὶ ἀναξίως ἑαυτῶν φαίνονται προσέχοντες τοῖς Συμεῶνος τοῦ Μαγίστρου λήροις περὶ τῆς Φωτίου συμμαχίας τῷ Διαβόλῳ, καὶ τοῖς περὶ τοῦ* ΒΕΚΛΑΣ *ὑπὸ Νικήτα τοῦ Παφλαγόνος τερατολογουμένοις. Λέγουσι τοίνυν καὶ οὗτοι περὶ* ΦΩΤΙΟΥ *τάδε·*

" C'est Bardas qui appella au siége Patriarcal de Constantinople le célèbre *Photius*, dont l'élection irrégulière et les opinions réligieuses amenèrent bien des troubles et consommèrent la séparation de l'Eglise d'Orient et du sainte-siége, mais dont la science dans les lettres sacrées et profanes est admirée de ses plus ardents adversaires. Quelques-uns de ses contemporaints assurent que, pour arriver à posséder dans sa mémoire toute l'antiquité hellénique, *Photius* avait fait dans sa jeunesse *un pacte avec le diable.*[1] Il faut convenir que l'immensité des lectures dont il a déposé le fruit dans son *Myriobiblon*,

---

[1] *Ἐνταῦθα τοὺς περὶ τούτου λόγους Συμεῶνος τοῦ Μαγίστρου παραθεῖναι ἴγνωμεν, ἀηδὲς μὲν ὁμολογοῦντες εἶναι καὶ δυσφόρητον περὶ τοιούτους διατρίβειν λήρους, ὅμως δὲ διὰ τοὺς ἡμετέρους, ὅσοι βιβλίων σπάνει οὐκ ἔχουσι τούτους ἰδεῖν, καὶ κατ' ἀξίαν τοὺς τῶν Φωτιομάχων τιμῆσαι λόγους, καὶ τὰς ἀκαθάρτους πηγάς, ἐξ ὧν τὰς κατὰ τοῦ πανιέρου Πατριάρχου ἀρύονται βλασφημίας, ἀναγκαῖον νομίζοντες καὶ τὰ Συμεῶνος ταῦτα παραθεῖναι τερατεύματα, ὥσπερ δὴ καὶ τὰ Νικήτα ἐκεῖνα περὶ τοῦ* ΒΕΚΛΑΣ *ἐν τοῖς ἔμπροσθεν (§ μζ' σημ.) παρεθέμεθα. Λέγει τοίνυν ὁ καλὸς Μάγιστρος τάδε· " Εἰς μαθήματα δὲ τοῦτον ἐκδοὺς (ὁ πατὴρ Σέργιος), μᾶλλον ἐκεῖνος πρὸς τὰ Ἑλληνικὰ " φιλοτιμότερον διέκειτο ἢ τὰ Ἐκκλησιαστικά. Διὸ καὶ Ἑβραίῳ τινὶ μάγῳ συντετυχώς, ' Τί μοι, ἔφη, δῶς, νεανία, καὶ ποιήσω σε πᾶσαν*

Digitized by Google

et surtout la rectitude de ses appréciations, qui contrastent avec l'ignorance et le mauvais goût de son siècle, tiennent du prodige. Ce livre nous fait connaître les trésors littéraires qui subsistaient encore à la fin du neuvième siècle, et permet de mésurer l'étendue des pertes qu'ont amenées les âges suivants.—(*Grèce.* depuis la conquête Romaine jusqu' à nos jours, par M. Brunet De Presle etc. et par M. Alexandre Blanchet etc.—Paris, 1860.)

Ἐπιλείψει δ' ἡμᾶς καὶ τόπος καὶ χρόνος, εἰ πάντας τοὺς περὶ ΦΩΤΙΟΥ γράψαντας, καὶ τὴν ἐκείνου σοφίαν καὶ ἀρετὴν ἐξυμνήσαντας, εἰς μαρτυρίαν παραθεῖναι βουληθείημεν. Εἰρήσθω τοίνυν μετὰ τοῦ ἀοιδίμου Κωνσταντίνου Οἰκονόμου, ὅτι "Φωτίου μεσταὶ πᾶσαι μὲν βιβλοθῆκαι, πᾶσαι δὲ σελίδες τῆς Ἐκκλησιαστικῆς Ἱστορίας." Τοὺς δὲ περὶ αὐτοῦ γράψαντας εἰς τρεῖς ἄν τις διακρίνων τάξεις ὀρθῶς διακρίνειεν. Οἱ μὲν γὰρ αὐτῶν, ὧν πολλάκις ἐμνήσθημεν ἐν τοῖς ἔμπροσθεν, σύγχρονοι ὄντες ΦΩΤΙΩι, ἀλλὰ δυσμενῶς ἐκείνῳ διακείμενοι, πάντα πρὸς ὕβριν ἱστορήσαντο, οὐδὲν τοῦ δικαίου καὶ τῆς ἀληθείας φροντίσαντες, ἀλλὰ τῷ ἰδίῳ φθόνῳ μέχρις ἀσεβείας ὑπηρετήσαντες, ὡς αὐτὰ μαρτυρεῖ τὰ γεγραμμένα αὐτοῖς. Τῶν δὲ μετ' ἐκείνους οἱ μὲν τῷ ἀλαζόνι δουλεύοντες Παπισμῷ, τά τε παρὰ τῶν πρώτων ἱστορηθέντα προθύμως ἀντέγραψαν, καὶ τὰ ἴδια αὐτῶν προθυμότερον προσέθεντο, παντὶ σθένει τὴν ΦΩΤΙΟΥ σοφίαν καὶ ἀρετὴν ἀμαυρῶσαι σπουδάζοντες· ἀλλὰ καὶ τούτων εἰσὶν οἳ τῆς ἀληθείας τὴν Παπικὴν

" 'γραφὴν Ἑλληνικὴν ἐπὶ στόματος ἄγειν, καὶ πάντας τοὺς ἐπὶ σοφίᾳ παρευδοκιμεῖν;' Ὁ δὲ φησί, 'Τὸ ἥμισυ τῆς οὐσίας αὐτοῦ προθύ-
" 'μως ὁ ἐμὸς πατὴρ παρέξει σοι.' Ὁ δέ, 'Οὐ χρήζω χρήματα, ἀλλ' οὐδὲ τὸν πατέρα σου γνῶναι τὸ δρᾶμα· ἀλλ' ἐλθὲ μετ' ἐμοῦ εἰς
" 'τόν δε τὸν τόπον, καὶ ἄρνησαι τὸν τύπον, ἐν ᾧ Ἰησοῦν προσηλώσαμεν, καὶ δώσω σοι παράδοξον φυλακτόν, καὶ ἔσται ἡ ζωή σου πᾶσα
" 'ἐν εὐημερίᾳ καὶ πλούτῳ καὶ πολλῇ σοφίᾳ καὶ χαρᾷ.' Τὸν δὲ προθύμως ἀκούσαντα, καὶ πάντα πρὸς τὴν τοῦ γόητος ἀρέσκειαν τετελεκό-
" τα, καὶ ἔκτοτε ταῖς ἀπηγορευμέναις αὐτῶν βίβλοις τῆς μαντικῆς καὶ ἀστρολογικῆς τερατείας οὐκ ἀποσχόμενος τὸν νοῦν, ἐπεὶ ἀκούων ἦν
" παρὰ τοῦ πατρός, ὡς ὑπὸ προορατικῶν ἀνδρῶν ἀκηκοότος, ὅτι πολυτρόπως τὸν Πατριαρχικὸν θρόνον ἐπιβήσεται, κ.τ.λ κ.τ.λ." Μετ' ἄλ-
λας δὲ φλυαρίας, ἐν αἷς καὶ τοῦτο φησί, μηδέποτε τὸν Φώτιον ἐν τῷ τὴν θείαν τελεῖν μυσταγωγίαν τὰς ἐπ' αὐτῇ ἀναγινώσκειν εὐχάς,
ἀλλὰ τῶν θύραθεν ποιητῶν ὑποψιθυρίζειν τὰ ῥήματα, καὶ τάδε περὶ τῆς Φωτίου συμμαχίας τῷ Διαβόλῳ προστίθησιν ὁ καλὸς Μάγιστρος·
" Καὶ διηγήσατο ἡμῖν Ἰωάννης ὁ ἡσυχαστής, ἀνὴρ θεοφόρος καὶ προορατικὸς ἀληθές, ὅτι ἐν τῷ στηλαίῳ ποτὲ *σφοδρῶς* καθεζομένου μου,
" δύο τινὲς Ἡγούμενοι Εὐθύμιος καὶ Ἰωσήφ, ὑπὸ Φωτίου σφοδρῶς διωκόμενοι, παρέβαλον πρός με· καὶ καθὼς ἔδωκεν ὁ Θεός, ἐστήριξα
" αὐτούς, καὶ τελευταῖον εἶπόν, 'Ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται,' ἀπέλυσα αὐτούς. Τῇ δ' ἐπιούσῃ νυκτὶ πρὸ τοῦ ἀφυπνῶσαι
" με παρέστη μοι Αἰθίοψ μέγας καὶ ἀπευκτὸς καὶ ἰδεῖν φρικτός, ὃς ἥπλωσε κρατῆσαι τοῦ λαιμοῦ μου πρὸς τὸ ἀποπνῖξαί με. Εὐθὺς δὲ ἐγὼ
" τὸν τύπον τοῦ σταυροῦ ποιήσας, καὶ θαῤῥήσας ἐκράτησα αὐτὸν ἀπὸ τῆς χειρός, καί, 'Τίς εἶ σύ, λέγων, καὶ τί τὸ ὄνομά σου, καὶ τίς ὁ
" ἀποστείλας σε ἐνταῦθα, καὶ δι' ἣν αἰτίαν;' αὐτὸν δὲ ἀποκριθέντα εἰπεῖν· 'Ἐγὼ εἰμὶ ὁ δυνατὸς μὲν τοῦ Βελίαρ, ὑπουργὸς δὲ Φωτίου·
" 'ὄνομα δέ μοι Λεβούφας, συνεργὸς γοήτων καὶ φαρμακῶν, ὀδηγὸς μοιχῶν καὶ ληστῶν, φίλος δὲ Ἑλλήνων καὶ τοῦ ἐμοῦ ἐν κρυπτῷ
" 'θεράποντος Φωτίου· ἀπέστειλε δέ με ὁ ἐξουσιάζων με εἰς ἐκδίκησιν αὐτοῦ διὰ τὰς χθὲς κατ' αὐτοῦ ἀτιμίας, τοῦ περιεργάσεσθαί σε, ὅπως
" 'μεταμεληθεὶς ἀποδέξῃ αὐτόν, καὶ ἀλλοτριωθῇς τοῦ Θεοῦ, καθὼς καὶ ἄλλοις τοῦτο πεποίηκε πολλοῖς. Ἀλλὰ σύ με τῷ ὅπλῳ τοῦ σταυροῦ
" 'ἀνίσχυρον ἔδειξας.' Τότε ἐγὼ κατήργησα αὐτὸν τῷ τιμίῳ σταυρῷ, καὶ ἄφαντος ἐγένετο." Μετὰ δὲ τὴν διήγησιν ταύτην καὶ τάδε
προστίθησιν ὁ Μάγιστρος, ὅπως ἀσεβῆ καταδείξῃ τὸν Φώτιον διὰ τὴν πολλὴν τῶν Ἑλληνικῶν γραμμάτων σπουδήν· . . . . " Ἐν μιᾷ
" νυκτὶ συνέβη γενέσθαι σεισμοὶ μεγάλοι· καὶ αὐτὸς ὁ Φώτιος ἀναβὰς ἐπὶ τοῦ ἄμβωνος δημηγορῆσαι εἶπεν, ὅτι οἱ σεισμοὶ οὐκ ἐκ πλήθους
" ἁμαρτιῶν, ἀλλ' ἐκ πλησμονῆς ὕδατος γίνονται· καὶ ἕκαστος ἄνθρωπος δύο ψυχὰς ἔχει, καὶ ἡ μὲν μία ἁμαρτάνει, ἡ δὲ ἑτέρα οὐχ ἁμαρ-
" τάνει." (Συμ. Μαγ. τοῦ Λογοθ. Χρονογ. σελ. 670—3, ἐν τῇ συνεχείᾳ τῆς Θεοφ. Χρονογρ. ἐκδ. Βόννης.) Ἰδοὺ ἐκ τίνων ἱστορικῶν πηγῶν
ἀρυόμενοι γράφουσι κατὰ Φωτίου ἐν ὑπερμεσούντι τῷ δεκάτῳ ἐνάτῳ αἰῶνι ἄνδρες λόγιοι, καὶ τῶν ἐκ τοῦ Παπικοῦ Κλήρου πολλοί,
ἀνδεία πράττοντες ἑαυτῶν καὶ τοῦ παρόντος αἰῶνος· ἐν ᾧ ἥ τε Εὐαγγελικὴ καὶ ἡ φιλοσοφικὴ ἀλήθεια πᾶσαν διαλύσασαι τὴν ἐκ τῆς ἀπαι-
δευσίας σκοτόμαιναν, διήνοιξαν τὸν νοῦν καὶ τὴν καρδίαν τοῦ βασιλείου πλάσματος εἰς τὸ συνιέναι καὶ προαιρεῖσθαι τὸ ἀγαθόν, καὶ τοῦτο μό-
νον τιμᾷν καὶ βραβεύειν, τὸ δὲ ψεῦδος καὶ τὴν ἀπάτην ἀποδιοπομπεῖσθαι καὶ ἀποκρούεσθαι. Αἰσχρὸν οὖν καὶ τοῦ αἰῶνος ἀνάξιον τοιαύτας
τιμᾷν τερατολογίας ἄνδρας ἄλλως ἐπὶ μαθήσει οὐκ εὐκαταφρονήτους, καὶ δικαίαν παρέχειν ἀφορμὴν τοῖς βουλομένοις ἐπᾴδειν αὐτοῖς τὸ
τοῦ θεοστεύστου Παύλου ἐκεῖνο — ὅτι ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνε-
τος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν.

Digitized by Google

ἀνταλλάξασθαι κίδαριν οὐκ ἠξίωσαν. Οἱ δὲ τῆς τοιαύτης ἀπηλλαγμένοι δουλείας, οὐδὲν τῆς ἑαυτῶν σοφίας ἀνάξιον ἔπραξαν· ἀλλὰ τήν τε σοφίαν καὶ τὴν ἀρετὴν τοῦ πανιέρου Πατριάρχου περίτρανα διεκήρυξαν, καὶ τοὺς κατ' αὐτοῦ γράψαντας σοφῶς ἐξήλεγξαν, μάλιστα δὲ πάντων τὸν ἐκτενέστερον μέν, ἐμπαθέστατα δὲ καὶ ἀδικώτατα γράψαντα Καρδινάλιον Βαρώνιον (Annal. Eccles. A. D. 858—866). Ἐν δὲ τῇ σεβασμίᾳ ταύτῃ χορείᾳ μάλιστα διαπρέπουσι Μαρτῖνος ὁ Ἅγιος καὶ Μοντακούτιος καὶ Φαβρίκιος καὶ Βασνάγιος καὶ Φραγκῖσκος ὁ Φοντάνας, καὶ ἄλλοι τῶν νεωτέρων πολλοὶ καὶ σοφοί (ἐῶ δὲ λέγειν τοὺς τῆς ἡμετέρας Ἐκκλησίας, πάντας ὁμοφώνως τὰς τῶν Φωτιομάχων βλασφημίας καταπολεμήσαντας), ἐν οἷς καὶ ὁ τὴν ΦΩΤΙΟΥ βιογραφίαν ἐν τῷ Σμιθίου βιογραφικῷ Λεξικῷ συντάξας, οὗ πολλάκις ἐμνήσθημεν. Καὶ γὰρ οὗτος ἀδικώτατον ἀποκαλεῖ Βαρώνιον ἐφ' οἷς περὶ ΦΩΤΙΟΥ ἐμπαθέστατα ἔγραψεν. " Of modern writers Baronius is probably the fullest, but at the same time the most unjust."—τοῦτ' ἔστιν·— " Τῶν νεωτέρων, ὅσοι περὶ Φ ω τ ί ο υ γεγράφασι, πληρέστατα μέν, ἀδικώτατα δὲ Βαρώνιος ἔγραψεν."

Digitized by Google

ΦΩΤΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΕΠΙΣΤΟΛΑΙ.

Ἡ δήλωσις τῶν λόγων σου, **ΦΩΤΙΕ,** *φωτιεῖ καὶ συνετιεῖ νηπίους.*

Digitized by Google

Digitized by Google

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΠΡΟΣ ΟΥΣ ΑΙ ΕΠΙΣΤΟΛΑΙ.

Ἀθανασίῳ Μοναχῷ ἡσυχάζοντι . . . . . αἱ ὑπ' ἀριθμὸν 249, 250, 251, 252, 253.
Ἀκακίῳ Μοναχῷ καὶ Ἰατρῷ . . . . . » . . 106 καὶ 107.
Ἀκυλητας Μητροπολίτῃ . . . . . » . . 5.
Ἀλεξάνδρῳ Κόμητι . . . . . » . . 193 καὶ 194.
Ἀμφιλοχίῳ Μητροπολίτῃ Κυζίκου . . . . . » . . 19, 20, 21, 22, 232, 233.
Ἀναστασίῳ Πρεσβυτέρῳ καὶ βιβλιοθηκαρίῳ Ῥώμης . . » . . 240.
Ἀναστασίῳ φορολόγῳ . . . . . » . . 138, 139, 140.
Ἀνεπίγραφοι ἑπτά . . . . . » . . 51, 80, 81, 82, 83, 84, 141.
Ἀντωνίῳ Ἀρχιεπισκόπῳ Βοσπόρου . . . . . » . . 239.
Ἀρσαβὴρ Πρωτοσπαθαρίῳ . . . . . » . . 71 καὶ 258.
Ἀρσενίῳ Μοναχῷ . . . . . » . . 104, 105, 178, 255.

Βαάνῃ Πραιποσίτῳ καὶ Πατρικίῳ . . . . . » . . 122 καὶ 199.
Βάρδᾳ Πατρικίῳ καὶ στρατηγῷ Μακεδονίας . . . . . » . . 117.
Τῷ αὐτῷ Μαγίστρῳ κ.τ.λ. . . . . » . . 157, 158, 159.
Τῷ αὐτῷ Καίσαρι . . . . . » . . 160.
Βαρνάβα μονάζοντι . . . . . » . . 102.
Βασιλείῳ Κοιάστορι . . . . . » . . 137 καὶ 195.
Βασιλείῳ Πατρικίῳ καὶ Ἐπάρχῳ . . . . . » . . 190.
Τῷ αὐτῷ Αὐτοκράτορι . . . . . » . . 218 καὶ 219.
Βασιλείῳ Πράκτορι . . . . . » . . 196.

Γαλάτωνι Πρωτοσπαθαρίῳ κ.τ.λ. . . . . » . . 69 καὶ 134 (ἴδε καὶ "Λέοντι").
Γεωργίῳ Διακόνῳ καὶ Κουβουκλεισίῳ . . . . . » . . 155.
Γεωργίῳ Διακόνῳ καὶ Ξενοδόχῳ . . . . . » . . 49, 110, 183 184, 185.
Γεωργίῳ Διακόνῳ καὶ Ὀρφανοτρόφῳ . . . . . » . . 186.
Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας . . . . . » . . 24, 25, 26, 27, 28, 95, 145, 150, 226, 227, 228.
Γρηγορίῳ Ἀρχιεπ. Συρακούσης . . . . . » . . 97.
Γρηγορίῳ Διακόνῳ καὶ Χαρτουλαρίῳ . . . . . » . . 111, 112, 113, 164.
Γρηγορίῳ Σπαθαροκανδιδάτῳ . . . . . » . . 61.

Δαμιανῷ Ξενοδόχῳ . . . . . » . . 187, 188, 189.
Δωροθέῳ Ἡγουμένῳ κ.τ.λ. . . . . » . . 242 καὶ 243.

Digitized by Google

Ἐγκύκλιος πρὸς τοὺς τῆς Ἀνατολῆς Ἀρχιερατ. θρόνους—αἱ ὑπ' ἀριθμὸν 4.
Ἐνθρονιστικὴ πρὸς τὸν θρόνον Ἀντιοχείας . . . . . » . . 2.
Ε. Μονάζοντι πεσόντι . . . . . » . . 180.
Ἐπισκόποις τοῖς συνδεδιωγμένοις κ.τ.λ. . . . . » . . 146 καὶ 147.
Εὐθυμίῳ Μητροπ. Κατάνης . . . . . » . . 96.
Εὐθυμίῳ Μονάζοντι παραπεσόντι . . . . . » . . 179.
Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ καὶ Σκευοφύλακι . . . . . » . . 31, 32, 33, 34, 35, 237, 238.
Εὐσεβίᾳ Μοναζούσῃ . . . . . » . . 144.
Εὐσταθίῳ Πατριάρχῃ Ἀντιοχείας . . . . . » . . 225.
Εὐσχήμονι Ἀρχιεσπ. Καισαρείας . . . . . » . . 36, 37, 38, 39, 40, 41, 42, 98, 150, 153.
Εὐσχήμονι καὶ Γεωργίῳ Μητροπολίταις . . . . . » . . 150.

Ζαχαρίᾳ Μητροπολίτῃ Χαλκηδόνος . . . . . » . . 30, 92, 93 94, 230, 231.
Ζωσιμᾷ Μονάζοντι καὶ ἡσυχαστῇ . . . . . » . . 254.

Ἠλίᾳ Πρωτοσπαθαρίῳ . . . . . » . . 128, 256, 257.

Θεοδοσίῳ Μονάζοντι καὶ ἡσυχαστῇ . . . . . » . . 161.
Θεοδότῳ Σπαθαροκανδιδάτῳ . . . . . » . . 63, 64, 212.
Θεοδώρῳ ἀδελφῷ . . . . . » . . 17.
Θεοδώρῳ Μητροπολ. Λαοδικείας . . . . . » . . 23, 86, 87, 88, 89, 90, 91, 166, 167.
Θεοδώρῳ Ἡγουμένῳ . . . . . » . . 43, 44, 45, 100, 101.
Θεοκτίστῳ Ἡγουμένῳ . . . . . » . . 99.
Θεοφάνει Διακόνῳ καὶ Πρωτοναταρίῳ . . . . . » . . 50 καὶ 103.
Θεοφάνει Μονάζοντι . . . . . » . . 108.
Θεοφίλῳ Πρωτοσπαθαρίῳ καὶ Σακελλαρίῳ . . . . . » . . 215.
Θεοφίλῳ πραιποσίτῳ . . . . . » . . 198.
Θεοφίλῳ Πρωτοσπαθαρίῳ . . . . . » . . 208.
Θεοφυλάκτῳ Πρωτοσπαθαρίῳ . . . . . » . . 131.
Θεοφυλάκτῳ Πατρικίῳ κ.τ.λ. . . . . » . . 119.

Ἰγνατίῳ Ἐπισκόπῳ Λόφων . . . . . » . . 170 καὶ 171.
Ἰγνατίῳ Ἡγουμένῳ κ.τ.λ. . . . . » . . 46.
Ἰγνατίῳ Μητροπ. Κλαυδιουπόλεως . . . . . » . . 18 καὶ 163.
Ἰσαακίῳ Μοναχῷ . . . . . » . . 177.
Ἰωάννῃ Πρωτοσπαθαρίῳ τῷ Χρυσοχέρῃ . . . . . » . . 52, 53, 54, 55, 56, 57, 58, 59, 60.
Ἰωάννῃ Μητροπολ. Ἡρακλείας . . . . . » . . 148, 149, 229.
Ἰωάννῃ Μητροπολ. Νικομηδείας . . . . . » . . 165.
Ἰωάννῃ Σπαθαρίῳ . . . . . » . . 132, 214, 217.
Ἰωάννῃ Πρωτοσπαθαρίῳ καὶ Δρουγγαρίῳ κ.τ.λ. . . . » . . 127.

Digitized by Google

Ἰωάννῃ Πατρικίῳ . . . . . αἱ ὑπ' ἀριθμὸν 125.
Ἰωάννῃ Πατρικίῳ καὶ στρατηγῷ κ.τ.λ . . . . . » . . 72, 118, 200.
Ἰωάννῃ Πατρικίῳ καὶ Σακελλαρίῳ . . . . . » . . 120, 201, 202, 203, 204.
Ἰωάννῃ φιλοσοφοῦντι . . . . . » . . 78 καὶ 79.

Κωνσταντίνῳ ἀδελφῷ . . . . . » . . 15 καὶ 16.
Κωνσταντίνῳ Νοταρίῳ . . . . . » . . 197 καὶ 260.
Κωνσταντίνῳ Πατρικίῳ . . . . . » . . 73.
Κωνσταντίνῳ Σπαθαρίῳ . . . . . » . . 67.
Κωνσταντίνῳ Σπαθαρίῳ, γένους ὄντι Τυρρηνῶν . . . . » . . 133.
Κωνσταντίνῳ Σπαθαρίῳ καὶ Ἀσηκρήτῃ . . . . . » . . 68.

Λέοντι Πρωτοσπαθαρίῳ . . . . . » . . 129.
Λέοντι γεγονότι Λογοθέτῃ τῷ Μαδριάμ . . . . . » . . 74, 75, 136.
Λέοντι καὶ Γαλάτωνι ἀδελφοῖς Ἀσηκρήταις . . . . . » . . 70, 135, 259.
Λέοντι Λογοθέτῃ γεγονότι κ.τ.λ. . . . . » . . 156.
Λέοντι Σπαθαρίῳ τῷ ἐπιλεγομένῳ Δράκοντι . . . . . » . . 216.
Λέοντι φιλοσόφῳ . . . . . » . . 77.

Μανουὴλ Πατρικίῳ . . . . . » . . 205 καὶ 206.
Μαριανῷ Πατρικίῳ καὶ Δομεστίκῳ κ.τ.λ . . . . . » . . 123 καὶ 124.
Μάρκῳ Σικελῷ μονάζοντι . . . . . » . . 181.
Μητροφάνει Μοναχῷ κ.τ.λ. . . . . » . . 154, 172, 173, 174.
Μιχαὴλ Μητροπολ. Μιτυλήνης . . . . . » . . 151, 152. 162.
Μιχαὴλ Πατρικίῳ καὶ Σακελλαρίῳ . . . . . » . . 121.
Μιχαὴλ Πρωτοσπαθαρίῳ . . . . . » . . 126 καὶ 211.
Μιχαὴλ Σπαθαροκανδιδάτῳ . . . . . » . . 62.
Μιχαὴλ τῷ Αὐτοκράτορι . . . . . » . . 221 καὶ 222.
Μιχαὴλ τῷ Βουλγαρίας Ἄρχοντι . . . . . » . . 6.

Νικήτᾳ Πρωτοσπαθαρίῳ κ.τ.λ. . . . . » . . 130.
Νικήτᾳ Πρωτοσπαθαρίῳ . . . . . » . . 207.
Νικηφόρῳ φιλοσόφῳ κ.τ.λ. . . . . » . . 114, 115, 116, 244, 245, 246, 247, 248
Νικολάῳ Α', Πάπα Ῥώμης . . . . . » . . 1 καὶ 3.
Νικολάῳ Ἡγουμένῳ . . . . . » . . 241.

Παντολέοντι Πρωτοσπαθαρίῳ . . . . . » . . 209 καὶ 210.
Παύλῳ Ἀρχιεπ. Καισαρείας . . . . . » . . 169.
Παύλῳ Μητροπολίτῃ Λαοδικείας . . . . . » . . 29, 168, 234, 235, 236.
Παύλῳ Μοναχῷ ἀποστατήσαντι . . . . . » . . 175.

Digitized by Google

Σάβα Ἡγουμένῳ τῶν Πισαδῶν . . . . . *αἱ ὑπ' ἀριθμὸν* 182.
Σάβᾳ Πρεσβυτέρῳ καὶ ἡσυχαστῇ . . . . . » . . 47, 48, 176.
Σεργίῳ Πρωτοσπαθαρίῳ ἀδελφῷ . . . . . » . . 7, 8, 9, 10, 11, 85.
Σεργίῳ Μαγίστρῳ καὶ Λογοθέτῃ . . . . . » . . 191 *καὶ* 192.
Σταυρακίῳ Σπαθαροκανδιδάτῳ . . . . . » . . 213.
Στεφάνῳ ὀρθοδοξήσαντι . . . . . » . . 76.
Σωφρονίῳ μονάζοντι . . . . . » . . 103.

Ταρασίῳ Πατρικίῳ ἀδελφῷ . . . . . » . . 12, 13, 14, 142, 143, 220, 223, 224.

Χριστοφόρῳ Πρωτοσπαθαρίῳ κ.τ.λ. . . . . . » . . 65 *καὶ* 66.

Digitized by Google

ΤΑ ΕΝ ΤΑΙΣ ΦΩΤΙΟΥ ΕΠΙΣΤΟΛΑΙΣ ΕΡΜΗΝΕΥΟΜΕΝΑ ΧΩΡΙΑ ΤΩΝ ΘΕΙΩΝ ΓΡΑΦΩΝ, ΚΑΙ ΑΛΛΑ ΤΙΝΑ ΖΗΤΗΜΑΤΑ ΛΥΟΜΕΝΑ.

α') "Πῶς ἐστι λέγειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα, καὶ μὴ εἰς ἀνάγκην περιίστασθαι τρεῖς ἀνθ' ἑνὸς Θεοὺς ἀνομολογεῖν;"—Ἐπιστ. 7.

β') Ὅτι τρία τὰ σημαινόμενα τοῦ ὀνόματος Θεός.—Ἐπ. 20.

γ') Περὶ τῆς Ἁγίας Τριάδος.—Ἐπ. 52.

δ') Περὶ τῶν ἐπὶ Χριστοῦ δύο φύσεων.—Ἐπ. 53 καὶ 54.

ε') Περὶ τῶν ἐπὶ Χριστοῦ δύο θελημάτων καὶ ἐνεργειῶν.—Ἐπ. 55.

ς') Εἰ μὲν ἄῤῥητον ὄνομα τὸ θεῖον καὶ γνώσεως μεῖζον, πῶς ἐπέκειτο θάνατος τῷ φθεγξαμένῳ ἡ ζημία; . . . Εἰ δ' ἐνῆν διὰ χειλέων τῷ φθεγξαμένῳ προενεγκεῖν, πῶς ἄῤῥητον καὶ ἀνέκφραστον;—Ἐπ. 21.

ζ') Ἡ Χάρις οὐκ ἀντίκειται τῷ Νόμῳ· χειραγωγία δὲ καὶ προάγγελος, συμφωνία τε καὶ προκατασκευή, καὶ ὁδὸς ὑπάρχει καὶ παρασκευή, καὶ τὰ ἄλλα πάντα, ὁ Νόμος τῆς Χάριτος.—Ἐπ. 8.

η') Περὶ Προνοίας Θεοῦ.—Ἐπ. 12 καὶ 75.

θ') Περὶ τῆς εἰκόνος τοῦ Χριστοῦ.—Ἐπ. 43, 56, 57, 58, 59, 60.

ι') Διὰ τί περιετμήθη ὁ Χριστός;—Ἐπ. 25.

ια') Διὰ τί ἐν τῇ Γραφῇ σκιὰ καὶ ὄναρ καὶ καπνὸς καὶ ματαιότης καὶ τοιαῦτα ἄλλα ὁ ἀνθρώπινος βίος ὀνομάζεται;—Ἐπ. 10.

ιβ') Τί σημαίνει ἡ προστάττουσα νομοθεσία· "ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος."—Ἐπ. 15.

ιγ') Τί σημαίνει τὸ ἐν τῇ Γενέσει (ΚΔ', 2) "Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου."—Ἐπιστ. 31.

ιδ') Διὰ τί βοῶν καὶ λεόντων, ἀετῶν τε καὶ ἀνθρώπων μορφαῖς, αἱ τῶν Χερουβεὶμ ὄψεις τοῖς θείοις Προφήταις ἐνεφανίσθησαν;—Ἐπ. 38.

ιε') Διὰ τί τὸν Ἄβελ, δίκαιον ὄντα, πρὸ τοῦ ἐξημαρτηκότος Ἀδὰμ συνεχώρησεν ὁ Θεὸς εἰς θάνατον ἐλθεῖν;—Ἐπ. 44.

ις') Περὶ τῆς περιτομῆς τοῦ Ἀβραάμ.—Ἐπ. 45.

ιζ') Πῶς ἐσοφίσατο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπους καὶ ὑπὲρ Γαιθὰν τὸν Ἰσραηλίτην; (Βασιλ. Γ', κεφ. Δ', 31.)—Ἐπ. 50.

ιη') Ἑρμηνεία τῆς γ' ἐντολῆς "Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ."—Ἐπ. 63.

ιθ') Πῶς ἐννοητέον τὸ τῆς Γενέσεως (Δ', 7) "Οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον."—Ἐπ. 68.

κ') Τί δηλοῖ τὸ "Ἐφούδ" καὶ πόσα τούτου τὰ σημαινόμενα;—(Παραλ. ΙΕ', 27.)—Ἐπ. 69.

κα') Διὰ τί τὴν σκηνὴν τοῦ μαρτυρίου κιβδήλοις ἐπιβλήμασιν ὁ νομοθέτης προσέταξε καλύπτεσθαι; (Ἐξόδ. ΚΣΤ', 1.)—Ἐπ. 70.

Digitized by Google

κβ') Περὶ τῆς τοῦ "Εἰμί" παρολκῆς ἔν τισι τῆς Γραφῆς φράσεσιν—ἐγὼ εἰμὶ ψαλῶ τῷ Θεῷ—ἐγὼ εἰμὶ ἀγχιστεύσω—ἐγὼ εἰμὶ ἐν γαστρὶ ἔχουσα—κ.τ.λ.—'Επ. 77.

κγ') Διὰ τί ἡ Προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται;—'Επ. 79.

κδ') Τί σημαίνει τὸ τοῦ Δαβὶδ "Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων." (Ψαλμ. ΡΛΔ', 15.)—'Επ. 76.

κέ) Τί σημαίνει τὸ τοῦ Ματθαίου "Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων." (Ζ', 6)—'Επ. 9.

κς') Τὶ τὸ τοῦ αὐτοῦ "Τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;" (ΙΒ', 48).—'Επ. 13.

κζ') Τί τὸ περὶ Προδρόμου ἐν τῷ αὐτῷ εἰρημένον· "Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν." (ΙΑ', 11.)—'Επ. 16.

κή) Τὶ τὸ τοῦ αὐτοῦ· "Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω." (ΚΖ', 51.)—'Επ. 18.

κθ') Τί τὸ τοῦ αὐτοῦ· "Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ." (Ε', 28.)—'Επ. 23.

λ') Τί τὸ τοῦ αὐτοῦ· "Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς." (Ε', 16.)—'Επ. 29.

λά) Τί τὸ τοῦ αὐτοῦ· "Μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων." (ΣΤ', 1.)—αὐτ.

λβ') Τί τὸ τοῦ αὐτοῦ· "Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις κ.τ.λ." (ΙΒ', 31 καὶ 32.)—'Επ. 32.

λγ') Τί τὸ τοῦ αὐτοῦ· "Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται κ.τ.λ." (Ι', 41.)—'Επ. 39.

λδ') Τί τὸ τοῦ αὐτοῦ "Μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν." (ΚΣΤ', 32.)—'Επ. 40.

λέ) Τί τὸ τοῦ αὐτοῦ· "Δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ." (Γ', 9.)—'Επ. 46.

λς') Τί τὸ τοῦ αὐτοῦ· "Καὶ οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον." (Α', 25.)—'Επ. 61.

λζ') Τί τὸ τοῦ αὐτοῦ· "Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλήν, καὶ τὸ πρόσωπόν σου νίψαι." (ΣΤ', 17.)—'Επ. 65.

λή) Τί τὸ τοῦ αὐτοῦ· "Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς" (ΙΘ', 21).—'Επ. 66. Αὐτόθι δὲ καὶ τὸ τοῦ Λουκᾶ (ΙΒ', 33) "Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα."—

λθ') Τί σημαίνει αὐτὸ τοῦτο τὸ τοῦ Ματθαίου, παραβαλλόμενον πρὸς τὸ (ἐν κεφ. ΚΕ', 34) εἰρημένον "Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς Κόσμου."—'Επ. 74.

μ') Περὶ τῆς τοῦ Πέτρου ἀρνήσεως (Ματθ. ΚΣΤ', 69—75).—'Επ. 22.

μά) Διὰ τί ὁ Ἄγγελος οὐκ ἐπέζη τῷ Ἰωσήφ, πρὶν ἢ ἐμπεσεῖν εἰς ἀπορίαν, καὶ διανοηθῆναι λάθρᾳ τὴν Παρθένον ἀπολῦσαι; (Ματθ. Α', 19).—'Επ. 34.

Digitized by Google

μβ') Τί σημαίνει τὸ τοῦ Μάρκου· "Βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων." (Η', 14—20.)—Ἐπ. 36.

μγ') Τί σημαίνει τὸ τοῦ Λουκᾶ· "Ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος." (ΚΒ', 44.)—Ἐπ. 17.

μδ') Τί τὸ τοῦ αὐτοῦ· "Καὶ αὐτοὶ οὐ συνῆκαν· καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα." (ΙΗ', 31—35.)—Ἐπ. 37.

με') Τί τὸ τοῦ αὐτοῦ· "Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ." (Γ', 16)—Ἐπ. 62.

μς') Τί σημαίνει τὸ τοῦ Ἰωάννου· "Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου." (Κ', 17.)—Ἐπ. 19.

μζ') Τί τὸ τοῦ αὐτοῦ· "Κύριε, οὐκ οἴδαμεν, ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι;" ἀντιπαραβαλλόμενον πρὸς τὸ "Ὅπου ἐγὼ ὑπάγω, οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε." (ΙΔ', 4—5.)—Ἐπ. 33.

μη') Τί τὸ τοῦ αὐτοῦ· "Ὁ Πατήρ μου μείζων μου ἐστίν." (ΙΔ', 28.)—Ἐπ. 47.

μθ') Τί τὸ τοῦ αὐτοῦ· "Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου πολλαὶ μοναί εἰσιν· εἰ δὲ μή, εἶπον ἄν ὑμῖν, πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν" ἀντιπαραβαλλόμενον πρὸς τὸ "Ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον." (ΙΔ', 2 καὶ 3.)—Ἐπ. 48.

ν') Τί τὸ τοῦ αὐτοῦ· "Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής" ἀντιπαραβαλλόμενον πρὸς τὸ "Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου." (Ε', 31 καὶ Η', 14.)—Ἐπ. 67.

να') Τί τὸ τοῦ αὐτοῦ· "Ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί," (ΙΔ', 20) πρὸς τὸ τοῦ Ματθαίου ἀντιπαραβαλλόμενον· "Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ Ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατήρ μου μόνος." (ΚΔ', 36.)—Ἐπ. 71.

νβ') Τί ἐστι τὸ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων (Β', 6—14) ἰσορούμενον περὶ ἐναλλαγῆς τῶν γλωσσῶν; —Ἐπ. 11.

νγ') Τίς ἦν τῷ θεσπεσίῳ Παύλῳ ἡ πατρίς;—Ἐπ. 41 καὶ 42.

νδ') Πῶς δυνατὸν μὴ ἀλῶναι ψεύδει τὸν Ἀπόστολον Παῦλον, Ἰουδαῖον ἑαυτὸν καὶ Ῥωμαῖον ἀποφηνάμενον, καὶ ποτὲ μὲν Ταρσοὺς ἔχειν πατρίδα, ποτὲ δὲ ἐν τῇ Ῥώμῃ γεννηθῆναι; (Πράξ. ΚΒ', 3 καὶ 28.)—Ἐπ. 51.

νε') Τί δήποτε ὁ θεσπέσιος Παῦλος τοῖς Ἀθηναίοις διελέγετο ἀπὸ τῶν ἰδίων ἐπιγραμμάτων;—Ἐπ. 78.

νς') Διὰ τί ῥητορικαῖς ἰδέαις τὰς αὐτοῦ ἐπιστολὰς σχηματίζων ὁ Παῦλος, ἔπειτα ἰδιώτην ἑαυτὸν ἐκάλει;—Ἐπ. 27.

νζ') Διὰ τί ὁ Παῦλος πολλαχοῦ τοὺς μαθητὰς τῆς μετὰ τῶν φαύλων διατριβῆς ἀπείργων, αὐτὸς οὐ μόνον συνῆν καὶ συνανεστρέφετο, ἀλλὰ καὶ τοῖς ἀνόμοις ὡς ἄνομος συνδιετίθετο;—Ἐπ. 30.

νη') Διάφορα ζητήματα ἐπὶ τῶν ἐπιστολῶν τοῦ Παύλου.—Ἐπ. 28.

νθ') Τί ἐστι πνεῦμα Πύθωνος; (Πράξ. ΙΣΤ', 16—19.)—Ἐπ. 64.

ξ') Τί σημαίνει τὸ τοῦ Παύλου· "Οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος εἰσῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον." (Πρὸς Ῥωμ. Ε', 12.)—Ἐπ. 14.

ξα') Τί τὸ τοῦ αὐτοῦ· "Ηὐχόμην γὰρ αὐτὸς ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα." (αὐτ. Θ', 3.)—Ἐπ. 24.

Digitized by Google

ξβ') *Τί τὸ τοῦ αὐτοῦ· "Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, Ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα καρπόν τινα σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν."* (*αὐτ. Α'*, 13.)—*Ἐπ.* 26.

ξγ') *Τί τὸ τοῦ αὐτοῦ "Διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς Ἀγγέλους."* (*πρὸς Κορινθ. ΙΑ'*, 13.)—*Ἐπ.* 35.

ξδ') *Τί τὸ τοῦ αὐτοῦ· "Μὴ ἑταιροζυγοῦντες ἀπίστοις"* (*αὐτ. ΣΤ'*, 14) *καὶ πῶς γραπτέον τὸ "ἑταιροζυγοῦντες."*—*Ἐπ.* 72.

ξέ) *Περὶ Εὐσεβίου τοῦ Παμφίλου, ὅτι αἱρετικὸς ἦν.*—*Ἐπ.* 73.

ξς) *Περί τινων μιαροφαγησάντων.*—*Ἐπ.* 81.

ξζ') *Περὶ Πρεσβυτέρου παρὰ γνώμην τῶν γονέων τὰ τέκνα αὐτῶν σεφανώσαντος.*—*Ἐπ.* 84.

Digitized by Google

ΦΩΤΙΟΥ ΕΠΙΣΤΟΛΑΙ.

ΜΕΡΟΣ Α'.

ΔΟΓΜΑΤΙΚΑΙ ΚΑΙ ΕΡΜΗΝΕΥΤΙΚΑΙ.

ΕΠΙΣΤΟΛΗ Α'.—1.

Η ΠΡΟΣ ΤΟΝ ΠΑΠΑΝ ΝΙΚΟΛΑΟΝ Α' ΕΝΘΡΟΝΙΣΤΙΚΗ.[1]

Τῷ τὰ πάντα ἁγιωτάτῳ, ἱερωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ,
ΝΙΚΟΛΑΩι Πάπᾳ τῆς Πρεσβυτέρας Ῥώμης,
ΦΩΤΙΟΣ Ἐπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης.

Ὅτε τῆς Ἱεραρχίας κατὰ νοῦν τὸ μέγεθος ἀναλήψομαι,[2] *καὶ πολλῷ τὴν ἀνθρωπίνην εὐτέλειαν τῆς ἐκείνῃ προσούσης ἀπολειπουσαν τελειότητος, καὶ τῆς ἐμῆς δυνάμεως ἀναμετρεῖν ἐπελεύσομαι τὴν ἀσθένειαν, καὶ οἷος ἐμοὶ λογισμὸς πρὸς τὸ τῆς τοιαύτης ἀξίας ὕψος ἀεὶ ἐνετέθραπτο, θαυμάζειν καὶ ὑπερεκπλήττεσθαι παρασκευάζων τοὺς ὅσοι ποτὲ τῆς καθ' ἡ-*

---

[1] *Ἐνθρονισμὸς μὲν ἡ εἰς τὸν Ἐπισκοπικὸν θρόνον ἀνάβασις τοῦ χειροτονηθέντος Ἐπισκόπου ἐλέγετο, ὑπὸ τῶν χειροτονησάντων αὐτὸν εὐθὺς μετὰ τὴν χειροτονίαν ἀναγομένου· ἐνθρονιστικοὶ δὲ λόγοι, οἱ ἀπὸ τοῦ θρόνου τηνικαῦτα πρὸς τὸν περιεστῶτα λαὸν ὑπὸ τοῦ ἐνθρονισθέντος ἐκφωνούμενοι· καὶ ἐνθρονιστικαὶ ἐπιστολαί, ἢ ἐνθρονιστικαὶ συλλαβαὶ αἱ πρὸς τοὺς μακρὰν ἀπόντας Ἐπισκόπους γραφόμεναι, ἐν αἷς ὁ χειροτονηθεὶς τὴν ἑαυτοῦ πίστιν καὶ ὀρθοδοξίαν ἀνωμολόγει. Τοῦτο δὲ πᾶσι μὲν τοῖς Ἐπισκόποις εἴθιστο γίνεσθαι, μάλιστα δὲ τοῖς Ἐπισκόποις Ῥώμης, Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων. Αἱ δὲ πρὸς ἀπάντησιν στελλόμεναι εἰρηνικαὶ ἐπιστολαί, καὶ ἀμοιβαῖαι, καὶ γράμματα εἰρηνικὰ ἐκαλοῦντο (Ἴδε περὶ τούτου Θ. Φαρμακίδου τὸν Συνοδικὸν Τόμον, σελ. 453—4).—Τοιαύτη ἐστὶν ἥδε τε καὶ ἡ ἀμέσως ἑπομένη πρὸς τὸν θρόνον Ἀντιοχείας Φωτίου ἐπιστολή· ἐν αἷς οὐ μόνον τὴν ἑαυτοῦ Ὀρθόδοξον πίστιν ἀνομολογεῖ, ἀλλὰ καὶ τὸ τῆς Ἱεραρχίας ἀξίωμα ἡλίκον ἐστί, καὶ τὰ περὶ τῆς ἐκλογῆς καὶ χειροτονίας αὐτοῦ, ὡς ἐγένοντο, ἐν πάσῃ εἰλικρινείᾳ (κἂν διαῤῥαγῶσιν οἱ περὶ Βαρώνιον τἀναντία λέγοντες) ἐκτίθησιν. — Ἐκδέδοται δὲ ἡ παροῦσα ἐπιστολὴ τὸ μὲν πρῶτον ὑπὸ Δοσιθέου τοῦ Ἱεροσολύμων Πατριάρχου ἐν Τόμῳ Χαρᾶς (σελ. 1—5)· ἔπειτα δὲ καὶ ὑπὸ Ἰαγέρου ἐν τέλει τῆς ἑαυτοῦ Ἱστορίας (σελ. 433—8), καὶ πρὸ μικροῦ ὑπὸ Μιγνίου ἐν τῷ Β' τόμῳ τῶν Φωτίου συγγραμμάτων, πρώτη τεταγμένη ἐν ταῖς ἐπιστολαῖς. Καὶ Βαρώνιος μὲν ταύτην Λατινιστὶ μεθηρμήνευσεν* (ann. 859. LXI), *Ἰάγερος δὲ Γαλλιστὶ ἐκ τῆς Λατινικῆς, ὡς ἔοικε, τοῦ Βαρωνίου μεταφράσεως* (ἔνθ. ἀνωτ. σελ. 34—37), *ἣν καὶ Μίγνιος συνεξέδωκεν.*

[2] *Ὅτε ἀναλήψομαι καὶ ἐπελεύσομαι.*—*Ἡ τοιαύτη τοῦ ἁπλοῦ χρονικοῦ μορίου ὅτε πρὸς Μέλ. Ὁριστ. σύνταξις ἐπὶ ἀοριστολογίας, ἀντὶ τοῦ συνθέτου ὅταν πρὸς Ῥποτακτ.—ὅταν ἀναλάβω καὶ ἐπέλθω—κατὰ τοὺς Ἀττικούς, καὶ γενικῶς, ἡ ἐνιαχοῦ ἁπαντῶσα ἀνώμαλος τῶν μορίων σύνταξις,*

Digitized by Google

μᾶς γενεᾶς (ἵνα μὴ λέγω τοὺς πρὸ ἡμῶν) τὸν φρικτὸν τῆς Ἀρχιερωσύνης ζυγὸν ἀνεδέξαντο, ἄνθρωποι τελοῦντες, καὶ σαρκὶ συνδεδεμένοι καὶ αἵματι, καὶ τὰ τῶν Ἀσωμάτων Χερουβεὶμ ἔργα διαπράττειν παρακινδυνεύοντες·[1] ὅτε ταῦτα βασανίζων καὶ πολυπραγμονῶν,

---

καὶ πολὺ πρὸ τοῦ Φωτίου συνήθης ἦν παρά τε τοῖς Ἐκκλησιαστικοῖς καὶ τοῖς ἄλλοις τῶν Βυζαντινῶν συγγραφέων. Λύσαντες γὰρ τοὺς κανονικοὺς τῆς τῶν μορίων συντάξεως δεσμούς, καὶ πρὸς μόνην ἀφορῶντες τὴν ἔκφρασιν τῆς ἐννοίας, παρὰ τοὺς Ἀττικοὺς τρόπους τὰ μόρια πολλάκις συνέταττον. Οὕτως ἐν τῇ Β' ἐπιστολῇ τριχῶς ἐν τῇ αὐτῇ περιόδῳ τὸ σύνθετον ὅταν συντέτακται, πρὸς Εὐκτικήν, Ὁριστικήν, καὶ Ὑποτακτικήν· "ὅταν δέ τις ταῦτα ἐκλογίζοιτο, φόβοι τε καὶ δείματα .... οὐ παρέχουσι .... ὅταν ταῦτα οὕτω συστρέφῃ καὶ διαδονῇ τὴν διάνοιαν κ.τ.λ." Ὁ δὲ ὑποθετικὸς ἂν οὐχὶ σπανίως πρὸς Ὁριστ. καὶ πρὸς Εὐκτ. φέρεται, ὡς ἐν τῇ Γ' ἐπιστολῇ—"κἂν ἔστι πᾶσιν ἐκ τοῦ χρόνου ὑπόγειον περιφανές—κἄν πού τις αὐτὸν παρανομίας γράψοιτο—κἄν που τύχοι τὸν ἕτερον εἰς ἀπερισκέπτους μέμψεις θατέρου παρολισθῆσαι."—Καὶ ἐν ἐπιστολῇ ΙΘ'—"κἂν οὐδὲν ἡμεῖς ἐροῦμεν."—Καὶ ἐν τῇ ΛΘ' "ἂν εἰς τὴν ἑαυτοῦ σε μάλιστα συνήσθετο τοῦτο δεδρακότα·" καὶ ἀλλαχοῦ πολλάκις. Τὰ δ' αὐτὰ καὶ περὶ τῶν τελικῶν καὶ τῶν ἄλλων μορίων ἔχει τις εἰπεῖν, καθόλου μὲν κατὰ τοὺς Ἀττικοὺς τρόπους συντασσομένων, ἐνίοτε δὲ καὶ παρ' ἐκείνους. Συχνοτάτη δὲ καὶ ἡ τοῦ Μέλλοντος χρῆσις ἀντὶ Ἀορίστου, οἷόι περ ἐνταῦθα οἱ ἀναλήψομαι καὶ ἐπελεύσομαι, καὶ ἐν τῇ Γ' ἐπιστολῇ "ἀνεπαχθῶς οἴσειν (ἀντὶ ἐνεγκεῖν) τὰς ἐπιτιμήσεις ἔπεισεν·" καὶ ἐν τῇ Δ' "ἵνα τὰ τῷ Θεῷ δοκοῦντα βεβαιωθείη, καὶ εἰρήνη βαθεῖα καταλήψοιτο·" Τὰς οὖν τοιαύτας συντάξεις, ἀνωμάλους μὲν δοκούσας, συνηθεστάτας δὲ καὶ οἷον κανονικὰς κατ' ἐκεῖνο καιροῦ, οὐκ ἀναγκαῖον ἡγησάμεθα πανταχοῦ σημειῶσαι· ἀλλὰ τοσαῦτα γενικῶς λέγοντες, τὰ λοιπὰ σκοπεῖν τῷ ἀναγινώσκοντι καταλείπομεν.

[1] Ἴδε καὶ Ἐπιστ. Β' § ά, ἔνθα ὑψηλότερον τὴν περὶ Ἱεραρχίας ταύτην ἰδέαν ἐκφέρει.—Τοὺς δ' οὖν τοιούτους, ὅσοι τὰ τῶν Ἀσωμάτων Χερουβεὶμ ἔργα διαπράττειν παρακινδυνεύουσι, καὶ Γρηγόριος ὁ Θεολόγος ἐν τῷ περὶ Ἱερωσύνης λόγῳ αὐτοῦ (§ ί) οὑτωσὶ ταλανίζει λέγων· "Ἠσχύνθην ὑπὲρ τῶν ἄλλων, "ὅσοι μηδὲν τῶν πολλῶν ὄντες βελτίους, μέγα μὲν οὖν, εἰ καὶ μὴ πολλῷ χείρους, ἀνίπτοις χερσίν, ὃ δὴ "λέγεται, καὶ ἀμυήτοις ψυχαῖς τοῖς ἁγιωτάτοις ἑαυτοὺς ἐπεισάγουσι, καὶ πρὶν ἄξιοι γενέσθαι προσιέναι "τοῖς ἱεροῖς, μεταποιοῦνται τοῦ βήματος, θλίβονταί τε καὶ ὠθοῦνται περὶ τὴν ἁγίαν τράπεζαν, ὥσπερ "οὐκ ἀρετῆς τύπον, ἀλλ' ἀφορμὴν βίου τὴν τάξιν ταύτην εἶναι νομίζοντες, οὐδὲ λειτουργίαν ὑπεύθυνον, "ἀλλ' ἀρχὴν ἀνεξέταστον." Καὶ αὖθις (ἐν § ογ') τὸ τῆς Ἱερωσύνης προσηκόντως ἐξαίρων ἀξίωμα, καὶ ἡλίκον ἐστὶ τὸ τοῦ ἱερέως ἔργον διδάσκων, καὶ ἡλίκης ἄξιον παρασκευῆς, λέγει· "Καὶ τίς ἐστι παρὰ "ταῦτα ὁ τὸ τάχος ἀπαιτῶν πρὸ τῆς ἀσφαλείας καὶ τοῦ συμφέροντος; τίς ὁ πλάττων, καθάπερ αὐθη"μερὸν τοὺς πηλίνους, τὸν τῆς ἀληθείας προστάτην, τὸν μετὰ Ἀγγέλων στησόμενον, καὶ μετὰ Ἀρχαγγέ"λων δοξάσοντα, καὶ ἐπὶ τὸ ἄνω θυσιαστήριον ἀναπέμψοντα τὰς θυσίας, καὶ Χριστῷ συνιερεύσοντα; "τὸν ἀναπλάσοντα τὸ πλάσμα, καὶ παραστήσοντα τὴν εἰκόνα, καὶ τῷ ἄνῳ κόσμῳ δημιουργήσοντα, "καί, τὸ μεῖζον εἰπεῖν, θεὸν ἐσόμενον καὶ θεοποιήσοντα;" (Καὶ ὅρα μοι τὸν τῆς Ἐκκλησίας Δημοσθένην τὴν Δημοσθένειον ἐκείνην θαυμασίως ἀπομιμούμενον παραβολήν· "ὥσπερ γὰρ οἱ πλάττοντες τοὺς πηλίνους, εἰς τὴν ἀγορὰν χειροτονεῖτε τοὺς ταξιάρχους καὶ τοὺς φυλάρχους, οὐκ ἐπὶ τὸν πόλεμον" κατὰ Φιλ. Α' § θ').—Τούτοις δέ, οἷον θεόπνευστος, ἐπιφωνεῖ· "Οἶδα, τίνος ἐσμὲν λειτουργοί, καὶ ποῦ κεί"μενοι, καὶ ποῦ πέμποντες· οἶδα τοῦ Θεοῦ τὸ ὕψος, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τὴν δύναμιν πά"λιν. Οὐρανὸς ὑψηλός, γῆ δὲ βαθεῖα. Καὶ τίς ἀναβήσεται τῶν ἐῤῥιμμένων τῇ ἁμαρτίᾳ; "τίς περικείμενος ἔτι τὸν κάτω ζόφον καὶ τῆς σαρκὸς τὴν παχύτητα, ὅλῳ νοῒ καθαρῶς ἐποπτεύσει νοῦν "ὅλον, καὶ μιγήσεται τοῖς ἑστῶσι καὶ ἀοράτοις, ἐν τοῖς ἀστάτοις καὶ ὁρωμένοις; κ.τ.λ." Λαμπρότατα δὲ καὶ ὁ Χρυσορῥήμων Ἰωάννης ἐν τοῖς ἓξ περὶ Ἱερωσύνης Λόγοις αὐτοῦ τὸ τοῦ ἀξιώματος εἰκονίζει μέγεθος, μάλιστα δ' ἐν § δ' τοῦ Γ' Λόγου, ἔνθα φησίν· "Ἡ γὰρ Ἱερωσύνη τελεῖται μὲν ἐπὶ τῆς γῆς, τάξιν "δὲ ἐπουρανίων ἔχει ταγμάτων ..... Διὸ χρὴ τὸν ἱερωμένον, ὥσπερ ἐν αὐτοῖς ἑστῶτα τοῖς οὐρανοῖς "μεταξὺ τῶν Δυνάμεων ἐκείνων, οὕτως εἶναι καθαρόν ..... Ὅταν γὰρ ἴδῃς τὸν Κύριον τεθυμένον,

Digitized by Google

ἐφ' οἷς ἑτέρους ὁρῶν ἐθορυβούμην, τοῖς αὐτοῖς γε νῦν ἐμαυτὸν ἑαλωκότα καθορῶ,[1] οὐκ ἔστιν εἰπεῖν, οἵοις ἀλγήμασι βάλλομαι, καὶ οἵαις ἀθυμίαις διακαρτερῶ συνεχόμενος. Εἰ γάρ μοι καὶ φροντὶς ἦν ἐκ παιδὸς συναυξανομένη τε, καὶ συμπαραθέουσα βιωτικῶν πραγμάτων καὶ φροντίδων ἀπηλλαγμένον ἡ εὐχὴ καὶ τὰ καθ' ἑαυτὸν ἐπισκοποῦντα διατελεῖν (δεῖ γὰρ πρὸς τὴν Ὑμετέραν Ὁσιότητα γράφειν ἀπαρξάμενον τἀληθὲς εἰπεῖν), εἰ καὶ βασιλικῶν ἀξιωμάτων τὴν ὁρμὴν καθέλκουσαν ἐφ' ἑτέρας μετατρέπειν ἐγχειρήσεις κατηνάγκαζον, ἀλλ' οὖν οὐδέποτε θάρσος ἐπῆλθεν φορητὸν ἐμοὶ τὸ τῆς Ἀρχιερωσύνης ὑπεισελθεῖν ἐργαζόμενον[2] ἄξίωμα. Ἦν γάρ, ἦν ἐμοὶ διὰ παντὸς αἰδέσιμόν τε καὶ φοβερόν, μάλιστά γε τοῦ κορυφαίου τῶν Ἀποστόλων διαμνημονεύοντι Πέτρου· ὅς γε πολλὰ τεκμήρια τῆς εἰς τὸν Κύριον Ἰησοῦν Χριστόν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ἐπιδεδειγμένος πίστεως, καὶ πολλὴν πανταχόθεν τὴν πεῖραν τῆς εἰς αὐτὸν ἀγάπης δεδωκώς, ὥσπερ τινὰ κορωνίδα τῶν πρόσθεν αὐτῷ καλῶς πεπραγμένων τε καὶ διηνυσμένων, τὴν ποιμαντικὴν πρὸς τοῦ Διδασκάλου ἠξιοῦτο λειτουργίαν ἀναδέξασθαι.[3] Ἀλλὰ μὴν καὶ δοῦλον οἶδα καταπιστευόμενον τάλαντον, καὶ δι' εὐλάβειαν τῆς δεσποτικῆς αὐστηρίας κατακρύπτοντα, ἵνα μή ποθεν αὐτῷ τὸ ἐμπιστευθὲν διαπεσὸν ἀνάρπαστον γένηται· καὶ ὅτι μὴ τὸ τάλαντον τῷ δεδωκότι πλειστηριάσας ἀπέδωκεν, εὐθύνας εἰσπραττόμενον, καὶ πῦρ καὶ γέενναν τὴν καταδίκην ὑφιστάμενον.[4]

β'. Ἀλλὰ τί ταῦτά μοι γράφεται, καὶ τὸ ἄλγημα αὔξεται, καὶ τὸ λυπηρὸν ἐπιτείνεται, καὶ τὸ διοχλοῦν ἀνιχνεύεται; μνήμη γὰρ τῶν ἀνιαρῶν ὀξύτερον τὸ πάθος ἀπεργάζεται, καὶ κουφίζεσθαι τὴν ῥαθυμίαν[5] οὐκ ἐνδίδωσιν. Ἀλλὰ γὰρ ταύτης ἕνεκα τῆς αἰτίας τῶν συμβεβηκότων ἡ τραγῳδία διεσκηνοποίηται, ὡς ἂν ταῖς ὑμετέραις εὐχαῖς τό, οὐκ οἶδ' ὅπως

" καὶ κείμενον, καὶ τὸν ἱερέα ἐφεστῶτα τῷ θύματι καὶ ἐπευχόμενον, καὶ πάντας ἐκείνῳ τῷ τιμίῳ φοινισ-
" σομένους αἵματι, ἆρα ἔτι μετὰ ἀνθρώπων εἶναι νομίζεις, καὶ ἐπὶ γῆς ἑστάναι; ἀλλ' οὐκ εὐθέως ἐπὶ
" τοὺς οὐρανοὺς μετανίστασαι, καὶ πᾶσαν σαρκικὴν διάνοιαν τῆς ψυχῆς ἐκβάλλων, γυμνῇ τῇ ψυχῇ καὶ
" τῷ νῷ καθαρῷ περιβλέπεις τὰ ἐν οὐρανοῖς; Ὦ τοῦ θαύματος! ὦ τῆς τοῦ Θεοῦ φιλανθρωπίας! Ὁ
" μετὰ τοῦ Πατρὸς ἄνω καθήμενος κατὰ τὴν ὥραν ἐκείνην ταῖς ἁπάντων κατέχεται χερσί, καὶ δίδωσιν
" αὐτὸν τοῖς βουλομένοις περιπτύξασθαι καὶ περιλαβεῖν. Ποιοῦσι δὲ τοῦτο πάντες διὰ τῶν ὀφθαλμῶν
" τῆς πίστεως. κ.τ.λ. "

[1] Ἰάγερος δὲ κατὰ Μετοχὴν ἔγραψε—καθορῶν—οὐδὲν προσῆκον· ἐξ Ἰαγέρου δὲ καὶ Μίγνιος.

[2] Ἐκ διορθ. Ἰαγέρου, καλῶς ἐχούσης, ἀντὶ—ἐργαζόμενοι—ἐν Τόμῳ Χαρᾶς.

[3] Ἰωάν. κεφ. ΚΑ', 15—18. Τούτοις δὲ παρατίθει τὰ τῷ Χρυσοστόμῳ εἰρημένα ἐν τῷ Β' περὶ Ἱερωσύνης Λόγῳ (§ ά καὶ β'), ἔνθα πλατύτερον ἑρμηνεύεται ἡ τῷ Πέτρῳ δοθεῖσα ἐντολή " Ποίμαινε τὰ προβατά μου. "

[4] Ματθ. κεφ. ΚΕ', 14—30.

[5] Ἴσως ἐγέγραπτο—ἀθυμίαν—. Τοῦτο δὲ νοείσθω καὶ περὶ τοῦ ἀμέσως ἑπομένου—τὴν ἀχλὺν τῆς ῥαθυμίας ὑπεκφύγοιμεν—. Πιθανωτέραν δὲ καθιστῶσι τὴν γραφὴν ταύτην τὰ ἀιτιθέτως ἑπόμενα—εὐθυμίας καθίστασθαι πρόξενον—καὶ—τὸ ὁμιχλῶδες τῆς ἀμηχανίας ἀποτρίψασθαι.— Εἶπε δὲ καὶ μικρὸν ἀνωτέρω " οἵαις ἀθυμίαις διακαρτερῶ συνεχόμενος· " ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς (§ ἡ ἐν τέλει) ἐρεῖ· " καὶ ἡμῖν τῆς ἀθυμίας ἀναψυχὴ πορισθήσεται. "

Digitized by Google

εἰπεῖν, ἐμπιστευθὲν ἡμῖν ποίμνιον καλῶς ὁρῶντες ποδηγετούμενόν τε καὶ κυβερνώμενον, τὸ ἐπιπροσθοῦν ἡμῖν τῆς ἀμηχανίας νέφος ἀποσκευασώμεθα, καὶ τὴν ἀχλὺν τῆς ῥαθυμίας ὑπεκφύγοιμεν. Οἶδε γάρ, οἶδε καὶ κυβερνήτη καλῶς τὸ σκάφος οὐριοδρομοῦν τε καὶ πηδαλιουχούμενον εὐθυμίας καθίστασθαι πρόξενον· καὶ τὸ τῆς Ἐκκλησίας πλήρωμα εὐσεβείᾳ καὶ ἀρεταῖς εὐθηνούμενον,[1] τὸν ἐφεστηκότα καὶ κριθέντα ποιμαίνειν εὐφραίνειν τε, καὶ τὸ τῆς ἀμηχανίας ὁμιχλῶδες παρασκευάζειν ἀποτρίψασθαι.

γ'. Ἄρτι τοιγαροῦν τοῦ πρὸ ἡμῶν ἱερατεύειν λαχόντος τῆς τοιαύτης ὑπεξελθόντος ἀξίας,[2] οὐκ οἶδ' ὅπως ὁρμηθέντες ἐπιτίθενταί μοι κραταιῶς, ὅσοι τε Κλήρῳ κατειλεγμένοι ἐτύγχανον, καὶ τῶν Ἐπισκόπων τε καὶ Μητροπολιτῶν τὸ ἄθροισμα, καὶ πρό γε τούτων καὶ σὺν αὐτοῖς ὁ φιλευσεβὴς καὶ φιλόχριστος βασιλεύς, πᾶσι μὲν χρηστὸς ὢν καὶ ἐπιεικὴς καὶ φιλάνθρωπος (καὶ τί γὰρ οὐ χρὴ λέγειν τἀληθές;), οὐδ' ἔχων ἄλλον τῶν πρὸ αὐτοῦ βεβασιλευκότων τῇ ἐπιεικείᾳ ἐξισούμενον,[1] ἐμοὶ δ' ἀφιλάνθρωπός τις ἐδόκει τότε, βίαιός τε

---

[1] Ἐκ διορθ. Ἰαγέρου, καλῶς ἐχούσης, ἀντὶ—εὐθυνούμενον—ἐν Τόμῳ Χαρᾶς.

[2] Ἴδε τὰ περὶ τούτου ἐν τοῖς Προλεγομένοις (§ κδ' καὶ κέ) εἰρημένα. Ἐνταῦθα δὲ προσσημειωτέον, ὅτι, Φωτίου σαφέστατα λέγοντος οὐδὲν ἄλλο, ἢ τὸν Ἰγνάτιον τῆς Πατριαρχικῆς ἀξίας ὑπεξελθεῖν, Νικήτας ὁ Παφλαγὼν προφανῶς καταψευδόμενος τάδε φησίν. " Γράφει γάρ (ὁ Φώτιος), ὡς Ἰγνάτιος διὰ " γῆρας καὶ νόσον καὶ σώματος ἀδυναμίαν παραιτησάμενος ὑπεχώρησε τῆς Ἐκκλησίας· καὶ ἐν τῇ κατ' " αὐτὸν νήσῳ καὶ τῷ μοναστηρίῳ μένων, πάσης τιμῆς καὶ θεραπείας ὑπό τε τῶν βασιλευόντων, ὑπό τε " πάσης τῆς πόλεως, καὶ τῆς κατ' αὐτὸν Ἐκκλησίας ἀξιοῦται" (ἐν βίῳ Ἰγνατίου). Οἱ δὲ Παπισταὶ τὰ Νικήτα ταῦτα ψεύδη προθύμως ἀντιγράφοντες, πολὺν ποιοῦνται κατὰ Φωτίου τὸν θόρυβον, ὡς δῆθεν τὸν Πάπαν ἐξαπατῶντος. Ἐν τοῖς πρώτοις δὲ ὁ διαβόητος Λέων ὁ Ἀλλάτιος τάδε φησίν· " Scribens, Ignatium ob senium et enervatas vires throno renunciasse, recepisse se in Monasterium Insulae, in quo cum omni honore et obsequio viveret (L. Allatii. De octava Synodo Photiana, p. 3. Romae 1662) Ἰάγερος δέ· " Pour la grande difficulté de l'élection, ils (ὅ τε Αὐτοκράτωρ δῆλον ὅτι καὶ ὁ Φώτιος) la lèvent par un mensonge, en disant qu' Ignace a quitté volontairement le siége Patriarcal à cause de sa grande vieillesse et de sa mauvaise santé; qu'il s'est retiré dans une île et restait dans un monastère qu'il avait fondé, où l'Empereur, toute la ville, lui rendaient les devoirs et les honneurs convenables (Hist. de Phot., p. 33). Ἀλλὰ παντὶ δῆλον, ὅτι Φώτιος οὐδὲν λέγει τοιοῦτον ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ, τῇδε τε, καὶ τῇ ἀμέσως ἑπομένῃ, πρὸς τὸν θρόνον Ἀντιοχείας· ἁπλῶς δέ φησι τὸν Ἰγνάτιον τῆς Πατριαρχικῆς ὑπεξελθεῖν ἀξίας· ὅπερ δὴ Νικήτας καὶ οἱ ἐξ ἐκείνου τὰ περὶ Φωτίου ἀκρίτως ἀντιγράφοντες ἐπὶ τοσοῦτον ἐπλάτυναν καὶ παρηρμήνευσαν. Καὶ Φλευρῆς μέν, οἷον συμβιβάζων τ' ἀσυμβίβαστα, φησὶν ἀπολέσθαι τὴν Φωτίου ἐπιστολήν, ἐν ᾗ ταῦτα ἐγέγραπτο (Hist. Eccles. Tom. XI. p. 9). Ἰάγερος δὲ οὐχ οὕτως· ἀλλὰ διαῤῥήδην φησὶν ἐν τῇδε τῇ ἐπιστολῇ ταῦτα λέγειν τὸν Φώτιον· " La lettre de l'Empereur ne nous est pas parvenue. . . . Mais nous avons celle de Photius, écrite à la même occasion, et qui nous montre parfaitement quels étaient l'adresse et le talent de cet homme " (ἐνθ. ἀνωτ. σελ. 34). Καὶ ἅμα ταῦτα λέγων, τήνδε τὴν ἐπιστολὴν εἰς μαρτύριον τῶν ἰδίων λόγων παρατίθεται. Ἕτερος δὲ τῶν Παπιστῶν ταύτην φησὶ τὴν ἐπιστολὴν γεγραφέναι Φώτιον, ὅπως τὸ τῆς ἐκλογῆς αὐτοῦ κῦρος παρὰ τοῦ Πάπα Νικολάου ἐξαιτήσηται. " Ainsi l'on vit Photius s'adresser au Pape Nicolas I. en 859, pour faire confirmer son élection. " (Du Pape, par le Comte J. De-Maistre, p. 80. Paris, 1841.) Ἀλλὰ τῶν παραλογισμῶν τούτων αὐτὴ πρόκειται μαρτύριον ἀψευδέστατον ἡ ἐπιστολὴ τοῖς βουλομένοις τἀληθὲς εἰδέναι, καὶ τὴν τῶν Παπιστῶν εὐθύτητα προσηκόντως τιμᾷν.

[1] Ὑπερβολὴν ἄν τις εἴποι τὰ περὶ εὐσεβείας τοῦ Αὐτοκράτορος Μιχαὴλ ὑπὸ Φωτίου λεγόμενα, ὅταν ς τὰ περὶ αὐτοῦ ὑπὸ πολλῶν ἱστορούμενα ἀποβλέψῃ, ὡς ἀσεβοῦς τινος ὄντος καὶ ἐκλελυμένου τὴν δί-

Digitized by Google

καὶ λίαν φοβερός· οὐδὲ γὰρ οὐδὲ μικρὸν ἦν ἐνδιδοὺς τῆς ἅμα παντὶ τῷ προειρημένῳ τῶν ἱερέων πληρώματι ἐπιθέσεως. Ἀλλ' ὁ μὲν πρόφασιν τοῦ μὴ μεθήσειν ἐποιεῖτο τὴν ὁμόψηφον τῶν ἱερέων ὁρμὴν καὶ σπουδήν, καὶ ὡς οὐκ ἂν δύναιτο, καὶ βουλόμενος, ἐκτελέσαι τὴν αἴτησιν· τοῖς δ', ἐπεὶ πολὺ πλῆθος συνείλεκτο, οὐδ' οἱ τῆς παρακλήσεως ἡμῶν λόγοι καθαρῶς αὐτοῖς προσεφέροντο· οἷς δ' ἂν καὶ προσέπιπτον, οὐ προσίεντο, ἐν δὴ τοῦτο καὶ μελετήσασι, καὶ λέγειν ἐξασκήσασι, τὸ δεῖν ἐμὲ πάντως καὶ μὴ βουλόμενον τὸ φορτίον τῆς ἐπιστασίας αὐτῶν ἀναδέξασθαι. Ἐπεὶ δέ μοι πανταχόθεν αἱ ὁδοὶ τῶν ἐν τοῖς λόγοις παρακλήσεων ἀπεφράττοντο, προεπήδα τὰ δάκρυα· καὶ ἡ τῆς ἀπορίας ἀχλὺς τὰ ἔνδοθεν πάντα πληρώσασα τῆς συγχύσεως, καὶ μέχρις αὐτῶν γε τῶν ὀμμάτων προσαράξασα, εἰς ῥεῖθρον μετεσκευάζετο. Καὶ γὰρ ἐφάπαξ ὁ λογισμὸς τῆς ἐκ λόγων[1] ἀπειρηκὼς σωτηρίας, εἰς ἱκετηρίαν τὴν φύσιν αὐτὴν καὶ τὰ δάκρυα προὐβάλλετο, βοηθείας τινὸς καὶ ἐπικουρίας δι' αὐτῶν ἐλπίσας τυχεῖν, εἰ καὶ διεψεύσθη τοῦ βουλήματος. Οὐδ' οὕτω γὰρ ἀνῆκαν οἱ βιαζόμενοι, μέχρις ἂν[2] ὅπερ ἐμοὶ μὲν ἀβούλητον, ἐκείνοις δὲ ὅπερ ἦν εὐχῆς ἔργον, διεπέπρακτο.[3] Καὶ οὕτω λοιπὸν εἰς μέσους τοὺς θορύβους, οἷς ὁ πάντα εἰδὼς κρίμασιν ἐπίσταται, διακαρτερῷ καθιστάμενος.

δ'. Ἀλλὰ δρυὸς μὲν ἄλις εὔκαιρον εἰπεῖν τὴν παροιμίαν.[4] Ἐπεὶ δὲ πασῶν

αιταν· ὅθεν δὴ καὶ Πότης ἐπωνόμασται. Ἀλλ' ὅτι μὲν ἡ παιδικὴ τοῦ Μιχαὴλ ἡλικία πολλὰς εἰς κατηγορίαν αὐτοῦ παρέσχεν ἀφορμάς, οὐδεὶς ἂν ἔξαρνος γένοιτο· ὅτι δὲ προϊὼν τῇ ἡλικίᾳ τόν τε τρόπον μετεβάλετο, καί τινα ἔπραξεν ἔργα ἐπαινετὰ ἔν τε τῇ Ἐκκλησίᾳ καὶ τῇ πολιτείᾳ, παρὰ πολλῶν ὡμολόγηται. Ταύτην δὲ τὴν μεταβολὴν τοῦ ἀνδρὸς οὐκ ἄν τις ἀπεικότως ἀποδοίη Φωτίῳ, πατρικῶς αὐτῷ τὰ εὐσεβῆ καὶ δίκαια παραινοῦντι, καὶ διὰ τοῦτο εὐλόγως αὐτὸν δι' εὐσέβειαν ἐπαινοῦντι. Ὅρα δὲ τὰ περὶ τούτου ἐν ἐκτάσει σημειωθέντα ἐν τοῖς τῶν Ἀμφιλοχ. προλεγ. (σελ. θ') ὑπὸ Σοφ. Κ. Οἰκονόμου. Χωρὶς δὲ τούτου, καὶ τὸ Φωτίου πρὸς τοὺς βασιλεύοντας σέβας, ὅσα μὴ ἔργοις ἀνοσίοις εἰς τὰ τῆς Πίστεως προσέκρουον, δῆλον ἐγένετο ἐπί τε τοῦ τὸν Μιχαὴλ διαδεξαμένου Βασιλείου, καὶ ἐπὶ Λέοντος τοῦ Βασιλείου. Παρ' ἀμφοτέρων γὰρ ἀδικηθεὶς, οὐδέτερον κακῶς εἶπεν· ἀλλὰ καὶ ἀπὸ τοῦ δεσμωτηρίου τοῖς συνδιωκομένοις αὐτῷ γράφων παρήνει "προσεύχεσθαι ὑπὲρ τῶν βασιλέων" κατὰ τὴν Ἀποστολικὴν ἐντολήν. Ἀλλά, καὶ γενικώτερον εἰπεῖν, τοῦ τῆς ἡμετέρας Ἐκκλησίας Κλήρου μία καὶ αὕτη ἐστὶν ἀρετή, τὸ τοῖς Βασιλεῦσι τὴν προσήκουσαν ἀπονέμειν τιμήν, καὶ μηδαμῶς ταῖς τοῦ βίου ἐμπλέκεσθαι πραγματείαις· ἀλλ' ἐπιμελῶς ἀγρυπνοῦντας ὑπὲρ τῆς Ἐκκλησίας ἀπέχεσθαι τῶν ἐν τῇ πολιτείᾳ, καλῶς εἰδότας ἀποδιδόναι τὰ τοῦ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Κατὰ δὴ ταῦτα εὐλόγως ἄπιστα φαίνονται τὰ ὑπὸ Νικήτα περὶ Φωτίου ἱστορούμενα, ὅτι τὸν Μιχαὴλ ἀσεβοῦντα ἐν τοῖς ἀνακτόροις, καὶ τὰς τῆς Ἐκκλησίας ἱερουργίας διαπαίζοντα ἠνείχετο· ὃ δὴ καὶ Μουράλδης, ὡς ἐν τοῖς ἔμπροσθεν (§ κδ') ἐσημειωσάμεθα, παραδεχόμενος φαίνεται. Ἐπὶ γὰρ Φωτίου, ἤδη νέον ὄντα τὸν Μιχαήλ, καὶ τὰ τῆς βασιλείας ἀνειληφότα σκῆπτρα, καὶ πολλὰ ὑπ' ἐκείνου νουθετούμενον, εἰκός ἐστι τὰς ἀσεβεῖς ἐκείνας ἀταξίας παραιτήσασθαι, αἷς ἔτι παῖς ὢν ἔχαιρεν.

[1] Ἐκ διορθ. Ἰαγέρου, ἀντὶ—ἐκλόγων—ἐν Τ. Χ.

[2] Ἴσως γραπτ.—μέχρις οὗ.

[3] Ἴδε τὰ περὶ τούτου ἐν τοῖς ἔμπροσθεν (§ κέ) σημειωθέντα.

[4] Οὕτω διώρθωσα τὸ κακῶς, οἶμαι, γεγραμμένον ἔν τε Τ. Χ. καὶ παρ' Ἰαγέρῳ καὶ Μιγνίῳ. "Καὶ οὕτω λοιπὸν . . . . διακαρτερῷ καθιστάμενος, ἀλλά, δρυὸς μὲν ἄλις εὔκαιρον εἰπεῖν τὴν παροιμίαν." τελείαν δὲ γράψας στιγμὴν μετὰ τὴν μετοχ. "καθιστάμενος," εἰς ἰδίαν ἐχώρισα παράγραφον τὰ λοιπά, ὡς περὶ

Digitized by Google

ἀρίστη κοινωνία ἡ κοινωνία τῆς πίστεως, καὶ τῆς ἀληθοῦς ἀγάπης τοῦτο δὴ τὸ αἰτιώτατον, ὡς ἂν τὸν πρὸς τὴν Ὑμετέραν Ὁσιότητα καθαρόν τε καὶ ἀδιάσπαστον δεσμὸν ἐργασώμεθα, χρῆναι καὶ τὰ τῆς ἡμῶν καὶ ὑμῶν πίστεως ὡς ἐν βραχέσι στηλογραφῆσαι διεγνώκαμεν, ἐντεῦθεν τάς τε ὑμετέρας εὐχὰς θερμότερον ἐπισπώμενοι, καὶ τὴν ἡμετέραν πρὸς ὑμᾶς διάθεσιν ἀναπτύσσοντες.[1]

Πιστεύω τοιγαροῦν εἰς ἕνα Θεόν, τέλειον, τελειοποιὸν Πατέρα, Υἱόν, καὶ Πνεῦμα ἅγιον, οὐ κατατέμνων τῇ τῶν ὑποστάσεων ἑτερότητι καὶ τὴν φύσιν (ἐκτεμνέσθω γὰρ ἡ Ἀρείου

ἄλλου πραγματευόμενα, ἤδη τῶν περὶ τῆς γενομένης αὐτῷ βίας λόγων πεπληρωμένων. Οἶμαι δὲ καὶ τὴν παροιμίαν "δρυὸς ἅλις" ἄμεινον ἂν γεγράφθαι "δρυόχων ἅλις." Κατὰ γὰρ τοὺς τῶν Ἑλληνικῶν παροιμιῶν ἑρμηνευτάς, ἡ μὲν πρώτη ἐπὶ τῶν ἐκ φαυλοτέρας εἰς βελτίονα μεθισταμένων δίαιταν λέγεται· ὅπερ οὐδόλως βούλεται Φώτιος λέγειν ἐνταῦθα, ἀλλὰ καὶ τοὐναντίον τούτου πᾶν· ἡ δὲ δευτέρα ἐπὶ τῶν πολλάκις ἀρχομένων καὶ οὐ περαινομένων λόγων εἴωθε λέγεσθαι· ὅπερ δὴ μάλιστα βούλεται Φώτιος λέγειν, ἱκανὰ μὲν ἡγούμενος εἶναι τὰ περὶ τῆς γενομένης αὐτῷ βίας εἰρημένα, ἐπὶ δὲ τὴν ἔκθεσιν τῆς ὁμολογίας τῆς Πίστεως τρέπων τὸν λόγον.—Ὅρα δὲ τὴν τῶν παροιμιῶν ἑρμηνείαν ἐν Παροιμιογρ. Ἕλλησι, σελ. 5 καὶ 18, ἔκδ. Θ. Γαισφόρδου. Ἐν Ὀξωνίᾳ 1836.

[1] *Ἐνταῦθα τὴν τῆς Πίστεως ὁμολογίαν Φωτίου θαυμάζων Ἰάγερος, δεινὸν αὐτὸν ἀποκαλεῖ θεολόγον, τοιάδε λέγων·* " Photius fait ici sa proffession de foi, comme c' était l'usage en pareille circonstance. Il la fait en *théologien habile:* ce qui montre qu'il n'était point étranger à la science ecclésiastique. Il spécifie aussi les sept conciles généraux, et expose leur doctrine avec lucidité et une grande exactitude." (Hist. de Photius, p. 36—37.) *Ταῦτα δὲ λέγων Ἰάγερος, αὐτὸς ἑαυτῷ μάχεται, καὶ αὖθις, ὡς ἔοικεν, ἐπιλαθόμενος, ὅτι πρὸ μικροῦ μικρὰν ἀπεκάλει τὴν Φωτίου Ἐκκλησιαστικὴν παιδείαν, τοιάδε λέγων·* " La science ecclésiastique ne lui était pas étrangère; mais c'est celle *qu'il possédait le moins* " (*αὐτ. σελ.* 20.) *Ἀλλὰ καὶ ἕτερόν τι τὴν Ἰαγέρου διέφυγεν ὀξυδέρκειαν, ὃ ἡμεῖς αὐτῷ καταδείξομεν. Τοῦτο δ' ἐστίν, ὅτι Φώτιος πρὸς μὲν τὸν Πάπαν Νικόλαον λέγει·* "*Ἐπεὶ δὲ πασῶν ἀρίστη κοινωνία ἡ κοινωνία τῆς Πίστεως, καὶ τῆς ἀληθοῦς ἀγάπης τοῦτο δὴ τὸ αἰτιώτατον, ὡς ἂν τὸν πρὸς τὴν Ὑμετέραν Ὁσιότητα καθαρόν τε καὶ ἀδιάσπαστον δεσμὸν ἐργασώμεθα, χρῆναι καὶ τὰ τῆς ΗΜΩΝ καὶ ΥΜΩΝ πίστεως ὡς ἐν βραχέσι στηλογραφῆσαι διεγνώκαμεν, ἐντεῦθεν τάς τε ὑμετέρας εὐχὰς θερμότερον ἐπισπώμενοι, καὶ τὴν ἡμετέραν πρὸς ὑμᾶς διάθεσιν ἀναπτύσσοντες·*" *πρὸς δὲ τοὺς ἐν τῇ Ἀνατολῇ Πατριάρχας οὐδὲν λέγει τοιοῦτον, ἀλλ' ἁπλῶς,* "*Ἵνα δὲ καὶ ἡ κοινωνία τῆς Πίστεως τὴν ἐν ἀγάπῃ κοινωνίαν ἀῤῥαγῆ τε καὶ ἀνόθευτον διαφυλάττοιτο, ταύτην τῇ Ὑμετέρᾳ θεοσυλλέκτῳ Ὁσιότητι ἀνακοινώσασθαι ἐδικαιώσαμεν.*" *Τί οὖν ἐκ τῆς διαφόρου ταύτης ἐκφράσεως ἔχει τις νοεῖν; Ὅτι τῆς ἐν τῷ Συμβόλῳ παναθέσμου προσθήκης* " *καὶ ἐκ τοῦ Υἱοῦ* " *ὀσημέραι διαδιδομένης τότε ἐν τῇ Δύσει, οὕπω δὲ φανερῶς ἐν Ῥώμῃ λεγομένης, ὁ σοφώτατος τῆς Ὀρθοδοξίας πρόμαχος τῆς τοῦ Νικολάου πίστεως ἀποπειρᾶται ἐν τῷ τὴν ἑαυτοῦ στηλογραφεῖν, ὥσπερ ἂν εἰ λέγοι·* " *Πρόσεχε σεαυτῷ. Εἰ μὲν γὰρ κοινωνεῖς ἐμοὶ τῆς Πίστεως, ἀληθὴς καὶ ἀδιάῤῥηκτος ἔσται ἡμῶν ἡ ἀγάπη καὶ ὁ δεσμός· εἰ δὲ τοῖς αἱρετικοῖς συντάσσῃ, οὐδεμία ἐν ἡμῖν ἀγάπη, οὐδεμία κοινωνία.*" *Ἀλλ' ἐκείνου τὴν Φωτίου ὁμολογίαν ἀποδεξαμένου καὶ ἐπαινέσαντος, τότε μὲν οὐδὲν λέγει πλέον· ἔπειτα δὲ, τοῦ προσωπείου ἐκβληθέντος, καὶ τῆς ἀσεβοῦς καινοτομίας διαῤῥήδην ὑπὸ τῶν τοῦ Νικολάου ἀπεσταλμένων ἐν Βουλγαρίᾳ διακηρυττομένης, ἐκ τοῦ συστάδην κατ' αὐτῆς ὁ ἀληθὴς τῆς Ὀρθοδοξίας ὑπέρμαχος ἐπιτίθεται. Τηνικαῦτα δὴ καὶ τὴν πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Ἀρχιερατικοὺς θρόνους θαυμαστὴν ἐγκύκλιον ἔγραψε· καὶ Σύνοδον συγκαλεσάμενος, τούς τε ἐν Βουλγαρίᾳ τὴν καινοτομίαν εἰσαγαγόντας καὶ τὸν αὐτοὺς ἀποστείλαντα Νικόλαον τῷ ἀναθέματι ὑπέβαλεν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν (Προλ. § λή καὶ λθ') εἴπομεν. Εἰ ταῦτα τοίνυν ἐνενόησεν Ἰάγερος, οὐκ ἂν ἀκρίτως ἔλεγεν* (Hist. de Phot. p. 158), *ὅτι Φώτιος οὐδὲν περὶ τῆς αἱρετικῆς καινοτομίας ἐν τῇ ἐνθρονιστικῇ ἐπιστολῇ πρὸς Νικόλαον γράψας, ὑφέ*

Digitized by Google

κατατομή[1]), ἀλλὰ τῇ ταυτότητι τῆς φύσεως τὴν τῶν ὑποστάσεων διαφορὰν δοξάζων[2] (συναναιρείσθω γὰρ παραπλησίως καὶ ἡ τοῦ Σαβελλίου συναίρεσις)· Τριάδα παναγίαν, παντουργόν, παντοδύναμον, συνάναρχον μὲν αὐτὴν ἑαυτῇ, ὡς χρονικῆς ἀπάσης ἀρχῆς ὑπεράναρχον, ἀρχῆς δὲ καὶ αἰτίου λόγον ἐν αὐτῇ τοῦ Πατρὸς ἀναπληροῦντος· οὕτω γὰρ καὶ τῆς χρονικῆς ἐννοίας ὁμοτίμως ἡ Τριὰς ὑπεριδρυθήσεται, καὶ τῆς αὐτῆς οὐσίας τῷ Πατρί, ἐξ οὗπερ ὁ μὲν ἀῤῥεύστως καὶ ἀῤῥήτως γεγένηται, τὸ δὲ ἐκπεπόρευται, θεολογικῶς ὑμνολογηθήσεται· Τριάδα παναγίαν, ὑπερούσιον οὐσίαν· τὸ μέν, ὅτι πάσης οὐσίας θεοπρεπῶς ὑπεραναβέβηκε, τὸ δέ, ὅτι πᾶσι τοῖς οὖσιν αὐτόθεν ἡ μετοχὴ τοῦ εἶναι· Ὑπεράγαθον ἀγαθότητα· τὸ μέν, ὅτι πηγὴ ἀγαθότητος, τὸ δέ, ὅτι τοῖς ἀγαθοῖς ἐκεῖθεν τὸ ἀγαθύνεσθαι. Τοῦτο ἡμῖν, ὡς ἐν βραχέσιν, ἡ τῆς καθ' ἡμᾶς θεολογίας ἀδιάβλητος μυσταγωγία. Τὸν δὲ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ καὶ Πατρὸς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐκ τῆς ἀειπαρθένου καὶ ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου προελθεῖν μετὰ σαρκὸς ἐμψυχωμένης[3] ψυχῇ νοερᾷ τε καὶ λογικῇ, τοῦτ' ἔστι τέλειον ἄνθρωπον ἀνειληφέναι, καὶ ἀληθείᾳ, ἀλλὰ μὴ κατὰ φαντασίαν· οὐ προσωπικῶς, οὐδέ τινα τῶν καθ' ἕκαστα ἰδικῷ καὶ ἀφωρισμένῳ χαρακτῆρι περιοριζόμενον, ἀλλ' ὅλον τὸν ἄνθρωπον, ὃν καὶ ἐν τῇ αὐτοῦ[4]

ποτε ταύτης ἐμνήσθη, ὅτε καταδικασθεὶς ὑπ' ἐκείνου, καὶ ἀναθέματι βληθείς, ἀμύνεσθαι ἤθελεν. Δῆλον γάρ ἐστιν ἐξ ὧν ἔγραψε τὸ πρῶτον, καὶ ἐξ ὧν ἔπραξεν ἔπειτα, ὅτι μακρὰν μὲν τῆς Ἀνατολικῆς Ἐκκλησίας ὑπάρχον, καὶ ὑπ' αὐτῆς τῆς Δυτικῆς ἀποκηρυττόμενον τὸ κακόν, οὐκ εἶχε βάλλειν ὁ Φώτιος, οὐδὲ λέγειν περὶ αὐτοῦ (τοῖς γὰρ ἐν Ῥώμῃ Ἐπισκόποις ἀπέκειτο τῆς Ὀρθοδοξίας ὑπερμαχῆσαι, ὥσπερ δὴ καὶ ἠγωνίσαντο ὑπὲρ αὐτῆς οἱ Νικολάου προκάτοχοι, μάλιστα δὲ πάντων Λέων ὁ Γ', οὐ πολὺ ἀπέχων Νικολάου (ἐπάπευσε γὰρ 795—816), περὶ οὗ ἴδε τὴν πρὸς τὸν Ἀκυληΐας Μητροπολίτην ἐπιστολήν, § γ')· ἐγγὺς δὲ γενόμενον, καὶ ὑπ' αὐτῶν τῶν τοῦ Πάπα ὑπηρετῶν ἀνακηρυττόμενον ἐν Βουλγαρίᾳ, ἔβαλε κατὰ κεφαλὴν οὕτω γενναίως καὶ καρτερῶς, ὥστε μὴ μόνον τότε τὴν διδασκαλίαν ἐκείνην μηδὲν τοὺς ἐν τῇ Ἀνατολῇ παραβλάψαι, ἀλλὰ καὶ ἐς τοὐπιὸν καὶ ἐσαεὶ ἀλύμαντον αὐτῶν τὴν Ὀρθοδοξίαν συντετηρῆσθαι. Τὸν οὖν Νικόλαον καὶ τοὺς δυσσεβεῖς ἐκείνου ὑπηρέτας, οὐχ' ὑπὲρ ἑαυτοῦ ἀμυνόμενος, ὡς Ἰάγερος βούλεται λέγειν, ἀλλὰ τῆς Ὀρθοδοξίας προασπίζων, τῷ ἀναθέματι ὑπέβαλεν, ἐκείνῳ χρησάμενος κατ' αὐτῶν τῷ ὅπλῳ, ᾧ καὶ Παῦλος τοὺς παρὰ τὴν Εὐαγγελικὴν διδασκαλίαν εὐαγγελιζομένους ἔβαλε, λέγων· "Ἀλλὰ καὶ ἐὰν ἡμεῖς, ἢ Ἄγγελος ἐξ οὐρανοῦ, εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω. Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω" (πρὸς Γαλάτ. Α', 8 καὶ 9). Καὶ ἔστιν ἄρα συνιδεῖν, ὅτι Παῦλος μὲν διπλοῦν καὶ φοβερὸν κατὰ τῶν εὐαγγελιζομένων παρὰ τὴν τοῦ Σωτῆρος διδασκαλίαν ἐξεβρόντησε τὸ ἀνάθεμα, Φώτιος δὲ ἁπλοῦν, ἐπιεικέστερον κολάζων τοὺς παρανομοῦντας.

[1] Περὶ Ἀρείου, Σαβελλίου, καὶ τῶν ἐφεξῆς αἱρετικῶν, Μακεδονίου, Νεστορίου καὶ λοιπῶν, ὅρα τὴν πρὸς τὸν Ἄρχοντα Βουλγαρίας ἐπιστολήν, ἐν ᾗ περὶ τῶν ἑπτὰ Οἰκουμ. Συνόδων καὶ τῶν δι' αὐτῶν καταβληθεισῶν αἱρέσεων ἐν ἐκτάσει καὶ ἀκριβείᾳ πραγματεύεται.

[2] Ἡμετ. διόρθωσις, ἀντὶ—δοξάζω—καὶ ἐν Τ. Χ. καὶ παρ' Ἰαγ. καὶ Μιγν. ὅπως συμφωνῇ πρὸς τὴν προηγουμένην Μετοχ.—κατατέμνων.

[3] Σημειώσεως ἄξιον τὸ τοῦ Παρακειμ. ἀναύξητον ἐνταῦθα τε καὶ μετ' οὐ πολὺ ἐπὶ τοῦ αὐτοῦ ῥήματος.

[4] Ἡμ. διόρθ. ἀντὶ—αὐτοῦ—καὶ ἐν Τ. Χ. καὶ παρ' Ἰαγ. καὶ Μιγν. Συχνοτάτη δὲ παρ' αὐτοῖς ἡ τοιαύτη τῶν Ἀντωνυμ. σύγχυσις.

Digitized by Google

ἀτομώσαντά τε ὑποστάσει καὶ ὑποστήσαντα σῶσαι τὸ ἀνθρώπινον γένος· σεσωσμένας τε ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ τὰς φύσεις θεότητος καὶ ἀνθρωπότητος, ἡνωμένας μὲν τῇ καθ' ὑπόστασιν ἑνώσει, ἀλλ' οὐ πεφυρμένας τῇ κατ' οὐσίαν ἀλλοιώσει· μίαν μὲν ὑπόστασιν Χριστοῦ, δύο δὲ φύσεις· καὶ ἑκατέρᾳ αὐτῶν τὸ ἴδιον ἀπονέμω θέλημα (δύο γὰρ θελήματα ἐπὶ Χριστοῦ ἀμείωτα, ὅτι καὶ δύο ἐνέργειαι)· τὸν αὐτὸν παθητὸν καὶ ἀπαθῆ, φθαρτὸν καὶ ἄφθαρτον, γραπτόν τε καὶ ἄγραπτον, τὰ μὲν οἰκειούμενος τῇ θεότητι, τὰ δὲ προσάπτων τῇ ἀνθρωπότητι· σταυρωθέντα ἑκουσίως ὑπὲρ ἡμῶν, καὶ πρόξενον ἡμῖν τῆς τοῦ θανάτου καταλύσεως τὸν τίμιον Σταυρὸν καὶ προσκυνητὸν παρασχόμενον· ταφέντα τε τὸν αὐτόν, καὶ νεκροῖς συναριθμηθέντα, καὶ τριήμερον κατὰ τὴν αὐτοῦ θεόφθεγκτον φωνὴν ἐκ τῶν νεκρῶν ἀναστάντα, καὶ τοῖς μαθηταῖς ὀφθέντα, καὶ τῷ συμφαγεῖν αὐτοῖς καὶ συμπιεῖν πᾶσαν ἀμφιβολίαν καὶ φαντασίας ὑπόληψιν τέλεον αὐτῶν ἀπεσκευακότα· εἶτα καὶ ἀναληφθέντα μετὰ τοῦ προσλήμματος, ἤγουν μετὰ τῆς ἐμψυχωμένης ψυχῇ νοερᾷ τε καὶ λογικῇ οἰκείας αὐτοῦ σαρκός· καὶ πάλιν ὡσαύτως ἐρχόμενον εἰς τὸ κρῖναι ζῶντας καὶ νεκρούς. Οὕτω γὰρ φησὶ τὸ ἱερὸν λόγιον· "Ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν."[1]

Ε'. *Οὕτω φρονῶν καὶ διομολογῶν ἀπαρατρέπτως τὴν ἐν τῇ Καθολικῇ τε καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ ἐφιδρυμένην τε καὶ κηρυσσομένην Πίστιν, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ Συνόδους ἀποδέχομαι. Τὴν μὲν πρώτην, ἅτε δὴ Ἄρειον καὶ τοὺς ὁμοφρονοῦντας αὐτῷ ἅμα τῇ βδελυκτῇ αὐτῶν κτισματολατρείᾳ[2] διαῤῥήξασάν τε καὶ καθελοῦσαν. Τὴν δὲ δευτέραν, ὡς τὸν φρενοβλαβῆ Μακεδόνιον τῆς Ἐκκλησιαστικῆς χοροστασίας ἐξοστρακίσασάν τε καὶ ἐκτεμοῦσαν,[3] Ἀρείῳ παραπλησίαν τὴν μανίαν[4] ἐκμεμηνότα· ἐν κτίσμασι γὰρ καὶ οὗτος τὸ πανάγιον καὶ παντουργὸν τιθεὶς Πνεῦμα, κτισματολατρεῖν οὐκ ἠσχύνετο. Ἀλλά γε δὴ καὶ τὴν τρίτην, καθαιρέτιν[5] οὖσαν τοῦ δυσσεβοῦς Νεστορίου καὶ τῆς αὐτῷ καινοποιηθείσης θεοστυγοῦς δεισιδαιμονίας.[6] Οὗτος γὰρ τὸν ἀδιαιρέτως

---

[1] Πράξ. τῶν Ἀποστόλων, κεφ. Α', 11.

* Ἅπασα ἡ παράγραφος αὕτη ἐκδέδοται ἐν τῷ ΙΒ' Τόμῳ τῆς Φαβρικίου Ἑλ. Βιβλ. (σελ. 349—351), ἐκ τῆς Συνόψεως τῶν ἁγίων καὶ οἰκουμ. Συνόδων παραληφθεῖσα. Ἐπεὶ δὲ πολλαχοῦ παρηλλαγμένον εὕρηται τὸ κείμενον, σημειοῦνται αἱ διαφοραί.

[2] Οὕτως ἐκ Φαβρικίου, ἀντὶ—ἅμα τῆς βδελυκτῆς αὐτῶν κτισματολατρείας.— Ὅμως δὲ σημειωτέον, ὅτι συχνότατα τὸ "ἅμα" εὑρίσκεται μετὰ Γεν. τότε συντασσόμενον. Οὕτως ἐν τοῖς Πρακτικοῖς τῆς ὀγδόης Συνόδου, τοῖς ἐν τέλει τοῦ παρόντος τεύχους παρηρτημένοις, ἡ μὲν Δοσιθέου ἔκδοσις πανταχοῦ σχεδὸν μετὰ Γεν. ἐκφέρει συντεταγμένον τὸ "ἅμα·" ἡ δὲ Ἀρδουΐνου καὶ Λαββαίου μετὰ Δοτ. ἐκ διορθώσεως τῶν ἐκδοτῶν μᾶλλον, ὡς ἔμοιγε δοκεῖ, ἢ ἐκ τοῦ ἀντιγράφου. Οὕτω δὲ καὶ ἐν ἐπιστ. Γ. (§ ή) ἰδεῖν ἐστιν, "ἅμα τῶν τιμιωτάτων τοποτηρητῶν."

[3] Παρὰ Φαβρ.—ἀποτεμοῦσαν·

[4] Παρὰ Φαβρ.—καὶ αὐτὸν μανίαν ἐκμεμηνότα.

[5] Παρὰ Φαβρ.—ὡς καθαιρέτιν—παρ' Ἰαγ. δὲ καὶ Μιγν.—καθαίρεσιν.

[6] Παρὰ Φαβρ.—αἱρέσεως.

Digitized by Google

καὶ καθ' ὑπόστασιν ἑνωθέντα τῷ Θεῷ Λόγῳ ὁλικὸν ἄνθρωπον τολμηρῶς καὶ ἀφρόνως τῆς θεϊκῆς τοῦ Λόγου διασπῶν ὑποστάσεως, ἰδιοϋπόστατον αὐτὸν ἑτερατολόγει τε καὶ ἐφαντάζετο· δι' ὃ καὶ ψιλὸν ἄνθρωπον τὸν σαρκὶ ἐπιφανέντα Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ ὀνειρώξας, ἀκολούθως ὁ τρισάθλιος καλεῖν τὴν παναγίαν Θεοτόκον Θεοτόκον κυρίως ἀπηρνήσατο.[1] Τὴν δὲ τετάρτην, ὡς τὸν δυστυχῆ[2] Εὐτυχῆ καὶ Διόσκορον τὸν ἀλάστορα καταῤῥάξασαν καὶ ἀναθεματίσασαν μετὰ τῆς φαντασιώδους αὐτῶν φρενοβλαβείας καὶ πάσης αὐτῶν τῆς συμμορίας.[3] Τὴν γὰρ τοῦ Κυρίου σάρκα μὴ εἶναι ἡμῖν ὁμοούσιον ἐληρῴδουν· ἀλλ' ἐκ δύο μὲν φύσεων τὴν ἕνωσιν γενέσθαι, εἰς μίαν δὲ μετὰ τὴν ἕνωσιν συναναλωθῆναι φύσιν, μηδετέρας ἀποσώζουσαν τὰ ἰδιώματα, μήτε τῆς θεϊκῆς, μήτε μὴν τῆς ἀνθρωπίνης.[4] Καὶ τὴν πέμπτην δέ, ὡς ἐκτεμοῦσάν τε καὶ ἀποτεφρώσασαν τέλεον τὰ ἐπ' ὀλέθρῳ τῶν γεγεννηκότων ἀναῤῥιπιζόμενα μιαρὰ δόγματά τε καὶ κυήματα τοῦ δυσσεβοῦς Νεστορίου,[5] τοῦ τῆς βασιλίδος ἀθέως ἱεραρχήσαντος, καὶ Θεοδώρου τοῦ Μοψουεστίας[6] ἀθεώτερον ἐπισκοπήσαντος, αὐτούς τε, καὶ πάντας τοὺς τὴν αὐτὴν αὐτοῖς ματαιοφροσύνην ἐκνοσήσαντας·[7] οὐ μὴν ἀλλά γε δὴ[8] καὶ ὡς διασπάσασάν τε καὶ ἐκθερίσασαν Ὠριγένην, Δίδυμον, Εὐάγριον, Ἑλληνόφρονι λογισμῷ καὶ ἀσυνέτῳ γνώμῃ εἰς ἔσχατον βυθὸν ἀθεότητος ἐμπεπτωκότας. Βαθμοὺς γὰρ καὶ ὑποβάσεις θεότητος ἀναπλάσαντες, καὶ ψυχῶν προϋπάρξεις, καὶ τῆς πρός τὸ θεῖον αὐτῶν νεύσεως ἀπορῥοίας τε καὶ ἀποπτώσεις ἐν ἑαυτοῖς ὑποστήσαντες, εἰς διάφορά τε καὶ πολυειδῆ σώματα μεταγγίζοντες[9] ταύτας καὶ μεταβάλλοντες, καὶ τέλος κολάσεων[10] καὶ δαιμόνων ἀποκατάστασιν,[11] τὸ δὴ λεγόμενον, ἀπὸ κοιλίας ἐρευγόμενοι, ἀθυροστόμως ἐμυθολόγησαν καὶ ἐῤῥαψῴδησαν.

---

[1] *Παρὰ Φαβρ.—καλεῖν καὶ τὴν παναγίαν Θεοτόκον Χριστοτόκον οὐκ ἠρυθρία.*

[2] *Παρὰ Φαβρ.—δυστυχέστατον.*

[3] *Παρὰ Φαβρ.—συμμοιρίας. Ἀλλὰ συμμοιρία μὲν οὐχ εὕρηται, συμμορία δὲ=ἑτερεία πολιτική, φατρία. Ἴδε ἐν τοῖς Λεξικοῖς.*

[4] *Παρὰ Φαβρ.—ἀλλ' ἐκ δύο μὲν φύσεων τὴν ἕνωσιν συναναλωθῆναι φησίν, μηδετέρας ἀποσωζούσης σῶα τὰ ἰδιώματα, μήτε τῆς θεϊκῆς μήτε τῆς ἀνθρωπίνης.*

[5] *Παρὰ Φαβρ.—τὰ καὶ πρώην μὲν ὑπὸ τῆς τρίτης Συνόδου σβεσθέντα, ἔτι δὲ ἀναῤῥιπιζόμενα πάλιν μιαρὰ δόγματα τοῦ δυσσεβοῦς Νεστορίου.*

[6] *Οὕτως ἐκ Φαβρ., ἀντὶ—Μομψουεστίας—ἔν τε Τ. Χ. καὶ παρ' Ἰαγ. καὶ Μιγν. Ἔστι δὲ ἡ Μοψουεστία (καὶ Μόψου ἑστία κατὰ Στράβωνα) πόλις τῆς Κιλικίας παρὰ τὸν Ἰσσικὸν κόλπον, ἀπὸ Μόψου τοῦ Ἀπόλλωνος καὶ Μαντοῦς λαβοῦσα τὸ ὄνομα. (Στράβ. Τόμ. Γ', σελ. 65 καὶ 66, ἔκδ. Κοραῆ.)*

[7] *Παρὰ Φαβρ.—ἀλλὰ μὴν καὶ αὐτοὺς πάντας τοὺς τὴν τοιαύτην ματαιοφροσύνην νοσήσαντας.*

[8] *Παρὰ Φαβρ.—ἔτι δὲ καὶ ὡς διασπάσασαν.*

[9] *Ἡμετ. διόρθ. ἀντὶ—μετεγγίζοντες—ἔν τε Τ. Χ. καὶ παρ' Ἰαγ. καὶ Φαβρ. Μετεγγίζω γὰρ οὐχ εὕρηται· μεταγγίζω δὲ=μεταφέρω ἀφ' ἑνὸς εἰς ἄλλο ἄγγος ἢ ὠγγεῖον. Ὀψὲ δὲ καὶ παρὰ Μιγνίῳ—μεταγγίζοντες—εὑρίσκομεν τοῦτο γεγραμμένον.*

[10] *Παρὰ Φαβρ.—κολάσεως.*

[11] *Παρὰ Φαβρ.—ἀποκαταστάσεις.*

Digitized by Google

Ἀλλὰ καὶ τὴν ἕκτην, ὡς ἀπορρίψασάν τε καὶ κατασπάσασαν τοὺς ἀμφὶ Ὀνώριον καὶ Σέργιον καὶ Μακάριον, τοὺς τερατολόγους καὶ παράφρονας, ἅμα δ' αὐτοῖς[1] καὶ τοὺς τὴν αὐτῶν δυσσέβειαν ἀκρατῶς ἐναπομαξαμένους, μετὰ τῆς ἐκφύλου καὶ ἀλλοκότου αὐτῶν πλασματολογίας. Ἓν γὰρ θέλημα καὶ μίαν ἐνέργειαν τῷ ἐκ δύο ἀπαρατρέπτων φύσεων πεφυκότι Χριστῷ τῷ Θεῷ ἡμῶν κακῶς οἱ δείλαιοι ἐπεγράφοντο. Ἔτι δὲ καὶ τὴν ἐν Νικαίᾳ τὸ δεύτερον ἱερὰν καὶ μεγάλην Σύνοδον,[2] τοὺς εἰκονομάχους, καὶ διὰ τοῦτο Χριστομάχους καὶ ἁγιοκατηγόρους, ἀποσκυβαλίσασάν τε καὶ καταβαλοῦσαν, σὺν αὐτοῖς δὲ καὶ τὴν βδελυκτὴν καὶ Μανιχαϊκὴν αὐτῶν αἵρεσιν. Τὸ γὰρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμοούσιον ἡμῖν ἅγιον σῶμα γράφειν εἰκονικῶς ἐμυσάττοντο, τὸ ἄγραπτον καὶ ἀπερίγραπτον[3] αὐτοῦ καταβακχεύοντες, καὶ διὰ τοῦτο μὴ εἶναι ἡμῖν ὁμοούσιον μανικῶς συμπεραίνοντες. Ταύτας οὖν τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ Συνόδους ἀποδέχομαι, ἀναθεματίζων[4] μὲν οὓς ἀνεθεμάτισαν, κατασπαζόμενος δὲ[5] καὶ μεγαλύνων οὓς ἐπευφήμησαν.

στ'. Αὕτη μου ἡ τῆς Πίστεως καὶ τῶν εἰς ταύτην ἀνηκόντων καὶ περὶ αὐτὴν ὑφισταμένων ὁμολογία, καὶ ἐν ταύτῃ ἡ ἐλπίς· οὐκ ἐμοὶ δὲ μόνον, ἀλλὰ καὶ πᾶσιν, ὅσοις εὐσεβεῖν μεμελέτηται,[6] καὶ τῆς καθαρᾶς καὶ ἀκιβδήλου δόξης τῶν Χριστιανῶν θεῖος ἔρως προσπέφυκεν ἔχεσθαι. Ταύτην οὖν ἡμῶν τὴν ἔγγραφον τῆς Πίστεως ὁμολογίαν ὑποστήσαντες, καὶ τῇ Ὑμῶν πανιέρῳ ἱερότητι τὰ καθ' ἡμᾶς, ὡς ἐν πίνακι διαχαράττοντες, τοῖς λόγοις ἀνιστορήσαντες, ὅπερ δὴ πολλάκις ἠτησάμεθα, τῶν ὑμετέρων ἐπιδεόμεθα προσευχῶν, Θεὸν μὲν ἵλεων καὶ εὐμενῆ ἐφ' οἷς τε πράττομεν, καὶ διεπραξάμεθα, ἡμᾶς ἐφευρεῖν, πᾶσαν δὲ σκανδάλων ῥίζαν καὶ πέτραν προσκόμματος ἐκποδὼν γεγενημένα τῆς Ἐκκλησιαστικῆς εὐταξίας καθορᾶν· ποιμαίνεσθαί τε καλῶς τὸ ὑπήκοον, μὴ τῷ πλήθει τῶν ἡμετέρων ἁμαρτημάτων τὴν ἐκείνων ἐπ' ἀγαθῷ προκοπὴν ἀνακόπτεσθαι, ὡς ἐντεῦθεν ἡμῖν πολλαπλάσιον τὸ ἁμάρτημα καταγράφεσθαι. Ἀλλ' εἶην μὲν αὐτοῖς ἔγωγε καὶ ποιῶν καὶ λέγων ἐν διδασκαλίᾳ τὰ δέοντα·[7] εἶησαν δὲ καὶ αὐτοὶ εὐπειθῶς τε καὶ εὐηνίως πρὸς τὴν ἑαυτῶν σωτηρίαν

---

[1] Παρὰ Φαβρ.—ἅμα δὲ καὶ τοὺς τὴν αὐτῶν δυσσέβειαν. Ἰάγ. δὲ—τοὺς τερατολόγους καὶ παράφρονας ἅμα αὐτοῖς, καὶ τοὺς τὴν αὐτῶν δυσσέβειαν κ.τ.λ.

[2] Παρὰ Φαβρ.—ἱερὰν καὶ μεγάλην ἑβδόμην Σύνοδον, ὡς τοὺς κ.τ.λ.

[3] Ταύτην προειλόμην τὴν γραφὴν ἐκ Φαβρ. ἀντὶ—περιγράπτου—ἔν τε Τ. Χ. καὶ παρ' Ἰαγ. καὶ Μιγν.

[4] Καὶ αὕτη ἐκ Φαβρ. ἡ γραφή, ἀντὶ—ἀναθεματίζω—ἔν τε Τ. Χ. καὶ παρ' Ἰαγ. Καὶ Μίγνιος δὲ κατὰ Μετ. ἔγραψεν—ἀναθεματίζων.

[5] Παρὰ Φαβρ.—κατασπαζόμενος δὲ ἔμπαλιν.

[6] Παρὰ Φαβρ.—ἐν ταύτῃ μοι ἡ ἐλπίς, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσιν κ.τ.λ.

[7] Καὶ ποιῶν καὶ λέγων ἐν διδασκαλίᾳ τὰ δέοντα. — Τοῦτο γὰρ ὀφείλει εἶναι κατὰ τὸν θεόπνευστον Παῦλον ὁ ποιμὴν ὁ καλός· "τύπος τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ" (πρὸς Τιμόθ. Α' Ἐπιστ. Δ', 12). Ὁ δὲ μὴ ἔργῳ τύπος τῶν πιστῶν γινόμενος, λόγῳ δὲ μόνῳ παραινῶν, δικαίως ἀκούσεται τὸ—"Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδά-

Digitized by Google

ἀναγόμενοι, καὶ Χριστῷ, τῇ πάντων κεφαλῇ, προσφυῶς συναρμολογούμενοι, τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ χρηστότητι. Ὦ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, τῇ ζωαρχικῇ καὶ ὁμοουσίῳ Τριάδι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΠΙΣΤΟΛΗ Β'.—2.

Η ΕΝΘΡΟΝΙΣΤΙΚΗ ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΦΩΤΙΟΥ ΠΡΟΣ ΤΟΝ ΘΡΟΝΟΝ ΑΝΤΙΟΧΕΙΑΣ[1]

Τοῖς *θεοφιλεστάτοις, θειοτάτοις συλλειτουργοῖς, τῷ θεοσεβεστάτῳ Οἰκονόμῳ καὶ Συγκέλλῳ τῆς Θεουπολιτῶν*[2] *Ἐκκλησίας,* ΦΩΤΙΟΣ, *Ἐπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης.*

Μεγίστων μὲν ἄνωθεν τετυχηκότες ἀγαθῶν, ὧν ὁ λόγος τὴν τῶν ἐννοιῶν διαδιδράσκειν κατάληψιν πέφυκεν, ὅμως ἐν εὐχαριστίᾳ διατελεῖν ἀποτολμῶμεν ἅπαντες, οἷς οἱ τῆς εὐσεβείας σπινθῆρες οὐκ ἀπεσβέσθησαν. Οὐδὲ γὰρ οὐδ' ἀνθρώπινος καταλήψεται λογισμός, ἢ λόγος ἐξαρκέσει διασημᾶναι τὸν ὑπερανῳκισμένον πλοῦτον τῆς τοῦ δημιουργοῦ χρηστότητος, ἀνεξερεύνητον μὲν ὄντα νοήσεσιν, ἀδιήγητον δὲ γλώσσαις τηρούμενον. Οὕτω δὴ πολλῶν ὑπερανεστηκότων εὐεργεσιῶν,[3] *καὶ τῷ ἀλήπτῳ θαυμαζομένων, καὶ ταύτῃ*

σκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς; ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις; τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν κ.τ.λ." (πρὸς Ῥωμ. Β', 21 κ. ἑξ.)

[1] *Ταύτην πρῶτος ἐξέδωκε Δοσίθεος ἐν Τόμῳ Χαρᾶς* (σελ. 5—9)· *ἐπ' ἐσχάτων δὲ καὶ Μίγνιος, ἰδίαν ταύτης ἕνεκα ποιησάμενος προσθήκην ἐν τέλει τῶν Φωτίου ἐπιστολῶν· ἐν γὰρ τῷ οἰκείῳ τόπῳ τρίτην ταύτην καταριθμῶν, οὐκ ἠδυνήθη συνεκδοῦναι ταῖς ἄλλαις ἀπορίᾳ τοῦ κειμένου· ἔπειτα μέντοι ἀνευρὼν αὐτὴν ἐν τέλει προσέθηκεν.* (*Ἴδε ἐν τῇ Πατρολογίᾳ αὐτοῦ τὸν Β' Τόμον τῶν Φωτίου συγγραμμάτων, σελ. 617 καὶ 1017.*) *Οὐ μόνον δὲ πρὸς τὸν θρόνον Ἀντιοχείας, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους Πατριαρχικοὺς θρόνους ἀπεστάλη κατὰ τὸ εἰωθὸς τοιαύτη τις ἐπιστολή· ἀλλ' αὕτη μόνη, ὡς ἔοικε, περιεσώθη, τῶν ἄλλων ἀπολομένων, ἢ καὶ σωζομένων που ἐν χειρογράφοις, οὐ μέντοι γινωσκομένων. Ἔχει δὲ τὴν αὐτὴν τῇ προτέρᾳ ὑπόθεσιν, τήν τε ἀνάβασιν εἰς τὸ Πατριαρχικὸν ἀξίωμα, καὶ τὰ κατὰ τὴν ἐκλογὴν γενόμενα ἐν εἰλικρινείᾳ ἐξιστοροῦσα, καὶ τελευταῖον τὴν τῆς Πίστεως ὁμολογίαν, οἵαν καὶ ἐν ἐκείνῃ, περιέχουσα.*

[2] *Θεουπολίτας τοὺς Ἀντιοχεῖς λέγει. Τὴν γὰρ Ἀντιόχειαν ὁ Αὐτοκράτωρ Ἰουστινιανὸς Θεούπολιν μετωνόμασεν, ὅτε ταύτην ὑπο δεινοῦ σεισμοῦ καταπεσοῦσαν ἀνῳκοδόμησεν.* (*Θεοφ. Χρονογρ. Τόμ. Α', σελ. 272—3. Γεώργιος Κεδρηνὸς ἐν τῇ Συνόψει τῶν Ἱστοριῶν, Τόμ. Α', σελ. 646. Ὅρα δὲ καὶ Μελετ. Ἐκκλ. Ἱστορ. Τόμ. Β', σελ. 88.*)

[3] *Σχῆμα τοῦτο κατὰ συνωνυμίαν, ὡς οἱ Γραμματικοὶ λέγουσιν, ἀντὶ—ὑπερανεστηκότων εὐεργετημάτων—κατά τε τὸ Ὁμηρικὸν ἐκεῖνο "Νεφέλη κυανέη· τὸ μὲν οὔποτ' ἐρωεῖ"* (*Ὀδ. Μ. 74*) *καὶ τὸ τοῦ Θουκυδίδου "Ἡ νόσος πρῶτον ἤρξατο . . . . λεγόμενον"* (*Β', 47*)· *περὶ ὧν ἴδε Ἀσωπ. "Περὶ Ἑλλην. συντάξεως" σελ. 805—7.*

Digitized by Google

ταύτην τὴν δοξολογίαν, εἰ μή τινα ἄλλην, ἐξ ἡμῶν αὐτοῖς προσοικειουμένῳ, ἔτι μᾶλλον ἐξαισίως διανυμνεῖται καὶ μεγαλύνεται τὸ τῆς καθ' ἡμᾶς Ἱεραρχίας μυστήριον. Καὶ γὰρ ἁπάσης εὐεργεσίας τε καὶ φιλανθρωπίας καὶ τῆς πρὸς ἡμᾶς θεόθεν φιλοτιμίας πολὺ τὸ ὑπερκείμενον ἀποφέρεται. Φοβερὸν μὲν γάρ ἐστι νοούμενον, ἐπιθυμητὸν δὲ ταῖς ἀσωμάτοις καὶ θείαις δυνάμεσιν. Καὶ τίς ἂν ἐννοῶν εἰς τοσοῦτον ὕψος ἐπαιρομένην τὴν ἀνθρωπίνην εὐτέλειαν μὴ ἐκπλαγείη τὸν λογισμόν; καὶ τάξεως ἐπειλημμένην[1] Ἀγγελικῆς καθορῶν, οὐκ ἂν ἐκσταίη τοῦ καθεστηκότος; πηλίνας χεῖρας τοῦ ἀστέκτου περιδρασσομένας πυρός, καὶ πόδας γεηροὺς σαρκὶ διηρτυμένους[2] τὸν ἱερὸν περιστείχοντας χῶρον, χωροῦντάς τε ἀνθρώπους (ὦ τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ κηδεμονίας!) εἰς τὰ τῶν ἀδυνάτων[3] ἐνδότερα, καὶ τὴν φρικώδη καὶ ἀναίμακτον θυσίαν ἐναίμοις μὲν τελοῦντας παλάμαις, οὐ καταφλεγομένους δὲ τῷ ἐγχειρήματι; Τίς τὰ τοιαῦτα καθορῶν, οὐκ ἂν χάριτι κρείττονι καὶ τῇ ἄνωθεν δωρεᾷ ἀδιαφθόρους διατηρεῖσθαι τοὺς τὴν τοιαύτην ἐγχειριζομένους λειτουργίαν μεγάλῃ τῇ φωνῇ ἀνομολογήσειεν;[4] Ἀλλὰ ταῦτα μὲν ἐμοὶ μελετῶντι καὶ πολλάκις διερευνωμένῳ δέος ἐπῄει καὶ μόνῳ προσβάλλειν λογισμῷ τῇ τοιαύτῃ διακονίᾳ τῆς πράξεως· μεγάλου δὲ μᾶλλον καὶ τοὺς καθυπηρετοῦντας ἠξίουν τοῦ θαύματος, καὶ ὅπως τὸ θαῤῥεῖν ἐν τούτοις ἔχουσι κατεπληττόμην. Ἀλλὰ γὰρ τὸ φοβερὸν οὐκ ἐξέφυγον· καὶ ὑπὸ τῆς προφυλαττομένης ἀνάγκης ἀλοὺς λόγοις, οἷς ὁ συγχωρήσας μόνος ἐπιστατῶν προεμηθήσατο, ἀθυμίᾳ τε καὶ πολλῇ τῇ ἀμηχανίᾳ πιέζομαι. Οἶμαι γὰρ καὶ τοὺς πρὸ πείρας ἐρῶντας ταυτησὶ τῆς λειτουργίας, ἐπειδὰν εἰς μέσον αὐτοῖς τῶν ἔργων καταστῆναι παραχωρηθῇ, ἀπονεύειν τε καὶ μεταμελεῖσθαι ἐφ' οἷς ἠβουλήθησαν πρότερον. Ὅταν δέ τις[5] καὶ πρὸ τῆς πείρας τοῦ πράγματος βαρύ τε καὶ δυσβάστακτον ἐκλογίζοιτο, φόβοι τε καὶ δείματα τοῦ μήποτε ἄρα τὸ τοιοῦτον ἀπροόπτως ἐπελεύσεσθαι τῇ ψυχῇ προσαρασσόμενα, οὐδὲ πρὸς αὐτὴν τὴν μελέτην παρέχουσι τὸ ἀτάραχον (ψυχὴ γάρ πως πέφυκε τῶν ἐσομένων προμαντεύεσθαι τὴν ἀπόβασιν, μάλιστά γε εἴπερ τῶν ἀηδῶν καὶ λυπούντων εἴη τὰ ὑφορώμενα)· ὅταν οὖν τινι ταῦτα καὶ προεπισκοπούμενα οὕτω συστρέφῃ καὶ διαδονῇ τὴν διάνοιαν, τί οὐκ ἂν αὐτὸς πάθοι, ταῦτα τῇ πείρᾳ καρπούμενος, ὧν ἡ μελέτη πρότερον τὸν λογισμὸν ἐκταράσσουσα πρὸς τὴν λειτουργίαν τοῦ πράγματος παντελῶς ἀνεχαίτιζεν; Δεῖ δ' οὖν ὅμως πρὸς τὴν Ὑμετέραν Ὁσιότητα γράφειν ἀπαρχόμενον μηδὲν τῶν καθ' ἡμᾶς ἀποκρύψασθαι, ὡς ἂν ταῦτα ἐκμανθάνουσα εὐχαῖς τε μὴ διαλίπῃ ἐπαλείφουσα, καὶ τὸν πολὺν τάραχον τῆς ψυχῆς κατευνασθῆναι παρασκευάσειεν.

---

[1] Ἡμ. διόρθ. ἀντὶ—ἐπιλειμμένην—ἐν Τ. Χ. Οὕτω δὲ καὶ Μίγν. διωρθώσατο.

[2] Ἡμ. διόρθ. ἀντὶ—διηρτημένους—ἔν τε Τ. Χ. καὶ παρὰ Μιγνίῳ.

[3] Ἴσως γραπτέον—ἀδύτων.

[4] Ἡμ. διόρθ. ἀντὶ—ἂν ὁμολογήσειεν—παρ' ἀμφοτέροις τοῖς ἐκδόταις.

[5] Τοῦτο ἡμαρτημένως γεγραμμένον ἐν Τ. Χ. "ὅταν δέ σν," Μίγνιος μὲν διὰ τοῦ "ὅταν δὲ τὸ" διωρθώσατο· ἐγὼ δὲ νομίζω γραπτέον εἶναι "ὅταν δέ τις·" ἡ γὰρ τοιαύτη διόρθωσις ἀνάλογός ἐστι πρὸς τὸ ἐν τῇ ἀποδόσει τοῦ λόγου ἐπαναλαμβανόμενον, "ὅταν οὖν τινι ταῦτα . . . συστρέφῃ καὶ διαδονῇ τὴν διάνοιαν·" περιέκλεισα δ' ἐν παρενθέσει τὸ "ψυχὴ γὰρ . . . . ὑφορώμενα," ἥπερ ἐλλείπουσα παρὰ τοῖς ἄλλοις, ἀσάφειαν ἐπάγει καὶ σύγχυσιν.

Digitized by Google

β'. Νεαρᾶς μὲν οὖν ἔτι τῆς ἡλικίας οὔσης, ἔρως τοῦ μονήρους συνήκμαζε βίου, εἰ καὶ τῶν οἰκείων τρόπων πρὸς αὐτὸν ἡ διαφωνία τῷ τοιούτῳ[1] ἀντιπράττουσα ἔρωτι, μέχρι πολλοῦ τὰ τῆς ἐπιθυμίας διετίθη ἀνενέργητα· καίτοι πολλῶν ὑπαρχουσῶν ὑποθέσεων, ἐξ ὧν ἐχρῆν τὰ τῆς βουλήσεως μηδ' ἁφαμαρτεῖν τοῦ τέλους. Ἦν γὰρ καὶ πατὴρ τὸ πρόσθεν ἐπ' ἀρετὴν προσκαλούμενος,[2] ὃς ἕνεκα δόξης ὀρθῆς καὶ πίστεως ἀληθοῦς πλούτῳ μὲν καὶ ταῖς τῶν ἀξιωμάτων περιφανείαις μακρὰ χαίρειν εἰπών, καὶ πάντα παθών, ἵνα μὴ κατὰ μέρος λέγω, ἐν αὐτῷ τῷ μαρτυρίῳ ὑπερορισθεὶς τετελείωται· καὶ μήτηρ φιλόθεός τε καὶ φιλάρετος,[3] καὶ τοῦ ἀνδρὸς φιλονεικοῦσα κατὰ μηδὲν ἐν τούτοις ἀπολιμπάνεσθαι. Ἀλλὰ πρὸς μὲν τὴν Μοναχικὴν πολιτείαν ταῦτά τε καὶ τοιαῦτα ἕτερα προσῆν ἐφελκόμενα· ἀνθεῖλκον δὲ καὶ μὴ βουλόμενον κοσμικαὶ φροντίδες, καὶ πολιτικῶν ἀξιωμάτων τιμαί, ἃς ἐμοὶ βασιλικὴ χεὶρ καὶ βασιλικὸν ἐπανετίθη θέλημα. Ἀλλ' ἐκεῖνα μὲν παρεληλυθότα καὶ γράφοντες παρατρέχομεν· τὰ δὲ νῦν ἐπισυμβάντα, πολλῆς μὲν ἐπιδεόμενα τῆς διηγήσεως, τῆς μνήμης δὲ τῶν λυπηρῶν ἐπὶ πολὺ διατρίβειν τούτοις οὐκ ἐνδιδούσης, ὡς οἷόν τέ ἐστι ταῦτα διηγούμενος βραχυλογίᾳ ἀποχρήσομαι.

γ'. Ἄρτι γὰρ τοῦ πρὸ ἡμῶν ἱερατεύειν λαχόντος τῆς τοιαύτης ἀξίας ὑπεκστάντος, ποιμένος δὲ πρὸς ἁπάντων ἐπιζητουμένου, τοῦ καὶ τὰ διεσπασμένα μέλη τῆς Ἐκκλησίας συνάψαι δυναμένου, καὶ τὴν τῶν πραγμάτων κατευνάσαι ταραχήν (ἦσαν γάρ, ἦσαν ποικίλοι τε καὶ παντοδαποὶ κατὰ τὴν Ἐκκλησίαν σάλοι καὶ κλύδωνες), ὥ τῆς εἰς ἡμᾶς φιλοτίμου ἐπηρείας! τῇ ἡμῶν ἀσθενείᾳ καὶ μετριότητι ὅ τε βασιλεὺς αὐτός, καὶ ὁ τῶν ἱερέων ἐπιτίθεται σύλλογος, ἀπαραιτήτως ἐκβιαζόμενοι τὸν τῆς Ἀρχιερωσύνης ζυγὸν ἀναδέξασθαι. Ἡμῶν δὲ δάκρυσι καὶ ἱκεσίαις ἐκλιπαρούντων πλείοσιν ἐνδοῦναι μὲν τῆς βίας, ἑτέροις δὲ τὴν ψῆφον ἐπιθεῖναι (ἀλλὰ πῶς τὸ ἑξῆς διηγήσομαι;), οὐδὲ πρὸς βραχὺ ταῖς ἱκεσίαις ἐπικάμπτονται. Ἐπὶ πολλὰς δὲ τὰς ἡμέρας ἡμῶν μὲν ἀναβαλλομένων πρὸς τὴν ἐγχείρησιν, ἐκείνων δὲ μὴ μεθιέντων τοῦ βιάζεσθαι, κρατεῖ τῶν πλειόνων τὸ βούλημα.[4] Ὅσον γὰρ ἡμεῖς ἐνιστάμεθα, τοσοῦτον αὐτοῖς ἡ ἐπίθεσις ἐπηύξετό τε καὶ ἐξήρετο. Ἤδη γὰρ καὶ ἡ ψῆφος χειρογραφούντων, καὶ τὸν τύπον τοῦ τιμίου προτιθέντων

---

[1] Ἡμ. διόρθ. ἀντὶ—τῶν τοιούτων—παρὰ τοῖς ἄλλοις. Καὶ διορθοῦται μὲν ἐν τοῖς τῶν Ἀμφιλοχ. Προλεγομένοις (σελ. νθ' σημ. β')—τῷ τῶν τοιούτων·— ἀλλ' ἄμεινον δοκεῖ μοι ἐνικῶς τοῦτο γράφειν, ὡς πρὸς ἕν τι ἀναφερόμενον, καὶ τοῦτο ὡρισμένον,—"ἔρως τοῦ μονήρους βίου."

[2] Ἴσως γραπτ.—προκαλούμενος.

[3] Ἡμ. διόρθ. ἀντὶ—φιλάρεστος—. Καὶ τοῦτο δὲ ἐν τοῖς Ἀμφιλ. Προλεγ. (ἔνθ. ἀνωτ.) διορθοῦται—θεάρεστος—. Ἀλλὰ δοκεῖ μοι τὴν διόρθωσιν "φιλάρετος" μᾶλλόν τε προσεγγίζειν τῇ τοῦ κειμένου "φιλάρεστος," καὶ ἅμα πολλὴν ἔχειν τὴν ἀναλογίαν πρὸς τὸ παρακείμενον "φιλόθεος." Ἄλλως τε δέ, τὸ μὲν γινώσκειν, εἴ τις φιλάρετος (=φίλος τῆς ἀρετῆς) ἀνθρώπινον πάντως· τὸ δέ, εἰ θεάρεστος (=Θεῷ ἀρεστός) οὐκ ἀνθρώπινον, ἀλλὰ θεῖον. Ὀψὲ δὲ καὶ Μίγνιον εὑρίσκω τὴν αὐτὴν ἐμοὶ πεποιηκότα διόρθωσιν.

[4] Δύο ὅλοι παρῆλθον μῆνες ἀπὸ τῆς Ἰγνατίου ἐκθρονίσεως μέχρι τῆς Φωτίου χειροτονίας (Ἴδε ἀνωτ. Προλεγ. § κδ' καὶ κέ· ἔτι δὲ καὶ Ed. de Murald—Essai de Chronographie Byzantine, p. 434. St. Petersbourg, 1855). Ἐντεῦθεν δὲ ῥᾴδιόν ἐστι κατανοῆσαι, ὁπόσην τε ὑπέστη βίαν, πανταχόθεν ἐκβιαζόμενος τὴν Πα-

Digitized by Google

Σταυροῦ, παρὰ πάντων ἱερέων τε καὶ Ἀρχιερέων διεπράττετο τέλος. Τί γὰρ χρὴ τοῖς τότε συνενεχθεῖσι χρονοτριβεῖν τοῖς τῶν δακρύων περιῤῥαινομένῳ ὀχετοῖς; Οὐκ οἶδ', εἴτε προνοίᾳ Θεοῦ, εἴτ' ἐπ' ἐλέγχῳ τῶν ἡμετέρων ἁμαρτημάτων, τὸν τῆς Ἀρχιερωσύνης ζυγὸν ἐπιφορτίζουσιν, ἑνὶ μόνῳ μικρὰν τῆς ἀθυμίας παραψυχὴν ἐφευρίσκοντι· ὅτι, σχεδὸν εἰπεῖν, πρὸς ἀλλήλους διαφερομένων ἁπάντων, καὶ ἀλλήλων ἀποτέμνεσθαι καὶ ἀπορῥήγνυσθαι φιλονεικούντων, ὁμοφροσύνη τις καὶ ὁμογνωμοσύνη ταῖς αὐτῶν ἐμφυεῖσα ψυχαῖς τὰ διεσκορπισμένα συνῆγε, καὶ τὰ διερῥωγότα συσφίγγουσα τὴν προτέραν ὁμόνοιαν ἐχαρίζετο.

δ'. Καὶ νῦν τὴν Ὑμετέραν Ἀρχιερατικήν τε καὶ Ἱερατικὴν Ὁσιότητα εἰς πρεσβείαν πρὸς τὸν τῶν ὅλων κινοῦμεν Δεσπότην, ἀκαταγνώστως μὲν τὸ καθ' ἡμᾶς διαθεῖναι, ἀκαταγνώστως δὲ τὴν ἐμπεπιστευμένην διϊθῦναι ποίμνην, καὶ τῆς ἐκεῖθεν εὐτυχῆσαι μακαριότητος. Ἵνα δὲ καὶ ἡ κοινωνία τῆς Πίστεως τὴν ἐν ἀγάπῃ κοινωνίαν ἀῤῥαγῆ τε καὶ ἀνόθευτον διαφυλάττοιτο, ταύτην τῇ Ὑμετέρᾳ θεοσυλλέκτῳ Ὁσιότητι ἀνακοινώσασθαι ἐδικαιώσαμεν.

Πιστεύω τοιγαροῦν εἰς ἕνα Θεόν, τέλειον, τελειοποιὸν Πατέρα, Υἱόν, καὶ Πνεῦμα ἅγιον. κ.τ.λ.—ὡς ἐν τῇ πρώτῃ πρὸς τὸν Πάπαν Νικόλαον ἐπιστολῇ.—

ΕΠΙΣΤΟΛΗ Γ'.—3.

Ἡ Ἀπολογητικὴ Ἐπιστολὴ τοῦ ΦΩΤΙΟΥ πρὸς τὸν Πάπαν ΝΙΚΟΛΑΟΝ, ἐν οἷς ἐμέμψατο αὐτῷ διὰ τὴν πρὸς τὸν θρόνον Κωνσταντινουπόλεως ἀναβίβασιν. [1]

Τῷ τὰ πάντα ἁγιωτάτῳ, ἱερωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ,
ΝΙΚΟΛΑΩι Πάπᾳ τῆς Πρεσβυτέρας Ῥώμης,
ΦΩΤΙΟΣ Ἐπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης.

Ἀγάπης μὲν ὡς ἀληθῶς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ τιμιώτερον, καὶ ταῖς κοιναῖς

τριαρχείαν ἀποδέξασθαι, καὶ ὁπόσον ἀνθίστατο ἀρνούμενος. Ἀλλ' οὐδὲ τοῦτο συνορᾷν οἱ ἀσύνετοι βούλονται Φωτιομάχοι, μάλιστα δὲ πάντων ὁ πάντων θρασύτατος Ἰάγερος, προσποίησιν εἶναι λέγων τὴν ἄρνησιν, καὶ ἄλλα τοιαῦτα φλυαρῶν, ἅπερ ἐν τοῖς ἔμπροσθεν (Προλ. § κέ) ἐσημειωσάμεθα.

[1] Αὕτη κατὰ Βαρώνιον ἐν ἔτει 861 γέγραπται. Ἐκδέδοται δὲ τὸ μὲν πρῶτον ἐν Τόμῳ Χαρᾶς, ἐπ' ἐσχάτων δὲ ἔν τε τῇ Ἰαγέρου Ἱστορίᾳ καὶ τῇ Μιγνίου Πατρολογίᾳ· ἀλλ' οὐδὲν οἱ τελευταῖοι ἐκδόται ἄμεινον αὐτὴν τοῦ πρώτου ἐκδεδώκασιν, ὡς τὰ πλεῖστα τῶν κακῶς γεγραμμένων ἀδιόρθωτα καταλιπόντες. Μετεφράσθη δὲ Λατινιστὶ μὲν ὑπὸ Βαρωνίου (ann. 861 n. XXXIV), Γαλλιστὶ δὲ ὑπὸ Ἰαγέρου (Hist. de Photius, p. 59—76), ὃς δὴ κατὰ τὸ εἰωθὸς αὐτῷ τε καὶ τοῖς ἄλλοις τῶν Παπιστῶν μακρὰ προοιμιασάμενος, ἅμα μὲν θαυμάζει τῆς ἐπιστολῆς ταύτης τὸ εὐφραδὲς καὶ ῥητορικόν, ἅμα δὲ Φώτιον συκοφαντεῖ, ὡς τἀναντία τοῖς λεγομένοις πράττοντα. Πολλαχοῦ δὲ τῆς ἐπιστολῆς καὶ ἰδίας προστίθησι κρίσεις, ἐν αἷς

Digitized by Google

ἐννοίαις ἀνωμολόγηται, καὶ τοῖς θείοις λογίοις ἐπιμαρτύρεται.[1] Δι' αὐτῆς γὰρ τὰ διεστῶτα συνάπτεται, καὶ εἰρηνοποιεῖται τὰ μαχόμενα, καὶ τὰ οἰκεῖα μᾶλλον συσφίγγεται, ταῖς στάσεσι καὶ ταῖς φιλονεικίαις πάροδον οὐ παρεχόμενα. Αὕτη γὰρ οὐ λογίζεται τὸ κακόν, ἀλλὰ πάντα στέγει,[2] πάντα ὑπομένει, καὶ οὐδέποτε κατὰ τὸν μακάριον Παῦλον ἐκπίπτει.[3] Αὕτη καὶ θεράποντα ἐξημαρτηκότα δεσπόταις καταλάσσει, τὴν ὁμοτιμίαν τῆς φύσεως εἰς ἀπολογίαν προβαλλομένη τοῦ ὀλισθήματος. Αὕτη καὶ δεσποτῶν ἀγριαίνοντα θυμὸν πράως φέρειν τοὺς ὑπηρετουμένους παιδεύει, τὴν τῆς τύχης ἀνισότητα παραμυθουμένη ἀπὸ τῆς τῶν τὰ αὐτὰ[4] πασχόντων ὁμοιότητος· καὶ πατρὸς ἐπὶ τέκνοις παροργισμὸν ἱλαρύνει,[5] καὶ γογγυσμὸν τέκνων τοῖς πατράσιν ἀλύπως παρακαλεῖ καταδέχεσθαι, τὴν φυσικὴν σχέσιν κατὰ τῆς παρὰ φύσιν λύσσης ὁπλίζουσα· καὶ φίλοις ἔριν ἐμπεσοῦσαν ῥαδίως ἀπώσατο, τοὺς κοινοὺς ἅλας[6] ἴσα φύσεως δυσωπεῖσθαι παραινέσασα. Καὶ τοὺς τὴν αὐτὴν πάλιν περὶ τὸ θεῖον δόξαν κρατύνοντας, κἂν ὡς πορρωτάτω παροικοῦντες ὦσι, κἂν ὀφθαλμοῖς ἀλλήλων οὔπω ὡράθησαν, εἰς ἕνωσιν ἄγει, καὶ γνώμαις συνάπτει, καὶ φίλους ἀληθεῖς ἀπεργάζεται. Κἄν που τύχοι θάτερον[7] εἰς ἀπερισκέπτους μέμψεις θατέρου κατολισθῆσαι, τὸν μὲν μὴ λογίσασθαι, τὸν δὲ μεταμελεῖσθαι παρασκευάσασα, ῥᾷστα

προφανέστατα τοὺς Φωτίου λόγους παρερμηνεύει, καὶ ἐπιφωνήματα παντοῖα παρεμβάλλει, ὅταν οὐδὲν ἔχῃ λέγειν ὑγιὲς πρὸς ἀναίρεσιν τῶν λεγομένων· καὶ τὸ σύνολον, Φωτίῳ πολεμεῖ, ὥσπερ οἱ βάρβαροι πυκτεύουσιν (Δημοσθ. κατὰ Φιλ. § 14). Ἰαγέρῳ δὲ καὶ Τόστης ἑπόμενος, ἐκείνου μεταφράζει τοὺς ξηροὺς λόγους, οὐδὲν αὐτὸς λέγων ἴδιον· καὶ ἐν τέλει τῆς ἑαυτοῦ Ἱστορίας τήνδε Φωτίου τὴν ἐπιστολὴν καὶ τὴν τοῦ Νικολάου ἀπάντησιν προστίθησι, τὴν μὲν ἐκ Βαρωνίου, τὴν δὲ ἐκ τῶν Συνοδικῶν τοῦ Μάνσου παραλαμβάνων (Storia dell' origine dello scisma Greco, Tom. II. p. 231—260).

[1] "Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγα-" πᾶτε ἀλλήλους. Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστέ, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλή-" λοις . . . . . Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς." (Ἰωάν. ΙΓ', 34—36, καὶ ΙΕ', 12.)

[2] Οὕτως ἐκ τῆς Θ. Φαρμακίδου ἐκδόσεως τῆς Καινῆς Διαθήκης (Τόμ. Δ', σελ. 162) ἀντὶ—στέργει—ἐν Τ. Χ. καὶ παρ' Ἰαγ. καὶ Μιγν.

[3] Πρὸς Κορινθ. Α', κεφ. ΙΓ', 6.

[4] Ἴσως γραπτ. ταὐτά, πρὸς ἀποφυγὴν τῆς ἐκ τῶν ἀλλεπαλλήλων ἄρθρων κακοφωνίας.

[5] Ἐκ διορθ. Ἰαγ. ἀντὶ—ἱλαρύναι—ἐν Τ. Χ.

[6] Τὴν λέγουσαν αἰνίττεται παροιμίαν "ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν" (Ἴδε Παροιμ. Ἑλλην. σελ. 10, ἔκδ. Γαισφόρδου· ἐν Ὀξωνίᾳ 1836), ἣν δὴ καὶ ἡ κοινὴ ἡμῶν γλῶσσα διατηρεῖ, ἐπὶ τῶν παλαιὰν καὶ ἀμετάβλητον ἐχόντων φιλίαν λέγουσα "ἔφαγαν μαζῆ ψωμὶ κ' ἁλλάτι." Ἅλες γὰρ (πληθυντ.)=τὸ ἅλας· μεταφορ. δὲ=φιλία, οἰκειότης· ἀλλὰ παρὰ τοῖς μεταγενεστ. καὶ οὐδετέρως λέγεται, ὡς παρὰ τῷ Εὐαγγελιστῇ Ματθαίῳ "Τμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται;" (κεφ. Ε', 13). Ὁμοίως δὲ καὶ παρὰ Μάρκῳ "Καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς ἅλας (=ἀγάπην), καὶ εἰρηνεύετε ἐν ἀλλήλοις" (κεφ. Θ', 50).

[7] Εἰλόμην ἂν γράψαι διεσταλμένως "τὸν ἕτερον," εἰ μὴ καὶ ἀλλαχοῦ τῇ αὐτῇ ἐνετύγχανον κράσει, ἣν ἔν τις εἴποι τοῦ παρακμάζοντος εἶναι Ἑλληνισμοῦ· τὸ γὰρ ἕτερος φιλεῖ συγκιρνᾶσθαι τῷ ἄρθρῳ φωνηεντοληκτοῦντι, ὡς ἐν τῷ ἀμέσως ἑπομένῳ "θατέρου" (=τοῦ ἑτέρου), οὐ μέντοι καὶ συμφωνοληκτοῦντι.

Digitized by Google

τὸ συμβὰν ἀνεσώσατο, τὸν τῆς ἑνώσεως δεσμὸν ἀῤῥαγῆ συντηρήσασα.[1] Αὕτη καὶ τὴν ἡμετέραν μετριότητα ἀνεπαχθῶς οἴσειν[2] τὰς ἐπιτιμήσεις, αἳ παρὰ τῆς Ὑμῶν πατρικῆς Ὁσιότητος βολίδων δίκην ἠφέθησαν, ἔπεισεν. Οὐ γὰρ ἐμπαθείας ταῦτα κυήματα,[3] οὐδὲ γνώμης φιλαπεχθήμονος ῥήματα, ἁπλάστου[4] δὲ μᾶλλον διαθέσεως, καὶ τὴν Ἐκκλησιαστικὴν τάξιν εἰς ἄκρον ἀκριβολογούσης, λογίζεσθαι παρεσκεύασεν. Εἰ γὰρ οὐδὲ τὸ κακὸν δι' ὑπερβολὴν χρηστότητος ὡς κακὸν λογίζεσθαι δίδωσιν, ὅπερ οὐδ' ἀπὸ κακίας ἴσως προάγεται, εἰ καὶ λυπεῖ, καὶ πλήττει, καὶ ἀνιᾷ, πῶς ἐάσει κακὸν ἀποφαίνεσθαι; Ἐκείνην γὰρ ὁ λόγος οἶδε χρηστότητα, ἥτις κἂν ταῖς τῶν λυπούντων εὐεργεσίαις ὑπερεκτείνεται.[5]

β'. Ἐπεὶ δὲ οὐδὲν κωλύει καὶ ἀδελφοῖς ἀδελφούς, καὶ πατράσι τέκνα ἐν τῷ ἀληθεύειν παῤῥησιάζεσθαι (οὐδὲν γὰρ τῆς ἀληθείας φιλαίτερον), ἔξεστι καὶ ἡμῖν παῤῥησιασαμένους εἰπεῖν, οὐκ ἀντιλογίαν γράφοντας, ἀλλ' ἀπολογίαν προΐσχοντας, ὡς ἐχρῆν τὴν Ὑμετέραν ἐπ' ἀρετῇ τελειότητα, πρὸ τῶν ἄλλων μὲν ἁπάντων τὸ ἄκοντας ἡμᾶς εἰς τὸν ζυγὸν τοῦτον ἑλκυσθῆναι διασκοποῦσαν, μὴ ἐπιτιμᾷν, ἀλλ' ἐλεεῖν· μηδ' ὑπερορᾷν, ἀλλὰ συναλγεῖν. Ἔλεος γὰρ καὶ φιλανθρωπία τοῖς βίαν παθοῦσιν, ἀλλ' οὐκ ἐπιτίμησις ἢ[6] παρόρασις ἐποφείλεται. Βίαν γὰρ ὑπέστημεν, καὶ ἠλίκην Θεός, ᾧ πάντα καὶ τὰ κρύφια πεφανέρωται, αὐτὸς συνεπίσταται. Συνεσχέθημεν ἄκοντες· κακούργοις ἴσα καθείρχθημεν· ἐτηρούμεθα φυλασσόμενοι· ἐψηφίσθημεν ἀνανεύοντες· ἐχειροτονήθημεν κλαίοντες, ὀδυρόμενοι, κοπτόμενοι. Ἴσασι ταῦτα πάντες· οὐδὲ γὰρ ἐν γωνίᾳ ἐγένετο, καὶ τὸ

---

[1] Ταῦτα προφανῶς παρερμηνεύων Ἰάγερος ὑποσημειοῖ· " Photius développe ici les principes de la charité, pour engager le Pontife à en user enves lui " (Hist. de Photius, p. 60). Ἀλλὰ τούτου πᾶν τοὐναντίον προτίθεται Φώτιος. Τὸν μὲν γὰρ Πάπαν ἐλέγχειν βούλεται, λέγων αὐτὸν εἰς ἀπερισκέπτους μέμψεις κατολισθῆσαι, καὶ παραινῶν αὐτῷ μεταμελεῖσθαι, εἰ βούλεται τὴν ἀγάπην καὶ τὴν ἕνωσιν συντηρεῖσθαι· περὶ δ' ἑαυτοῦ λέγει μὴ λογίζεσθαι τὰς ἀπερισκέπτους ἐκείνου μέμψεις πόθῳ τῆς ἀγάπης καὶ τῶν τοῦ Σωτῆρος περὶ αὐτῆς ἐντολῶν· ὥσπερ ἂν εἰ εἶπεν· " ἀπερίσκεπτα λέγεις, ἄνθρωπε· ἀλλ' ἐγώ σου τὰς ἀπερισκέπτους μέμψεις οὐ λογίζομαι· καί σοι παραινῶ μεταμελεῖσθαι ἐφ' οἷς ἀπερισκέπτως ἐμέμψω μοι, εἰ βούλει τὴν ἀγάπην καὶ τὸν τῆς ἑνώσεως σύνδεσμον ἀῤῥαγῆ συντηρεῖσθαι. " Ταῦτα τοίνυν λέγων, πολὺ τοῦ ἱκετεύειν καὶ ἐξιλεοῦσθαι τὸν Πάπαν ἀπέχει, ὥσπερ Ἰάγερος ὑπέλαβεν, οὐ γνοὺς ἅπερ ἀνέγνω, ἢ καὶ ἐπίτηδες τοὺς εἰλικρινεῖς καὶ ὄντως Χριστιανικοὺς Φωτίου λόγους παρερμηνεύσας.

[2] Ἴδε τὴν σημ. (2) ἐν τῇ πρώτῃ ἐπιστολῇ.

[3] Παρ' Ἰαγ. καὶ Μιγν.—κινήματα.

[4] Ἡμ. διόρθ. ἀντὶ—ἄπλαστον—ἔν τε Τ. Χ. καὶ παρ' Ἰαγ. καὶ Μιγν., ὅπως συμφωνῇ πρὸς τὸ ἐπιφερόμενον " ἀκριβολογούσης, " ᾧ καὶ συνδέδεται. Ὁ δὲ νοῦς· " αὕτη με παρεσκεύασε λογίζεσθαι τὰς ὑμετέρας ἐπιτιμήσεις οὐ κυήματα ἐμπαθείας, οὐδὲ ῥήματα φιλαπεχθήμονος γνώμης, ἀλλὰ ῥήματα διαθέσεως ἁπλάστου καὶ εἰς ἄκρον τὴν Ἐκκλησιαστικὴν τάξιν ἀκριβολογούσης. " Σεσημειώσθω δὲ ταῦτα οὐ διὰ τοὺς πολυμαθοῦντας, ἀλλὰ διὰ τοὺς φιλομαθοῦντας.

[5] " Ἐγὼ δὲ λέγω ὑμῖν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποι- " εῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς. " (Ματθ. Ε', 44.)

[6] Ἡμ. διόρθ. ἀντὶ—ἢ—ἔν τε Τ. Χ. καὶ παρ' Ἰαγ. καὶ Μιγν.

Digitized by Google

μέγεθος τῆς ἐπηρείας τὴν ἱστορίαν εἰς πάντας[1] ἐξήνεγκεν. Εἶτα τί δεῖ τοῖς πολλὰ καὶ δεινὰ πεπονθόσιν; ἐπεμβαίνειν, ἐπιπλήττειν, διαλοιδορεῖν, ἢ οἰκτείρειν καὶ παραμυθεῖσθαι, ὅση δύναμις;[2] Ἐξέπεσον εἰρηνικῆς ζωῆς· ἐξέπεσον γαλήνης γλυκείας· ἐξέπεσον δὲ καὶ δόξης (εἴ πέρ τισι καὶ κοσμικῆς δόξης ἔφεσις)· ἐξέπεσον τῆς φίλης ἡσυχίας, τῆς καθαρᾶς ἐκείνης καὶ ἡδίστης μετὰ τῶν πλησίον συνουσίας, τῆς ἀλύπου καὶ ἀδόλου καὶ ἀνεπιπλήκτου συναναστροφῆς.[3] Οὐδεὶς ἦν ὁ δίκην ἐγκαλῶν ἐμοί· οὐκ ἐνεγραψάμην ἄλλον ἐγώ, οὐ τῶν ἐπηλύδων, οὐ τῶν ἐγχωρίων, οὐδὲ τῶν συνήθων, μή τί γε τῶν φίλων. Οὐχ οὕτως ἐλύπησα πώποτέ τινα, ὡς ὕβριν εἰς ἡμᾶς ἐκπτῦσαι, πλὴν εἰ μήπω τοὺς ὑπὲρ εὐσεβείας κινδύνους ἐθελήσει τις ἐπισκοπεῖν· οὐδ' οὕτως ἥμαρτεν ἄλλος ἐμοί, ὡς καὶ μέχρι τῆς εἰς αὐτὸν ὕβρεως τὴν γλῶσσαν ἐξολισθῆσαι. Οὕτως ἦσαν ἡμῖν ἅπαντες χρηστοί· τὸ δὲ ἡμέτερον αὐτοί, κἂν μὴ λέγω, κεκράγασιν. Ἠγαπώμην τοῖς φίλοις ὑπὲρ τοὺς συγγενεῖς, ἄμφω δὲ τοῖς συγγενέσιν ἐλογιζόμην, καὶ τῶν συγγενῶν ὁ φίλτατος, καὶ τῶν μάλιστα φιλούντων ὁ συγγενής. Ἡ δὲ περὶ ἐμὲ τῶν πλησίον φήμη τῆς σπουδῆς καὶ τοὺς ἀγνῶτας εἶλκεν εἰς ἔρωτα θεῖον καὶ φιλίας δεσμόν· ἴσως δ' ἂν ἐκεῖνοι καὶ ἀμεταμέλητον εὐφημήσωμεν.[4]

γ'. Ἀλλὰ πῶς οἷόν τέ ἐστιν ἀδακρυτὶ ταῦτα παρελθεῖν; Οἴκοι μὲν γὰρ μένοντι ἡ χαρίεσσα τῶν ἡδονῶν περιεπλέκετο τέρψις, τῶν μανθανόντων ὁρῶντι τὸν πόνον, τὴν σπουδὴν τῶν ἐπερωτώντων, τὴν τριβὴν τῶν προσδιαλεγομένων, δι' ὧν ἡ πρὸς τὸ ῥᾷστα παράγεσθαι καταρτίζεται γνώμη, τῶν ταῖς μαθηματικαῖς σχολαῖς λεπτυνομένων τὴν διάνοιαν, τῶν ταῖς λογικαῖς μεθόδοις ἰχνευόντων τὸ ἀληθές, τῶν τοῖς θείοις λογίοις ἰθυνομένων τὸν νοῦν πρὸς εὐσέβειαν· ὃ τῶν ἄλλων ἁπάντων ὑπάρχει πόνων ὁ καρπός. Τοιοῦτος γὰρ χορὸς τῆς ἐμῆς οἰκίας ἦν ὁ χορός. Ἐξιόντι δὲ πάλιν πρὸς τὴν βασίλειον πολλάκις αὐλὴν αἱ προπεμπτήριοι τῶν εὐχῶν καὶ τοῦ μὴ βραδύνειν ἡ προτροπή· ἦν γάρ μοι καὶ τοῦτο γέρας ἀφωσιωμένον ἐξαίρετον, τὸ μέτρον ἔχειν τὴν βούλησιν τῆς ἐν τοῖς βασιλείοις

---

[1] Ἡμ. διόρθ. ἀντὶ—πάντα—παρὰ τοῖς ἄλλοις.

[2] Τοῦτο ἐν μὲν Τ. Χ. καὶ παρὰ Μιγνίῳ ἑνὶ ἐρωτήματι περιείληπται· Ἰάγερος δέ, οἷον διορθούμενος, εἰς δύο μὲν διεῖλεν ἐρωτήσεις, οὐ μέντοι προσηκόντως· ἔγραψε γάρ· "εἶτα τί δεῖ; τοῖς πολλὰ καὶ δεινὰ πεπονθόσι, κ.τ.λ." Ἀλλ' ἡ Δοτ. τῇ πρώτῃ ἀνήκει ἐρωτήσει, ὡς τοῦ Ἀπαρεμφ. ποιεῖν ὑπονοουμένου· "τί δεῖ ποιεῖν τοῖς . . . πεπονθόσιν; κ.τ.λ."

[3] Τοῦτο μάλιστα τῆς ἐπιστολῆς ταύτης τὸ μέρος θαυμάζων ὁ σεβάσμιος Ἄγγλος Μίλμανος, ὁ τῆς Ἱστορίας τῆς Λατινικῆς Ἐκκλησίας συγγραφεύς, θαυμαστὸν αὐτὸ καὶ κάλλιστον ἀποφαίνεται, οἷον καὶ ἀληθῶς ἐστιν. "Part of this letter is striking and beautiful." Περὶ δὲ τῆς ἐκδόσεως τῆς ἐπιστολῆς ταύτης ὑπὸ Ἰαγέρου λόγον ποιούμενος καὶ τὴν Ἱστορίαν αὐτοῦ ἐπικρίνων ἔρημον αὐτὴν εὑρίσκει εἰλικρινείας καὶ ἀμεροληψίας, τάδε περὶ τούτου λέγων· "It has been reprinted in a 'Vie de Photius' by the Abbé Jager, one of those modern French works, which would disdain the praise of candour and impartiality. I shall not accuse him of it. But M. Jager has the merit of justly appreciating the high merit of Photius, for his day most unusually accomplished as a scholar, and the extraordinary beauty of some of his letters, a merit very rare in Greek literature" (History of Latin Christianity, etc. Tom. II. p. 348 & 350).

[4] Τοῦτο, καὶ παρὰ τοῖς τρισὶν ἐκδόταις οὕτω γεγραμμένον, διορθωτέον εἶναί μοι δοκεῖ· "Ἴσως δ' ἂν καὶ ἐκεῖνοι ἀμεταμέλητον εὐφημήσειαν." Καὶ ἡ Βαρωνίου δὲ μετάφρασις οὕτως ἔχει· "nec eos fortasse laudum de me habitarum unquam poenitebat."

Digitized by Google

[illegible] ὑπήντα χορός [illegible] ὑπερβολὴν [illegible] μόνον ὅτι με[illegible] [illegible] φθόνῳ κοπτόμε[illegible] [illegible] στασιάσειν, ἐκὼν [illegible]

[illegible] ἐκσπωμένῳ πη[illegible] γὰρ καὶ πρὸ τῆς [illegible] τὸ ξεσάρεστον καὶ [illegible] στάσεις, τὰς [illegible] μὴ τύχωσιν [illegible] οὗτοι βού[illegible] ἐπιστατοῦντα. εἶτα ἐλεήσουσι πρὸς τὴν αἴτη[illegible] [illegible] οὐ πρὸς ἐκείνου χάριτος, ἀλλὰ [illegible] ἐλευθερίας γίνεται. Καὶ πῶς γὰρ [illegible] τὴν εὐδεημονίαν πεφυσημένοι πάντες ἅμα κυδεμονήσουσι καὶ [illegible] εἶτα ἕκαστος αὐτῶν ἀστρατήγητος ὑπάρχων [illegible] ἐκλιμπάνοι. Καὶ τί ἂν τις κατὰ μέρος διεξίοι; Ἀμήχανα γὰρ τὰ ἐγκλήματα καὶ ἀπαλλάσσειν τὸ χρῶμα τῆς ὄψεως εἰς τὸ σκυθρωπόν. τῆς μὲν γὰρ [illegible] ἔσθ' ὅτε, ταύτης ἀλγυνομένης· τὸ τοιοῦτον πρέσβυν ἀκούειν [illegible] δ' ἂν τῶν μὴ ὀργιζομένων, καὶ μειδιᾶν ἀνώμενον. Τοιαῦτα γὰρ ἡ ἀπειρία τῶν τοιούτων πραγμάτων ἀναδέξασθαι καταδικασθέντων. Τὰ δὲ τῶν ποιμ[illegible]: ὅλως τῆς ὅλως ἐπιστήμης. ἐγὼ δὲ οὐδενός· οἷος τὴν διάθεσιν· τοιοῦτος καὶ τὸ δαιμόνιον. Νῦν δ' ἐπ' ἴτε καὶ τιμὰς ἐπιτιμᾶν ἀνάγκη τοῖς φίλοις, καὶ τοὺς συγγενεῖς ὑπὲρ ἐντολῆς[1] τιμᾶν, καὶ τοῖς ἁμαρτάνουσι φαίνεσθαι βαρύς·[2] φθόνος ταχύθεν ἐπιζεῖ χοὐκ ἐπαινεῖσθαι. Τί με χρὴ τὰ λοιπὰ καταριθμεῖν, οἷα πάσχω διώκων τὸν Σ[illegible]; οἷους ἐπ' ἐκείνῳ ὑφίστημι πειρασμούς, τὰς

---

[1] Ἡμ. διόρθ. ἀντὶ—ἐγένετο—ἐν τε Τ. Χ. καὶ παρ' Ἰσηγ. καὶ Μαγν.

[2] Ἐκ διορθ. Ἰαγέρου, ἀντὶ—μεγαδοσύχου—ἐν Τ. Χ.

[3] Ἴσως ἐγέγραπτο—προεστηκότων—ἢ—ἐφεστηκότων—ὡς καὶ ἀμέσως κατωτέρω λέγει "τὸν ἐφεστηκότα ποιμαίνειν." Εἶπε δὲ καὶ ἐν τῇ πρώτῃ ἐπιστολῇ (§ 3) "τὸν ἐφεστηκότα καὶ κριθέντα ποιμαίνειν."

[4] Ἡμ. διόρθ. ἀντὶ—αὐτῶν—παρὰ τοῖς τρισὶν ἐκδόταις.

[5] Ὀρθότερον οἶμαι γραπτέον εἶναι—ποινῇ—ὡς ἀναλογον πρὸς τὸ ἐπιφερόμενον "καταδικασθέντων."

γραπτ. ἐνάρθρως—ὑπὲρ τῆς ἐντολῆς.

ον κατ' αἰτιατ.—βαρύν.

ὀνόματι τοῦ αἱρεσιάρχου τὴν καλουμένην Σιμωνίαν καὶ τοὺς Σιμωνιακοὺς δηλοῦν βούλεται,

Digitized by Google

κοσμικὰς παῤῥησίας τοῦ ἱεροῦ περικόπτων συλλόγου, τὴν ὀλιγωρίαν τὴν περὶ τὰ κρείττονα, τὴν ἐπιμέλειαν τὴν περὶ τὰ μάταια;[1] Ἃ βλέπων καὶ πρίν, καὶ δακνόμενος τὴν ψυχήν, καὶ μὴ τῆς ἐμῆς ἰσχύος εἶναι τὸ ταῦτα περιελεῖν, ἔφευγον τὴν ψῆφον, παρῃτούμην τὴν χειροτονίαν, ὠδυρόμην τὴν ἐπιστασίαν· οὐκ ἦν δὲ ἄρα φυγεῖν τὸ προορισθέν.[2]

ε. Ἀλλὰ τί γράφω ταῦτα; ἐγράφη καὶ πρότερον.[3] Καὶ εἰ μὲν ἐπιστεύθησαν, ἀδικοῦμαι μὴ ἐλεούμενος· εἰ δὲ μὴ ἐπιστεύθησαν, ἀδικοῦμαι πάλιν, ἀληθῆ γράφων καὶ ἀπιστούμενος. Οὕτως ἐγὼ πανταχόθεν δυστυχής. Ἀφ' ὧν ἐλπίζω[4] τῆς λύπης εὑρεῖν παραψυχήν, ἐκεῖθεν ἐπιπλήττομαι·[5] ἀφ' ὧν παράκλησιν καὶ παραμυθίαν, ἐκεῖθεν ἐπὶ τῷ ἀλγήματι προστίθεται ἄλγημα. Οὐκ ἔδει σε, φησίν, ἀδικηθῆναι. Πρὸς τοὺς ἀδικοῦντας τοῦτο εἰπέ. Οὐκ ἔδει βιασθῆναι. Καλή γε ἡ νομοθεσία· ἀλλά τίσιν ἡ ἐπιτίμησις; οὐχὶ τοῖς βιασαμένοις; Τὸ ἔλεος δὲ τίσιν; οὐχὶ τοῖς βίαν ὑποστᾶσιν; Ἂν δέ τις τοὺς βιασαμένους μὲν ἐᾷ, τὸν δὲ βιασθέντα ἐπιτιμᾷ, τὴν σὴν ἤλπιζον[6] ἐπ' αὐτὸν δικαιοσύνην καλέσαι κριτήν. Ἀλλὰ κανόνες, φησί, παρεβάθησαν,[7] ὅτι πρὸς τὸ τῆς Ἀρχιερωσύνης ὕψος ἀπὸ λαϊκοῦ προῆλθες τοῦ σχήματος. Καὶ τίς ὁ παραβάς; ὁ βιασάμενος, ἢ ὁ βίᾳ καὶ ἄκων ἀνελκυσθείς; Ἀλλ' ἐχρῆν ἀντισχεῖν. Μέχρι τίνος; ἀντέσχον δὲ καὶ πέρα τοῦ δέοντος· εἰ δ' οὕτω μοι προῄδειν τὸ κλυδώνιον τῶν πονηρῶν πνευμάτων μέλλειν ἐπιτραχύνεσθαι, ἀντέσχον ἂν καὶ μέχρις αὐτοῦ θανάτου. Ποῖοι δὲ κανόνες, ὧν ἡ παράβασις, οὓς μέχρι καὶ τήμερον ἡ Κωνσταντινουπολιτῶν Ἐκκλησία[8] οὐ παρείληφεν; Ἐκείνων λέγεται παράβασις, ὧν ἡ φυλακὴ παραδέδοται· ἃ δὲ μὴ παραδέδοται, οὐδὲ μὴ φυλασσόμενα παραβάσεως φέρει ἔγκλημα.[9] Ἀλλ' ἐμοὶ μὲν καὶ τὰ ῥηθέντα ἀποχρώντως ἂν εἶχεν, ὡς τοῦ προσήκοντος εἰρημένα πλέον· οὐ γὰρ δικαιολογίαις ἑαυτὸν[10] συνιστᾷν

τοῦτ' ἔστι τοὺς ἐπὶ χρήμασι διδόντας ἢ λαμβάνοντας τὰ Πνευματικὰ χαρίσματα, οὓς καὶ Ἀποστολικοὶ καὶ Συνοδικοὶ κανόνες καὶ τῶν ἁγίων Πατέρων ἐπιστολαὶ τῷ ἀναθέματι ὑποβάλλουσιν. Ἴδε περὶ τούτου Εὐσεβ. Ἐκκλ. Ἱστορ. Βιβλ. Β', κεφ. ιγ'. — Μελετ. Ἐκκλ. Ἱστορ. Τόμ. Α', σελ. 143—7, καὶ Εὐαγγελ. Κήρυκος Ἑτ. Α', σελ. 77, ἔνθα καὶ ὑποσημειοῦται ἐκ τῆς βίβλου τῶν Πράξεων ἅπαν τὸ περὶ Σίμωνος διαλαμβάνον μέρος (κεφ. Η', 9—25).

[1] Δῆλον ἐντεῦθεν, καὶ ἐξ ὧν ἐν τέλει τῆς παρούσης λέγει ἐπιστολῆς, ὅτι τὴν Ἰγνατίου τινὲς καταχρώμενοι ἀγαθότητα πολὺ τῆς εὐθείας ἦσαν ἐκκεκλικότες, καὶ πολλὰ παρεῖχον τῷ ἀοιδίμῳ Φωτίῳ πράγματα, περιστεῖλαι καὶ σωφρονίσαι αὐτοὺς πειρωμένῳ.

[2] Ἐνταῦθα τὸ Ἰαγέρου κείμενον (καὶ τὸ Μιγνίου, ὡς εἰκός) πολλὴν ἔχει τὴν ἀσάφειαν διὰ τὴν τῶν στιγμῶν καὶ ὑποστιγμῶν ἀταξίαν.

[3] Ἐν τῇ ἐνθρονιστικῇ δῆλον ὅτι ἐπιστολῇ.

[4] Ἐκ διορθ. Ἰαγ. ἀντὶ—ἐλπίζων.

[5] Τοῦτο παρὰ Μιγνίῳ κακῶς γέγραπται—ἐκπλήττομαι.

[6] Παρ' Ἰαγέρῳ δὲ—ἤλπιζεν.

[7] Ἐκ διορθ. Ἰαγέρου, ἀντὶ—παρεκάθησαν.

[8] Ἡμ. διόρθ. ἀντὶ—ἐν Κωνσταντινουπολιτῶν Ἐκκλησίᾳ—παρὰ τοῖς τρισὶν ἐκδόταις.

[9] Κατὰ Παῦλον τοῦτο λέγει· "Οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις." (πρὸς Ῥωμ. Δ', 15.)

[10] Παρ' Ἰαγ. καὶ Μιγν.—δικαιολογίας ἑαυτοῦ.

Digitized by Google

προήχθην· πῶς γὰρ; ὅς γε εὐχῆς ἔργον ποιοῦμαι πολυτρόπως τῆς ζάλης ταύτης ἀπαλλαγῆναι, καὶ τὸ φορτίον ἐλαφρυνθῆναι. Οὕτως ἐγὼ τοῦ θρόνου ἐφίεμαι, καὶ οὕτω σφόδρα ἀντέχομαι. Οὐ γὰρ ἀρχομένῳ μὲν βάρος ἦν ὁ θρόνος, προϊόντι δὲ δι' ἐπιθυμίας ἐγίνετο· ἀλλ' ὥσπερ ἄκων εἰσῆλθον, οὕτως ἄκων καθέζομαι·[1] καὶ τοῦ βιασθῆναι πρὸς τὴν εἴσοδον μετὰ τῶν ἄλλων ἐναργὴς ἀπόδειξις τὸ μέχρι τοῦ νῦν ἀπ' ἀρχῆς τῆς ἀρχῆς ταύτης ἐθέλειν ἐξίστασθαι. Καὶ εἰ χάριέν τις[2] ἔγραφεν ἐμοί, οὐκ ὤφειλε γράφειν· "Τὰ μὲν ἄλλα πάντα χρηστὰ καὶ ἐπαινετά, καὶ δεχόμεθα, καὶ τερπόμεθα, καὶ χαριστηρίους ἀδομεν Θεῷ τῷ πανσόφως οὕτω τὴν Ἐκκλησίαν ἰθύναντι· τὸ δὲ ἀπὸ λαϊκῶν οὐκ ἐπαινετόν. Δι' ὃ τέως ἐν ἀμφιβόλῳ καθιστάμεθα, τὴν τελεωτάτην συναίνεσιν εἰς τὴν τῶν ἀποκρισιαρίων ἡμῶν ὑποστροφὴν ἀναθέμενοι·" ἀλλ' ἔδει γράφειν· "Οὐ συναινοῦμεν ὅλως· οὐ καταδεχόμεθα, οὐδὲ μὴν εἰς τὸν αἰῶνα καταδεξαίμεθα τὸν προσδραμόντα, τὸν ἐμπορευσάμενον τὴν ἀρχήν, τὸν ἀψήφιστον, τὸν τὰ πάντα κακόν. Ἔξιθι τοῦ θρόνου· ὑποχώρησον τοῦ ποιμαίνειν." Οὕτως ἂν ὁ γράφων ἔγραφεν ἐμοὶ προσφιλῆ, εἰ καὶ τὰ πλείω ψευδῆ.[3] Ἔδει γὰρ, ὡς ἔοικε, τὸν ἀδικηθέντα τὴν εἴσοδον ἀδικηθῆναι πάλιν τὴν ἔξοδον· καὶ τὸν ἀποτόμως ὠθισθέντα καὶ ἄκοντα, ἀποτομώτερόν τε καὶ νεανικώτερον ἀπωσθῆναι. Τῷ δ' οὕτως ἔχοντι καὶ λογιζομένῳ οὐ πολλὴ φροντὶς τὰς διαβολὰς ἀποτρίψασθαι, ὧν τὸ κῦρος τοῦ θρόνου ἀφαίρεσις.

στ'. Καὶ ἤρκει μέν, ὡς εἴρηται, τὰ ῥηθέντα. Ἐπεὶ δὲ δι' ἡμᾶς σὺν ἡμῖν καὶ οἱ πρὸ ἡμῶν ἅγιοι καὶ μακάριοι Πατέρες συνδιαβεβλῆσθαι κινδυνεύουσιν, ὡς Νικηφόρος καὶ Ταράσιος (ἐκ λαϊκοῦ γὰρ καὶ οὗτοι τοῦ σχήματος εἰς τὸ τῆς Ἀρχιερωσύνης ἄκρον προέβησαν, οἱ τῆς καθ' ἡμᾶς γενεᾶς ἀειφανεῖς λαμπτῆρες, καὶ τῆς εὐσεβείας διαπρύσιοι

---

[1] *Ἐπὶ τούτοις Ἰάγερος ἐπιφωνεῖ*—impudant mensonge! *καὶ πάλιν μετ' οὐ πολύ*—c'est mentir de nouveau! *καὶ τρίτον αὖθις*—nouveau mensonge! *Ἀλλ' εἴπερ ἐπιφωνήμασι τὴν ἀλήθειαν καταβάλλειν οἷόν τε ἦν, οὐδεὶς ἂν τῶν κακουργούντων δίκην ἐδίδου τὴν προσήκουσαν· πάντες γὰρ ξυλλαμβανόμενοί τε καὶ ἀνακρινόμενοι, τοῦτ' αὐτὸ εἰώθασι τὸ τοῦ Ἰαγέρου ἐπιφωνεῖν, ψεῦδος καὶ συκοφαντίαν λέγοντες εἶναι τὰ κατ' αὐτῶν μαρτυρούμενα· οὐ μὴν διὰ τοῦτο τὴν νόμιμον ὑπεκφεύγουσι ποινήν. Εἶπε δέ που καὶ Δημοσθένης περὶ τῶν πάντα μὲν αἰτιωμένων, μηδὲν δ' ἐξελεγχόντων, ἀλλ' ἐπιφωνήμασι τῆς ἀληθείας κατισχῦσαι πειρωμένων, τὸν κάλλιστον ἐκεῖνον ὁρισμόν· "τοῦτό ἐστιν ὁ συκοφάντης, αἰτιάσασθαι μὲν πάντα, ἐξελέγξαι δὲ μηδέν."* (ἔφ. πρὸς *Εὐβουλίδην*, § *ί.*)

[2] *Ἡμ. διόρθ. ἀντὶ*—*χαριέντοις*—*ἐν Τ. Χ.* Ἰάγερος δὲ τοῦτο ἐπιῤῥηματικῶς διωρθώσατο—*χαριέντως*—*ὅπερ οὐκ ἔῤῥωται, μὴ καὶ τῆς ἀορίστου ἀντωνυμίας προστεθείσης·* "*καὶ εἴ τις χαριέντως ἐγραφεν ἐμοί.*"

[3] *Ταῦτα σαφέστατος καὶ δικαιότατός ἐστιν ἔλεγχος τῆς Νικολάου δολιότητος, τὸ μὲν πρῶτον ἐπ' ἐλπίσι χρησταῖς ἐπαινέσαντος Φώτιον, καὶ Ἐπίσκοπον Κωνσταντινουπόλεως ἀποκαλέσαντος, ἔπειτα δὲ διὰ τὸ τῶν ἐλπίδων ἐψεῦσθαι τραχυναμένου, καὶ αἰτίας αὐτῷ παραλόγους ἐπάγοντος, ὡς ἀρκούντως ἐν τοῖς ἔμπροσθεν* (Προλ. § *λέ*) *εἴρηται. Ταύτην οὖν καλῶς ὑπονοῶν ὁ σοφώτατος ἄνθρωπος τὴν δολιότητα, δικαίως καὶ προσηκόντως τὸν δολιευόμενον ἐξελέγχει· ἔπειτα δὲ καὶ τὰς προφάσεις αὐτοῦ παραλόγους εἶναι καὶ ἀνυποστάτους δεικνύς, ἐπὶ τὰ παραδείγματα τῶν πρὸ αὐτοῦ ἀθρόον ἐκ λαϊκοῦ Πατριαρ-ευσάντων τρέπει τὸν λόγον, καὶ ἄρδην τῷ τῆς ἀληθείας δρεπάνῳ τὰς ἐκείνου ἐκκόπτει προφα-λογίας.*

Digitized by Google

γεγόνασι κήρυκες, βίῳ καὶ λόγῳ κρατύναντες τὴν ἀλήθειαν), τὰ λείποντα τῷ λόγῳ προσθεῖναι χρεὼν ἡγησάμην, πάσης αἰτίας κρείττους, καὶ πάσης διαβολῆς ἀνωτέρους τοὺς μακαρίους ἐκείνους ἄνδρας ἐπιδεικνύς. Εἰ δ' οὐδ' ἄλλοι τινὲς τούτους ὑπαιτίους τολμῶσι φάναι, τὸ ἐκ λαϊκῶν δὲ πρὸς ἱερωσύνην ἐλθεῖν κρατύνουσι πρόσκομμα, μέμφονται μὲν οἷς οὐ μέμφονται (ἐκ λαϊκῶν γὰρ καὶ οὗτοι προήχθησαν)· οὓς δὲ πάλιν τιμῶσι καὶ τεθήπασι, τὸ ψέγειν οὐ φεύγουσιν.[1] Ἀλλ' οὗτοι (Ταράσιος ἦν καὶ Νικηφόρος[2]), ἐν κοσμικῷ βίῳ ἀστέρων δίκην διαλάμποντες, καὶ πρὸς ἱερατικὴν ἀρχὴν γεγονότες ἀπόλεκτοι, παρὰ κανόνα καὶ τύπον τὸν Ἐκκλησιαστικὸν τῆς Ἐκκλησίας προέστησαν; Μή μοι γένοιτο τοιαύτην ἀφεῖναι φωνήν, μηδ' ἄλλου λέγοντος ἀκοῦσαι. Οὗτοι γὰρ τῶν κανόνων ἀκριβεῖς φύλακες, τῆς εὐσεβείας ὑπέρμαχοι, τῆς δυσσεβείας κατήγοροι, φωστῆρες ἐν Κόσμῳ,[3] κατὰ τὸ θεῖον λόγιον λόγον ζωῆς ἐπέχοντες. Εἰ δ' ὅτι[4] κανόνας, οὓς οὐκ ᾔδεισαν, οὐκ ἐφύλαξαν, οὐδεὶς ἂν δίκαια ποιῶν ἐπιμέμψοιτο· ἀλλ' ὅτι φύλακες ὧν παρέλαβον ἐχρημάτισαν, ἐν τούτῳ παρὰ Θεοῦ ἐδοξάσθησαν. Τὸ μὲν γὰρ τὰ δοθέντα συντηρεῖν γνώμης ἐστὶ σταθερᾶς, καὶ τὴν καινοποιὸν ἀποπεμπούσης προαίρεσιν· τὸ δ' ἃ[5] μὴ παρείληφε, χρείας μὴ καλούσης, νομοθετεῖν, ἢ φυλάττειν ἐπιχειρεῖν, νεωτεροποιοῦ διανοίας καὶ ῥεμβομένης ἐστὶ περισσεύματα. Μέτρῳ γὰρ ἕκαστος οἰκείῳ καὶ κανόνι συνέχεταί τε καὶ κατευθύνεται.[6] Πολλοὶ κανόνες ἄλλοις μὲν παραδέδονται, ἑτέροις δὲ οὐδὲ γνώ-

---

[1] Καὶ τὸ ἀορίστως ἐκφερόμενον τοῦτο ἀντὶ δευτεροπροσώπου νοητέον, ὥσπερ ἂν εἰ λέγοι—"εἰ δὲ τούτους ὑπαιτίους φάναι τολμᾷς, τὸ ἐκ λαϊκῶν δὲ . . . κρατύνεις πρόσκομμα, μέμφῃ μὲν οἷς οὐ μέμφῃ· οὓς δὲ πάλιν τιμᾷς καὶ τέθηπας, τὸ ψέγειν οὐ φεύγεις"— ἄρα παραλογίζῃ, τοὺς αὐτοὺς τιμῶν καὶ ψέγων. Τοιοῦτον καὶ τὸ πρὸ μικροῦ εἰρημένον—"Καὶ εἰ χάριέν τις ἔγραφεν ἐμοί, οὐκ ὤφειλε γράφειν, κ.τ.λ."—κἀκεῖ γὰρ παραλογιζόμενον καὶ δολιευόμενον ὑπεξελέγχει τὸν Νικόλαον.

[2] Ἡ μὲν παρένθεσις ἐκ διορθ. Ἰαγέρου· ἐξ ἡμετέρας δὲ τὸ ἐρωτηματικῶς γράφειν, καὶ ὑποστίζειν μὴ ἐν τῷ "παρὰ κανόνα," ὡς Ἰάγερος, ἀλλ' ἐν τῷ "ἀπόλεκτοι·" ὁ γὰρ ἐμπρόθετος προσδιορισμὸς οὐ τοῦ ἐπιθέτου "ἀπόλεκτοι," ἀλλὰ τοῦ ῥήματος "προέστησαν." Περὶ δὲ τῆς Ταρασίου καὶ Νικηφόρου, τοῦ τὸν Ταράσιον διαδεξαμένου, ἐκλογῆς, ὅτι εὐθὺς ἐκ λαϊκῶν εἰς τὸ τῆς Ἀρχιερωσύνης προήχθησαν ἀξίωμα, ἴδε Θεοφ. Χρονογρ. Τόμ. Α', σελ. 709—714 καὶ 747· ἀλλὰ καὶ τὰς Γοαρίου σημειώσεις ἐν τῇ αὐτῇ χρονογραφίᾳ, Τόμ. Β', σελ. 557—559, ἔκδ. Βόννης.

[3] Οὕτω προειλόμην ὑποστίξαι κατὰ τὴν Βαρωνίου μετάφρασιν "orbis terræ lumina, ex divinis eloquiis verbum obtinentes vitæ" ἀντὶ τῆς ἐν Τ. Χ. καὶ παρ' Ἰαγ. καὶ Μιγν. γραφῆς "φωστῆρες ἐν Κόσμῳ κατὰ τὸ θεῖον λόγιον, λόγον ζωῆς ἐπέχοντες." Θεῖον δὲ λόγιον δοκεῖ μοι νοεῖν ἐνταῦθα τὸ—"οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν. . . . . Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων κ.τ.λ." (Ματθ. Ε', 15 καὶ 16.)

[4] Γραπτέον ἴσως ἄμεινον "εἰ δὲ κανόνας κ.τ.λ." ἄνευ τοῦ ὅτι, ὡς προφανῶς παρέλκοντος· ἢ περιαιρετέον τὸν εἰ, γράφοντας, "ὅτι δὲ κανόνας κ.τ.λ."

[5] Ἡμ. διόρθ. ἀντὶ—ἂν—παρὰ τοῖς τρισὶν ἐκδόταις.

[6] Κἀνταῦθα σοφιζόμενος Ἰάγερος ὑποσημειοῖ· "Photius non seulement approuve ici, mais invoque la diversité des usages pour se défendre; et plus tard il en fera un crime à l'Eglise Romaine. (Hist de Photius, p. 66.) Ἀλλὰ τὴν Ῥωμαίων Ἐκκλησίαν Φώτιος, οὐκ ἐπὶ διαφορᾷ ἐθίμων ἁπλῶν, ἀλλὰ κυρίως ἐπὶ παραβάσει δογμάτων ἐξήλεγχε καὶ κατέκρινεν. Ὅτι μὲν γὰρ διάφορά τινα ἐτήρει ἔθιμα, τοῦτο νῦν ἐν παραδείγματι ποιεῖται· ὅτε δὲ περὶ τὰ δόγματα νεωτερίζειν ἐτόλμησε, τότε Συνοδικῶς τὴν τόλμην ἐκό-

Digitized by Google

ριμοι. Ὁ παραλαβὼν καὶ ἀθετῶν δίκης ἄξιος· ὁ δὲ μηδ' ἐγνωκώς, ἢ μὴ παραδεξάμενος, πῶς ὑπεύθυνος; Πολλαὶ δὲ καὶ νομοθεσίαι, οἷς μὲν ἐτέθησαν, ἐφυλάχθησαν, καὶ Θεοῦ θεράποντας τοὺς φύλακας ἐπεδείξαντο· οἱ δὲ μὴ παρειληφότες, καὶ διὰ τοῦτο μηδὲ τὸν νοῦν πρὸς αὐτὰ ἐπιστρέψαντες, οὐδὲν ἔλαττον θεοφιλεῖς ἐγνωρίσθησαν· καὶ κατὰ χεῖρας τὰ παραδείγματα· Ἵνα δὲ τὰ ἄλλα ἐάσω, ὁ μὲν Ἀβραὰμ ἐμπερίτομος, τὴν περιτομὴν ἐξ ἐντολῆς θείας εἰς νομοθεσίαν δεξάμενος·[1] ἀπερίτμητος δὲ ὁ Μελχισεδέκ, ὃς εἰς ἀφομοίωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τὴν ἀρχὴν τῆς γενέσεως καὶ τὸ τέλος ἔσχεν ἄγνωστον.[2] Ἀλλὰ τὴν τοῦ Ἀβραὰμ τῆς περιτομῆς φυλακὴν ἀποδεχόμενος ὁ Θεός, οὐδαμοῦ φαίνεται τῷ Μελχισεδὲκ παραβάσεως ἐπιφέρων ὀνειδισμόν· ἀλλὰ κἂν πού τις αὐτὸν παρανομίας γράψοιτο γραφήν, αὐτὸν μᾶλλον ἢ ἐκεῖνον (ὅτι τοῦτο τολμᾷ[3]) ἐξελεγχθήσεται γεγραφώς. Καίτοι γε τοῖς ἐξ Ἀβραὰμ γεγεννημένοις, καὶ τουτονὶ τὸν νόμον ἐγκολπωσαμένοις, θάνατος ἦν ἡ ζημία τῷ παραβάντι, οὐκ ἐξ ἀνθρώπων μόνον ἐπαγόμενος, ἀλλὰ καὶ παρ' αὐτῶν Ἀγγέλων σφοδρῶς ἀπειλούμενος. Ἀλλ' ἔν γε τούτῳ Ἀβραάμ τε καὶ Μελχισεδὲκ διαφερόμενοι, τὴν εἰς τὸν κοινὸν Δεσπότην εὐγνωμοσύνην τε καὶ λατρείαν παραπλησίως ἀλλήλοις διέσωζον· ἐξ ὧν οὐδετέρῳ παρὰ θατέρου μῶμος προσήπτετο· ἀλλ' ἥ γε ἐν τοῖς καιριωτάτοις σφοδρά τε καὶ ἀκαινοτόμητος κοινωνία τὴν ἐν τοῖς λοιποῖς οὐκ εἶα σκοπεῖν τε καὶ πολυπραγμονεῖν ἑτερότητα. Καὶ γὰρ ἔστιν ὄντως κοινὰ πᾶσιν, ἃ πάντας[4] φυλάττειν ἐπάναγκες, καὶ πρό γε τῶν ἄλλων τὰ περὶ Πίστεως, ἔνθα καὶ τὸ παρεγκλῖναι μικρὸν ἁμαρτεῖν ἐστιν ἁμαρτίαν τὴν πρὸς τὸν θάνατον· ἔστι καὶ ἰδιαζόντως τισὶ παρεπόμενα, ὧν ἡ παράβασις οἷς μὲν ἐδόθη κατέχεσθαι ἐπιζήμιος, οἷς δ' οὐ παρείληπται καὶ τὸ μὴ συντηρεῖν ἀκατάκριτον. Καὶ τὰ μὲν Οἰκουμενικαῖς καὶ κοιναῖς τυπωθέντα ψήφοις πᾶσι προσήκει φυλάττεσθαι· ἃ δέ τις τῶν Πατέρων ἰδίως ἐξέθετο, ἢ το-

---

λασεν. Ἐρεῖ δὲ σαφέστατα παρακατιών, τίνες τῶν παραβάσεων κατακριτέαι, καὶ τίνες ἀκατάκριτοι· ὧν πάντως ἐστὶ καὶ τὸ ἐκ λαϊκοῦ εἰς τὸ τῆς Πατριαρχείας ἀνελθεῖν ὕψος· "Καὶ γὰρ ἔστιν ὄντως κοινὰ "πᾶσιν, ἃ πάντας φυλάττειν ἐπάναγκες· καὶ πρό γε τῶν ἄλλων τὰ τῆς Πίστεως· ἔνθα καὶ "τὸ παρεγκλῖναι μικρὸν ἁμαρτεῖν ἐστιν ἁμαρτίαν τὴν πρὸς θάνατον· ἔστι "δὲ καὶ ἰδιαζόντως τισὶ παρεπόμενα κ.τ.λ."

[1] Γενέσ. Κεφ. ΙΖ'.

[2] Γενέσ. Κεφ. ΙΔ', 18· καὶ Παῦλ. πρὸς Ἑβρ. κεφ. Ε', ΣΤ' καὶ Ζ', ἔνθα ἴδε καὶ τὰς Οἰκουμενίου ἑρμηνευτικὰς σημειώσεις ἐν τῇ ὑπὸ Θ. Φαρμακίδου ἐκδόσει τῆς Κ. Διαθήκης, Τόμ. ΣΤ', ἐν Ἀθήναις 1844. Ἰδίαν δὲ περὶ Μελχισεδὲκ πραγματείαν Πλάτων ὁ σοφώτατος Μητροπολίτης Μόσχας ἔγραψε, πρὸς τὸν Μέγαν Δοῦκα τῆς Ῥωσσίας ἐν ἔτει 1764 προσφωνηθεῖσαν. Αὕτη καὶ Ἑλληνιστὶ μεθηρμηνευμένη συνεκδέδοται τῇ Κατηχήσει τοῦ Πλάτωνος ὑπὸ Ἀνδρ. Κορομηλᾶ, ἐν Ἀθήναις 1836 καὶ 1852. Ἀλλὰ καὶ Ἀγγλιστὶ μεταφρασθεῖσαν ἐξέδωκεν ἐν Μαγχεστρίᾳ (1857) τήν τε Κατήχησιν καὶ τὴν περὶ Μελχισεδὲκ πραγματείαν ὁ ἡμέτερος Γ. Ποτέσσαρος.

[3] Ἡμ. διόρθ. ἀντὶ—τολμῶ—ἔν τε Τ. Χ. καὶ τοῖς ἄλλοις.

[4] Ταύτην προειλόμην τὴν γραφὴν ἐκ Λ. Ἀλλατίου (De octava Synodo Photiana, p. 404) ἀντὶ τῆς ἐν Τ. Χ. καὶ τοῖς ἄλλοις ἐκδόταις—ἅπαντα—. Δηλοῖ δὲ τῆς γραφῆς τὴν ὀρθότητα καὶ τὰ ἀμέσως ἑπόμενα, μάλιστα δὲ τὸ "Καὶ τὰ μὲν οἰκουμενικαῖς καὶ κοιναῖς τυπωθέντα ψήφοις π ᾶ σ ι προσήκει φυλάττεσθαι.

Digitized by Google

πικὴ διωρίσατο Σύνοδος, τῶν μὲν φυλαττόντων τὴν γνώμην οὐ παρίστησι δεισιδαίμονα, οὐ μὴν τοῖς γε μὴ παραδεξαμένοις τὸ παρορᾶν ἐπικίνδυνον. Οὕτω ξυρᾶσθαι μὲν ἄλλοις πάτριον, ἑτέροις δὲ καὶ Συνοδικοῖς ὅροις ἀπόβλητον. Εὐφήμως δὲ τὸν λόγον εἰπεῖν ἔθει, καὶ εἴπομεν· εἰ δὲ καὶ τὸν ἐν Σίδῃ κανόνα προσέθεμεν, βαρεῖς ἂν καὶ λίαν φορτικοὶ κατεφάνημεν.[1] Οὕτω πλὴν τοῦ ἑνὸς τὰ ἄλλα Σάββατα συντηρεῖν ἡμῖν ἐπιλήψιμον· ἑτέροις δὲ καὶ τοῦ ἑνὸς πλείω νηστεύεται· καὶ φεύγειν τὴν μέμψιν ἡ παράδοσις οἴεται, τῷ ἔθει κατακρατεῖν τοῦ κανόνος ἐκνικήσασα.[2] Καὶ νομίμῳ γάμῳ γυναικὶ συναφθέντα οὐκ ἔστιν

---

[1] Ὅτι μὲν Φώτιος οὐδαμῶς ἐνταῦθα λόγον περὶ Ἰγνατίου ποιεῖται, ἀλλ' ἁπλῶς ἔθιμα καταριθμεῖ, ἄλλα παρ' ἄλλοις ἰσχύοντα, καὶ πολλάκις ἀντικείμενα, οἶμαι δῆλον ἅπασιν εἶναι· οὐδὲν γὰρ ἄλλο λέγει, ἢ ὅτι τὸ ξυρᾶσθαι τοῖς μὲν Δυτικοῖς εἴθισται, τοῖς δὲ Ἀνατολικοῖς καὶ ὅρῳ Συνοδικῷ κωλύεται· εὐφημεῖν δὲ βουλόμενος, καὶ μὴ δοκεῖν πρὸς ὕβριν τοῦ ξυρωμένου Ἐπισκόπου Ῥώμης τοῦτο λέγειν, μετὰ πολλῆς τῆς μετριοφροσύνης προστίθησιν, ὅτι ἁπλῶς τοῦτο λέγει, ὅπως δείξῃ τὴν τῶν ἐθίμων διαφοράν, ἀλλ' οὐχ ὅπως ἐλέγξῃ τὸν ξυρώμενον Νικόλαον, καὶ τούτου ἕνεκα φεύγει καὶ τὸν κωλύοντα κανόνα τῆς ἐν Σίδῃ Συνόδου προσθεῖναι, μὴ βαρὺς καὶ φορτικὸς καταφανῇ. Ἀλλ' ὅμως, τούτων οὕτω προφανῶς λεγομένων, οὐχ οὕτω ταῦτα Βαρώνιος καὶ Ἰάγερος νοεῖν βούλονται· ἀλλ' εἰς ἰδίαν χωρίσαντες παράγραφον τὸ "Εὐφήμως τὸν λόγον κ.τ.λ." ἄλλ' ἀντ' ἄλλων ὑποσημειοῦσι, λέγοντες, ὅτι ταῦτα περὶ Ἰγνατίου λέγει Φώτιος, προβάλλων Νικολάῳ τὸν Ἐπισκοπικὸν ἐκείνῳ ἀποδοθῆναι βαθμόν, ὅπως ἡσυχίαν ἄγῃ τοῦ λοιποῦ, καθ' ἅπερ ἄλλοτε ἡ ἐν Ἐφέσῳ Σύνοδος Εὐσταθίῳ τῷ Μητροπολίτῃ Σίδης ἐποίησεν. Τούτου γὰρ τὸν Ἐπισκοπικὸν παραιτησαμένου βαθμόν, τὴν παραίτησιν ἀποδεξαμένη ἡ ἐν Παμφυλίᾳ τοπικὴ Σύνοδος, ἕτερον ἀντ' αὐτοῦ Μητροπολίτην Σίδης κατεστήσατο· ὡς δὲ μετὰ ταῦτα μεταμεληθεὶς παρέστη τῇ ἐν Ἐφέσῳ Συνόδῳ ὀλοφυρόμενος, καὶ μόνον τὸν Ἐπισκοπικὸν βαθμὸν ἀναλαβεῖν ἐξῃτήσατο, τοῦτον αὐτῷ πρὸς οἰκονομίαν ἡ Σύνοδος ἀπέδωκε, καὶ ἐπιστολὴν περὶ τούτου πρὸς τὴν ἐν Παμφυλίᾳ τοπικὴν Σύνοδον ἔγραψεν (ἣν ἴδε ἐν τῷ συντάγμ. τῶν κανόνων ὑπὸ Γ. Α. Ῥάλλῃ καὶ Μ. Ποτλῇ, Τόμ. Β', σελ. 206). Οἴονται τοίνυν ὅ τε Βαρώνιος καὶ Ἰάγερος ταῦτα καὶ Φώτιον ἐν τοῖς λόγοις τούτοις ὑπὲρ Ἰγνατίου προβάλλειν, ὅπως ἐκεῖνον μὲν ἐξιλεώσῃ, ἑαυτὸν δὲ ἀνενόχλητον ἐπὶ τοῦ Πατριαρχικοῦ συντηρήσῃ θρόνου (ἴδε Βαρων. ann. 861, n. XLIII. καὶ Ἰαγέρου Ἱστορίαν, σελ. 67). Ἀλλ' ἡ τοιαύτη τῶν Φωτίου λόγων ἑρμηνεία τοσοῦτον, ἔμοιγε δοκεῖν, τῆς ἀληθείας ἀφίσταται, ὅσον οὐρανὸς ἀπὸ γαίης. Οὐδὲν γὰρ Φώτιος οὔτε λέγει οὐθ' ὑπονοεῖ περὶ Ἰγνατίου ἐν τοῖς λόγοις τούτοις· ἀλλὰ περὶ τοῦ ξυρᾶσθαι λέγων, κανόνα ὑποδείκνυσι περὶ τούτου ὑπάρχοντα, ὃν ἐν Σίδῃ γενόμενον ἡ Ἀνατολικὴ Ἐκκλησία ἐγίνωσκέ τε καὶ ἐτήρει, καὶ μέχρι νῦν ἔτι σεβασμίως τηρεῖ, καλῶς ποιοῦσα καὶ προσηκόντως. Ὅτι δὲ τοιοῦτος κανὼν ἐγένετο ἐν τῇ τοπικῇ ἐκείνῃ Συνόδῳ, τῇ κατὰ τῶν Μασσαλιανῶν ἐν ἔτει 383 ἀθροισθείσῃ, ἔκ τε τῶν Φωτίου τούτων λόγων καταφαίνεται, καὶ ἐξ ὧν Ἐπιφάνιος κατηγορεῖ τῶν Μασσαλιανῶν, ὡς ξυρωμένων τὸν πώγωνα. Καὶ Ἰάγερος δὲ αὐτὸς κανόνα ὁρίζοντα (Συνοδικὸν ὅρον, ὥς φησι Φώτιος) δίδωσι νοεῖν διὰ τῆς ἑαυτοῦ μεταφράσεως "Si nous avions proposé le canon de Synode de Sida." Ἄλλως τε δὲ καὶ τῷ Εὐσταθίῳ ὁ Ἐπισκοπικὸς ἀπεδόθη βαθμός, οὐ πράξει τῆς ἐν Σίδῃ, ἀλλὰ κελεύσει τῆς ἐν Ἐφέσῳ Συνόδου. Δῆρος οὖν πλατὺς ἃ περὶ τούτου λέγουσιν ὅ τε Βαρώνιος καὶ Ἰάγερος, τοῦτο δὴ πάσχοντες προφανέστατα τὸ τῆς παροιμίας, "ἄλλο γλαύξ, ἄλλο κορώνη φθέγγεται." Ἄλλα γὰρ Φώτιός φησιν, ἄλλα δ' οὗτοι παραλαλοῦσιν. Περὶ δὲ τῆς ἐν Σίδῃ Συνόδου ἴδε Φωτίου Μυριόβ. (κ. 52) καὶ Θεοδωρ. Ἐκκλ. Ἱστ. Δ', ιά. Ὅρα δὲ καὶ ἐν Πηδαλίῳ τὴν 10ην σημ. ἐν σελ. 175—6.

[2] Τοῦτο ἀσύγγνωστος ἦν παράβασις, ἅτε παρὰ τὸν ΞΣΤ'. κανόνα τῶν Ἀποστόλων καὶ τὸν ΝΕ' τῆς ΣΤ' οἰκουμ. Συνόδου γινόμενον. Καὶ ὅρα τοὺς κανόνας τούτους ἐν τῷ προειρημένῳ συντάγματι (Τόμ. Β'. σελ. 84 καὶ 434)· ἔνθα Ζωναρᾶς τὸν τῆς Συνόδου κανόνα ἑρμηνεύων λέγει. "Διορθώσασθαι τὸ σφάλμα τοῦτο τῶν Λατίνων ἡ Σύνοδος ἐπεχείρησεν· ἀλλ' ἀδιόρθωτοι καὶ αὖθις οἱ ἀλαζόνες ἔμειναν τε καὶ μένουσι, κ.τ.λ." Ὁ δὲ Βαλσαμών "Καὶ δι' ἄλλα πολλὰ (λέγει), τέως δὲ καὶ διὰ τὸν παρόντα κανόνα λέγουσιν οἱ τῆς παλαιᾶς Ῥώμης μὴ εἶναι τὴν ἁγίαν ταύτην Σύνοδον οἰκουμενικήν."

Digitized by Google

εὑρεῖν ἐν Ῥώμῃ Πρεσβύτερον· ἡμεῖς δὲ καὶ τοὺς μονογαμίᾳ τὸν βίον ῥυθμίζοντας εἰς Πρεσβυτέρου φέρειν βαθμὸν ἐδιδάχθημεν· καὶ τούς γε διακρινομένους ἐξ αὐτῶν λαβεῖν τοῦ Κυριακοῦ σώματος τὴν μετάληψιν πανταχόθεν ἀποκλείομεν, ἐξ ἴσου τούς τε πορνείαν νομοθετοῦντας καὶ τοὺς γάμου νόμον ἀναιροῦντας λογιζόμενοι.[1] Πάλιν, ἄν τις παρ' ἡμῖν τὴν τοῦ Πρεσβυτέρου παρελθὼν χειροτονίαν τὴν τοῦ Ἐπισκόπου τῷ Διακόνῳ περιθείη, ὡς εἰς τὰ καίρια ἐξημαρτηκὼς κατακρίνεται· τισὶ δὲ παραπλήσιον ἀπὸ Πρεσβυτέρου προάγειν Ἐπίσκοπον, καὶ ἀπὸ Διακόνου τὴν μέσην τάξιν ὑπεραλλόμενον εἰς τὸ τῆς Ἐπισκοπῆς ἀναρπάζειν ἀξίωμα. Καίτοι γε ἡλίκον καὶ ὅσον τὸ μέσον ἐν τούτοις! Ἄλλαι μὲν γὰρ καθ' ἑκάστην τάξιν καὶ βαθμὸν εὐχαί, ἄλλαι δὲ τελεταί, καὶ ὑπουργίαι πάλιν ἕτεραι, ἄλλαι δὲ καιρῶν παραφυλακαί, καὶ δοκιμασίαι τρόπων ἕτεραι. Ἀλλ' ὅπερ τις νομοθεσίαν οὐ παρεδέξατο, τοῦ μὴ συντηρεῖν ἀπολογίαν τὸ μηδὲ παρειληφέναι προβαλλόμενος, οὐκ ἂν εὐθύνας ἀπαιτηθήσεται. Εἰ δέ τις παρ' ἡμῖν τοῦτο δεδρακὼς ἐξελήλεγκτο, οὐδεὶς ἂν αὐτῷ συγγνώμης οὐδὲ ῥανίδα ἐπέσταξεν. Τῶν γὰρ ἐλαττόνων νόμων ἡ παράβασις ἀτιμώρητος πρὸς τὴν τῶν μειζόνων ἐπιτρίβει καταφρόνησιν. Ἄλλοις ἅπαξ μονάσασιν ἡ κρεωφαγία, οὔ τοί γε βδελυσσομένοις, ἀλλ' ἀσκουμένοις, μέχρι τέλους ἀπρόσιτος· ἑτέροις δὲ ἐπὶ πολὺ παρατηρήσιμος. Ἐγὼ δὲ καὶ λόγον παρὰ ἀνδρῶν πρὸ πολλοῦ τιμώντων ἤκουσα τὴν ἀλήθειαν, ὡς τὸν τὴν Ἀλεξανδρέων Ἐκκλησίαν ἐφορᾷν μέλλοντα καὶ λόγον ὑποσχεῖν ἐκβιάζονται, ἀπό τινος ἐπιχωρίου περιπετείας τούτου κρατήσαντος, μὴ ἄν ποτε τῆς κρεωφαγίας ἀφίστασθαι. Καὶ σχῆμα μὲν τοῦ μονάσαντος οὐκ ἄν τις παρ' ἡμῖν εἰς Κληρικοῦ μετασχηματίσειεν· ἔνιοι δέ, ἐπειδὰν πρὸς Ἐπισκοπῆς ὕψος τὸν μοναστὴν ὑψοῦν ἐθελήσωσι, τοῦτον[2] περίτροχα κείροντες, τὸ πρότερον μεταμείβουσι σχῆμα. Οὕτως ἐν οἷς οὐκ ἔστι πίστις τὸ ἀθετούμενον, οὐδὲ κοινοῦ τε καὶ καθολικοῦ ψηφίσματος ἔκπτωσις, ἄλλων παρ' ἄλλοις ἐθῶν τε καὶ νομίμων φυλαττομένων, οὔτε τοὺς φύλακας ἀδικεῖν, οὔτε τοὺς μὴ παραδεξαμένους παρανομεῖν, ὀρθῶς ἄν τις κρίνειν εἰδὼς διορίσαιτο. Καίτοι γε τὸ νομισθὲν ἡμῖν[3] εἰς ἐπίκλημα πρὸς ἔνια τῶν κατηριθμημένων οὐδ' ἐν συγκρίσει τὸ ἀνεύθυνον ἀποφέρεται· ἀλλὰ τὰ μὲν εἰς τὴν τῶν ἐκθέσμων καὶ βδελυκτῶν ἀπελαύνει[4] χώραν, αὐτὸ δὲ τῆς τῶν ἐπαινετῶν καὶ καλλίστων μερίδος ἐξήρτηται· καὶ τὸ μὲν καὶ πεπράχθαι καὶ διαπράττεσθαι μέχρι νῦν πεπαῤῥησιασμένῃ καὶ φωνῇ καὶ γνώμῃ καὶ

---

[1] Ὅρα περὶ τούτου τὸν Δ' κανόνα τῆς ἐν Γάγγρᾳ Συνόδου ἐν τῷ συντάγμ. τῶν καν. (Τόμ. Β', σελ. 103). Ταύτην δὲ τὴν παρανομίαν τῶν Λατίνων αὐστηρότερον ἐλέγχει ἐν τῇ ἐγκυκλίῳ πρὸς τοὺς τῆς Ἀνατολῆς Ἀρχιερατικοὺς θρόνους, ἔνθα φησίν. "Καὶ δὴ καὶ τοὺς ἐνθέσμῳ γάμῳ Πρεσβυτέρους διαπρέποντας, οἱ πολλὰς κόρας χωρὶς ἀνδρὸς γυναῖκας δεικνύοντες, καὶ γυναῖκας παῖδας ἐκτρεφούσας, ὧν οὐκ ἔστι πατέρα θεάσασθαι, οὗτοι τοὺς ὡς ἀληθῶς θεοῦ ἱερεῖς μυσάττεσθαι καὶ ἀποστρέφεσθαι παρεσκεύασαν."— Ἴδε τῆς ἀμέσως ἑπομένης ἐπιστολῆς § έ καὶ τὰ ἐκεῖ σημειωθέντα.

[2] Οὕτως ἄμεινον τῶν ἄλλων ἔγραψε καὶ Μίγνιος, ἀντὶ—τοῦτο. Τὸ δὲ "περίτροχα κείροντες" τὸ καὶ μέχρι νῦν ἐπικρατοῦν παρὰ τοῖς Δυτικοῖς ἔθος τοῦ κύκλῳ κείρειν τὰς ἐν τῇ κεφαλῇ τρίχας τῶν ἱερουμένων δηλοῖ. Ὅθεν Ἰάγερος τοῦτο μεταφράζει "on lui laisse une couronne de cheveux."

[3] Ἡμ. διόρθ. ἀντὶ—ὑμῖν—παρὰ τοῖς ἄλλοις, πλὴν Μιγν.

[4] Ἡμ. διόρθωσις, ἀντί—ἀπελαύνειν—παρὰ τοῖς ἄλλοις ἅπασιν.

Digitized by Google

προσώπῳ κηρύσσεται (πῶς γὰρ οὐκ ἂν σεμνολογηθείη τις, ὅτι μήπω λήξεως ἱερωμένων τυχών, οὕτω τὴν ἑαυτοῦ πολιτείαν ἐρρύθμισεν, ὥστε καὶ ὑπ' αὐτῶν τῶν κεκληρωμένων τὴν ἱερωσύνην καὶ παντὸς τοῦ ἄλλου πληρώματος εἰς Ἀρχιερέα προκρίνεσθαι;)· τὰ δὲ οὐδ' ὅτι πράττεται, ὅσα ἐμὲ γινώσκειν, συνωμολόγηται τοῖς ἁμαρτάνουσι, τῇ ὑπερβολῇ τοῦ ἀτοπήματος ἴσως (ἢ οὐκ οἶδ' ὅ,τι καὶ εἴπω) τῶν δεδρακότων ἀλλασσομένων μᾶλλον τῆς ἀληθείας τὴν ἄρνησιν. Τίς γὰρ σαββατίζειν ἐν Χριστιανοῖς τελῶν, κἂν μυριάκις ὑπενεχθείη τούτοις, οὐκ ἂν ἐξομόσαιτο; τίς δὲ γάμον βδελύττεσθαι ἔνθεσμον, εἰ μὴ τὰ τῶν δυσσεβῶν καὶ ἀθέων ἐπιπροσθείη καὶ τοῦ δημιουργοῦ καὶ τῆς ἐκεῖθεν ἀγαθοειδῶς οὐσιωθείσης ὑποστάσεως; τίς δὲ τῶν Δεσποτικῶν καὶ Πατρικῶν καὶ Συνοδικῶν δογμάτων (ἵνα μὴ καθ' ἕκαστον λέγω) οὐκ ἂν αἰσχυνθείη καὶ πράττων ὁμολογῆσαι τὴν ἐξουδένωσιν;[1] Ἐκ μέντοι λαϊκῶν ἱερὰν πολιτείαν ἐπαγῃρημένον εἰς Ἀρχιερέα προάγεσθαι, ἀκόλουθον ἄγαν, καὶ Πατράσι θείοις οὐ λόγοις καθωμιλημένον, ἀλλ' ἔργοις αὐτοῖς διαπεπραγμένον, ἐπὶ μεγάλῳ κέρδει τῆς Νύμφης Χριστοῦ Ἐκκλησίας κατὰ διαφόρους καιροὺς ἐπιδέδεικται. Ὅρα δέ, εἰ βούλει, πρὸς τοῖς εἰρημένοις καὶ τὰς τῶν λειτουργιῶν ἑτερότητας, τὰς ἐν ταῖς εὐχαῖς, τὰς ἐν ταῖς ἐπικλήσεσι, τὰς ἐν τάξει καὶ ἀκολουθίᾳ, τὰς ἐν τῷ τοῦ χρόνου μήκει καὶ τῇ βραχύτητι, τὰς ἐν πλήθει καὶ ὀλιγότητι· καίτοι δι' αὐτῶν (ὦ τοῦ θαύματος!) ὁ κοινὸς ἄρτος εἰς σῶμα Χριστοῦ μεταβάλλεται, καὶ ὁ κοινὸς οἶνος αἷμα χρηματίζει τοῦ λύτρου[2] ἡμῖν ἐξ οἰκείας πλευρᾶς τοῦτο σὺν ὕδατι βλύσαντος. Καὶ ἡ τῶν εἰρημένων ἑτερότης τε καὶ παραλλαγὴ τὴν ἐνοειδῆ καὶ θεοποιὸν χάριν τοῦ Πνεύματος ἀπληθύντως τε καὶ ἀπαραλλάκτως ὑποδέξασθαι τὰ ἐφ' οἷς ταῦτα τελεῖται οὐ διεκώλυσεν. Ἀλλὰ καὶ μάρτυρες μὲν παρ' ἡμῖν καὶ τοῖς παρ' ἡμῖν κανόσι μέχρι τριῶν ἀριθμούμενοι, ἂν ἄλλως ἀδιάβλητοι τύχωσιν, ἱκανοὶ πιστώσασθαι τὴν ἀλήθειαν,[3] κἂν εἰς Ἐπισκόπου ληφθῶσιν ἐπίκλημα·[4] παρ' ἄλλοις δέ, ἂν μὴ τὸν ἑβδομήκοντα δῆμον[5] τὸ τῶν μαρτύρων

---

[1] Αἱ τρεῖς αὗται ἐπάλληλοι ἐρωτήσεις τρεῖς εἰσι δεινόταται πληγαὶ κατὰ τῶν καινοτομούντων Λατίνων· διαῤῥήδην γὰρ ἐν αὐταῖς τοῖς δυσσεβέσι καὶ ἀθέοις συγκαταριθμοῦνται, ὡς τὰ Δεσποτικὰ καὶ Πατρικὰ καὶ Συνοδικὰ ἐξουδενοῦντες προστάγματα. Καὶ ὅμως Ἰάγερος οὐδὲν ἐπ' αὐταῖς ἐκπέμπει ἐπιφώνημα, ἀλλὰ πεφίμωται, καὶ τῆς πληγῆς ἔχεται (Ἴδε τὴν ά σημ. ἐν τῇ ά παραγράφῳ τῆσδε τῆς ἐπιστολῆς).

[2] Οὐκ οἶδ' ὅπως Ἰάγερος, καὶ ἐξ αὐτοῦ Μίγνιος, κατὰ Γεν. ἔγραψαν—τοῦ λύτρου.

[3] "Οὐκ ἐμμενεῖ μάρτυς εἰς μαρτυρῆσαι κατὰ ἀνθρώπου κατὰ πᾶσαν ἀδικίαν. . . . . Ἐπὶ στόματος δύο μαρτύρων, καὶ ἐπὶ στόματος τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα (Δευτερον. ΙΘ', 15). Ὅθεν καὶ τὸ παρὰ Ματθαίῳ· "Ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα (κεφ. ΙΗ', 16). Καὶ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ (Ι', 28) λέγει· "Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει."

[4] Ἀποστόλων καν. ΟΕ', οὗ τὴν ἑρμηνείαν ὑπὸ Βαλσαμῶνος ἴδε ἐν τῷ Συντάγμ. τῶν κανόνων κ.τ.λ. (Τόμ. Α', σελ. 96 καὶ 97). Ἀλλὰ καὶ κατὰ Πρεσβυτέρου τὸν αὐτὸν κανονίζει ἀριθμὸν τῶν μαρτύρων ὁ Παῦλος ἐν τῇ Α' πρὸς Τιμόθ. ἐπιστολῇ (κεφ. Ε', 19) λέγων. "Κατὰ Πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων."

[5] Δῆμον ἐνταῦθα = ἀριθμόν.

Digitized by Google

ὑπερεκπέσῃ πλῆθος, ἀνέγκλητος ὁ κατηγορούμενος·[1] κἂν ἐπ' αὐτοφώρῳ ληφθῇ, ἀπολύεται.

ζ'. Ἐπιλείψει με ἡ ἡμέρα τὰς τοιαύτας διαφορὰς ἐπιλέγοντα· ἀρκεῖν δ' ἡγοῦμαι καὶ τὰς εἰρημένας τοῖς εὐγνώμοσι, καὶ οἷς μὴ μᾶλλον ἐράσμιον τοῦ συνιέναι τὸ διελέγχεσθαι. Τί δὲ καὶ σχῆμα τριχῶν, καὶ χρόνου παράτασις, εἰς ἱερωσύνης ἀντίληψιν δύναται; Ὁ μὲν γὰρ τρόπος τὸν ἄνδρα καὶ πρὸ τοῦ σχήματος τῆς ἱερωσύνης δείκνυσιν ἄξιον, κἂν μήπω τις αὐτῷ τὴν χεῖρα ἐπιτιθῇ, κἂν μὴ ἐπιλέγῃ τὴν εὐχήν· πολλοὺς δὲ φυγὼν ὁ τρόπος ἐπὶ σχήματος μένειν τοὺς σχήματι σεμνυνομένους ἐγκατέλιπεν.[2] Ἡ μὲν γὰρ τῶν τριχῶν περικοπὴ σημεῖόν ἐστι πολιτείας καθαρευούσης ἔργων νεκρῶν· ὁ δὲ τὸν ἑαυτοῦ βίον ἀκηλίδωτον, ὅση δύναμις, συντηρῶν, κἂν ἡ τοῦ σημείου σάλπιγξ οὔπω ἠχήσῃ, τὸν βίον αὐτοῦ κηρύττουσα καθαρόν, οὗτος οὐδὲν ἐμοὶ τοῦ φέροντος τὸ σημεῖον ἐνδεέστερος εἰς ἀρετήν. Καὶ ταῦτα φαμέν, οὐχ ἑαυτοὺς ἀποσεμνύνοντες, μή τι γένηται· ἐπίσης γὰρ ἡμεῖς τῶν τε τρόπων καὶ τοῦ σχήματος ἀπελιπόμεθα. Καὶ τοσούτου[3] δέω ταῦτα λέγειν περὶ ἐμαυτοῦ, ὥστε καὶ εὐλογώτερον εἶναί φημι τοῖς βουλομένοις ἐπισκώπτειν ἡμᾶς ἀπὸ τῶν τρόπων μᾶλλον τῶν τῆς ἱερωσύνης ἀξίων, ἢ ἀπό γε τοῦ σχήματος ἐπανίστασθαι. Οὐχ ὑπὲρ ἡμῶν οὖν ταῦτα, ἀλλ' ὑπὲρ ὧν καὶ πρόσθεν ἔφημεν, γράφεται. Πατέρων γὰρ κακῶς ἀκουόντων, δέδοικα τὸ μὴ ὑπεραγωνίζεσθαι· τὸ[4] γὰρ σιγᾷν, παρὸν ὑπεραγωνίζεσθαι, καὶ τὸ τῆς κωμῳδίας ἀπάρχεσθαι οὐ κατὰ πολὺ τὸ διάφορον· τὸ δὲ παραλοίας ὑπέχειν γραφὴν καὶ ἡ φύσις μυσάττεται. Οὔκουν Ταράσιος ἢ Νικηφόρος ὑπαίτιοι, οἳ τὸν βίον τοῦ θρόνου καὶ πρὸ τοῦ σχήματος ἐπεδείξαντο ἄξιον· οὐδ' Ἀμβρόσιος κακῶς ἀκούσει καὶ δυσωπήσει, εὖ οἶδ' ὅτι, καὶ Λατίνων εἰ μή τις ἄλλος· Ἀμβρόσιος, Λατινίδος ὑπάρχων καλλώπισμα, καὶ Λατίνων γλώσσῃ πολλὰ καὶ ψυχωφελῆ συγγραψάμενος.[5] Οὐδὲ μὴν Νεκτάριος ὑπὸ μῶμον πεσεῖται·[6] Σύνοδον γὰρ ἔσχεν οἰκουμενι-

---

[1] Ἡμάρτηται πάντως τὸ παρὰ Μιγν.—καθηγούμενος.

[2] Ὅθεν δὴ καὶ Ἰταλῶν παῖδες, πολλὰς εἰς ἐπίγνωσιν τῆς ἀληθείας ταύτης λαβόντες ἀφορμάς, τὴν γνωστὴν ἐκείνην ἐξήνεγκον παροιμίαν "L'abito non fa il monaco."

[3] Ἡμ. διόρθ. ἀντί—τοσοῦτον—παρὰ πᾶσι τοῖς ἄλλοις.

[4] Ἡμ. διόρθ. ἀντί—τί—ἐν Τ. Χ. Ἰάγερος δὲ τοῦτο Ἑλληνιστὶ μὲν ἀκατανοήτως ἔγραψεν· "τί γάρ, σιγᾷν παρόν, ὑπεραγωνίζεσθαι, καὶ τὸ τῆς κωμῳδίας ἀπάρχεσθαι οὐ κατὰ πολὺ τὸ διάφορον;" Γαλλιστὶ δὲ ὀρθῶς μετέφρασεν· "Car se taire, lorsqu'on peut les défendre, c'est jouer en quelque sorte le rôle d'un comédien." Δῆλον οὖν ἐντεῦθεν, ὡς αὐτὸς ὢν Ἑλληνιστής (ὥς γε δίδωσιν ἡμῖν εἰκάζειν ἐξ ὧν ἀποτολμᾷ ποιεῖν μικρῶν διορθώσεων ἐν τῷ τοῦ Δοσιθέου κειμένῳ), ὅμως τὴν μετάφρασιν ἐκ Βαρωνίου ἐποιήσατο, οὐκ ἐκ τοῦ Ἑλληνικοῦ κειμένου. Φέρεται γὰρ τοῦτο παρὰ Βαρωνίῳ οὑτωσί· "nam tacere, cum defendendi potestas sit, et comoediis incessere, non multum distat."

[5] Περὶ Ἀμβροσίου καὶ τῶν πολλῶν αὐτοῦ καὶ ψυχωφελῶν συγγραμμάτων ὅρα Κ. Κοντογόνου τὴν Φιλολογ. καὶ Κριτ. ἱστορ. τῶν ἁγίων Πατέρων κ.τ.λ. (Τόμ. Β', σελ. 615—701, ἐν Ἀθήναις 1853.)

[6] Καὶ περὶ Νεκταρίου τοῦ Γρηγόριον τὸν Ναζιανζηνὸν διαδεξαμένου ἴδε ἐν τῇ αὐτῇ Ἱστορίᾳ (Τόμ. Β'. σελ. 704—6)· ἔτι δὲ καὶ Θεοφ. Χρονογρ. Τόμ. Α', σελ. 107—8, καὶ Γ. Κεδρηνοῦ Σύνοψ. ἱστορ. Τόμ. Α', σελ. 553.

Digitized by Google

κὴν κυροῦσαν αὐτῷ τῆς Ἐπισκοπῆς τὸ ἀξίωμα·[1] ὃν εἴ τις ἐνδιασῦραι πειράσοιτο, οὐκ αὐτόν, ἀλλὰ τήν γε Σύνοδον ὑπὸ δίκην μᾶλλον ποιεῖ. Καίτοι τούτων ἑκάτερος οὐκ ἐκ λαϊκοῦ μόνον ἐπὶ τὴν τῆς Ἀρχιερωσύνης προῆλθε τελείωσιν, ἀλλὰ κἀν τοῖς ἀμυήτοις ἐξεταζόμενοι, ὁμοῦ τε τῆς δωρεᾶς τοῦ βαπτίσματος καὶ τῆς Ἀρχιερατικῆς ἠξιώθησαν χάριτος. Εἰ δὲ τούτων οὐδέτερον οὐδεὶς ἂν ἐν εὐθύναις λογίζεσθαι τολμᾷ, οὐδ' εἰ πάντα θρασὺς εἴη, οὐδὲ Ταράσιον τὸν ἡμέτερον πατρόθειον,[2] οὐδέ γε Νικηφόρον τὸν καὶ τοῦ γένους καὶ τοῦ θρόνου καὶ τῶν τρόπων ἀξίως διάδοχον. Ἐῶ δὲ τὰ νῦν τὸν[3] τοῦ θεολόγου Γρηγόριον, καὶ τὸν Καισαρείας Θαλάσσιον, καὶ τῶν λοιπῶν Ἀρχιερέων τὸν θίασον, οἳ κατὰ τὴν ὁμοίαν τάξιν τε καὶ ἀκολουθίαν τὰς τῶν Ἐκκλησιῶν προστασίας ἀναδεξάμενοι, παντὸς ψόγου καὶ διαβολῆς ἁπάσης κρείττους ἐγένοντο.[4]

ή. Ἀλλὰ ταῦτα μὲν ὑπὲρ ὧν προσῆκον ἦν ῥηθῆναι καὶ εἴρηται. Ὑπὲρ ἡμῶν δὲ ἓν εἴρηται, καὶ εἰρήσεται, ὡς ἄκοντες καὶ εἰσήχθημεν, καὶ μέχρι τοῦ νῦν ὡς κατεχόμενοι καθεζόμεθα.[5] Ἐν πᾶσι δὲ τὸ πειθήνιον τῇ πατρικῇ ὑμῶν ἐπιδεικνύντες ἀγάπῃ, ἔτι δὲ σαφῶς παριστῶντες μὴ φιλονεικίας χάριν τὰ ῥηθέντα, τῆς δὲ τῶν μακαρίων Πατέρων ἡμῶν ἀθωώσεως εἰρῆσθαι, Συνοδικῶς ἐκφωνηθῆναι συνευδοκήσαμεν, μηκέτι τοῦ λοιποῦ πρὸς τὸ τῆς Ἐπισκοπῆς ὕψος ἀθρόως ἀνάγεσθαι τοὺς ἐκ λαϊκῶν ἢ μοναχῶν ψηφιζομένους, εἰ μὴ διὰ τῶν ἐφεξῆς ἱερατικῶν βαθμῶν διοδεύσωσιν.[6] Ἐν οἷς γὰρ σκανδάλου νόσος τοῖς ἀδελφοῖς ἐπιφύεται, ἂν μὴ μέγα βλάπτῃ τὸ ἰάσασθαι, εἰ[7] καὶ, ἄφετε αὐτούς, ἐδιδάχθημεν, σκανδαλίζεσθαι,[8] ὅταν τινὲς ἑκόντες τῷ φθόνῳ τυφλώττωσιν, ἕτοιμοι λύειν ἡμεῖς τοῦ σκανδάλου τὴν πρόφασιν, καὶ ῥᾴστην παρέχειν τῇ ἀφαιρέσει τοῦ συνταράσσοντος τὴν θεραπείαν τοῦ ἀῤῥωστήματος.[9] Τὸ μὲν οὖν ἐπὶ τῶν προγεγενημένων

---

[1] Τὴν Β' Οἰκουμενικήν· καὶ ὅρα κατωτέρω τὴν πρὸς τὸν Ἄρχοντα Βουλγαρίας ἐπιστολήν (§ ή).

[2] Ἴδε περὶ τούτου ἐν τοῖς ἔμπροσθεν (Προλ. § κέ σημ.)

[3] Ἐννοητ.—πατέρα—. Καὶ ὅρα περὶ τούτου τὴν προμνημονευθεῖσαν Κοντογόνου Ἱστορίαν (Τόμ. Β', σελ. 532—3).

[4] Οὐκ ὀλίγα τοιαῦτα παραδείγματα ἐν Τόμῳ Χαρᾶς (σελ. 114—115) ἰδεῖν ἐστιν ἐκτιθέμενα. Ὅρα δὲ καὶ "Ἐπίμετρον εἰς τὴν ἐπίκρισιν" ἐν τῷ Β' Τόμῳ τῶν Παπιστικῶν ἐλέγχων (σελ. 209).

[5] Καὶ ἐνταῦθα οὐδεμίαν βλέπει Ἰάγερος ἀλήθειαν· ὅθεν καὶ πάλιν ἐπιφωνεῖ· " nouvelle affirmation mensongère!" εἰκότως. "Καθάπερ γὰρ τὸ τοῦ ἡλίου φῶς οὐκ ἔστι θεάσασθαι ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ ὄψει, οὕτω καὶ ἔτι μᾶλλον τὴν ἀλήθειαν οὐκ ἔστιν ἰδεῖν ἀσθενεῖ καὶ ἀδυνάτῳ τῇ διανοίᾳ·" καὶ κατ' ἄλλην ἄλλου σοφοῦ γνώμην, "ὥσπερ οὐ δυνατὸν ὀφθαλμῷ τεθολωμένῳ ἀκριβῆ τῶν ὁρωμένων κατάληψιν [προσθ. ποιεῖσθαι], οὕτως οὐδὲ τεθολωμένῃ ψυχῇ τῇ κατανοήσει τῆς ἀληθείας ἐπιβαλεῖν. (Ῥηγῖνος παρὰ Στοβ. Τόμ. Α', σελ. 129· καὶ Μάξιμος παρὰ τῷ αὐτῷ, Τόμ. Δ', σελ. 76. Προσθῆκαι· ἔκδ. Θ. Γαισφόρδου, 1822.)

[6] Ὅρα τῆς ἐν Κωνσταντινουπόλει Α' καὶ Β' Συνόδου καν. ΙΖ', ἐν τῷ Συντάγμ. τῶν Κανόνων (Τόμ. Β' σελ. 701).

[7] Ἡμ. διόρθ. ἀντὶ—ἐπεὶ—παρὰ πᾶσι τοῖς ἄλλοις.

[8] Ματθ. ΙΕ', 12—14.

[9] Δεινότατον τὸ τραῦμα, ὃ τοῖς λόγοις τούτοις κατὰ τῆς τῶν Λατίνων καταφέρει κεφαλῆς, νοσεῖν λέ-

Digitized by Google

ἀποδέχεσθαι τὴν συμβουλήν, καὶ τὸν παρ' ὑμῖν κανόνα κρατεῖν ἀξιοῦν, κατὰ Πατέρων ἦν τὴν ὕβριν ἀναμετρεῖν, καὶ τοὺς μηδὲν ἠδικηκότας δίκην ἀπαιτεῖν· τὸ δ' εἰς τοὺς ἔπειτα γενησομένους συγχωρεῖν, καὶ παραπέμπειν κρίσει πολλῶν, οὔτε Πατράσιν ὕβριν ἐμποιεῖ, οὔτε ποινὴν ἄδικον, ἀλλ' οὐδὲ ζημίαν ἐπάγει τισί. Δεῖ γὰρ τὰ τεθέντα φυλάσσειν, καὶ Πατράσι τέκνα δίκαιόν τε καὶ ὅσιον πειθαρχεῖν. Δι' ὃ τὸ μὲν οὐ προσηκάμεθα, ἀλλ' ἀπεδοκιμάσαμεν, καὶ τοῖς ἄλλοις ἀποδοκιμάζειν συνεβουλεύσαμέν τε καὶ συμβουλεύσομεν· τὸ δὲ καὶ προσῳκειωσάμεθα,[1] καὶ Συνοδικῶς διεπραξάμεθα. Καὶ εἴθε πάλαι ἡ Κωνσταντινουπολιτῶν Ἐκκλησία τὸν κανόνα τοῦτον φυλάττουσα κατεφαίνετο· οὕτω γὰρ ἂν ἴσως ἐγὼ τῆς ἀφορήτου βίας καὶ τῶν ἐπιῤῥεόντων μοι καὶ συμπνιγόντων πειρατηρίων τὸν ὄχλον ἐξέφυγον. Ἀλλ' ἑτέροις μὲν ἐπὶ σωτηρίᾳ καὶ ἀπαλλαγῇ φροντίδων ὁ κανὼν ἀναγέγραπται· ἐμοὶ δὲ τῆς ἀλλεπαλλήλου τῶν πόνων τε καὶ καμάτων ἐπιῤῥοῆς τίς μηχανὴ τῆς ἀπαλλαγῆς εὑρεθήσεται; τοὺς ἀστηρίκτους στηρίξαι· τοὺς ἀμαθεῖς ἐκδιδάξαι· τοὺς ἀπαιδεύτους παιδεῦσαι· καὶ τότε[2] λόγῳ πειρᾶσθαι, οἳ μόλις ἐπιστρέφονται καὶ ταῖς μάστιξι· τοὺς θρασεῖς ἑλκῦσαι· τοὺς βλακώδεις ἀνδρῶσαι· τοὺς φιλαργύρους πεῖσαι χρημάτων ὑπερφρονεῖν, καὶ φιλοπτώχους εἶναι· τοὺς φιλοτίμους χαλιναγωγῆσαι, καὶ τιμῆς ἐρᾷν ἐθίσαι, ἥτις τιμιωτέραν καὶ θειοτέραν ψυχὴν ἀπεργάζεται· τοὺς ὑπερηφάνους κατασπᾶσαι, καὶ μετριοφρονεῖν παρορμῆσαι· τοὺς ἐκπορνεύοντας ἀνακόψαι, καὶ σωφρονεῖν καταρτίσαι· τοὺς ἀδικοῦντας κωλῦσαι, καὶ δικαιοπραγεῖν παρασκευάσαι· τοὺς ὀργίλους ἡμερῶσαι· τοὺς ὀλιγοψύχους παραμυθήσασθαι (καὶ τί δεῖ τὰ κατὰ μέρος ἀριθμεῖν;)· τῶν ἐθίμων, παθῶν τε καὶ κακιῶν, ἃ ψυχὰς ἐδούλωσε, καὶ σώματα κατερῥύπωσε, καὶ ἀκόντων τῶν κατεχομένων, σπεύδειν ἀπαλλάξαι, καὶ Χριστῷ παραστῆσαι γνησίους θεράποντας. Καὶ πῶς ἄν τις τηλικούτων τε καὶ τοσούτων πραγμάτων φροντίζειν τεθείς, οὐ τὴν ἀφαίρεσιν μᾶλλον ἢ τὴν ἐγχείρησιν τῆς Ἀρχῆς ἐπιζητήσειεν; Κύκλῳ πάλιν οἱ ἀσεβεῖς, οἱ μὲν τὴν εἰκόνα Χριστοῦ διαπτύοντες, καὶ Χριστὸν αὐτὸν ἐν ταύτῃ διασύροντες, οἱ δὲ τὰς αὐτοῦ[3] φύσεις συγχέοντες, ἢ ἀπαρνούμενοι, ἄλλης φύσεως καινοτέρας

γων αὐτοὺς νόσον σκανδάλου, καὶ ἑκόντας τῷ φθόνῳ τυφλώττειν, καὶ τούτους συναριθμῶν τοῖς ἀσυνέτοις ἐκείνοις, περὶ ὧν εἶπεν ὁ Σωτήρ, "ἄφετε αὐτοὺς σκανδαλίζεσθαι·" καὶ ὅμως Ἰάγερος οὐδὲν οὐδ' ἐνταῦθα ἐπιφωνεῖ, τῆς πληγῆς, ὡς ἔοικεν, ἐχόμενος.

[1] Ἐκ διορθ. Ἰαγέρου, ἀντὶ—προσοικειωσάμεθα—ἐν Τ. Χ.

[2] Καί τότε = καὶ ταῦτα = καὶ μάλιστα. σύνηθες δὲ τοῦτο Φωτίῳ. Οὕτω λέγει καὶ ἐν ἐπιστ. ΚΔ'. "Ὃν οὐδὲν δύναται χωρίσαι τῆς ἀγάπης Θεοῦ . . . . πῶς αὐτὸς ἑκουσίως ἀφίσταται, καὶ τότε ὑπὲρ τῶν κατὰ σάρκα συγγενῶν;" καὶ ἐν Ἐπιστ. ΣΙΓ'. "σὺ δὲ ζῶντας ἀνθρώπους ὅλους αὐταῖς περιουσίαις, καὶ τότε τρυφῶν (= καὶ ταῦτα πλουτῶν) ἀνέδην οὕτω καταπίνων κ.τ.λ." Τοῦτο δ' Ἰάγερος οὐ συνιδὼν διορθωτέον εἶναι ᾠήθη "τῷ λόγῳ." Καὶ ἀτυχὴς ἐν τῇ διορθώσει, ἔτι ἀτυχέστερος ἐγένετο ἐν τῇ σημειώσει, ἣν ἐν τῷ ὡραιοτάτῳ τούτῳ μέρει τῆς ἐπιστολῆς κατὰ Φωτίου προσέθηκε, λέγων, ὅτι τὰ τοῦ Ἐπισκόπου καθήκοντα ἐκτίθησιν, ὅπως δὴ ἑαυτὸν ἐπιδείξηται νοοῦντά τε ταῦτα καὶ ἄξιον τούτων ὄντα (Hist. de Photius, p. 72). Τοιαύτη γὰρ περὶ Φωτίου σημείωσις καὶ τοῦ γελοίου πέραν ἔστηκεν, οἰκτιρμοῦ μᾶλλον ἢ γέλωτος ἄξιον καταδεικνῦσα τὸν γράψαντα.

[3] Ἡμ. διόρθ. ἀντὶ—ἑαυτῶν—παρὰ πᾶσι τοῖς ἄλλοις.

Digitized by Google

ἐπεισαγωγῇ τὰς[1] προτέρας ἐξορίζοντες, καὶ τὴν τετάρτην Σύνοδον μυρίαις ταῖς βλασφημίαις καθυποβάλλοντες· πρὸς οὓς ἡμῖν ὁ πόλεμος ἀναῤῥιπισθείς, καὶ χρόνῳ συχνῷ συγκροτηθείς, εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ πολλοὺς ᾐχμαλώτευσεν. Τίς δέ μοι δοίη καὶ τὸ πᾶν ἰδεῖν αἰχμαλωτιζόμενον; Αἱ ἀλώπεκες πάλιν τῶν φωλεῶν ὑπεκδύνουσαι, καὶ τοὺς τῶν πολλῶν ἀφελεστέρους, ἢ εὐηθεστέρους, ὀρνιθίοις ἴσα δι' ἀπάτης κατεσθίουσαι· τὰς σχισματικὰς ἀλώπεκας λέγω, ὧν ἐν κρυπτῷ ἡ κακία, καὶ ἡ βλάβη πολὺ τῶν προφανῶς ἐπιβουλευόντων χαλεπωτέρα. Καὶ γὰρ εἰσιόντες εἰς τὰς οἰκίας, κατὰ τὸν θεῖον Ἀπόστολον, ἐξαπατῶσι γυναικάρια σεσωρευμένα ἁμαρτίαις,[2] πορισμὸν αὐτοῖς γαστριμαργίας καὶ κενοδοξίας καὶ τῆς ἄλλης ἁπάσης ἡδυπαθείας καὶ ἀκαθαρσίας τὴν κατὰ τῆς Ἐκκλησίας ἐπιτεχνώμενοι ἐπανάστασιν. Φιλεῖ γὰρ ὡς τὰ πολλὰ τῶν ἀγελαίων ὁ τρόπος διὰ τὸ τῆς γνώμης ἠῤῥωστηκὸς καὶ ἀστήρικτον ταῖς καινοτομίαις τε καὶ ταῖς νεωτεροποιΐαις προσκεχηνέναι μᾶλλον, ἢ τοῖς καθεστηκόσι καὶ καλῶς[3] κειμένοις προσεπερείδεσθαι. Ὧν ἁπάντων εἰ καὶ τὸ πῦρ τοῦ θράσους καὶ τῆς παροινίας τῇ Συνοδικῇ κατεσβέσθη ψήφῳ, τῆς Ὑμῶν πατρικῆς Ὁσιότητος διὰ τῶν τιμιωτάτων αὐτῆς τοποτηρητῶν τὴν κατ' αὐτῶν ἐπικυρούσης ἀπόφασιν, ἀλλ' οὖν ὁ καπνὸς ἔτι δάκνει καὶ ἀνιᾷ τοὺς ἐπισκοπεῖν ἐμμελῶς τὸ ποίμνιον προαιρουμένους, καὶ τὸ μικρὸν τῶν ποιμαινομένων ἁμάρτημα μεγάλην σφῶν λογιζομένους ζημίαν. Ἴσως δὲ τοῖς τυπωθεῖσι κανόσιν, οἷς ὁλόκληρος ἡ Ῥωμαίων Ἐκκλησία συντετήρηται, σχισματικαῖς οὐ μεριζομένη μανίαις, καὶ ὁ καπνὸς διασκεδασθῇ, καὶ τὸ ζοφῶδες ἐκριπισθῇ, καὶ ἡμῖν τῆς ἀθυμίας ἀναψυχὴ πορισθήσεται. Οὐ γὰρ μόνος ὁ προῤῥηθεὶς κανὼν κατὰ τὴν ὑμετέραν παραίνεσιν φυλάττεσθαι δεδικαίωται, ἀλλά γε δή, συνευδοκούντων ἁπάντων, καὶ ἕτεροι παραδέδονται, ὧν τὸ κράτος καὶ πολλὴν τῇ Ἐκκλησίᾳ τὴν εἰρήνην βραβεύει, καὶ τὴν ὀφειλομένην τιμήν τε καὶ δόξαν εἰς τοὺς πάλαι μὲν παρειληφότας, νυνὶ δὲ καὶ μεταδόντας, διβιβάζει. Καὶ οὐδεὶς ἂν τῶν ὑπὸ τῆς Ὑμῶν θεομακαρίστου πατρότητος διορισθέντων τυπωθῆναι παραλέλειπτο, εἰ μή τις Βασιλικὴ ἀνάνευσις, πλέον ἰσχύσασα τοῦ ἡμετέρου θελήματος, περὶ τῶν λοιπῶν ἀποθεσπίσαι οὐ παρεχώρησεν. Διὸ ἅμα[4] τῶν τιμιωτάτων τοποτηρητῶν συμφέρον ἡγησάμενος μὴ ἐν τῇ ἐπιζητήσει τοῦ παντὸς συναπολέσαι τὸ πᾶν, ἐν τῇ ἀπολήψει τῶν πλειόνων τὴν ἐν τοῖς ὑπολοίποις ζημίαν τε[5] ἂν ὑπέστημεν. Ἄριστον μὲν γὰρ ὧν τις ἐφίεται μηδενὸς ἐκπεσεῖν·

[1] Ἡμ. διόρθ. ἀντὶ—ἐπεισαγωγητὰς προτέρας—ἐν Τ. Χ. Ἰάγερος δὲ τοῦτο διορθοῦν ἐπιβαλόμενος ἔγραψεν "ἄλλης φύσεως καινοτέρας ἐπεισαγωγητὰ προτέρας ἐξορίζοντες·" καὶ Μίγνιος δὲ κατ' Ἰάγερον ἔγραψεν. Ἀλλὰ παντί γε δῆλον, ὡς ἐκ παροράματος γραφικοῦ ἢ τυπογραφικοῦ τὸ ἄρθρον ΤΑΣ συνήφθη τῇ Δοτικῇ "ἐπεισαγωγῇ," κἀντεῦθεν προῆλθε τὸ ἐν Τόμῳ Χαρᾶς "ἐπεισαγωγητάς." Ἀναγκαῖον γὰρ πάντως τὸ ἄρθρον διὰ τὸ ὡρισμένας εἶναι καὶ ὁμολογουμένας τὰς δύο τοῦ Χριστοῦ φύσεις, περὶ ὧν ὁ λόγος ἐνταῦθα.—Ὅρα δὲ καὶ Ἀμφιλ. Προλεγ. σελ. ιθ'. σημ. ζ'.

[2] "Ἐκ τούτων γάρ εἰσιν οἱ εἰσδύνοντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, κ.τ.λ." (Παῦλος ἐν τῇ Β' πρὸς Τιμόθ. Γ', 6—8).

[3] Ἐκ διορθ. Ἰαγέρου, ἀντὶ—καλῶν—ἐν Τ. Χ.

[4] Ἴδε τὰ περὶ τούτου ἐν τοῖς ἔμπροσθεν (ἐπιστ. Α', § έ) σημειωθέντα.

[5] Ἄμεινον ἔγραψε Μίγνιος—γε.

Digitized by Google

ἀπρονόητον δέ, πλειόνων διδομένων, περὶ τῶν οὐ διδομένων πολυπραγμονεῖν, καὶ φιλονεικοῦντα περὶ τούτων, πάντων ἑαυτὸν ἀποστερεῖν. Δι' ὃ περὶ ὧν ἡ γνώμη σύμφωνος ἐξενήνεκται, Συνοδικῶς τούτους ἐξεθέμεθα, οὓς ἐν τῷ γραμματίῳ μετὰ τῶν προεκτεθέντων ὑφ' ἡμῶν συνυπετάξαμεν.

θ'. Περὶ δέ γε τῶν τὰς χειροτονίας αὐτόθεν πάλαι λαμβανόντων ἐκοινολογήσαντο ἡμῖν οἱ τῆς Ὑμῶν Ὁσιότητος τοποτηρηταί, ὡς χρεὼν εἴη τούτους ἐπαναστραφῆναι, καὶ πρὸς τὴν οἰκείαν παλινδρομῆσαι προμήτορα.[1] Ἀλλ' εἰ μὲν ἐν ἡμῖν τὸ τοῦ βουλήματος κῦρος ἔκειτο, καὶ μὴ συνεμεμέριστο τῇ Βασιλείᾳ ἡ πρᾶξις, οὐκ ἂν ἀπολογίας ἔδει, αὐτὸ δὲ τὸ ἔργον κρεῖττον ὂν τῆς ἀπολογίας ἐδείκνυτο. Ἐπεὶ δὲ τὰ Ἐκκλησιαστικά, καὶ μάλιστά γε τὰ περὶ τῶν ἐνοριῶν δίκαια, ταῖς πολιτικαῖς ἐπικρατείαις τε καὶ διοικήσεσι συμμεταβάλλεσθαι εἴωθεν, ἡ τῆς Ὑμῶν Ὁσιότητος εὐγνωμοσύνη τὸ ἡμῶν ἐπι τὸ συνευδοκεῖν εἰς τὸ παρασχεῖν ἀποδεχομένη θέλημα, τὸ μὴ λαβεῖν τῆς πολιτικῆς, ἀλλ' οὐχ ἡμέτερον, λογιζέσθω ἔγκλημα. Ἐγὼ γὰρ οὐχ ἃ πάλαι ὑπ' ἄλλους ἐτέλει μετὰ τοῦ δικαίου καὶ τῆς φίλης εἰρήνης ἀναστρέφειν πρόθυμος, ἀλλὰ καὶ τῶν ἀνέκαθεν τῷ θρόνῳ τούτῳ προσανατιθεμένων,[2] εἴ τις ἰσχύων ἐπιτροπεύειν ἠξίου, ἑτοίμως ἂν παρεχώρησα τῷ δυναμένῳ μᾶλλον πλειόνων ἀντέχεσθαι. Καὶ γὰρ ὁ μέν ἐμοί τι τῶν οὐ προσόντων προστιθείς, οὗτος τὸ βάρος πλέον ἐστιν ὁ ἐπιτιθείς· μερίμνης γὰρ αὔξησιν ποιεῖ· ὁ δὲ καὶ τῶν προϋπαρχόντων τινὰ σὺν ἀγάπῃ λαβεῖν ἐπιζητῶν μᾶλλον ἐμοὶ χάριν διδόντι, ἢ αὐτῷ λαμβάνοντι κέρδος προξενεῖ· ἐλαφρότερον γάρ μοι τὸ φορτίον τῆς ἐπιστασίας ἀποτελεῖ. Εἰ δ' ὁ τὰ ἐμὰ λαμβάνων σὺν ἀγάπῃ καὶ προσκαταβάλλειν χάριν ἀνωμολόγηταί μοι, τῷ τὰ οἰκεῖα ζητοῦντι πῶς ἄν τις οὐ δώσει χαίρων, μηδενὸς ὑπάρχοντος ἐμποδών, μάλιστά γε τηλικούτῳ πατρί, καὶ διὰ τοιούτων θεοφιλῶν καὶ σπουδαίων ἀνδρῶν ποιησαμένῳ τὴν αἴτησιν; Ἄνδρες γὰρ ὡς ἀληθῶς οἱ τῆς Ὑμῶν πατρικῆς τελειότητος τοποτηρηταὶ συνέσει τε καὶ ἀρετῇ καὶ πολυπειρίᾳ διαπρέποντες, καὶ οὐδὲν ἧττον διὰ τῆς οἰκείας πολιτείας, ἢ οἱ Χριστοῦ μαθηταί, τιμῶντες τὸν ἀποστείλαντα·[3] οἷς τὰ πλείω τῶν ὀφειλόντων καὶ ῥηθῆναι καὶ γραφῆναι προσανεθέμεθα, ἅτε δὴ πεπεισμένοι καὶ λέγειν αὐτοὺς τἀληθῆ δυνατούς, καὶ πολὺ πλέον τῶν ἄλλων ἀξίους πιστεύεσθαι. Καὶ ἐβουλόμην μὲν ὅλως μηδὲν γράψαι περὶ ἡμῶν, μάλιστά γε τῆς Ὑμῶν πατρικῆς Ὁσιότητος οὐ διὰ γραμμάτων, διὰ δὲ τῶν οἰκείων τοποτηρητῶν πληροφορηθῆναι κρινάσης· ἀλλ' ἵνα μὴ τὸ μηδὲ τὴν ἀρχὴν ἐθέλειν γράφειν παροράσεως αἴτιον νομισθῇ, τούτου χάριν ἐν ἐπιδρομῇ τὰ καθ' ἡμᾶς διεξήλθομεν, πολλῶν ὄντων, καὶ σχολῆς πολλῆς δεομένων τῶν παραλελειμμένων. Αὐτόπται δὲ καὶ αὐτήκοοι[4] οἱ θεοσεβέστατοι τοποτηρηταὶ τῶν πλειόνων γεγονότες, δύναιντ'

---

[1] Ἴδε καὶ περὶ τούτου τὰ ἐν τοῖς ἔμπροσθεν (Προλ. § λγ') σημειωθέντα.

[2] Ἴσ. ὀρθότ.—προσανατεθειμένων.

[3] Ἴδε περὶ τῶν τοποτηρητῶν τούτων τὰ ἐν τοῖς ἔμπροσθεν (Προλ. § λδ') εἰρημένα.

[4] Ἡμ. διόρθ. ἀντὶ—ὑπήκοοι—ἐν Τ. Χ. καὶ παρ' Ἰαγέρῳ. Μίγνιος δὲ—ἐπήκοοι—ἔγραψεν.

Digitized by Google

ἂν ἅπαντα σαφῶς ἀναδιδάξαι, τῆς Ὑμῶν μεγαλοφυεστάτης συνέσεως διαπυνθάνεσθαι βουλομένης.

ί. Ὁ δέ, ῥηθῆναι δέον, μικροῦ με παρέδραμε, τοῦτο δὴ καὶ προσθεὶς καταπαύσω τὸν λόγον, τῆς ἐπιστολῆς εὐλαβούμενος τὸ μῆκος.[1] *[Ἡ τῶν ἀληθῶν κανόνων φυλακὴ σπουδαίῳ μὲν ἐποφείλεται παντί, πολὺ δὲ πλέον τοῖς ἀπευθύνειν τὰ τῶν ἄλλων ὑπὸ τῆς Προνοίας ἠξιωμένοις· καὶ τούτων ἔτι μάλιστα τοῖς ἐν αὐτοῖς τούτοις πρωτεύειν λαχοῦσιν. Ὅσῳ γὰρ ὑπερέχουσι, τοσούτῳ νομοφυλακεῖν ὀφείλουσι· θᾶττόν τε γὰρ τὸ ἐκείνων ἐλάττωμα, οἷα δὴ κειμένων ἐν ὕψει, εἰς πάντας περιαγγέλλεται, κἀκεῖθεν τοὺς ἄλλους*

---

[1] *Μέχρι μὲν τοῦδε τὸ τῆς ἐπιστολῆς κείμενον ἔκ τε τοῦ Τόμου Χαρᾶς καὶ ἐκ τῆς Ἰαγέρου Ἱστορίας εἴληπται· τὰ δ' ἐφεξῆς ἐν ἀγκύλαις περιειλημμένα ἐκ τοῦ συγγράμματος τοῦ Καρδιναλίου Ἀγγέλου Maῖου* (Nova Bibliotheca Patrum. Tom. IV. p. 51), *ὃς ἐξ ἀπογράφου ἐν τῇ Οὐατικανῇ ἀποκειμένου βιβλιοθήκῃ τὰ τοῖς ἄλλοις ἐλλείποντα συνεπλήρωσεν. Ἡ γὰρ ἐν Τόμῳ Χαρᾶς (ἐξ ἧς καὶ ἡ Ἰαγέρου) ἔκδοσις ἡμαρτημένον καὶ ἐλλιπὲς φέρει τὸ τέλος τῆς ἐπιστολῆς, οὑτωσὶ τελειουμένης. "Ἡ τῶν ἀληθῶν "κανόνων φυλακὴ σπουδαίῳ μὲν ἐποφείλεται παντί, πολὺ δὲ πλέον τοῖς ἐπευθύνειν τὸν μισθὸν τῆς "προθυμίας, τῆς περὶ τὴν ἀποστολὴν τοῦ νομισθέντος ἐπιθύμου, κἂν ἐκεῖνος "ἐπὶ Λίνον ἦν τὴν ἀπαλλαγὴν τῆς πλάνης ἀντικαταβαλλόμενος." Ἐκ τοῦ αὐτοῦ δὲ Maῖου παραλαβὼν καὶ Μίγνιος συνεπλήρωσε τὴν ἐπιστολὴν ἐν τῇ ἐκδόσει τῶν Φωτίου συγγραμμάτων. Καί ταῦτα μὲν περὶ συμπληρώσεως τῆς ἐπιστολῆς. Ἐξέστω δ' ἡμῖν, οἷον παρὰ Λύδιον ἅρμα πεζοῖς οἰχνεύουσι, τὸ τοῦ Λυρικοῦ, μικρὰ τῷ σοφῷ Καρδιναλίῳ Maῖῳ ὑπὲρ τῆς ἀληθείας ἀντειπεῖν καὶ τοῦ δικαίου. Ὁ γὰρ μέγας ἄλλως ἐν λόγοις καὶ σοφὸς οὗτος ἀνήρ, τὴν τῆς ἐπιστολῆς ἀναπλήρωσιν ποιούμενος, παρασημειοῖ, ὅτι ταύτην ἀναγινώσκων ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ (ὃν δὴ καὶ διάσημον ἄνδρα καὶ τὴν Ἱστορίαν αὐτοῦ λόγου ἀξίαν ἀποκαλεῖ !!!), ταχὺ διέγνω διεφθαρμένον τὸ τέλος ὄν· ὃ καὶ Ἰάγερος, οἷα δὴ πολυμαθὴς ἀνήρ, κατενόησε μέν, οὐκ ἠδυνήθη δὲ ἀναπληρῶσαι τὸ ἐλλεῖπον. Περὶ τούτου τοίνυν καθ' ἑαυτὸν ὁ σοφὸς Μάϊος ἀνασκοπούμενος, πιθανώτατον εὑρίσκει, ὅτι τὸ τῆς ἐπιστολῆς τέλος ὁ σχισματικὸς ἐκδότης τοῦ Τόμου Χαρᾶς, ἢ ἄλλός τις τῶν ἐν Βλαχίᾳ, δόλῳ ἀπέκρυψεν ἑκών, ὡς δῆθεν ἀπᾴδον τοῖς ἄλλοις τοῖς ἐν τῷ Τόμῳ ἐκείνῳ περιεχομένοις συγγράμμασι κατὰ τῆς Λατινικῆς Ἐκκλησίας, μάλιστα δὲ κατὰ τῶν πρωτείων τοῦ Πάπα. Διαῤῥήδην γὰρ Φώτιος* (λέγει δὲ ταῦτα Μάϊος) *ἐν τέλει τῆς ἐπιστολῆς ταύτης τὸ τοῦ Πάπα πρωτεῖον ἀνομολογεῖ, ἅτε λέγων—"καὶ τούτων ἔτι μάλιστα τοῖς ἐν αὐτοῖς τούτοις πρωτεύειν λαχοῦσιν."— Οὐ μὴν ἀλλὰ καὶ τὸ τοῦ Πάπα ποδοφίλημα οὐκ ὤκνησεν εἰπεῖν ὅτι Φώτιος ἀποδεχόμενος φαίνεται καὶ τιμῶν, ἐν οἷς εἶπε—"καὶ τῶν τιμίων αὐτῆς ἀπολαύειν ἰχνῶν."— Ταῦτα μὲν περὶ τούτου ὁ σοφὸς ὑποσημειοῖ Μάϊος. Ἡμεῖς δὲ πρὸς ταῦτα τολμῶμεν ἀντειπεῖν, ὅτι τὸ μὲν τὴν Ἰαγέρου θαυμάζειν καὶ τιμᾷν πολυμάθειαν φθόνος οὐδείς· τὸ δὲ λέγειν Φώτιον ἐν ταῖς λέξεσιν ἐκείναις τὸ τοῦ Πάπα πρωτεῖον ἀνομολογεῖν ἀνάξιόν ἐστι τῆς Maῖου σοφίας. Οὐ γὰρ περὶ μόνου τοῦ Πάπα ταῦτα λέγει Φώτιος, ἀλλὰ περὶ πάντων τῶν ἐν τῷ Κλήρῳ πρωτεύειν λαχόντων, οἷοί πέρ εἰσιν οἱ Ἀρχιερεῖς, καὶ μάλιστα οἱ Πατριάρχαι· ἄτοπον γὰρ ἂν εἴη τὸν μὲν Πάπαν μονον ἐθέλειν φύλακα τῶν κανόνων εἶναι πιστόν, τοὺς δ' ἄλλους τοὺς πρωτεύοντας μὴ τοιούτους εἶναι. Τοῦτο δὲ κατάδηλον γίνεται οὐκ ἐκ τῶν ἓξ λέξεων, ἃς ἐμεγαλογράφησε Μάϊος (ΤΟΙΣ ΕΝ ΑΥΤΟΙΣ ΤΟΥΤΟΙΣ ΠΡΩΤΕΥΕΙΝ ΛΑΧΟΥΣΙΝ), ἀλλ' ἐξ ἁπάσης τῆς περιόδου, οὕτως ἐννοουμένης·— "Ἡ τῶν ἀληθῶν κανόνων φυλακὴ σπουδαίῳ μὲν ἐποφείλεται παντί* (τοῦτ' ἔστι—παντὶ ὡς ἀληθῶς Χριστιανῷ), *μάλιστα δὲ τοῖς ἐπευθύνειν τὰ τῶν ἄλλων ὑπὸ τῆς Προνοίας ἠξιωμένοις* (τοῦτ' ἔστι—πᾶσι τοῖς ἐκ τοῦ Κλήρου, τοῖς ὑπὸ τῆς Προνοίας τεταγμένοις τὸ τοῦ Χριστοῦ ποιμαίνειν ποίμνιον)· *καὶ τούτων ἔτι μάλιστα τοῖς ἐν αὐτοῖς τούτοις πρωτεύειν λαχοῦσι* (τοῦτ' ἔστιν—ἅπασι τοῖς Ἀρχιερεῦσι καὶ τοῖς Πατριάρχαις, ὧν εἷς καὶ ὁ Πάπας).— Εἰ δὲ περὶ μόνου ταῦτα ἔλεγε τοῦ Πάπα, ἐνικῶς ἂν εἶπε—"καὶ τούτων ἔτι μάλιστα*

Digitized by Google

δεήσει πρὸς ἀρετὴν ἐπανάγεσθαι, ἢ πρὸς κακίαν ὑποσύρεσθαι. Διὸ δεῖ καὶ τὴν ὑμετέραν πολυέραστον Μακαριότητα, τῆς Ἐκκλησιαστικῆς εὐταξίας ἐν πᾶσι φροντίζουσαν, καὶ τῆς κανονικῆς ἀντεχομένην εὐθύτητος, τοὺς ἄνευ συστατικῶν γραμμάτων πρὸς τὴν τῶν Ῥωμαίων Ἐκκλησίαν ἐντεῦθεν ἀπαίροντας μὴ ὡς ἔτυχεν ὑποδέχεσθαι· μηδὲ φιλοξενίας προσχήματι μισαδελφίας παραχωρεῖν καταβάλλεσθαι σπέρματα. Τὸ μὲν γὰρ καθ' ἑκάστην πρὸς τὴν Ὑμῶν πατρικὴν Ὁσιότητα τοὺς βουλομένους παραγίνεσθαι, καὶ τῶν τιμίων αὐτῆς ἀπολαύειν ἰχνῶν, τοῦτο λίαν ἐμοὶ προσφιλές, καὶ πρὸ πολλῶν ἄλλων τιμώμενον· τὸ δὲ χωρὶς τῆς ἡμετέρας εἰδήσεως, καὶ συστατικῶν γραμμάτων ἄνευ, ἀποδημίας ἀτάκτους ποιεῖσθαι, οὔτε ἡμῖν, οὔτε τοῖς κανόσιν,[1] *ἀλλ' οὐδὲ τῇ Ὑμῶν ἀδεκάστῳ κρίσει εὐπαράδεκτον. Ἐῶμεν γὰρ τ' ἄλλα, ἃ συμβαίνειν εἴωθε, μὴ κατὰ τὸν κανόνα τὰς ἀποδη-*

τῇ Ὑμετέρᾳ Μακαριότητι, τῇ ἐν αὐτοῖς τούτοις πρωτεύειν λαχούσῃ." Νῦν δὲ οὐχ οὕτω λέγει· ἀλλὰ καθόλου περὶ πάντων εἰπὼν τῶν ἐν τῷ Κλήρῳ πρωτευόντων, ἔπειτα μερικώτερον καὶ ἐνικῶς πρὸς τὸν Πάπαν λέγει· "Δι' ὃ δεῖ ΚΑΙ τὴν Ὑμετέραν πολυέραστον Μακαριότητα (οὐ παρ' ἡμῶν δὲ προσδοκᾷ "μαθεῖν Μάϊος, οἵα τίς ἐστιν ἐνταῦθα ἡ τοῦ ΚΑΙ δύναμις), τῆς Ἐκκλησιαστικῆς εὐταξίας ἐν πᾶσι φρον-"τίζουσαν, καὶ τῆς κανονικῆς ἀντεχομένην εὐθύτητος, τοὺς ἄνευ συστατικῶν γραμμά-"των πρὸς τὴν τῶν Ῥωμαίων Ἐκκλησίαν ἐντεῦθεν ἀπαίροντας μὴ ὡς ἔτυχεν ὑποδέχεσθαι." Ταῦτα ὀρθότερον σκοπούμενος Μάϊος, τάχ' ἂν εὕροι τοὐναντίον λέγοντα Φώτιον, ἢ ὅπερ αὐτὸς βούλεται νοεῖν· ἀντὶ γὰρ τοῦ τὸ πρωτεῖον ἀνομολογεῖν τοῦ Πάπα, ἐλέγχει αὐτὸν καὶ ἐπιτιμᾷ, ὅτι τῶν κανόνων ἐπαγγελλόμενος προστατεῖν, καὶ καταβοῶν Φωτίου, ὡς δῆθεν παρὰ τοὺς κανόνας Πατριαρχεύσαντος, αὐτὸς τοὺς ἀληθεῖς καὶ ὑπάρχοντας παραβαίνει. Λέγει τοίνυν αὐτῷ δεῖν τοῖς ἄλλοις τοῖς πρωτεύουσι ταὐτὰ ποιεῖν, ἕνα καὶ αὐτὸν ὄντα τῶν πρωτευόντων, καὶ τῶν ἀληθῶν κανόνων φυλακὴν ἔχειν, καὶ μὴ τῶν μὲν ἀγνώστων κανόνων ὑπερμαχεῖν, τῶν δὲ ἀληθῶν κατολιγωρεῖν. (Ἴδε τοὺς κανόνας τούτους ἐν τῇ ἑφεξῆς σημειώσει.) Ταῦτα λέγει Φώτιος· ταῦτα καὶ τὸν σοφὸν δεῖ νοεῖν Μάϊον, καὶ μὴ τῆς εὐθείας ἐκκλίνειν, μηδὲ τὸν τοῦ Τόμου ἐκείνου ἐκδότην καὶ τοὺς ἐν Βλαχίᾳ αἰτιᾶσθαι σχισματικούς, ὅτι τὸ τῆς ἐπιστολῆς ἀπέκρυψαν τέλος, ὡς δῆθεν τὴν Φωτίου συγκαλύψοντες αἰσχύνην· Ἰαγέρου γάρ, ἀλλ' οὐ Μαΐου, τοιαῦτα παραλογίζεσθαι. Περὶ δὲ τοῦ τῶν ποδῶν φιλήματος, ἡμῖν μὲν δοκεῖ ὅτι γραφικόν ἐστιν ἁμάρτημα, καὶ ἴσως ἐξ ἀρχῆς ἐγέγραπτο "τῶν τιμίων αὐτῆς ἀπολαύειν εὐχῶν" εἰ δὲ Μάϊος ἐμμένειν βούλεται τῇ γραφῇ "ἰχνῶν," εὖ ἴστω, ὡς οὐ σπουδάζων λέγει τοῦτο Φώτιος, ἀλλὰ παίζων καὶ καταγελῶν τοῦ τοὺς πόδας φιλεῖσθαι ἀνεχομένου, καὶ οὐ συνιέντος, ὅτι ἀπρεπῆ ταῦτα τῷ τὸν Χριστὸν αὐτὸν ἐκπροσωπεῖν ἐπαγγελλομένῳ· ἐκεῖνος γὰρ οὐχ ὅπως τοὺς ἰδίους πόδας φιλεῖν παρεῖχεν, ἀλλὰ καὶ τοὺς τῶν μαθητῶν ἔνιψε, ταπεινὰ φρονεῖν διδάσκων αὐτούς, καὶ ἔργῳ τὸν λόγον ἐκεῖνον πιστούμενος—"Ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔστω ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος" (Ματθ. Κ', 26). Οὐδαμῶς οὖν ταῦτα σπουδάζων ἔγραψε Φώτιος (εἴπερ ἔγραψεν)· οὐδὲ συνάδει ταῦτα τοῖς ἐν ὅλῃ τῇ ἕκτῃ παραγράφῳ τῆσδε τῆς ἐπιστολῆς, ἔνθα διὰ μακρῶν τὰς τῆς Λατινικῆς Ἐκκλησίας ἐξελέγχει παραβάσεις· ἀτεχνῶς δ' ἂν εἴη παράλογον τὸν ἐκεῖνα ἐξελέγξαντα ταῦτα νῦν παραδέχεσθαι, καὶ πρὸ πολλῶν ἄλλων τιμᾷν, καὶ τοῖς τρισὶν Ἐπισκόποις ἐξομοιοῦσθαι, οἳ τὴν περιβόητον ἐκείνην πρὸς τὸν Πάπαν Ἰούλιον Γ' γράφοντες ἐπιστολήν, καὶ τάδε τελευτῶντες ἔλεγον· "Ἐρρώσθω σου ἡ ἁγιωσύνη διὰ παντός· τῆς ὁποίας τὸν ἁγιώτατον πόδα πρηνεῖς εἰς ἔδαφος καταφιλοῦμεν." (Ἴδε τὴν μέτρ. τῆς ἐπιστ. ἐκείνης καὶ τὴν ὡραιοτάτην περὶ τοῦ ποδοφιλήματος σημείωσιν τοῦ ἀοιδίμου Κοραῆ, σελ. 71, ἔκδ. δευτέρα· ἐν Ἀθήναις 1836.) Ἀλλὰ καὶ παρὰ πάντα τ' ἄλλα μόνη ἀρκέσει δεῖξαι ἡ τῶν δύο πρὸς τὸν Πάπαν Νικόλαον ἐπιστολῶν ἐπιγραφή, ὡς οὐδὲν ἑαυτοῦ καὶ τῶν ἄλλων Πατριαρχῶν ἀνώτερον ἡγεῖτο εἶναι τὸν Πάπαν· οὐδὲν γὰρ πλέον αὐτὸν ἐν ἀμφοτέραις ἀποκαλεῖ, ἢ ἀδελφὸν καὶ συλλειτουργόν.

[1] *Ἀπαγορεύουσι γὰρ τοῦτο δύο τῶν Ἀποστ. κανόνων, ὁ ΙΒ' καὶ ΛΓ'. ἔτι δὲ καὶ τῶν Συνοδικῶν ὁ ΙΑ'*

Digitized by Google

μίας ποιουμένων τῶν ἀποδημούντων,[1] τὰς μάχας, τὰς στάσεις, τὰς ἔριδας, τὰς φιλονεικίας, τὰς διαβολάς, τὰς ἐπιβουλάς, τὰς ἐπαναστάσεις· ἀλλὰ τό γε νῦν ὁρώμενόν τε καὶ πραττόμενον ἐρῶ. Ἐπειδὰν γὰρ ἐνταῦθά τινες διὰ τῆς παθοποιοῦ ῥαστώνης τὸν βίον καταῤῥυπώσωσι, τῶν δὲ πλημμελημάτων εὐθύνας ἀπαιτεῖσθαι ὥσι προσδόκιμοι, μετὰ σεμνῆς τῆς ἐπωνυμίας φυγάδες γίγνονται, προσευχῆς ὄνομα τῇ φυγῇ περιθέμενοι, καὶ πρᾶξιν αἰσχρὰν ὀνομασίᾳ χρηστῇ συγκαλύψαντες· ὧν οἱ μὲν ἀλλοτρίους γάμους διώρυξαν, οἱ δὲ κλοπαῖς ἐαλώκεσαν, ἢ ταῖς μέθαις προεπόθησαν, ἢ ταῖς ἀκολασίαις ἐδουλώθησαν· ἄλλοι δὲ καὶ τῶν ταπεινοτέρων αὐτόχειρες ἐφωράθησαν, καὶ ἄλλοι ἄλλοις πάθεσιν ἀκαθαρσίας συνεσχέθησαν. Οἵ, ἐπειδὰν κατ' αὐτῶν τὴν δίκην ἀφιεμένην, ὥσπερ ἔφημεν, συναίσθωνται, ὁμοῦ πάντα κυκήσαντές τε καὶ συνταράξαντες, δρασμῷ τὰς ἐπὶ τοῖς αἰσχρουργηθεῖσι καὶ τολμηθεῖσι διακρούονται κολάσεις· μήτε ταῖς ἐπιτιμήσεσι σωφρονιζόμενοι, μήτε ταῖς τιμωρίαις θεραπευόμενοι, μήτε τοῦ πτώματος ἀνορθούμενοι, ἀλλ' αὐτοῖς[2] τε καὶ τοῖς ἄλλοις διατελοῦντες ὀλέθριοι· ἐξ ὧν τῷ βουλομένῳ πάθεσι τρυφᾷν ἡ πύλη πλατεῖα τῆς ἀπωλείας ὑπανοίγνυται· ἔχουσι γὰρ τῆς δίκης ἀποφυγὴν[3] τὴν ἐπὶ προφάσει προσευχῆς ἐπὶ Ῥώμην κάθοδον. Ὧν τὴν κακότεχνον μηχανὴν ἡ ὑμετέρα παθοκτόνος καὶ θεοχαρίτωτος ἀνασκοποῦσα κεφαλή, ἄχρηστον αὐτοῖς καὶ ἀτελεσφόρητον τὸν δόλον καὶ τὴν μηχανορράφον ἀποφαινέτω προαίρεσιν, τοὺς ἄνευ συστατικῶν παραγινομένους γραμμάτων μετ' ἐπιμελείας ἐκεῖσε πάλιν ἐπαναστρέφουσα, ὅθεν κακῶς καὶ ἀτάκτως ἐξέφυγον· οὕτω γὰρ ἂν αὐτῶν τε ἐκείνων ἡ σωτηρία πραγματεύοιτο, κοινή τε ἡ φροντὶς πᾶσιν ἐπ' ὠφελείᾳ ψυχῆς τε καὶ σώματος πρυτανεύοιτο.]

ΕΠΙΣΤΟΛΗ Δ'.—4.

Ἐγκύκλιος Ἐπιστολὴ[4] πρὸς τοὺς τῆς Ἀνατολῆς Ἀρχιερατικοὺς Θρόνους, Ἀλεξανδρείας φημί, καὶ τῶν λοιπῶν· ἐν ᾗ περὶ κεφαλαίων τινῶν διάλυσιν πραγματεύεται· καὶ ὡς οὐ χρὴ λέγειν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα προέρχεσθαι, ἀλλ' ἐκ τοῦ Πατρὸς μόνου.

Οὐκ ἦν ἄρα, ὡς ἔοικε, κόρος τῷ πονηρῷ τῶν κακῶν, οὐδέ τι τῶν ἐφευρημάτων

τῆς ἐν Χαλκηδόνι, ὁ ΙΖ' τῆς ἐν Τρούλλῳ, ὁ Ζ' τῆς ἐν Ἀντιοχείᾳ, καὶ ὁ ΚΓ' ἢ ΛΑ' τῆς ἐν Καρθαγένῃ. Καὶ ὅρα μοι, οἵων καὶ ὅσων κανόνων παραβάτην ἐξελέγχει τὸν τῶν κανόνων καὶ ἐθίμων ὑπερμαχεῖν ἐπαγγελλόμενον!

[1] Ἡμ. διόρθ. ἀντὶ—τῶν ἀποδημούντων τὰς μάχας—παρὰ Μαΐῳ.

[2] Ἡμ. διόρθ. ἀντὶ—αὐτοῖς—παρὰ Μαΐῳ.

[3] Ὁμοίως, ἀντὶ—ἀποφυγεῖν—παρὰ Μαΐῳ.

[4] Αὕτη ἐστὶν ἡ περιώνυμος ἐγκύκλιος, ἣ τὸν Πάπαν Νικόλαον οὕτω θορυβήσασα, ὥστε τὴν Δύσιν

Digitized by Google

καὶ μηχανημάτων πέρας, ἃ κατὰ τοῦ ἀνθρωπίνου γένους ἐξ ἀρχῆς ἀνακινεῖν ἐμελέτησεν· ἀλλὰ μυρίαις μὲν ὅσαις ἀπάταις πρὸ τῆς ἐν σαρκὶ τοῦ Δεσπότου παρουσίας τὸν ἄνθρωπον ὑπηγάγετο, εἰς ἀλλοφύλους καὶ παρανόμους ἀποβουκολήσας[1] πράξεις, ἐξ ὧν καὶ τὴν κατ' αὐτοῦ τυραννίδα κατὰ κράτος ἀνεδήσατο, μυρίαις δὲ καὶ μετὰ ταῦτα πλάναις καὶ δελεάσμασιν ὑποσκελίζειν καὶ παρασύρειν τοὺς αὐτῷ πειθομένους οὐ διέλιπεν. Ἐντεῦθεν Σίμωνες καὶ Μαρκίωνες, Μοντανοί τε καὶ Μάνητες, καὶ ἡ ποικίλη καὶ πολύτροπος τῶν αἱρέσεων θεομαχία ἐπλήθυνεν. Ἐντεῦθεν Ἄρειος καὶ Μακεδόνιος καὶ Νεστόριος, Εὐτυχής τε καὶ Διόσκορος, καὶ τὸ λοιπὸν τῆς ἀσεβείας σύνταγμα,[2] καθ' ὧν αἱ ἅγιαι καὶ οἰκουμε-

---

ἅπασαν ἐπὶ συμμαχίαν ἔντρομον ἐπικαλεῖσθαι (Ἴδε Προλεγ. § λή καὶ λθ'). Γέγραπται δὲ ἐν ἔτει 867, ὅτε οἱ δυσσεβεῖς ἐκεῖνοι τοῦ Νικολάου ἀπόστολοι εἰς Βουλγαρίαν ἀφικόμενοι, ἀνυποστόλως ἄλλα τε κατεθρασύνοντο, καὶ δὴ καὶ τὴν πανάθεσμον ἐν τῷ Συμβόλῳ προσθήκην διαῤῥήδην ἀνεκήρυττον. Θαυμαστὴ δὲ πάντως διά τε τὴν ἀκριβῆ τοῦ δόγματος ἑρμηνείαν, λόγοις ἀκαταμαχήτοις τὴν θεοστυγῆ ἐκείνην αἵρεσιν ἀνατρέπουσα, καὶ συνεχείᾳ δεινῶν ἐπιχειρημάτων τὸ τῆς Ἀνατολικῆς Ἐκκλησίας ὀρθόδοξον τρανῶς καταδεικνῦσα. Ὅθεν καὶ τῶν ἑτεροδόξων πολλοὶ θαυμάζουσι τὴν ἐπιστολὴν ταύτην, μάλιστα δὲ Φαβρίκιος, ὃς ἀξιομνημόνευτον καὶ ἀξιολογωτάτην ἀποκαλεῖ—memorabilis ac celebratissima (Ἑλ. Βιβλ. Τόμ. ΙΑ', σελ. 13· ὅρα δὲ καὶ Τόμ. Α', σελ. 701), καὶ Μοντακούτιος, σημαντικὴν ταύτην λέγων—insignis epistola—Ἐκδέδοται δὲ τὸ μὲν πρῶτον ὑπὸ Μοντακουτίου, δευτέρα τεταγμένη ἐν τῇ τῶν Φωτίου ἐπιστολῶν συλλογῇ· ἔπειτα δὲ ὑπὸ Δοσιθέου ἐν Τόμῳ Χαρᾶς, καὶ τελευταῖον ὑπὸ Μιγνίου κατὰ τὴν Μοντακουτίου ἔκδοσιν. Ἰάγερος δὲ τρεῖς τῶν Φωτίου ἐπιστολῶν ἐν τῇ ἑαυτοῦ Ἱστορίᾳ ἐκ τοῦ Τόμου Χαρᾶς μετατυπώσας, τῆσδε τῆς ἐγκυκλίου οὐκ ἐτόλμησεν ἅψασθαι, ἀποναρκώσης, ὡς ἔοικεν, αὐτῷ τῆς χειρός. Εὕρηται δὲ μέρος αὐτῆς καὶ παρὰ Βαρωνίῳ (ann. 863, n. 27) Λατινιστὶ μεθηρμηνευμένον ἐξ ἀπογράφου τῆς ἐν Οὐατικανῷ Βιβλιοθήκης, ἐν ᾧ καὶ ἡ ἐπιγραφὴ φαίνεται οὕτως ἔχουσα· "Ἐγκύκλιος ἐπιστολὴ πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Πατριαρχικοὺς θρόνους.—Φώτιος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης." Κατὰ μέντοι Μοντακούτιον οὐδετέρα τῶν ἐπιγραφῶν τούτων ὑπὸ Φωτίου γέγραπται, ἀλλ' ὑπὸ τῶν ἀντιγραφέων ἀμφότεραι προστέθεινται. Ἐκ Βαρωνίου δὲ Ἰάγερος καὶ τῆσδε τῆς ἐπιστολῆς μέρη τινὰ Γαλλιστὶ μεθηρμήνευσε, πολλὰ κατὰ τὸ εἰωθὸς αὐτῷ προοιμιασάμενος, ὅπως τὴν ἐν τῷ Συμβόλῳ προσθήκην ὀρθῶς ἔχουσαν ἀποδείξῃ, καὶ τὴν Ἀνατολικὴν Ἐκκλησίαν τὴν προσθήκην ταύτην γινώσκουσαν καὶ ἀποδεχομένην πρὸ τοῦ Φωτίου (!!!)· ὅπερ δὴ καὶ ἐν τῷ ἐννάτῳ κεφαλαίῳ τῆς ἑαυτοῦ Ἱστορίας διὰ μακροτέρων διῖσχυρίζεται (Hist. de Photius, p. 345—360). Ἐκεῖ γὰρ τῆς πρὸς τὸν Ἀκυληίας Μητροπολίτην ἐπιστολῆς προκειμένης, ἐν ᾗ περὶ τῆς παναθέσμου προσθήκης ἰδίᾳ πραγματεύεται, καὶ πᾶσαν τῶν αἱρετικῶν πρόφασιν ἄρδην καταστρέφει, πλειόνων ἔδει καὶ Ἰαγέρῳ λόγων πρὸς θεραπείαν τοῦ τραύματος· ἀλλὰ καὶ ἡ βαττολογία ἐκείνη οὐδὲ κεραίαν μίαν τῶν Φωτίου λόγων ἴσχυσε παρατρέψαι. Οὐ μὴν ἀλλὰ καὶ ἄλλοι πρὸ Ἰαγέρου τὸ μέγα τῆς ἐπιστολῆς ταύτης κῦρος καταβαλεῖν ἠγωνίσαντο, μάτην οἱ ταλαίπωροι πρὸς κέντρα λακτίσαντες· ὧν ἐν τοῖς ἔμπροσθεν (Προλ. § λθ') ἐμνήσθημεν. Ἴδε τούτων τοὺς λόγους ἐν περιλήψει ὑπὸ Ἰαγέρου ἐκτιθεμένους (σελ. 159—166) καὶ Ἡλία Δουπίνου τὴν Ἐκκλ. Βιβλιοθ. (Τόμ. Ζ, 109—112) καὶ Παπιστ. ἐλέγχων Τόμ. Β', σελ. 236. Τοὺς δὲ κατὰ τῆς προσθήκης "καὶ ἐκ τοῦ Υἱοῦ" λόγους, τοὺς ἐν τῇδε τε τῇ ἐπιστολῇ καὶ τῇ ἀμέσως ἑπομένῃ, πλατύτερον ἐκτεθειμένους ἴδοι τις ἂν ἐν τῷ "περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας" Λόγῳ Φωτίου, ὃν πρῶτος ἐξέδωκεν Ἐργενροίθηρος ἐν Ῥατισβόνῃ, ὡς ἐν τοῖς ἔμπροσθεν (Προλ. § ξά, Η') εἴπομεν, ἐπ' ἐσχάτων δὲ καὶ Μίγνιος ἐν τῷ Β' Τόμῳ τῶν Φωτίου συγγραμμάτων.

[1] Ἀποβουκολεῖν καθ' Ἡσύχιον = ἐπὶ χρησταῖς ἐλπίσιν ἐξαπατᾶν (σημ. Μοντακ.).

[2] Ὅρα τὴν πρὸς τὸν Ἄρχοντα Βουλγαρίας ἐπιστολήν, ἐν ᾗ τὰ περὶ τῶν αἱρέσεων εἰς πλάτος ἱστορεῖται· ἔτι δὲ καὶ Γερμανοῦ τοῦ Πατριάρχου τὸν περὶ Συνόδων καὶ αἱρέσεων λόγον ἐν τῷ Συντ. τῶν

Digitized by Google

νικαὶ συνεκροτήθησαν ἑπτὰ Σύνοδοι, καὶ τῶν κατὰ τόπους ἱερῶν καὶ θεοφόρων ἀνδρῶν συνελέγη τὰ συστήματα, τὰς πονηρὰς παραφυάδας τῇ μαχαίρα τοῦ Πνεύματος αὐτορρίζους ἐκθερίσαντες, καὶ καθαρὸν παρασκευάσαντες ἀναφυῆναι τῆς Ἐκκλησίας τὸ λήϊον.

β΄. Ἀλλὰ τούτων ἐκποδὼν γεγενημένων, καὶ σιγῇ καὶ λήθῃ παραδεδομένων, ἐλπὶς ἀγαθὴ καὶ βαθεῖα τοῖς εὐσεβέσιν ὑπετρέφετο μὴ ἄν ποτε καινοτέρων δυσσεβημάτων ἐφευρετὰς γενέσθαι, ἐν πᾶσιν, οἷς ἐπείρασεν ὁ πονηρός, εἰς τοὐναντίον αὐτῷ τῶν βουλευμάτων περιτραπέντων· μήτε μὴν τῶν ἤδη κατάκρισιν Συνοδικῶς δεδεγμένων ὑπερασπιστάς τινας καὶ προμάχους ἀναφανῆναι, τῇ καταστροφῇ καὶ τῷ πάθει τῶν ἀρξάντων καὶ τῶν εἰς μίμησιν ἐκείνων ἐλθεῖν μελετώντων ἀνακοπτομένων. Καὶ *ταύταις μὲν ταῖς ἐλπίσιν ὁ εὐσεβὴς λογισμὸς ἐπανεπαύετο· μάλιστα δὲ κατὰ τὴν βασιλεύουσαν πόλιν, ἐν ᾗ πολλὰ Θεοῦ συνεργείᾳ τῶν ἀνελπίστων κατώρθωται, πολλαὶ δὲ γλῶσσαι τὴν προτέραν διαπτυσάμεναι μυσαρότητα, τὸν κοινὸν ἁπάντων πλάστην καὶ δημιουργὸν μεθ' ἡμῶν ὑμνεῖν ἐδιδάχθησαν· ὥσπερ ἀπό τινος ὑψηλοῦ καὶ μετεώρου χώρου τὰς τῆς Ὀρθοδοξίας πηγὰς τῆς βασιλίδος ἀναδιδούσης, καὶ καθαρὰ τῆς εὐσεβείας τὰ νάματα εἰς τὰ τῆς οἰκουμένης διαῤῥεούσης πέρατα, καὶ ποταμῶν δίκην ἀρδευούσης τοῖς δόγμασι τὰς ἐκεῖσε ψυχάς, αἵτινες, χρόνος πολὺς ἐξ οὗ, καταξηρανθεῖσαι τοῖς τῆς ἀσεβείας, ἢ ἐθελοθρησκείας, ὑπεκκαύμασι, καὶ εἰς ἐρήμους καὶ ἀγόνους ἀποχερσωθεῖσαι, ὅμως τὸν τῆς διδασκαλίας ὄμβρον ὑποδεξάμεναι, τὸ Χριστοῦ γεώργιον καρποφοροῦσιν ἐνευθηνούμεναι.* Καὶ *γὰρ οἱ τὴν Ἀρμενίαν οἰκοῦντες, τῷ τῶν Ἰακωβιτῶν ἐνισχημένοι*[1] *δυσσεβήματι, καὶ πρὸς τὸ ὀρθὸν τῆς εὐσεβείας ἀπαυθαδιαζόμενοι κήρυγμα, ἀφ' οὗπερ ἡ πολυάνθρωπος ἐκείνη καὶ ἁγία τῶν Πατέρων ἡμῶν κατὰ Χαλκηδόνα συνεκροτήθη Σύνοδος, τῶν ὑμετέρων εὐχῶν ἡμῖν ἐπαμυνόντων,*[2] *τὴν μακρὰν ἐκείνην πλάνην ἀποθέσθαι ἐνεδυναμώθησαν· καὶ λατρεύει σήμερον καθαρῶς καὶ ὀρθοδόξως ἡ τῶν Ἀρμενίων λῆξις τὴν Χριστιανῶν λατρείαν, Εὐτυ-*

κανόνων (Τόμ. Α΄, σελ. 339—369)· ἀλλὰ καὶ συντομώτερον εὑρίσκονται τὰ περὶ αἱρέσεων ἱστορούμενα ἔν τε τῇ Ὀρθοδόξῳ διδασκαλίᾳ Πλάτωνος Μητροπολ. Μόσχας (Μέρος Β΄, § 6, μετάφρ. Α. Κοραῆ) καὶ ἐν τῇ Κατηχήσει Κ. Οἰκονόμου (§ λ΄. σημ. Β΄).

[1] *Ἡμ. διόρθ. ἀντὶ—ἐνισχήμενοι—ἔν τε Τ. Χ. καὶ παρὰ Μοντακ. Οὕτω δὲ καὶ Μίγν. ὀρθῶς. Ἔστι γὰρ Παρακείμ. ἐξ Ἐνεστῶτος ἐνισχέω· ὅθεν παρὰ Σουΐδα ἐνισχηθέντας = κατασχεθέντας· καὶ παρ' Ἡσυχίῳ ἐνισχημένων = κεκρατημένων. Περὶ δὲ τῆς τῶν Ἰακωβιτῶν αἱρέσεως ἴδε Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β΄, σελ. 29 καὶ 101. Ἐπεὶ δὲ Ἰάκωβος ὁ Ζάνζαλος, ἐξ οὗ οἱ Ἰακωβῖται ἐπεκλήθησαν, μεταγενέστερος ἦν τῆς ἐν Χαλκηδόνι Συνόδου, ὡς ἀκμάσας περὶ τὸ 600 μ. Χ., νοητέον ἐνταῦθα διὰ τοῦ ὀνόματος "Ἰακωβῖται" τοὺς ὕστερον οὕτω κληθέντας λέγειν τὸν Φώτιον· οἱ γὰρ Ἰακωβῖται οὐδὲν ἄλλο ἦσαν, ἢ Εὐτυχιανοί, οἵπερ ἐν τῇ Συνόδῳ τῇ ἐν Χαλκηδόνι τῷ ἀναθέματι ὑπεβλήθησαν· ὥστε κατὰ ταῦτα "τῷ τῶν Ἰακωβιτῶν δυσσεβήματι" νοητέον "τῷ δυσσεβήματι τῶν ἔπειτα κληθέντων Ἰακωβιτῶν, πρότερον δὲ Εὐτυχιανῶν καλουμένων." Ἀπὸ γὰρ τῆς τῶν Εὐτυχιανῶν αἱρέσεως, καθ' ἣς ἡ ἐν Χαλκηδόνι συνεκροτήθη Σύνοδος, ἄλλαι ἀνεφύησαν αἱρέσεις, ὧν ἦν καὶ ἡ ἀπὸ Ἰακώβου τοῦ Ζανζάλου λαβοῦσα τὸ ὄνομα (σημ. Μοντακ.).*

[2] *Εἰ μή τις τοῦτο βούλοιτο γραφικὸν ἐκλαβεῖν ἁμάρτημα, ἀντὶ—ἐπαμυνουσῶν—ὡς ἡμεῖς νομίζομεν, ὁράτω τὰ τῷ σοφῷ Κ. Ἀσωπίῳ περὶ τῶν κατ' ἐπεξήγησιν προσδιορισμῶν καὶ τῶν ἐν αὐτοῖς ἀνωμαλιῶν εἰρημένα ἐν τῇ εἰσαγωγῇ εἰς τὴν Ἑλληνικὴν σύνταξιν (κεφ. Θ΄ καὶ Γ΄), καὶ μάλιστα τὰ ἐν σελ. 59.*

Digitized by Google

χῆ τε καὶ Σεβῆρον καὶ Διόσκορον, καὶ τοὺς κατὰ τῆς εὐσεβείας πετροβόλους Πέτρους, καὶ τὸν Ἁλικαρνασσέα Ἰουλιανόν, καὶ πᾶσαν αὐτῶν τὴν πολύσπορον διασποράν, ὡς ἡ καθολικὴ Ἐκκλησία, μυσαττομένη, καὶ δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος ὑποβάλλουσα.

γ'. Ἀλλά γε δὴ καὶ Βουλγάρων ἔθνος βαρβαρικὸν καὶ μισόχριστον εἰς τοσαύτην μετέκλινεν ἡμερότητα καὶ θεογνωσίαν, ὥστε τῶν δαιμονίων καὶ πατρῴων ἐκστάντες ὀργίων, καὶ τῆς Ἑλληνικῆς δεισιδαιμονίας ἀποσκευασάμενοι τὴν πλάνην, εἰς τὴν τῶν Χριστιανῶν παραδόξως μετενεκεντρίσθησαν πίστιν.[1]

δ'. Ἀλλ' ὢ πονηρᾶς καὶ βασκάνου καὶ ἀθέου βουλῆς τε καὶ πράξεως! Ἡ γὰρ τοιαύτη διήγησις, εὐαγγελίων οὖσα ὑπόθεσις, εἰς κατήφειαν μετατίθεται, τῆς εὐφροσύνης καὶ χαρᾶς εἰς πένθος τραπείσης καὶ δάκρυα. Οὔπω γὰρ ἐκείνου τοῦ ἔθνους, οὐδ' εἰς δύο ἐνιαυτοὺς τὴν ὀρθὴν τῶν Χριστιανῶν τιμῶντος θρησκείαν,[2] ἄνδρες δυσσεβεῖς καὶ ἀποτρόπαιοι (καὶ τί γάρ οὐκ ἄν τις εὐσεβῶν τούτους ἐξονομάσειεν;), ἄνδρες ἐκ σκότους ἀναδύντες (τῆς γὰρ ἑσπερίου μοίρας ὑπῆρχον γεννήματα[3])· οἴμοι! πῶς τὸ ὑπόλοιπον ἐκδιηγήσομαι;[4] οὗτοι πρὸς τὸ νεοπαγὲς εἰς εὐσέβειαν καὶ νεοσύστατον ἔθνος, ὥσπερ κεραυνός, ἢ σεισμός, ἢ χαλάζης πλῆθος, μᾶλλον δὲ οἰκειότερον εἰπεῖν, ὥσπερ ἄγριος μονιός, ἐμπηδήσαντες, τὸν ἀμπελῶνα Κυρίου, τὸν ἠγαπημένον καὶ νεόφυτον, καὶ ποσὶ καὶ ὀδοῦσιν, ἤτοι τρίβοις αἰσχρᾶς πολιτείας καὶ διαφθορᾷ δογμάτων, τό γε εἰς τόλμαν ἦκον τὴν αὐτῶν, κατανεμησάμενοι ἐλυμήναντο.[5] Ἀπὸ γὰρ τῶν ὀρθῶν καὶ καθαρῶν δογμάτων, καὶ τῆς τῶν Χριστιανῶν ἀμωμήτου Πίστεως, παραφθείρειν τούτους καὶ ὑποσπᾷν κατεπανουργήσαντο.

έ. Καὶ πρῶτον μὲν αὐτοὺς ἐκθέσμως εἰς τὴν τῶν Σαββάτων νηστείαν μετέστησαν·[6] οἷδε δὲ καὶ ἡ μικρὰ τῶν παραδοθέντων ἀθέτησις καὶ πρὸς ὅλην τοῦ δόγματος ἐπιτρεψαι

---

[1] Τοῦτο κατὰ Παῦλον λέγει· "Σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς" (πρὸς Ῥωμ. ΙΑ', 17). σημ. Μοντακ.—Ἡμῖν δὲ προσσημειωτέον, ὅτι καὶ νῦν ἀπαράλλακτος διατηρεῖται ἡ λέξις παρὰ τοῖς Ελλησι χωρικοῖς "κεντρίζω καὶ μετακεντρίζω" ἔτι δὲ καὶ "φυλλιάζω·" ὅθεν λέγουσιν "ἀγριλιαῖς κεντρίζω" καὶ "ἀγριλιά (= ἀγριέλαιος) κεντρισμένη." Ἴδε Κοραῆ Ἄτακτα. Τόμ. Δ', ἐν λ. Δέλος καὶ ἐν λ. ἐγκεντρίζω.

[2] Δῆλον ἐντεῦθεν, ὅτι ὑπὸ Φωτίου οἱ Βούλγαροι τὸ Χριστιανικὸν ἔλαβον φώτισμα, καὶ εἰς τὴν τῶν Χριστιανῶν μετενεκεντρίσθησαν πίστιν. Ἴδε ἐν τοῖς ἔμπροσθεν (Προλ. § λζ') καὶ ἐν τοῖς ἑξῆς § κδ' τῆς παρούσης ἐπιστ.

[3] Ἐνταῦθα Ἰάγερος ὑποσημειοῖ· "C'est ainsi que Photius traite les légats du Pape." ἀξιῶν, ὡς ἔοικε, σεβασμίους εἶναι τοὺς τοῦ Πάπα λεγάτους, καὶ ἀθέμιτα κηρύττοντας.

[4] Ὀρθότερον ἐν Ὑποτακτικῇ—ἐκδιηγήσωμαι.

[5] Τοῦτο ἐκ τοῦ Δαβίδ· "Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν." (Ψαλμ. ΟΘ', 14)· μονιὸς δὲ = ἄγριος ὗς κατὰ Φώτιον (ἐν λέξει)· κατ' ἄλλους δὲ = ἄγριος λύκος, ὁ καὶ μονόλυκος καλούμενος. Ἴδε Πλουτ. Δημοσθ. § 20, καὶ τὰς ἐν αὐτῷ σημ. τοῦ Κοραῆ.

[6] Περὶ τοῦ σαββατισμοῦ καὶ τῶν ἄλλων τοιούτων καινοτομιῶν τῆς ἐν Ῥώμῃ Ἐκκλησίας ἴδε τὰ ἐν τῇ Ἀπολογητικῇ ἐπιστολῇ πρὸς τὸν Πάπαν Νικόλαον εἰρημένα (§ έ) καὶ τὰ ἐκεῖ σημειωθέντα.

Digitized by Google

καταφρόνησιν.[1] Ἔπειτα δὲ τὴν τῶν νηστειῶν πρώτην ἑβδομάδα τῆς ἄλλης νηστείας περικόψαντες, εἰς γαλακτοποσίας, καὶ τυροῦ τροφήν, καὶ τὴν τῶν ὁμοίων ἀδηφαγίαν καθείλκυσαν. Ἐντεῦθεν αὐτοῖς τὴν ὁδὸν τῶν παραβάσεων ἐμπλατύνοντες, καὶ τῆς εὐθείας τρίβου καὶ βασιλικῆς διαστρέφοντες, καὶ δὴ καὶ τοὺς ἐνθέσμῳ γάμῳ Πρεσβυτέρους διαπρέποντας οἱ πολλὰς κόρας χωρὶς ἀνδρὸς γυναῖκας δεικνύοντες, καὶ γυναῖκας παῖδας ἐκτρεφούσας, ὧν οὐκ ἔστι πατέρα θεάσασθαι,[2] οὗτοι τοὺς ὡς ἀληθῶς Θεοῦ ἱερεῖς μυσάτ-

---

[1] Οἶδε δὲ καὶ ἡ μικρὰ τῶν παραδοθέντων ἀθέτησις καὶ πρὸς ὅλην τοῦ δόγματος ἐπιτρέψαι καταφρόνησιν! Σοφόν γε τὸ ῥῆμα τοῦτο καὶ θεοφιλέστατον, καὶ μάλιστα προσοχῆς ἄξιον, εἴ τις πολλὰς καὶ παντοίας τὰς ἀθετήσεις τῶν παραδεδομένων ἀποτολμᾷ ποιεῖσθαι, καί, τοῦτ' αὐτὸ τὸ τοῦ θεοπνεύστου Παύλου "κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ Κόσμου, καὶ οὐ κατὰ Χριστὸν" ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ἱερουργεῖ, τῆς εὐθείας τρίβου καὶ βασιλικῆς παρασάγγας ὅλους ἀποπλανώμενος καὶ ἀποπλανῶν." Μάτην δέ, ὡς ἔοικε, τοῖς τοιούτοις ὁ αὐτὸς Παῦλος βοᾷ· "Ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν" (Β'. πρὸς Θεσσαλ. β', 15)· μάτην αὖθις ὁ αὐτὸς ἀνακράζει· "Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί, ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε" (Α' πρὸς Κορ. ιά, 2)· μάτην ὁ Μέγας Βασίλειος διδάσκει "τὴν αὐτὴν ἰσχὺν πρὸς εὐσέβειαν ἔχειν ἀμφότερα, τάς τε παραδόσεις καὶ τὴν ἔγγραφον διδασκαλίαν" (περὶ τοῦ ἁγ. Πνεύμ. κεφ. κζ')· μάτην ὁ αὐτὸς ἀναδιδάσκει λέγων· "Δυσωπητικὰ γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεὶ πολιᾷ τινι τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα" (αὐτόθι κεφ, κθ')· μάτην ὁ Χρυσόστομος ἐμφαντικώτατα τὸ τῶν παραδόσεων σεβάσμιον καθιεροῖ λέγων· "παράδοσις ἐστί; μηδὲν πλέον ζήτει" (Ὁμιλ. δ' εἰς τὴν Β' πρὸς Θεσσαλ. ἐπιστολήν)· μάτην τέλος καὶ αὐτὸς ὁ ἀοίδιμος Κορυφὴς συνῳδὰ τῷ Οὐρανοφάντορι Βασιλείῳ παραινεῖ λέγων· "Εἰς τὰς ἐπιστήμας ἡ τέχνας τὰ νέα εἶναι ὡς ἐπὶ πλέον τὰ καλήτερα· εἰς τὴν θρησκείαν τὰ παλαιὰ μόνα εἶναι τὰ καλά, καὶ μόνα τὰ τέλεια·" καὶ οὐ μόνον τὸν Οὐρανοφάντορα Βασίλειον, ἀλλὰ καὶ Τερτυλλιανὸν παράγει λέγοντα· "Id verius quod prius, id prius quod ab initio."—"τοῦτ' ἀληθέστερον, ὅπερ πρότερον· τοῦτο πρότερον, ὅπερ ἀπ' ἀρχῆς" (Προλ. εἰς τὴν Συμβουλὴν τῶν τριῶν Ἐπισκόπων, σελ. ιστ'). Ἐχώμεθα τοίνυν εὐλαβῶς τῶν σεπτῶν τῆς ἡμετέρας Ὀρθοδόξου Ἐκκλησίας δογμάτων καὶ διδαγμάτων· καὶ μὴ λόγῳ μόνῳ κηρύττωμεν σεβασμίας εἶναι τὰς παραδόσεις, ἀλλὰ καὶ ἔργῳ ταύτας σεβώμεθα, ἵνα μή τις ἡμῖν τὸ τοῦ θεοφόρου Ἰγνατίου ἀναβοήσῃ, λέγοντος· "Οἱ ἐπαγγελλόμενοι Χριστοῦ εἶναι, οὐκ ἐξ ὧν λέγουσι μόνον, ἀλλ' ἐξ ὧν πράττουσι, γνωρίζονται· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Ἀμεινόν ἐστι σιωπᾷν καὶ εἶναι, ἢ λαλεῖν καὶ μὴ εἶναι." (Ἴδε τὴν σημ. ἐν § γ' τῆς ΣΤ' ἐπιστ. Φωτίου.)—Ἰδία δὲ περὶ τῆς ἱερᾶς παραδόσεως πραγματεία, σοφῶς καὶ θεαρέστως συντεταγμένη, εὕρηται ἐν Εὐαγγελ. Κήρυκι. Ἔτ. Β', σελ. 226—231.

[2] Κατὰ μὲν τοὺς πρώτους τῆς Ἐκκλησίας αἰῶνας, ἐν οἷς ἡ τῆς Ῥώμης Ἐκκλησία τὴν τῶν Ἀποστολ. κανόνων διδασκαλίαν ἐτίμα τε καὶ διετήρει, ἦν ἰδεῖν ἐν Ῥώμῃ καὶ ἱερεῖς ἐγγάμους καὶ υἱούς γε Πρεσβυτέρων Πάπας γενομένους· πρῶτος δὲ τὴν τῶν κληρικῶν ἀγαμίαν ὁ Πάπας Σιρίκιος (385—398) διέταξεν· ἀλλ' ἡ διάταξις ἐκείνη πολλοὺς εὑροῦσα τοὺς πολεμίους, οὐκ ἠδυνήθη παντελῶς ἐπικρατῆσαι· ἀλλὰ ποῦ μὲν ἐτηρεῖτο, ποῦ δὲ κατεφρονεῖτο μέχρι Γρηγορίου τοῦ Ζ' (1073—1080), ὃς μετὰ τῶν ἄλλων καὶ τὸ παράλογον τοῦτο ἐνομοθέτησε, μηδένα τῶν Κληρικῶν ἔγγαμον εἶναι, ἀφορισμῷ τοὺς παρ' ἐγγάμων ἱερέων τὴν θείαν Λειτουργίαν ἀκούοντας ἀπειλήσας (Ὅρα Κ. Οἰκονόμου τὴν περὶ τῶν τριῶν ἱερατικῶν τῆς Ἐκκλησίας βαθμῶν ἐπιστολιμαίαν διατριβήν, σελ. 198—202· καὶ τὸν βίον τοῦ Πάπα Σιρικίου ἐν τῇ τῶν Παπῶν Ἱστ. Τόμ. Α', σελ. 141—2· ἔτι δὲ καὶ τὸν Γρηγορίου τοῦ Ζ' ἔν τε τῇ αὐτῇ Ἱστ. Τόμ. Β' σελ. 424 κ. ἑξ. καὶ ἐν τῷ Εὐαγ. Κήρυκι, Ἔτ. ΣΤ', σελ. 241—255). Οἵων δὲ καὶ ἡλίκων κακῶν ἡ τοιαύτη τῶν Ἀποστολικῶν κανόνων παράβασις αἰτία γέγονεν, ἄλλοι τε πολλοὶ πολλάκις ἱστορήκασι, καὶ τῶν τῆς Δύσεως Κληρικῶν ἀνὴρ διάσημος, ὁ τῆς ἐν Πορτογαλλίᾳ Σύλβης Ἐπίσκοπος Ἄλβιος ὁ Πελάγιος, περὶ

Digitized by Google

τεσθαί τε καὶ ἀποστρέφεσθαι παρεσκεύασαν, τῆς Μανοῦ[1] γεωργίας ἐν αὐτοῖς τὰ σπέρματα κατασπείροντες, καὶ ψυχὰς ἄρτι βλαστάνειν ἀρξαμένας τὸν σπόρον τῆς εὐσεβείας τῇ τῶν ζιζανίων ἐπισπορᾷ λυμαινόμενοι.[2]

στ'. Ἀλλά γε δὴ καὶ τοὺς ὑπὸ Πρεσβυτέρων μύρῳ χρισθέντας ἀναμυρίζειν αὐτοὶ οὐ πεφρίκασιν, Ἐπισκόπους ἑαυτοὺς ἀναγορεύοντες, καὶ τὸ τῶν Πρεσβυτέρων χρίσμα ἄχρηστον εἶναι καὶ εἰς μάτην ἐπιτελεῖσθαι τερατευόμενοι.[3]

ζ'. Ἆρ' ἔστιν ὃς τηλικαύτην ἀκοῇ παρείληφεν ἄνοιαν, ἣν κατατολμᾷν οἱ παράφρονες οὐκ ἐνάρκησαν, τοὺς ἅπαξ μύρῳ χρισθέντας ἀναχρίοντες, καὶ τὰ τῶν Χριστιανῶν ὑπερφυῆ καὶ θεῖα μυστήρια εἰς λῆρον μακρόν, καὶ πλατὺν ἐξορχούμενοι γέλωτα; Καὶ τό γε σοφὸν τῶν ὡς ἀληθῶς ἀμυήτων. Οὐ γὰρ ἔξεστι, φασίν, ἱερεῦσι τοὺς τελουμένους μύρῳ ἁγιάζειν· Ἀρχιερεῦσι γὰρ μόνοις ἐνομίσθη. Πόθεν ὁ νόμος; τίς δ' ὁ νομοθέτης; ποῖος τῶν Ἀποστόλων; τῶν Πατέρων δέ; ἀλλὰ τῶν Συνόδων; ἢ ποῦ καὶ πότε συστᾶσα; τίνων δὲ κρατήσασα ψήφοις; Οὐκ ἔξεστιν ἱερεῖ μύρῳ

τὰ μέσα τοῦ ΙΔ' αἰῶνος ἀκμάσας, τάδε φησὶν ἐν τῷ συγγράμματι αὐτοῦ, ὃ ἐπιγέγραπται "De planctu Ecclesiae."—"Εὐχῆς ἔργον ἦν μήποτε τοιαύτην ὀμόσαι τὸν Κλῆρον ἀγνείαν, καὶ μάλιστα τὸν ἐν Ἱσπανίᾳ· "ἐκεῖ γὰρ οἱ τῶν λαϊκῶν παῖδες οὐ τοσοῦτοι τὸ πλῆθός εἰσιν, ὅσοι γε οἱ τῶν Κληρικῶν" (Ἴδε τὴν περὶ τούτου σημ. ἐν τῇ κατὰ τὸ 1825 γενομένῃ Ἀγγλικῇ μεταφράσει τῆς τοῦ Μόσχειμ Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 353—4). Ταῦτα δὲ Κληρικοῦ ἀνδρός, καὶ Ἀρχιερέως Δυτικοῦ, κατὰ τῶν ἐν τῇ Δύσει Κληρικῶν λέγοντος, καὶ αὐτῶν δὴ τῶν πραγμάτων τὰ ἐκ τῆς ἀγαμίας αὐτῶν γενόμενα κακὰ τραγικώτερόν πως προσμαρτυρούντων, πῶς ἂν δικαίως Ἰάγερος Φωτίου καθάπτοιτο, ὡς τοὺς λεγάτους τοῦ Πάπα κακῶς λέγοντος; Ὡς μήποτ' ὤφελον ἄγαμοι εἶναι οἱ ἐκ τοῦ Κλήρου πάντες· ὡς δ' ὤφελε κοινῇ τηρεῖσθαι μετὰ τῶν ἄλλων καὶ ὁ Ε' τῶν Ἀποστόλων κανών, ὁ λέγων· "Ἐπίσκοπος, ἢ Πρεσβύτερος, ἢ Διάκονος, τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας. Ἐὰν δὲ ἐκβάλῃ, ἀφοριζέσθω· ἐπιμένων δέ, καθαιρείσθω." Ἴδε τὸν κανόνα τοῦτον καὶ τὰς ἑρμηνείας αὐτοῦ ὑπὸ Ζωναρᾶ καὶ Βαλσαμῶνος ἐν τῷ Συντάγμ. τῶν κανόνων (Τόμ. Α', σελ, 7—9).

[1] Ὁ Μάνης, ἐξ οὗ οἱ Μανιχαῖοι, κατὰ τὸν Γ' ἤκμασεν αἰῶνα. Τῶν δὲ τῆς αἱρέσεως αὐτοῦ ὀπαδῶν εἰς ἐκλεκτοὺς καὶ ἀκροατὰς διαιρουμένων, οἱ μὲν πρῶτοι, οἷον ἱερεῖς τινες ὄντες, ἄγαμοι τὸν βίον διάγειν ὤφειλον· μόνοις δὲ τοῖς ἀκροαταῖς ἐξῆν γυναῖκας ἄγεσθαι.—Ἴδε περὶ τούτου Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 274—278, καὶ Γερμανοῦ τοῦ Πατριάρχου τὸν περὶ αἱρέσεως Λόγον ἐν τῷ Συντ. τῶν κανόνων (Τόμ. Α', σελ. 340—1) καὶ Μόσχειμ Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 257 κ. ἑξ. τῆς Ἀγγλ. μεταφρ. ὑπὸ J. Murdock. — Τὸ δὲ ὄνομα τοῦ αἱρεσιάρχου τούτου διττῶς λέγεται παρὰ τοῖς Ἐκκλ. συγγραφεῦσι, Μάνης καὶ Μανιχαῖος· κατὰ δὲ Μόσχειμ (ἔνθ. ἀνωτ.) Μανιχαῖος μὲν ἐκαλεῖτο ὑπὸ τῶν μαθητῶν αὐτοῦ, Μάνης δὲ ὑπὸ τῶν ἄλλων. Τὸ δὲ "Μανοῦ" ἐνταῦθα ἴσως ἐγέγραπτο Μάνου, ἐκ τῆς εὐθείας Μάνης κατὰ τὸ Τιγράνης—άνου· ἀλλ' ἀνωτέρω (§ ά) Μάνητα εἶπεν αὐτόν, καὶ κατωτέρω (§ ιζ') Μάνεντες λέγει, ὅπερ ἴσως ἐγέγραπτο Μάνητες.

[2] Ἡ παραβολὴ ἐκ τοῦ Ματθ. ΙΓ', 24—31.

[3] Τὰ περὶ χρίσματος ὑπὸ Φωτίου λεγόμενα πάντῃ πάντως παρηρμήνευσε Μαιμβούργιος, λέγων αἰτιᾶσθαι Φώτιον τοὺς Δυτικούς, ὡς ἐπιτρέποντας τοῖς Πρεσβυτέροις τὸ χρίσμα τελεῖν. Ἀλλὰ παντὶ δῆλον, ὅτι τούτου πᾶν τοὐναντίον λέγει Φώτιος, ὅτι τοὺς Πρεσβυτέρους ἀναξίους ἡγούμενοι χρίειν τοὺς βαπτιζομένους, μόνοις τοῖς Ἐπισκόποις τὸ ἔργον τοῦτο ἀποδιδόασιν. Δικαίως ἄρα ὁ σοφὸς Βασνάγιος, καὶ ταύτην Μαιμβουργίου τὴν πλάνην ἐλέγχων, λέγει περὶ αὐτοῦ, ὅτι ἀμαθῶς πάνυ πεπλάνηται—qu'il s'est trompé grossièrement. (Hist. de l'Eglise, Tom. I. p. 327.)

Digitized by Google

τοὺς βαπτιζομένους σφραγίζειν; οὐκοῦν οὐδὲ βαπτίζειν ὅλως· οὐδὲ ἱεράσθαι ἄρα·[1] ἵνα σοι μηδὲ ἡμίτομος ἱερεύς; ἀλλ' ὁλόκληρος, εἰς ἀνίερον εἴη κλῆρον ἀπεληλαμένος. Ἱερουργεῖ τὸ Δεσποτικὸν σῶμα καὶ αἷμα Χριστοῦ, καὶ τοὺς πάλαι μυσταγωγηθέντας δι' αὐτῶν καθαγιάζει· πῶς οὐχ ἁγιάσει μύρῳ χρίων τοὺς νῦν τελουμένους; Βαπτίζει ὁ ἱερεύς, καθάρσιον δῶρον τῷ βαπτιζομένῳ τελεσιουργῶν· πῶς, ἧς τελεσιουργὸς αὐτὸς ὑπάρχει καθάρσεως, ἀφαιρήσεις αὐτοῦ τὴν φυλακὴν καὶ σφραγίδα; Ἀλλ' ἀφαιρεῖς τὴν σφραγίδα;[2] μηδ' ὑπηρετεῖν ἐπιτρέψῃς[3] τῷ δώρῳ, μηδ' ἐν αὐτῷ τινας τελεσιουργεῖν, ἵνα σε, γυμνοῖς ὁ σὸς ἱερεὺς ἐνδιαπρέπων ὀνόμασι, τῆς αὐτῆς αὐτῷ χοροστασίας κορυφαῖον δείξῃ καὶ Ἐπίσκοπον.

ή. Ἀλλὰ γὰρ οὐχὶ μόνον εἰς ταῦτα παρανομεῖν ἐξηνέχθησαν, ἀλλὰ καὶ εἴ τις κακῶν ἐστι κορωνίς, εἰς ταύτην ἀνέδραμον. Πρὸς γάρ τοι τοῖς εἰρημένοις ἀτοπήμασι, καὶ τὸ ἱερὸν καὶ ἅγιον Σύμβολον, ὃ πᾶσι τοῖς Συνοδικοῖς καὶ Οἰκουμενικοῖς ψηφίσμασιν ἄμαχον ἔχει τὴν ἰσχύν, νόθοις λογισμοῖς καὶ παρεγγράπτοις λόγοις, καὶ θράσους ὑπερβολῇ, κιβδηλεύειν ἐπεχείρησαν (ὦ τῶν τοῦ πονηροῦ μηχανημάτων!), τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ Πατρὸς μόνον, ἀλλά γε καὶ ἐκ τοῦ Υἱοῦ, ἐκπορεύεσθαι καινολογήσαντες.[4]

θ'. Τίς ποτε τοιαύτην παρὰ τῶν πώποτε ἀσεβησάντων φωνὴν ἤκουσε ῥαγεῖσαν; Ποῖος σκολιὸς ὄφις εἰς τὰς ἐκείνων καρδίας τοῦτο ἠρεύξατο; Τίς ὅλως ἀνάσχοιτο τῶν ἐν Χριστιανοῖς τελούντων ἐπὶ τῆς ἁγίας Τριάδος δύο εἰσάγειν αἴτια, Υἱοῦ μὲν καὶ Πνεύματος τὸν Πατέρα, τοῦ Πνεύματος δὲ πάλιν τὸν Υἱόν, καὶ εἰς διθεΐαν τὴν μοναρχίαν λύειν,

---

[1] Ἡμ. διόρθ. ἀντὶ—"Οὐκοῦν οὐδὲ βαπτίζειν ὅλως, οὐδὲ ἱεράσθαι· ἄρα ἵνα σοι κ.τ.λ."—παρὰ τοῖς ἄλλοις.

[2] Οὕτως ἄμεινον Μοντακ. ἐρωτηματικῶς.

[3] Μοντακ. μὲν—ἐπιστρέψεις—ὅπερ διορθοῖ "ἐπιτρέψεις" ἀλλ' ἄμεινον τὸ ἐν Τ. Χ.—ἐπιτρέψῃς—διὰ τὸ ἀπαγορευτικὸν μή.

[4] Περὶ τῆς κορωνίδος ταύτης τῶν κακῶν, ὡς κάλλιστα Φώτιος τὴν ἐν τῷ Συμβόλῳ πανάθεσμον προσθήκην ἀπεκάλεσε, πλεῖστοί εἰσιν οἱ γράψαντες, καὶ δι' αὐτῶν τῶν Κυριακῶν λόγων τὴν ἀντίθεον αἵρεσιν καταπολεμήσαντες. Ἀλλ' ἡμῖν περιττὸν ἔδοξεν ἐνταῦθα τὰς τῶν ἄλλων δόξας ὑποσημειώσαι, καὶ κρίσεις καὶ ἐπικρίσεις, αὐτοῦ Φωτίου, ὃς πρώτιστα πάντων τὸν ἀγῶνα τοῦτον ἀνεδέξατο, ἔν τε τῇ παρούσῃ ἐπιστολῇ καὶ ἐν τῇ ἀμέσως ἑπομένῃ "πρὸς τὸν Ἀκυληΐας Μητροπολίτην," λόγοις ἀκαταμαχήτοις τὰς τῶν ἑτεροδοξούντων προφάσεις καταπολεμήσαντος, καὶ τὴν πλάνην αὐτῶν ἐξελέγξαντος. Τὴν δὲ τῆς προσθήκης ταύτης ἀρχήν, καὶ τὴν ἐντεῦθεν προελθοῦσαν διαφωνίαν τῶν Ἀνατολικῶν καὶ Δυτικῶν, τίς ἂν ἀκριβέστερον ἱστορήσειεν, ἢ Θεοφάνης ὁ Προκοποβίκιος; ἢ τίς ἂν ὀρθότερον ἡμῖν ἑρμηνεύσειε τὰ ὑπὸ τοῦ ἀοιδίμου ἐκείνου Ἱεράρχου περὶ τῆς διαφορᾶς ταύτης ἱστορηθέντα, ἢ Εὐγένιος ὁ πάνυ, ὁ καὶ τὴν ἀξίαν καὶ τὴν παντοδαπὴν παιδείαν καὶ τὴν ἄλλην ἀρετὴν οὐδὲν τοῦ Ῥώσσου θεολόγου ἀπολειπόμενος; Ὁράτω τοίνυν, εἴ τις περὶ τούτου ἀκριβῶς βούλοιτο διδαχθῆναι, τὴν ὑπὸ μὲν τοῦ πρώτου Λατινιστὶ συγγεγραμμένην, ὑπὸ δὲ τοῦ δευτέρου Ἑλληνιστὶ μεθηρμηνευμένην, καὶ ὑπὸ Ἡλ. Ταναλίδου ἐν τῷ Β' Τόμῳ τῶν Παπιστικῶν ἐλέγχων ἐκδεδομένην Ἱστορίαν τῆς διαφορᾶς ταύτης· ἔτι δὲ καὶ Ἀδὰμ Ζοιρνικαβίου τὸ περιώνυμον σύγγραμμα "Περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐκ μόνου τοῦ Πατρός," ἐν ᾧ, ὡς ὀρθῶς φησιν ὁ Προκοποβίκιος (ἔνθ. ἀνωτ.), ἅπας ἐξήντληται ὁ περὶ τούτου λόγος, καὶ οὐδὲν ὑπολείπεται τοῖς λέγειν βουλομένοις· ἀλλὰ καὶ Παπιστ. ἐλέγχων Τόμ. Α', σελ. 170 κ. ἑξ. Ἂς δὲ Ἰάγερος ἀφίησι

Digitized by Google

καὶ μηδὲν ἧττον τῆς Ἑλληνικῆς μυθολογίας τὴν τῶν Χριστιανῶν σπαράττειν θεολογίαν, καὶ τῆς ὑπερουσίου καὶ μοναρχικῆς Τριάδος ἐξυβρίζειν τὸ ἀξίωμα; Διὰ τί δὲ καὶ ἐκπορευθείη τοῦ Υἱοῦ τὸ Πνεῦμα; Εἰ γὰρ ἡ ἐκ τοῦ Πατρὸς ἐκπόρευσις τελεία (τελεία δέ, ὅτι Θεὸς τέλειος ἐκ Θεοῦ τελείου), τίς ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις; καὶ διὰ τί; περιττὸν γὰρ ἂν εἴη τοῦτο καὶ μάταιον.[1]

ί. Ἔτι δέ, εἰ ἐκπορεύεται τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὥσπερ ἐκ Πατρός, τί μὴ καὶ ὁ Υἱὸς ἐκ τοῦ Πνεύματος γεννᾶται, ὥσπερ ἐκ Πατρός; ἵνα εἴη πάντα τοῖς ἀσεβοῦσιν ἀσεβῆ, καὶ αἱ γνῶμαι καὶ τὰ ῥήματα, καὶ μηδὲν αὐτοῖς ἀτόλμητον ὑπολίποιτο.

ιά. Σκόπει δὲ κακεῖνο. Εἰ γὰρ, ἐν ᾧ τοῦ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα, ἡ ἰδιότης ἐπιγινώσκεται αὐτοῦ, ὡσαύτως δέ, καὶ ἐν ᾧ γεννᾶται ὁ Υἱὸς ἡ τοῦ Υἱοῦ, ἐκπορεύεται δέ, ὡς ὁ ἐκείνων λῆρος, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, πλείοσιν ἄρα ἰδιότησι διαστέλλεται τὸ Πνεῦμα τοῦ Πατρός, ἤπερ ὁ Υἱός. Κοινὸν μὲν γὰρ Πατρὶ καὶ Υἱῷ ἡ ἐξ αὐτῶν τοῦ Πνεύματος πρόοδος, ἰδία δὲ τοῦ Πνεύματος ἥ τε ἐκ τοῦ Πατρὸς ἐκπόρευσις, καὶ μὴν καὶ ἡ ἐκ τοῦ Υἱοῦ. Εἰ δὲ πλείοσι διαφοραῖς διαστέλλεται τὸ Πνεῦμα, ἤπερ ὁ Υἱός, ἐγγυτέρω ἂν εἴη τῆς Πατρικῆς οὐσίας ὁ Υἱός, ἤπερ τὸ Πνεῦμα. Καὶ οὕτως ἡ Μακεδονίου πάλιν κατὰ τοῦ Πνεύματος παρακύψει τόλμα,[2] τὸ ἐκείνων ὑποδυομένη δρᾶμα καὶ τὴν σκηνήν.

ιβ'. Ἄλλως τε δέ, εἰ πάντα τὰ κοινὰ Πατρὸς καὶ Υἱοῦ καὶ τοῦ Πνεύματος πάντως ὑπάρχει κοινά, ὡς τὸ Θεός, τὸ Βασιλεύς, τὸ Δημιουργός, τὸ Παντοκράτωρ, τὸ ὑπερούσιον, τὸ ἁπλοῦν, τὸ ἀσχημάτιστον, τὸ ἀσώματον, τὸ ἀόρατον, ἁπλῶς τὰ ἄλλα πάντα, κοινὸν δὲ Πατρὸς καὶ Υἱοῦ ἡ τοῦ Πνεύματος ἐξ αὐτῶν πρόοδος, καὶ ἐξ ἑαυτοῦ ἄρα ἐκπορευθήσεται τὸ Πνεῦμα· καὶ ἀρχὴ ἔσται αὐτὸ ἑαυτοῦ, καὶ αἴτιον ἅμα καὶ αἰτιατόν· ὅπερ οὐδ' οἱ τῶν Ἑλλήνων μῦθοι ἀνεπλάσαντο.[3]

ιγ'. Ἀλλὰ καὶ εἰ μόνου Πνεύματός ἐστι τὸ εἰς ἀρχὰς ἀναφέρεσθαι διαφόρους, πῶς οὐκ ἔστι μόνου Πνεύματος τὸ πολύαρχον ἔχειν ἀρχήν;

ιδ'. Ἔτι δέ, εἰ ἐν οἷς Πατρὶ καὶ Υἱῷ κοινωνίαν ἐκαινούργησαν, τὸ Πνεῦμα τούτοις

φωνάς, νῦν πρῶτον λέγων Φώτιον τὴν Δυτικὴν ἐλέγχειν Ἐκκλησίαν, οὐδὲν περὶ τούτου ἐν τῇ πρώτῃ πρὸς τὸν Πάπαν ἐπιστολῇ γράψαντα, ταύτας ἐν τοῖς ἔμπροσθεν (ἐπιστ. Α', § γ' σημ.) ἀρκούντως ἐδείξαμεν οὐδὲν ἄλλο ἢ λόγους ματαίους οὔσας. Ἀλλ' ἐνταῦθα καὶ τοῦτο προσσημειοῦμεν, ὡς τῷ αὐτῷ κατὰ Φωτίου χρῆται σοφίσματι καὶ ὁ τὴν γενικὴν Ἱστορίαν τῆς Καθολικῆς (δῆλον ὅτι Δυτικῆς) Ἐκκλησίας συγγράψας Ῥοχβάχερος, Ἀββᾶς καὶ οὗτος, ταῖς αὐταῖς τῷ Ἀββᾷ Ἰαγέρῳ λέξεσιν ἀνυψῶν τὸ μέγα, ὡς αὐτὸς οἴεται, κατὰ Φωτίου τρόπαιον. Ἐπειδὴ δὲ ἀμφοτέρων αἱ ἱστορίαι τὴν αὐτὴν μὲν φέρουσι χρονολογίαν ἐκδόσεως (1844), τὰς αὐτὰς δὲ περὶ τούτου λέξεις, δῆλον μέν ἐστιν, ὡς ἕτερος ἐκ θατέρου ἐλευθέρως πάνυ ἀντέγραφε, χαλεπὸν δὲ διαγνῶναι τὸν ἀντιγράφοντα.—Ὅρα Hist. Univers. de l'Eglise Catholique par l'Abbé Rohrbacher, etc. Tom. XII. p. 209.

[1] Τούτοις παρατίθει τὰ ἐν § ζ' καὶ λά τοῦ περὶ τῆς τοῦ ἁγ. Πνεύμ. μυσταγωγίας λόγου, ἔκδ. Ἐργενροιθέρου.

[2] Κατὰ τούτου ἡ Β οἰκουμ. Σύνοδος ἐν Κωνσταντινουπόλει συνῆλθεν. Ἴδε τῆς ΣΤ' Ἐπιστ. § ί.

[3] Ἴδε καὶ τοῦ περὶ τῆς τοῦ ἁγ. Πνεύμ. μυσταγ. λόγου § στ'.

Digitized by Google

ἀποτειχίζουσι, Πατὴρ δὲ κατ' οὐσίαν Υἱῷ, ἀλλ' οὐ κατά τι τῶν ἰδιωμάτων εἰς κοινωνίαν συνάπτεται, τῆς κατ' οὐσίαν ἄρα συγγενείας τὸ Πνεῦμα περιορίζουσιν.[1]

ιέ. Ὁρᾷς, ὡς μάτην οὗτοι, μᾶλλον δ' εἰς πρόχειρον θήραν τῶν πολλῶν, τὸ τῶν Χριστιανῶν ἑαυτοῖς ἐπέθεσαν ὄνομα; Ἐκπορεύεται τὸ Πνεῦμα τοῦ Υἱοῦ. Πόθεν ἤκουσας τοῦτο; Ἐκ ποίων Εὐαγγελιστῶν τὴν φωνὴν ἔχεις ταύτην; Ποίας Συνόδου τὸ βλάσφημον τοῦτο ῥῆμα;

ιστ'. Ὁ Κύριος καὶ Θεὸς ἡμῶν φησίν· "Τὸ Πνεῦμα, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται·" οἱ δὲ τῆς καινῆς ταύτης δυσσεβείας πατέρες, τὸ Πνεῦμα, φασίν, ὃ παρὰ τοῦ Υἱοῦ ἐκπορεύεται.[2] *Τίς οὐ κλείσει τὰ ὦτα πρὸς τὴν ὑπερβολὴν τῆς βλασφημίας ταύτης; Αὕτη κατὰ τῶν Εὐαγγελίων ἵσταται· πρὸς τὰς ἁγίας παρατάσσεται Συνόδους·*[3] *τοὺς μακαρίους καὶ ἁγίους παραγράφεται Πατέρας, τὸν μέγαν Ἀθανάσιον, τὸν ἐν θεολογίᾳ περιβόητον Γρηγόριον, τὴν βασίλειον τῆς Ἐκκλησίας στολήν,*[4] *τὸν μέγαν Βασίλειον, τὸ χρυσοῦν τῆς Οἰκουμένης στόμα, τὸ τῆς σοφίας πέλαγος, τὸν ὡς ἀληθῶς Χρυσόστομον.*[5] *Καὶ τί λέγω τὸν δεῖνα ἢ τὸν δεῖνα; Κατὰ πάντων ὁμοῦ τῶν ἁγίων Προφητῶν, Ἀποστόλων, Ἱεραρχῶν, Μαρτύρων, καὶ αὐτῶν τῶν Δεσποτικῶν φωνῶν, ἡ βλάσφημος αὕτη καὶ θεομάχος*[6] *φωνὴ ἐξοπλίζεται.*

---

[1] *Τοῦτο αὐτολεξεὶ σχεδὸν ἐκτίθεται καὶ ἐν τῷ περὶ τῆς τοῦ ἁγ. Πνεύμ. μυσταγωγίας Λόγῳ (§ λδ').*

[2] *"Ἔστιν οὖν κατ' αὐτῶν ὀξὺ καὶ ἄφυκτον βέλος καὶ πρὸ τῶν ἄλλων ἁπάντων ἡ Κυριακὴ καὶ θηρίον "ἅπαν καὶ πᾶσαν ἀλώπεκα καταβροντῶσά τε καὶ ἐξαφανίζουσα φωνή. Τίς αὕτη; Τὸ Πνεῦμα ἐκ τοῦ "Πατρὸς ἡ λέγουσα ἐκπορεύεσθαι. Ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς τὸ Πνεῦμα ἐκπορεύεσθαι μυσταγωγεῖ· καὶ σὺ "τελεστὴν ἄλλον ἐπιζητεῖς, δι' οὗ τελεσθήσῃ, μᾶλλον δὲ συντελεσθήσῃ τὴν ἀσέβειαν, καὶ μυθολογεῖς τὸ "Πνεῦμα προέρχεσθαι τοῦ Υἱοῦ;" (Λόγ. π. τ. τ. ἁγ. Πν. μυσταγ. § β'.)*

[3] *Καὶ τοῦτο ἐν § ε τοῦ αὐτοῦ Λόγου πλατύτερον ἐκτιθέμενον ὧδε τελευτᾷ· "Ἐδογμάτισεν εὐθὺς τῶν "οἰκουμενικῶν καὶ ἁγίων ἑπτὰ Συνόδων ἡ δευτέρα τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι· διε- "δέξατο ἡ τρίτη· ἐβεβαίωσεν ἡ τετάρτη· σύμψηφος ἡ πέμπτη κατέστη· συνεκήρυξεν ἡ ἕκτη· ἐπεσφρά- "γισε λαμπρῶς (ἴσ. γρ. λαμπροῖς) ἀγωνίσμασιν ἡ ἑβδόμη· καθ' ἑκάστην αὐτῶν ἔστι περιφανῶς καθο- "ρᾶν παῤῥησιαζομένην τὴν εὐσέβειαν, καὶ τὸ Πνεῦμα τοῦ Πατρός, ἀλλ' οὐ τοῦ Υἱοῦ, θεολογούμενον ἐκ- "πορεύεσθαι. Σὲ δὲ τίς ἀγέλη δυσσεβοῦσα μετεδίδαξε; τίς τῶν ἀντινομοθετούντων τῷ Δεσπότῃ κατα- "πεσεῖν εἰς ἀθέσμους δόξας ὑπηγάγετο;"*

[4] *Οὐκ οἶδ' ἀνθ' ὅτου Μοντακ. γραπτέον εἶναι εἰκάζει—στύλην.*

[5] *Πολύς ἐστι Φώτιος ἐν τῷ θαυμάζειν καὶ ἐξυμνεῖν τὸν ὡς ἀληθῶς θαυμαστὸν Χρυσόστομον. Οὕτω εἰς ταῖς "Συναγ. καὶ ἀποδ." ἀποκαλεῖ αὐτὸν—ἐν ἁγίοις καὶ Ἀρχιερεῦσιν ἀσύγκριτον—τὸν τῇ ἁγία Τριάδι ἀγαπητὸν πανίερον Χρυσόστομον—τὸν σωτῆρα τοῦ Κόσμου τίμιον Χρυσόστομον—τὸν θεῖον Ἰωάννην—τὸν τῶν Ἀγγέλων ὑπέρτερον πανάγιον Χρυσόστομον—τὸν τῶν Ἀγγέλων κρείττονα—τὸν ἥλιον καὶ φωστῆρα τῶν ἀνθρωπίνων ψυχῶν, τὸν ἁγιώτατον Χρυσόστομον—(Ἴδε κατωτέρω ἐν ταῖς Συναγ. καὶ ἀποδ. τὰ ἐρωτήματα). Ἐν δὲ τῇ Μυριοβίβλῳ (κώδ. 174) τάδε περὶ Χρυσοστόμου λέγει· "Δι' ὅ μοι καὶ ἀεὶ "θαυμάζειν ἔπεισι τὸν τρισμακάριστον ἄνθρωπον ἐκεῖνον, ὅτι ἀεὶ καὶ ἐν πᾶσιν αὐτοῦ τοῖς λόγοις "τοῦτο σκοπὸν ἐποιεῖτο τὴν ὠφέλειαν τῶν ἀκροατῶν· τῶν δ' ἄλλων ἢ οὐδόλως ἐφρόντιζεν, ἢ ὡς ἐλά- "χιστον, κ.τ.λ."*

[6] *Ἡμ. διόρθ. ἀντὶ—θεόμαχος—ἔν τε Τ. Χ. καὶ παρὰ Μοντ. καὶ Μιγν.—Οὕτω καὶ κατωτέρω (§ ιζ' καὶ ιθ') γραπτ. θεομάχον ἀντὶ θεόμαχον.*

Digitized by Google

ιζ'. Τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται; Πότερον τὴν αὐτὴν ἐκπόρευσιν, ἢ τῆς πατρῴας ἀντίθετον; Εἰ μὲν γὰρ τὴν αὐτήν, πῶς οὐ κοινοῦνται αἱ ἰδιότητες; αἷς καὶ μόναις ἡ Τριὰς Τριὰς εἶναι καὶ προσκυνεῖσθαι χαρακτηρίζεται; Εἰ δὲ ἐκείνης ἀντίθετον, πῶς ἡμῖν οὐ Μάνεντες[1] καὶ Μαρκίωνες[2] τῷ ῥήματι τούτῳ προκύπτουσι, τὴν θεομάχον πάλιν κατὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ γλῶσσαν προτείνοντες;

ιή. Πρὸς δέ γε τοῖς εἰρημένοις, εἰ ἐκ τοῦ Πατρὸς μὲν ὁ Υἱὸς γεγένηται, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, ὡς εἰς δύο αἰτίας ἀναφερόμενον, οὐδὲ τὸ σύνθετον εἶναι διαδράσειεν.

ιθ'. Ἔτι δέ, εἰ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς γεγένηται, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, τίς ἡ καινοτομία τοῦ Πνεύματος, μὴ καὶ ἕτερόν τι αὐτοῦ ἐκπεπορεῦσθαι; ὡς συνάγεσθαι κατὰ τὴν ἐκείνων θεομάχον γνώμην μὴ τρεῖς, ἀλλὰ τέσσαρας, τὰς ὑποστάσεις, μᾶλλον δ' ἀπείρους, τῆς τετάρτης αὐτοῖς ἄλλην προβαλλούσης, κἀκείνης πάλιν ἑτέραν, μέχρις ἂν εἰς τὴν Ἑλληνικὴν πολυπληθίαν ἐκπέσωσιν;[3]

κ'. Πρὸς δέ γε τοῖς εἰρημένοις κἀκεῖνο ἄν τις ἐπισκοπήσειεν, ὡς, εἴπερ ἡ τοῦ Πνεύματος ἐκ τοῦ Πατρὸς πρόοδος εἰς ὕπαρξιν συντελεῖ, τί συνοίσει τῷ Πνεύματι ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις, τῆς Πατρικῆς ἀρκούσης εἰς ὕπαρξιν; Οὐ γάρ τις εἰς ἕτερόν τι τῶν περὶ τὴν οὐσίαν συντελεῖν κατατολμήσειε λέγειν, πάσης διπλόης καὶ συνθέσεως τῆς μακαρίας καὶ θείας ἐκείνης φύσεως ὡς ἀπωτάτω κειμένης.

κά. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ πᾶν ὅπερ μή ἐστι κοινὸν τῆς παντοκρατορικῆς καὶ ὁμοουσίου καὶ ὑπερφυοῦς Τριάδος, ἑνός ἐστι μόνου τῶν τριῶν, οὐκ ἔστι δὲ ἡ τοῦ Πνεύματος προβολὴ κοινὸν τῶν τριῶν, ἑνὸς ἄρα ἐστὶ μόνου τῶν τριῶν. Πότερον οὖν, ἐκ τοῦ Πατρὸς φήσουσιν ἐκπορεύεσθαι τὸ Πνεῦμα; Καὶ πῶς οὐκ ἐξομόσονται τὴν φίλην αὐτοῖς καὶ καινὴν[4] μυσταγωγίαν; Εἰ δὲ ἐκ τοῦ Υἱοῦ, τί μὴ κατ' ἀρχὰς ἐθάῤῥησαν αὐτῶν ὅλην ἐκκαλύψαι τὴν θεομαχίαν, ὡς οὐ μόνον τὸν Υἱὸν εἰς τὴν τοῦ Πνεύματος προβολὴν

---

[1] Γραπτέον, οἶμαι, Μάνητες κατὰ τὰ προσημειωθέντα (§ έ), εἰ μή τις βούλοιτο καὶ τρίτην τοῦ ὀνόματος τούτου εὐθεῖαν ὑπονοεῖν "Μάνεις," ὅπερ ἄτοπον.

[2] Μαρκίων ὁ Σινωπεὺς κατὰ τὸν Β' ἤκμασεν αἰῶνα· γενόμενος δὲ μαθητὴς τοῦ αἱρεσιάρχου Κέρδωνος, πολλὰ καὶ ἀνόσια κατὰ τῶν θείων Γραφῶν ἐτερατεύσατο· καὶ τὸ βάπτισμα δὶς καὶ τρὶς ἐπανελάμβανε, καὶ τὸν Ἰησοῦν Χριστὸν ἀοράτως καὶ ἀκαταλήπτως ἐξ οὐρανοῦ κατελθεῖν ἔλεγε, καὶ ἄλλα τοιαῦτα ἐληρῴδει· περὶ ὧν ὅρα Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 206—7 καὶ Μόσχειμ Τόμ. Α', σελ. 184—6 τῆς Ἀγγλ. μεταφρ. ὑπὸ J. Murdock, 1841.

[3] Καὶ τοῦτο αὐτολεξεὶ σχεδὸν ἐν τῷ π. τ. τ. ἁγ. Πν. μυσταγ. Λόγῳ ἐκτέθειται, ἐν ταῖσδε τελευτῶν ταῖς λέξεσιν· "μέχρις ἂν καὶ τῆς Ἑλληνικῆς ὑπερελάσωσι πολυθείας" ὅθεν εἰκάζω γραπτέον εἶναι καὶ ἐνταῦθα "πολυθείαν" ἀντὶ "πολυπληθίαν."

[4] Ἡμ. διόρθ. ἀντὶ—καὶ κοινήν—παρὰ τοῖς ἄλλοις. Ἀλλὰ καὶ ἐν § λστ' τοῦ π. τ. τ. ἁγ. Πν. μυσταγ. Λόγου, ὃς αὐτολεξεὶ τὰ ἐν τῇ παρούσῃ περιέχει, τὴν αὐτὴν εὑρίσκω γραφὴν "καινήν." Τελευτᾷ δὲ ἡ παράγραφος ἐκείνη ἐν ταῖσδε ταῖς λέξεσιν· "ἵνα μὴ μόνον τοὺς ἠσεβηκότας ἐξ αἰῶνος κρύψωσιν, ἀλλὰ καὶ τῶν μεμηνότων ἐλέγχωνται μανικώτεροι."

Digitized by Google

ἐγκαθιστῶσιν, ἀλλὰ καὶ τοῦ Πατρὸς *ταύτην ἀφαιροῦνται; οἷς ἀκόλουθον δήπου καὶ τὴν γέννησιν τῇ προβολῇ συμμετατιθέντας, μηδὲ τὸν Υἱὸν*[1] *ἐκ τοῦ* Πατρός, *ἀλλὰ τὸν* Πατέρα *τερατολογεῖν ἐκ τοῦ Υἱοῦ γεγενῆσθαι· ἵνα μὴ τῶν δυσσεβούντων μόνον, ἀλλὰ καὶ τῶν μαινομένων ὦσι πρωτοστάται.*

κβ'. Ὅρα δὲ κἀντεῦθεν κατάφωρον αὐτῶν τὸ δυσσεβὲς καὶ ἀνόητον δεικνύμενον βούλημα. Ἐπεὶ γὰρ ἅπαν, ὃ θεωρεῖται καὶ λέγεται ἐν τῇ παναγίᾳ καὶ ὁμοφυεῖ καὶ ὑπερουσίῳ Τριάδι, ἢ κοινόν ἐστι πάντων, ἢ ἑνὸς καὶ μόνου τῶν τριῶν· ἡ δὲ τοῦ Πνεύματος προβολὴ οὔτε κοινόν ἐστιν, ἀλλ' οὐδ', ὡς αὐτοί φασιν, ἑνὸς καὶ μόνου τινος (ἴλεως δὲ ἡμῖν εἴη, καὶ εἰς τὰς ἐκείνων τρέποιτο τὸ βλάσφημον κεφαλάς)· οὐκ ἄρα ὅλως ἐστὶν ἐν τῇ ζωαρχικῇ καὶ παντελείῳ Τριάδι ἡ τοῦ Πνεύματος προβολή.

κγ'. Καὶ μυρία ἄν τις, τὴν ἄθεον αὐτῶν γνώμην διελέγχων, τοῖς εἰρημένοις ἐπιμετρήσειεν, ἃ τῆς ἐπιστολῆς ὁ νόμος οὐκ ἐᾷ νῦν ἐντάττειν, οὐδὲ παρατίθεσθαι. Δι' ὃ καὶ ἅπερ εἴρηται στοιχειωδῶς τε καὶ ἐν τύπῳ ἀπηγγέλθησαν, τῶν κατὰ μέρος ἐλέγχων καὶ τῆς ἐν πλάτει διδασκαλίας, Θεοῦ διδόντος, εἰς τὴν κοινὴν ταμιευομένων συνέλευσιν.

κδ'. Ταύτην τὴν ἀσέβειαν οἱ τοῦ σκότους ἐκεῖνοι Ἐπίσκοποι (Ἐπισκόπους γὰρ ἑαυτοὺς ἐπεφήμιζον) μετὰ τῶν ἄλλων ἀθεμίτων εἰς[2] Βουλγάρων ἔθνος ἐνέσπειραν. Ἦλθεν ἡ τούτων φήμη εἰς τὰς ἡμετέρας ἀκοάς· ἐπλήγημεν διὰ μέσων τῶν σπλάγχνων καιρίαν πληγήν, ὡς εἴ τις τὰ ἔγκονα τῆς κοιλίας αὐτοῦ κατ' ὀφθαλμοὺς ἴδοι ὑπὸ ἑρπετῶν καὶ θηρίων σπαρασσόμενά[3] τε καὶ διασπώμενα. Καὶ γὰρ οἷς κόποι καὶ πόνοι καὶ ἱδρῶτες εἰς τὴν ἐκείνων ἀναγέννησίν τε καὶ τελείωσιν κατεβλήθησαν, ἀναλόγως αὐτοῖς συμπεσεῖν ἀφόρητον τὴν λύπην καὶ τὴν συμφοράν, τῶν γεννημάτων παραπολλυμένων, ἐξεγένετο.[4]

κε. Οὕτω γὰρ ἐθρηνήσαμεν ἐπὶ τῷ συνενεχθέντι παθήματι, ὅσον χαρᾶς ἐπληρώθημεν, τῆς παλαιᾶς πλάνης ἀπαλλαγέντας αὐτοὺς θεασάμενοι.

κστ'. Ἀλλ' ἐκείνους μὲν ἐθρηνήσαμέν τε καὶ θρηνοῦμεν, καὶ ἀνορθωθῆναι τοῦ πτώματος, οὐ δώσομεν τοῖς ὀφθαλμοῖς ἡμῶν ὕπνον, οὐδὲ τοῖς βλεφάροις νυσταγμόν, ἕως ἂν αὐτοὺς εἰς τὸ τοῦ Κυρίου, κατὰ τὸ δυνατὸν ἡμῖν, εἰσελάσωμεν σκήνωμα.

---

[1] *Οὕτω Μοντακ. ὀρθῶς· ἐν δὲ Τ. Χ.—τοῦ Υἱοῦ.*

[2] *Ἡμ. διόρθ. ἡ τῆς προθέσεως προσθήκη, ἐλλειπούσης παρὰ τοῖς ἄλλοις· ἢ γραπτέον κατὰ Δοτ.—τῷ Βουλγάρων ἔθνει—διὰ τὴν ἐν τῷ ῥήματι πρόθεσιν.*

[3] *Ἡμ. διόρθ. ἀντὶ—παραρασσόμενα—παρὰ Μοντακ., ὡς δῆλον ἐκ τῶν ἑφεξῆς* (§ κζ') "τοσούτοις καὶ τηλικούτοις σπαραγμοῖς διασπαράξαντας." *Ὁμοία δ' ἐστὶν ἡ παραβολὴ τῇ τοῦ Μόσχου·* (Εἰδύλ. Δ', 11—26.)

Ὡς δὲ τ' ἀδύρεται ὄρνις ἐπὶ σφετέροισι νεοσσοῖς
Ὀλλυμένοις, οὓς τ' αἶνὸς ὄφις ἔτι νηπιάχοντας
Θάμνοις ἐν τυκινοῖσι κατεσθίει, κ.τ.λ.

[4] "Ἴδε *Προλ.* § λζ', *καὶ ἐν τοῖς ἑξῆς τῆς πρὸς τὸν Ἄρχοντα Βουλγ. ἐπιστ.* § ά *σημ.*

Digitized by Google

τινας ἐλέσθαι ἀποστεῖλαι,[1] ἄνδρας τὸ ὑμέτερον ἐπέχοντας πρόσωπον, εὐσεβείᾳ δὲ καὶ ἱερωσύνῃ καὶ λόγῳ καὶ βίῳ κεκοσμημένους· ὡς ἂν τὴν ἀρτιφανῆ τῆς ἀσεβείας ταύτης ἐφερπύσασαν γάγγραιναν ἐκ μέσου τῆς Ἐκκλησίας ποιησώμεθα· καὶ τοὺς ἐκμανέντας τοσαύτην ἐπισπορὰν πονηρίας εἰς τὸ νεοπαγὲς καὶ νεοσύστατον ἔθνος εἰσενεγκεῖν αὐταῖς ἀνασπάσαι ῥίζαις, καὶ τῷ πυρὶ παραδοῦναι διὰ τῆς κοινῆς ἀποφάσεως· ὃ τοὺς κατηραμένους ὑποδέχεσθαι τὰ Κυριακὰ θεσπίζουσι λόγια.[2]

λέ. Οὕτω γάρ, τῆς μὲν ἀσεβείας ἐλαυνομένης, καὶ τῆς εὐσεβείας κραταιουμένης, ἐλπίδας ἔχομεν ἀγαθὰς εἰς τὴν παραδοθεῖσαν αὐτοῖς ἐπαναστρέψαι Πίστιν καὶ τὸ νεοκατήχητον εἰς Χριστὸν καὶ νεοφώτιστον τῶν Βουλγάρων πλήρωμα. Καὶ γὰρ οὐ μόνον τὸ ἔθνος τοῦτο τὴν εἰς Χριστὸν πίστιν τῆς προτέρας ἀσεβείας ἠλλάξατο, ἀλλά γε δὴ καὶ τὸ παρὰ πολλοῖς πολλάκις θρυλλούμενον, καὶ εἰς ὠμότητα καὶ μιαιφονίαν πάντας δευτέρους ταττόμενον, τοῦτο δὴ τὸ καλούμενον τὸ Ῥῶς,[3] οἳ δὴ καὶ κατὰ τῆς Ῥωμαϊκῆς ἀρχῆς, τοὺς πέριξ αὐτῶν δουλωσάμενοι, κἀκεῖθεν ὑπέρογκα φρονηματισθέντες, χεῖρας ἀντῆραν. Ἀλλ' ὅμως νῦν καὶ οὗτοι τὴν τῶν Χριστιανῶν καθαρὰν καὶ ἀκίβδηλον θρησκείαν τῆς Ἑλληνικῆς καὶ ἀθέου δόξης, ἐν ᾗ κατείχοντο πρότερον, ἀντηλλάξαντο, ἐν ὑπηκόων ἑαυτοὺς καὶ προξένων τάξει, ἀντὶ τῆς πρὸ μικροῦ καθ' ἡμῶν λεηλασίας καὶ τοῦ μεγάλου τολμήματος, ἀγαπητῶς ἐγκαταστήσαντες. Καὶ ἐπὶ τοσοῦτον αὐτοὺς ὁ τῆς πίστεως πόθος καὶ ζῆλος ἀνέφλεξε (Παῦλος πάλιν βοᾷ· "Εὐλογητὸς ὁ Θεὸς εἰς τοὺς αἰῶνας"), ὥστε καὶ Ἐπίσκοπον καὶ Ποιμένα δέξασθαι, καὶ τὰ τῶν Χριστιανῶν θρησκεύματα διὰ πολλῆς σπουδῆς καὶ ἐπιμελείας ἀσπάζεσθαι.

λστ'. Τούτων οὖν οὕτω τῇ τοῦ φιλανθρώπου Θεοῦ χάριτι, τοῦ πάντας ἀνθρώπους θέλοντος σωθῆναι καὶ εἰς ἐπίγνωσιν[4] ἀληθείας ἐλθεῖν, τῶν παλαιῶν αὐτοῖς δοξασμάτων μετατιθεμένων, καὶ τὴν εἰλικρινῆ τῶν Χριστιανῶν πίστιν ἐκείνων ἀλλασσομένων, εἰ διανασταίη καὶ ἡ Ὑμετέρα ἀδελφότης συμπροθυμηθῆναι καὶ συγκατεργάσασθαι εἰς τὴν ἐκκοπὴν καὶ καῦσιν τῶν παραφυάδων, ἐν Κυρίῳ Ἰησοῦ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν πεποιθότες ἐσμέν, ὅτι τὸ ποίμνιον αὐτοῦ ἐπὶ πλέον ἔτι μᾶλλον αὐξηθήσεται, καὶ πληρωθήσεται τὸ εἰρημένον, ὅτι, " εἰδήσουσί με πάντες ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν"[5] καὶ " εἰς

ναῖοι, τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον." (Ὀλυνθ. Γ', § ιά.)

[1] Γραπτ. ἴσως—ἐλέσθαι καὶ ἀποστεῖλαι.

[2] Ματθ. ΙΓ', 24—31 καὶ 37—44.

[3] Ἐκ διορθ. Μοντακ. ἀντὶ—τορῶς· οὕτω γὰρ ἐκάλουν τότε τοὺς Ῥώσσους, τοὺς καὶ ἄλλως Ταυροσκύθας καλουμένους.—Θεοφ. Χρονογρ. συνέχ. σελ. 196 καὶ Λέοντος Διακόνου Ἱστ. σελ. 63, καὶ Λέοντος Γραμματ. Χρονογρ. σελ. 240—3, ἔκδ. Βόννης. Περὶ δὲ τῆς τῶν Ῥώσσων εἰς τὸν Χριστιανισμὸν μεταβάσεως ὅρα τὰ ἐν τοῖς ἔμπροσθεν (Προλεγ. § λζ') σημειωθέντα.

[4] Ἐπίγνωσις = ἡ μετὰ τὴν πρώτην γνῶσιν τοῦ πράγματος κατὰ δύναμιν παντελὴς κατανόησις (Φαβωρῖνος). Ἴδε Λεξ. τῆς Ν. Διαθ. ὑπὸ J. Fr. Schleusner ἐν λ. ἐπίγνωσις.

[5] Παῦλος πρὸς Ἑβρ. Η', 11.

Digitized by Google

" πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν Ἀποστολικῶν διδαγμάτων, καὶ εἰς τὰ πέρατα " τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν." [1]

λζ'. Δεῖ οὖν τοὺς παρ' ὑμῶν ἀνθ' ὑμῶν στελλομένους, καὶ τὸ ὑμέτερον ὑποδυομένους ἱερὸν καὶ ὅσιον πρόσωπον, τὴν ὑμετέραν αὐθεντίαν, ἣν ὑμεῖς ἐν Πνεύματι ἁγίῳ ἐκληρώσασθε, ἐγχειρισθῆναι· ὡς ἂν περί τε τούτων τῶν κεφαλαίων, καὶ περὶ ἑτέρων τούτοις παραπλησίων, ἐξ αὐθεντίας ὧσιν Ἀποστολικοῦ θρόνου καὶ λέγειν ἱκανοὶ καὶ πράττειν ἀκώλυτοι. Καὶ γὰρ δὴ καὶ ἀπὸ τῶν τῆς Ἰταλίας μερῶν Συνοδική τις ἐπιστολὴ πρὸς ἡμᾶς ἀναπεφοίτηκεν, [2] ἀῤῥήτων ἐγκλημάτων γέμουσα, ἅτινα κατὰ τοῦ οἰκείου αὐτῶν Ἐπισκόπου οἱ τὴν Ἰταλίαν οἰκοῦντες μετὰ πολλῆς κατακρίσεως καὶ ὅρκων μυρίων διεπέμψαντο, μὴ παριδεῖν αὐτοὺς οὕτως οἰκτρῶς ὀλλυμένους, καὶ ὑπὸ τηλικαύτης βαρείας πιεζομένους τυραννίδος, καὶ τοὺς ἱερατικοὺς νόμους ὑβριζομένους, καὶ πάντας θεσμοὺς Ἐκκλησίας ἀνατρεπομένους. [3] Ἃ καὶ πάλαι μὲν διὰ Μοναχῶν καὶ Πρεσβυτέρων ἐκεῖθεν ἀναδραμόντων εἰς πάντων ἀκοὰς διεφέροντο (Βασίλειος δ' ἄρα ἦν καὶ Ζωσιμᾶς, Μητροφάνης τε καὶ σὺν αὐτοῖς ἕτεροι, οἳ τὴν τοιαύτην τυραννίδα ἀπωδύροντο, καὶ πρὸς ἐκδίκησιν τῶν Ἐκκλησιῶν ἐξεκαλοῦντο δακρύοντες)· νῦν δέ, ὡς ἔφθην εἰπών, καὶ γράμματα διάφορα καὶ ἐκ διαφόρων [3] ἐκεῖθεν ἀναπεφοίτηκε, τραγῳδίας ἀπάσης καὶ μυρίων θρήνων γέμοντα· ὧν τὰ ἴσα κατὰ τὴν ἐκείνων ἀξίωσίν τε καὶ ἐξαίτησιν (καὶ γὰρ εἰς πάντας τοὺς Ἀρχιερατικοὺς καὶ Ἀποστολικοὺς θρόνους διαδοθῆναι ταῦτα μετὰ φρικτῶν ὅρκων καὶ παρακλήσεων ἐδυσώπησαν, ὡς αὐτὰ ἐκεῖνα παραστήσει ἀναγινωσκόμενα) τῷδε ἡμῶν τῷ γραμματίῳ ἐνετάξαμεν, [4] ἵνα καὶ περὶ τούτων, τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Κυρίῳ Συνόδου ἀθροιζομένης, τὰ τῷ Θεῷ καὶ τοῖς Συνοδικοῖς κανόσι δοκοῦντα ψήφῳ βεβαιωθείῃ κοινῇ, καὶ εἰρήνη βαθεῖα τὰς τοῦ Χριστοῦ Ἐκκλησίας καταλήψοιτο. [5]

λή. Καὶ γὰρ οὐ μόνον τὴν Ὑμετέραν Μακαριότητα ἐπὶ τοῦτο προκαλούμεθα, ἀλλά γε δὴ καὶ τῶν ἄλλων Ἀρχιερατικῶν καὶ Ἀποστολικῶν θρόνων οἱ μὲν [6] ἤδη καὶ πάρεισιν, οἱ δὲ οὐ μετὰ πολὺν χρόνον παρεῖναί εἰσι προσδόκιμοι.

---

[1] Παῦλος πρὸς Ῥωμ. Ι', 18, ἐκ τοῦ Ψαλμοῦ ΙΗ', 4.

[2] Τὴν περὶ τῆς Συνοδικῆς ταύτης ἐπιστολῆς καὶ τῶν ἐφεξῆς μνημονευομένων γραμμάτων σιωπὴν τοῦ Βαρωνίου μεμφόμενος Μοντακ. παράδοξον εἶναι λέγει, ὅτι, δεινῶς τοῦ Πάπα Νικολάου ὑπὸ τῶν ἐν Ἰταλίᾳ Ἐπισκόπων ὡς τυραννικοῦ κατηγορουμένου, καὶ τοὺς ἱερατικοὺς νόμους ὑβρίζοντος, καὶ πάντας θεσμοὺς τῆς Ἐκκλησίας ἀνατρέποντος, οὐδὲν ὁ Καρδινάλιος λέγει, ἀλλὰ πεφίμωται.

[3] Τούτους Ἡλ. ὁ Μηνιάτης ἐξονομάζει, Θεούτγαυδον λέγων εἶναι τὸν Τρηουρίων Ἀρχιεπίσκοπον, καὶ Γουνθέριον τὸν Κολωνίας, καὶ Ἰωάννην τὸν Ῥαουέννης, πικρῶς κατὰ τῆς τοῦ Νικολάου τυραννίας καὶ τῶν παρανόμων πράξεων προσκλαίοντας, καὶ προστασίας τινὸς παρὰ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας δεομένους τυχεῖν.—Πέτρα Σκανδάλου, σελ. 36—37.

[4] Οὕτω διώρθωσα τὸ παρὰ τοῖς ἄλλοις κακῶς γεγραμμένον—ὧν τὰ ἴσα κατὰ τὴν ἐκείνων ἀξίωσίν τε καὶ ἐξαίτησιν (καὶ γὰρ . . . . . ἐδυσώπησαν), ὡς αὐτὰ ἐκεῖνα παραστήσει ἀναγινωσκόμενα. Τῷ δὲ ἡμῶν τῷ γραμματίῳ ἐνετάξαμεν κ.τ.λ.—

[5] Ἴδε τὰ περὶ τούτου σημειωθέντα ἐν τῇ Α' ἐπιστ. § ά.

[6] Σχῆμα κατὰ τὸ νοούμενον· ἐννοητ. δὲ—Ἀρχιερεῖς—(σημ. Μοντακ.)

Digitized by Google

λθ'. Μὴ οὖν ἡ Ὑμετέρα ἐν Κυρίῳ ἀδελφότης ἀναβολῇ τινι καὶ παρατάσει χρόνου τοὺς ἀδελφοὺς αὐτῆς διατρίβειν ὑπὲρ τὸ δέον ποιήσῃ,[1] γινώσκουσα, ὡς εἴ τι παρὰ τὴν αὐτῆς ὑστέρησιν, οὐ κατὰ τὸ δέον, ἐλλιπὲς[2] διαπραχθείη, οὐχ ἕτερός τις, ἀλλ' εἰς ἑαυτὴν αὐτὴ τὸ κατάκριμα ἐπισπάσαιτο.

μ'. Καὶ τοῦτο δὲ προστεθῆναι χρεὼν τοῖς γράμμασιν ἡγησάμεθα, ἵνα τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἑβδόμην Σύνοδον ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ Συνόδοις συντάττειν καὶ συναριθμεῖν παντὶ τῷ ὑφ' ὑμᾶς[3] τῆς Ἐκκλησίας παραδοθείῃ πληρώματι. Φήμη γὰρ ἦκεν εἰς ἡμᾶς, ὥς τινες τῶν ὑπὸ τὸν Ἀποστολικὸν ὑμῶν θρόνον Ἐκκλησίαι, μέχρι τῆς ἕκτης τὰς οἰκουμενικὰς ἀριθμοῦσαι[4] Συνόδους, τὴν ἑβδόμην οὐκ ἴσασιν· ἀλλὰ τὰ μὲν ἐν αὐτῇ κυρωθέντα, εἴ πέρ τι ἄλλο, διὰ σπουδῆς καὶ σεβασμιότητος ἄγουσιν, αὐτὴν δ' ἀνακηρύττειν ἐπὶ τῆς Ἐκκλησίας, ὥσπερ καὶ τὰς ἄλλας, οὔπω τυχεῖν ἐπιγνώσεως, καίτοι τὸ ἴσον ἐκείναις ἁπανταχοῦ διασωζούσης ἀξίωμα.

μά. Καὶ γὰρ καὶ αὕτη μεγίστην καθεῖλε δυσσέβειαν, συμπαρέρδους αὐτῇ καὶ συμψήφους τοὺς ἐκ τῶν τεσσάρων ἥκοντας Ἀρχιερατικῶν θρόνων ἔχουσα. Παρῆν γάρ, ὡς δῆλον, ἀπὸ μὲν τοῦ ὑμετέρου Ἀποστολικοῦ θρόνου, τῆς Ἀλεξανδρείας, Θωμᾶς μοναχὸς Πρεσβύτερος, καὶ οἱ σὺν αὐτῷ· ἀπὸ δὲ Ἱεροσολύμων καὶ Ἀντιοχείας Ἰωάννης καὶ οἱ σὺν αὐτῷ· καὶ ἀπό γε τῆς πρεσβυτέρας Ῥώμης Πέτρος ὁ εὐλαβέστατος Πρωτοπρεσβύτερος, καὶ ἕτερος Πέτρος Πρεσβύτερος, Μοναχὸς καὶ Ἡγούμενος τῆς κατὰ Ῥώμην εὐαγοῦς μονῆς τοῦ ἁγίου Σάββα.[5]

μβ'. Καὶ τούτων ἁπάντων συνεληλυθότων, ἅμα τῷ ἡμετέρῳ Πατροθείῳ, καὶ ἁγιωτάτῳ καὶ τρισμακαρίστῳ ἀνδρί, Ταρασίῳ Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, ἡ μεγάλη καὶ οἰκουμενικὴ ἑβδόμη Σύνοδος συνεκροτήθη, τὴν τῶν εἰκονομάχων ἢ Χριστομάχων θριαμβεύσασα καὶ καθελοῦσα δυσσέβειαν· ἧς ἴσως, τοῦ βαρβαρικοῦ καὶ ἀλλοφύλλου τῶν Ἀράβων κατασχόντος τὰς χώρας ἔθνους, οὐκ ἐγένετο ῥᾷστον τὰ πρακτικὰ πρὸς ὑμᾶς διακομισθῆναι. Δι' ἣν αἰτίαν παρὰ πολλοῖς τῶν αὐτόθι ταύτης αἱ διατάξεις εἰ καὶ τιμῶνται καὶ περιέπονται, ἀλλ' οὖν ὅτι ταύτης εἰσίν, ὥς φασιν, οὐκ εἰσὶν ἐν γνώσει.

μγ'. Χρὴ δ' οὖν καὶ ταύτην (καθ' ἅπερ ἔφθημεν εἰπόντες[6]) μεγάλην τε καὶ ἁγίαν καὶ οἰκουμενικήν, καὶ ταῖς πρὸ αὐτῆς ἓξ Συνόδοις συνανακηρύττειν. Τὸ γὰρ μὴ οὕτω διαπράττεσθαι καὶ ποιεῖν πρῶτον μὲν ἀδικεῖν ἐστι τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, τηλικαύτην ὑπερορῶντας Σύνοδον, καὶ τοσούτῳ μέρει τὸν σύνδεσμον αὐτῆς καὶ τὴν συνάφειαν δια-

---

[1] Ἡμ. διόρθ. ἀντὶ—ποιήσει—παρὰ τοῖς ἄλλοις.

[2] Ἡμ. διόρθ. ἀντὶ—ἐλλιπές τι.— περιττὴ γὰρ πάντως ἡ τῆς Ἀντωνυμίας ἐπανάληψις.

[3] Ἡμ. διόρθ. ἀντὶ—ὑφ' ὑμῶν—παρὰ τοῖς ἄλλοις.

[4] Ἡμ. διόρθ. ἀντὶ—ἀριθμῆσαι.

[5] Ὅρα περὶ τούτου τῆς ΣΤ' ἐπιστ. § ιή.

[6] Προσέθηκα τὴν Μετ. "εἰπόντες," ἐλλείπουσαν παρὰ τοῖς ἄλλοις.

Digitized by Google

σπῶντας καὶ διαλύοντας· δεύτερον δὲ καὶ τῶν εἰκονομαχούντων, ὧν οὐδὲν ἔλαττον τῶν ἄλλων αἱρετικῶν εὖ οἶδ' ὅτι μυσάττεσθε τὸ δυσσέβημα, πλατύνειν ἐστὶ τὰ στόματα, οὐχὶ οἰκουμενικῇ Συνόδῳ τὴν αὐτῶν καθαιρεθῆναι δυσσέβειαν, ἀλλ' ἑνὸς θρόνου κρίσει τὴν δίκην ὑπέχειν πρόφασιν ἐχόντων εἰς τὸ τερατεύεσθαι.

μδ'. Δι' ἅπερ ἅπαντα ἔν τε τοῖς Συνοδικοῖς γράμμασι, καὶ ἐν ἄλλαις ἁπάσαις Ἐκκλησιαστικαῖς ἱστορίαις καὶ συζητήσεσιν, ἀριθμεῖν ταύτην καὶ συγκαταλέγειν ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ Συνόδοις, ἑβδόμην μετ' ἐκείνας τάττοντας, ἀξιοῦμέν τε καὶ ὡς ἀδελφοῖς ἀδελφοὶ παραινοῦμεν, τὰ πρέποντα εἰσηγούμενοι.

μέ. Χριστὸς δὲ ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ὁ πρῶτος καὶ μέγας Ἀρχιερεύς, ὁ ἑκούσιον ὑπὲρ ἡμῶν ἑαυτὸν καλλιερησάμενος σφάγιον, καὶ τὸ οἰκεῖον αἷμα λύτρον ὑπὲρ ἡμῶν καταθέμενος, δοίη μὲν τὴν ὑμετέραν Ἀρχιερατικὴν καὶ τιμίαν κεφαλὴν κρείττω τῶν κύκλῳ καθισταμένων βαρβαρικῶν ἐθνῶν ὀφθῆναι· δοίη δὲ γαληνὸν καὶ ἤρεμον ἐξανύειν τὸν τοῦ βίου δρόμον· δοίη δὲ τυχεῖν καὶ τῆς ἄνω κληρουχίας ἀνεκλαλήτῳ χαρᾷ καὶ εὐφροσύνῃ, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία, καὶ ἧς ἀπέδρα ὀδύνη πᾶσα καὶ στεναγμὸς καὶ κατήφεια, ἐν αὐτῷ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* Ὑπερευχόμεθα ὑμῶν κατὰ χρέος τῆς Πατρικῆς Ὁσιότητος. Μεμνῆσθαι καὶ αὐτοὶ τῆς ἡμῶν μὴ διαλίποιτε μετριότητος.

ΕΠΙΣΤΟΛΗ Ε'.—5.

ΕΠΙΣΤΟΛΗ ΦΩΤΙΟΥ ΠΡΟΣ ΤΟΝ ΑΚΥΛΗΙΑΣ ΜΗΤΡΟΠΟΛΙΤΗΝ.[1]

Τῷ θεοφιλεστάτῳ, ὁσιωτάτῳ, ἱερωτάτῳ Ἀρχιερεῖ, ἀδελφῷ καὶ συλλειτουργῷ, τῷ θαυμασιωτάτῳ καὶ περιωνύμῳ Ἀρχιεπισκόπῳ καὶ Μητροπολίτῃ Ἀκυληίας, ΦΩΤΙΟΣ ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

Τὸ μὲν τῆς παρ' Ὑμῶν Μακαριότητος ἀφιγμένον γράμμα ἡμῖν, πρῶτα μὲν ἐχαρακτήριζε τὴν ταύτης κατὰ Θεὸν γνώμην καὶ τὸ φίλτρον τοῦ πνεύματος, ὡς μέγα τε εἴη καὶ ὑψηλόν, καὶ ὑπερανῳκισμένον τῆς τῶν πολλῶν καταστάσεως· ἔπειτα δὲ καὶ ὃς αὐτὸ ἐνε-

* Ἡ τελευταία αὕτη πρόσρησις, παρὰ Μοντακ. ὑπάρχουσα, οὐκ ἔστιν ἐν Τόμῳ Χαρᾶς.

[1] Ἡ ὑπερθαύμαστος καὶ πολύκροτος αὕτη ἐπιστολὴ ἐν ἔτει μὲν 883 γέγραπται· ἐκδέδοται δὲ τὸ μὲν πρῶτον ὑπὸ Κομβεφισίου ἐν ἔτει 1672 (Auctar. Biblioth. Patrum, Tom. I. p. 927) μετὰ Λατινικῆς μετα-

Digitized by Google

κεχείριστο, τούτου τοῦ ἱεροῦ ἀνδρὸς τήν τε ἄλλην ἀρετὴν καὶ σύνεσιν, καὶ τὸ κατὰ διάνοιαν εὐσταθές τε καὶ δραστήριον· δι' ὧν, ὡς δι' ἐσόπτρου, τὴν ὑμετέραν ἱερὰν καὶ θεοτίμητον Ὁσιότητα, ὅσα τὸ γράμμα, οἷα δὴ γράμμα, παρέτρεχε, καθορᾷν παρεῖχεν ἐμφανέστερόν τε καὶ τελεώτερον, καὶ ἐπὶ τοῖς ταύτης κατορθώμασιν ἥδεσθαι καὶ κατατέρπεσθαι. Καὶ γὰρ εἴδομεν ἄνδρα συνέσει μὲν μᾶλλον ἢ τῇ πολιᾷ σεμνυνόμενον, ἀρεταῖς δὲ οὐκ ἔλαττον ἢ συνέσει ποικιλλόμενον, καὶ τῷ εὐσταθεῖ τῆς γνώμης τὸ ἀγχίνουν συμπροβαλλόμενον· καὶ ἁπλῶς εἰπεῖν, οἵας ἐχρῆν μετειληχέναι χάριτος τὸν ἱεράσθαι παρὰ Θεοῦ τῶν φρικτῶν ἡμῶν μυστηρίων τὴν τελετὴν λαχόντα, καὶ τῆς ὑμῶν καὶ διδα-

---

φράσεως καί τινων σημειώσεων· ἔπειτα δὲ ὑπὸ Δοσιθέου ἐν Τόμῳ Χαρᾶς, καὶ ὑπὸ Ἰαγέρου ἐν τέλει τῆς Φωτίου Ἱστορίας, καὶ τελευταῖον ἐν τῇ Μιγνίου Πατρολογίᾳ. Εὕρηται δὲ Λατινιστὶ μὲν ὑπὸ Βαρωνίου, Γαλλιστὶ δὲ ὑπὸ Ἰαγέρου μεθηρμηνευμένη, πολλαῖς παρ' ἀμφοτέρων καὶ ὑβριστικαῖς περιβεβλημένη σημειώσεσιν· ἰδίᾳ δ' Ἰάγερος καὶ πρόλογον ταύτης προὔταξε μακρόν, ὡς τὴν περὶ ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος ὀρθόδοξον τῆς ἡμετέρας Ἐκκλησίας γνώμην ἀνατρέψων, ὁ νήπιος ! ! ! (Hist. de Photius, p. 345—360.) Ἀλλὰ τίς τῶν ἀπαθῶς καὶ φθόνου καθαρευούσῃ διανοίᾳ τὴν ἀλήθειαν ἀνιχνευόντων, τάς τε Φωτίου ἐπιστολὰς καὶ τὰς Βαρωνίου καὶ Ἰαγέρου παρερμηνεύσεις ἀναγινώσκων, οὐκ ἂν τοὺς ἄνδρας τούτους τοῦ νοῦ καὶ τῆς συμφορᾶς ἴσον ἐλεήσειεν; Μαιμβούργιος δὲ ἄλλα περὶ τῆς ἐπιστολῆς ταύτης τερατευόμενος, αἰτίαν αὐτῆς φησι γενέσθαι τὸ τὸν Ἀκυληΐας Μητροπολίτην πρὸς τὸν Πάπαν στασιάζειν, ἀπόλυτον καὶ ἀνεξάρτητον ἐκείνου γενέσθαι βουλόμενον, οἷα δὴ καὶ ἄλλοι πρὸ αὐτοῦ Ἀκυληΐας Ἐπίσκοποι διεπράξαντο, αὐθαιρέτως Πατριάρχας ἑαυτοὺς ὀνομάσαντες, καὶ πολλὰ πρὸς τοὺς Πάπας ἀπὸ τοῦ ἔτους 556 καὶ ἐφεξῆς στασιάσαντες. Λέγει τοίνυν Μαιμβούργιος Φωτίῳ τὸν Ἀκυληΐας Μητροπολίτην συμμαχῆσαι, πρέσβεις αὐτῷ πέμψαντα, καὶ τῇ ἐν Κωνσταντινουπόλει συντασσόμενον Ἐκκλησίᾳ, ὅπως τὸν σοφὸν καὶ μέγαν ἐκεῖνον ἄνδρα (Φώτιον δῆλον ὅτι) βοηθὸν προσλάβῃ κατὰ τοῦ Πάπα καὶ ἀντιλήπτορα, " afin d'avoir de quoi fortifier son parti par le *savant écrit* et par l'autorité d'un si *grand homme*, et de pouvoir en même temps combattre avec des si bonnes armes l'hérésie des Latins. Photius qui n'espérait pas d'avoir une si belle occasion de faire révolter encore les Occidentaux contre les Papes, ne manqua pas de s'en prévaloir, et d'écrire une lettre extrêmement artificieuse sur cette célebre Controverse, qu'il avait prise pour prétexte de son schisme, etc. (Hist. de scisme des Grecs par le Sieur Louis Maimbourge—cy-devant Jesuite, p. 173—4. Paris, 1686.) Ἀλλὰ κατὰ τῆς παναθέσμου προσθήκης ἐν τῷ Συμβόλῳ οὐ μόνον ὁ εὐσεβὴς οὗτος Ἱεράρχης διεμαρτύρετο καὶ κατεβόα, ἀλλὰ καὶ ἄλλοι τῶν ἐν τῇ Δύσει Κληρικῶν, καὶ αὐτοὶ οἱ Πάπαι, οἵ τε πρὸ τοῦ Νικολάου καὶ οἱ μετ' αὐτόν, ὡς Ἰωάννης ὁ Η' καὶ οἱ ἐν τῇ ὀγδόῃ Συνόδῳ παρόντες ἐκείνου τοποτηρηταί. Οὐ τοίνυν ταῦτα παριδόντες, ἐπὶ τρεῖς ἀναδραμούμεθα αἰῶνας, μετὰ Μαιμβουργίου ἀναῤῥιχώμενοι, ὅπως τὴν αἰτίαν ἐντεῦθεν ἀνεύρωμεν, δι' ἣν ὁ κλεινὸς τῆς Ἀκυληΐας Μητροπολίτης καὶ ἄλλοι τῶν ἐν τῇ Δύσει τὴν πανάθεσμον ἐν τῷ Συμβόλῳ προσθήκην οὐ παρεδέχοντο· ἀλλὰ μᾶλλον ἐροῦμεν μετὰ Φωτίου καὶ τῆς ἀληθείας, ὅτι δι' εὐσέβειαν καὶ ζῆλον ὑπὲρ τῆς Ὀρθοδοξίας οὗτος ἐφρόνουν καὶ ἔπραττον· διαῤῥήδην γάρ φησι Φώτιος οὐ πάντας τῶν ἐν τῇ Δύσει, ἀλλ' ἐνίους αὐτῶν τὴν προσθήκην ἀποδέχεσθαι. "Ἦκεν εἰς ἡμετέρας ἀκοάς, ὥς τινες τῶν ἀνὰ τὴν Δύσιν τὸ θεῖόν τε καὶ πανάγιον Πνεῦμα οὐ μόνον ἐκ τοῦ Θεοῦ καὶ Πατρός, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ, ἐκπορεύεσθαι παρεισάγουσιν." (τῆς παρ. ἐπιστ. § γ'.) Δῆλον οὖν ἐντεῦθεν, ὅτι πολλοὶ τῶν ἐν τῇ Δύσει τὴν προσθήκην οὐ παρεδέχοντο· ὧν εἷς καὶ ὁ κλεινὸς οὗτος ἐτύγχανε Μητροπολίτης, οὐ πρὸς τὸν Πάπαν στασιάζων, οὐδὲ πρωτείων ἀντιποιούμενος, ὡς Μαιμβούργιος καὶ τόδε σὺν τοῖς ἄλλοις ἑτερατεύσατο, ἀλλὰ δι' εὐσέβειαν καὶ ὀρθοδοξίαν. Ἴδε περὶ τῆς ἐπιστολῆς ταύτης καὶ Παπ. ἐλέγχ. προλεγ. ἐν Τόμῳ Α', § λγ'.— Ἡ δὲ Ἀκυληΐα πόλις ἦν Ἐνετική, ἐν τῷ μυχῷ τοῦ Ἀδριατικοῦ κόλπου κειμένη, καὶ σταδίους ἑκατὸν ἀπέχουσα τῶν Τεργεστῶν, ὥς φησι Στράβων (Τόμ. Α', σελ. 286 καὶ 288, ἔκδ. Κοραῆ).

Digitized by Google

σκαλίας καὶ χειροθεσίας ἄξιον, τοιοῦτον ἡ πεῖρα τῆς ἱερᾶς ὑμῶν Ὁσιότητος παρεδείκνυ τὸν ἀπόστολον. Κἀντεῦθεν ἦν συνορᾶν τε καὶ λαμβάνειν τὴν ἀπόδειξιν, ὡς ὁ τούτου τὰ πρωτεῖα φερόμενος καὶ τελεσιουργὸς καὶ τῆς πρὸς ἡμᾶς ἀποστολῆς αἴτιος, πλήρης μὲν τῶν θείων ἐστὶ χαρίτων, ὅλος δὲ τῇ τοῦ βίου λαμπρότητι καὶ τῷ τῶν δογμάτων διαπύρῳ ζήλῳ καὶ τῷ ἔρωτι διασημότατός τε ἂν εἴη, καὶ παράδειγμα σωτηρίας τοῖς εἰς αὐτὸν ἀτενίζουσιν.

β'. Εἰ μὴ γὰρ ταῖς κατὰ Θεὸν ὑμῶν διδασκαλίαις καὶ εἰσηγήσεσιν ἐπιδαψιλευόμενος ὁ τὴν Ἀρχιερατικὴν χάριν ἐξ ὑμῶν ἔλκων οὕτως[1] ἐνετρύφα, καὶ εἰ μὴ θαυμαστῆς τινος καὶ τοσαύτης ἀπήλαυε τῆς ἐκ τῶν ἀρετῶν ὑμῶν πηγαίας ἀρδείας, οὐκ ἂν εἰς τοσαύτην προῆλθε, κατὰ τὸ προσῆκον Ἀρχιερεῦσι Θεοῦ, ἀρετῶν ἐπιφάνειαν. Σώζουσι γὰρ οὐκ ἀεί, οὐδὲ ἐκ βραχείας τινὸς αὐγῆς καὶ ἐλλάμψεως, τὴν ὁμοιότητα τῶν πρωτοτύπων τὰ δεύτερα. Καὶ χάρις ἐπὶ πᾶσι τούτοις τῷ εὐεργέτῃ καὶ δημιουργῷ τῶν ὅλων Θεῷ· ὅς, ὥσπερ ἐν τοῖς τῆς Ἑώας μέρεσιν, οὕτω δὴ καὶ ἐν τοῖς Ἑσπερίοις, φωστῆρας καὶ ὁδηγοὺς τελεσιουργῶν, ὁσημέραι λάμπειν καὶ καταυγάζειν πολλῶν ψυχὰς καὶ διανοίας ἐν τῷ τῶν Ἀρχιερατικῶν ὕψει θρόνων προβάλλεται.[2]

γ'. Ἀλλ' οὕτω περὶ τῆς ἱερᾶς ὑμῶν ἀρετῆς ἔχοντες, καὶ τοῖς ταύτης ἐνσεμνυνόμενοί τε καὶ ἡδόμενοι κατορθώμασι, τὸ νῦν ἡμῶν ταῖς ἀκοαῖς ἐπιπεσόν (ὡς εἴθε μὴ ὤφελε· ψυχῆς γάρ ἐστι καὶ οὐ σώματος ἄλγημα· διὸ ταύτης ἀποθέντες μεγάλην ἐλπίδα, ἣν εἴχομεν λαβόντες, καὶ αὐτὸ τὸ πάθος ἀνακαλύψαι δεῖν ᾠήθημεν) οὐκ οἶδα πῶς ἂν ἀλύπως εἴπω.[3]

---

[1] Ἴσως ἐγέγραπτο—οὕτος.

[2] Θωπείαν (adulation) τοὺς λόγους τούτους ἀποκαλεῖ Ἰάγερος, οὐδὲν ἢ καθαρὰν ὄντας ἀλήθειαν. Ὁ γὰρ Ἀκυληίας Μητροπολίτης εἰς ὢν ἐτύγχανεν, ὥσπερ ἔφθημεν εἰπόντες, τῶν τῆς Ἑσπερίας Ἐπισκόπων, οἳ τὴν ἐν τῷ Συμβόλῳ ἀσεβῆ καὶ πανάθεσμον προσθήκην οὐ παρεδέχοντο· καὶ διὰ τοῦτο ἐπ' εὐσεβείᾳ κλεϊζόμενος δικαίας μὲν ἐτύγχανε τιμῆς καὶ ἐγκωμίων παρὰ τοῦ τοὺς τιμῆς ἀξίους τιμᾷν εἰδότος Φωτίου, ἀδίκου δὲ ὕβρεως παρ' Ἰαγέρου, ὃς αὐτὸν Πατριάρχην ἀποκαλεῖ σχισματικόν. (Hist. de Photius, p. 358.)

[3] Οὕτω διορθωτέον εἶναι ᾠήθην τὸ χωρίον τοῦτο, παρὰ τοῖς ἄλλοις ἅπασιν ἡμαρτημένως (ὥς γέ μοι δοκεῖ) γεγραμμένον. Παρὰ μὲν γὰρ Κομβεφισίῳ καὶ Δοσιθέῳ οὑτωσὶ φέρεται· "Ἀλλ' οὕτω περὶ τῆς "ἱερᾶς ὑμῶν ἀρετῆς ἔχοντες, καὶ τῆς ταύτης ἐνσεμνυνόμενοί τε καὶ ἡδόμενοι κατορθώμασι, τὸ νῦν ἡμῶν "ταῖς ἀκοαῖς ἐπιπεσόν, ὡς εἴθε μὴ ὤφελε. Ψυχῆς γάρ ἐστι, καὶ οὐ σώματος ἄλγημα. Διὰ ταύτης ἀπὸ "θέας μεγάλην ἐλπίδα λαβόντες, καὶ αὐτὸ τὸ πάθος ἀνακαλύψαι δεῖν ᾠήθημεν. Οὐκ οἶδα πῶς ἂν ἀλύ-"πως εἴπω." Ἰάγερος δὲ διορθοῦν, ὡς ἔοικεν, ἐπιβαλόμενος, καὶ μόνην τὴν ΔΙΑ εἰς τὸ ΔΙΟ τρέψας, πάντα καλῶς κοταρτίσαι ἐνόμισεν· καὶ Μίγνιος δὲ κατ' Ἰάγερον ἔγραψεν. Ἡ δὲ ἡμετέρα διόρθωσις πρῶτον μὲν τὰ τῇ κυρίᾳ τοῦ λόγου προτάσει αἰτιολογικῶς παρεμπίπτοντα τῇ παρενθέσει περιβαλοῦσα, ἔπειτα δὲ τὸ "διὰ ταύτης ἀπὸ θέας μεγάλην ἐλπίδα λαβόντες" εἰς τὸ "Διὸ ταύτης ἀποθέντες (ἢ ἀποθέμενοι) μεγάλην ἐλπίδα, ἣν εἴχομεν λαβόντες" μεταβαλοῦσα, ἀρκούντως τὴν τοῦ χωρίου ἔννοιαν διαφωτίζει. Ἔστι δ' ἡμῶν ἡ διόρθωσις αὕτη οὐκ αὐθαίρετος, ἀλλ' ἐκ τῆς Βαρωνίου μεταφράσεως, ὃς ἐξ ἑτέρου μετέφραζεν ἀπογράφου, ὁρμωμένη· κἀκεῖνος γὰρ τήν τε παρένθεσιν ἔχει πως, καὶ τῇ ἄλλῃ διορθώσει ἡμῶν συνῳδὰ μεταφράζει·—"Sed . . . . . quod nuper ad nostras parvenit aures (et utinam numquam parvenisset: animi enim et [non] corporis est magnus dolor) effecit, ut *deponeremus* magnam *quam conceperamus* spem, et moerorem nostrum aperire tibi necessarium duximus est." Καὶ ταῦτα μὲν ἡμεῖς περὶ τούτου· τὰ δὲ πλείω καὶ κρείττω τοῖς κρείττοσιν ἀποκείσθω. Ἄπορον δὲ τὸ τοῦ ἀοιδίμου Εὐγενίου, ὅτι τὸ

Digitized by Google

Ἢ[1] μὴ καλῶς ταῖς Κυριακαῖς φωναῖς ἐξαρκεσθέντες, ἢ τῶν Πατρικῶν τε καὶ Συνοδικῶν ὅρων καὶ δογμάτων ἔχοντες λόγον οὐδένα, ἢ τῆς ἐκεῖθεν ἀκριβείας ὑπερορῶντες, ἢ τὸν νοῦν πρὸς τὰ τοιαῦτα φέροντες πεπωρωμένον, ἢ οὐκ οἶδ' ὅπως ἄν τις καὶ φαίη, ὅμως οὖν (ὡς εἴθε μὴ ὤφελεν) ἦκεν εἰς ἡμετέρας ἀκοάς, ὥς τινες τῶν ἀνὰ τὴν Δύσιν τὸ θεῖόν τε καὶ πανάγιον Πνεῦμα οὐ μόνον ἐκ τοῦ Θεοῦ καὶ Πατρός, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι παρεισάγουσι, καὶ πολλὴν ἐντεῦθεν τὴν βλάβην διὰ τῆς τοιαύτης φωνῆς τοῖς πειθομένοις ἀπεργάζονται. Τοῦτο δὲ κατὰ γνώμην μὲν τοῖς οὕτως ἐξ ἀλόγου προλήψεως ἔχουσιν, οὐ τοσαύτην, καίτοι πολλήν, διὰ τὸ τῆς ἀγνοίας προκάλυμμα τάχ' ἂν προξενήσειεν.[2] Ἐρεύνης δὲ προτεθείσης, καὶ τρανῶς διά τε τῆς ἄλλης ἡμῶν ἱερᾶς Γραφῆς, καὶ αὐτῆς δὴ τῆς Κυριακῆς φωνῆς, ἐλεγχθείσης τῆς πλάνης,[3] εἰ μὴ θᾶττον μὲν ἀποσταῖεν, ὡς ἐνῃσχυμμένοι,[4] τῆς ἀτόπου δόξης, θᾶττον δὲ τοῖς ὀρθῶς ἐπιδεδειγμένοις καὶ προτεθεῖσιν ἐπασμενίσειαν,[5] εἰς ὅσην οἱ τοιοῦτοι καταφέρονται βλασφημίαν, ὅσης δὲ καταδίκης ὑπευθύνους ἑαυτοὺς ἀποφαίνουσι, κἂν μηδεὶς ἀνακηρύττῃ, κατάδηλον. Ἐκπεσοῦνται γὰρ μετὰ τῶν ἄλλων ἀγαθῶν καὶ τοῦ τῆς εὐσεβείας φρονήματος, καὶ αὐτοῦ τοῦ θείου Πνεύματος, ὡς ταπεινοῦντες τὸ Πνεῦμα, οἷα δὴ ἐκ τοῦ Υἱοῦ δογματίζοντες ἐκπορεύεσθαι, καὶ δευτέρᾳ προόδῳ αὐτὸ μὲν ἐνυβρίζοντες, χλευάζοντες δὲ καὶ τὴν μίαν ἐκπόρευσιν. Πῶς γὰρ οὐκ ἄτοπον, μᾶλλον δέ, πῶς οὐκ ἐσχάτης βλασφημίας πλῆρες τὸ πρὸς αὐτὰς τὰς Δεσποτικὰς φωνὰς ἀπομάχεσθαι, καὶ τῇ πανταχοῦ κρατούσῃ τῶν μεγάλων καὶ Ἀρχιερατικῶν θρόνων παραδόσει τε καὶ διδασκαλίᾳ ἀντεπανίστασθαι; Καὶ γὰρ (ἵνα τοὺς πρὸ αὐτοῦ ἐάσω) καὶ Λέων ὁ τῆς Ῥώμης Ἀρχιερεύς, ὅ τε παλαιός,[6] καὶ πάλιν ὁ μετὰ τοῦτον νέος Λέων,[7] τὰ αὐτὰ φρονοῦντες τῇ Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ τοῖς πρὸ αὐτῶν ἁγίοις Ἀρχιερεῦσι, καὶ τοῖς Ἀποστολικοῖς θεσπίσμασιν ἐπιδείκνυνται· ὁ μὲν τῇ τετάρτῃ καὶ οἰκουμενικῇ ἁγίᾳ Συνόδῳ πολλὴν συνεισενεγκὼν τὴν συγκρότησιν, διά τε τῶν εἰς πρόσωπον αὐτοῦ ἀποσταλέντων ἱερῶν ἀνδρῶν, καὶ διὰ τῆς οἰκείας ἐπιστολῆς· δι' ἧς καὶ Νεστό-

---

Ζοιρνικαβίου "περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐκ μόνου τοῦ Πατρός" πολύτιμον σύγγραμμα μεταφράζων, οὐ διωρθώσατο τὸ χωρίον τοῦτο, ἐκ Κομβεφισίου ἡμαρτημένως παρατεθειμένον (Τόμ. Α', σελ. 161.).

[1] Ἡμ. διόρθ. ἀντὶ—Εἰ—παρὰ τοῖς ἄλλοις.

[2] Ἀποφατικῶς παρὰ τοῖς ἄλλοις—οὐκ ἂν προξενήσειεν.— Ἀλλὰ περιτὴ ἡ τοῦ ΟΥ ἐπανάληψις. Ἐννοητέον δὲ ἀπὸ κοινοῦ—τὴν βλάβην.

[3] Ἡμ. διόρθ. ἡ τοῦ ἄρθρου προσθήκη.

[4] Ἐκ διορθ. Ἰαγέρου, ἀντὶ—ἐνησχαμένοι.

[5] Ἐνικῶς παρὰ τοῖς ἄλλοις—ἐπασμενίσειεν.

[6] Οὗτός ἐστι Λέων Α', ὁ ἐπικληθεὶς μέγας, ὃς ἐπάπευσε τὸ 440—461.

[7] Οὗτός ἐστι Λέων ὁ Γ' (795—816). Τιμᾶται δὲ ὡς ἅγιος ὑπὸ τῆς Δυτικῆς Ἐκκλησίας, καὶ ἡ μνήμη αὐτοῦ τελεῖται τῇ 11 Ἰουνίου. Εἰ τοίνυν Φώτιος καὶ ἡμεῖς μετὰ Φωτίου Σχισματικοί, πῶς οὐ Σχισματικὸς καὶ ὁ τῆς Δυτικῆς Ἐκκλησίας οὗτος ἅγιος; καὶ γὰρ ὁ Λέων οὗτος οὐχ ἧττον Φωτίου τὴν πανάθεν τῷ Συμβόλῳ προσθήκην κατέκρινέ τε καὶ ἀπηγόρευεν, ὡς εὐθὺς παρακατιὼν ἐρεῖ πλατύτερον.

Digitized by Google

ριος καὶ Εὐτυχὴς καταβέβληνται· ἐν ᾗ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς κατὰ τὰς πρὸ αὐτοῦ Συνοδικὰς ψήφους, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ, ἀνεκήρυττεν ἐκπορεύεσθαι.[1] *Ὡσαύτως δὲ καὶ ὁ μεταγενέστερος Λέων, ὁ τὴν πίστιν, ὥσπερ τὴν κλῆσιν ἐφάμιλλος. Οὗτος δή, οὗτος ὁ τῆς εὐσεβείας θερμὸς ζηλωτής, ὡς ἂν κατὰ μηδένα τρόπον μηδαμῶς παραχαράττοιτο βαρβάρῳ γλώσσῃ τὸ ἄχραντον ἡμῶν τῆς εὐσεβείας μάθημα, Ἑλληνίδι φωνῇ, ὥσπερ δὴ καὶ κατ' ἀρχὰς εἴρηται, τοῖς ἐν τῇ Δύσει δι' αὐτοῦ δοξολογεῖν καὶ θεολογεῖν τὴν ἁγίαν Τριάδα παραδέδωκεν. Καὶ οὐ λόγῳ μόνον καὶ προστάγματι, ἀλλὰ καὶ θυρεοῖς τισι πεποιημένοις, ὥσπερ στήλαις τισίν, ἀναγραψάμενός τε καὶ εἰς ὄψιν ἁπάντων προθείς, κατὰ τὰς πύλας τῆς Ἐκκλησίας προσέπηξεν,*[2] *ὡς ἂν πᾶσιν εἴη ῥάδιόν τε καὶ ἀκαπήλευτον ἐκμανθάνειν τὴν εὐσέβειαν, καὶ μηδαμόθεν τοῖς κρυφίοις παραχαράκταις καὶ καινολόγοις*[3] *μέθοδος εἴη κιβδηλεύειν ἡμῶν τῶν Χριστιανῶν τὴν εὐσέβειαν, καὶ δεύτερον αἴτιον εἰσάγειν παρὰ τὸν Πατέρα τὸν Υἱὸν τοῦ ὁμοτίμως τῷ γεννηθέντι Υἱῷ ἐκ*

---

[1] *Θαυμαστός τίς ἐστιν Ἰάγερος, ὑποσημειῶν ἐνταυθοῖ·* "Léon dans sa divine épitre envoyée au concile de Calcédoine ne dit pas que le Saint-Esprit prosède du Fils; donc il le nie: tel est l'argument de Photius." *Κατὰ γὰρ τὴν Ἰαγέρειον λογικήν, πάντες οἱ λέγοντες τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι οὐκ ἀρνοῦνται καὶ τὸ ἐκ τοῦ Υἱοῦ, ὡς δῆθεν ὑπονοούμενον. Αὕτη γάρ ἐστιν ἡ στρεβλὴ καὶ παράλογος τῶν Δυτικῶν ἑρμηνεία, τὸ Πνεῦμα τὸ ἅγιον λεγόντων καὶ κατ' αὐτὴν τοῦ Συμβόλου τὴν ῥῆσιν ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ· οὐ γὰρ λέγεται ἐν τῷ Συμβόλῳ "ἐκ μόνου τοῦ Πατρός," ἀλλ' ἁπλῶς "ἐκ τοῦ Πατρός." Ὥστε κατὰ ταύτην αὐτῶν τὴν παράλογον λογικήν, ἔξεστι νοεῖν καὶ λέγειν, ὅτι καὶ ὁ Υἱὸς οὐ μόνον ἐκ τοῦ Πατρός, ἀλλ' ἐκ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος γεγέννηται· ὅταν γὰρ λέγωμεν ἐν τῷ δευτέρῳ ἄρθρῳ τοῦ Συμβόλου "τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων" οὐ λέγομεν "ἐκ μόνου τοῦ Πατρός." Ὡσαύτως δὲ καὶ ἐν τῷ λέγειν αὐτὸν τὸν Χριστόν· "Ἐξῆλθον παρὰ τοῦ Πατρός, καὶ ἐλήλυθα εἰς τὸν Κόσμον"* (Ἰωάν. ΙΣΤ', 28) *ἔξεστι νοεῖν, ὅτι ἐξῆλθε παρά τε τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος· οὐ γὰρ εἶπε "παρὰ μόνου τοῦ Πατρός," ἀλλ' ἁπλῶς "παρὰ τοῦ Πατρός." Τοιαύτη τίς ἐστι τῶν περὶ Ἰάγερον ἡ τερατώδης λογική.*

[2] *Ἴδε τὰ περὶ τούτου ἐν τῇ Μελετ. Ἐκκλ. Ἱστορίᾳ (Τόμ. Β', σελ. 251—2). Ἐκτενέστερον δὲ καὶ ἀκριβέστερον τὴν τοῦ εὐσεβοῦς Ἱεράρχου Λέοντος εὐσεβῆ ταύτην πρᾶξιν Σπυρίδων ὁ Ζαμπέλιος ἐν ταῖς Βυζαντιναῖς αὐτοῦ Μελέταις ἱστόρηκεν* (σελ. 401—7, *ἐν Ἀθήναις* 1857). *Ἴδε καὶ Παπιστ. ἐλέγχ. Τόμ. Β', σελ. 229—231. Εἰ δὲ καὶ ἐν τούτοις Ἰαγέρου βούλει ἀκούειν, θαυμάσεις αὖθις τοῦ ἀνδρὸς τὴν σοφίαν ἐν οἷς καὶ ἐνταυθοῖ ὑπεσημειώσατο. Λέγει γάρ·* "Toujours le même sofisme! Léon III. a fait graver le symbole de Constantinople sans addition: donc il ne croit pas au *Filioque*." *Καὶ πάντως λέγομεν ἡμεῖς Ἰαγέρῳ,* il ne croit pas· *εἰ γὰρ οὕτως ἐπίστευε, τί οὐχ οὕτως ἔγραψεν; Ἀλλ' ἐκεῖνος τὴν τῶν θυρεῶν ἀναστήλωσιν τούτου γε ἕνεκα ἐποιήσατο, ὅπως μηδεὶς ἄλλως, ἢ ὡς ἐν τῷ Συμβόλῳ γέγραπται, λέγῃ, μηδὲ πιστεύῃ. Πῶς οὖν ἄν τις δέξαιτο τὸν τῇ προσθήκῃ ἀντιμαχόμενον, καὶ μακρὰ κατ' αὐτῆς ἀντειπόντα τοῖς Καρόλου τοῦ Μεγάλου πρέσβεσι, καὶ εἰς ἀπόκρουσιν αὐτῆς τοὺς θυρεοὺς ἐκείνους ἐπινοήσαντα καὶ ἀναρτήσαντα, τοῦτον τὴν προσθήκην ταύτην κατὰ τὴν Ἰαγέρου λογικὴν ἀποδέχεσθαι, καὶ πιστεύειν αὐτῇ; Οὐκ ἄρα σοφιστὴς Φώτιος, ὡς Ἰάγερος λέγει, ἀλλ' ὁ τὴν ἀλήθειαν οὕτω προφανῶς ἐκτιθεμένην διαστρέφων καὶ κιβδηλεύων.—Ἴδε περὶ τούτου καὶ τὴν Ὀρθόδοξον ὁμολογίαν τῆς πίστεως τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, τῆς Ἀνατολικῆς, ἐρώτ. οά, ἔκδ. Ἐρνέστου Ι. Κιμμέλου ἐν τῷ—*Monumenta Fidei Ecclesiæ Orientalis—Jenæ 1850.

[3] *Κενολόγοις—παρὰ τοῖς ἄλλοις· εἰ δὲ καὶ ἀμφότερα προσήκει τοῖς παραχαράκταις ἐκείνοις τὰ ἐπίθετα (κενολογία γὰρ ἦν αὐτῶν ἡ καινολογία), ὅμως δὲ νομίζω αἱρετώτερον εἶναι ἐνταῦθα τὸ διφθογγογραφούμενον.*

Digitized by Google

τοῦ Πατρὸς ἐκπορευομένου Πνεύματος. Καὶ οὐχ ἡ δυὰς αὕτη μόνον τῶν ἱερῶν ἀνδρῶν, κατὰ τὴν Δύσιν διαλαμψάντων, τὴν εὐσέβειαν ἀκαινοτόμητον διεσώσαντο·[1] οὐχ οὕτω σπανίζει κηρύκων ἑσπερίων ἡ Ἐκκλησία· ἀλλὰ καὶ ἄλλος χορὸς οὐκ εὐαρίθμητος, οἵ, καθάπερ ἄκροις, τοῖς εἰρημένοις ἀνδράσιν ἐμπεριέχονταί τε καὶ συνεκλάμπουσι τὴν εὐσέ-

---

[1] Ἐνταῦθα πάλιν Ἰάγερος ὑποσημειοῖ μηδένα ἔχειν Φώτιον εἰπεῖν τῶν ἐν τῇ Δύσει Πατέρων, ὃς ἂν εἴη ὁμογνώμων αὐτῷ περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως ἐκ μόνου τοῦ Πατρός. "Photius ne cite et *ne peut citer*, aucun Père, qui soit de son sentiment." Ἀλλὰ πολλοὺς ἂν εἶχε Φώτιος καταλέγειν τοὺς ὁμογνωμονοῦντας αὐτῷ τῶν ἐκ τῆς Δύσεως Πατέρων, εἴπερ προῄδει, ὡς ἀναστήσονται ἐν ταῖς ἐσχάταις ἡμέραις ἄνδρες τινές, οἳ, διδάσκαλοι τοῦ Ἰσραὴλ ὄντες, τὰ πᾶσι γνωστὰ ταῦτα ἔμελλον ἀγνοεῖν, ἢ γοῦν ἀγνοεῖν προσποιεῖσθαι. Εἰ γάρ τοῦτο προῄδει, ἄλλους τε πολλοὺς τῶν ἐν τῇ Δύσει ἱερῶν ἀνδρῶν εἶχε παραστήσασθαι ὁμογνωμονοῦντας αὐτῷ, καὶ πάντων μάλιστα Δάμασον τὸν ἱερώτατον οὐ πολὺν χρόνον πρὸ τοῦ Λέοντος Α' παπεύσαντα (366—384), καὶ διαῤῥήδην λέγοντα ἐν ᾗ ἀπέστειλε πρὸς Παυλῖνον τὸν Θεσσαλονίκης Ἐπίσκοπον Ὁμολογίᾳ τῆς Καθολικῆς Πίστεως· "Ἐπειδὴ μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον "αὕτη ἡ πλάνη· ἀνέκυψεν, ὥστε τολμᾶν τινας βεβήλῳ στόματι εἰπεῖν, τὸ Πνεῦμα τὸ ἅγιον γεγενῆσθαι "διὰ τοῦ Υἱοῦ, ἀναθεματίζομεν τοὺς μὴ μετὰ πάσης ἐλευθερίας κηρύττοντας σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ "τῆς μιᾶς καὶ τῆς αὐτῆς οὐσίας τε καὶ ἐξουσίας ὑπάρχειν τὸ ἅγιον Πνεῦμα." Ἔπειτα δὲ καὶ τοῦτον ἐπάγει τὸν ἀναθεματισμόν· "Εἴ τις μὴ εἴπῃ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς εἶναι ἀληθῶς καὶ κυρίως, "ὡς καὶ τὸν Υἱὸν ἐκ τῆς θείας οὐσίας, καὶ Θεὸν Θεοῦ Λόγον, ἀνάθεμα ἔστω." Καὶ αὖθις κατωτέρω· "Εἴ τις περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καλῶς φρονήσει, περὶ δὲ τοῦ ἁγίου Πνεύματος οὐκ ὀρθῶς ἔχει, "αἱρετικός ἐστιν· ὅτι πάντες οἱ αἱρετικοὶ περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ περὶ τοῦ Πνεύματος τοῦ ἁγίου κακῶς "φρονοῦντες, ἐν τῇ τῶν Ἰουδαίων καὶ Ἐθνικῶν ἀπιστίᾳ τυγχάνειν ἐλέγχονται." (Ὅρα τὴν Ὁμολογίαν ταύτην τοῦ ἱεροῦ Δαμάσου ἐν τῇ Θεοδωρ. Ἐκκλ. Ἱστ. Ε', 10. Περὶ δὲ τοῦ βίου καὶ τῶν συγγραμμάτων αὐτοῦ ἴδε Κ. Κοντογόνου τὴν Φιλολ. καὶ Κριτ. Ἱστ. Τόμ. Β', σελ. 350—4.) Ὅτι δὲ ταῦτα ἔλεγεν ὁ ἱερὸς Δάμασος τὴν ἐν Νικαίᾳ πίστιν κηρύσσων καὶ κρατύνων δῆλόν ἐστιν ἐξ ὧν πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ Ἐπισκόπους ἔγραφεν· "Ὅμως μεμνημένοι τῆς Ἀποστολικῆς πίστεως, ταύτης μάλιστα, ἥτις ἐν Νικαίᾳ "παρὰ τῶν Πατέρων ἐγγράφως ἐξετέθη, βεβαίῳ βαθμῷ ἰσχυρῶς τῇ πίστει ἀμετακίνητοι διαμείνατε, "καὶ μὴ ματαιολογίας καὶ ἠφανισμένας ζητήσεις μετὰ τοῦτο ὑπομείνατε ἀκούειν τοὺς Κληρικοὺς ἢ λαϊ- "κοὺς ὑμῶν. Ἤδη γὰρ ἅπαξ τύπον ἐδώκαμεν, ἵνα ὁ γινώσκων ἑαυτὸν Χριστιανὸν ἐκεῖνο φυλάττῃ, ὅπερ "παρὰ τῶν Ἀποστόλων παρεδόθη, λέγοντος τοῦ ἁγίου Παύλου—εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρε- "λάβετε, ἀνάθεμα ἔστω." (Ὅρα καὶ ταύτην τὴν ἐπιστολὴν παρὰ Θεοδ. ἔνθ. ἀνωτ.) Εἶχεν οὖν καὶ πολλοὺς ἄλλους τῶν ἐν τῇ Δύσει αὐτῷ τε καὶ τοῖς ὀρθοδόξοις ἅπασιν ὁμογνωμονοῦντας παραστήσασθαι Φώτιος· καὶ διὰ τοῦτό φησιν· "Οὐχ οὕτω σπανίζει κηρύκων ἑσπερίων ἡ Ἐκκλησία· ἀλλὰ καὶ ἄλλος χορὸς οὐκ εὐαρίθμητος, οἳ καθάπερ ἄκροις τοῖς εἰρημένοις ἀνδράσι (Λέοντι δῆλον ὅτι τῷ Α' καὶ Λέοντι τῷ Γ') ἐμπεριέχονταί τε καὶ συνεκλάμπουσι τὴν εὐσέβειαν." Ἀλλὰ ταῦτα Ἰάγερος ἤτοι οὐ βλέπει, ἢ παραβλέπει, οὐ νῦν πρῶτον καὶ μόνον, ἀλλὰ καὶ ἀλλαχοῦ πολλάκις τοῦτο πάσχων. Εἰ δὲ βούλοιτο κατάλογον εὑρεῖν μακρὸν τῶν τῆς Ῥώμης Ἐπισκόπων, τῶν τὴν ὀρθοδοξίαν ἀκαινοτόμητον διατηρούντων καὶ διδασκόντων, ὁράτω τὸν "περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας" Λόγον Φωτίου (§ ξστ'—ψ'), ὅπως ἴδῃ τόν τε Ἀμβρόσιον καὶ Αὐγουστῖνον καὶ Ἱερώνυμον ἀρκούντως δικαιουμένους ἐφ' οἷς εἶπον (εἴ ποτε εἶπον), καὶ ἄλλους τῆς ὀρθοδοξίας προμάχους ἀριθμουμένους, τὸν τρισόλβιον Δάμασον, τὸν Κελεστῖνον, τοὺς δύο Λέοντας, τὸν κλεινὸν Βιγίλιον, τὸν Γρηγόριον, τὸν Ζαχαρίαν, τὸν Βενέδικτον, ἄλλους τε μετὰ τούτων, καὶ τελευταίους τοὺς ἐπ' αὐτοῦ Φωτίου παπεύσαντας, Ἰωάννην τὸν Η' καὶ τὸν ἐκεῖνον διαδεξάμενον Ἀδριανόν, περὶ οὗ καὶ λέγει· "Συνοδικὴν ἡμῖν ἐπιστολήν, ὥσπερ ἔθος, ἀναπέμψας, τὴν αὐτὴν εὐσέβειαν δι' αὐτῆς ἀνεκήρυττε, καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς ἐθεολόγει ἐκπορεύεσθαι." Ὁράτω ταῦτα Ἰάγερος, καὶ μὴ ἄλλα καὶ ἄλλα φλυαρείτω.

Digitized by Google

βειαν. Οὕτω γοῦν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας τοῖς ἄλλοις τέσσαρσιν Ἀρχιερατικοῖς θρόνοις συμφωνούσης τε καὶ ἀνομολογούσης, καὶ ἐν τῇ πέτρᾳ τῶν Δεσποτικῶν ῥημάτων ἐνιδρυμένης τε καὶ στηριζομένης τῆς Ἐκκλησίας, καθ' ἧς οὐδὲ πύλας Ἅιδου, ἤτοι τὰ ἀπύλωτα τῶν αἱρετιζόντων στόματα, μηδαμῶς ἰσχύειν αὐτὴ[1] διετράνωσεν ἡ ἀλήθεια,[2] πόθεν καὶ ἐκ τίνων ἡ καινὴ αὕτη παραναδύεται κατὰ τοῦ Πνεύματος βλασφημία; Καὶ πῶς οὐκ ἂν εἴη τὸ συνενεχθὲν πολλῶν μὲν ἄξιον στεναγμῶν, πολλῶν δὲ δακρύων, πολλῆς δὲ σπουδῆς ἀναχαιτίσαι τὴν νομὴν τοῦ πάθους, καὶ μὴ πλείους ὁρᾷν καταβοσκόμενον τῶν εἰς ποίμνην Θεοῦ καταλογισθέντων τὸ νόσημα; Διά τοι[3] τοῦτο καὶ ἡ ἡμῶν μετριότης, ὥσπερ τινὰ μέγαν τῆς Ἐκκλησίας πρόμαχον, καὶ οἷα δὴ σκοπὸν τεθειμένον τῷ οἴκῳ Ἰσραήλ, τὴν ὑμετέραν ἐπ' ἀρετῇ τελειότητα προκαλούμεθα, τὸν ἐν τῇ καρδίᾳ ζῆλον ἔνθεον εἰς μέσον ἐκπυρσεῦσαι, καὶ οἷα δὴ τὴν τῆς Ἀρχιερωσύνης λυχνίαν ἀνάπτοντα, πᾶσι τοῖς πλανωμένοις φῶς σωτήριον ἐναυγάσαι, καὶ τῆς πλάνης μὲν ἀποστῆσαι, χειραγωγῆσαι δὲ πρὸς τὴν[4] ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐξηπλωμένην[5] εὐσέβειαν.

δ'. Πρῶτον μὲν γάρ, ὡς εἴρηται, τὴν Κυριακὴν ἔχει φωνὴν λαμπροτέραν πάσης λαμπηδόνος ἐξαστράπτουσαν ἡ ἐκ τοῦ Πατρὸς τοῦ Πνεύματος ἐκπόρευσις·[6] πρὸς ἣν ἀναβλέποντες, κἂν ὀψὲ γοῦν, οἱ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα δυσφημήσαντες ἐκπορεύεσθαι, παυσάσθωσαν τῆς ἐν πλάνῃ καὶ σκότῳ διατριβῆς· καὶ τῷ φωτὶ τῆς εὐσεβείας ἐλλαμπόμενοι, εἰς τὰς ἄδυτον ἐχούσας μάνδρας τὴν τῆς Ὀρθοδοξίας αἴγλην τοῖς εὐσεβέσι συνεισιέτωσαν, καταιδούμενοι μάλιστα καὶ τὸν ἐπιστήθιον τῶν οὐρανίων δογμάτων μύστην καὶ μυσταγωγόν, τὸν τῆς θεολογίας Ἰωάννην ἐπώνυμον· καὶ εἰς πρεσβείαν προβαλλέτωσαν

---

[1] Ἡμ. διόρθ. ἀντὶ—αὐτῇ—παρὰ τοῖς ἄλλοις ἅπασιν· Ἰάγερος δὲ καὶ τελείαν γράψας στιγμὴν μετὰ τὴν λέξιν "ἡ ἀλήθεια," καὶ εἰς νέαν χωρίσας τὰ λοιπὰ πρότασιν, ἀκατάληπτον ἐποίησε τὸ χωρίον.

[2] Ματθ. ΙΣΤ', 18.

[3] Ἐκ διορθ. Ἰαγέρου, ἀντὶ—τι.

[4] Ἐκ διορθ. Ἰαγέρου ἡ τοῦ ἄρθρου προσθήκη.

[5] Ἐξαπλωμένην—παρὰ τοῖς ἄλλοις ἅπασιν.

[6] "Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μενῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ Κόσμος οὐ δύναται λαβεῖν."—καὶ "Ὁ δὲ παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα."—καὶ "Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. (Ἰωάν. ΙΔ', 16, 17, 26· καὶ ΙΕ', 26.) Καὶ αὕτη μὲν ἡ Κυριακὴ φωνή, καθ' ἣν Φώτιος λέγει ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον· Ἰάγερος δὲ τὸ ἑαυτοῦ ποιῶν, καὶ ἐν τούτοις ἀνακράζει· "Même sophisme! L'Ecriture dit qu'il procède du Père: donc il ne procède pas du Fils." Μετὰ δὲ τὸ ἐπιφώνημα θεολογεῖ ὁ ἀνήρ, τάδε λέγων· "L'Eglise nous enseigne que le Saint-Esprit procède du Père et du Fils comme d'un seul principe, par une seule procession, par un seul acte." Ἀλλὰ ποῦ ταῦτα διδάσκει ἡμᾶς ἡ Ἐκκλησία, οὔτε λέγει, οὔτ' ἔχει λέγειν ὁ ἄνθρωπος· πλὴν εἰ λέγων Ἐκκλησίαν τὴν ἐν Ῥώμῃ λέγει, οὐ τὴν Καθολικὴν καὶ Ἀποστολικὴν, τὴν μόνα τὰ προεκτεθέντα τοῦ ἀρχηγοῦ καὶ τελειωτοῦ αὐτῆς ῥήματα καὶ πιστεύουσαν καὶ διδάσκουσαν—τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται.—

Digitized by Google

συγγνώμης τυχεῖν, οἷς ἀπεναντίας αὐτοῦ τε καὶ τοῦ διδασκάλου, καὶ τῶν μαθητῶν τοῦ θεολογικωτάτου πάλαι ποτὲ ἐπανέστησαν. Τοῖς γὰρ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ πανάγιον Πνεῦμα ἐκπορεύεσθαι δογματίζουσι δύο[1] πάντως αἴτια καὶ ἀρχαὶ συνεισέρχονται· καὶ ἡ ἐν τῇ Τριάδι μοναρχία φροῦδος οἰχήσεται. Δύο[2] γὰρ φανερῶς τοῖς οὕτω λέγουσι τὰ αἴτια συνανακηρύσσεται, ἐξ ὧν καὶ ἡ μία εἰς δύο ἀρχάς (τρέποιτο δὲ τὸ βλάσφημον εἰς τὰς τῶν αἰτίων κεφαλάς) συνδιασχίζεται. Ἄλλως τε δέ, εἰ μὲν τελεία ἡ ἐκ τοῦ Πατρός ἐστιν ἐκπόρευσις, τίς ἡ χρεία τῆς δευτέρας ἐκπορεύσεως, ἤδη τῆς τελειότητος ἐκ τῆς Πατρικῆς προόδου καθορωμένης τῷ Πνεύματι; εἰ δ' ἀτελής, τίς ὑποίσει τὸ ἄτοπον; Πρῶτον μὲν γὰρ ὁ τοῦτο φάναι τολμήσας τῇ παντελείῳ Τριάδι τὸ ἀτελὲς ἐναπέρριψεν· ἔπειτα δὲ καὶ ἐκ δύο πάλιν ἀτελῶν τὸ τελειοποιὸν Πνεῦμα συγκατεσκεύασεν· ναὶ δὴ καὶ σύνθετον ἀπετέλεσεν, ὡς ἐκ δύο τινῶν αἰτίων· καὶ τότε[3] (ὦ γλώσσης ἀκρατοῦς καὶ γνώμης ἀγνώμονος!) ἀτελῶς ἐξ ἑκατέρου ἐκπορευομένου τοῦ Πνεύματος. Οἱ δὲ ταύτῃ τῇ δυσφημίᾳ κάτοχοι καὶ υἱωνὸν εἰπεῖν τὸ Πνεῦμα οὐκ ἂν ἀποκνήσαιεν. Εἰ δὲ τὴν φωνὴν φυλάττονται φόβῳ τῶν εὐσεβῶν, ἀλλ' οὖν τὸ φρόνημα, δι' ὧν δογματίζουσι, θάλπουσιν. Εἰ γὰρ ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς διὰ γεννήσεως πρόεισιν, τὸ Πνεῦμα δὲ ἐκ τοῦ Υἱοῦ δι' ἐκπορεύσεως, εἰς υἱωνοῦ τάξιν περιστήσεται. Καὶ πῶς ἂν εἴη τοῦτο φορητὸν τοῖς εὐσεβεῖν σπουδὴν ποιουμένοις καὶ τῷ τῶν Χριστιανῶν καταλόγῳ συνεξετάζεσθαι; Ἢ πῶς ἐπὶ πολὺ παρορώμενον ἀνεξέλεγκτον, οὐ συνελκύσει τοὺς σιγῶντας μέν, νοῦ δὲ ἐκ Θεοῦ καὶ χαρίτων διελέγχειν ἀπολαύσαντας,[4] εἰς τὴν τῶν βλασφημησάντων ἀπώλειαν;[5]

ε. Σὺ δέ μοι, ἀνδρῶν ἱερῶν ἱερώτατε, καὶ τοῦτο τῆς αὐτῶν ἀτόπου δόξης ἀναφυόμενον αὐτοῖς ἐπιδείκνυε. Εἰ γὰρ τῇ τοῦ Υἱοῦ γεννήσει ἐκπορεύεται καὶ τὸ Πνεῦμα, καὶ ἅμα ὁ μὲν γεννᾶται, τὸ δὲ τοῦ γεννωμένου ἐκπορεύεται, οὐδὲν ἔλαττον τοῦ Υἱοῦ καὶ τὸ

---

[1] Ἡμ. διόρθ. ἀντὶ—διὸ—ἐν Τ. Χ. καὶ—δι' ὃ—παρ' Ἰαγ. καὶ Μίγν. δέ—δύο—ἔγραψεν.

[2] Ὁμοίως.

[3] Καὶ τότε=καὶ ταῦτα.—Ἴδε τὰ περὶ τούτου σημειωθέντα ἐν ἐπιστ. Γ', § ή.

[4] Οὕτω Κομβεφίσιος καὶ Δοσίθεος, ὀρθῶς· Ἰάγερος δὲ κακῶς—ἀπολαύσαντες.

[5] Ἀγανακτῶν ἐπὶ τούτῳ Ἰάγερος ἐπιφωνεῖ· " Blasphémateur lui même! " ἔπειτα δὲ τὴν κατ' αὐτὸν θεολογῶν θεολογίαν προστίθησιν· " Rien d'imparfait dans la Trinité, lorsque le Saint-Esprit procède du Père et du Fils. La spiration par la quelle il procède du Père est commune au Père et au Fils. Le Père n'est pas imparfait ou impuissant, parce qu'il n'a pas créé le monde seul, et qu'il l'a créé avec les deux autres personnes de la Trinité. De même le Père n'est pas imparfait, si l'Esprit Saint procède aussi du Fils. " Κατὰ τῆς βλασφήμου ταύτης θεολογίας, ὅτι τὸ ἐμπνέειν κοινή ἐστιν ἰδιότης τοῦ τε Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἐντεῦθεν παραλόγως ποριζομένου συμπεράσματος, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἔκ τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, ἄλλοι τε πολλοὶ τῶν ἡμετέρων γεγράφασι τὰ προσήκοντα, καὶ Στυλιανὸς ὁ Βλασόπουλος ἐν τῇ ἀξιολόγῳ αὐτοῦ πραγματείᾳ " Ὑπεράσπισις τῆς Γραικικῆς Ἐκκλησίας " (μετάφρ. ἐκ τοῦ Ἰταλ. ἐν Ἀθήναις 1848)· καὶ ὅρα μοι ἐν τῇ πραγματείᾳ ἐκείνῃ ἅπαν τὸ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος κεφάλαιον (σελ 98—133), ἐν ᾧ τά τε ἄλλα τῶν Παπιστῶν σοφίσματα καὶ τὸ τοῦ Ἰαγέρου τουτὶ μετὰ λόγου ἀκριβεστάτου, καὶ ἐκ τῶν θείων Γραφῶν ἀρυομένου τὸ κῦρος, ἄρδην ἀναιροῦνται καὶ καταστρέφονται.

Digitized by Google

Πνεῦμα ἂν εἴη ἐκ τοῦ Πατρὸς τὴν πρόοδον λαμβάνον διὰ γεννήσεως·[1] εἴπερ γεννᾷ μὲν ὁ Πατὴρ τὸν Υἱόν, τὸ Πνεῦμα δὲ τῷ Υἱῷ διὰ γεννήσεως προϊόντι συμπρόεισιν. Εἰ μὲν γὰρ ἄλλος αὐτοῖς καιρὸς τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς ὑποβάλλει τῇ γεννήσει, ἄλλος δὲ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ποιεῖ ἐκπορεύεσθαι (τάχα γὰρ καὶ τοῦτο συνελαυνόμενοι ἀναπλάσσουσι), πάντως τὸ Πνεῦμα νεώτερον τῆς τοῦ Υἱοῦ γεννήσεως ἀναγκάσῃ ὑποστήσασθαι. Εἰ δὲ ταύτης τῆς περιφανοῦς θεομαχίας τὸν κίνδυνον ὑφορῶντες ἀποστήσονται, εἰς τὸ γεννητὸν ὁμολογεῖν τὸ Πνεῦμα ἑαυτοὺς συνελάσουσιν.

στ'. Ἀκούω δὲ τούτους θρασυνομένους κατὰ Παύλου καὶ κατὰ τοῦ κοινοῦ Δεσπότου καὶ Διδασκάλου, τὸν θεῖον Παῦλον εἰς συνηγορίαν τῆς οἰκείας προβαλλομένους αἱρέσεως. "Ἐξαπέστειλε γάρ, (φασίν) εἶπεν, ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ, κράζον ἐν ταῖς καρδίαις ἡμῶν, Ἀββᾶ ὁ Πατήρ."[2] Ἀλλ' οἵ γε τοῦτο τὸ ῥητὸν τὴν οἰκείαν κρατύνειν ἀμαθίαν νομίζοντες ἐκεῖνο γινωσκέτωσαν, ὡς ἐν οἷς τοῖς τοῦ Παύλου ῥητοῖς ὑπολαμβάνουσιν ἐπερείδεσθαι, ἑαυτοὺς μᾶλλον ἁμαρτάνοντας ἐξελέγχουσιν. Οὐ γὰρ αὐτοὺς ἐν οἷς κηρύσσει Παῦλος μεμφόμεθα, ἀλλὰ δι' ὧν τὰς ἐκείνου θεοπνεύστους φωνὰς παραχαράσσουσιν αἰτιώμεθα· καὶ διότι περ ἃ μήτε εἶπεν αὐτός, μήτε ποτὲ ἐνενόησεν, εἰς κατηγορίαν αὐτοῦ ἀναισχυντοῦσι προκομίζειν, διὰ τοῦτο δικαίαν αὐτοὶ καθ' ἑαυτῶν ἁλίσκονται τὴν κατάγνωσιν ἐπιφέροντες. Τὸ Πνεῦμα τοίνυν τοῦ Υἱοῦ ὁ μετάρσιος ἄνθρωπος λέγει ἀπεστάλθαι παρὰ τοῦ Πατρός. Λέγε καὶ σὺ τὴν αὐτὴν τῷ Παύλῳ φωνήν. Ἔστι γὰρ τὸ Πνεῦμα τοῦ Υἱοῦ, ἐπεὶ μηδ' ἀλλότριον μηδ' ἀντιφθεγγόμενον αὐτῷ, μηδ' ἀντινομοθετοῦν ὤφθη ποτέ· ἀλλ' ὅτι, ὥσπερ τῆς αὐτῆς οὐσίας καὶ δυνάμεως, οὕτω καὶ τῆς αὐτῆς βουλῆς καὶ γνώμης, καὶ τῆς αὐτῆς ὁμοίως πρὸς τὸ ἕν, ἐξ οὗ τὸ μὲν γεγέννηται, τὸ δὲ ἐξεπορεύθη συννεύσεως, εἶπεν εἶναι τὸ Πνεῦμα τοῦ Υἱοῦ. Οὕτω κἀκεῖνοι λεγέτωσαν· οὐδεὶς αὐτοὺς αἱρέσεως ὁ γραφόμενος. Οὐκ εἶπεν, ἐκπορεύεται τοῦ Υἱοῦ. Ἂν τοῦτό τινες λέγωσι, καὶ τὴν Παύλου διδασκαλίαν ὑβρίζουσι, καὶ δόξης αἱρετικῆς αὐτοὺς ἐνόχους

---

[1] Καὶ αὖθις ἀγανακτῶν Ἰάγερος ἐπὶ ταῖς βλασφημίαις, ἃς Φώτιος τοῖς Παπισταῖς ἀποδίδωσι, διαμαρτύρεται λέγων οὐ ταῦτα δοξάζειν αὐτούς, ὅτι γεννητόν ἐστιν ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα· καὶ μάρτυρα προβάλλεται τὸν παρ' αὐτοῖς θεολόγον Ch. de Saint-Foix λέγοντα, τὸν μὲν Πατέρα γεννῆσαι τὸν Υἱόν, τὸν Πατέρα δὲ καὶ τὸν Υἱὸν ἐκπορεύειν τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' ἔοικεν ὁ ἀνὴρ οὐκ ὀρθῶς καὶ ἐνταῦθα τὰ Φωτίῳ εἰρημένα κατανοῆσαι. Οὐ γὰρ λέγει Φώτιος τοὺς Λατίνους πιστεύειν γεννητὸν εἶναι τὸ Πνεῦμα· ἀλλὰ τὴν περὶ διττῆς ἐκπορεύσεως ἀσεβῆ γνώμην αὐτῶν οὕτως εἶναι λέγει παράλογον, ὥστε καὶ εἰς τοῦτο δύνασθαι καταλήγειν, τὸ γεννητὸν δοξάζειν τὸ Πνεῦμα· καί, ὡς ἄν τις εἴποι μαθηματικὸς ἀνήρ, διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς τὴν παράλογον αὐτῶν περὶ τῆς διττῆς ἐκπορεύσεως γνώμην ἐξελέγχει, καὶ ἅμα διλήμματι ἀποφιμοῖ αὐτῶν τὰ στόματα.

[2] Πρὸς Γαλάτ. Δ', 6. Πρὸς ταῦτα Ἰάγερος τὸν ἱερὸν Αὐγουστῖνον ἀντιτίθησιν ὡς δῆθεν λέγοντα, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, ἅτε δὴ καλούμενον Πνεῦμα τοῦ Υἱοῦ. Ἀλλ' ὅτι τοιαύτη οὐκ ἦν ἡ τοῦ ἱεροῦ Αὐγουστίνου δόξα περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, τοὐναντίον δὲ καὶ ἐπίστευε καὶ ἐδίδασκεν ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα, ἀρκούντως ἐν τῇ Στυλιανοῦ τοῦ Βλασσοπούλου πραγματείᾳ, ἧς ἄρτι ἐμνήσθημεν, ἐξ αὐτῶν δέδεικται τῶν Αὐγουστίνου συγγραμμάτων. (ἴδε αὐτόθι σελ. 118—131.) Παρὰ πάντα δὲ τ' ἄλλα ἡ ἀκαταμάχητος Φωτίου δεινότης πᾶσαν ἀνατρέπει ἀντιλογίαν καὶ σοφιστείαν.

Digitized by Google

δεικνύουσιν. Εἰ δ' ὅτι λέγεται τὸ Πνεῦμα τοῦ Υἱοῦ, διὰ τοῦτο φαντάζονται καὶ τὸ ἐκπορεύεσθαι, καὶ τὸν Πατέρα τοῦ Υἱοῦ δογματίζουσιν[1] ἐκπορεύεσθαι· λέγεται γὰρ ὁ Πατὴρ πανταχοῦ τοῦ Υἱοῦ. Καὶ πολλοὺς δ' ἂν οἱ τοιοῦτοι προβολέας καὶ αἴτια τοῦ Πνεύματος ὑποστήσονται· λέγεται γὰρ οὐδὲν ἔλαττον καὶ σοφίας Πνεῦμα, καὶ γνώσεως, καὶ δυνάμεως, καὶ τοιούτων θεοπρεπῶν ἄλλων. Εἰ οὖν, διότι τούτων τὸ Πνεῦμα λέγεται, διὰ τοῦτο καὶ ἐξ αὐτῶν ἀπαιτοῦσιν ἐκπορεύεσθαι, ὁρᾷν ἐστιν αὐτῶν τὸ σοφὸν τῆς ἐπινοίας, εἰς οἷον βάραθρον πλάνης αὐτοὺς κατακρημνίζει καὶ ἀποπλανᾷ.[2]

ζ'. Ἑτέρῳ δὲ τρόπῳ πάλιν ἕτερον βλάσφημον τῆς αὐτῶν ὁρᾶται δόξης ἀναφυόμενον. Εἰ γὰρ ἐκπορεύεται μὲν τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, οὐχ ὕστερον δὲ τῆς αὐτοῦ γεννήσεως, οὐδὲ πρότερον (ἐν γὰρ τῇ παναγίᾳ Τριάδι τὰ χρονικὰ ταῦτα προσρήματα παντελῶς ἀπελήλαται)· εἰ τοίνυν ἅμα μὲν ἐκπορεύεται τοῦ Πατρός, ἅμα δὲ τοῦ Υἱοῦ, συνδιαιρεθήσεται ταῖς τῶν προβαλλομένων ὑποστάσεσι καὶ αὐτὸ τὸ προβαλλόμενον· καὶ δύο ἀνθ' ἑνὸς αὐτοῖς ἔσται τὸ Πνεῦμα, τὸ μὲν τοῦ Πατρός, τὸ δὲ τοῦ Υἱοῦ ἐκπορευόμενον. Καὶ γὰρ οὐδέν ἐστι τοιοῦτον καινιζόμενον, οὐδὲ ἐπὶ τῶν διὰ γεννήσεως λαβόντων τὴν ὕπαρξιν. Διάφορα[3] μὲν γὰρ ὁρᾷν ἐστι καθ' ὑπόστασιν ἐκ μιᾶς καὶ τῆς αὐτῆς προϊόντα ὑποστάσεως· ἓν δὲ καὶ τὸ αὐτὸ καθ' ὑπόστασιν ἐκ διαφόρων προϊέναι, καὶ μὴ συνδιαιρεῖσθαι ταῖς τῶν προβαλλομένων[4] ὑποστάσεσιν, οὔτε ἡ γένεσις οἶδεν, οὐδ' εἴ τι κρεῖττον τῆς γενέσεως. Καὶ γὰρ παῖδες μὲν πολλοὶ πολλάκις ἐκ μιᾶς καὶ τῆς αὐτῆς νηδύος, καὶ ἅμα καὶ χωρίς, ὁρῶνται τελεσφορούμενοι· καὶ ἡ αὐτὴ χεὶρ καὶ τύπτει καὶ γράφει καὶ εὐεργετεῖ, καὶ πρὸς τὸ θεῖον ἀνατείνεται· τὸ γράφειν δέ, χειρὸς ἔργον ὁλόκληρον, ὁρᾷν καὶ ποδὸς ὁμοίως, ἢ τὸ βαδίζειν ὡσαύτως τῶν εἰρημένων ἑκατέρου, ἢ τὸ βλέπειν ὄμματος καὶ ὠτός, ἢ τὰ τοιαῦτα, οὐκ ἄν τις καθαρεύων ἀναισθησίας νομίσειεν· ἀλλ' ὥσπερ ἀλλήλων τὰ μέρη τῇ οἰκείᾳ περιγραφῇ διεστήκασιν, οὕτω καὶ ἡ ἑκάστου ἐνέργεια πρὸς τὴν τῶν ἐνεργούντων φύσιν συνδιαιρεῖται, καὶ τῶν ἄλλων συναποδιΐσταται. Καὶ ἐπὶ τῶν παντελῶς δὲ κεχωρισμένην λαχόντων τὴν ὑπόστασιν ὁ αὐτὸς εἰρμὸς τῆς θεωρίας διασώζεται.

ἡ. Τίς οὖν ἑτέρα πρόφασις τοῖς βλασφημεῖν αἱρουμένοις ὑπολείπεται; εὐμήχανον γὰρ ὁ πονηρὸς εἰς ἀπάτην, κἂν ἡ τοῦ ἀκρογωνιαίου λίθου σοφία καὶ δύναμις διὰ τῶν αὐτοῦ θεραπόντων ῥᾳδίως αὐτοῦ καταθραύει τὰ μηχανήματα. Ἀλλὰ τί τούτοις πρὸς βλασφημίαν ὑπόλοιπον; Τὴν Κυριακὴν φωνὴν αὐτοῖς ὑποβάλλονται, οὐκ ἀγαπητὸν ἡγούμενοι ἀλλ' ἑαυτῶν τὸν Δεσπότην δυσφημεῖν, εἰ μὴ καὶ τὸν δυσφημούμενον νομοθέτην τῆς δυσφη-

---

[1] Παρὰ Μιγνίῳ—δογματίσουσιν.

[2] Περὶ τούτου τε καὶ τῶν ἄλλων τῶν τοιούτων, ἅπερ πρὸς ἐμπέδωσιν τῆς ἑαυτῶν αἱρέσεως οἱ Παπικοὶ προβάλλονται, τὴν Μητροφάνους τοῦ Κριτοπούλου ὁμολογίαν τῆς Ἀνατολικῆς Ἐκκλησίας, τῆς Καθολικῆς καὶ Ἀποστολικῆς, ἐκδοθεῖσαν ὑπὸ Ἐρνέστου Κιμέλου ἐν τῷ "Monumenta Fidei Ecclesiæ Orientalis, τόμος Β', σελ. 30—51. Αὕτη δὲ ἡ τοῦ Παύλου ῥῆσις "ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ" ἐκτενέστερον ἑρμηνεύεται ἐν τῷ "περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας" Λόγῳ ξ').

[3] Διάφορα—παρὰ πᾶσι τοῖς ἄλλοις.

[4] Τῶν προβαλλομένων—τῶν—ἐλλεῖπον παρὰ τοῖς ἄλλοις.

Digitized by Google

μίας καὶ προλαβόντες[1] κατηγορήσουσιν. Εἶπε γὰρ (φασίν[2]) ὁ Σωτήρ· "Ἐκεῖνος ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν."[3] Ἀλλ' εἴπερ ἡμῖν τοῦτο κατ' αὐτῶν ἐκομίζετο πρὸς ἀπόδειξιν, ὅτι ἐκ τοῦ Πατρὸς λαμβάνει τὸ Πνεῦμα, καὶ ἐξ αὐτοῦ, ἀλλ' οὐκ ἐκ τοῦ Υἱοῦ, ἐκπορεύεται, τίνα ἂν ἀποφυγὴν τῶν ἐλέγχων ἑαυτοῖς ἐπινοήσαιντο; Ἃ τοίνυν αὐτῶν περιφανῶς ἐλέγχει τὴν ἄνοιαν τῆς αἱρέσεως, ταῦτα πρὸς τὴν αὐτῆς βεβαίωσιν προβαλλόμενοι, πῶς οὐκ ἂν εἴησαν ἄθλιοι μὲν τὸν νοῦν, ἀθλιώτεροι δὲ τὴν προαίρεσιν; Τί γὰρ ἂν εἴη ταύτης τῆς Δεσποτικῆς φωνῆς τρανώτερον τῶν προκομιζόντων αὐτὴν καταβαλεῖν τὴν ἀναίδειαν; Τί δὲ παραστῆσαι φανερώτερον, ὡς οὐκ ἐκ τοῦ Υἱοῦ, ἀλλ' ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα ἐκπορεύεται; Καὶ γὰρ ὅπερ ἐν ἄλλοις εἶπεν ὁ Σωτήρ, "Τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται,"[4] τοῦτο καὶ νῦν διὰ τῆς προκειμένης ἐκδιδάσκει ῥήσεως, "τὸ Πνεῦμα, λέγων, ἐκ τοῦ ἐμοῦ λήψεται." Οὐ γὰρ εἶπεν "ἐξ ἐμοῦ," ἀλλ' "ἐκ τοῦ ἐμοῦ," δῆλον ὅτι τοῦ Πατρός· εἰ μή τι ἄρα βούλοιντο ἕτερον παρὰ τὸν Πατέρα καὶ τὸ Πνεῦμα εἶναί τε καὶ ὀνομάζεσθαι τοῦ Υἱοῦ. Οἱ γοῦν τοὺς οὕτω περιφανεῖς κατ' αὐτῶν ἐλέγχους ὑπὲρ αὐτῶν νομίζοντες ἵστασθαι, τίνος συμμαχίαν ἄλλην πρὸς βεβαίωσιν τοῦ πεπλανημένου φρονήματος ἐκπορίσονται; Ἀλλ', ὡς ἔοικεν, οὐδὲ τὰς πᾶσιν ἐγνωσμένας φωνὰς συνιέντες οὗτοι, οὐδὲ τῶν ἐν χερσὶ μάθησιν ἔχοντες, οὐ μόνον οὐκ ἀνέχονται παρ' ἑτέρων μαθεῖν τὸ ἀγνοούμενον (καίτοι γε παρακαλεῖν ἐχρῆν, καὶ σπουδῇ ζητεῖν τοὺς αὐτοὺς τῆς ἀγνοίας ἀνελκύσοντας), οἱ δὲ καὶ διδασκάλους ἑαυτοὺς τῶν οἰκείων ἀναπλασμάτων προκαθίζουσιν. Πῶς γὰρ οὐκ αἰσχύνονται, τοῦ Σωτῆρος λέγοντος, ὅτι τὸ Πνεῦμα ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν, αὐτοὶ τὸ "ἐκ τοῦ ἐμοῦ" οὐχ, ὡς εἶπεν ὁ Σωτήρ, ἐξακούοντες, ἀλλὰ τοῦτο παραγραφόμενοι, ἀντ' ἐκείνου τὸ "ἐξ ἐμοῦ" ἀντιγράφουσιν; Τοῦτο γὰρ αὐτοῖς ἴσως ἔδοξε κατασκευάζειν τὸ βούλημα. Καίτοι, εἰ καὶ οὕτως εἴρητο, ὥσπερ οὐκ εἴρηται, οὐδ' οὕτως αὐτοῖς εἶχεν ἰσχὺν ἡ ἐπήρεια. Οὐ γὰρ ἀεὶ τὸ λαμβάνειν εἰς τὴν τοῦ ἐκπορεύεσθαι διάνοιαν λαμβάνεται, ἀλλ' ἔσθ' ὅτε καὶ πολλὴν τὴν παραλλαγὴν ὑπαινίττεται. Ἄλλο γάρ ἐστι τὸ λαμβάνειν καὶ ἀπαρύεσθαι ἀφ' ἑτέρας ὑποστάσεως ἑτέραν ὑπόστασιν, καὶ ἄλλο τὸ πρὸς οὐσίωσίν τε καὶ ὑπόστασιν ἐκπορεύεσθαι. Οὕτως οὐδὲ περὶ αὐτὰ τὰ σημαινόμενα τῶν ὀνομάτων ἀπευθυνομένην ἔχουσι τὴν διάνοιαν. Καὶ εἴ τι ἄλλο παρ' αὐτῶν προκομισθείη, τῆς αὐτῆς μὲν ἔχεται παρανοίας, τῆς αὐτῆς δ' ἀμαθείας καθορᾶται βλάστημα, καὶ πρὸς τὴν αὐτὴν καταστρέφει τῆς ἀσεβείας ἀπώλειαν.[5]

θ'. Ναί, φασίν· Ἀλλ' Ἀμβρόσιος ὁ μέγας καὶ Αὐγουστῖνος καὶ Ἱερώνυμος, καί τι-

---

[1] Ἴσως ·ἐγέγραπτο—προβαλόντες—ἄνευ τοῦ ΚΑΙ.

[2] Φησίν—παρὰ πᾶσι τοῖς ἄλλοις.

[3] Ἰωάν. ΙΣΤ', 14.

[4] Ἰωάν. ΙΕ', 26.

[5] Καὶ ταύτην τὴν ῥῆσιν "ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν" ἐκτενέστερον εὑρήσεις ἀνεπτυγμένην ἐν τῷ "π. τ. τ. ἁγ. Πν. μυσταγ. Λόγῳ (§ κ'—λά)." Ὅλως δέ, πάντα τὰ σοφὰ καὶ ἐκ τῆς θείας Γραφῆς ἀρυόμενα τὸ κῦρος ἐπιχειρήματα, δι' ὧν ἔν τε τῇ πρὸ ταύτης καὶ ἐν τῇ παρούσῃ ἐπιστολῇ τὴν πανάθεσμον προσθήκην καταπολεμεῖ, ἐν τῷ Λόγῳ ἐκείνῳ ἰδεῖν ἐστι διὰ μακροτέρων ἀναπτυσσόμενα.

Digitized by Google

νες τούτοις ὁμοταγεῖς τε καὶ ἰσοστάσιοι, μέγα ὄνομα λαχόντες ἐπ' ἀρετῇ καὶ βίου λαμπρότητι, τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐν πολλοῖς αὐτῶν λόγοις συνέταξαν ἐκπορεύεσθαι. Καὶ δὴ τούτοις πειθόμεθα οὕτω καὶ λέγειν καὶ φρονεῖν, καὶ μὴ ἀτιμάζειν Πατέρας εἰς αἱρετικὴν δόξαν διαβάλλοντες.[1] *Ἔστι δὲ πρῶτον μὲν τὸ πᾶσι πρόδηλον πρὸς αὐτοὺς εἰπεῖν, ὡς εἰ δέκα, ἢ καὶ εἴκοσί τινες τῶν Πατέρων ταύτην εἶπον τὴν φωνήν, μυρίοι δὲ οὐκ ἐφθέγξαντο, τίνες οἱ Πατέρας ἐξυβρίζοντες;*[2] *οἱ τὸ πᾶν αὐτῶν τῆς εὐσεβείας ἐν ὀλίγοις περιγράφοντες, καὶ τούτους ἀντιφθεγγομένους καὶ ἀντιτασσομένους οἰκουμενικαῖς Συνόδοις καὶ ἀναριθμήτῳ πλήθει θεοφόρων Πατέρων ἀνδρῶν*[3] *προβαλλόμενοι, ἢ οἱ τοὺς πολλαπλασίους συνηγόρους παραλαμβάνοντες;*[4] *Ὑβρίζει τις Πατέρας, ὡς φής, μὴ λέγων*

---

[1] *Δολίους τοὺς λογους τούτους Ἰάγερος ἀποκαλεῖ, λέγων·* " Considérez l'astuce, avec la-quelle Photius décline l'autorité des Pères." *Ἀλλ' ὅμως ἀντὶ δόλου εὐσεβῆ ἀνευρίσκει εἰλικρίνειαν, εἴ τις ἐν ἀληθεῖ εὐσεβείᾳ καὶ μὴ δολίως, ὥσπερ Ἰάγερος, τὰ Φωτίου ἀναγινώσκει. Ἅμα τε γὰρ Φώτιος τὸ πρὸς τοὺς Πατέρας ὀφειλόμενον σέβας ἀποδίδωσι, καὶ τὴν πλάνην αὐτῶν, εἴ ποτε ἐπλανήθησαν (οἷα δὴ πλανᾶσθαι ἀνθρώπινον), οὐ παραδέχεται, πασῶν ὑπερτάτην εἶναι λέγων τὴν Κυριακὴν φωνήν, καὶ ταύτῃ μόνῃ ἑπόμενος· καί φησι διαῤῥήδην ὁ ἱερώτατος ἀνήρ·* " *οὐδ' ἂν ἡ κτίσις ἀφῆκε πᾶσα μίαν φωνήν, οὗμενουν οὐδεὶς* " *τοῦ κτίστου καὶ δημιουργοῦ καταλιπὼν τὴν μυσταγωγίαν καὶ τὰ διδάγματα, τῇ ἀντιφθεγγομένῃ κτίσει* " *τῷ κτίστῃ προσέθετο· οὐδ' ὑπέκυψε νόμοις τῆς κτίσεως, τοὺς τοῦ κτίστου καὶ δημιουργοῦ νόμους παρα-* " *γραφόμενος.*" *Καὶ ταῦτα μὲν Φώτιος τότε, οὔπω τῆς τῶν κειμένων κιβδηλεύσεως καταφανοῦς οὔσης. Ἐξ ἐκείνου γὰρ τοῖς τῶν Πατέρων κειμένοις χεῖρας ἐπέβαλον βεβήλους οἱ πάντα βεβηλοῦν ἀποτολμῶντες καὶ ἐκνοθεύειν· καὶ τῶν μὲν Ἑλληνικῶν ἀπείχοντο δι' ἀμάθειαν, τὰ δὲ Λατινιστὶ γεγραμμένα πάντα ἐξ ἐκείνου κατενόθευσαν. Νῦν δέ, τῆς τοιαύτης ἀσεβείας καταφανοῦς οὔσης, καὶ τοῦτο ἔχοι τις ἂν εἰπεῖν, (ὃ τότε Φώτιος οὐκ εἶπεν, ἀγνοῶν τὰ γινόμενα), ὡς οὐδὲν ἔχουσι κῦρος τὰ τῶν Πατέρων κείμενα, ἐν οἷς ὑπὸ τῶν Παπιστῶν εἰς μαρτύριον τῆς ἑαυτῶν κακοδοξίας προβάλλονται· οὐδὲν γὰρ παρεῖδον ἀνόθευτον, ἀλλὰ πάντα κατενόθευσαν ἢ παρηρμήνευσαν, ὅπως ἔχοιεν τὰς ἑαυτῶν κακοδοξίας κρατύνειν, κιβδήλοις τὰ κίβδηλα. Καὶ ὅρα μοι περὶ τούτου τὰ ἐν τοῖς Παπιστικοῖς ἐλέγχοις εἰρημένα (Τόμ. Α', σελ. 184 κ. ἑξ), μάλιστα δὲ τὴν ἐν σελ. 210—4 σημείωσιν, ἐν ᾗ ὁ σοφὸς συγγραφεὺς διὰ μακρῶν τὴν τῶν Παπιστῶν ταύτην ἀσέβειαν κατεξελέγχει, καὶ Ἰάγερον αὐτὸν καταδείκνυσι τὰ Ἐπιφανίου καὶ Ὠριγένους καὶ Χρυσοστόμου κιβδηλεύοντα καὶ παρερμηνεύοντα.*

[2] *Σόφισμα τοῦτο Ἰάγερος ἀποκαλεῖ· διὰ τὶ δέ, οὔτε λέγει, οὔτε λέγειν ἔχει, καὶ ταῦτα δεινὸς ὢν αὐτὸς σοφιστής, καὶ διὰ τοῦτο τοὺς σοφιζομένους ἐξελέγχειν δυνάμενος.*

[3] *Παρὰ Μιγνίῳ—θεοφόρων ἀνδρῶν.*

[4] *Ἐνταῦθα πᾶσαν ὑπερηκόντισεν Ἰάγερος σοφιστείαν, ὑποσημειῶν·* " Aucun concile général n'a dit que le Saint-Esprit ne procédait pas du Fils; et puis la lettre de Saint Cyrille, où se trouve le *Filioque*, a été lue dans trois conciles sans qu'on ait élevé la moindre réclamation " (Hist. de Photius, p. 370). *Τὸ μὲν γὰρ λέγειν, ὡς οὐδεμία τῶν οἰκουμενικῶν Συνόδων εἶπε μὴ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, κἀντεῦθεν συνάγειν, ὡς ἄρα ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ, ταὐτόν ἐστι καὶ λέγειν·* " *Οὐδεμία τῶν οἰκουμεν. Συνόδων εἶπεν, ὡς ὁ Ἰησοῦς Χριστὸς οὐκ ἔστιν υἱὸς καὶ τοῦ Ἰωσήφ· πιστευτέον ἄρα, ὡς ἔστι μὲν Υἱὸς τοῦ Θεοῦ, καθάπερ πᾶσαι ἀνεκήρυξαν αἱ οἰκουμ. Σύνοδοι, ἔστι δὲ καὶ τοῦ Ἰωσήφ, ἐπειδὴ οὐκ εἶπον μὴ εἶναι.*" *Οὕτω δὲ τυφλῷ ἑπόμενοι ὁδηγῷ, τῷ Ἰαγέρῳ, εἰς τὴν Ἐβίωνος ἐμπεσούμεθα αἵρεσιν, ψιλὸν εἶναι λέγοντος ἄνθρωπον τὸν Ἰησοῦν, καὶ σπέρμα τοῦ Ἰωσήφ, μετὰ τὴν βάπτισιν αὐτοῦ θείαν λαβόντα δύναμιν (Ἴδε περὶ Ἐβίωνος Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ, 159—161, καὶ Μόσχ. Τόμ. Α', σελ. 180—2 τῆς πολλάκις μνημονευθείσης Ἀγγλικῆς μεταφρ. ὑπὸ J. Murdock, 1841). Κύριλλον δὲ παράγων Ἰάγερος λέγοντα, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἔκ τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, οὐ κατονομάζει τὴν ἐπιστολήν, ἐν ᾗ τοῦτο λέγει Κύριλλος· ὤφειλε δὲ ταύτην κατονομάσαι, ὅπως μὴ εἰς*

Digitized by Google

τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι· καὶ γὰρ οὕτως ἐκεῖνοι ἐφθέγξαντο. Καὶ πῶς οὐχ ὑβρίζει πολλαπλασίους ὁ τοῦτο λέγων; Καὶ γὰρ οὔμενουν οὐδαμοῦ τοῦτο φθέγξασθαι

τοὐναντίον αὐτῷ ἡ προβαλλομένη περιέλθῃ μαρτυρία. Ἐὰν γάρ τις τὰς Κυρίλλου διεξέλθῃ ἐπιστολάς, τὴν ὑπὸ Ἰαγέρου προβαλλομένην μαρτυρίαν ἐπιζητῶν, εἰς πολλὴν ἐμπεσεῖται ἀπορίαν, τί βουλόμενος Ἰάγερος Κύριλλον παράγει μαρτυροῦντα· ὃς πολλαχοῦ τῶν Λόγων καὶ τῶν ἐπιστολῶν αὐτοῦ οὐ μόνον τρανώτατα διακηρύττει, καὶ ξυνῳδὰ τῷ θεσπεσίῳ Παύλῳ διδάσκει τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι, ἀλλὰ καὶ μηδὲ μίαν συλλαβὴν παραβῆναι, μηδὲ λέξιν μίαν ἀμεῖψαι τῶν ἐν τῷ Συμβόλῳ ἐγκειμένων ἐπιτρέπει, καὶ τυφλοὺς ἀποκαλεῖ τοὺς τἀναντία κατατολμῶντας. Καὶ πρῶτον μὲν ἐν τῇ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐπιστολῇ εὑρήσει λέγοντα τὸν Κύριλλον· "Καὶ "κατ' οὐδένα τρόπον σαλεύεσθαι πρός τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν Πίστιν, ἤτοι τὸ τῆς Πίστεως "Σύμβολον, παρὰ τῶν ἁγίων ἡμῶν Πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρούς· οὔτε μὴν ἐπι- "τρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν "παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος—Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες "σου·—Οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός· ὃ ἐκπορεύεται "μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον." Ἔπειτα δὲ τὴν περὶ τοῦ ἁγίου Συμβόλου πρὸς τοὺς ἐν Αἰγύπτῳ Μοναχοὺς ἐπιστολὴν Κυρίλλου ἀναγινώσκων, τάδε περὶ τοῦ ἁγίου Πνεύματος εὑρήσει αὐτὸν διδάσκοντα. "Διαπεράναντες δὲ τὸν περὶ Χριστοῦ λόγον οἱ τρισ- "μακάριοι Πατέρες, τοῦ ἁγίου Πνεύματος διαμνημονεύουσιν. Πιστεύειν γὰρ ἔφασαν εἰς αὐτό, καθάπερ "ἀμέλει εἰς τὸν Πατέρα καὶ τὸν Υἱόν. Ὁμοούσιον γάρ ἐστιν αὐτοῖς· καὶ προχεῖται μέν, ἤγουν "ἐκπορεύεται, καθάπερ ἀπὸ πηγῆς, τοῦ Θεοῦ καὶ Πατρός, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ." Εὐθὺς δὲ μετὰ ταῦτα καὶ τάδε προστίθησιν ὁ ἱερὸς Κύριλλος, μάλιστα χρήσιμα μαθεῖν τοῖς περὶ Ἰάγερον· "Αὕτη (λέγει) τῶν ἁγίων Πατέρων ἡ εὐθυτενὴς καὶ ἁπλανεστάτη Πίστις, ἤτοι τῆς Πίστεως ἡ ὁμολογία. "Ἀλλ' ὡς Παῦλός φησιν, ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ "αὐγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ. Ἀφέντες γοῦν τὸ εὐθὺ τῆς "ἀληθείας ἰέναι τινές, ἄτουσι κατὰ πετρῶν, μὴ νοοῦντες μήτε ἃ λέγουσι, "μήτε περὶ τίνων διαβεβαιοῦνται." Ἀκούεις, Ἰάγερε; Κύριλλός ἐστιν ὁ ταῦτα λέγων· Κύριλλος, ὃν σὺ τῆς ὑμετέρας καινολογίας μάρτυρα προβάλλῃ. Ἀλλ' ἀκούσωμεν Κυρίλλου, ὅ,τι περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως λέγει καὶ ἐν τῷ περὶ τῆς ἁγίας Τριάδος Λόγῳ (§ ιθ')· "Ἐκπο- "ρευόμενον δὲ αὐτὸ ἐκ τοῦ Πατρὸς ἠκούσαμεν, καὶ οὐ πολυπραγμονοῦμεν, πῶς ἐκπο- "ρεύεται, ἀλλὰ στέργομεν τοῖς τεθεῖσιν ἡμῖν ὅροις ὑπὸ τῶν θεολόγων καὶ μακαρίων ἀνδρῶν." Καί αὖθις ἐν § κγ'. "Ὃ ἐκ Θεοῦ μεμαθήκαμεν, τὸν δὲ τρόπον οὐκ ἐδιδάχθημεν· ἀρκούμεθα δὲ τοῖς δοθεῖσι μέτροις "τῆς γνώσεως, καὶ οὐ πολυπραγμονοῦμεν ἀγνοήτως τὰ ἀνέφικτα." Σαφέστατα δὲ καὶ ἅπερ ἐν τῇ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου ἐξηγήσει (Κεφ. ΙΑ', 20) περὶ τούτου εἴρηκεν· "Ὥσπερ ὁ δάκτυλος ἐξήρ- "τηται τῆς χειρός, ὡς οὐκ ἀλλότριος ὢν αὐτῆς, ἀλλ' ἐν αὐτῇ φυσικῶς, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον τῷ "τῆς ὁμοουσιότητος λόγῳ συνῆπται μὲν πρὸς ἕνωσιν τῷ Υἱῷ, ἐκ τοῦ Θεοῦ δὲ καὶ Πατρὸς "ἐκπορεύεται." Οὕτω τοίνυν σαφῶς τοῦ ἱεροῦ Κυρίλλου διδάσκοντος τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς προχεῖσθαι, ἤγουν ἐκπορεύεσθαι, καθάπερ δὴ καὶ Παῦλος πρὸς Τίτον γράφων ἐθεολόγει, "Κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς ὁ Θεὸς διὰ λουτροῦ παλιγγενεσίας, δι' ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν" (Κεφ. Γ', 5), καθάπερ δὴ καὶ πᾶσαι αἱ οἰκουμ. Σύνοδοι ἐδογμάτισαν, δικαίως ἄν τις διαπορήσειε, τίς ἡ Κυρίλλου ἐπιστολή, ἣν Ἰάγερος εἰς μαρτυρίαν προβάλλεται. Ἀλλ' εὑρήσει τοῦ ἀπορήματος τὴν λύσιν, τὴν πρὸς Νεστόριον Κυρίλλου ἐπιστολὴν ἀναγινώσκων, ἐν ᾗ γέγραπται· "Πνεῦμα γὰρ ἀληθείας ὠνόμασται· καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια· καὶ προχεῖται παρ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός." Εἰ δὲ καὶ ἐλαχίστης ἔχεται πιθανότητος τὸν ἱερὸν Κύριλλον οὕτω προφανῶς τἀναντία λέγειν αὐτὸν ἑαυτῷ, καὶ πολλάκις εἰπόντα ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἐνταῦθα λέγειν ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ, ὥσπερ αὐτὸν οἱ περὶ Ἰάγερον παράγουσι λέγοντα, κρινάτωσαν οἱ νοῦν

Digitized by Google

κατεδέξαντο. Ἀλλ' ὑβρίζει Πατέρας ὁ παρὰ τὴν ἐκείνων φωνὴν λέγων;[1] Πῶς οὐχ ὑβρίζει τὸν κοινὸν Δεσπότην ὁ τὴν ἐκείνου παραχαράττων φωνήν, καὶ διδάσκαλον ἀντ' ἐκείνου ἄλλον τῆς θεολογίας προβαλλόμενος; Ἀλλὰ τίς λέγει τοῦτο; Τίς ἐστιν ὁ ὑβριστὴς τῶν περὶ Αὐγουστῖνον τὸν ἱερὸν καὶ Ἱερώνυμον καὶ Ἀμβρόσιον; ὁ τούτους ἀντιτιθεὶς τῷ κοινῷ Δεσπότῃ καὶ Διδασκάλῳ ἀντιφθεγγομένους,[2] ἢ ὁ μηδὲν μὲν τοιοῦτον ποιῶν, κοινοῦ δὲ Δεσπότου κατακολουθεῖν ἀξιῶν πάντας τῷ θεσπίσματι; Ἀλλ' ἢ[3] καλῶς (φασίν) ἐδογμάτισαν, καὶ χρὴ τὸ ἐκείνων θάλπειν φρόνημα τοὺς ὅσοι τούτους Πατέρας ἐπιγράφουσιν, ἢ δυσσεβῶς εἶπον, καὶ δεῖ τῷ αἱρετικῷ φρονήματι κἀκείνους συναποβάλλεσθαι. Ταῦτα οἱ τὴν ἀσέβειαν ἀδικώτεροι. Οὐ γὰρ αὐτοῖς, ὡς ἔοικε, μέγα πρὸς ἀσέβειαν δοκεῖ κρατυνομένη παρ' αὐτῶν τῆς θεολογίας ἡ διαστροφή, ἀλλ' ἀτελὲς ἡγοῦνται τὸ σπούδασμα, εἰ μὴ καὶ ζητήσωσιν[4] εὑρεῖν, οὓς Πατέρας καλοῦσι, διὰ τῆς τοιαύτης ἀγνώμονος ἐρεύνης καὶ τῆς τῶν ἀσχημόνων ἀνακαλύψεως, ὅπως ὑβρίσωσι, δεικνύντες αὐτοὺς[5] κἀν-

---

ἔχοντες. Οὐ χαλεπὸν δὲ καὶ τοὺς ἐλαχίστου τούτου τυχόντας τὴν ἀλήθειαν διαγνῶναι, τοὺς Κυρίλλου λόγους ἀντιπαραβάλλοντας, καὶ τὸ δυσνόητον ἢ παρεφθαρμένον καὶ κίβδηλον ἐκ τῶν σαφῶν καὶ γνησίων διακρίνοντας· οἷον δή ἐστι καὶ τοῦτο τῆς πρὸς Νεστόριον ἐπιστολῆς τὸ μέρος, ξένον καὶ παρεμβόλιμον,

ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς,

οὐ Κυρίλλου, οὐδ' ἐπὶ Κυρίλλου γεγραμμένον, ἀλλὰ πολλοὺς ὕστερον αἰῶνας, ὅτε πρὸς ἐμπέδωσιν τῆς ἀτασθάλου αἱρέσεως μαρτύρων ἔδει τοῖς αἱρετίζουσιν, καὶ ἀσεβείᾳ τὴν ἀσέβειαν στηρίζοντες, πολλαχοῦ τὰ τῶν ἁγίων Πατέρων συγγράμματα προσθήκαις καὶ μεταγραφαῖς κατεσπίλωσαν. Καὶ ταῦτα μὲν ἡμεῖς περὶ τούτου, οὐκ εἰς ἀγῶνα καταβαίνοντες θεολογικόν (οὐ γὰρ ἡμέτερον τοῦτό γε), ἀλλ' ἁπλῶς καὶ ὅσον ἐκ τῶν ἐνόντων τὴν Ἰαγέρου ἐξελέγχοντες πλάνην. Γενικώτερον δὲ ταύτην κατεστηλίτευσε, καὶ ὡς ἀράχνης ἱστὸν διεσκαριφήσατο, αὐτόν τε Ἰάγερον καὶ τοὺς σὺν αὐτῷ διὰ μακρῶν κατεξελέγξας ὁ τῶν Παπιστικῶν ἐλέγχων μεγάτιμος συγγραφεὺς ἐν Τόμῳ Α', σελ. 184 κ. ἑξ.—Εἰ δέ τις πλέον τὰ περὶ τούτου βούλεται διερευνᾶν, ὁράτω Ζοιρνικάβιον ἐν Τόμῳ Α', σελ. 76—99 καὶ ἐν Τόμῳ Β', σελ. 411—431· ἔτι δὲ καὶ τὴν Ἱστορίαν τῆς περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος διαφορᾶς ὑπὸ Θεοφ. Προκοποβικίου· ἀλλὰ καὶ "Ὑπεράσπισιν τῆς Γραικικῆς Ἐκκλησίας" ὑπὸ Στυλ. Βλασοπούλου, σελ. 121—133.

[1] Οὕτως ἐρωτηματικῶς παρὰ Κομβεφισίῳ καὶ Μιγνίῳ, τῶν ἄλλων ἐν ὑποστιγμῇ γραψάντων· ὅπερ οὐκ ἔῤῥωται, μὴ καὶ τοῦ ὑποθετ. ΕΙ προστεθέντος· " ἀλλ' εἴπερ ὑβρίζει Πατέρας ὁ παρὰ τὴν ἐκείνων φωνὴν λέγων, πῶς οὐχ ὑβρίζει τὸν κοινὸν Δεσπότην; κ.τ.λ."

[2] Γελοῖον ἐνταῦθα τὸ τοῦ Ἰαγέρου, ἀσεβεῖν λέγοντος Φώτιον περὶ τὴν τῶν Γραφῶν ἑρμηνείαν οὐχ ἧττον ἢ περὶ τοὺς Πατέρας. " Voilà le principe de l'interprétation particulière de l'Ecriture contre la tradition. Photius ne respecte pas plus l'Ecriture que les Pères." Γένοιτο γὰρ ἄν τι γελοιότερον (κατὰ Δημοσθένην εἰπεῖν), ἢ Παπιστὴς ἀνὴρ Φώτιον λέγων περὶ τὰς Γραφὰς καὶ τοὺς Πατέρας ἀσεβεῖν, καὶ τούτων, ὡς ὅλῃθεν ὑβριζομένων, προασπίζειν ἐπαγγελλόμενος;

[3] Ἤμ. διόρθ. ἀντὶ—εἰ—παρὰ τοῖς ἄλλοις ἅπασιν.

[4] Ἴσως ἐγέγραπτο—ζητήσουσιν.

[5] Πολλαχοῦ μὲν καὶ ἄλλοθι ψιλούμεναι τῆς Ἀντων. αὐτὸς αἱ πλάγιαι πτώσεις μεταβάλλουσι τὴν ἔννοιαν· ἐνταῦθα δὲ ψιλουμένη ἡ αἰτιατικὴ αὐτούς, ὡς παρὰ πᾶσι τοῖς ἄλλοις γέγραπται, ἐκεῖνο δὴ σημαίνει, ὅπερ ἔλεγε Φώτιος, ὅτι " καὶ τόνου χρῆσις οὐκ εὔκαιρος τό τε ῥῆμα ἀνθ' ἑτέρου . . . παρέδειξεν ὕστερον, καὶ εἰς νόημα παντελῶς ἀλλοτριώτατον τὸν νοῦν ἐκτοπίσασα, ἢ δυσσεβῆ δόξαν, ἢ γελώμενον λῆρον

ταῦθα γνησίους τοῦ Χὰμ μαθητάς· ὃς τὴν τοῦ Πατρὸς ἀσχημοσύνην οὐ συνεκάλυψεν, ἀναιδεῖ δὲ προσώπῳ διεχλεύασεν. Ἀλλ' οἱ τῆς Ἐκκλησίας τρόφιμοι καὶ τῶν ἱερῶν μαθημάτων οὐκ ἐπιλήσμονες, κατὰ τὸν Σὴμ καὶ Ἰάφεθ, καὶ τὴν Πατρικὴν ἀσχημοσύνην ἐπικαλύπτειν ἐπίστανται, καὶ τοὺς μιμητὰς τοῦ Χὰμ καταγινώσκοντες ἀποστρέφονται. Ἄλλως τε δέ, εἰ μὲν μηδέν, οὓς ὁ λόγος ἄνωθεν ἔφη Πατέρας, τῷ κοινῷ Δεσπότῃ ἀντιφθέγγονται, οὐδ' ἡμεῖς τούτοις ἀντιφθεγξόμεθα· εἰ δ' ὑμεῖς φατέ, ὡς τῇ Δεσποτικῇ φωνῇ ἀντιφθέγγονται, ὑμῶν ἐστι τὸ καὶ τὸν Δεσπότην δεύτερον ἐκείνων ποιεῖν, κἀκείνους διὰ τὸ τὴν Δεσποτικὴν παριδεῖν ἐντολὴν ἀπελαύνειν εἰς τὸ τοῦ κρίματος ἀπαραίτητον. Πόσα δ' ἄν τις ὑπὲρ τῶν μακαρίων ἀνδρῶν ἐκείνων εἴποι;[1] Πόσαι γὰρ περιστάσεις πραγμάτων πολλοὺς ἐξεβιάζοντο, τὰ μὲν παραφθέγξασθαι, τὰ δὲ πρὸς οἰκονομίαν εἰπεῖν, τὰ δὲ καὶ τῶν ἀπειθούντων ἐπαναστάντων, τὰ δὲ καὶ ἀγνοίᾳ, οἷα δὴ περιολισθῆσαι ἀνθρώπινον;[2] Ἄλλος γὰρ πρὸς τοὺς αἱρετίζοντας διαμαχόμενος, ἄλλος τῇ ἀσθενείᾳ συγκατιὼν τῶν ἀκροατῶν, ἄλλος ἄλλο τι διαπραττόμενος, καὶ τὸν καιρὸν ἔχων πολλὰ τῆς ἀκριβείας καθυφεῖναι παρακαλοῦντα, ἐπὶ τέλει μείζονι καὶ εἶπε καὶ ἔπραξεν, ἃ μήτε λαλεῖν ἡμῖν· μήτε πράττειν ἔξεστιν. Καὶ ἵνα ἄλλους ἐάσω, ἐννόει μοι τοῦ θαυμασίου Παύλου καὶ διδασκάλου τῆς οἰκουμένης τὸν ἁγιασμόν,[3] τὸ ξυρᾶσθαι, τὸ γάλακτι τρέφειν τοὺς ἄρτι καθισταμένους πρὸς μάθησιν, καὶ οὐ βρώματι.[4] Κἀκεῖθεν ἐφεξῆς εἴ τις τῶν ἱερῶν ἀνδρῶν τὸν χορὸν διέλθοι, ὅλον ἀνθρώπου κατατρίψει βίον τὰ τοιαῦτα

συνήγαγεν" (Ἴδε Προλ. § ιβ'). Ψιλουμένη γὰρ ἡ αἰτιατ. αὐτούς, εἰς τοὺς Πατέρας ἀναφέρεται, καὶ τούτους ποιεῖ τοῦ Χὰμ γνησίους μαθητάς (ὅπερ δυσσεβής ἐστι δόξα καὶ γελώμενος λῆρος)· δασυνομένη δὲ, ὡς αὐτοπαθής, τὴν ἀληθῆ ἐκφράζει ἔννοιαν, ὅτι οἱ ἀσεβεῖς καινολόγοι τοὺς Πατέρας ὑβρίζοντες, ἑαυτοὺς δεικνύουσι γνησίους τοῦ Χὰμ μαθητάς.

[1] Καὶ αὖθις ταὐτὰ λέγων Ἰάγερος, ἐλέγχειν οἴεται Φώτιον, ὡς δῆθεν τὸ τῶν Πατέρων κῦρος φεύγοντα· καί φησιν· " Photius n'ose pourtant pas se déclarer ouvertement contre les Pères; il va les excuser pour décliner leur autorité." Ἀλλὰ Φώτιος διαῤῥήδην περὶ τούτου γνώμην ἀπεφήνατο, μηδεμίαν μηδενὸς τῶν Πατέρων διδασκαλίαν τῆς Κυριακῆς φωνῆς κυριωτέραν ἡγεῖσθαι, ἀλλ' ἐκείνῃ μόνῃ ἕπεσθαι τῇ φωνῇ τοῦ Κυρίου, τῇ καθαρῶς διδασκούσῃ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι· εἰ δέ τις τῶν Πατέρων τἀναντία ἐφθέγξατο, τοῦτο, τὴν τῶν Πατέρων τιμὼν εὐσέβειαν, λέγει ἤτοι ἀνθρώπινον εἶναι ὀλίσθημα, ἢ πρὸς οἰκονομίαν καιρῶν εἰρῆσθαι ἐπὶ τέλει μείζονι· καὶ τούτου παράδειγμα Παῦλον αὐτὸν προβάλλεται. Καὶ ταῦτα μὲν Φώτιος ἐν ἀγνοίᾳ λέγει τῶν ἐν τοῖς τῶν Πατέρων κειμένοις γενομένων νοθεύσεων. Εἰ δὲ καὶ τὴν ἀσέβειαν ταύτην ἐξ ἐκείνου γινομένην ἐγίνωσκε, τάχ' ἂν ταῦτα φεύγων εἰπεῖν, γεγωνυίᾳ τῇ φωνῇ ἀνεβόησεν· " Λῆρος ταῦτα πλατύς· οὐδὲν γάρ οὐδέποτε εἶπε τοιοῦτον οὐδ' Αὐγουστῖνος, οὐδ' Ἱερώνυμος, οὐδ' Ἀμβρόσιος, πολὺ δὲ τούτων ἔτι ἧττον Κύριλλος· ἀλλ' ὑμεῖς, ὦ ἀσεβότεκνα, παντοίαις βασάνοις τὰ ἐκείνων ὑποβαλόντες χειρόγραφα, λέγειν αὐτὰ κατηναγκάσατε, ἃ οἱ θεοφόροι ἐκεῖνοι Πατέρες οὐδ' εἶπον, οὐδὲ μὴν ἐν θυμῷ οὐδέποτ' ἐβάλοντο."

[2] Οὕτω διώρθωσα τὸ παρὰ τοῖς ἄλλοις " οἷα δὴ περιολισθεῖσι ἀνθρώπινα·" οὐ γὰρ ἄν τις εἴποι τὸ " περιολισθεῖσι " τρίτου πληθ. πρόσωπον εἶναι ἐξ ἐνεστῶτος ὀλίσθημι, ἅτε τοιούτου θέματος οὐχ εὑρισκομένου ἐν τῷ ῥήματι τούτῳ, ἀλλὰ μόνων τῶν—ὀλισθάζω, ὀλισθάνω, ὀλισθαίνω, ὀλισθέω, ὀλισθεύω.

[3] Ἴσως ὀρθότερον γραπτέον " ἁγνισμόν," ὥσπερ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων λέγεται. (Ἴδε Πράξ. ΚΑ', 17—27.)

[4] " Γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε " (πρὸς Κορ. Γ', 2).

Digitized by Google

ἐξαριθμῶν καὶ γραφόμενος. Ἀλλὰ γὰρ εἴ τις τῶν τοιούτων λόγων καὶ πράξεων τὴν ἀσθένειαν τῶν ἀκροατῶν καὶ τὴν οἰκονομίαν τοῦ λόγου, τήν τε πρὸς τοὺς ἀντιτεταγμένους μάχην περιελών, γυμνὰ τῶν εἰρημένων, καὶ ὡς δόγμα προβάλλοι καὶ περιθάλποι, αὐτοὺς ἐκείνους τοὺς τὰ τοιαῦτα καὶ εἰπόντας καὶ πράξαντας εὑρήσει κατ' αὐτοῦ τὴν δικάζουσαν ἀφιέντας ψῆφον.

ί. Ἔτι δέ, εἰ μὲν ὑπομνησθέντες περὶ τοῦ προκειμένου κεφαλαίου τῶν εἰρημένων Πατέρων ἀντεῖπε τὸ σύνταγμα, καὶ πρὸς ἔνστασίν τινα καὶ ἀπείθειαν ἀπεθρασύνετο, διέτεινάν τε τῇ αὐτῇ παρατροπῇ τῆς δόξης, καὶ ἐπ' αὐτῇ τὸν βίον μετὰ τοὺς ἐλέγχους κατέστρεψαν, ἀνάγκη τούτους συναποβάλλεσθαι τῷ φρονήματι. Εἰ δὲ παρεφθέγξαντο μέν, ἢ διά τινα αἰτίαν νῦν ἀγνοουμένην ἡμῖν τῆς εὐθύτητος ἐξετράπησαν, οὐδεμία δὲ ζήτησις αὐτοῖς προσενήνεκται, οὐδ' εἰς μάθησιν τῆς ἀληθείας οὐδεὶς αὐτοὺς παρεκάλεσε, Πατέρας μὲν οὐδὲν ἔλαττον αὐτοὺς, εἰ[1] καὶ μὴ τοῦτο εἶπον, ἐπιγραψόμεθα, διά τε τὸ τοῦ βίου λαμπρόν, καὶ τῆς ἀρετῆς τὸ αἰδέσιμον, καὶ τῆς ἄλλης εὐσεβείας τὸ ἀκατάγνωστον, τοῖς δὲ λόγοις τούτων, ἐν οἷς παρηνέχθησαν, οὐχ ἑψόμεθα. Ὅσοι δὲ τούτους[2] βιάζονται εἰς ἀντίθετον μαρτυρίαν ἐλθεῖν τῆς Δεσποτικῆς φωνῆς, οὗτοι λέξει μὲν γυμνῇ τὸν Πατέρα τούτοις χαρίζονται, ἔργῳ δὲ καὶ πάσῃ σπουδῇ εἰς τὴν τῶν πατραλοιῶν καὶ πολεμίων χώραν αὐτοὺς ἀπελαύνουσιν. Ἡμεῖς δέ, ἐπεὶ[3] καὶ ἄλλους τινὰς τῶν μακαρίων ἡμῶν Πατέρων καὶ Διδασκάλων ἐν πολλοῖς τε ἄλλοις τῆς ἀκριβείας τῶν ὀρθῶν δογμάτων παρενεχθέντας καταλαμβάνοντες, τὸ μὲν παρενεχθὲν οὐ προσθήκην δεχόμεθα, τοὺς ἄνδρας δὲ ἀσπαζόμεθα· οὕτω καὶ τούς, εἴ τινες ὑπηνέχθησαν εἰπεῖν τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, τὸ μὲν παρὰ τὴν Δεσποτικὴν φωνὴν οὐ δεχόμεθα, ἐκείνους δὲ τῆς τῶν Πατέρων ἀγέλης οὐκ ἀποκρίνομεν. Καὶ γὰρ καὶ Διονύσιον τὸν Ἀλεξανδρείας, τῷ χορῷ τῶν ἁγίων Πατέρων συντάττοντες, τὰς ὑπ' αὐτοῦ λεχθείσας πρὸς τὸν Λίβυν Σαβέλλιον Ἀρειανικὰς φωνὰς οὔμενουν οὐ συναποδεχόμεθα, ἀλλὰ καὶ παντελῶς ἐκτρεπόμεθα.[4] Καὶ τὸν ἐν μάρτυσι μέγαν Μεθόδιον,[5] ὃς τοὺς Ἀρχιερατικοὺς τοῦ Πατάρων θρόνου ἐπηδαλιού-

---

[1] Ἴσως ἐγέγραπτο—ἢ εἰ καὶ μὴ τοῦτο εἶπον.

[2] Ἡμ. διόρθ. ἀντὶ—τούτων—παρὰ τοῖς ἄλλοις ἅπασιν.

[3] Ἴσως γραπτ. ὀρθότ.—ὥσπερ—διὰ τὸ ἐπιφερόμενον, οὕτω· παραβολικὸς γὰρ ὁ λόγος.

[4] Διονύσιος ὁ ἐπικληθεὶς Μέγας, γενόμενος δὲ Ἀλεξανδρείας Ἐπίσκοπος μετὰ τὸν Ἡρακλᾶ θάνατον (τὸ 247), πολλοὺς καὶ καλοὺς ὑπέστη κατὰ τῶν αἱρετικῶν ἀγῶνας, καὶ πολλὰ συνέγραψεν ὑπὲρ τῆς Ὀρθοδόξου Πίστεως. Ἐν δὲ ταῖς κατὰ Σαβελλίου ἐπιστολαῖς εἰπών, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ τοιοῦτον ἔχει λόγον πρὸς τὸν Πατέρα, οἷον ἡ ἄμπελος πρὸς τὸν ἀμπελουργὸν καὶ ἡ ναῦς πρὸς τὸν ναυπηγόν, καὶ ἄλλα τινὰ τοιαῦτα, ἔδοξε λέγειν ἀθέμιτα· καὶ κατηγορίας κατ' αὐτοῦ γενομένης ἐν Ῥώμῃ ὑπὸ τῶν ἐκ Πενταπόλεως Χριστιανῶν, ἔγραψεν ὑπεραπολογούμενος πρὸς Διονύσιον τὸν Ῥώμης Ἐπίσκοπον ἀπολογίαν μακράν, ἣ ἐπιγέγραπται· "Ἔλεγχος καὶ ἀπολογία πρὸς Διονύσιον τὸν Ῥώμης Ἐπίσκοπον." Ὅρα τὸν βίον αὐτοῦ ἐν τῇ Φιλολ. καὶ Κριτ. Ἱστ. τῶν Πατέρων ὑπὸ Κ. Κοντογόνου, Τόμ. Α', σελ. 507—521, καὶ Φωτίου Μυριόβιβλον κ. 232. Περὶ δὲ Σαβελλίου καὶ τῆς αἱρέσεως αὐτοῦ ἴδε Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 265, καὶ Μόσχειμ Τόμ. Α', σελ. 265 τῆς Ἀγγλ. μεταφρ. ὑπὸ Muldock· ἔτι δὲ καὶ σελ. 229, ἔνθα καὶ περὶ Διονυσίου τοῦ Μεγάλου.

[5] Ὁ Μεθόδιος κατ' ἄλλους μὲν Ἐπίσκοπος ἦν Ὀλύμπου τῆς Λυκίας, καὶ μετὰ ταῦτα τῆς κατὰ Φοινί-

Digitized by Google

χησεν οἴακας, ἔτι δὲ[1] καὶ Εἰρηναῖον τὸν Λουγδούνων Ἐπίσκοπον,[2] καὶ Παπίαν τὸν τῆς Ἱεραπόλεως,[3] τὸν μὲν τοῦ μαρτυρίου τὸν στέφανον ἀναδησάμενον, τοὺς δὲ ἄνδρας ὄντας Ἀποστολικούς, καὶ τοῖς τοῦ βίου τρόποις τὸ θαυμάσιον ἐξαστράπτοντας, ἀλλ' οὖν εἴ τί γε τῆς ἀληθείας ὠλιγώρησαν, καὶ παρηνέχθησαν φθέγξασθαι ἀπ' ἐναντίας τοῦ κοινοῦ καὶ Ἐκκλησιαστικοῦ δόγματος, ἐν τούτοις μὲν οὐχ ἑπόμεθα, τῆς Πατρικῆς δὲ τιμῆς καὶ δόξης οὔμενουν οὐδὲν αὐτῶν περικόπτομεν. Ἐπιλείψει με ἡ ἡμέρα τοὺς ἄνδρας ἀπαριθμούμενον, οὓς τῇ μὲν τῶν Πατέρων τιμῇ σεμνύνομεν, ἐν οἷς δὲ τῆς ἀληθείας παρηνέχθησαν, οὐ μιμούμεθα. Οὕτω γοῦν καὶ εἴ τινες φανεῖεν παρὰ τὴν Δεσποτικὴν φωνήν, τὴν πάντας ἡμᾶς μυσταγωγοῦσαν, τὸ Πνεῦμα εἰπόντες ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, τὴν μὲν καινοτομίαν, ὡς τὴν Δεσποτικὴν φωνὴν κιβδηλεύουσαν καὶ παραχαράσσουσαν, ἀποστρεφόμεθα, τὸν Πατέρα δὲ αὐτῆς, σιγῶντα μάλιστα, καὶ μὴ παρόντα μηδ' ἀντιλέγοντα, οὔμενουν οὐ καταδικάζομεν. Τοῦ γὰρ φεύγοντος οὐκ ὄντος, οὔτε δι' ἑαυτοῦ, οὔτε δι' ὧν ὑπὲρ αὐτοῦ λέγειν προχειρίζεται, οὐδεὶς ἂν εἴη νοῦν ἔχων κατήγορος· κατηγορίας δὲ οὐκ οὔσης, οὐδὲ ψῆφος προέρχεται τοῦ ἐγκλήματος· ψήφου δὲ καταδικαζούσης μὴ δοθείσης, ὁ τολμῶν ὑβρίζειν τὸν ἔξω τούτων καθεστῶτα πασῶν[4] τῶν περιστάσεων, οὐ κατ' ἐκείνου μᾶλλον ἢ καθ' ἑαυτοῦ περιτρέπει τὸν ὄνειδον. Ἀλλ' εἶπον, φασί, Πατέρες τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι. Ἀλλὰ βραχεῖς τῷ ἀριθμῷ· ἀλλ' οἱ πλείους εἰπεῖν οὐκ ἠνέσχοντο. Εἶπον εὐαρίθμητοι Πατέρες· ἀλλὰ Συνόδων ἁγίων ψηφίσματα τοὺς παρὰ τὴν Δεσποτικὴν φωνὴν εἰπόντας ἀποπέμπονται. Εἶπον Πατέρες· ἀλλὰ τί με δεῖ μακρολογεῖν περὶ τὸν ἀριθμὸν τῶν εἰπόντων; Οὐδ' ἂν ἡ κτίσις ἀφῆκε πᾶσα μίαν φωνήν, οὔμενουν οὐδεὶς τοῦ Κτίστου καὶ Δημιουργοῦ καταλιπὼν τὴν μυσταγωγίαν καὶ τὰ διδάγματα, τῇ ἀντιφθεγγομένῃ κτίσει τῷ Κτίστῃ προσέθετο· οὐδ' ὑπέκυψε νόμοις τῆς κτίσεως, τοὺς τοῦ Κτίστου καὶ Δημιουργοῦ νόμους παραγραφόμενος.

ιά. Πατέρας ζητεῖς συνηγόρους τῷ φρονήματι; Τὸν Δεσπότην αὐτὸν ἔχεις· τῶν

κην Τύρου, κατ' ἄλλους δέ, καὶ κατὰ Φώτιον, Ἐπίσκοπος Πατάρων, πόλεως ἐν Λυκίᾳ. Συνέγραψε δὲ πολλά, ἐν οἷς καὶ "Συμπόσιον τῶν δέκα παρθένων" κατὰ μίμησιν τοῦ Πλατωνικοῦ συμποσίου· καὶ ἐν τῷ συγγράμματι τούτῳ, ἄλλως δι' εὐφράδειαν ἐπαινουμένῳ, κακοδοξίαι τινὲς εὕρηνται, ἃς ἐν τῇ Μυριοβίβλῳ Φώτιος ὑπὸ τῶν Ἀρειανῶν φησι παρεμβεβλῆσθαι.—Ὅρα τὸν Μεθοδίου βίον ἐν τῇ Φιλολ. καὶ Κριτ. Ἱστ. Κ. Κοντογόνου, Τόμ. Α', σελ. 562—576· καὶ Φωτίου Μυριόβ. κ. 234, 235, 236 καὶ 237· καὶ Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 284—5.

[1] Ἡμ. διόρθ. ἀντὶ—μὲν—παρὰ τοῖς ἄλλοις.

[2] Καὶ ἐν τῇ Μυριοβ. δὲ τάδε περὶ Εἰρηναίου λέγει· "Πολλὰ δὲ τοῦ θεσπεσίου Εἰρηναίου καὶ παντοδα-" πὰ καὶ ἕτερα συγγράμματα καὶ ἐπιστολαὶ φέρονται, εἰ καὶ ἔν τισιν αὐτῶν ἡ τῆς κατὰ τὰ Ἐκκλησια-" στικὰ δόγματα ἀληθείας ἀκρίβεια νόθοις λογισμοῖς κιβδηλεύεται, ἃ χρὴ παρασημαίνεσθαι." (κ. 120.) Τίνα δ' ἐστὶ ταῦτα, Κ. Κοντογόνης ἐν τῇ Φιλολ. καὶ Κριτ. Ἱστορίᾳ ἐκτίθησιν (Τόμ. Α', σελ 323), ἔνθα καὶ τὸν Εἰρηναίου βίον ἰδεῖν ἐστιν (σελ. 295—325). Ὅρα δὲ καὶ Μελετ. Ἐκκλ. Ἱστορ. Τόμ. Α', σελ. 224.

[3] Ἴδε καὶ τὸν Παπίου βίον ἐν τῇ αὐτῇ Ἱστορίᾳ τοῦ Κ. Κοντογόνου (Τόμ. Α', σελ. 132—9)· καὶ Φωτίου Μυριόβ. κ. 232· ἔτι δὲ καὶ Μελετ. Ἐκκλ. Ἱστορ. Τόμ. Α', σελ. 177.

[4] Ἡμ. διόρθ. ἀντὶ—πάντων—παρὰ τοῖς ἄλλοις. Ἀλλ' ἴδε τὴν σημ. 2 ἐν σελ. 167.

Digitized by Google

οἰκουμενικῶν Συνόδων τὰς ψήφους· χορὸν θεοφόρων Πατέρων ἀριθμοῦ κρείττονα. Ἐξ ὧν καὶ οἱ λελεγμένοι ἄνωθεν τῆς Ῥώμης Ἀρχιερεῖς ἐκδιδαχθέντες, καὶ διὰ τοῦ ἐκτεθειμένου τῆς Πίστεως ἁγίου μαθήματος τῆς Τριαδικῆς ὁμοουσιότητος ἀπαραχάρακτον τὸ δόγμα παρειληφότες, τοῖς κατὰ τὴν Δύσιν πᾶσαν παραδεδώκασι μέρεσιν. Καὶ οὐ μόνον ὁ κατὰ τὴν τετάρτην *καὶ* οἰκουμενικὴν ἁγίαν Σύνοδον ἐκλάμψας ἱερὸς Λέων,[1] οὐδ' ὁ τὴν εὐσέβειαν ἐκείνῳ, ὥσπερ καὶ τὸ ὄνομα ἀπαράλλακτος,[2] ἀλλὰ καὶ Ἀδριανὸς ἐκεῖνος,[3] τὸν αὐτὸν Ἀποστολικὸν διϊθύνας θρόνον, ἐν οἷς πρὸς τὸν ἁγιώτατον καὶ μακαριώτατον Ταράσιον, τὸν ἡμέτερον πατρόθειον, ἀντέγραψε, σαφῶς τε καὶ περιφανῶς φαίνεται τὸ Πνεῦμα τὸ ἅγιον φρονῶν ἐκ τοῦ Πατρός, ἀλλ' οὐκ ἐκ τοῦ Υἱοῦ, ἐκπορεύεσθαι.

ιβ'. Οὐκ ἐάσειν μοι δοκῶ, κἂν ἐστι πᾶσιν ἐκ τοῦ χρόνου ὑπόγυιον περιφανές, τοὺς ἐν τοῖς καθ' ἡμᾶς χρόνοις πρέσβεις, οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ τρίτον τῆς πρεσβυτέρας Ῥώμης ἀναδραμόντας· οἵ, περὶ τῆς εὐσεβείας, οἷα εἰκός, ἡμῶν πρὸς αὐτοὺς λόγους ἀνακινησάντων, οὐδὲν παρηλλαγμένον τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐξηπλωμένης εὐσεβείας, οὔτε εἶπον, οὔτε φρονοῦντες ἠλέγχθησαν. Τοὐναντίον δέ, τρανῶς μεθ' ἡμῶν καὶ ἀδιστάκτως τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἀνεκήρυξαν ἐκπορεύεσθαι. Ἀλλὰ γὰρ καὶ Συνόδου συγκροτηθείσης ἐπί τισιν Ἐκκλησιαστικοῖς κεφαλαίοις, οἱ ἐκεῖθεν ἀπεσταλμένοι τοῦ ἐν ἁγίοις Ἰωάννου Πάπα τοποτηρηταί, ὡς αὐτοῦ παρόντος ἐκείνου καὶ συνθεολογοῦντος ἡμῖν τὴν εὐσέβειαν, τῷ Συμβόλῳ τῆς Πίστεως, τῷ διὰ πασῶν τῶν οἰκουμενικῶν Συνόδων κατὰ τὴν Δεσποτικὴν φωνὴν καὶ κηρυσσομένῳ καὶ κρατυνομένῳ, ὡς ὁμόφρονες, καὶ φωνῇ καὶ γλώσσῃ καὶ ἰδιοχείρῳ γραφῇ καθυπεσημήναντο.[4]

---

[1] Ἴδε τῆς παρούσης ἐπιστ. § γ'.

[2] Αὐτόθι.

[3] Ἀδριανὸν λέγει τὸν Α', παπεύσαντα τὸ 772—795, ἐφ' οὗ καὶ ἡ Β' ἐν Νικαίᾳ, ἑβδόμη δὲ τῶν οἰκουμενικῶν, ἐγένετο Σύνοδος (τὸ 787).

[4] Ἴδε περὶ τούτων ἐν τοῖς Προλεγ. (§ νβ'). Ἰάγερος δὲ καὶ ἐκ τῶνδε τῶν Φωτίου λόγων οὐκ ὤκνησε πλαστογράφον αὐτὸν ἀποκαλέσαι, τεκμαιρόμενος, ὅτι οὐδὲν λέγει περὶ τῆς τοῦ Πάπα Ἰωάννου Η' ἐπιστολῆς, ἐν ᾗ Φώτιον παρεκάλει μηδαμῶς πιστεύειν, εἴ τις αὐτὸν διαβάλλει, ὅτι τὴν ἐν τῷ Συμβόλῳ προσθήκην ἀπεδέχετο. Ταύτης δὲ τῆς ἐπιστολῆς καὶ ἀλλαχοῦ τῆς ἑαυτοῦ Ἱστορίας (σελ. 355—7) μέμνηται Ἰάγερος, διὰ μακρῶν ἀποδεῖξαι ἀγωνιζόμενος, ὅτι ταύτην Φώτιος πλαστογραφήσας τοῖς Πρακτικοῖς τῆς Συνόδου ἐκείνης προσέθηκεν. Ἀλλὰ πρῶτον μέν, αὐτῶν παρόντων τῶν τοῦ Πάπα Τοποτηρητῶν, καί, ὡς αὐτοῦ παρόντος ἐκείνου καὶ συνθεολογοῦντος τὴν εὐσέβειαν, τῷ Συμβόλῳ τῆς Πίστεως καὶ φωνῇ καὶ γλώσσῃ καὶ ἰδιοχείρῳ γραφῇ καθυποσημηναμένων, τίς ἡ ἀνάγκη τοῦ τὴν ἐπιστολὴν ἐκείνην πλαστογραφῆσαι τὸν Φώτιον; Ἔπειτα δέ, εἰ ἄλλως περὶ τούτου ὁ Ἰωάννης ἐφρόνει, πῶς οἱ τὸν τόπον ἐκείνου ἐπέχοντες τοποτηρηταὶ προθύμως καὶ κατ' οὐδὲν ἀντειπόντες τῷ Συμβόλῳ τῆς Πίστεως καὶ φωνῇ καὶ γλώσσῃ καὶ ἰδιοχείρῳ γραφῇ καθυπεσημήναντο; Πρὸς ταῦτα πάντως Ἰάγερος καὶ οἱ σὺν αὐτῷ πρόχειρον ἔχουσι τὴν ἀπάντησιν, λέγοντες— πλαστογράφημα Φωτίου ἡ Ἰωάννου ἐπιστολή·—πλαστογράφημα δὲ καὶ ἡ ἕκτη πρᾶξις τῆς Συνόδου ἐκείνης·—πλαστογράφημα καὶ πάντα τὰ σωζόμενα Πρακτικά.—Ἐπειδὴ δὲ πολὺν περὶ τούτου ποιοῦνται λόγον οἱ Παπισταί, Φωτίῳ τὰ ἑαυτῶν ἀποδιδόντες ἔργα, ἄξιόν ἐστιν ἐνταῦθα τὴν περὶ τούτου γνώμην τοῦ σοφοῦ Βασναγίου παραθεῖναι· ὃς ἐν ἐκτάσει Φωτίου ὑπεραπολογούμενος, καθαρὰν ἀποδεικνυσι συκοφαντίαν τῶν Παπιστῶν, ὅτι Φώτιος τὰς Ἰωάννου ἐπλαστογράφησεν ἐπιστολάς, καὶ τελευτῶν τὴν περὶ τούτου ἐξέτασιν

Digitized by Google

ιγ'. Τούτων οὕτως ἐχόντων, τῆς Ῥωμαϊκῆς Ἐκκλησίας τοῖς ἄλλοις τέσσαρσιν Ἀρχιερατικοῖς θρόνοις ὁμοφώνου τε καὶ ὁμοδόξου καθεστώσης, πῶς οἱ τοῦ Χὰμ μιμηταὶ τῶν Πατέρων αὐτῶν, ὥς φασι, τὴν ἀσχημοσύνην οὐκ ἐρυθριῶσιν ἀνακαλύπτειν, καὶ εἰς χλεύην πᾶσι προτιθέναι; Ἐχρῆν γὰρ αὐτούς, εἰ ζητοῦσι Πατέρων φωνάς, πρὸς τὰς Συνοδικὰς ἀναδραμεῖν ψήφους, πρὸς[1] τὰς τῶν Ἀρχιερέων τῆς Ῥώμης φωνὰς ἀπευθύνεσθαι, πρὸς τῶν ἄλλων ἁγίων καὶ θεοφόρων ἡμῶν Πατέρων τὸν χορὸν καταφεύγειν· ἀλλὰ μὴ ἅμα τε τινὰς Πατέρας ποιεῖν, καὶ πικρῶς τούτους ἐνδιαβάλλειν διὰ τῆς κατὰ τοῦ κοινοῦ Δεσπότου ἐπαναστάσεως, εἶτα τούτοις πάλιν ὡς γνώμονι καὶ κανόνι τῆς Πίστεως χρῆσθαι. Ἔδει δ' αὐτοὺς καὶ τοῦτο συνορᾷν, ὡς πολὺ μᾶλλον ἐξυβρίζουσιν οὓς αὐτοὺς[2] κατὰ τοῦ Δεσπότου προκομίζουσιν, ἀλλ' οὐχὶ τιμῶσιν οὓς Πατέρας ἐπιγράφονται. Ἀλλ' εἰ καὶ μηδὲν αὐτοῖς τῆς Πατρικῆς ὕβρεως μέλει, ἐχρῆν ὅμως δεδιέναι τε καὶ διευλαβεῖσθαι τὴν τοῦ κατάρξαντος τῆς πατραλοίας Θεόθεν ἐπενηνεγμένην ἀρὰν καὶ ψῆφον, καὶ μηδαμῶς τὸν ἐπάρατον μιμεῖσθαι, μηδ' ἀνακαλύπτειν μᾶλλον, ἀλλ' ἐπικαλύπτειν, εἴ πέρ τι τοῖς αὐτῶν Πατράσιν ἑώρων ἀσχημονούμενον.[3]

ιδ'. Ἀλλ' εἴθε, εἴθε[4] μηδεὶς εἴη μήτε τῆς ἐκείνου πράξεως μιμητής, μήτε ἔνοχος τῆς ἀρᾶς.[5] Ἀλλ' ἵλεως μὲν εἴη Χριστὸς ὁ Θεὸς ἡμῶν τοῖς τε τῇ τῶν πατραλοιῶν ὑποσυ-

---

λέγει· "Il est vrai qu'on remarque de la différence entre les lettres de Jean, produites par Baronius sur un regître du Vatican, et ces mêmes lettres tirées du Concile de Photius; d'où vient cette différence? Je ne le sais pas: je dirai seulement qu'il est presque incompréhensible que les Légats eussent laissé lire en leur présence de fausses lettres de leur maître. D'ailleurs ces Legats raportèrent à Rome les Actes du Concile; c'est là qu'ils se trouvent encore aujourd'hui. Comment le Pape, qui dut les lire, ne decouvrit-il point la fraude? et comment une fraude si sensible ne fut elle point reprochée à Photius et aux Orientaux, dans ces grands démêlés, que Jean VIII. et les Papes suivans eurent avec eux? La falcification s'est faite aparemment depuis le Concile par des Latins, qui étaient chagrins de la conduite de Jean VIII., comme on l'est encore aujourd hui, et qui ont tâché d'adoucir ce que le Pape avait fait; ils ont retranché la condamnation formelle du huitiéme concile, et ajoûté des éloges outrés pour le Siège de Rome (Hist. de l'Eglise, Tom. 1, p. 585—6). Καὶ ταῦτα μέν φησι περὶ τούτων οὐ τῶν ἡμετέρων τις, ἀλλὰ τῶν ἀλλοδαπῶν καὶ ἑτεροδόξων, φίλος ὅμως τῆς ἀληθείας καὶ τοῦ δικαίου, οἷοί πέρ εἰσι πάντες οἱ ἀληθεῖς Χριστιανοὶ καὶ οἱ ἀληθεῖς σοφοί· τῶν δ' ἡμετέρων ὁ μουσοστεφὴς ἰατρὸς Στ. Καραθεοδωρῆς ἔτι διὰ μακροτέρων καὶ ἰσχυροτέρων περὶ τούτου ἐπραγματεύσατο. Ἴδε "Ἐπίμετρον εἰς τὴν ἐπίκρισιν" ἐν τῷ Β' Τόμῳ τῶν Παπιστικῶν ἐλέγχων, σελ. 252 κ. ἑξ.—Ἡ δὲ Ἰωάννου ἐπιστολή, ἐν ᾗ Φώτιον παρακαλεῖ μηδαμῶς προσέχειν τοῖς διαβάλλουσιν αὐτόν, ὡς περὶ τὴν Ὀρθοδοξίαν καινοτομοῦντα, ἐν μὲν τοῖς ὑπὸ Δοσιθέου ἐκδεδομένοις Πρακτικοῖς τῆς Η' Συνόδου οὐχ εὕρηται, ἐν δὲ τοῖς ὑπὸ Ἀρδουίνου καὶ Λαββαίου, ὡς καὶ ἐν τῷ Συνοδικῷ τοῦ Βεβερινίου (Τόμ. Β', σελ. 206—7) εὕρηται· κακεῖθεν αὐτὴν καὶ ἡμεῖς παραλαβόντες, τοῖς ἐν τέλει τοῦ παρόντος τεύχους προσαρτωμένοις Πρακτικοῖς προσεθήκαμεν.

[1] Τίνος ἕνεκεν Ἰάγερος ἐνταῦθα τὴν ΠΡΟΣ εἰς ΠΕΡΙ μετέβαλε, μόνος ἐκεῖνος οἶδεν.

[2] Οὕτως οἱ ἄλλοι· Ἰάγερος δὲ—αὐτοί.

[3] Τούτοις τὰ περὶ τῶν υἱῶν τοῦ Νῶε ἀναμιμνήσκει. Γεν. Θ', 20—29.

[4] Ἐπανάληψις τῆς εὐχῆς ἐμφαντικῶς. Τοῦτο δὲ κακῶς, οἶμαι, γέγραπται παρὰ τοῖς ἄλλοις—εἴγε—ὅπερ Ἰάγερος οὐ διορθωτέον, ἀλλ' ὀβελιστέον εἶναι κακῶς ὑπέλαβεν.

[5] Δολίαν καὶ τὴν εὐχὴν ταύτην Ἰάγερος ἀποκαλεῖ, πανταχοῦ δόλον καὶ ὑπόκρισιν ἐν τοῖς Φωτίου λόγοις ὁ φιλαλήθης οὗτος καὶ εἰλικρινὴς ἄνθρωπος (!!!) ἀνευρίσκων· ἐπιφωνεῖ τοίνυν καὶ ἐνταῦθα "Voeux

Digitized by Google

ρεῖσιν ὕβρει, καὶ τοῖς κατεξαναστᾶσι τῆς αὐτοῦ νομοθεσίας καὶ φωνῆς· καὶ φιλανθρώπως μεταγάγοι τοῦ σφάλματος, καὶ καταλλαγείη τοῖς ὑβρισταῖς, καὶ πρὸς διόρθωσιν ἰδεῖν παρασκευάσοι·[1] *καὶ τῇ εὐλογίᾳ τῶν περιστειλάντων τὴν πατρικὴν ἀσχημοσύνην περιλάβοι· καὶ μηδένα τοῦ λοιποῦ παραχωρήσοι γενέσθαι βρῶμα καὶ θήραμα τοῦ ἀρχεκάκου θηρός· τῆς σῆς κεφαλῆς ἱερᾶς τοὺς ὑπὲρ τῆς ἐκείνων σωτηρίας ἀγῶνας ἀναδεχομένης, καὶ κατὰ τοῦ κοινοῦ τῆς φύσεως πολεμίου τροπαιοφορούσης, καὶ τὴν τῶν πεπλανημένων σωτηρίαν Θεῷ καρποφορούσης καὶ προσαγούσης· δι' ὧν καὶ ὁ πρὸς ἡμᾶς τῆς θείας ἀγάπης ἔρως ἄσβεστός τε καὶ ἀδιάῤῥηκτος συντηρηθείη, ἐν αὐτῷ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, πρεσβευούσης τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν, τῆς Θεοτόκου, τῶν θεοειδῶν Ἀγγέλων, καὶ πάντων τῶν Ἁγίων· Ἀμήν.*

ΕΠΙΣΤΟΛΗ ΣΤ'.—6.

ΦΩΤΙΟΥ τοῦ ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως ἐκ τῆς πρὸς Μιχαὴλ τὸν Ἄρχοντα Βουλγαρίας ἐπιστολῆς—Τί ἐστιν ἔργον Ἄρχοντος.

Σημείωσις Εἰσαγωγική.

Ἡ κατὰ πάντα λόγον θαυμαστὴ αὕτη ἐπιστολὴ γέγραπται μὲν ἐν τῇ πρώτῃ τοῦ Φωτίου Πατριαρχείᾳ πρὸ τοῦ τὰς Παπικὰς ἐκείνας ῥαδιουργίας καὶ ἑτεροδιδασκαλίας, περὶ ὧν ἐν τοῖς ἔμπροσθεν (Προλ. § λή) εἴπομεν, ἐν Βουλγαρίᾳ διαπεπράχθαι· εἰς δύο δὲ διαιρεῖται μέρη, πρῶτον μὲν τὸ δογματικόν (§ ά—κδ'), ἐν ᾧ τὰ τῆς Ὀρθοδόξου ἡμῶν πίστεως δόγματα διδάσκει τὸν Βουλγαρίας ἄρχοντα, τό τε ἱερὸν καὶ σεπτὸν Σύμβολον προτάσσων, καὶ τῶν ἑπτὰ οἰκουμενικῶν Συνόδων τὴν ἱστορίαν ἐπάγων, ἔπειτα δὲ τὸ πολιτικόν (§ κδ' μέχρι τέλους), ἐν ᾧ καθάπερ Ἰσοκράτης Νικοκλέα τὸν Κύπρου ἄρχοντα, οὕτω καὶ Φώτιος Μιχαὴλ τὸν Βουλγαρίας "Τί ἐστιν ἔργον Ἄρχοντος" ἐκδιδάσκει. Διὰ δὴ τὸ πρῶτον μέρος ἐν ταῖς

---

astucieux, tendant à faire voir que l'auteur a les intentions les plus pures." *Ἐμοὶ δὲ δοκεῖ γενέσθαι μὲν τὴν εὐχὴν ἄδολον καὶ εἰλικρινῆ, οὐ μέντοι πεπληρῶσθαι μέχρι νῦν διὰ τὴν τῶν ἐνόχων σκληροκαρδίαν· ὑπὲρ ὧν ἡ ἡμετέρα ὀρθόδοξος Ἐκκλησία οὐ διαλείπει δεομένη τοῦ Κυρίου, ὅπως ἐλεήσῃ αὐτούς, καὶ ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ Καθολικῇ καὶ Ἀποστολικῇ Ἐκκλησίᾳ· ἧς ἀφρόνως ἀπέσπασαν ἑαυτούς, τῆς τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν διδασκαλίας καὶ νομοθεσίας κατεξαναστάντες, ὡς ὀρθῶς εἶπεν ὁ εὐσεβέστατος Πατριάρχης, ὁ εἰλικρινέστατος τῆς ἀληθείας φίλος, καὶ τῶν θείων τῆς Ἐκκλησίας δογμάτων σοφώτατος ἑρμηνευτὴς καὶ γενναιότατος ὑπέρμαχος.*

[1] *Ἄμεινον μὲν καὶ ταῦτα κατ' Ἀόριστον, ὡς καὶ τὰ λοιπά, γράφειν—παρασκευάσαι, καὶ . . . . παραχωρήσαι·—Ἀλλ' ἡ τοιαύτη χρῆσις τοῦ Μέλλοντος ἀντὶ Ἀορίστου συχνοτάτη ἦν τότε, καὶ μάλιστα ἐπὶ εὐχῆς. Ὅθεν καὶ ἐν τοῖς Πρακτικοῖς τὸ μὲν Δοσιθέου ἀπόγραφον, ἐξ οὗ ἡ ἐν Τόμῳ Χαρᾶς ἐγένετο ἔκδοσις, πανταχοῦ κατὰ Μέλλοντα φέρει γεγραμμένας τοιαύτας εὐχάς· αἱ δὲ ἄλλαι ἐκδόσεις, αἱ παρὰ Ἀρδουΐνῳ καὶ Λαββαίῳ, εἰς Ἀόριστον διορθοῦσι τοὺς τοιούτους εὐκτικοὺς Μέλλοντας. Ἀλλ' ἔμοιγε δοκεῖ ἐξ ἀρχῆς ταῦτα κατὰ Μέλλοντα γεγράφθαι διὰ τὴν ἐπικρατοῦσαν τοῦ Μέλλοντος ἀντὶ Ἀορίστου χρῆσιν.—Ἴδε τὴν σημ. 2 ἐν τῇ Α' Ἐπιστολῇ.*

Digitized by Google

Δογματικαῖς καὶ τήνδε τὴν ἐπιστολὴν κατετάξαμεν, ἀδύνατον ὂν διελεῖν αὐτήν, καὶ ἐν ταῖς Παραινετικαῖς τὸ δεύτερον μετατάξαι μέρος.

Ἡ δὲ ἐπιγραφὴ "Ἐκ τῆς πρὸς Μιχαὴλ τὸν Ἄρχοντα Βουλγαρίας ἐπιστολῆς — Τί ἐστιν ἔργον Ἄρχοντος"—οὐκ αὐτοῦ Φωτίου, ὡς ὀρθῶς Μοντακούτιος ἐσημειώσατο, ἀλλὰ τῶν ἀντιγραφέων ἔργον ἐστί, τῷ δευτέρῳ μᾶλλον προσήκουσα μέρει· καὶ ἔοικεν ἐξ ἐκείνου ἐπὶ πᾶσαν μετενηνέχθαι τὴν ἐπιστολήν. Αὕτη μὲν γάρ, ὡς ἔχει, πλήρης ἐστί, καὶ οὐκ ἄν τις ὀρθῶς εἴποι μέρος εἶναι τοῦ ὅλου· ἔπειτα δὲ καὶ τὸ "Τί ἐστιν ἔργον Ἄρχοντος" οὐκ ἐν τῷ πρώτῳ, ἀλλ' ἐν τῷ δευτέρῳ ἐξετάζεται μέρει, κἀκείνου προσήκει προτετάχθαι, ὥσπερ καὶ ἐν τῷ τοῦ Ἰσοκράτους παραινετικῷ λόγῳ προτέτακται τῶν παραινέσεων—"πρῶτον μὲν οὖν σκεπτέον, τί τῶν βασιλευόντων ἔργον ἐστίν"—(πρὸς Νικ. § γ'). Διὰ δὴ ταῦτα ὀρθῶς ἄν τις ἔλοιτο τὴν Λαμβεκίου τῆς ἐπιγραφῆς διόρθωσιν, οὕτω παραινοῦντος γράφειν—"Φωτίου Πατριάρχου Κωνσταντινουπόλεως ἐπιστολὴ πρὸς Μιχαὴλ τὸν Ἄρχοντα Βουλγαρίας. Τῷ Πνευματικῷ ἡμῶν υἱῷ Μιχαὴλ Ἄρχοντι Βουλγαρίας."—(Jacobi Basnagii de Photio ejusque scriptis observatio, *ἐν τῷ* Thesaurus monumentorum Ecclesiast. Tom. II. pars II. p. 376—7).

Ὅτι μὲν οὖν τὰ πλεῖστα τῶν ἐν τῷ δευτέρῳ μέρει ἔκ τε τοῦ Ἰσοκράτους παραινετικοῦ λόγου πρὸς Νικοκλέα (ἔνια δὲ καὶ ἐκ τοῦ πρὸς Δημόνικον) καὶ ἐκ Σολομῶντος καὶ Ἰησοῦ τοῦ Σιρὰχ εἴληπται, τοῦτο καὶ ἐξ ἁπλῆς ἀντιπαραβολῆς ῥαδίως ἄν τις κατανοήσειεν· ἀλλὰ καὶ ταύτην εὑρήσει τὴν διαφοράν, ὡς οἱ μὲν ἄλλοι ἁπλῆν καὶ βραχεῖαν τῶν παραινέσεων ἑκάστην ἐξήνεγκον· Φώτιος δὲ διὰ μακρῶν πολλάκις, πῇ μὲν προκατασκευάζων τὴν παραίνεσιν, πῇ δὲ τὴν προσήκουσαν ἐπάγων αἰτιολογίαν, καὶ πολλαχοῦ παραδείγμασι πιστούμενος τὸ λεγόμενον. Ταύτῃ τοι καὶ ἡμεῖς τὰ τοῦ Ἰσοκρατείου λόγου παράλληλα χωρία, καὶ τὰ Σολομῶντος καὶ Ἰησοῦ τοῦ Σιράχ, τοῖς Φωτίου ἀντιπαρεθέμεθα· μετὰ δὲ τούτων καὶ τινα τῶν ἐν ταῖς παραινέσεσι Βασιλείου τοῦ Αὐτοκράτορος πρὸς τὸν ἑαυτοῦ υἱὸν Λέοντα, ὅπως κακείνας Φωτίου ἔργον οὔσας καταδείξωμεν, ὡς ἐν τοῖς ἔμπροσθεν (Προλ. § νέ) εἴπομεν.

Ἐκδέδοται δὲ ἡ παροῦσα ἐπιστολὴ τὸ μὲν πρῶτον ἐν τῇ Μοντακουτίου συλλογῇ τῶν Φωτίου ἐπιστολῶν, πρώτη τεταγμένη· ἔπειτα δὲ ὑπὸ Ἰακώβου Βασναγίου (ἔνθ. ἀνωτ. σελ. 382—419) καὶ ὑπὸ τοῦ ἀοιδίμου Εὐγενίου τοῦ Βουλγάρεως ἐν τῷ Ε' Τόμῳ τῶν τοῦ Θεοδωρήτου σωζομένων (σελ. 155—184)· τελευταῖον δὲ ἐν τῇ Μιγνίου Πατρολογίᾳ μετὰ τῶν ἄλλων Φωτίου ἐπιστολῶν. Οὐ μὴν ἀλλὰ καὶ Γαλλιστὶ μεθερμηνευθεῖσα ὑπὸ μοναχοῦ τινος Βερνάρδου ἐκ τοῦ τάγματος τῶν καλουμένων Θεατινῶν, ἐκδέδοται ἐν Παρισίοις (1718), *καὶ Δουδοβίκῳ τῷ ΙΕ' ἀνατέθειται, τοιάνδε φέρουσα τὴν ἐπιγραφήν·* "Maximes pour la conduite du Prince Michael, Roi de Bulgarie." *(Ἴδε Φαβρ. Ἑλλην. Βιβλ. Τόμ. ΙΒ', σελ. 348 καὶ τὴν Φωτίου βιογραφίαν ἐν τῷ Σμιθίου βιογραφ. Λεξικῷ.) Ἰδίᾳ δὲ τό πρῶτον τῆς ἐπιστολῆς ταύτης μέρος, τὸ τὴν ἱστορίαν τῶν ἑπτὰ οἰκουμενικῶν Συνόδων περιέχον, ὑπό τε Λαββαίου καὶ Ἀρδουίνου ἐν τοῖς Συνοδικοῖς περιείληπται, καὶ ἐν τῷ Συντάγματι τῶν θείων καὶ ἱερῶν κανόνων, τῷ ἐν Ἀθήναις ὑπὸ Γ. Α. Ράλλη καὶ Μ. Ποτλῆ ἐκδεδομένῳ (Τόμ. Α', σελ. 375—388).*

Καὶ τοσαῦτα μέν, ὅσα γε ἡμεῖς ἴσμεν, περὶ ἐκδόσεων τῆς παρούσης ἐπιστολῆς. Ὅτι δὲ θαυμαστόν τι χρῆμα θρησκευτικῆς τε καὶ πολιτικῆς διδασκαλίας τυγχάνει οὖσα, πολλοὶ καὶ σοφοὶ ἄνδρες ἀπεφήναντο, ἐν οἷς καὶ Σαίντ-Κρόϊος, δεῖγμα τῆς Φωτίου σοφίας μέγιστον εἶναι λέγων τήνδε τὴν ἐπιστολήν. (Examen crit. des Histor. d'Alexandre le Grand, p. 754. Sec. edit. Paris, 1810.) *Ἀλλὰ καὶ Ἰάγερος αὐτὸς τὴν ἐπιστολὴν ταύτην θαυμάζων, καὶ οἷον ὑπὸ τῆς ἀληθείας καταπιεζόμενος, εὐσεβέστατον ἀνομολογεῖ τὸν Φώτιον, ἐν οἷς λέγει·* "S'il a rendu des services à la science, il en a rendu aussi, *il ne faut pas se le dissimuler*, à l'Eglise, etc. etc." *ἅπερ ἴδε ἐν τοῖς ἔμπροσθεν "Μαρτυρίαι περὶ Φωτίου"* (σελ. 116). *Ἐν τέλει δὲ τῆς ἑαυτοῦ Ἱστορίας* (σελ. 429—430) *ἐσχάτην, οὕτως εἰπεῖν, ἀφίησι φωνὴν ὑπὲρ τῆς ἀληθείας καὶ καθ' ἑαυτοῦ, τάδε περὶ τῆς ἐπιστολῆς ταύτης λέγων·* "Le Pape Nicolas, comme nous l'avons vu, a envoyé au Roi des Bulgares une instruction tendant à le former aux principes du Christianisme, à civiliser ses peuples, et à adoucir leurs moeurs farouches. Photius s'était occupé avant le Pape du même soin dans une lettre, où il trace au Prince, avec une main sûre et un esprit juste, les devoirs des rois qui veulent s'honorer du nom de chrétien. Il commence par la foi, qu'il regarde comme le don le plus précieux du ciel, et comme la source de tout principe moral. 'Si la foi s'éteint, dit il, la morale

Digitized by Google

disparaît bientôt: ces deux choses sont étroitement enchaînées, et ne peuvent être séparées.'" *Ἐφεξῆς δὲ ἀναλύων τὴν ἐπιστολήν, ἐκπλήττεται μὲν ἐπὶ τῇ Φωτίου σοφίᾳ, λυπεῖται δέ, ὅτι ἡ φιλοδοξία παρέσυρεν αὐτὸν εἰς τὸ σχίσμα!!!*

Περὶ δὲ Μιχαὴλ τοῦ Βουλγαρίας Ἄρχοντος, πρὸς ὃν ἡ παροῦσα ἐπιστολή, σημειωτέον, ὅτι Βόγορις ἢ Βώγωρις πρότερον καλούμενος Μιχαὴλ μετωνόμασται ἐκ Μιχαὴλ τοῦ Αὐτοκράτορος, δι' οὗ τοῦ θείου ἠξιώθη βαπτίσματος, Χριστιανὸς γενόμενος. Ὅρα δὲ περὶ τούτου τὰ ἐν τοῖς ἔμπροσθεν (Προλ. § λζ' καὶ λή) εἰρημένα, καὶ Γ. Μοναχοῦ "Βίον Μιχαὴλ καὶ Θεοδώρας." Κακῶς δὲ Βαρώνιος βασιλέα Βουλγάρων ἀποκαλεῖ τὸν Μιχαήλ· οὐ γὰρ βασιλεῖς, ἀλλ' ἄρχοντας εἶχον οἱ Βούλγαροι αἱρετούς, ὧν εἷς ἐτύγχανεν ὢν καὶ ὁ Μιχαὴλ οὗτος, καὶ ἴσως τῶν ἄλλων πρῶτος, ὡς ὀρθῶς Μοντακούτιος ἐσημειώσατο, κἀν τούτῳ Βαρώνιον εὐθύνων, ὡς καὶ ἐν πολλοῖς ἄλλοις· Μοντακουτίῳ δὲ καὶ Βασνάγιος ἐν τῇ περὶ Φωτίου καὶ τῶν συγγραμμάτων αὐτοῦ διατριβῇ, ἧς ἄρτι ἐμνήσθημεν, ὁμογνωμονεῖ.

Καὶ ταῦτα μὲν εἰσαγωγικῶς προειρήσθω· νῦν δὲ ἐπὶ τὴν ἐπιστολὴν αὐτὴν γενώμεθα.

ά. Αἱ μὲν ἄλλαι χάριτες, περιφανέστατε καὶ ἠγαπημένε ἡμῶν υἱέ,[1] μικρὰς καὶ προσκαίρους, οἷς προσάγονται, τὰς ὠφελείας παρέχουσιν· ὅσαι δὲ πεφύκασι ψυχὴν βελτίονα ἀπεργάζεσθαι, πλάνης μὲν καθαίρουσαι καὶ παθῶν, τὴν αἴγλην δὲ καὶ λαμπρότητα τῶν ἀρετῶν καὶ τῆς ἀληθείας διαυγάζουσαι, αὗται δὲ ἄρα χάριτές εἰσιν ὡς ἀληθῶς, μεγάλα κέρδη καὶ ἀθάνατα ἀθανάτῳ καὶ θεοειδεῖ πράγματι χορηγοῦσαι, τῇ ψυχῇ, καὶ τὸν ἄσυλον αὐτῇ καὶ οὐράνιον ἐμπορευόμεναι πλοῦτον· ὧν ἡ τιμιωτάτη καὶ τῶν ἄλλων πρωτεύουσα χάρις ἡ πρὸς τὸ θεῖόν ἐστιν ἁπλανὴς καὶ σωτήριος χειραγωγία, ἣν πρώτη καὶ μόνη χαρίζεται τῆς καθαρᾶς καὶ ἀμωμήτου πίστεως ἡμῶν τῶν Χριστιανῶν ἡ μάθησις καὶ μυσταγωγία.

---

[1] *Οὕτω καὶ ἐν § έ ἐπιφωνεῖ αὐτῷ "ὦ καλὸν ἄγαλμα τῶν ἐμῶν πόνων·" καὶ ἐν § κ' "φιλόχρηστε καὶ πνευματικὲ ἡμῶν υἱέ, καὶ εἴ τι ἄλλο κλεινὸν καὶ καλὸν καὶ στοργῆς ἄξιον ὄνομα·" καὶ ἐν τέλει τῆς ἐπιστολῆς "ὦ τῶν ἐμῶν πνευματικῶν ὠδίνων εὐγενὲς καὶ γνήσιον γέννημα." Σαφέστατα δὲ ἃ ἐν § ιθ' λέγει· "Μὴ τοίνυν τῶν ἐλπίδων ἡμᾶς διαψευσθῆναι ποιήσῃς, ἃς ἡ σὴ περὶ τὰ καλὰ ῥοπή τε καὶ εὐη- "κοΐα παρέσχε προβάλλεσθαι· μηδὲ τοὺς πόνους καὶ τοὺς ἀγῶνας, οὓς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας "ἀνεδεξάμεθα χαίροντες, ματαίους ἐλέγξῃς, κ.τ.λ." Δῆλον οὖν ἐντεῦθεν, ὅτι Φώτιος ἦν ὁ τὸν Βουλγαρίας Ἄρχοντα εἰς τὴν Χριστιανικὴν χειραγωγήσας πίστιν. Ἐκ μέντοι τῶν Βυζαντινῶν ἱστορικῶν καὶ χρονογράφων οὐδὲν ἄν τις ἔχοι σαφὲς περὶ τούτου μαθεῖν. Ἐν μὲν γὰρ τῇ συνεχείᾳ τῆς Θεοφάνους Χρονογραφίας (σελ. 162—3) ἱστορεῖται Μιχαὴλ μετονομασθῆναι τὸν Βόγοριν "παρὰ τοῦ πρὸς ἐκεῖνον ἀποσταλέντος Ἀρχιερέως ἀπὸ τῆς βασιλίδος τῶν πόλεων·" τὰ δ' αὐτὰ καὶ Κεδρηνὸς ἐν τῇ συνόψει τῶν ἱστοριῶν (Τόμ. Β', σελ. 151—3) διὰ μακρῶν ἱστορεῖ. Συμεὼν δὲ ὁ Μάγιστρος ἐν τῇ Χρονογρ. (σελ. 665) λέγει περὶ τῶν Βουλγάρων· "Χριστιανοί τε γενέσθαι, καὶ ὑποτάσσεσθαι τῷ βασιλεῖ Ῥωμαίων ᾐτήσαντο. Ὁ δὲ βασιλεὺς τούτους ἐν τῇ πόλει ἀγαγὼν ἐβάπτισε πάντας, καὶ τὸν Ἄρχοντα αὐτῶν Μιχαὴλ ἐπωνόμασεν κ.τ.λ." Ἀλλὰ Γεώργιος ὁ Μοναχὸς (ἐν τοῖς βίοις Μιχαὴλ καὶ Θεοδώρας) τὸν μὲν Βόγοριν ἐν Βουλγαρίᾳ φησὶν ὑπὸ τοῦ Αὐτοκράτορος βαπτισθῆναι, τοὺς δὲ μεγιστᾶνας αὐτοῦ ἐν Κωνσταντινουπόλει. Ὀρθῶς οὖν Μοντακούτιος εἰκάζει Φωτίου ἀμφότερα γενέσθαι ἔργα, τήν τε τοῦ Ἀρχιερέως εἰς Βουλγαρίαν ἀποστολὴν καὶ τὴν τοῦ Βογόρεως βάπτισιν ὑπὸ τοῦ Αὐτοκράτορος· ὅθεν δὴ καὶ προσηκόντως αὐτὸν τοῖς οἰκειοτάτοις τῶν ὀνομάτων ἀποκαλεῖ. Ἴδε περὶ τούτου καὶ Μελετ. Ἐκκλ. Ἱστορ. (Τόμ. Β', σελ. 276—7) καὶ Ἀμφιλοχ. Προλεγ. (σελ. λά καὶ λβ') καὶ Εὐαγγελ. Κήρυκα (Ἔτ. Δ', σελ. 268—9).*

Digitized by Google

β'. Αὕτη γὰρ τῆς πολυμόρφου πλάνης τὸν ἄνθρωπον [ἀπαλλάττουσα, καὶ τὰ τῆς καρδίας ὄμματα τῆς ἐκεῖθεν ἀχλύος ἀποκαθαίρουσα, καθαρᾷ ψυχῆς διανοίᾳ τῷ καθαρωτάτῳ[1]] κάλλει τῆς λατρείας καθαρῶς ἐνατενίζειν παρέχεται· δι' ἧς εἰς τὴν ὑπὲρ νοῦν οὐσίαν καὶ πάντων αἰτίαν καὶ δημιουργὸν ἀναγόμενοι, τὴν ἐνοειδῆ καὶ ὑπέρθεον τῆς Τριάδος θεότητα, καθ' ὅσον ἐστὶν ἀνθρώπῳ δυνατόν, ἐνοπτριζόμεθα. Τῆς τηλικαύτης τοίνυν χάριτος καὶ δωρεᾶς τὴν ἔμφρονά σου ψυχὴν εὑρηκότες ἀξίαν (ἐρᾷν γάρ σε ἀρετῆς καὶ εὐσεβείας πεπείσμεθα), τῷ φιλουμένῳ δώρῳ καὶ μεγαλοπρεπεῖ δεξιούμεθα· ἐν ᾧ τῆς ἀχράντου καὶ καθαρᾶς ἡμῶν Πίστεως τὸ ἱερὸν καὶ θεόσοφον ἐντάξαντες μάθημα, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ Συνόδους, οἱονεὶ χάρακάς τινας καὶ περιβόλους οὔσας τοῦ θείου τούτου καὶ Ὀρθοδόξου μαθήματος, σαφεῖ τε καὶ συντόμῳ λόγῳ συμπαρατιθέμεθα· οὐδ' ὅσα βίον ἰθύνει, καὶ μαρτυρεῖ τῆς Πίστεως τὴν ὀρθότητα, παντελῶς ἀποσιγήσαντες. Ὥσπερ γὰρ τὸ πάντα κατ' ἀρχὰς πειρᾶσθαι λέγειν ἀπειρόκαλον, οὕτω καὶ τὸ μηδὲν εἰπεῖν ἀφιλόκαλον.

γ'. Δεῖ δὲ τὰς ἀρετὰς τῇ Πίστει παραπεπηγέναι, καὶ δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι. Καὶ γὰρ δογμάτων μὲν εὐθύτης πολιτείας προβάλλεται κοσμιότητα, πράξεων δὲ καθαρότης τῆς Πίστεως ἀπαγγέλλει θειότητα· ὧν ἑκάτερον χωρὶς τοῦ ἑτέρου ῥᾷον εἴωθεν ὑπορρεῖν καὶ παρασύρεσθαι, μὴ ἀνεχόμενον κατὰ μόνας ψυχαῖς ἀνθρώπων ἐγκατοικίζεσθαι.[2] Ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον· νῦν δέ σοι τὸ ἱερὸν καὶ θεόχρηστον τῆς ἱερᾶς ἡμῶν λατρείας ἀνατιθέμεθα μάθημα.

δ'. 1. Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

2. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινόν, ἐκ Θεοῦ ἀλη-

---

[1] *Αἱ ταῖς ἀγκύλαις ἐμπεριεχόμεναι λέξεις ἐλλείπουσιν ἐν τῷ Βοτλεϊανῷ χειρογράφῳ, ἐξ οὗ ἡ Μοντακ. ἔκδοσις ἐγένετο· κἀκεῖνος μὲν συντομώτερον τὸ διάκενον τοῦτο ἀναπληροῖ οὑτωσί· "Αὕτη γὰρ τῆς πολυμόρφου πλάνης τὸν ἄνθρωπον [ἐλευθερώσασα, καὶ πᾶσαν ἐκείνης ἀχλὺν ἀποσκεδάσασα δύναμιν αὐτῷ] τῷ κάλλει τῆς λατρείας καθαρῶς ἐνατενίζειν παρέχεται." Λαμβέκιος δὲ ἐξ ἑτέρου κώδηκος πληρεστέραν ποιεῖται τὴν ἀναπλήρωσιν, ἣν καὶ ἡμεῖς ἐξ ἐκείνου παρελάβομεν. (Ἴδε Φαβρ. Ἑλλην. Βιβλ. Τόμ. ΙΑ', σελ. 12).*

[2] *Ἰγνάτιος ὁ μάρτυς, ὁ μαθητὴς τῶν Ἀποστόλων καὶ Ἐπίσκοπος Ἀντιοχείας, ὁ καὶ θεοφόρος ἐπικαλούμενος (περὶ οὗ ἴδε Κ. Κοντογόνου Φιλολογ. καὶ Κριτ. Ἱστ. Τόμ. Α'. σελ. 89—116) οὑτωσὶ τὴν ἰδέαν ταύτην ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ αὐτοῦ ἐκφέρει· "Ἀρχὴ ζωῆς πίστις, τέλος δὲ ἀγάπη· τὰ "δὲ δύο ἐν ἑνότητι γενόμενα Θεοῦ ἄνθρωπον ἀποτελεῖ. Τὰ δὲ ἄλλα πάντα εἰς καλοκαγαθίαν ἀκόλουθά "ἐστιν. Οὐδεὶς πίστιν ἐπαγγελλόμενος ὀφείλει ἁμαρτάνειν, οὐδὲ ἀγάπην κεκτημένος μισεῖν τὸν ἀδελ"φόν" ἔνθα κατὰ Μοντακούτιον (ἐξ οὗ ἡ παροῦσα σημείωσις) τέλος=τελείωσις (perfectio). Ὁ δ' αὐτὸς ἱερομάρτυς Ἰγνάτιος καὶ τάδε τοῖς προειρημένοις ἐπάγει· "Οἱ ἐπαγγελλόμενοι Χριστοῦ εἶναι, οὐκ "ἐξ ὧν λέγουσι μόνον, ἀλλ' ἐξ ὧν πράττουσι, γνωρίζονται· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. "Ἄμεινόν ἐστι σιωπᾶν καὶ εἶναι, ἢ λαλεῖν καὶ μὴ εἶναι."*

Digitized by Google

θινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

3. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν,[1] καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα·

4. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα·

5. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς·

6. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν[2] τοῦ Πατρός·

7. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

8. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ[3] ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον[4] καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν.

9. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.

10. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν·

11. Προσδοκῶ ἀνάστασιν νεκρῶν,

12. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

έ. *Οὕτω τοιγαροῦν φρονῶν καὶ πιστεύων κατὰ τὴν παράδοσιν τῆς ἁγίας τοῦ Θεοῦ Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ὦ καλὸν ἄγαλμα τῶν ἐμῶν πόνων, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ Συνόδους, τὰς μὲν ὡς διδασκάλους, τὰς δὲ ὡς προμάχους τῆς εὐσεβείας, ἀποδέχου καὶ περίεπε. Δι' αὐτῶν γὰρ πᾶσα καινοτομία καὶ αἵρεσις ἀπελαύνεται· τὸ δὲ τῆς Ὀρθοδοξίας ἀκήρατον καὶ ἀρχαιοπαράδοτον φρόνημα ταῖς τῶν εὐσεβούντων ψυχαῖς εἰς ἀδίστακτον σεβασμιότητα καθιδρύνεται. Ὧν ἀπάρχομαι τὴν ἀφήγησιν, καὶ τόπον, καὶ ἀριθμὸν τοῦ πλήθους, καὶ τοὺς ἀρχηγοὺς ἑκάστης, χάριν εὐμαθείας, ταῖς οἰκείαις συννυποτυπούμενος πράξεσιν.*

στ'. *Ἡ τοίνυν πρώτη καὶ οἰκουμενικὴ ἁγία Σύνοδος ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ*

---

[1] *Παρὰ πᾶσι τοῖς ἄλλοις γέγραπται—ἐξ οὐρανῶν.*

[2] *Ὁμοίως—ἐν δεξιᾷ.*

[3] *Ὁμοίως—καί.*

[4] *Ὁμοίως—προσκυνούμενον.*

Digitized by Google

συνεκροτήθη·[1] *ὀκτωκαίδεκα δὲ καὶ τριακόσιοι,*[2] *θείων Ἀρχιερέων ὁμήγυρις, τὴν τῆς ἀληθείας κρίσιν ἐνεχειρίζοντο· ὧν ἦσαν προέχοντες, Ἀλέξανδρός τε ὁ τὸν Κωνσταντινουπόλεως Ἀρχιερατικὸν θρόνον λαχὼν διευθύνειν,*[3] *ἀνὴρ βαθείᾳ μὲν πολιᾷ, παραπλησίῳ δὲ φρονήματι σεμνυνόμενος, βίου δὲ λαμπρότητι, καὶ ὁσιότητι γνώμης, καὶ Πίστεως ἀκριβείᾳ τὴν εἰς τὸ θεῖον παῤῥησίαν πολλὴν οἰκειούμενος· καὶ δὴ καὶ Σίλβεστρος καὶ Ἰούλιος,*[4] *τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἐπίσημοί τε καὶ διαβόητοι πρόεδροι· αὐτῶν μὲν οὐδέτερος παραγεγονώς, Βίτωνα*[5] *δὲ καὶ Βικέντιον ἑκάτερος ἀνθ' ἑαυτοῦ κατὰ τὸν οἰκεῖον τῆς Ἀρχιερατείας χρόνον τῇ κοινῇ παρεῖναι συνελεύσει προβαλλόμενοι, ἀνθρώπους ἀρετὴν τιμῶντας, καὶ εἰς τὸ τοῦ Πρεσβυτερίου ἀξίωμα παραγγέλλοντας· οἷς καὶ ὁ Κορδούβης Ἐπίσκοπος συνετέτακτο· ὃς κατὰ τοὺς Ἑλληνικοὺς διωγμοὺς τὴν κλῆσιν ἐπαληθεύουσαν ἔδειξεν. Ὅσιος γὰρ ὀνομαζόμενος, ἀβέβηλον αὐτοῦ τὴν ὁμολογίαν τῆς εἰδωλικῆς λατρείας διετήρησεν.*[6] *Ὁ μέντοι Ἀλεξανδρείας Ἀλέξανδρος*[7] *αὐτός τε παρῆν, ἱεροῖς ἐνδιαπρέπων κατορθώμασιν· ἦγε δὲ συναγωνιστὴν ἑαυτῷ καὶ Ἀθανάσιον, ὃς τότε μὲν τοῦ τάγματος τῶν Διακόνων ἡγεῖτο, μετ' οὐ πολὺ δὲ καὶ τοῦ Ἀρχιερατικοῦ θρόνου κατέστη διάδοχος. Ναὶ δὴ καὶ ὁ κλεινὸς Εὐστάθιος συμπαρῆν τῆς Ἀντιοχέων Ἐκκλησίας τὸ ἐγκαλλώπισμα,*[8] *πίστεως μὲν ἐναστράπτων καθαρότητι, λόγων δὲ καὶ νοημάτων σωφροσύνῃ θαυμαζόμενος· μεθ' ὧν καὶ ὁ Ἱεροσολύμων Μακάριος, πολλαῖς ἰδέαις ἀρετῶν ἐνευθηνούμενος·*[9] *ἄλλοι τε πλεῖστοι Ἀποστολικοῖς χαρίσμασι καὶ μαρτυρικοῖς παθήμασι διαλάμ-*

---

[1] *Ἐν ἔτει 325 ἐπὶ Κωνσταντίνου τοῦ Μεγάλου.*

[2] *Οὕτω διώρθωσα τὸ παρὰ Μοντακ. καὶ Μιγνίῳ—ὀκτὼ καὶ δέκα δὲ τριακόσιοι.*

[3] *Οὗτος Πρεσβύτερος ἦν, τόπον ἐπέχων τοῦ τότε Πατριάρχου Κωνσταντινουπόλεως Μητροφάνους, διὰ γῆρας καὶ ἀσθένειαν οὐ δυναμένου παρεῖναι, ὡς αὐτὸς Φώτιος ἐν Μυριοβ. (κ. 88) φησίν· "Ἀλέξανδρον δέ, ὃς τότε Πρεσβυτέρου ἀξίωμα εἶχεν, εἰς πρόσωπον τοῦ Κωνσταντινουπόλεως Μητροφάνους παρεῖναι· ἐκεῖνος γὰρ ἐκωλύετο βαθυτάτῳ γήρᾳ, ἐπεὶ αὐτῷ ὁ χρόνος τοῦ βίου ὑπὲρ τὰ ἑκατὸν ἐξετείνετο ἔτη." Ἴδε καὶ κώδ. 256, ἔνθα πλατύτερον τὰ περὶ τῆς Συνόδου ταύτης ἱστορεῖται. Δῆλον δὲ ἐντεῦθεν οὐκ ἐῤῥῶσθαι τὸ ὑπὸ Θεοφάνους (Χρονογρ σελ. 30) ἱστορούμενον· "Ἀλέξανδρος δὲ ὁ τοῦ Βυζαντίου οὐ παρῆν ἐν τῇ Συνόδῳ διὰ γῆρας βαθύτατον καὶ ἀσθένειαν σώματος, Πρεσβύτεροι δὲ αὐτοῦ τὸν τόπον ἀνεπλήρωσαν." Ἴδε καὶ Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 331.*

[4] *Ὀρθῶς ἐνταῦθα Μοντακ. ἐσημειώσατο μόνον τὸν Πάπαν Σίλβεστρον διὰ τῶν οἰκείων ἀντιπροσώπων παρεῖναι τῇ Συνόδῳ, οὐχὶ δὲ καὶ τὸν Ἰούλιον. Οὗτος γὰρ διεδέξατο μὲν Μάρκον, τὸν μετὰ Σίλβεστρον ἓν μόνον ἔτος παπεύσαντα, οὐ μέντοι τῆς ἐν Νικαίᾳ Συνόδου ὑφεστώσης, ἀλλ' ἐν ἔτει 337. Καὶ Σωζόμενος δὲ ἐν τῇ Ἐκκλησιαστ. Ἱστορίᾳ (βιβλ. Α', κεφ. ιζ') οὐκ ὀρθῶς λέγει· "Ἰούλιος δὲ ὁ Ῥωμαίων Ἐπίσκοπος διὰ γῆρας ἀπελιμπάνετο· παρῆσαν δ' ἀντ' αὐτοῦ Βιτωτῶ (γρ. Βίτων τε) καὶ Βικέντιος, Πρεσβύτεροι τῆς αὐτῆς Ἐκκλησίας."—Ὅρα Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 331 καὶ τὸν Ἰουλίου βίον ἐν τῇ Φιλολ. καὶ Κριτ. Ἱστορ. Κ. Κοντογόνου (Τόμ. Β', σελ. 186—188).*

[5] *Βίκτωρα τοῦτον ὀνομάζει Μελέτιος (ἔνθ. ἀνωτ.) καὶ Ἰάγερος (σελ. 165).*

[6] *Ἴδε τούτου τὸν βίον ἐν τῇ Φιλολ. καὶ Κριτ. Ἱστ. Κ. Κοντογόνου (Τόμ. Β', σελ. 56—71).*

[7] *Αὐτόθι (σελ. 22—27)· τὸν δὲ Ἀθανασίου τοῦ Μεγάλου ἐν σελ. 83—164.*

[8] *Αὐτόθι (σελ. 75—83).*

[9] *Οὕτως ἐν τῷ Συντάγμ. τῶν κανόνων (Τόμ. Α' ἐν τέλει), ἀντὶ—ἐνευθυνούμενος—παρὰ τοῖς ἄλλοις.*

Digitized by Google

ποντες· ὧν Παφνούτιος[1] καὶ Σπυρίδων,[2] Ἰάκωβός[3] τε καὶ Μάξιμος, ἀγαθοῦ καὶ θαυμασίου συστήματος ἀγαθοὶ καὶ θαυμάσιοι πρωτοστάται ἐγνωρίζοντο. Ἐφ' οἷς ἅπασι καὶ ὁ Μέγας καὶ ἀξιάγαστος Κωνσταντῖνος τῆς Ῥωμαϊκῆς Ἀρχῆς ἰθύνων τὰ σκῆπτρα, διέπρεπε, τήν τε Σύνοδον ἀθροίζων, καὶ λαμπροτέραν τῇ παρουσίᾳ ἀπεργαζόμενος.[4]

ζ'. Ἀλλ' ἐκ τοσούτων μὲν καὶ τοιούτων ὁ ἱερὸς ἐκεῖνος συνίστατο σύλλογος, Ἀρειόν τινα νεωτεροποιὸν δυσσεβείας δίκας εἰσπραττόμενος, καὶ τὸ Ἀποστολικὸν καὶ θεῖον κρατύνοντες κήρυγμα. Ἦν δ' οὗτος ὁ δείλαιος ἕλκων μὲν τὸ γένος ἐκ τῆς Ἀλεξάνδρου· εἰς κλῆρον δὲ καταλεγεὶς τῆς ἐκεῖσε Ἐκκλησίας, καὶ εἰς Πρεσβυτέρου βαθμὸν ἀνελθών, πρότερον μὲν κατὰ τοῦ ἰδίου ποιμένος ὑπερήφανον ἀνέλαβε φρόνημα· ἐκεῖθεν δὲ κατὰ τοῦ κοινοῦ Ποιμένος καὶ Δεσπότου παρέτεινε τὴν ἀπόνοιαν. Τὸν γὰρ Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ (ὦ τῆς τολμηρᾶς ἐκείνης καὶ γλώττης καὶ διανοίας!) εἰς κτίσμα καὶ ποίημα κατεβίβαζεν, οὐδὲ τοῦτο συνιδεῖν ἐθέλων, κοινὸν ὑπάρχον πᾶσι καὶ αὐτοδίδακτον ὁμολόγημα, ὡς ἅπας υἱὸς τῆς αὐτῆς ἐστι τῷ γεγεννηκότι οὐσίας καὶ φύσεως· καὶ ὁ τὸν Υἱὸν τάττων ἐν κτίσμασι, καὶ τὸν Πατέρα κτίσμα προανηγόρευσεν· ὥσπερ ὁ τὸν Πατέρα δημιουργικῆς οὐσίας καὶ ἀϊδίου φύσεως εἰδώς, τῆς αὐτῆς εἶναι καὶ τὸν Υἱὸν συνανομολογήσειεν. Ποῦ δ' ἂν εἴη τὸ γνήσιον τῆς υἱότητος, ἄλλης μὲν οὐσίας τοῦ Πατρός, ἑτέρας δὲ τοῦ Υἱοῦ χρηματίζοντος; Πῶς δ' οὐ τῆς Ἑλληνικῆς πλάνης ἀνακύψει τὸ πολύθεον, εἰς ἐλάττω καὶ μείζω οὐσίαν τεμνομένης τῆς Θεότητος, καὶ τῆς μὲν εἰς πρῶτον καὶ δημιουργὸν καὶ πρεσβύτερον Θεὸν ἀφοριζομένης, τῆς δὲ εἰς δεύτερον Θεὸν διακρινομένης καὶ ὑπουργὸν καὶ νεώτερον; Ταῦτα γὰρ τῆς τοῦ Ἀρείου πονηρᾶς σπορᾶς τὰ γεννήματα. Ἀλλὰ τοῦτον μέν, ὡς χείλη βλάσφημα κατὰ τοῦ πεποιηκότος ὁπλισάμενον, τῆς ἱερωσύνης ὁ ἱερὸς ἀπεγύμνωσεν ὅμιλος· τὴν δὲ δυσσεβεστάτην καὶ θεομάχον αὐτοῦ αἵρεσιν τῷ ἀναθέματι καθυπέβαλεν· ὁμοούσιον δὲ καὶ ὁμοφυῆ καὶ συναΐδιον τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ τῷ γεγεννηκότι Πατρί, καὶ τῆς αὐτῆς ἐξουσίας καὶ κυριότητος, ὡς οἱ θεῖοι χρησμοὶ καὶ τῶν εὐσεβούντων τὰ κοινὰ δόγματα, ἱερολογήσαντες διετράνωσαν· καλῶς εἰδότες, ὅτι, ὥσπερ τὸ εἰς ἓν συγκλείειν πρόσωπον τὴν Τριαδικὴν μοναρχίαν καὶ κυριότητα Ἰουδαϊκόν ἐστι καὶ μισόχριστον, οὕτω καὶ τὸ κατατέμνειν εἰς ἀνίσους φύσεις καὶ ἀνομοίους οὐσίας τὴν ὑπερούσιον καὶ ὑπερφυῆ καὶ ἑνιαίαν Θεότητα Ἑλληνικὸν ὑπάρχει καὶ πολύθεον. Ἀλλ' ἐν τούτοις μὲν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη Σύνοδος.

---

[1] Τούτου τὸν δεξιὸν ὀφθαλμὸν ἐξώρυξε, καὶ τὴν λαιὰν ἐνευροκόπησεν ὁ μισόχριστος Μαξιμιανός, ὥς φησι Φώτιος ἐν Μυριοβ. (κ. 256) καὶ Κ. Κοντογόνης ἔνθ. ἀνωτ. σελ. 497.

[2] Οὕτως ἐν τῷ Συντάγμ. τῶν κανόνων· παρὰ δὲ τοῖς ἄλλοις κακῶς γέγραπται—Σπυριδίων·—ἔστι γὰρ Σπυρίδων ὁ τῆς ἐν Κύπρῳ Τριμυθοῦντος Ἐπίσκοπος, περὶ οὗ ἴδε Φωτίου Μυριόβ. (ἔνθ. ἀνωτ.) καὶ Μελετ. Ἐκκλ. Ἱστ. (ἔνθ. ἀνωτ.).

[3] Οὗτός ἐστιν Ἰάκωβος ὁ ἐπικαλούμενος σοφὸς διὰ τὴν πολλὴν αὐτοῦ παιδείαν, τήν τε Ἐκκλησιαστικὴν καὶ τὴν θύραθεν. Ἴδε τὸν βίον αὐτοῦ παρὰ Κοντογόνῃ (ἔνθ. ἀνωτ, σελ. 71—75).

[4] Ὅρα τὰ περὶ τούτου εἰς πλάτος ἱστορούμενα ὑπὸ Εὐσεβ. τοῦ Παμφίλου ἐν βίῳ Κωνσταντίνου (Λόγ. Γ'), καὶ Φωτίου Μυριόβ. (ἔνθ. ἀνωτ.).

Digitized by Google

ή. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ δευτέρα Σύνοδος τῶν μὲν ἱερῶν φροντισμάτων τὴν βασιλίδα πόλιν ἱερὸν ἐδείκνυ φροντιστήριον·[1] εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας ἱεροὺς συνηγείρετο· ἐξάρχους ἔχουσα Τιμόθεόν τε τὸν Ἀλεξανδρείας[2] καὶ τὸν ἀξιοθαύμαστον τῆς Ἀντιοχείας Μελέτιον,[3] Κύριλλόν τε τὸν Ἱεροσολύμων,[4] τοὺς Ἱεραρχικοὺς θρόνους ἰθύνοντας· καὶ δὴ καὶ Νεκτάριον,[5] ὃς ἄρτι τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθείς, καὶ τῷ θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς ἤδη τὸ καθαρώτατον τῆς Ἱεραρχίας ἀξίωμα περιβάλλεται, ψήφῳ μὲν κοινῇ τῆς Συνόδου, χειροθεσίᾳ δὲ τῶν προκρίτων, καὶ ἅμα τε τῆς βασιλευούσης Ἐπίσκοπος, καὶ τῆς Συνόδου ἐχρημάτιζεν Ἔξαρχος· μεθ' ὧν Γρηγόριος ὅ τε τῆς ἐν Καππαδοκίᾳ Νύσσης Ἐπίσκοπος,[6] καὶ ὁ τῆς Θεολογίας ἐξ ἔργων ἐπώνυμος·[7] οἷς, οὐ πολὺς χρόνος, καὶ Δάμασος[8] ὁ τῆς Ῥώμης τὰ αὐτὰ κρατύνων ἐγνωρίζετο, σύμφωνος τοῖς προλαβοῦσι καθιστάμενος.[9]

---

[1] Αὕτη συνῆλθεν ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου ἐν ἔτει 381.—Ὅρα δὲ τὰ περὶ τῆς Συνόδου ταύτης παρὰ Μελετίῳ (Τόμ. Α', σελ. 411—413) καὶ παρὰ Ζωναρᾷ καὶ Βαλσαμῶνι ἐν τῷ Συντάγματι τῶν Κανόνων ὑπὸ Γ. Α. Ῥάλη καὶ Μ. Ποτλῆ (Τόμ. Β', σελ. 163—169).

[2] Οὐκ ὀρθῶς φησὶ Μοντακούτιος μὴ παρεῖναι τῇ Συνόδῳ ταύτῃ τὸν Ἀλεξανδρείας Τιμόθεον· καὶ ὅρα περὶ τούτου Σωκρ. Ἐκκλ. Ἱστ. βιβλ. Ε', κεφ. ή. καὶ Κ. Κοντογόνου Φιλολ. καὶ Κριτ. Ἱστ. (Τόμ. Β', σελ. 611—615)· ἔτι δὲ καὶ Μελετ. Τόμ. Α', σελ 411.

[3] Ὅρα τούτου τὸν βίον παρὰ Κοντογ. ἔνθ. ἀνωτ. σελ. 310—313.

[4] Αὐτόθι· σελ. 216—265.

[5] Αὐτόθι· σελ. 704—706. Ἔπιθι δὲ καὶ τὰ ἐν τῇ Γ' Φωτίου Ἐπιστολῇ (§ ζ') περὶ Νεκταρίου εἰρημένα.

[6] Τούτῳ ἀνετέθη ὑπὸ τῆς Συνόδου ἡ τοῦ Συμβόλου συμπλήρωσις. Ὅρα τὸν βίον αὐτοῦ παρὰ Κοντογόνῃ (ἔνθ. ἀνωτ. σελ. 425—456) καὶ παρὰ Μελετίῳ (Τόμ. Α', σελ, 397).

[7] Γρηγόριος ὁ Θεολόγος παρῆν μὲν ἐν τῇ Β' Συνόδῳ, οὐ μὴν παρέμεινε μέχρι τοῦ τέλους αὐτῆς· ἀλλὰ διὰ τὸν κατ' αὐτοῦ ἐξεγερθέντα σάλον ὑπὸ τῶν ἐξ Αἰγύπτου καὶ Μακεδονίας Ἐπισκόπων, τὴν τῆς Ἐκκλησίας εἰρήνην περὶ πολλοῦ ποιούμενος, παρῃτήσατο τὸν θρόνον, ὅπως τῆς φίλης αὐτῷ ἡσυχίας καὶ τῆς ἐρημικῆς ἀπολαύῃ ζωῆς. Τότε δὴ παρελθὼν εἰς μέσον τῆς Συνόδου τοὺς θαυμαστοὺς ἐκείνους εἶπε λόγους. "Ἄνδρες συμποιμένες τῆς ἱερᾶς ποίμνης Χριστοῦ· αἰσχρὸν μὲν [ἂν] εἴη καὶ παντελῶς οὐχ ὑμῶν, εἰ τοὺς "ἄλλους εἰρήνην παιδεύοντες, αὐτοὶ πρὸς ἀλλήλους πόλεμον ἤρασθε. Πῶς δ' ἂν ὁμονοεῖν ἑτέρους πείσοιτε, "αὐτοὶ ὄντες περὶ τὰ δοκοῦντα ἀσύμφωνοι; Ἀλλ' ἱκετεύω ὑμᾶς, πρὸς τῆς Τριάδος αὐτῆς, καλῶς τε καὶ "εἰρηνικῶς διαθέσθαι τὰ πρὸς ἀλλήλους. Εἰ δέ τι ὑμῖν ἐγὼ τῆς διαστάσεως αἴτιος, οὐκ εἰμὶ σεμνότερος "Ἰωνᾶ τοῦ Προφήτου· βάλετέ με εἰς τὴν θάλασσαν, καὶ παύσεται ἀφ' ὑμῶν ὁ κλύδων τῶν ταραχῶν. "Αἱροῦμαι παθεῖν ὅ,τι ἂν βούλησθε, καίπερ ἀθῶος ὤν. Τῆς ὑμῶν ἕνεκεν ὁμονοίας θρόνου ἐξώσατε, πόλεως "ἀπελάσατε· μόνον τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην, ὡς ὁ Ζαχαρίας φησίν, ἀγαπήσατε. Ἐρρώσθε, ἱεροὶ "ποιμένες, καὶ τῶν ἐμῶν πόνων μνημονεύοντες μὴ ἀπολήξητε." Ταῦτα εἰπών, καὶ πάντας ἀσπασάμενος, ἀπῆλθεν ὁ θεῖος Πατὴρ εἰς Καισάρειαν, κἀκεῖθεν εἰς Ναζιανζόν. Τότε τοίνυν ψήφῳ τῆς Συνόδου προχειρίζεται Κωνσταντινουπόλεως Ἐπίσκοπος ὁ Νεκτάριος, ἐκ λαϊκοῦ εἰς τὸ τῆς Ἀρχιερωσύνης ἀναβὰς ἀξίωμα, περὶ οὗ καὶ ἄρτι εἴρηται.—Ὅρα τὰ περὶ Γρηγορίου ἔν τε τῇ Κ. Κοντογόνου Ἱστ. (Τόμ. Β', σελ. 532—601) καὶ παρὰ Σωζομ. (Ζ', 5 κ. ἑξ.)· καὶ ἐν τῇ Θεοφ. Χρονογρ. (Τόμ. Α', σελ. 107—8)· ἔτι δὲ καὶ ἐν τῇ Συνόψει τῶν ἱστοριῶν ὑπὸ Κεδρηνοῦ (Τόμ. Α', σελ. 553—5).

[8] Καὶ τούτου τὸν βίον ἴδε παρὰ Κοντογόνῃ (ἔνθ. ἀνωτ. σελ. 350—354).

[9] Δάμασος ὁ Ῥώμης οὔτε αὐτὸς οὔτε διὰ τοποτηρητῶν τῇ ἐν Κωνσταντινουπ. Β' οἰκουμ. Συνόδῳ παρε-

Digitized by Google

θ'. Οὗτος δὴ οὖν ὁ ἱεροφάντης χορὸς Μα
θρόνον ἅρπαγμα πάλαι ποιησάμενον,[1] ὅτι τὸ παναγιον
Πνεῦμα, εὐθύνας ἐδικαίου δοῦναι. Ὡς γὰρ Ἄρειος κατὰ τοῦ Υἱοῦ,
τοῦ παναγίου παραττόμενος Πνεύματος, εἰς δούλους καὶ ὑπηρέτας τὴν Δεσ
ὑπερκειμένην αὐτοῦ συνέπτατε κυριότητα. Καίτοι ῥᾷον ἦν, εἴπερ ἐβούλετο, τῷ αὐλ
συνορᾷν, ὅτι, καθάπερ οἱ τὸν Υἱὸν εἰς κτίσμα τάττοντες, τὴν ὕβριν οὐδὲν ἧττον προσά-
πτουσι τῷ Πατρί, οὕτω καὶ οἱ τὸ πανάγιον αὐτοῦ Πνεῦμα τοῖς ποιήμασιν ἐναριθμοῦντες
τὴν ἴσην καὶ ὁμοίαν βλασφημίαν ἀφιᾶσι[3] κατ' αὐτοῦ. Εἰ γὰρ τὸ Πνεῦμα κτίσμα
κἀκεῖνος, οὗ τὸ Πνεῦμα, μετὰ τῶν κτισμάτων. Εἰ δὲ καὶ ἀκοαῖς ἀφόρητον ἡ τῆ
ἀθεότητος ταύτης ὑπερβολή, πῶς οὐ συνῆκεν ὁ ταλαίπωρος ἐκεῖνο φεύγειν, δι' οὗ πρ
τούτους ἀνάγκη πεσεῖν τοὺς θεομάχους λογισμούς; Ἀθετεῖς τὸ Πνεῦμα εἶναι Θε
Πῶς ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ, καὶ οὐδὲν κρύφιον ἀπ' αὐτοῦ;[4] Πῶς ἐστιν ἄλλος
ῥάκλητος; Πῶς συντάττεται Πατρὶ καὶ Υἱῷ; Πορευθέντες γάρ, αὐτός φησιν ὁ
μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ
καὶ τοῦ ἁγίου Πνεύματος.[5] Εἰ ἕν τι τῶν τριῶν κτίσμα, ἐν οἷς φωτιζόμεθα, οὐδὲ
πὰ καθαρεύσει τῆς ὕβρεως. Ἀλλ' εἰ κτίσμα, πῶς κτίζει; πῶς ἁγιάζει;[6] πῶς ζω
πῶς διαιρεῖ χαρίσματα; πῶς δὲ Θεός; Ἀλλὰ τούτων οὐδὲν ἐκεῖνος ὁ φρενοβλ
νοῦν βαλόμενος, τῆς μοναρχικῆς αὐτὸ καὶ μιᾶς ἀδιαιρέτου θεότητος διασπᾷν [
μα[7]] ἐτόλμα καὶ ἀπεθρασύνετο. Δι' ὃ καὶ τῆς ἀσεβείας ἐπάξια εἴληφε

γένετο· τὰ μέντοι δεδογμένα τῇ Συνόδῳ ἐκείνῃ ἀπεδέξατο, καὶ παρὰ πάντα τὸν βίον αὐτοῦ
ξατο ζῆλον ὑπὲρ τῆς Ἀποστολικῆς διδασκαλίας καὶ τῶν δεδογμένων τῇ ἐν Νικαίᾳ Συ
Ἐκκλ. Ἱστ. βιβλ. Ε', κεφ β', καὶ Σωζομ. ΣΤ', 23). Καὶ γράφων πρὸς τοὺς ἐν τῇ Ἀνατολ
τάδε ὁ ἱερὸς ἔλεγε Δάμασος· « Jam non semel formula edidimus, ut qui se Christian
illud teneat, quod ab Apostolis traditum est; quippe divinitus Paulus sic loquitur.
evagelizaverit praeter id quod accepistis, anathema sit.'" (Damasi Papæ Epist. VII.—
etc. Tom. XIII.)· τοῦτ' ἔστιν· « Πολλάκις ἤδη κανόνα ἐκδεδώκαμεν, ἵνα ὁ γινώσκων
ἐκεῖνο φυλάττῃ, ὃ παρὰ τῶν Ἀποστόλων παραδέδοται, ἄτε δὴ τοῦ θείου Παύλου λέγο
εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.'" Οἷαν δήπου καὶ ὅσην εὕροι τι
εἰ τοὺς λόγους τούτους καὶ τὰ ἔργα τοῦ ἱεροῦ Δαμάσου πρὸς τὰ τῶν διαδόχων αὐτοῦ πα

1 Ἴδε περὶ Μακεδονίου Σωκρ. Ἐκκλ. Ἱστ. (βιβλ. Β', κεφ. 16, 27 καὶ 45)· ἔτι
(Τόμ. Α', σελ. 347 καὶ 356).

2 Ἐκ διορθ. Μουτακ. ἀντὶ—ἐδυσφήμει.

3 Οὕτω παρὰ Μιγνίῳ. Μουτακ. δὲ—ἀφίασι.

4 Ἡ μὲν ῥῆσις ἐκ τοῦ Παύλου· « Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τ
κεφ. Β', 10)· ἡ δὲ γραφὴ ἐκ διορθώσεως τῶν ἐκδοτῶν τοῦ Συντάγμ. τῶν κανόν
παρὰ τοῖς ἄλλοις ἐχούσης—ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ κρύφιον ἀπ' αὐτοῦ—ὅπερ
παρῆνει διορθοῦν « κρύφων ἀπ' αὐτοῦ."

5 Ματθ. ΚΗ', 19.

6 Οὐκ ὀρθῶς εἰκάζει Μουτακ. γραπτέον εἶναι—ἁγνίζει.

7 Ἐκ διορθ. Βασναγίου, ᾗ καὶ Μίγνιος ἐχρήσατο, ἡ προσθήκη τῶν δύ
τῶν κανόνων ἐκδόται οὐ προσέθηκαν.

Digitized by Google

ρα,[1] αὐτός τε ἀφαιρέσει τῆς ἱερωσύνης ζημιωθείς, καὶ πάντες ὅσοι τῆς αὐτοῦ θεομαχίας τὸ ἀνίατον παρεζήλωσαν. Καὶ ὡς ἐκεῖνος τὸ πανάγιον Πνεῦμα τῆς Τριαδικῆς μιᾶς θεότητός τε καὶ κυριότητος ἀλλοτριοῦν ἐφρυάττετο, οὕτως αὐτὸν ἡ ἁγία καὶ οἰκουμ. Σύνοδος καὶ τῆς ἱερωσύνης καὶ τῆς τῶν πιστῶν μερίδος καὶ συναυλίας οἷα δεύτερον ἠλλοτρίωσεν Ἄρειον· τὸ δὲ πανάγιον καὶ ζωαρχικὸν Πνεῦμα, ἅτε δὴ ὁμοφυὲς καὶ ὁμοούσιον, ἰσοσθενές τε καὶ παντοδύναμον, τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυνεῖσθαι καὶ συνδοξολογεῖσθαι, κατὰ τὰς Πατρικάς τε καὶ Θεολογικὰς φωνάς, ἀνεκήρυξαν, ἐκθερίσαντες τέλεον καὶ εἴ τι τῆς Ἀρειανῆς σπορᾶς ζιζάνιον ὑπεφύετο. Τηνικαῦτα δὲ τὰς τῆς βασιλείας ἡνίας ὁ μέγας ὡς ἀληθῶς καὶ μεγάλης εὐφημίας ἄξιος περιεζώννυτο Θεοδόσιος, πρόμαχος καὶ αὐτὸς τῆς εὐσεβείας γνωριζόμενος. Ἀλλ' ἐν τούτοις μὲν καὶ αὕτη ἡ ἁγία Σύνοδος.

ί. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τρίτη Σύνοδος ἐν μὲν τῇ κατὰ τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη, εἰς διακοσίους δὲ ἐπληθύνετο·[2] ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο Κύριλλός τε ὁ ἐν Πατράσι περιώνυμος, ὃς δι' ἀρετὴν καὶ σοφίας πλοῦτον τῆς Ἀλεξάνδρου μεγαλοπόλεως ἰθύνων τὸν θρόνον, καὶ τοῦ Ῥώμης Κελεστίνου τὴν καθέδραν ἀνεπλήρου καὶ τὸ πρόσωπον·[3] μεθ' ὧν καὶ Μέμνων, ὁ τῆς Ἐφεσίων Ἐκκλησίας ἐμπεπιστευμένος τοὺς οἴακας· καὶ δὴ καὶ ὁ τῶν Ἱεροσολύμων Ἰουβενάλιος· οἵτινες σὺν παντὶ τῷ τῆς Συνόδου πληρώματι τὸν δυσσεβῆ Νεστόριον, ὧν ἠσέβει δίκας εἰσεπράττοντο. Ὃς ἐκ τῆς Ἀντιόχου, τῆς πρὸς τῷ Ὀρόντῃ,[4] ὁρμώμενος, τὸν Κωνσταντινουπόλεως θρόνον οὐκ εὐαγῶς ἐγκεχείριστο·[5]

---

[1] Σπάνιον εἶναι καὶ ἀμφίβολον λέγουσιν οἱ Λεξικογράφοι τὸ ἐπιχείριον· συχνότατον δὲ τὸ ἐπίχειρον πληθυντικῶς· τούτῳ δὲ καὶ οἱ τοῦ Συντάγμ. τῶν κανόνων ἐκδόται ἐχρήσαντο, γράψαντες—ἐπίχειρα.

[2] Αὕτη ἐν ἔτει 431 ἐγένετο ἐπὶ Θεοδοσίου τοῦ Μικροῦ, υἱοῦ μὲν καὶ διαδόχου τοῦ Ἀρκαδίου, υἱωνοῦ δὲ Θεοδοσίου τοῦ Μεγάλου. Τὰ περὶ τῆς Συνόδου ταύτης ἴδε ἐν Εὐαγρ. Ἐκκλ. Ἱστ. βιβλ. Α', κεφ. 2 κ. ἑξ. καὶ παρὰ Μελετίῳ Τόμ. Β', σελ. 32—33· ἔτι δὲ καὶ ἐν τῷ Συντ. τῶν κανόνων, Τόμ. Β', σελ. 192—194.

[3] Ἀμφότεροι, ὅ τε Κύριλλος καὶ ὁ Κελεστῖνος, σφοδρῶς κατὰ τῆς Νεστορίου αἱρέσεως ἠγωνίσαντο. Καὶ πρῶτον μὲν γράφοντες αὐτῷ πείθειν ἐπειρῶντο τῆς πλάνης ἀποστῆναι· ὡς δ' οὐκ ἔπειθον, Σύνοδον τοπικὴν συνεκάλεσαν, ὁ μὲν ἐν Ἀλεξανδρείᾳ, Κελεστῖνος δ' ἐν Ῥώμῃ· καὶ αὖθις ἑκατέρωθεν διὰ γραμμάτων Συνοδικῶν σωφρονίσαι τὸν ἄφρονα Νεστόριον ἐπειράθησαν. Ἀλλ' οὐδὲν ἀνύσαντες, τέλος αὐτὸν διὰ τῆς ἐν Ἐφέσῳ οἰκουμενικῆς Συνόδου τῆς τε ἱερωσύνης ἀπεγύμνωσαν, καὶ τῷ αἰωνίῳ παρέπεμψαν ἀναθέματι.—Ἴδε Εὐάγρ. ἔνθ. ἀνωτ. καὶ Θεοφ. Χρονογρ. Τόμ. Α', σελ. 137—142· καὶ Μελέτιον ἔνθ. ἀνωτ. σελ. 25—27.

[4] Αὕτη ἐστὶν ἡ καὶ ἄλλως καλουμένη "Ἀντιόχεια ἡ ἐπὶ Δάφνῃ," ἡ περίφημος τῶν Σελευκιδῶν καθέδρα, ἐπὶ δὲ Ἰουστινιανοῦ καὶ Θεόπολις ἐπικληθεῖσα. Πολλαὶ δὲ πόλεις ἀρχαῖαι τὸ ὄνομα τοῦτο φέρουσιν, ἐν αἷς ἦσαν ἐπισημότεραι πέντε, ἡ ἐπὶ Μαιάνδρῳ—ἡ ἐν τῇ Μαργιανῇ—ἡ ἐν Μυγδονίᾳ—ἡ ἐν Συρίᾳ (αὕτη δὴ ἡ πρὸς τῷ Ὀρόντῃ, ἢ ἡ ἐπὶ Δάφνῃ)—καὶ ἡ πρὸς Πισιδίᾳ (Στράβων).

[5] Τούτοις παρατίθει ἃ καὶ Σωκράτης περὶ Νεστορίου ἱστορεῖ (βιβλ. Β', κεφ. 29 κ. ἑξ.), καὶ Εὐάγριος ἔνθ. ἀνωτ. ὃς καὶ ἀποκαλεῖ τὸν Νεστόριον—θεομάχον γλῶσσαν, τὸ Καϊάφα δεύτερον συνέδριον, τὸ τῆς βλασφημίας ἐργαστήριον—Ἴδε καὶ Μελέτιον ἔνθ. ἀνωτ.

Digitized by Google

ἀλλ' ὅ γε ταλαίπωρος οὗτος ἐκ τῶν Διοδώρου[1] καὶ Θεοδώρου[2] θολερῶν τῆς ἀσεβ[illegible]ας ἐκροφήσας ναμάτων, καὶ εἰς φρενῶν μέθην ἐμπεσών, ἀπηχεῖς καὶ ἐκτόπους φωνὰς ἐπὶ λύμῃ τοῦ ποιμνίου πολλῶν ἀκοαῖς ἐναπηρεύξατο. Χριστὸν γὰρ τὸν ἕνα Θεοῦ Υἱόν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ὃς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὸς ἡμῖν παραπλησίως κοινωνήσας καὶ αἵματος, καὶ εἰς ἑαυτὸν τὸ ἡμέτερον ὑποστησάμενος φύραμα, εἷς ἐκ δύο ἐχρημάτισε τῶν ἐναντίων, Θεὸς ὁ αὐτὸς· ὑπάρχων καὶ ἄνθρωπος· εἷς Χριστός, εἷς Υἱός, ὁ αὐτὸς ἄνω ἐκ Πατρὸς ἀμήτωρ, καὶ κάτω ἐκ μητρὸς ἀπάτωρ· ὁ αὐτὸς καὶ οὐκ ἄλλος· ἓν πρόσωπον, μία ὑπόστασις· τοῦτον δὴ τὸν ἕνα Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν εἰς δύο τέμνειν καὶ διαιρεῖν ὑποστάσεις ὁ τρισάθλιος ἐκεῖνος οὐ πεφρικώς, τὸν μὲν ψιλὸν ἄνθρωπον, καὶ χωρὶς τοῦ προσλαβόντος Λόγου, κατ' ἰδίαν ὑπόστασιν ἔπλαττε, τὸν δὲ Θεὸν ἀνὰ μέρος, καὶ γυμνὸν τοῦ προσλήμματος· ὥσπερ δεδοικὼς ὁ ἀνόητος, μή τι Θεὸς πάθοι, τὸ οἰκεῖον πλάσμα δι' ἄφατον φιλανθρωπίαν εἰς θεραπείαν καὶ ἀνάπλασιν ὑποδυόμενος· οὐδὲ τοῦτο συνιδών, ὡς οἷς τὴν ἀνθρωπίνην φύσιν τῆς τοῦ Λόγου ἐδίχαζεν ὑποστάσεως, ἀνίατον αὐτὴν καὶ ἀθεράπευτον ἀνεκήρυττε, καὶ τῆς ἰδίας ἔξαρνος σωτηρίας ἐγίγνετο. Ἀλλὰ γὰρ τοὺς λογισμοὺς[3] ὅλως ἐκ τούτων διαστραφείς, οὐδὲ τὴν αὐτοῦ κατὰ σάρκα μητέρα, τὴν παναγίαν Παρθένον, τὴν κυρίως καὶ ἀληθῶς τὸν Θεὸν Λόγον σεσαρκωμένον τεκοῦσαν, οὐδὲ ταύτην καλεῖν θεοτόκον ἠνέσχετο· ἀλλ' ὥσπερ τὸν Υἱὸν ἀπεστέρει τῆς θεότητος, οὕτως ἠλλοτρίου καὶ τὴν γεννησαμένην τῆς Θεοτόκου κλήσεως.

ιά. Δι' ὃ τοῦτον ἀξίως τῆς τηλικαύτης ἀπονοίας καὶ τῆς βλασφήμου γλώσσης τῶν μακαρίων Πατέρων[4] ὁ σύλλογος πάσης τε ἱερωσύνης ἐγύμνωσε, καὶ σὺν τῷ οἰκείῳ καὶ βδελυρωτάτῳ φρονήματι τῷ αἰωνίῳ παρέπεμψαν ἀναθέματι. Τὸν δὲ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει πατροπαραδότως καὶ ὁσιοπρεπῶς προσκυνεῖσθαι καὶ κηρύττεσθαι δογματίσαντες, ἀκολούθως καὶ τὴν πανάχραντον αὐτοῦ καὶ ἀειπάρθενον μητέρα κυρίως καὶ ἀληθῶς καλεῖσθαι καὶ ἀνευφημεῖσθαι Θεοτόκον παραδεδώκασιν· οἷς γὰρ τὸν Θεὸν Λόγον σαρκὶ γεννηθῆναι καταδεξάμενον τέτοκε, Θεοτόκος ἐνδίκως δοξολογεῖσθαι καὶ ὀνομάζεσθαι ἐξωσίωται. Ἀλλ' ἐπὶ τούτοις μὲν καὶ αὖτη τὸ

---

[1] *Οὗτός ἐστι Διόδωρος ὁ Ταρσεύς, ἡ Ἐπίσκοπος Ταρσοῦ, διάσημος ἐπὶ παιδείᾳ καὶ εὐσεβείᾳ, ὃς καὶ ἐν τῇ Β' οἰκουμ. Συνόδῳ τὸν Νεκτάριον ἐχειροτόνησε, καὶ τοῦ θείου Χρυσοστόμου διδάσκαλος γενέσθαι λέγεται. Ἴδε τὸν βίον αὐτοῦ ἐν τῇ Φιλολ. καὶ Κριτ. Ἱστορίᾳ Κ. Κοντογόνου (Τόμ. Β', σελ. 528—532) καὶ Φωτίου Μυριόβ. κ. 223. Διὰ τί δὲ μετὰ θάνατον αἱρετικὸς ἐκρίθη εἶναι ὁ Διόδωρος, ὡς τῶν συγγραμμάτων αὐτοῦ ἀφορμὴν παρασχόντων Νεστορίῳ τῆς ἀνοήτου ἐκείνης αἱρέσεως, ἴδε Φωτίου Μυριόβ. κ.* 102 *καὶ Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α, σελ.* 419.

[2] *Οὗτός ἐστι Θεόδωρος ὁ Μοψουεστίας, οὗ καὶ ἀνωτέρω (Ἐπιστ. Α') ἐμνήσθη. Ἐκαλεῖτο δὲ καὶ Θεόδωρος Ἀντιοχεύς, περὶ οὗ ἴδε Φωτίου Μυριόβ. κ.* 18 *καὶ* 38, *ἔτι δὲ καὶ Μελέτιον ἔνθ. ἀνωτ.*

[3] *Μοντακ. γραπτέον εἶναι οἴεται—ὡς καὶ τοὺς λογισμούς· ἀλλ' οὐδὲν δεῖ τοιαύτης προσθήκης, ἔμοιγε δοκεῖν.*

[4] *Οὕτως ὀρθότερον ἔγραψαν οἱ τοῦ Συντάγμ. τῶν κανόνων ἐκδόται, ἢ πάντες οἱ ἄλλοι, γράψαντες— Πατρῶν. οὐ γὰρ συνήθης τοῖς πεζογράφοις ὁ ποιητικὸς οὗτος σχηματισμὸς τῆς Γεν. πατέρων.*

Digitized by Google

τέλος ἔσχηκεν, ἡνίκα τὸν νέον Θεοδόσιον ἡ Ῥωμαϊκὴ πολιτεία γαληνοῖς ἑώρα ὀφθαλμοῖς τὴν πατρῴαν καὶ βασίλειον Ἀρχὴν ἐκ τριγονίας διανύοντα.

ιβ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τετάρτη Σύνοδος[1] τὸν ἐν βασιλεῦσιν εὐσεβέστατον Μαρκιανὸν συμπαρόντα καὶ συμπνέοντα ἔχουσα, τῶν ἀληθινῶν μὲν δογμάτων ἀκροατήριον ἀνιέρου τὴν Χαλκηδόνα, πόλιν Βιθυνίας οὖσαν ἐπίσημον· ἐν τριάκοντα δὲ καὶ ἑξακοσίοις τὸν ἀριθμὸν ἐξετείνετο. Ἧς λογάδες ἐχρημάτιζον Ἀνατόλιός τε ὁ τῆς βασιλίδος πόλεως τοὺς ἱεραρχικοὺς θεσμοὺς ἐγκεχειρισμένος·[2] καὶ δὴ Πασχασῖνός τε καὶ Λουκίνσιος, Ἐπισκοπικῷ διαπρέποντες ἀξιώματι, σὺν Βονιφατίῳ Πρεσβυτέρῳ, τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου Πάπα Ῥώμης, οὗ κλέος μέγα καὶ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος·[3] μεθ' ὧν Μάξιμός τε ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος. Οἵτινες Εὐτυχῆ τε τὸν δυστυχῆ,[4] καὶ τὸν προασπιστὴν αὐτοῦ τὸν ἀλαζόνα Διόσκορον δυσσεβημάτων εἰσπράξεις[5] ἀπῄτησαν. Καὶ γὰρ καὶ οὗτοι τὴν ἐκ διαμέτρου Νεστορίῳ πλάνην οἰκειωσάμενοι, εἰς τὴν ὁμοίαν ἐκείνῳ ἐξέπεσον ἀθλιότητα. Τὸν γὰρ ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐκ θεότητος καὶ ἀνθρωπότητος γνωριζόμενον, καὶ ἐν ταύταις ταῖς δυσὶ προσκυνούμενον φύσεσιν, εἰς μίαν φύσιν τολμηρῶς καὶ ἀφρόνως ἀνεκίρνων καὶ συνέχεον· ἐξ ὧν τῆς τε πατρικῆς οὐσίας ἑτερόφυλον, καὶ τοῖς ἀνθρώποις ἑτεροφυᾶ, οὐ συνίεσαν οἱ δείλαιοι συμπεραίνοντες. Εἰ γὰρ μία ἡ τοῦ Χριστοῦ φύσις, ἡ θεία πάντως, ἡ ἀνθρωπίνη ἔσται. Ἀλλ' εἰ μὲν μόνη θεία, ποῦ τὸ ἀνθρώπινον; εἰ δὲ ἀνθρωπίνη,[6] πῶς οὐκ ἔξαρνοι τῆς θεότητος; εἰ δ' ἕτερόν τι παρὰ ταῦτα (τοῦτο γὰρ ὑπολείπεται, καὶ πρὸς τοῦτο μᾶλλον αὐτῶν νεύει τὸ φρόνημα), πῶς οὐχ ἑτεροφυὴς αὐτοῖς ὁ Χριστὸς καὶ τοῦ Πατρὸς καὶ ἡμῶν ἀναπλασθήσεται; Οὗ τί ἂν δυσεβέστερον ἢ ἀφρονέστερον; ἄνθρωπον γενέσθαι φάσκειν τὸν τοῦ Θεοῦ Λόγον καὶ Θεόν, ἐπί τε φθορᾷ τῆς ἰδίας θεότητος, καὶ ἐπὶ ἀναιρέσει τῆς προσληφθείσης ἀνθρωπότητος; τοῦτο γὰρ ἕπεται πάντως τοῖς μηδετέρας φύσεως, ἀλλ' ἑτέρας παρὰ ταύτας, τὸν Χριστὸν εἰπεῖν ἐκτολμήσασιν.

ιγ'. Δι' ὃ καὶ τῆς τοσαύτης δυσσεβείας οἱ τῶν Χριστομάχων τούτων δογμάτων εἰσηγηταὶ ἀξίαν τὴν δίκην δεδωκότες, ἀφῃρέθησάν τε τῆς ἱερωσύνης, καὶ ἀπὸ πάσης τῆς Ἐκ-

---

[1] Αὕτη ἐγένετο ἐν ἔτει 451 ἐπὶ Αὐτοκράτορος Μαρκιανοῦ, τοῦ Θεοδόσιον τὸν μικρὸν διαδεξαμένου. Ὅρα περί τε Μαρκιανοῦ καὶ τῆς Συνόδου ταύτης Εὐάγριον (βιβλ. Β', κεφ. ά—έ), Θεοφ. Χρονογρ. Τόμ. Α', σελ. 160—164 καὶ Μελέτιον ἐν Τόμῳ Β', σελ. 39 καὶ 43—45.

[2] Ἐκ διορθ. Μοντακ. ἀντὶ—ἐγκεχρισμένος.

[3] Ἴδε τὰ περὶ τούτου ἐν τοῖς ἔμπροσθεν εἰρημένα Φωτίῳ (Ἐπιστ. Ε', § β').

[4] Ὁ μὲν Εὐτυχὴς μοναχὸς ἦν ἐκ Κωνσταντινουπόλεως· ὁ δὲ Διόσκορος Ἐπίσκοπος ἦν Ἀλεξανδρείας, τὸν ἱερὸν ὁ ἀνίερος διαδεξάμενος Κύριλλον. Μελέτ. ἔνθ. ἀνωτ. σελ. 22 καὶ 27—29. Μόσχειμ, Τόμ. Α', σελ. 490—2 τῆς Ἀγγλ. μεταφρ. ὑπὸ J. Murdock, 1841).

[5] Οὕτω καλῶς διώρθωσαν οἱ τοῦ Συντάγμ. τῶν κανόνων ἐκδόται τὸ παρὰ τοῖς ἄλλοις διεσταλμένως—εἰς πράξεις.

[6] Ὀρθῶς εἰκάζει Μοντακ. προσθετέον εἶναι κἀνταῦθα τὸ ἐπίθετον "μόνη," ὡς ὑπάρχει καὶ ἐν τῷ ἀντιθέτῳ κώλῳ, "εἰ μὲν μόνη θεία."

Digitized by Google

κλησίας γεγόνασιν ἀνάθεμα, συναπελαθείσης αὐτοῖς καὶ τῆς Χριστομάχου αἱρέσεως· τὸ δὲ ὀρθὸν καὶ ἀπαράτρωτον τῆς Ὀρθοδοξίας φρόνημα ἔτι μᾶλλον ταῖς Γραφικαῖς τε καὶ Πατρικαῖς μαρτυρίαις ἀνεκηρύχθη καὶ διελαμψεν· ἕνα τὸν Χριστόν, ἤτοι μίαν αὐτοῦ τὴν ὑπόστασιν, καὶ δύο τὰς φύσεις, θεότητα καὶ ἀνθρωπότητα, ἀσυγχύτως καὶ ἀδιαιρέτως ἐνθεωρουμένας, τῶν τρισμακαρίστων Ἀρχιερέων περιφανῶς θεολογησάντων, καὶ παραδεδωκότων ἀδιστάκτως ὁμολογεῖν καὶ κηρύσσειν εἰς πάντα τῆς οἰκουμένης τὰ πέρατα. Δῆλον δὲ κἀντεῦθεν, ὡς δι' ὧν μὲν χωλοῖς αἱ βάσεις ὠρθοῦντο, καὶ τυφλοῖς τὸ πάθος εἰς ὀμμάτων βλάστην ὑπεφύετο, νεκροί τε τῶν πυλῶν ἀνεσπῶντο τοῦ ᾅδου, καὶ πρὸς τὸ ζῆν μετετάττοντο, αἵ τε ἄλλαι θεοσημεῖαι, ἃς οὐ ῥᾴδιον ἀριθμεῖν, ἐπετελοῦντο καὶ ἐπεδείκνυντο, τῆς θείας φύσεως ἐναργῶς παρεδηλοῦτο τὸ ἀξίωμα· δι' ὧν δὲ κόπους καὶ πόνους, καὶ δίψαν καὶ πεῖναν,[1] καὶ τὰ τούτοις ὑφίστατο συγγενῆ καὶ παραπλήσια, τῆς ἀνθρωπίνης οὐσίας ἐτρανοῦτο τὸ ἰδίωμα. Ὧν τὰ μὲν θεοπρεπῶς, τὰ δὲ ἀνθρωποπρεπῶς, ὁ αὐτὸς Χριστός, ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ἐπιτελέσας καὶ διαπραξάμενος, μίαν μὲν αὐτοῦ[2] καὶ ἐνιαίαν τὴν ὑπόστασιν, δύο δὲ καὶ διαφερούσας τὰς φύσεις, ἐν ἀσυγχύτῳ ἑνώσει, σαφῶς τε καὶ ἀναντιῤῥήτῳ λόγῳ παρέστησε καὶ ἐπιστώσατο· Ἀλλ' ἐν τούτοις καὶ τὰ τῆς τετάρτης Συνόδου,

ιδ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ πέμπτη Σύνοδος,[3] τέμενος μὲν ἱερὸν αὐτῇ ἡ Κωνσταντίνου μεγαλόπολις ἀφιέρωτο,[4] πέντε δὲ καὶ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων Πατέρων παρουσίᾳ καὶ συνδρομῇ ἐκρατύνετο· ὧν ἡγοῦντο καὶ προέλαμπον Μηνᾶς μὲν τὴν ἀρχήν,[5] εἶτα δὲ καὶ Εὐτύχιος, τῆς αὐτῆς βασιλίδος ἐκ διαδοχῆς τοὺς Ἀρχιερατικοὺς πηδαλιουχήσαντες οἴακας· καὶ Βιγίλιος ὁ τῆς Ῥώμης τὴν ἱερὰν λαχὼν ἐφορίαν, παρὼν μὲν τῇ πόλει, οὐ παρὼν δὲ τῇ Συνόδῳ· ὅς, εἰ καὶ μὴ πρόθυμος εἰς τὴν συνδρομὴν τῆς ἱερᾶς ὁμηγύρεως κατέστη, ἀλλ' οὐδὲν ἔλαττον ὅμως τὴν κοινὴν τῶν Πατέρων πίστιν ἐπεκύρου λιβέλλῳ.[6] Σὺν οἷς Ἀπολιναρίός τε ὁ Ἀλεξανδρείας, καὶ Δόμνος ὁ Ἀντιοχείας, τῷ Ἀρχιερατικῷ ἀξιώματι κεκοσμημένοι· καὶ δὴ καὶ Δίδυμος καὶ Εὐάγριος, Εὐστοχίου τοῦ Ἱεροσολύμων Ἀρχιερέως τὸν τόπον ἀναπληροῦντες. Τηνικαῦτα δὲ καὶ Ἰουστινιανὸς ὁ κράτιστος ἐν βασιλεῦσι[7] τῆς Ῥωμαϊκῆς Ἀρχῆς τὰς φροντίδας ἐχείριζε, καὶ τῷ Ἐκκλησιαστικῷ συν-

---

[1] Οὕτω Μοντακούτιος· Κομβεφίσιος δὲ καὶ Μίγνιος—πεῖναν, καὶ πενίαν—ἔγραψαν.

[2] Ἀντὶ—αὐτοῦ—παρὰ τοῖς ἄλλοις ἅπασιν.

[3] Αὕτη ἐν ἔτει 553 ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου συνεκροτήθη. Ἔπιθι Εὐάγριον (βιβλ. Δ', κεφ. λή) καὶ Μελέτιον (Τόμ. Β', σελ. 105—8). Κανόνας δὲ ἡ Σύνοδος αὕτη οὐκ ἐξέδωκεν· ἀλλ' ἐν ὀκτὼ συνεδριάσεσι τὰ ὑπὸ Φωτίου ἐκτιθέμενα διαπραξαμένη διελύθη. Ἴδε Ζωναρᾶν καὶ Βαλσαμῶνα ἐν τῷ Συντάγμ. τῶν κανόνων (Τόμ. Β', σελ. 292).

[4] Ὅθεν καὶ καλεῖται Β' ἐν Κωνσταντινουπόλει. Σημειοῦ δὲ τοῦ σχήματος τὸ ἀνακόλουθον ἐν τῇ περιόδῳ ταύτῃ.

[5] Ἐτελεύτησε γάρ, ἔτι τῆς Συνόδου συνεστώσης, καὶ διεδέξατο αὐτὸν Εὐτύχιος.—Ἴδε Εὐάγριον ἔνθ. ἀνωτ. κεφ. λστ'.

[6] Δι' ἣν δ' αἰτίαν ἠρνήσατο Βιγίλιος προσελθεῖν τῇ Συνόδῳ Μελέτιος λέγει (ἔνθ. ἀνωτ.).

[7] Περὶ Ἰουστινιανοῦ καὶ τῶν ἔργων αὐτοῦ ἔπιθι Προκόπιον καὶ Ἀγαθίαν, ἐν ἐκτάσει τὰ κατ' αὐτὸν

Digitized by Google

εφώνει φρονήματι. Αὕτη τοιγαροῦν ἡ ἁγία καὶ οἰκουμενικὴ Σύνοδος Νεστορίου πάλιν τὰ μιαρὰ παραφυόμενα δόγματα[1] εἰς τὸ παντελὲς ἐξεθέρισεν, ἅμα αὐτῷ ἐκείνῳ[2] τῷ σπορεῖ τῶν ζιζανίων. Μεθ' ὃν Θεόδωρον καὶ Διόδωρον·[3] ὧν ὁ μὲν Ταρσοῦ πόλεως, ὁ δὲ Μοψουεστίας ἐπεσκόπησεν. Οἱ Νεστορίου πρότερον τὴν τοιαύτην ὠδίνοντες αἵρεσιν, καὶ ἔγγραφον ἀπολελοίπασι, τῆς νόθου διανοίας τὰ νόθα καὶ ἔκφυλα κυήματα. Ἔτι δὲ κατεδίκασε καὶ ἀνεθεμάτισεν Ὠριγένην,[4] Δίδυμον,[5] Εὐάγριον, παλαιὰ τῶν πιστῶν ἀῤῥωστήματα, ἄνδρας τὴν Ἑλληνικὴν μυθολογίαν ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρεισενεγκεῖν φιλονεικήσαντας. Προϋπάρχειν τε γὰρ οὗτοι τὰς ψυχὰς τῶν σωμάτων ἐληρῴδουν, καὶ πολλὰ σώματα τὴν αὐτὴν μετενδύεσθαι· δόγμα μιαρὸν καὶ κατάπτυστον, καὶ μόνων ὡς ἀληθῶς ἐκείνων τῶν ψυχῶν ἄξιον. Καὶ τέλος δὲ τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο· ἄλλη τοῦτο παράκλησις πρὸς ἁμαρτίαν πᾶσαν καὶ ἀπώλειαν. Καὶ τοῖς πονηροῖς δαίμοσι τὸ ἀρχαῖον ἀξίωμα ἐχαρίζοντο, ἐπαναδραμεῖν αὐτοὺς εἰς τὴν ἄνωθεν δόξαν, ἐξ ἧς ἐξέπεσον, ἀναπλάττοντες. Ἔτι δὲ οὐδὲ τὰ σώματα ταῖς ψυχαῖς ἐβούλοντο συνανίστασθαι· γυμνὰς δὲ αὐτὰς σωμάτων ἀνιστῶσιν· οὐκ οἶδ' ὅ,τι καὶ καλοῦντες ἀνάστασιν, εἴπερ τοῦ πεπτωκότος καὶ θανόντος ἡ ἀνάστασις, οὐχὶ δὲ τοῦ ἀεὶ ἑστῶτος καὶ ἐν ἀφθαρσίᾳ διαμένοντος, οἷόν πέρ ἐστιν ἡ ψυχή· οὐδὲ τοῦτο δυσωπηθέντες οἱ ἄθλιοι, ἡλίκον οἷον ἀδίκημα, δι' ὧν ληροῦσι, τοῦ δικαίου κριτοῦ κατηγοροῦσιν. Πῶς γὰρ οὐκ ἐσχάτην ἀδικίαν αὐτοῦ καταμαρτυροῦσι, τὰ μὲν συναθλήσαντα σώματα ταῖς ψυχαῖς ἐν[6] τοῖς κατ' ἀρετὴν πόνοις τῶν κοινῶν ἐπάθλων ἀποστερεῖν αὐτὸν βλασφημοῦντες, τὰ δ' αὖ πάλιν συνεξαμαρτόντα τῆς κοινῆς αἰτίας καὶ πράξεως ἀνεπιτίμητα καταλιμπάνειν, μόνας δὲ τὰς ψυ-

---

ἱστοροῦντας· ἔτι δὲ καὶ Θεοφ. Χρονογρ. Τόμ. Α', σελ. 267—372, ἀλλὰ καὶ Μελέτιον (Τόμ. Β', σελ. 84 κ. ἑξ.).

[1] Ἴδε ταῦτα ἐν τοῖς ἔμπροσθεν (§ ι').

[2] Τοῦτο Μοντακ. κατὰ Γεν. γράφειν προείλετο "ἐκείνων," τῷ οὐσιαστικῷ "ζιζανίων" τὴν Ἀντωνυμ. συνάπτων. Ἀλλ' ἐμοὶ δοκεῖ οὐδεμιᾶς δεῖσθαι μεταβολῆς τὴν ἐν τῷ χειρογράφῳ γραφὴν "αὐτῷ ἐκείνῳ," ἐπὶ τὸ ἐμφαντικώτερον παρατεθειμένων τῶν Ἀντωνυμιῶν. Κατὰ γὰρ τὴν Μοντακουτίου γνώμην προσῆκε μᾶλλον εἰπεῖν "αὐτῷ τῷ σπορεῖ τῶν ζιζανίων ἐκείνων." Διὰ τοῦτο ἀμετάβλητος κἀμοὶ τετήρηται ἡ γραφή, ὥσπερ καὶ τοῖς τοῦ Συντάγμ. τῶν κανόνων ἐκδόταις, τῶν ἄλλων ἁπάντων κατὰ Μοντακούτιον γράφειν προελομένων.

[3] Καὶ περὶ τούτων ἀνωτέρω (§ ι') εἴρηται τὰ προσήκοντα.

[4] Τούτου πολλαχοῦ τῆς Μυριοβίβλου μέμνηται Φώτιος, μάλιστα δ' ἐν κώδ. 118· ἐν ἐκτάσει δὲ τὰ περὶ αὐτοῦ ἰδεῖν ἐστιν ἐν τῷ πολλάκις μνημονευθέντι πολυτίμῳ συγγράμματι τοῦ Καθηγητοῦ Κ. Κοντογόνου (Τόμ. Α', σελ. 399—462), ἔνθα τὰ περὶ τῶν συγγραμμάτων τοῦ Ὠριγένους ἀκριβῶς ὁ σεβάσμιος συγγραφεὺς ἐκθέμενος, καὶ τὴν προσήκουσαν ἀποδοὺς τιμὴν τῷ μεγάλῳ τούτῳ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας Διδασκάλῳ, ἐν τέλει καὶ τὰς "Ὠριγένους κακοδοξίας" ἐκτίθησιν, ὅσα δῆλον ὅτι μέρη τῶν συγγραμμάτων αὐτοῦ ἡ Ἐκκλησία δικαίως κατέκρινεν, ἐφ' οἷς καὶ Συνοδικῶς αὐτὸν ἀνεθεμάτισεν.

[5] Καὶ τούτου τὸν βίον ἴδε αὐτόθι (Τόμ. Β', σελ. 511—520).

[6] Ἐκ διορθ. τῶν τοῦ Συντάγμ. τῶν κανόνων ἐκδοτῶν ἡ προσθήκη τῆς προθέσεως, οὐχ ὑπαρχούσης παρὰ τοῖς ἄλλοις.

Digitized by Google

χάς, χωρὶς τῶν συνδιαπραξαμένων σωμάτων, ἢ διπλῆν εἰσπράττειν τιμωρίαν, ἢ διπλῆς ἀξιοῦν μισθαποδοσίας;

ιέ. Οὐ μόνον δὲ τὰς τοιαύτας[1] τῶν δυσφημιῶν ὁ ἱερὸς οὗτος τῶν Πατέρων χορὸς ἀπεκήρυξεν, ἀλλὰ καὶ πρός γε τούτοις, οὐ πολλῷ ἔμπροσθεν χρόνῳ, καθεῖλε καὶ ἀνεθεμάτισεν Ἀνθιμόν τε τὸν Τραπεζούντιον,[2] τὸ Εὐτυχοῦς ὑποθάλποντα φρόνημα, καὶ Σεβῆρον,[3] Πέτρον τε τὸν Ἀπαμείας καὶ Ζωόραν,[4] καὶ πᾶσαν τὴν πονηρὰν ἐκείνην καὶ πολυκέφαλον διασπορὰν καὶ συμμορίαν· Ἀγαπητοῦ μὲν μάλιστα τοῦ Ῥώμης τῆς εὐαγοῦς προκατάρξαντος πράξεως, συμψήφων δὲ καὶ συνεργῶν ἀναφανέντων τῶν περιωνύμων Ἀρχιερέων· ὧν ὁ μὲν Εὐφραίμιος ὁ κλεινός (τῆς Ἀντιόχου δὲ οὗτος), τῶν Ἱεροσολύμων δὲ Πέτρος ὁ ἱερὸς ἐπετρόπευεν. Τούτους οὖν ἅπαντας τὸ θεῖον τῶν Ἀρχιερέων συνάθροισμα ἐκκηρύξαντές τε καὶ ἀποβαλόμενοι τὰ ἀπλανῆ καὶ θεῖα τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἐκράτυνάν τε καὶ ἐπεκύρωσαν δόγματα. Καὶ τὰ μὲν τῆς οἰκουμενικῆς πέμπτης Συνόδου ἐν τούτοις.

ιστ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἕκτη Σύνοδος[5] ἐν τῇ βασιλίδι μὲν τῶν πόλεων καὶ αὐτὴ τῶν μυστικῶν τῆς ἀληθείας θεαμάτων τὸ ἱερὸν ἐπήγνυτο θέατρον, ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόροις ἀνδράσι τὸν ἀγῶνα ὑποδυομένοις λαμπρῶς νικῶσαν ἀπεδείκνυ τὴν εὐσέβειαν. Ταύτης ἀρχηγοὶ καὶ τῶν ἄλλων προνομεύειν ἐκρίνοντο ἄξιοι, Γεώργιός τε, ᾧ τῆς βασιλίδος πόλεως ὁ Ἀρχιερατικὸς θεσμὸς ὑπῆρχεν ἐγκεχειρισμένος, καὶ Θεόδωρος, καὶ Γεώργιος,[6] ἐν Πρεσβυτέρων ἀξιώματι κατειλεγμένοι, ἅμα Διακόνῳ Ἰωάννῃ, οἳ ἀντὶ

---

[1] Οὕτω διώρθωσα τὸ παρὰ Μοντακ. καὶ Μιγν. κακῶς γεγραμμένον "τὰ τοιαῦτα τῶν δυσφημιῶν" ἐν δὲ τῷ Συντάγμ. τῶν κανόνων φέρεται "ταύτας τὰς δυσφημίας."

[2] Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 100.

[3] Αὐτ. σελ. 73—75.

[4] Μέμνηται τούτου καὶ ἐν Μυριοβ. (κ. 18).

[5] Αὕτη ἐπὶ τοῦ Αὐτοκράτορος Κωνσταντίνου τοῦ Πωγωνάτου ἐν ἔτει 680 συνῆλθεν. Ὅρα δὲ περί τε τοῦ Αὐτοκράτορος τούτου καὶ τῆς Συνόδου Θεοφ. Χρονογρ. Τόμ. Α', σελ. 537—9. Γ. Κεδρ. Τόμ. Α', σελ. 768 καὶ 766—9. Μελέτιον ἔνθ. ἀνωτ. σελ. 181 καὶ 186—195.—Κανόνες δὲ καὶ ἐν ταύτῃ, ὡς καὶ ἐν τῇ προλαβούσῃ Β' ἐν Κωνσταντινουπόλει, οὐκ ἐγράφησαν· ἀλλ' ἐν τῇ καλουμένῃ Πενθέκτῃ, τῇ ἐν ἔτει 594 ἐπὶ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου, υἱοῦ καὶ διαδόχου Κωνστ. τοῦ Πωγωνάτου, συνελθούσῃ, καὶ ἐκ 227 Ἐπισκόπων συγκειμένῃ, ἐγράφησαν κανόνες 102. Διὸ καὶ Πενθέκτη ἡ Σύνοδος ἐκείνη ἐπωνόμασται, ὡς τῆς πέμπτης καὶ ἕκτης τὸ ἔργον συμπληρώσασα· οὐ μέντοι Σύνοδος ἰδία νομίζεται, ἀλλ' οἷον τῶν πρὸ ταύτης γενομένων δύο συνέχεια. Μέγιστον δὲ τὸ κατὰ τῆς Συνόδου ταύτης μῖσος τῶν Λατίνων διὰ τρεῖς τῶν κανόνων αὐτῆς, ἐν οἷς καινοτομίαι τινὲς τῆς φιλοκαίνου ἐν Ῥώμῃ Ἐκκλησίας ἐξελέγχονται, καὶ αἱ ὑπὸ τῶν προτέρων Συνόδων τῷ τῆς Κωνσταντινουπ. θρόνῳ ἀπονεμηθεῖσαι τιμαὶ αὖθις ἐπικυροῦνται.—Ἴδε τὰ περὶ τούτων ἐν τῇ Μελετ. Ἱστ. ἔνθ. ἀνωτ. σελ. 203—4 καὶ ἐν τῷ Συντάγμ. τῶν καν. Τόμ Β', σελ. 293—5· ἔτι δὲ καὶ τὰς ἑρμηνείας τοῦ Ζωναρᾶ καὶ Βαλσαμῶνος εἰς τοὺς κανόνας ιγ', λστ' καὶ νέ.

[6] Μοντακούτιος μὲν πρὸς διάκρισιν ἀπὸ τοῦ προειρημένου Γεωργίου γραπτέον εἶναι εἰκάζει "καὶ Γεώργιος ἄλλος." Ἀλλὰ περιττὴ πάντως ἡ τοιαύτη προσθήκη, ἅτε τῇ παραθέσει τῶν οἰκείων ἑκάστου σωμάτων γινομένης τῆς διακρίσεως.

Digitized by Google

Ἀγάθωνος τοῦ ἁγιωτάτου Πάπα Ῥώμης εἰς τὴν τῶν Ἐξάρχων τάξιν ἠριθμοῦντο· καὶ τοῦ τῆς Ἀλεξάνδρου δὲ μεγαλοπόλεως θρόνου Πέτρος Μοναχὸς τὸν τόπον ἀνεπλήρου·[1] μεθ' ὧν καὶ Γεώργιος Μοναχὸς καὶ Πρεσβύτερος εἰς τὸν βαθμὸν τῆς Ἀρχιερατικῆς τῶν Ἱεροσολύμων παρήγγελλε καθέδρας.[2] Οὗτοι δὲ σὺν τοῖς ἄλλοις ἱεροῖς καὶ ἁγίοις Πατράσι, Σέργιον, Πύῤῥον, Παῦλον, Κωνσταντινουπόλεως κατάρξαντας, καὶ Ὀνώριον Ῥώμης, Κῦρον τε Ἀλεξανδρείας, καὶ Θεόδωρον τὸν τῆς Φαράν, τὴν ἀλληλόπλοκον τοῦ ψεύδους σειρὰν διαῤῥήξαντες[3] (οὐ μὴν ἀλλὰ καὶ Μακάριον Ἀντιοχείας, ἅμα Στεφάνῳ τῆς αἱρέσεως μαθητῇ, σὺν γέροντι τινι ἀθλίῳ, τοὔνομα Πολυχρονίῳ,[4] ἐπιπλακέντας αὐτοῖς, καὶ τῆς ἐκείνων δυσσεβείας ὑπερμαχεῖν μελετήσαντας) ὑπὸ δικαίαν καταδίκην ἐποιήσαντο· ὅτι μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ ἐκ δύο πεφυκότος φύσεων, δυσσεβεῖ καὶ ἀλόγῳ φρονήματι ἐτόλμησαν ἀποφήνασθαι· μηδὲ τοῦτο λογισμοῖς ἀναλαβόντες οἱ ἀσύνετοι, ῥᾴδιον ὂν καὶ πρόχειρον εἰς κατάληψιν, ὡς οὐκ ἔστι τῆς αὐτῆς ἐνεργείας χωλὸν κατ' ἐξουσίαν ὀρθῶσαι, καὶ κόπους ὁδοιπορίας μετέρχεσθαι· οὐδὲ τυφλοὺς ὀμματῶσαι, καὶ γῆν σιάλῳ δακτύλων ἔργοις φυράσαι, καὶ πηλὸν ποιῆσαι, καὶ ἐπιβαλεῖν τοῖς ὄμμασιν· οὐδὲ νεκρὸν ἀναστῆσαι, καὶ δακρύειν ἐπὶ τελευτήσαντι· οὐ μὴν οὐδὲ τῆς αὐτῆς ἐστι θελήσεως παρελθεῖν αἰτεῖσθαι[5] τὸ ποτήριον τοῦ θανάτου, καὶ δόξαν αὐτὸ καλεῖν πάλιν, καὶ βούλεσθαι τὸ ἀθέλητον. Ἀλλὰ πῶς οὐχὶ συνῄσθοντο διὰ τούτων καὶ τῶν φύσεων τὴν διαφορὰν ἐξαρνούμενοι; Πᾶσα γὰρ φύσις πηγὴ ἐνεργείας, καὶ ταῖς διαφόροις ἐνεργείαις αἱ φυσικαὶ θελήσεις συνδιασχίζονται. Καὶ εἰ, κατὰ τὴν ἐν αὐτοῖς πλάνην, ἡ ἐνέργεια καὶ ἡ θέλησις μία, καὶ ἡ φύσις πάντως, ἐξ ἧς ταῦτα, μία· εἰ δὲ δύο

---

[1] Οὐκ ὀρθῶς δοκεῖ μοι Μοντακούτιος ἐλέγχειν Φώτιον, ὅτι, χηρεύοντος τηνικαῦτα τοῦ θρόνου Ἀλεξανδρείας, τοποτηρητὴν τοῦ Ἐπισκόπου ὠνόμασε Πέτρον τὸν Μοναχόν, δέον εἰπεῖν "τῆς Ἐκκλησίας." Οὐ γὰρ τοῦ Ἐπισκόπου, ὡς μὴ ὑπάρχοντος τότε, ἀλλὰ τοῦ θρόνου τοποτηρητὴν ἀποκαλεῖ τὸν Πέτρον· ὅπερ ὁ Κεδρηνὸς (ἔνθ. ἀνωτ.) εἶπε "τῆς διοικήσεως Ἀλεξανδρείας·" περιληπτικὴ δὲ ἡ ἔννοια τοῦ "θρόνος."

[2] Ὁ δὲ Κεδρηνὸς (ἔνθ. ἀνωτ. σελ. 767) λέγει· "τῆς δὲ Ἱεροσολύμων οὐδείς, διὰ τὸ τοὺς θρόνους χηρεύειν Πατριαρχῶν, κατασχεθέντας τηνικαῦτα ὑπὸ Σαρακηνῶν." Ἄπορον δὲ τὸ τοῦ Φωτίου, ὡς καὶ Μοντακούτιος ἐσημειώσατο, ὅτι Θεοφάνους τοῦ Ἀντιοχείας, παρόντος ἐν τῇ Συνόδῳ ταύτῃ, οὐ μέμνηται. Ἐγένετο δὲ ὁ Θεοφάνης οὗτος τοῦ Μακαρίου διάδοχος, ὑπ' αὐτῆς ψηφισθεὶς τῆς Συνόδου, διὰ τὸ τὸν Μακάριον καθαιρεθῆναι τότε, ὡς τοῖς ὑπ' αὐτῆς ὀρθοδόξως δογματιζομένοις ἀντενεχθέντα· δι' ὃ καὶ Μελέτιος ἱστορεῖ αὐτὸν παρεῖναι τὸν Μακάριον τῇ Συνόδῳ ταύτῃ· Θεοφάνους δὲ οὐ μέμνηται, εἰ καί φησιν ἀλλαχοῦ (σελ. 171) διάδοχον γενέσθαι τοῦ Μακαρίου.

[3] Ταύτην προειλόμην τὴν γραφὴν ἀντὶ τῆς κατ' Αἰτιατ.—διαῤῥήξαντας—ὡς Μοντακ. εἰκάζει γραπτέον εἶναι, καὶ οἱ τοῦ Συντάγμ. τῶν καν. ἐκδόται ἔγραψαν· συναπτέα γάρ ἐστιν ἡ μετοχὴ αὕτη πρὸς τὸ τῆς προτάσεως ὑποκείμενον "οὗτοι δέ," ἀλλ' οὐ πρὸς τὸ ἀντικείμενον· οἱ μὲν γὰρ αἱρετικοὶ οὐδεμίαν διεῤῥῆξαν τοῦ ψεύδους σειράν· οἱ δὲ τῆς Συνόδου Πατέρες ἐξελέγξαντες ἐκείνων τὴν πλάνην διεῤῥῆξαν τὴν ἀλληλόπλοκον τοῦ ψεύδους σειράν. Τὴν δὲ παρένθεσιν σαφηνείας χάριν προσέθηκα, συνδοκοῦν καὶ Μοντακουτίῳ.

[4] Ὁ κρονόληρος οὗτος γέρων ἄλλα τε ἑτερατολόγει, καὶ δὴ καὶ νεκροὺς ἀναστήσειν ἐπηγγέλλετο. Ἱστορεῖται δὲ περὶ τούτου ἐν τῇ ἀνωνύμῳ συνόψει τῶν ἓξ οἰκουμ. Συνόδων τάδε· "Σὺν αὐτοῖς δὲ καὶ "Πολυχρόνιον τὸν νηπιόφρονα γέροντα, τοὺς νεκροὺς ἐγεῖραι ἐν τῇ τοιαύτῃ πλάνῃ τῆς αἱρέσεως μεγαλο- "φρονήσαντα, ἀδείας τε τυχόντα, καὶ ἐν τῷ μὴ ἐγεῖραι μειζόνως τὴν βλασφημίαν τῆς τοιαύτης αἱρέσεως "θριαμβεύσαντα." Ἴδε περὶ τούτου καὶ Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 190.

[5] Ἐν τῷ Συντάγμ. τῶν καν. γέγραπται μονολεκτικῶς—παραιτεῖσθαι.

Digitized by Google

αἱ φύσεις (οὔπω γὰρ εἰς τοῦτο μανίας ἐξώκειλαν, ἐν ὀφθαλμοῖς ἔχοντες τὴν διασπορὰν τῶν καταρξάντων καὶ ἀπώλειαν), πῶς οὐχὶ ἑκατέρα πηγάσει τὴν οἰκείαν ἐνέργειαν καὶ τὴν θέλησιν; Ἀλλ' οὗτοι μὲν τῆς ἰδίας αὐτῶν[1] καὶ δυσφήμου δόξης οὐδὲν προτιμήσαντες, σὺν αὐτῇ ἐκείνῃ τῷ αἰωνίῳ κατεδικάσθησαν ἀναθέματι· δύο δὲ θελήσεις φυσικάς, καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τῶν θεοφόρων Πατέρων ἱερολογήσας ὁ σύλλογος, ταῖς ἁπανταχοῦ Ἐκκλησίαις τὸ διπλοῦν ὁμολογεῖν καὶ κηρύσσειν, ὥσπερ τῶν φύσεων, οὕτω καὶ τῶν ἐνεργειῶν καὶ θελήσεων, ὀρθοδόξως παραδεδώκασιν. Κωνσταντῖνος δὲ τηνικαῦτα, ὁ ἀπόγονος Ἡρακλείου,[2] τὸν προγονικὸν τῆς βασιλείας κλῆρον ἐχρημάτιζεν ἀναδεδεγμένος,[3] τά τε ἄλλα συμπράττων τῇ Συνόδῳ, καὶ τὸ ὀρθὸν τῆς Ἐκκλησίας φρόνημα πρεσβεύων. Ἀλλ' ἐν τούτοις μὲν καὶ ἡ ἕκτη.

ιζ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη Σύνοδος,[4] Νίκαιαν μέν, τῆς Βιθυνῶν μητρόπολιν οὖσαν, καὶ τῶν ὀρθῶν δογμάτων δικαστήριον πάλαι γεγονυῖαν, καὶ αὐτὴ τῆς εὐσεβείας κριτήριον ἔδειξεν, ἑπτὰ μὲν καὶ ἑξήκοντα καὶ τριακοσίων ἱερῶν ἀνδρῶν τῷ πλήθει πλατυνομένη, ταξιάρχους δὲ καὶ πρωτοστάτας τῆς ἱερᾶς αὐτῶν καὶ μεγάλης φάλαγκος προβαλλομένη, Ταράσιόν τε τὸν ἐν Ἀρχιερεῦσι Θεοῦ περιβόητον (θεῖος οὗτος καὶ πανάριστος ἀνήρ, καὶ τῆς βασιλίδος πόλεως τοὺς ἱεραρχικοὺς οἴακας, εἴ πέρ τις ἄλλος, περιάγειν ἄξιος[5]), καὶ δὴ καὶ Πέτρον τὸν εὐλαβέστατον Πρωτοπρεσβύτερον τῆς κατὰ Ῥώμην ἁγίας Ἐκκλησίας, καὶ Πέτρον ἄλλον, Πρεσβύτερον καὶ αὐτόν, καὶ τῆς ἐκεῖσε Μονῆς ἡγούμενον τοῦ ἁγίου Σάββα· οἳ τῆς Ἀποστολικῆς καθέδρας διεκληροῦντο τὸν τόπον, Ἀδριανοῦ τότε τὸ Ἀρχιερατικὸν κοσμοῦντος ἀξίωμα· ἅμα δὲ τούτοις Ἰωάννην καὶ Θωμᾶν ἄνδρας μοναδικῇ πολιτείᾳ περιωνύμους, καὶ ἱερατικῇ τιμῇ διαλάμποντας, καὶ τῆς Ἀνατολικῆς ἁπάσης διοικήσεως τῶν Ἀποστολικῶν καὶ μεγάλων θρόνων τοποτηρητάς, καὶ τὸ τῶν Ἀρχιερέων προνόμιον ἔχοντας· λέγω δὴ Ἀπολλιναρίου τε καὶ Θεοδωρήτου καὶ Ἠλία· ὧν ὁ μὲν Ἀλεξανδρείας, ὁ δὲ Ἀντιοχείας, καὶ ὁ λοιπὸς δὲ Ἱεροσολύμων, ἱεροπρεπῶς τε καὶ πανσόφως προειστήκεισαν. Τότε Κωνσταντῖνος καὶ Εἰρήνη, Ὀρθοδοξίας στεφάνῳ κοσμούμενοι, τὴν Αὐτοκράτορα τῆς Ῥωμαίων Ἀρχῆς πορφυρίδα ἐστολίζοντο.[6] Αὕτη τοιγαροῦν ἡ ἱερὰ καὶ μεγάλη Σύνοδος ἀρτιφανῆ τε καὶ βάρβαρον αἵρεσιν, ὑπὸ

---

[1] Παρὰ Κομβεφ. καὶ Μιγν. ἄνευ τοῦ—ἰδίας.

[2] Ἦν γὰρ υἱὸς Κώνσταντος τοῦ Κωνσταντίνου τοῦ Ἡρακλείου.

[3] Οὕτως ἄμεινον γέγραπται ἐν τῷ Συντάγμ. τῶν κανόνων, ἢ παρὰ Μοντακουτίῳ—ἀναδεδειγμένος—ὅπερ οὐκ ἔρρωται, μὴ καὶ τῆς προθ. εἰς τῇ αἰτιατικῇ προστεθείσης· "εἰς τὸν προγονικὸν τῆς βασιλείας θρόνον ἐχρημάτιζεν ἀναδεδειγμένος."

[4] Αὕτη συνῆλθεν ἐπὶ Κωνσταντίνου τοῦ Ζ' καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ ἐν ἔτει 787. Ὅρα Κεδρ. Τόμ. Β', σελ. 23.—Θεοφ. Χρονογρ. Τόμ. Α', σελ. 716, καὶ Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 245—250.

[5] Ἐπιθι περὶ τούτου Θεοφάνην (ἔνθ. ἀνωτ. σελ. 709—713).

[6] Παρὰ Μοντακ. μὲν ενικῶς "ἐστολίζετο·" ἐν δὲ τῷ Συντ. τῶν κανόνων "καὶ τὴν Αὐτοκράτορα τῆς Ῥωμαϊκῆς Ἀρχῆς πορφυρίδα ἐστολίζοντο·" καὶ Μίγνιος δὲ προσέθηκε τὸν ΚΑΙ. Περὶ δὲ τῆς Βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης ἴδε Κεδρ. Τόμ. Β', σελ. 20—30· καὶ Θεοφ. ἔνθ. ἀνωτ. σελ. 702—738· ἀλλὰ καὶ Μελέτ. Τόμ. Β', σελ. 238.

Digitized by Google

δυσσεβῶν τε καὶ ἀνιέρων ἀνδρῶν παρεισαχθεῖσαν, θεοκρίτῳ καὶ κοινῷ ψηφίσματι κατεδίκασε, καὶ τοὺς εἰσηγητὰς καὶ προμάχους αὐτῆς τῷ αὐτῷ συννυποβάλλουσα κρίματι. Οὗτοι γὰρ οἱ δείλαιοι Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν βλασφημεῖν οὐχ ὁμολογοῦντες τοῖς ῥήμασι, διὰ τῶν ἔργων πᾶσαν ἐπενόουν ὕβριν καὶ βλασφημίαν καὶ ἀσέβειαν·[1] καὶ αὐτὸν ἐκεῖνον δυσφημεῖν ἀμέσως καὶ χωρίς τινος παραπετάσματος οὐ θαῤῥήσαντες, διὰ τῆς σεπτῆς εἰκόνος[2] τὸ πᾶν αὐτῶν τῆς Χριστομάχου γνώμης ἐξεπλήρουν θέλημα. Εἴδωλον γὰρ (ὦ τολμηρᾶς καὶ ἀθέου γλώσσης καὶ διανοίας ἀπήχημα!) τὴν προσκυνητὴν εἰκόνα Χριστοῦ, δι' ἧς εἰδώλων πλάνη διώκεται, καθυβρίζοντες, καὶ πάσαις αὐτὴν ἀτιμίαις περιβάλλοντες, ἀνὰ τὰς ἀγορὰς καὶ τὰς λεωφόρους ποσὶ κατεπάτουν, περιέσυρον, πυρὶ παρεδίδοσαν· θέαμα Χριστιανοῖς ἐλεεινὸν καὶ τῆς Ἑλληνικῆς Χριστομαχίας μόνης ἄξιον. Τὰ αὐτὰ δὲ καὶ κατὰ τῶν ἄλλων ἱερῶν εἰκονισμάτων, ποσὶ ταχεινοῖς ἐκχέαι αἷμα,[3] χερσί τε παλαμναίαις,[4] καὶ βεβήλοις χείλεσιν ἐνησέλγαινον, καὶ κόρον οὐδένα τῆς τηλικαύτης μανίας καὶ παραπληξίας οὐδαμῶς ἐλάμβανον οἱ ἀλάστορες· ἀλλὰ τῶν Ἑλληνικῶν βδελυγμάτων οὐδὲν ἔλαττον, εἰ καὶ μὴ μᾶλλον, τὰ Χριστιανῶν ἱερὰ σύμβολά τε καὶ ἐκτυπώματα διὰ μίσους ἄγοντες, ἐβδελύσσοντο· δι' ὧν αὐτοῖς καὶ ὁ ἄσπονδος πόλεμος κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων συνεκροτεῖτο καὶ ἐκρατύνετο. Δῆλον γὰρ ἅπασιν, ὡς ἡ τιμὴ τῶν εἰκονισμάτων τιμὴ γίνεται τῶν εἰκονιζομένων, ὥσπερ καὶ ἡ ἀτιμία εἰς αὐτὰ διαβαίνει τὰ εἰκονιζόμενα. Ἀλλ' οὗτοι, τὰ νέα τῶν Χριστομάχων Ἰουδαίων γεννήματα, δι' ὧν μὲν τὴν σεπτὴν εἰκόνα Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων ἐνύβριζον, τὸ προγονικὸν ἀνεπλήρουν ὑστέρημα, εἰς τὰ τῶν Ἰουδαίων τολμήματα ἐκφερόμενοι, καὶ νικᾷν φιλονεικοῦντες τῇ ὑπερβολῇ τῆς προθυμίας τοὺς γεννήτορας· δι' ὧν δέ, Χριστιανῶν ἐν μέσῳ, οὐκ ἔσχον τολμῆσαι τὸν Χριστὸν καὶ χείλεσιν ἀπαρνήσασθαι, καὶ αὐτοῦ ἐκείνου τοῦ Ἰουδαϊκοῦ καὶ πατρῴου ζήλου ἠλέγχοντο διαπίπτοντες, καὶ νόθον καὶ ταύτην αὐτῶν δεικνύντες τὴν μίμησιν, καὶ μηδαμοῦ στάσιν ἔχοντες· ἀλλ' ὥσπερ τῷ κακῷ καρωθέντες[5]

---

[1] Οὕτως ἐν τῷ Συντ. τῶν καν. παρὰ δὲ Μοντακ. καὶ Μιγνίῳ "ἀσέλγειαν," ὅπερ ἀνάλογον ἂν εἴη πρὸς τὸ ἑπόμενον "βεβήλοις χείλεσιν ἐνησέλγαινον."

[2] Ὑπονοητέον ἢ καὶ προσθετέον τὴν Μετοχὴν "ὑβριζομένης," ὅπερ δὴ καὶ ἡ Μοντακ. μετάφρασις νοεῖν δίδωσιν· "per venerandam ejus imaginem dehonestatam."

[3] Ταχεινός = ταχύς, γοργός, ὡς ἐξηγεῖται Ἡσύχιος. Σημειωτέον δὲ, ὅτι παρὰ μόνῳ τῷ Σουΐδᾳ διφθογγογραφεῖται, παρὰ πᾶσι δὲ τοῖς ἄλλοις Λεξικογράφοις διὰ τοῦ Ι γράφεται· ἅπαξ δὲ εὕρηται καὶ διὰ τοῦ Υ. Ὅλη δὲ ἡ ῥῆσις ἐκ Σολομῶντός ἐστι, λέγοντος ἐν Παροιμ. (Α', 16)· "οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι, καὶ ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα."

[4] Παλαμναῖος = ὁ τῇ ἰδίᾳ παλάμῃ (χειρὶ) φονεύων τινά· ὅθεν παρὰ Σοφ. ἐν Ἠλ. 587· "ἥτις ξυνεύδεις τῷ παλαμναίῳ·" ἑπομ. = ἐναγής, μιαρός, ὡς ἐνταῦθα· καὶ Παλαμναῖος Ζεύς = ὁ τῶν φονευομένων τιμωρός.—Ὅρα τὴν λέξιν παρὰ Σουΐδᾳ καὶ Σκ. Βυζαντίῳ.

[5] Καρωθεὶς = βαρυνθεὶς τῇ κεφαλῇ, ὡς ἐξηγεῖται Σουΐδας. Ἡσύχιος δὲ—καρωθεὶς = τὴν κεφαλὴν σιασθείς (γρ. σεισθείς, ὡς διορθοῦσιν οἱ σχολιασταὶ αὐτοῦ)· ἴδε καὶ τὴν λέξιν ταύτην ἔνθ. ἀνωτ.—Νῦν δὲ κοινῶς λέγουσιν "ἐκάρωσε" περὶ ἀνθρώπου, λειποθυμίᾳ κατεχομένου, ἔτι δὲ καὶ περὶ τοῦ ἄρτι ἐκπνεύσαντος.

Digitized by Google

τῆς αἱρέσεως, ὧδε κἀκεῖσε διερρίπτοῦντο καὶ παρεφέροντο. Χριστιανοὺς μὲν γὰρ ἑαυτοὺς ὀνομάζοντες, κατὰ Χριστοῦ ἐφρυάττοντο· καὶ τὴν Ἰουδαίων κλῆσιν οὐ προσιέμενοι, τὸ Χριστομάχον αὐτῶν παρεζήλουν διὰ τῆς εἰκονομαχίας, καὶ ὑπερέβαλλον· οὐ μόνον δέ, ἀλλὰ καὶ τὸ τῆς εἰδωλολατρείας ἐκκλίνοντες ὄνομα, οὐδὲν εἰδωλολατρῶν ἀνεκτότερα εἴς τε Χριστιανοὺς αὐτοὺς καὶ εἰς τὰ τῶν Χριστιανῶν θεῖα καὶ ἄχραντα μυστήρια ἐπεδείξαντο. Δι' ὃ τούτους μέν, ὅσοι μὴ τῆς μοιχαλίδος ταύτης καὶ πολυσπόρου καὶ συμπεφυρμένης δόξης φυγεῖν ἠθέλησαν τὴν δυσγένειαν, ὡς νόθα γένη καὶ ἔκφυλα τῆς τῶν πιστῶν εὐγενείας, ἡ ἁγία καὶ οἰκουμενικὴ διακρίνασα Σύνοδος, δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος καθυπέβαλε· τὴν δὲ εἰκόνα Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, κατὰ τὰς ἀνέκαθεν Ἀποστολικάς τε καὶ Πατρικὰς παραδόσεις, καὶ τὰς τῶν ἱερῶν λογίων ἐκφαντορίας, ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ εἰκονιζομένου, προσκυνεῖθαι καὶ τιμᾶσθαι ψήφοις ἁπάσαις ἐπεκύρωσέ τε καὶ ἐπεσφραγίσατο, τῆς προσκυνήσεως καὶ τιμῆς δηλονότι προσαγομένης, καθ' ὃν τρόπον καὶ τοῖς ἄλλοις ἱεροῖς τύποις καὶ συμβόλοις τῆς καθ' ἡμᾶς ἁγιωτάτης λατρείας προσερχόμεθα. Οὐ γὰρ ἐν αὐτοῖς ἱστῶμεν καὶ συμπερικλείομεν τὴν τιμὴν καὶ προσκύνησιν, οὐδ' εἰς ἑτερόφυλα καὶ διάφορα τέλη[1] σχιζόμεθα· ἀλλὰ διὰ τῆς φαινομένης διαφόρου καὶ μεριστῆς αὐτῶν θεραπείας καὶ προσκυνήσεως ἱεροπρεπῶς τε καὶ ἀδιαιρέτως εἰς τὴν ἀμέριστον ἐκείνην ἐνοειδῆ τε καὶ ἑνοποιὸν θεότητα ἀναγόμεθα.

ιή. Οὕτω τὸν τίμιον Σταυρὸν προσκυνοῦμεν, ἐν ᾧ τὸ Δεσποτικὸν ἐξετανύσθη σῶμα, καὶ τὸ τοῦ Κόσμου καθάρσιον ἀνέβλυσεν αἷμα, καὶ ἡ τοῦ ξύλου φύσις ταῖς ἐκεῖθεν ῥοαῖς ἀρδευθεῖσα, τὴν ἀγήρω ζωὴν ἐβλάστησεν ἀντὶ τοῦ θανάτου. Οὕτω τὸν τύπον τοῦ Σταυροῦ προσκυνοῦμεν, δι' οὗ δαιμόνων ἐλαύνεται στίφη, καὶ πάθη θεραπεύεται ποικίλα, τῆς ἅπαξ ἐν τῷ πρωτοτύπῳ χάριτος καὶ δυνάμεως ἐνεργηθείσης καὶ μέχρις αὐτῶν τῶν τύπων μετὰ τῆς ὁμοίας ἐνεργείας συμπροϊούσης. Τούτων τοιγαροῦν ἕκαστον, τήν τε Χριστοῦ εἰκόνα, φημί, καὶ αὐτὸν τὸν Σταυρόν, καὶ δὴ καὶ τοῦ Σταυροῦ τὸν τύπον, παραπλησίως τῇ σεβασμιότητι καὶ προσκυνήσει ἐξοσιοῦντες, οὐκ ἐν αὐτοῖς περιγράφομεν καὶ περιορίζομεν τὴν τιμὴν καὶ τὸ σέβας, ἀλλ' εἰς τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα πλούτῳ φιλανθρωπίας ἀφάτῳ, καὶ τὸν ὑπὲρ ἡμῶν ἐπονείδιστον θάνατον ἑκουσίως ὑπενεγκόντα, ταύτην ἀναφέρομεν καὶ ἀνιεροῦμεν. Οὕτω δὴ καὶ ναοὺς Ἁγίων, καί τάφους, καὶ λείψανα, πιστοῖς βρύοντα ἰάσεις,[2] πιστῶς προσκυνοῦμεν, τὸν αὐτοὺς[3] δοξάσαντα Χριστὸν τὸν

---

[1] Μοντακ. μέν φησι τὸ "τέλος" ἐνταῦθα σημαίνειν τὸ τάγμα, ἐκ μεταφορᾶς τῶν στρατιωτικῶν ταγμάτων· ἴσως μέντοι ὀρθότερον ἂν ἐκληφθείη τὴν τελετὴν σημαῖνον· δύναται γὰρ καὶ τοῦτο ἡ λέξις (ὅρα Λεξ. Σκ. Βυζαντίου ἐν λ. τέλος. 6)· ὅθεν καὶ τὸ ῥῆμα τελῶ = ποιοῦμαι τελετὴν θυσίας, γάμου κ.τ.λ. καὶ "τελεῖν τὰ Παναθήναια" κ.τ.λ. Καὶ παρὰ τοῖς Ἐκκλησιαστικοῖς δὲ "τελεῖν βάπτισμα, γάμον κ.τ.λ."

[2] Ταύτην τοῦ Βοτλεϊανοῦ χειρογράφου προειλόμην τὴν γραφὴν ἀντὶ τῆς ὑπὸ Μοντακουτίου κατὰ Δοτικὴν ἀντικαθισταμένης "ἰάσεσιν," ἣ καὶ οἱ τοῦ Συντάγμ. τῶν κανόνων ἐκδόται ἐχρήσαντο· ἐνεργητικὸν γὰρ ἐνταῦθα τὸ βρύω = ἀναβρύω, μεταδίδωμι.

[3] Καὶ τοῦτο Μοντακ. οὐδετέρως παραινεῖ γράφειν "αὐτά," καὶ οἱ τοῦ Συντάγμ. τῶν κανόνων ἐκδόται οὕτως ἔγραψαν. Ἐμοὶ δὲ ὀρθότερον ἔδοξεν εἶναι τὸ τοῦ χειρογράφου "αὐτούς." Οὐ γὰρ αὐτὰ (τὰ

Digitized by Google

Θεὸν ἡμῶν μεγαλύνοντες καὶ ἀνευφημοῦντες. Καὶ δὴ καὶ εἴ τι τούτοις κατὰ τὰς μυστικὰς καὶ ἁγίας ἡμῶν τελετάς ἐστι παραπλήσιον, διὰ τῆς ἐν αὐτοῖς ἐνεργουμένης δωρεᾶς τε καὶ εὐεργεσίας,[1] τὸ ἀρχικόν τε καὶ πρωτουργὸν αἴτιον ἐπιγινώσκομέν τε καὶ δοξολογοῦμεν. Δι' ὃ καὶ τῶν μακαρίων ἐκείνων καὶ ἱερῶν ἀνδρῶν ἡ θεοφόρος καὶ ἁγία πανήγυρις οὐ μόνον τὴν εἰκόνα Χριστοῦ, καθ' ἅπερ ἔφημεν, ἀλλά γε δὴ καὶ τῆς παναχράντου καὶ ἀειπαρθένου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τὰς ἱερὰς εἰκόνας, κατ' ἀναλογίαν τῆς τῶν πρωτοτύπων ὑπεροχῆς καὶ σεβασμιότητος, τιμᾶσθαι καὶ προσκυνεῖσθαι κοινῶν θεσπισμάτων ὅροις ἐπεσφράγισέ τε καὶ ἐπεκύρωσεν. Καὶ γὰρ καὶ δι' αὐτῶν εἰς ἑνοποιόν τινα καὶ συναγωγὸν ἀναγόμεθα θεωρίαν, καὶ τῆς πρὸς τὸ ἀκρότατον τῶν ὀρεκτῶν δι' αὐτῆς ἀξιούμεθα θείας καὶ ὑπερφυοῦς συναφείας. Ἀλλὰ ταῦτα μὲν σοφῶς τε καὶ θεαρέστως τελεσαμένη[2] διώρισε· πᾶσαν δὲ αἱρετικὴν νόσον καὶ πᾶσαν ἀκοσμίαν τῆς λογικῆς ἀγέλης ἀπελάσασα, τὸν οἰκεῖον κόσμον καὶ τὸ κάλλος τὴν Ἐκκλησίαν ἐπαναλαβοῦσαν ἀπέδειξε· καὶ οἷα δὴ Νύμφην, οὐκ ἐν κροσσωτοῖς χρυσοῖς,[3] ἀλλ' ἐν ἱεροῖς ἐξωραϊσθεῖσαν εἰκονίσμασιν, ἐκ δεξιῶν τοῦ Νυμφίου Χριστοῦ παραστήσασα, ἱλαροῖς καὶ χαίρουσιν ὀφθαλμοῖς καθορᾶσθαι καὶ ἐναγλαΐζεσθαι παντὶ τῷ τῶν πιστῶν πληρώματι παρεσκεύασεν.

ιθ'. Αὕτη τῆς πίστεως ἡμῶν τῶν Χριστιανῶν ἡ καθαρὰ καὶ ἀμώμητος ὁμολογία· αὕτη τῆς ἀχράντου καὶ εἰλικρινοῦς λατρείας ἡμῶν καὶ τῶν περὶ αὐτὴν σεπτῶν μυστηρίων ἡ θεόσοφος μυσταγωγία·[4] κατὰ ταύτην μέχρι βίου δυσμῶν καὶ φρονοῦντες καὶ πιστεύοντες καὶ πολιτευόμενοι, πρὸς τὴν ἀνατολὴν τοῦ νοητοῦ ἡλίου ἐπειγόμεθα, τῆς ἐκεῖθεν ἀνεσπέρου αὐγῆς καὶ λαμπρότητος τρανώτερόν τε καὶ τελειότερον ἀπολαύσοντες. Ταύτην προσήκει καὶ τὴν ὑμετέραν θεοφρούρητον σύνεσιν, ἤδη πρὸς τὸν ἡμέτερον κλῆρον τῆς εὐσεβείας ἀφορῶσαν, εἰλικρινεῖ διαθέσει, καὶ γνώμης εὐθύτητι, καὶ ἀδιστάκτῳ πίστει ἀποδέχεσθαι καὶ στέργειν, καὶ μήτε δεξιᾷ μήτε ἀριστερᾷ, μηδὲ ἐπὶ βραχὺ ταύτης ἀπο-

---

λείψανα) βούλεται λέγειν ὅτι ἐδόξασεν ὁ Θεός, ἀλλ' αὐτούς, τοῦτ' ἔστι τοὺς ἁγίους, κατὰ τὸ Γραφικὸν ἐκεῖνο· "Τοὺς δοξάζοντάς με δοξάσω, καὶ ὁ ἐξουθενῶν με ἀτιμασθήσεται" (Βασιλ. Α', κεφ. Β', 30).

[1] Καὶ τοῦτο Μοντακ. διορθοῖ "χάριτος·" οὕτω δὲ καὶ οἱ τοῦ Συντάγμ. τῶν καν. ἐκδόται ἔγραψαν. Ἀλλ' εἴπερ ἡ τῆς χάριτος ἔννοια τῇ εὐεργεσίᾳ ἔνεστι, περιττὸν ἂν εἴη τὴν λέξιν μεταβαλεῖν.

[2] Ἡ Σύνοδος δῆλον ὅτι, ὅπερ Μοντακ. προσθετέον εἶναί φησι σαφηνείας χάριν.

[3] Τοῦτο ἐκ τοῦ Δαβὶδ εἴληπται, λέγοντος ἐν ψαλμῷ ΜΔ', 13, "Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη." Λέγει δὲ ὁ Προφητάναξ θυγατέρα τοῦ βασιλέως τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, ἧς ἡ δόξα ἔσωθέν ἐστιν, ἐν τοῖς θείοις δόγμασιν αὐτῆς περιεχομένη. Ὅρα τὴν εἰς τοὺς Ψαλμοὺς ἑρμηνείαν ὑπὸ Ἀνθίμου τοῦ Πατριάρχου Ἱεροσολύμων (Τόμ. Α', ἐν Ἱεροσολύμοις 1855). Ὁ δὲ λέγει Μοντακούτιος, προσθετέαν εἶναι μετὰ τὸ "ἐν κροσσωτοῖς χρυσοῖς" καὶ τὴν Μετ. "περιβεβλημένην," περιττὸν εἶναι ἔμοιγε δοκεῖ· ἡ γὰρ Δοτικὴ τῇ ἑπομένῃ Μετοχῇ "ἐξωραϊσθεῖσαν" συνάπτεται. κροσσωτὸς δὲ = (χιτὼν) ἔχων περὶ τὰς ἄκρας κροσσούς (τὰ κοιν. λεγόμενα κρόσσια).

[4] Ὅμοια ταῦτα τοῖς ἐν ταῖς Βασιλείου νουθεσίαις πρὸς τὸν υἱὸν Λέοντα τὸν σοφὸν περὶ πίστεως εἰρημένοις. "Αὕτη τῶν ἀρετῶν πασῶν ἡ τελείωσις· αὕτη ἡ πίστις πάντων τῶν ἀγαθῶν τὸ κεφάλαιον· ταύτην "οὖν ἔχε παρακαταθήκην ἄσυλον, ἥ σοι γέγονε τροφὸς ἀπὸ σπαργάνων αὐτῶν, κ.τ.λ." (κεφ. Β').

Digitized by Google

κλίνειν· τοῦτο γὰρ τῶν Ἀποστόλων τὸ κήρυγμα· τοῦτο τῶν οἰκουμενικῶν Συνόδων τὸ φρόνημα.[1] Δι' ὃ οὐ μόνον σὲ αὐτὸν φρονεῖν οὕτω δεῖ καὶ δοξάζειν, ἀλλὰ καὶ τοὺς ὑπὸ σὲ τεταγμένους εἰς τὸ αὐτὸ τῆς ἀληθείας φρόνημα χειραγωγεῖν, καὶ πρὸς τὴν αὐτὴν καταρτίζειν πίστιν, καὶ μηδὲν τῆς τοιαύτης σπουδῆς καὶ ἐπιμελείας ἡγεῖσθαι τιμιώτερον. Ἄρχοντος γὰρ ὡς ἀληθῶς μὴ τῆς ἰδίας μόνον σωτηρίας ποιεῖσθαι φροντίδα, ἀλλὰ καὶ τὸν ἐμπιστευθέντα λαὸν τῆς ἴσης ἀξιοῦν προνοίας,[2] καὶ εἰς τὴν αὐτὴν τῆς θεογνωσίας χειραγωγεῖν τε καὶ προσκαλεῖσθαι τελειότητα. Μὴ τοίνυν τῶν ἐλπίδων ἡμᾶς διαψευσθῆναι ποιήσῃς, ἃς ἡ σὴ περὶ τὰ καλὰ ῥοπή τε καὶ εὐηκοΐα παρέσχε προβάλλεσθαι· μηδὲ τοὺς πόνους καὶ τοὺς ἀγῶνας, οὓς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀνεδεξάμεθα χαίροντες, ματαίους ἐλέγξῃς·[3] μηδ' ἄρχεσθαι μὲν προθυμίᾳ τοῦ θείου κηρύγματος ὑποδέχεσθαι τοὺς λόγους σαυτὸν ἐπιδείξῃς, εἰς ῥαθυμίαν δὲ τὴν προθυμίαν καταλύσῃς· ἀλλ' ὅμοιον μὲν τῇ ἀπαρχῇ τὸ τέλος, σύμφωνον δὲ τὴν πολιτείαν τῇ πίστει, κοινὸν δὲ ἀγαθὸν καὶ γένους καὶ πατρίδος τὴν σὴν διδοὺς ἐξουσίαν καθορᾶσθαι καὶ ὀνομάζεσθαι, τὴν ἐμὴν ἐπὶ σοὶ χαρὰν καὶ εὐφροσύνην διατήρει ἀνεξάλειπτον.

κ'. Ἀλλ' ὅρα δή μοι λοιπόν, φιλόχριστε καὶ πνευματικὲ ἡμῶν υἱέ, καὶ εἴ τι ἄλλο κλεινὸν καὶ καλὸν καὶ στοργῆς ἄξιον ὄνομα, ὅρα τοιγαροῦν ὅσας παρατάξεις ὁ πονηρὸς κατὰ τῆς εὐσεβοῦς καὶ μόνης ἀληθινῆς τῶν Χριστιανῶν θρησκείας ἐπαλαμήσατο,[4] αἱρέσεις διαφόρους, καὶ στάσεις καὶ μάχας, καὶ πολέμους ἐπινοῶν. Ὅρα δὲ καὶ τοῦτο, ὅπως ἁπάσας αὕτη κατεστρέψατο, καὶ λαμπρὰ τὰ κατὰ πάντων ἀνέστησε τρόπαια· καὶ μηδὲν θαυμάσῃς τὰς κατ' αὐτῆς λογιζόμενος ἐπινοίας καὶ ἐπιβουλάς. Πρῶτον μὲν γὰρ οὐκ ἂν οὕτω περιφανὴς καὶ κραταιὰ καὶ ἐπίσημος διὰ τῆς νίκης ἐγίνετο, εἰ μηδὲν αὐτῇ πολέμιον συνεπλέκετο· ἔπειτα δὲ καὶ συνορᾷν ῥᾴδιον, ὡς ἔνθα περ ὁ πονηρὸς σφοδρότερον πολεμεῖται, ἐκεῖ καὶ αὐτὸς σπουδαιότερον τὰ τῆς κακίας αὐτοῦ βέλη πέμπει, καὶ τὰ μηχανήματα ἵστησιν. Ἐν μὲν γὰρ τοῖς ἄλλοις ἔθνεσιν, ἐπεὶ μηδείς ἐστιν αὐτῷ σφοδρὸς πό-

---

[1] Ὁ δὲ πρὸς ἰδίαν δόξαν τὸ τῶν Ἀποστόλων κήρυγμα καὶ τὸ τῶν Συνόδων ἀθετῶν φρόνημα, αὐτὸν ἀθετεῖ τὸν ἐκείνους ἀποστείλαντα καὶ εἰπόντα. "Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με" (Λουκ. Ι', 16). Καὶ Παῦλος δὲ ἐν τῇ Α', πρὸς Θεσσαλ. ἐπιστολῇ ταὐτὰ διδάσκει λέγων· "Τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεόν, τὸν καὶ δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς." (κεφ. Δ', 8).

[2] Καὶ ταῦτα οὐδὲν διαφέρει τῶν ἐν ταῖς Βασιλείου παραινέσεσι (κεφ. Ξ') εἰρημένων· "Βασιλικώτατόν "ἐστιν ἔργον μὴ μόνον τὰ ἑαυτοῦ τὸν βασιλέα σκοπεῖν, ἀλλὰ καὶ τὰ τῶν ὑπηκόων ἐπισκοπεῖν." Ἀμφότερα δὲ κατὰ τὸ τοῦ Σωκράτους ἐκεῖνο· "Καὶ βασιλεὺς ἀγαθός, οὐκ εἰ μόνον τοῦ ἑαυτοῦ βίου καλῶς "προεστήκει, ἀλλ' εἰ καὶ ὧν βασιλεύοι, τούτοις εὐδαιμονίας αἴτιος εἴη. Καὶ γὰρ βασιλεὺς αἱρεῖται, "οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμελῆται, ἀλλ' ἵνα καὶ οἱ ἑλόμενοι δι' αὐτὸν εὖ πράττωσιν" (Ξενοφ. Ἀπομν. Γ', β', 2—3).

[3] Ἴδε τῆς παρούσης ἐπιστ. § ά. ὑποσημ. 1.

[4] Κατὰ Σουΐδαν, ἐπαλαμᾶτο = ἐμηχανᾶτο, ἐτεχνάζετο· παλάμαι γὰρ αἱ τέχναι (ὡς διὰ τῆς παλάμης, ἤγουν τῆς χειρός, ἐνεργούμεναι)· καὶ ἐπαλαμήσατο = ἐμηχανήσατο, ἐπενόησεν. Ἐντεῦθεν δὲ καὶ τὸ τοῦ πολυμηχάνου Παλαμήδους ὄνομα. Ὅρα ἐν Λεξ. Σκ. Βυζαντίου λ. παλαμάομαι.

Digitized by Google

λεμος, διὰ τοῦτο οὐδ' αὐτὸς κατ' ἐκείνων ὁπλίζεται· ὁ δὲ Χριστώνυμος τοῦ Θεοῦ λαός, τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, ἐπεὶ καθ' ἑκάστην κραταιούμενοι τῇ πίστει, κατὰ τῶν πονηρῶν αὐτοῦ πράξεων καὶ ἐπιτηδευμάτων ἀνδρίζονται, διὰ τοῦτο κἀκεῖνος μυρίαις ἐπιβολαῖς[1] καὶ πάσαις μεθόδοις τινὰς ἐξ αὐτῶν ὑποσκελίζειν τεχνάζεται, καὶ ἀντιλυπεῖν τὴν Ἐκκλησίαν Χριστοῦ ἀγωνίζεται, εἰ καὶ εἰς αἰσχύνην αὐτῷ οἱ ἀγῶνες καὶ τὰ πονηρεύματα καταστρέφουσιν. Ἄλλως τε δέ,[2] τὰ μὲν ἄλλα τῶν ἐθνῶν ἀδιάκριτα καὶ συγκεχυμένα τὰ ἐν δόγμασιν ἔχει φρονήματα, καὶ οὐδὲν καθαρὸν οὐδ' εἰς ἀκρίβειαν δεδοκιμασμένον· διὰ τοῦτο ἐν ἐκείνοις οὔτε τὸ διεστραμμένον φαίνεται. Ἐν δὲ τῇ καθαρωτάτῃ καὶ ἁγιωτάτῃ, καὶ πολὺ τὸ ἀκριβὲς ἐχούσῃ πίστει τῶν Χριστιανῶν, διὰ τὸ λίαν αὐτῆς εἰλικρινὲς καὶ εὐθὲς καὶ ἐξῃρημένον[3] καὶ ἀκήρατον, ἐπειδάν τις καὶ μικρόν τι διαστροφῆς ἢ καινοτομίας παρεισενεγκεῖν ἐπιχειρήσῃ, αὐτίκα τὸ διεστραμμένον καὶ κίβδηλον τῇ παραθέσει τῆς ἀληθείας καὶ τοῦ ὀρθοῦ λόγου καταφαίνεταί τε καὶ διελέγχεται, καὶ οὐδ' ἐπὶ βραχὺ τὸ νόθον γέννημα οὐδ' ὑπὸ τὴν αὐτὴν ὀνομασίαν εἶναι τῶν εὐσεβῶν δογμάτων οὐδαμῶς ἀνέχεται ἡ εὐγένεια. Ὥσπερ γὰρ ἐπὶ τῶν κάλλει διαφερόντων σωμάτων καὶ μικρά τις ἐπιγενομένη κηλὶς θᾶττον συνορᾶται καὶ πεφώραται τῇ παραθέσει τῆς λοιπῆς ἐν τῷ σώματι ὡραιότητος, τοῖς δ' αἰσχροῖς τὴν ὄψιν οὐκ ἂν ἐξελεγχθείη ῥαδίως τὰ τῆς ἀσχημοσύνης πάθη ἐπισυνιστάμενα (ὑπολανθάνει γὰρ τῆς ἀμορφίας τῷ συγγενεῖ καὶ τῇ ὁμοιότητι), οὕτω καὶ ἐπὶ τῆς τῶν Χριστιανῶν ὡραιοτάτης ὡς ἀληθῶς καὶ ὑπερλάμπρου θρησκείας καὶ πίστεως, κἂν τὸ βραχύτατόν τις αὐτῆς παρατρέψῃ, μεγάλην ἀσχημοσύνην ἐργάζεται, καὶ παραυτίκα τὸν ἔλεγχον δέχεται·[4] τὰ δ' ἄλλα τῶν ἐθνῶν δόγματα, πολλῆς ἀκοσμίας καὶ ἀσχημοσύνης γέμοντα, οὐδεμίαν ἔχειν τοῖς οἰκείοις ἐρασταῖς συναίσθησιν δίδωσι τῆς ἐπιγιγνομένης αἰσχρότητος. Οὐ μόνον δέ, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πασῶν τεχνῶν καὶ ἐπιστημῶν τὸ αὐτὸ κατιδεῖν ἐστιν. Ἐν μὲν γὰρ ταῖς ἀκριβεστάταις καὶ τὸ βραχύτατον τῶν ἁμαρτημάτων ῥᾷστα κατάφωρον γίνεται· ἐν δὲ ταῖς τυχούσαις πολλὰ παρορᾶται, καὶ οὐδ' εἰς ἁμάρτημα κρίνεται. Εἰ βούλει δέ, καὶ ἐν μὲν τοῖς ἄρχουσι καὶ τῶν ἄλλων τῇ ἐξουσίᾳ προέχουσι, μάλιστα δὲ οἷς κατὰ πλειόνων τὸ κράτος, καὶ τὸ μικρὸν τῶν πταισμάτων εἰς μέγεθος αἴρεται, καὶ πᾶσι γίνεται περιβόητον· ἐν δὲ τοῖς ἀρχομένοις καὶ ταπεινοτέροις πολλὰ τῶν παραπλησίως διαμαρτηθέντων οὐδ' ὅτι ἐπράχθη συνεγνώσθησαν, ἀλλ' ἐναπεκρύβη καὶ ἔλαθε, τῇ σμικρότητι καὶ εὐτελείᾳ συναποσβεσθέντα τοῦ ἁμαρτήματος·

κά. Ὅσον οὖν μεγέθει καὶ κράτει καὶ κάλλει καὶ ἀκριβείᾳ καὶ καθαρότητι καὶ τῇ ἄλλῃ πάσῃ τελειότητι τῶν ἐν τοῖς ἔθνεσι δοξασμάτων ἡ τῶν Χριστιανῶν πίστις καὶ λατρεία

---

[1] Ἐπιβολή = ἐπίθεσις, ἔφοδος, προσβολή· οὐκ ἄρα διορθωτέον διὰ τοῦ—ἐπιβουλαῖς—ὡς Μοντακουτίῳ ἔδοξεν.

[2] Ἐκ διορθ. Μοντακ. ἀντὶ—ἀλλ' ὥστε δέ—

[3] Ἴσως γραπτέον ὀρθότερον—ἐξηρμένον (= ὑψηλόν, οὐράνιον) ἐκ τοῦ ἐξαίρομαι· τοιαύτη γὰρ ἡ τῶν Χριστιανῶν πίστις.

[4] Ἐλλείπει παρὰ Μιγνίῳ τὸ—καὶ παραυτίκα τὸν ἔλεγχον δέχεται.

Digitized by Google

ὑπερανέστηκε καὶ ἐξῄρηται,[1] τοσοῦτον ὅ τε πονηρὸς εἰς τὸν κατ' αὐτῆς ἀνερεθίζεται πόλεμον, καὶ τοσοῦτον πάλιν τὰ ἐξ ἀφρόνων καὶ κακοβούλων ἀνδρῶν ἁμαρτήματα ἐκ τοῦ εὐθέος καταφαίνεται, μηδ' ἐπὶ βραχὺ χώραν τοῦ λαθεῖν ἔχοντα, μηδέ τινα παρείσδυσιν ἐφευρίσκοντα. Ἀλλ' ὅμως ἡ τοῦ Θεοῦ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία (ὡς καὶ φθάσαντες ἔφημεν) καὶ τοῦ πονηροῦ πάντα τὰ μηχανήματα σαθρὰ καὶ ἄπρακτα διελέγχουσα, μᾶλλον δὲ κατ' αὐτοῦ ἐκείνου τοῦ μηχανουργοῦντος ἐπαναστρέφουσα, καὶ τῶν αἱρετιζόντων ῥαδίως ἀποσκευαζομένη τὸ βλάσφημον, καὶ καταισχύνουσα τὸ ἀναίσχυντον, κατὰ πάντων ἄμαχον τὸ κράτος καὶ ἀήττητον ἀναδέχεται, καὶ καλοῖς καὶ σωσικόσμοις διὰ παντὸς θριάμβοις ἐγκαλλωπίζεται.

κβ'. Σὺ τοίνυν (ὦ—τί σε προσειπὼν ἀξίως εἴπω τοῦ πόθου ;[2]) τῇ αἴγλῃ τοῦ θείου Πνεύματος τὴν ψυχὴν αὐγασθείς, καὶ πρὸς τὸ τῆς εὐσεβείας φέγγος ἀναχθείς, καὶ ἔργον ἐργασάμενος, δι' οὗ πρὸς τὴν τοῦ μεγάλου Κωνσταντίνου πρᾶξιν ἀνυψώθης καὶ μίμησιν,[3] ἔχου τῆς ἀπ' ἀρχῆς σου γνώμης καὶ βουλῆς καὶ συνέσεως· στῆθι στερρῶς ἐν τῇ πέτρᾳ τῆς πίστεως, ἐν ᾗ καλῶς ὑπὸ Κυρίου τεθεμελίωσαι· ἐποικοδόμει τῇ ὀρθῇ σου πίστει πράξεις ἀγαθὰς καὶ βίου σεμνότητα, μὴ ξύλα καὶ χόρτον, μηδὲ καλάμην, εὔφλεκτον τῆς ἁμαρτίας ὕλην, καὶ πρὸς καῦσιν μόνην, πρὸς οὐδὲν δὲ χρησιμεύουσαν ἕτερον· ἀλλὰ χρυσὸν καὶ ἄργυρον, τῶν κατορθωμάτων τὰ τίμια·[4] ταῦτα γὰρ καὶ παρὰ[5] πειρασμῶν δοξαζόμενα,[6] καθαρώτερα καὶ τιμιώτερα διαδείκνυνται. Οὕτω Χριστὸς ὁ κοινὸς Δεσπότης ἐγκελεύεται, καρποὺς ἀρετῶν[7] προβάλλειν, καὶ μὴ καταισχύνειν τὴν πίστιν διὰ τῶν πράξεων. Οὕτω Παῦλος ὁ μέγας τῆς Ἐκκλησίας συμβουλεύει Διδάσκαλος. Οὕτω Πέτρος ὁ κορυφαῖος τῶν Ἀποστόλων, καὶ τῶν οὐρανίων πυλῶν τὰς κλεῖς ἐμπεπιστευμένος καὶ τὴν εἴσοδον. Οὕτω τῶν λοιπῶν Ἀποστόλων ὁ θεῖος χορὸς τὴν οἰκουμένην ἐμαθήτευσεν. Οὕτως ἡμῶν οἱ πατέρες παρειλήφασιν· οὕτως ἡμῖν τοῖς μετ' ἐκείνους παραδεδώκασιν. Οὕτω καὶ

---

[1] Καὶ τοῦτο ἴσως γραπτέον—ἐξῆρται—ἐκ παραλλήλου κείμενον πρὸς τὸ "ὑπερανέστηκε."

[2] Δημοσθένειος ἡ ἐπίκλησις κατὰ τὸ—ὦ, τί ἂν εἰπών σε τις ὀρθῶς προσείποι ! (περὶ στεφ. § 22).

[3] Ὥσπερ γὰρ Κωνσταντῖνος ὁ μέγας ἀπὸ ἐθνικοῦ Χριστιανὸς γέγονεν, οὕτω καὶ Μιχαὴλ τὴν τῶν Χριστιανῶν ἠσπάσατο πίστιν. Ἐπιθι δὲ Εὐσέβιον ἐν βίῳ Κωνσταντίνου τοῦ Βασιλέως, καὶ Σωκρ. Σχολ. Ἐκκλ. Ἱστ. βιβλ. Α', § β' καὶ λθ'.—Τοῦτο δὲ παρὰ Μιγν. φέρεται—κατὰ μίμησιν.

[4] Ἐκ τῆς Α' πρὸς Κορινθ. ἐπιστ. τοῦ Παύλου, κεφ. Γ', 11—16· "Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται "θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. Εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον "χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ "ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει, κ.τ.λ." (Ἴδε τὴν τοῦ χωρίου τούτου ἑρμηνείαν ἐν τῇ Καινῇ Διαθήκῃ. Τόμ. Δ', σελ. 33, ἔκδ. Θ. Φαρμακίδου). Κατὰ ταῦτα τοίνυν καὶ Βασίλειος ὁ μέγας ἐν τοῖς εἰς Ἡσαΐαν ὑπομνήμασι (κεφ. Γ') λέγει· "Εἴ τις οὖν "μὴ ἐπῳκοδόμησε τῇ οἰκοδομῇ τοῦ ἑαυτοῦ βίου ξύλα ἢ χόρτον ἢ καλάμην, ἐπιθυμείτω τὴν ἡμέραν Κυρίου, "ἐν ᾗ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει, κ.τ.λ."

[5] Ἐκ διορθ. Μοντακ. ἀντὶ—περί.

[6] Γραπτέον ὀρθότερον—δοκιμαζόμενα—ὅπερ καὶ ἡ Μοντακ. ὑποδείκνυσι μετάφρασις—per tribulationes explorata.

[7] Ἐλλείπει παρὰ Μιγνίῳ τὸ—ἀρετῶν.

Digitized by Google

ἡμεῖς σοι παραινοῦμεν καὶ συμβουλεύομεν, ἀρεταῖς κοσμεῖν τὴν πίστιν, καὶ τῇ πίστει τὰς ἀρετὰς λαμπροτέρας ἀπεργάζεσθαι. Ἐβουλόμην αὐτὸς ἐγώ σοι παρεῖναι, καὶ ταῖς πράξεσιν ἐφιστάναι, ἵνα τῶν μὲν καλῶν ἔργων αὐτεπάγγελτον διὰ τῆς ὄψεως λαμβάνων τὴν γνῶσιν, ἔτι μᾶλλον ἐν εὐθυμίᾳ καὶ χαρᾷ διακείμενος εἴην· εἰ δέ τι καὶ παράλογον συνέβη, μεθέλκειν ἔχοιμι ῥᾳδίως καὶ μεθαρμόζειν ἐκ τοῦ παραχρῆμα πρὸς διόρθωσιν. Ἐπεὶ δὲ ἡ βούλησις τῆς δυνάμεως χηρεύει, καὶ πολλὰ τὴν ὁρμὴν ἀνακόπτοντα κωλύει, ὅ μοι λοιπόν ἐστι δυνατόν, γραφῇ τυπῶσαι τὰς παραινέσεις, ὡς καὶ κατ' ἀρχὰς ὑπεσχόμην, ἤδη πειράσομαι.

κγ'. Ὅτι μὲν οὖν χρὴ τὸ θεῖον εἰλικρινῶς ἀγαπᾷν καὶ θεραπεύειν, καὶ τὸ ὁμόφυλον ὡς ἑαυτὸν στέργειν καὶ φιλεῖν, ἔμφυτός πως τοῖς ἀνθρώποις ἡ γνῶσις καθέστηκεν·[1] ἡ βούλησις δὲ μὴ συντρέχουσα τῇ γνώσει, εἰς θέσπισμα καὶ νόμον ἀναγραφῆναι τὴν κοινὴν ἐξεβιάσατο γνώμην.[2] Ὅτι δὲ ὁ τοῦ θείου εἰλικρινὴς ἔρως καὶ ἡ τοῦ πλησίον στοργὴ καὶ τελεία ἀγάπη, τῶν ἄλλων ἐντολῶν ἐν ἑαυταῖς περιέχουσι τὰς πράξεις, οὐ χαλεπὸν μὲν καὶ αὐτόθεν κατανοῆσαι· παρίστησι δὲ τοῦτο καὶ ὁ Δεσποτικὸς λόγος ἐν οἷς φησι περὶ αὐτῶν· "Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται καὶ οἱ Προφῆται."[3] Καὶ γὰρ ὁ τὸν θεῖον ἔρωτα ἐνεστερνισμένος,[4] καὶ τὸν πλησίον ὡς ἑαυτὸν στέργων καὶ φιλῶν, πατέρα μὲν καὶ μητέρα διαφερόντως ἀγαπήσει, καὶ τιμῆς τῆς πρώτης μετά γε Θεὸν ἀξιώσει· αἱμάτων δ' ἐμφυλίων καὶ φόνων οὐ μόνον τὰς χεῖρας καθαρὰς φυλάξει, ἀλλὰ καὶ τὴν γλῶσσαν καὶ τοὺς λογισμοὺς μελέτης τοιαύτης. Οὐ μὴν οὐδὲ κλέψειεν οὗτος· οὐδεὶς γὰρ, ὃν ὡς ἑαυτὸν φιλεῖ καὶ φυλάττει, τούτου κλέπτης ἐφωράθη· ἀλλ' οὐδὲ ἀλλοτρίους γάμους διορύξει· οὐδ' ὅρκον ἐπίορκον ὀμόσει· οὐ μὲν οὖν οὐδὲ μαρτυρίαν ψευδῆ κατὰ τοῦ πλησίον μαρτυρήσει· καὶ ὅλως οὐ χειρῶν ἀδίκων ἄρξει, τύπτειν ἢ προπηλακίζειν ἐπιχειρῶν, ἢ τύραννος[5] ἐραστὴς τῶν, ὅσα τῷ πλησίον ὑπάρχει, γινόμενος. Ὁ γάρ τι τούτων κατατολμῶν αὐτόθεν λυμαίνεται ἄμφω, καὶ τὸν

---

[1] Καὶ τοῦτ' ἔστιν, ὃ καλοῦσιν οἱ φιλοσοφοῦντες "νόμον φυσικόν," ἐν ᾧ πᾶς τις σύνοιδεν ἑαυτῷ, ὡς ἔστι Θεός, καὶ τοῦτον προσκυνεῖ καὶ δοξάζει, καὶ ἐπ' αὐτὸν ἐλπίζει. Ὡσαύτως δὲ καὶ τὸ γονέας τιμᾷν, καὶ τὸν πλησίον ἀγαπᾷν, καὶ ταῦτα τῷ ἀνθρώπῳ πέφυκεν ἔνστικτα, οὕτως εἰπεῖν, ἀῤῥήτῳ σοφίᾳ καὶ ἀγαθότητι τοῦ δημιουργοῦ τῇ τοῦ ἀνθρώπου ψυχῇ ἐντετυπωμένα.

[2] Ἐντεῦθεν οὖν ὁ φυσικὸς νόμος εἰς γραπτὸν μεταπεποίηται· ὥστε τοῦτον εἶναι οἷον ἐκείνου ἀντίγραφον. Οὐδὲν γὰρ ἕτερον ὁ γραπτὸς ἐπιτάττει νόμος, ἢ τὰ ὑπὸ τοῦ φυσικοῦ διδασκόμενα, Θεόν τε σέβειν καὶ ἀγαπᾷν τὸν πλησίον. Ταύτην δὲ τοῦ Θεοῦ τὴν περὶ τοὺς ἀνθρώπους ἀγαθότητα γλαφυρότατα ἐξεικονίζων ὁ μέγας Χρυσόστομος λέγει ἐν τῷ "εἰς τὴν παραβολὴν τοῦ ἀσώτου" Λόγῳ αὐτοῦ· "Ἔδωκεν "αὐτοῖς, ὡς οἶκον ἴδιον, ὅλον τὸν Κόσμον· ἔδωκεν αὐτοῖς, ὡς Κτίστης, ὅλην τὴν κτίσιν· παρέσχεν αὐτοῖς "σώματα καὶ ψυχὰς λογικάς, ἵνα τῷ λόγῳ εὐλόγως χειραγωγούμενοι μηδὲν ἄλογον πράξωσιν· ἐπέστησεν "αὐτοῖς τὸν ἑαυτοῦ νόμον, τὸν φυσικὸν, καὶ τὸν γραπτόν, ὡς θεῖον παιδαγωγόν, ἵνα τούτῳ παιδαγωγού"μενοι πληρώσωσι τοῦ νομοθέτου τὸ βούλευμα."

[3] Ματθ. ΚΒ', 38. Τούτοις δὲ παρατίθει τὰ ἐν Λευῖτ. κεφ. ΙΘ', καὶ ἐν Δευτερον. κεφ. Ε' καὶ ΣΤ'.

[4] Ἡμ. διόρθ. ἀντὶ "ἐνστερνισμένος," εἰ μὴ ἐξ ἀρχῆς οὕτως ἐγέγραπτο, ὡς καὶ "ἐμψυχωμένος" (σ. 139).

[5] Μοντακ. μὲν παραινεῖ ἤτοι τὸν σύνδεσμον Ἢ περιελεῖν, ἢ τὸ "τύραννος" εἰς τὸ "τυραννεῖν" μεταβαλεῖν· οὐ γὰρ ἔστιν ἀσυνδέτως εἰπεῖν "τύραννος ἐραστής." Ἀλλ' ἔμοιγε δοκεῖ ἐῤῥῶσθαι τὴν γραφὴν

ἔρωτα τὸν θεῖον καὶ Δεσποτικόν, καὶ τοῦ ὁμοφυοῦς τὴν στοργήν· τῷ μὲν ἐπιβουλεύων καὶ περιβάλλων κακοῖς, τὸν δὲ παρὰ φαῦλον[1] ποιούμενος καὶ ὑπερορῶν· ἐξ ὧν εἰς οἵας ἀπαραιτήτους καὶ πικρὰς τιμωρίας ἐμβάλλει ἑαυτόν, πᾶσίν ἐστι φανερόν. Εἰ γὰρ ὁ τῶν ἀνθρωπίνων προσταγμάτων καὶ τῆς ἐπιστατούσης Ἀρχῆς ὑπερόπτης οὐ διαφεύγει τὴν δίκην, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ζῆν πολλάκις τὸν κίνδυνον ἔχει, ὁ τὸν Δεσπότην τῶν ὅλων καὶ βασιλέα καὶ δημιουργὸν διὰ τῆς εἰς τὸν ὁμόδουλον παροινίας καὶ ἐπιβουλῆς ἀτιμάζων καὶ ἐξουθενῶν, καὶ τοὺς αὐτοῦ νόμους διαπαίζων καὶ χλεύην δεικνύς, ἡλίκην τινὰ τὴν τιμωρίαν δώσει; Δι' ὃ προσήκει παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ, μετὰ τῆς καθαρᾶς καὶ ἀμωμήτου ἡμῶν θρησκείας, καὶ ταύτας διαφυλάττειν τὰς ἐντολάς· οὐ γὰρ ἔστιν, οὔκ ἔστι χωρὶς αὐτῶν οὔτε τῆς τῶν πιστῶν καὶ φιλοθέων μερίδος γενέσθαι, οὔτε τῆς τῶν οὐρανῶν ἀξιωθῆναι βασιλείας.[2]

κδ'. Ἀλλὰ ταῦτα μὲν ἀνθρώπῳ παντὶ πάσῃ δυνάμει παραφυλακτέον, ἄρχοντι καὶ ἀρχομένῳ, νέῳ καὶ πρεσβύτῃ, πλουσίῳ καὶ πένητι· κοινὴ γὰρ ἡ φύσις, καὶ κοινὰ τὰ προστάγματα, καὶ κοινῆς τῆς παραφυλακῆς καὶ ἐπιμελείας δεόμενα. Α δὲ μᾶλλον πρὸς τὴν τῶν ἀρχόντων ὁρᾷ παιδαγωγίαν, καὶ τῇ σῇ φυλάττειν ἐπιτηδειότερα ἐξουσίᾳ, καὶ ἐξ ὧν ἔσται σοι καὶ περὶ τῶν ἄλλων πλείστη ἐμπειρία, ἐκεῖνα σοι νῦν εἰρήσεται· καὶ γὰρ πολλῆς τῷ ἄρχοντι δεῖ καλοκαγαθίας, τῆς τε ἄλλης, καὶ τῆς ἐν ἤθεσιν εὐκοσμίας. Δι' ὃ καί φασιν "Ἀρχὴ ἄνδρα δεικνύει"[3] καὶ ὅτι, "ὥσπερ ὁ χρυσὸς ἐν ταῖς λιθίναις ἀκόναις δοκιμάζεται, οὕτως ὁ ἀνθρώπινος νοῦς ἐν ταῖς ἀρχικαῖς ἐργασίαις καὶ ταῖς τῶν ἀρχομένων διανοίαις ἐξετάζεται."

κέ. Σὺ δέ μοι μάλιστα πρόσεχε, ἵνα μὴ μόνον ἀκροατής, ἀλλὰ καὶ ποιητὴς γένῃ καλῶν καὶ ἀξιαγάστων πράξεων· ἀρχὴ δὲ ἡμῖν κἀν τούτοις ἀπὸ τῶν θείων. Εὐχὴ μὲν οὖν Θεῷ συνάπτει καὶ οἰκειοῖ, ὁμιλία τις ἔνθεος οὖσα, καὶ συνουσία νοερὰ τοῦ πάντων καλλίστου καὶ τιμιωτάτου·[4] ἐξ οὗ πᾶσα μὲν οὐσίωσις καὶ συνοχή, πᾶσα δὲ πρόνοια καὶ

"τύραννος ἐραστής," ἐπιθετικῶς ἐνταῦθα κειμένου τοῦ "τύραννος" = τυραννικός. Τοιοῦτον καὶ τὸ Θουκυδίδειον "τύραννον δὲ ἐῶμεν ἐγκαθιστάναι πόλιν" (Α', 122) καὶ τὸ τοῦ Αἰσχύλου "πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται;" (Προμ. Δεσμ. 791).

[1] Οὕτως ὀρθῶς ἔγραψε Μίγνιος, ἀντὶ—παραφαῦλον. Τοιοῦτον δὲ καὶ τὸ παρὰ Συνεσίῳ "ἦν οὐ παρὰ φαῦλον, ἀλλ' ἀντὶ παντὸς ἐποιεῖτο πεισθῆναι·" καὶ δῆλον ἐντεῦθεν, ὅτι "παρὰ φαῦλον ποιοῦμαι" ἴσον δύναται τῷ "περὶ ὀλίγου ποιοῦμαι" ἀντιθέτως πρὸς τὸ "περὶ πολλοῦ ποιοῦμαι" κ.τ.λ.

[2] Ἐνταῦθα μὲν τὸ πρῶτον τῆς ἐπιστολῆς καταλήγει μέρος· ἐφεξῆς δὲ τὸ δεύτερον ἐπακολουθεῖ, ᾧ μάλιστα πρέπει καὶ ἡ ἐπιγραφή "Τί ἐστιν ἔργον ἄρχοντος," ὡς ἐν τῇ προτεταγμένῃ τῆσδε τῆς ἐπιστολῆς σημειώσει ἐλέγομεν.

[3] Ἀριστοτέλης μὲν ἐν Ἠθικοῖς Νικομαχείοις (Βιβλ. Ε', κεφ. ά) Βίαντός φησιν εἶναι τὸ σοφὸν τοῦτο ἀπόφθεγμα· "καὶ διὰ τοῦτο εὖ δοκεῖ ἔχειν τὸ τοῦ Βίαντος, ὅτι Ἀρχὰ τὸν ἄνδρα δείξει·" ἕτεροι δὲ εἰς Χίλωνα τὸν Λακεδαιμόνιον ἀποδιδόασιν αὐτό. Ἴδε τὰς σημ. Κοραῆ εἰς τὰ Ἀριστοτέλους Ἠθικὰ Νικομάχεια σελ. 256.

[4] "Θεῷ γὰρ ἀληθῶς λαλοῦμεν τῷ καιρῷ τῆς προσευχῆς, δι' ἧς καὶ τοῖς Ἀγγέλοις συναπτόμεθα, καὶ "τὴν πρὸς τὰ ἄλογα κοινωνίαν πολὺ φαινόμεθα διαφεύγοντες (Χρυσοστ. περὶ προσευχῆς Λόγ. ά). Καὶ

Digitized by Google

χορηγία τῶν ἀγαθῶν, πᾶσα δὲ τελειότης καὶ διακάθαρσις τῶν παθῶν. Ὥστε, εἰ καὶ μή τι ἄλλο κέρδος ἐκ τῆς εὐχῆς ἀνεφύετο, αὐτὸ δὴ τοῦτο μάλιστα τοῖς φιλοθέοις καὶ τοῦ ἀγαθοῦ φιλοθεάμοσιν ἀντὶ πάσης εὐφροσύνης ἤρκει, καὶ πάσης τῆς κατὰ τὸν βίον μακαριότητος καὶ εὐδαιμονίας. Ὅτε δὲ καὶ τῶν ἡμαρτημένων ἄφεσιν λαμβάνομεν δι' αὐτῆς, καὶ τῶν ἄλλων αἰτημάτων ὅσα συμφέρουσι τὰς ἀγαθοειδεῖς καὶ τελεσιουργοὺς δωρεὰς προκαλούμεθα, ἀξιούμεθά τε τῶν ἀφάτων περὶ ἡμᾶς ἔργων καὶ δώρων διὰ τῆς ἐν αὐτῇ εὐχαριστίας τὸν εὐεργέτην ἀμείβεσθαι, καὶ δὴ καὶ οἵας ἀπαρχάς τινας αὐτῷ προσφέρειν, τὰς κατ' ἐκείνην τοῦ νοῦ κινήσεις καὶ δοξολογίας, τῆς νοερᾶς ἡμῶν καὶ λογικῆς οὐσιώσεως· ὅτε τοίνυν τοσαῦτα καὶ τηλικαῦτα τῇ εὐχῇ περιείληπται, πῶς οὐ χρὴ πρὸς ταύτην προθύμως ἐπεκτείνεσθαι, καὶ ταύτης ἐρᾷν σφόδρα καὶ ἀντιλαμβάνεσθαι;

κστ'. Σὺ τοίνυν προσεύχου μὲν εὐχὰς ἰδίας διὰ παντὸς καὶ καθ' ἑαυτὸν τῷ Θεῷ, προσεύχου δὲ καὶ ἅμα τῷ πλήθει καὶ ἐν τῷ φανερῷ. Δι' ἑκατέρου μὲν γὰρ θεοφιλῶς πραττομένου τὸ ὅσιόν ἐστιν ἀποδιδόναι· ὅσον δὲ τὸ πρότερον εἰς καθαρότητα διανοίας πλεονεκτεῖ, τοσοῦτον τὸ δεύτερον εἰς μίμησιν τοὺς ὁρῶντας παρακαλεῖ· καὶ τὸ μὲν εἰς οἰκεῖον κέρδος συντελεῖ, τὸ δὲ καὶ τοὺς ἄλλους οἶδεν ὠφελεῖν·[1] ὧν ἡ σωτηρία καὶ ἡ προκοπὴ μεγάλη πάλιν τῆς ἀρετῆς ἐστι τοῦ ἄρχοντος μαρτυρία.[2]

κζ'. Ναοὺς ἐπ' ὀνόματι Θεοῦ καὶ τῶν αὐτοῦ Ἁγίων κατὰ τοὺς Ἐκκλησιαστικοὺς θεσμοὺς οἰκοδόμει, καὶ τούτοις τὸν λαὸν ἐκκλησιάζεσθαι ἔθιζε· ἵνα κοινῇ τὸ θεῖον ἐξιλεούμενοι, καὶ κοινὴν τὴν δοξολογίαν προσάγοντες, εἰς κοινήν τε μᾶλλον ὁμόνοιαν συνελαύνωνται, καὶ κοινὴν καρπῶνται τὴν σωτηρίαν καὶ ὠφέλειαν.

κή. Αἱ θυσίαι μὲν τῆς ἱερᾶς ἡμῶν λατρείας τοῖς ἱερεῦσιν ἀνάκεινται· οἷς ὑπηρετῶν προθύμως καὶ προσφέρων, πολλῆς τῆς διὰ τούτων ἀπολαύσεις καὶ εὐεργεσίας καὶ χάριτος.[3]

ἐν τῷ Β' δὲ περὶ προσευχῆς Λόγῳ ταὐτὰ λέγει, εὐθὺς ἀρχόμενος. "Εὐθὺς τοίνυν ἐκεῖνο μέγιστον περὶ "εὐχῆς εἰπεῖν ἔχομεν, ὅτι πᾶς προσευχόμενος τῷ Θεῷ διαλέγεται· ὅσον δέ ἐστιν ἄνθρωπον ὄντα τῷ "Θεῷ λαλεῖν, ἀγνοεῖ μὲν οὐδείς· παραστῆσαι δὲ λόγῳ τὴν τιμὴν οὐκ ἄν τις δυνηθείη . . . . Τί γὰρ ἂν "ὁσιώτερον γένοιτο τῶν ὁμιλούντων Θεῷ; τί δὲ δικαιότερον; τί δὲ κοσμιώτερον; τί δὲ σοφώτερον; "Εἰ γὰρ οἱ σοφοῖς ἀνδράσι λαλοῦντες ὑπὸ τῆς συνεχοῦς ὁμιλίας εἰς ὁμοιότητα τῆς ἐκείνων φρονήσεως "καθίστανται ταχέως, τί προσήκει λέγειν περὶ τῶν λαλούντων Θεῷ καὶ προσευχομένων; κ.τ.λ."

[1] Μέγιστα γὰρ πρὸς τὸ τοὺς ἀρχομένους εὐσεβεῖν, καὶ καθόλου σωφρονεῖν, τὸ τοῦ ἄρχοντος παράδειγμα συμβάλλεται· ὅθεν καὶ ὀρθῶς εἴρηται τὸ "φιλεῖ πως ἀεὶ τὸ ὑπήκοον ζήλῳ τῆς τοῦ ἄρχοντος γνώμης βιοῦν."

[2] Τοῦτο καὶ ἐν τοῖς ἑξῆς (§ ριβ') ὧδε λέγει· "Ἡ εὐδαιμονία τῶν ὑπεξουσίων ἄκραν ἀνακηρύττει σύνεσιν καὶ δικαιοσύνην τῆς ἐξουσίας." Ἀμφότερα δὲ κατὰ τὸ Ἰσοκράτειον· "Σημεῖον ἔστω σοι τοῦ καλῶς "βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπι"μέλειαν." (πρὸς Νικ. § θ'.)

[3] Τούτοις παρατίθει τὰ ἐν ταῖς Βασιλείου παραινέσεσιν, οὕτως ἔχοντα· "Τίμησον οὖν τὴν Ἐκκλη"σίαν, ἵνα τιμηθῇς παρὰ Θεοῦ· καὶ τοὺς ἱερεῖς αἰδοῦ, οἷα πατέρας πνευματικούς, καὶ μεσίτας ἡμῶν πρὸς "τὸν Θεόν· ἡ γὰρ τῶν ἱερέων τιμὴ εἰς Θεὸν ἀναφέρεται. Ὥσπερ γὰρ διὰ σὲ τοὺς σοὺς ὑπηρέτας τιμᾶ-

Digitized by Google

Δύναιο δ' ἂν καὶ σύ, βουληθείς, κάλλιστον αὐτουργῆσαι Θεῷ θῦμα καὶ ἐρασμιώτατον, βίον αὐτῷ καλλιερούμενος καθαρόν, καὶ διανοίας ὀρθότητα.[1]

κθ'. Εἰδὼς δέ, ὡς μεγάλη ῥοπὴ πρὸς τὴν τῶν ὅλων διοίκησιν ῥώμη καὶ τάχος διανοίας, μηδὲ ταύτης ἀφίστασο τῆς ἐπιμελείας. Ἀγχίνουν μὲν γὰρ οὐκ ἔστι γενέσθαι τὸν μὴ φύσει τοῦτο πεφυκότα· μελέτη δὲ καὶ πραγμάτων πεῖρα, πρόχειρον ἐμποιοῦσαι τὴν γνῶσιν, πολλάκις ἐν αὐτοῖς τοῖς ἔργοις ὀξύτερον ἔδειξαν τὸν ἐγγεγυμνασμένον, ἢ τοὺς ταύτης τῆς δυνάμεως κατὰ φύσιν μετεσχηκότας. Δι' ὃ φρόνησιν ἀσκεῖν προσήκει διὰ βίου.[2] Αὕτη δὲ παραγίνεται μελέτῃ μὲν καὶ μνήμῃ πράξεων πρεσβυτέρων, ὁμιλίᾳ δὲ καὶ συνουσίᾳ τῶν περιόντων ἀνδρῶν φρονίμων,[3] καὶ ἐμπειρίᾳ δὲ τῶν κατὰ τὸν βίον πρακτέων. Πρᾶξις γὰρ μιμήσει καὶ βουλῇ καὶ διαχειρήσει κράτος συλλαβοῦσα, τῆς ἄνωθεν ῥοπῆς οὐκ ἀντιπραττούσης, εἰς συμφέρον τέλος ἀποβαίνει.

λ'. Μηδὲ τῶν περὶ τὸ σῶμα δὲ ἠθῶν καὶ σχημάτων καὶ κινήσεων ὡς εὐτελῶν ὑπερόρα· καὶ γὰρ καὶ ἡ ἐν αὐτοῖς ἀρίστη τάξις καὶ κατάστασις οὐκ ἐλάχιστον μέρος φρονήσεως ἔδοξεν εἶναι· καὶ τῶν ἀνθρώπων ὅσοι μὴ συνιδεῖν εἰσιν ἐκ τοῦ ῥάστου δεινοὶ τὴν ἐν τῇ ψυχῇ δύναμιν καὶ τὸ κάλλος, οὗτοι τοῖς ἔξωθεν θεάμασι ξεναγούμενοι, καὶ τῶν

" σθαι δίκαιον, οὕτω καὶ διὰ Θεὸν τοὺς αὐτοῦ ἱερεῖς τιμᾶν ὅσιόν τί ἐστι· καὶ ὥσπερ ἡ εἰς αὐτοὺς τιμὴ " ἐπὶ τὸν Θεὸν ἀναβαίνει, οὕτω καὶ ἡ εἰς αὐτοὺς ἀτιμία πολλῷ πλέον τὸν Θεὸν παροργί- " ζει." (κεφ. Γ'.)

[1] " Τὰ περὶ τοὺς Θεοὺς ποίει μὲν, ὡς οἱ πρόγονοι κατέδειξαν· ἡγοῦ δὲ τοῦτο εἶναι θῦμα κάλ- " λιστον, καὶ θεραπείαν μεγίστην, ἐὰν ὡς βέλτιστον καὶ δικαιότατον σεαυτὸν παρέχῃς." (Ἰσ. π. Νικ. § στ'.)

[2] " Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σεαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν " ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι." (ὁ αὐτὸς πρὸς Δημόν. § δ'.)

[3] Τούτους ἐν ταῖς Βασιλείου παραινέσεσιν ἰατροὺς ψυχῶν ἴδοις ἂν ἀποκαλουμένους. " Ἰατροῖς ψυ- " χῶν ὁμίλει συνεχῶς, ἵνα εὐεκτεῖν ἔχῃς κατὰ τὴν ψυχήν· μάθοις γὰρ ἂν παρ' αὐτῶν, τίνων χρὴ πραγ- " μάτων ὀρέγεσθαι, καὶ τίνων ἀπέχεσθαι, καὶ τίσι τῶν ἀνθρώπων συναναστρέφεσθαι, τίνας δὲ ἀποστρέ- " φεσθαι, καὶ πῶς τὸν σὸν βίον οἰκονομήσεις, ἵνα μὴ συχνοῖς τοῖς νοσήμασι περιπέσῃς· εἰ γὰρ ταύτην " τρίψεις τὴν ὁδὸν, τοῦ τῆς ἀρετῆς ἀκριβοῦς ὅρου γνησίως ἐφικέσθαι δυνηθήσῃ " (κεφ. ζ'). καὶ αὖθις " ἐν κεφαλαίῳ ιέ. " Μὴ μόνον οὖν αὐτὸς σπουδάσῃς τὴν φρόνησιν σύνοικον ἔχειν, ἀλλὰ καὶ τὸν ταύ- " την κατεκτημένον αἰδοῦ, καὶ τίμα· συναναστρέφου αὐτῷ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί· ἐκεῖνος γάρ σε δύ- " ναται μόνος ὠφελῆσαι τὰ μέγιστα εἰς ψυχήν· καὶ ἃ πολλάκις ἀμήχανά σοι δοκοῦσι πραχθῆναι ἐν " περιστάσει, ταῦτα δι' αὐτοῦ ῥᾳδίως σὺν Θεῷ κατορθώσεις· ἢ γὰρ φρόνιμον εἶναί σε δεῖ, ἢ φρονίμοις " συνέπεσθαι, ἐν οἷς ἀληθῶς, ὡς ἐπὶ θρόνου, Θεὸς ἀναπαύεται."— Καὶ ταῦτα κατ' Ἰσοκράτην Νικοκλεῖ παραινοῦντα· " Ὡς καὶ τῆς παιδεύσεως καὶ τῆς ἐπιμελείας δυναμένης τὴν ἡμετέραν φύσιν εὐεργετεῖν, " οὕτω διάκεισο τὴν γνώμην· καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε, καὶ τῶν ἀπόντων οὓς " ἂν δύνῃ μεταπέμπου· καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων, μήτε τῶν σοφιστῶν μηδενὸς οἷον δεῖν " ἀπείρως ἔχειν." (π. Νικ. § δ'). Καὶ περὶ ἐμπειρίας δὲ τῶν κατὰ τὸν βίον πρακτέων ὁ αὐτὸς (ἐν § ι') τάδε παραινεῖ· " Ὅ,τι ἂν ἀκριβῶς εἰδέναι βούλῃ, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ " μέτιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζε- " σθαι δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει."

Digitized by Google

ἀδήλων ἐρασταὶ καὶ ἐπαινέται καθίστανται.[1] Διὰ τοῦτο δεῖ καὶ προσώπου διαθέσει, καὶ κόμης ἀσκήσει, καὶ περιβολῇ ἐσθῆτος, κόσμιον ὁρᾶσθαι καὶ σεμνόν, μήτε εἰς τὸ βλακῶδες καὶ περίεργον ἐκφερόμενον, μήτε πάλιν πέρα τοῦ μετρίου πρὸς τὸ ἠμελημένον καθελκόμενον· ἑκάτερον γὰρ ἀπρεπὲς καὶ εὐκαταφρόνητον, καὶ ἀρχικῆς πολιτείας ἀλλότριον. Καὶ βαδίσματος δὲ πρέπει τῷ ἄρχοντι εὐταξία, μήτε εἰς τὸ θηλυπρεπὲς καὶ ἔκλυτον ἀσχημονοῦντι τὴν κίνησιν, μήτε μὴν εἰς τὸ ἀθρόον καὶ τεταραγμένον καὶ ἀνώμαλον ταύτην ἐκνεωτερίζοντι· καὶ ὅλως, πᾶσα κίνησις τάξει κοσμείσθω.

λά. Δεῖ δὲ καὶ τὸ ἐν λόγοις τάχος εὐλαβεῖσθαι· ταχυλογία γὰρ ἐν μὲν ἀγωνιστικαῖς διαλέξεσι καὶ ἀμίλλαις οὐκ εὐκαταφρόνητον ἴσως, οὐδὲ ἀγενές, ἐν δημηγορίᾳ δὲ ἀνόητον καὶ ἐπισφαλές· ἐν δὲ προστάγμασι, καὶ μάλιστα τοῖς πολιτικοῖς καὶ κοινοῖς, εὐτελὲς καὶ ταπεινόν.[2] Ἐντελέστερον δ' εἰπεῖν, ταχύτης ἐν πράξει καὶ λόγοις καὶ κινήμασι, σὺν εὐταξίᾳ, θεῖον μέν τινα καὶ ὑπερφυῆ ἀποφαίνει τὸν ἔχοντα· σπάνιον δέ, καὶ συνελθεῖν ἅμα πάντα χαλεπώτατον· τὸ δὲ ἐν τούτοις σύμμετρον σὺν εὐταξίᾳ σεμνόν τε καὶ ἀξιάγαστον, καὶ μεστὸν ὄγκου σὺν εὐλαβείᾳ,[3] ποθεινὸν ὁρᾶσθαι παρασκευάζει, καὶ ἄρχειν ἐπιτηδειότερον, εἴπερ καὶ ἐν τοῖς ἀρίστοις ἐστί τι τῷ πλήθει ἐρασμιώτερον. Ταχύτης δὲ σὺν ἀταξίᾳ ἔμπληκτον καὶ μανικόν, καὶ παραδιορθοῦν[4] ἐνίοτε μεγάλα, καὶ σφάλλον ὡς τὰ πολλὰ παραπλήσια. Ἡ δὲ σὺν ἀταξίᾳ βραδύτης νωθρὸν καὶ ἠλίθιον, καὶ σφάλλον μὲν ἐνίοτε καὶ μεγάλα, κατορθοῦν δὲ ἐλάχιστα, καὶ ταῦτα λίαν ταπεινά, καὶ πρὸς τὰς λοιπὰς ἐκείνου πράξεις μόνον παραμετρούμενα κατορθώματα.

λβ'. Τὸ πρὸς γέλωτας διαθρύπτεσθαι μετὰ τοῦ ἀσχημονεῖν τὴν μορφὴν καὶ τοῦ ἤθους ἐστὶν ἐξυβρίζειν τὴν εὐστάθειαν.[5]

λγ'. Αἰσχρορρημοσύνης δὲ πάσης καὶ ἀκοὴ καὶ γλῶσσα καθαρευέτω. [6]Α μὲν γάρ τις ἀκούων ἥδεται, ταῦτα καὶ λέγειν οὐκ αἰσχύνεται· ἃ δέ τις λέγων οὐκ αἰσχύνεται,[6] ὅτι καὶ πράττειν οὐκ αἰσχυνθήσεται, μεγάλην παρέσχεν ἀπόδειξιν.[7] Δι' ὅλου δέ, γλώσσης

---

[1] "Ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνήρ, καὶ ἀπὸ ἀπαντήσεως προσώπου ἐπιγνωσθήσεται νοήμων. "Στολισμὸς ἀνδρὸς καὶ γέλως ὀδόντων καὶ βήματα ἀνθρώπου ἀναγγέλλει τὰ περὶ αὐτοῦ." (Σοφ. Ἰησ. τοῦ Σιράχ, ΙΘ', 29.)

[2] "Ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις; γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ." (Παροιμ. Σολομ. ΚΘ', 20.) παρὰ δὲ Σιράχ—"Μὴ γίνου ταχὺς ἐν γλώσσῃ σου, καὶ νωθρὸς καὶ παρειμένος ἐν τοῖς ἔργοις σου." (Δ', 29.)

[3] Ἡμ. διόρθ. ἀντὶ—καὶ σὺν εὐλαβείᾳ—παρὰ Μοντακ. καὶ τοῖς ἄλλοις. Περιττὸς δὲ ὁ σύνδεσμος· ἔστι γὰρ προσδιορισμὸς τοῦ οὐσιαστ. "ὄγκου" = ὄγκου εὐλαβοῦς· οὕτω λέγει εὐθὺς παρακατιών—ταχύτης σὺν ἀταξίᾳ=ταχύτης ἄτακτος· καὶ—βραδύτης σὺν ἀταξίᾳ=βραδύτης ἄτακτος.

[4] Παραδιορθοῦν=κακῶς διορθοῦν.

[5] "Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν." (Ἰσ. π. Δημ. δ'.)

[6] Ὅλη αὕτη ἡ ἀναφορ. πρότασις ἐλλείπει παρὰ Μιγνίῳ, ἀβλεψίᾳ πάντως τυπογραφικῇ.

[7] Ἐν δὲ ταῖς Βασιλείου παραινέσεσι (κεφ. ιστ')· "Καὶ ἃ πάλιν πράττειν αἰσχύνῃ, ταῦτα λέγειν μὴ "ἀναισχύντει· μηδὲ ἃ λέγειν αἰσχύνῃ, ταῦτα πράττειν διαλογίζου." Ἀμφότερα δὲ κατὰ τὸ Ἰσοκράτειον·

Digitized by Google

φυλάσσου παρολισθῆσαι·[1] ῥήματι γὰρ βραχυτάτῳ πολλάκις ὑποσφαλεῖσα, μεγάλην ἤνεγκε ζημίαν, αὐτοὺς τοὺς περὶ τὸ ζῆν ἐσχάτους ἀναῤῥίψασα κύβους.[2]

λδ'. Ἔχε τὰ ὦτα τοῖς μὲν ἀδικουμένοις ἠνεῳγμένα, πρὸς δὲ τὰς τῶν ἀδικούντων ἐπαγωγὰς καὶ πιθανολογίας ἀποκεκλεισμένα.[3]

λέ. Χείλη δὲ κατήγορα καὶ συκοφαντίας ἀποστρέφου· πολλάκις γὰρ παῖδας κατὰ πατέρων, καὶ πατέρας ἐξέμηνε κατὰ παίδων, καὶ βίον ἔσχισε συζυγίας, καὶ συγγενεῖς ἐπανέστησε κατ' ἀλλήλων· καὶ τί λέγω; πόλεις ὅλας καὶ οἰκίας ἀνέτρεψε μία φωνὴ συκοφάντου.[4]

"Ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν" (π. Δημ. δ'). Λέγει δὲ καὶ Βασίλειος ὁ μέγας ἐν τῇ πρὸς τοὺς νέους παραινέσει (§ δ')· "Ἡ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια ὁδός τίς ἐστιν "ἐπὶ τὰ πράγματα. Διὸ δὴ πάσῃ φυλακῇ τὴν ψυχὴν τηρητέον, μὴ διὰ τῆς τῶν λόγων ἡδονῆς παραδε- "ξάμενοί τι λάθωμεν τῶν χειρόνων, ὥσπερ οἱ τὰ δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι."

[1] Κατὰ δὲ Σιράχ, "Ὀλίσθημα ἀπὸ ἐδάφους μᾶλλον ἢ ἀπὸ γλώσσης· οὕτω πτῶσις κακῶν κατὰ "σπουδὴν ἥξει" (Κ', 18).

[2] Ὅμοιον τοῦτο τῷ τοῦ Αἰσχύλου ἐν Προμηθεῖ (327)·

Σὺ δ' ἡσύχαζε, μηδ' ἔγαν λαβροστόμει·
Ἢ οὐκ οἶσθ' ἀκριβῶς, ὧν περισάφρων, ὅτι
Γλώσσῃ ματαίᾳ ζημία προσγίνεται;

Καὶ Εὐριπίδης δὲ ἐν Βάκχαις (380) ταὐτὰ δογματίζει λέγων·

Ἀχαλίνων στομάτων,
Ἀνόμου τ' ἀφροσύνας
Τὸ τέλος δυστυχία.

Ἀμφότεροι δὲ τὸ Ἡσιόδειον ἐκεῖνο παρῴδησαν (Ἔργ. κ. Ἡμ. 664)·

Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς· πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.

[3] Ὅμοιον τοῦτο τῷ τοῦ Λουκιανοῦ ἐν τῷ "περὶ τοῦ μὴ ῥαδίως πιστεύειν τῇ διαβολῇ" (§ 31). "Χρὴ "τοίνυν ἀποφράττειν τὰ ὦτα, καὶ μὴ ἀνέδην αὐτὰ ἀναπεταννύειν τοῖς πάθει προειλημμένοις . . . καὶ γὰρ "ἂν εἴη γελοῖον τῆς μὲν οἰκίας θυρωροὺς καθιστάναι, τὰ ὦτα δὲ καὶ τὴν διάνοιαν ἀνεωγμένα ἐᾷν." Διὰ μακροτέρων δὲ τὸ αὐτὸ ἐν ταῖς Βασιλ. παραιν. (κεφ. μδ') ἐκφέρεται· "Οὐχ οὕτως ἁμαρτάνει ὁ ἀδικῶν, "ὡς ὁ τὴν ἀδικίαν παραχωρῶν. Ὅταν οὖν σοι προσέλθῃ ἀδικηθείς, μὴ ὑπερίδῃς αὐτοῦ τὴν συντριβήν, "ἵνα μὴ χώραν δῷς τοῖς βουλομένοις ἀδικεῖν· ὁ γὰρ ἠδικημένος ἐπὶ σοὶ μόνῳ τὰς ἐλπίδας σαλεύει, καί "σε τῆς ἀδικίας ἐκδικητὴν προβαλλόμενος τὸν ἠδικηκότα ἀμύνεται. Πάντως δὲ χρεὼν παρὰ σοῦ τὸν "προσελθόντα δικαιωθῆναι· ἐπεὶ δίκαιον τὴν ἀδικίαν ἀνασταλῆναι. Εἰ δὲ αὐτὸς τὴν ἀδικίαν παραχω- "ρήσας τῷ ἀδικοῦντι, τὸν ἠδικημένον ὑπερίδῃς, καὶ δυνάμενος μόνος τὸν ἠδικηκότα ἀμύνεσθαι, τῆς δίκης "μηδένα ποιήσῃς λόγον, ποῦ ὁ δείλαιος ἐκεῖνος ἔτι καταφυγεῖν ἐλπίσει; παρὰ τίνος ἀπολήψεται τὴν "ἐκδίκησιν, εἰ μὴ παρὰ Θεοῦ, ὃς καὶ σὲ τῆς ἀμελείας ἀπαιτήσει τὰς δίκας; Δικαίωσον οὖν τὸν ἠδικημέ- "νον, καὶ ἀμύνου τὸν ἠδικηκότα, ἵνα μὴ δι' ὧν παρορᾷς δόξῃς καὶ αὐτὸς τοῖς ἀδικοῦσι συναδικεῖν, καὶ ἀλ- "λοτρίων ἁμαρτημάτων σεαυτὸν ὑπεύθυνον καταστήσῃς."

[4] Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. νέ)· "Ἀκοὴν ματαίαν μὴ παραδέχου, μηδὲ τοὺς συκοφαντοῦντας "ἐναγκαλίζου, μηδὲ φαύλοις ἀνθρώποις εἰκῇ πίστευε κ.τ.λ." Ἀμφότερα δὲ κατὰ τὸ τοῦ Σιράχ (ΚΗ', 13)· "Ψίθυρον καὶ δίγλωσσον καταράσασθε· πολλοὺς γὰρ εἰρηνεύοντας ἀπώλεσεν. Γλῶσσα τρίτη "πολλοὺς ἐσάλευσε, καὶ διέστησεν αὐτοὺς ἀπὸ ἔθνους εἰς ἔθνος, καὶ πόλεις ὀχυρὰς καθεῖλε, καὶ οἰκίας "μεγιστάνων κατέστρεψε. Γλῶσσα τρίτη γυναῖκας ἀνδρείας ἐξέβαλε, καὶ ἐστέρησεν αὐτὰς τῶν πόνων

Digitized by Google

λστ'. Μὴ ταχὺς ἦσθα[1] ζευγνύειν εἰς φιλίαν· συζεύξας δέ, παντὶ τρόπῳ τὸν δεσμὸν ἄλυτον συντήρει,[2] ἅπαν τοῦ πλησίον ἀνέχων τὸ βάρος, πλὴν εἰ μήπω ψυχῆς κίνδυνον ἐπάγει. Αἱ γὰρ πρὸς τοὺς φίλους διαστάσεις τὴν ὅλην προαίρεσιν ἐκφαυλίζουσι τῶν ἀνθρώπων· καὶ οὐ τὸν ὑπαίτιον μόνον, ἀλλὰ καὶ τὸν ἀναίτιον εἰς τὴν αὐτὴν ὑπόνοιαν κατασπῶσιν. Ἐκείνοις δὲ κέχρησο φίλοις, οἳ πρός ἑτέρους κατὰ πάντα καιρὸν ἄδολον διεσώσαντο τὴν φιλίαν,[3] καὶ μήτε εὐπραγοῦσι βασκανίας ἐπέβαλον ὀφθαλμόν, μήτε ἠμέλησαν δυσπραγούντων. Πολλοὶ γὰρ κακῶς μὲν πράττουσιν ἐπεκούρησάν τε καὶ συνήργησαν τοῖς φίλοις, εὖ δὲ φερομένων, ὁρᾷν οὐκ ἤνεγκαν τὴν εὐημερίαν· καὶ οὓς οὐκ ἤλεγξε καιρὸς συμπαθείας, τούτους ἐφώρασε τὸ πάθος τοῦ φθόνου.[4] Κτῶ τοίνυν φίλους, μὴ τοὺς φαύλους, ἀλλὰ τοὺς ἀρίστους· ἐκ γὰρ τῶν φιλουμένων ὡς τὰ πολλὰ κρίνεται τὰ ἤθη τῶν φίλων·[5] καὶ διὰ μὲν τῶν σπουδαίων ῥᾷστον[6] ἄν τις, καὶ παρασφαλείς, ἐπαναχθείη·

"αὐτῶν κ.τ.λ." Λέγει δὲ καὶ ὁ Λουκιαν. (ἔνθ. ἀνωτ. § 2)· "Ὑφ' ὧν (συκοφαντῶν) ἤδη καὶ οἶκοι ἀνά-"στατοι γεγόνασι, καὶ πόλεις ἄρδην ἀπολώλασι, πατέρες τε κατὰ παίδων ἐξεμάνησαν, καὶ ἀδελφοὶ "κατὰ τῶν ὁμογενῶν, καὶ παῖδες κατὰ τῶν γειναμένων, καὶ ἐρασταὶ κατὰ τῶν ἐρωμένων· πολλαὶ δὲ καὶ "φιλίαι συνεκόπησαν, καὶ οἶκοι συνεχύθησαν ὑπὸ τῆς κατὰ τὰς διαβολὰς πιθανότητος. κ.τ.λ."

[1] Συνήθης τοῖς μεταγενεστέροις σχηματισμὸς ἀντὶ τοῦ—ἴσθι, ἢ ἔσο.—Οὕτω καὶ ἐν ταῖς Βασιλ. παραιν. (κεφ. κή) λέγεται· "Μὴ ἦσθα φιλαίτιος ἐν τοῖς ὑπὸ χεῖρα·" καὶ ὁ τῶν Ἀμφιλοχίων πρόλογος ἐν τοῖσδε τελευτᾷ· "Σὺ δὲ μὴ μόνον ἀγαθὸς ἦσθα ζητεῖν καὶ λαβεῖν, ἀλλὰ καὶ τῆς δωρεᾶς ἀπολαύειν ὀφθείης μοι σπουδαιότερος."

[2] "Βραδέως μὲν γίγνου φίλος· γενόμενος δέ, πειρῶ διαμένειν. Ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον "ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν." (Ἰσ. π. Δημ. δ'.)

[3] Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. κγ')· "Ἐκείνους κτῆσαι φίλους, καὶ θεράποντας οἰκειοτάτους, "οἵτινες ἀγαθοὶ καὶ πρὸς ἑτέρους φίλους, ἢ δεσπότας, προγεγονότες τυγχάνουσι· ἃ γὰρ ἐν ἐκείνοις εἰρ-"γάσαντο, ταῦτα καὶ εἰς σὲ ποιῆσαι οὐ κατοκνήσουσιν." Ἀμφότερα δὲ κατὰ τὸ Ἰσοκράτειον· "Μηδένα "φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ "γενήσεσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονεν." (π. Δημ. δ'.)

[4] "Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς "ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ γὰρ ἀτυχοῦσι μὲν τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι "φθονοῦσιν" (Ἰσ. π. Δημ. δ'). Ὁ δὲ θεῖος Σωκράτης μόνους ἔλεγε φθονεροὺς εἶναι τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις ἀνιωμένους· "Φθόνον δὲ σκοπῶν, ὅ,τι εἴη, λύπην μέν τινα ἐξεύρισκεν αὐτὸν ὄντα, "οὔτε μέντοι τὴν ἐπὶ φίλων ἀτυχίαις, οὔτε τὴν ἐπ' ἐχθρῶν εὐτυχίαις γιγνομένην· ἀλλὰ μόνους ἔφη "φθονεῖν τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις ἀνιωμένους. Θαυμαζόντων δέ τινων, εἴ τις φιλῶν τινα "ἐπὶ τῇ εὐπραξίᾳ αὐτοῦ λυποῖτο, ὑπεμίμνησκεν, ὅτι πολλοὶ οὕτω πρός τινας ἔχουσιν, ὥστε κακῶς μὲν "πράττοντας μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν, εὐτυχούντων δὲ λυπεῖσθαι. Τοῦτο δὲ "φρονίμῳ μὲν ἀνδρὶ οὐκ ἂν συμβῆναι, τοὺς ἠλιθίους δὲ δὴ πάσχειν αὐτό." (Ξεν. Ἀπομν. Γ', θ', 8.) Κατὰ ταῦτα δὲ καὶ Πλάτων (ἐν Ὅροις) τοιοῦτον δίδωσι τοῦ φθόνου ὁρισμόν· "Φθόνος λύπη ἐπὶ φίλων ἀγαθοῖς, "ἢ οὖσιν, ἢ γεγενημένοις."

[5] "Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. νέ)—"Μεθ' ὧν ἀναστρέφεσθαι ποθεῖς, καὶ οἷς πιστεύειν φιλονει-"κεῖς, καὶ σὺ τοὺς αὐτῶν τρόπους εὐλόγως κεκτῆσθαι δόξεις." Ἀμφότερα δὲ κατὰ τὸ Ἰσοκράτειον· "Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδώς, ὅτι πάντες οἱ μή σοι πλησιάζοντες ὁμοιόν σε τοῖς "χρωμένοις εἶναι νομιοῦσιν" (π. Νικ. § ή).

[6] Εἴποι μὲν ἄν τις ἴσως, ὅτι κανονικώτερον ἐγέγραπτο ἂν συγκριτικῶς—ῥᾷον—ἢ ὑπερθετ. ῥᾷστα, ὡς καὶ

Digitized by Google

οἱ φαῦλοι δὲ καὶ τὴν προσοῦσαν λυμαίνονται καλοκαγαθίαν. Καὶ οἱ μὲν καὶ τὸ λεῖπον εἰς ἀρετὴν δι' ἑαυτῶν ἐπιτειχίζοντες, ἀνελλιπὲς φαίνεσθαι ποιοῦσιν· ἡ δὲ πρὸς τοὺς φαύλους ἐπιμιξία καὶ ὅπερ ἐστὶν ὑπόλοιπον ἀρετῆς, νόθον ἀποφαίνει. Μὴ ζήτει δὲ παρὰ φίλων ἀκούειν τὰ ἡδέα, ἀλλὰ τὰ ἀληθῆ μᾶλλον. Εἰ γὰρ ἐχθροῖς μὲν οὐδ' ἀληθεύουσι πιστευτέον, φίλοις δὲ διέφθορε τὰ τῆς ἀληθείας, καὶ τὸ ἡδὺ λέγειν ζητοῦσι κἀκεῖνοι, πόθεν ἡμῖν ἀλλαχόθεν ἡ τῆς ἀληθείας ἔσοιτο γνῶσις, καὶ ἡ ἐπιστροφὴ τῶν οὐκ εὐαγῶς ἐνίοτε παρ' ἡμῶν λεγομένων ἢ πραττομένων;[1] Δι' ὃ μέγιστον ἡγοῦ φίλους κολάκων διαφέρειν. Οἱ μὲν γὰρ κατὰ πρόσωπον ἐπαινοῦντες, σέ τε τῶν, ὡς εἰκός, ἁμαρτανομένων συναίσθησιν λαβεῖν οὐκ ἐῶσι, καὶ μείζω ταῦτα πρὸς τοὺς ἄλλους ταῖς διαβολαῖς ἀποτελοῦσιν· οἱ δὲ καὶ σὲ τῷ διὰ φιλίας ἐλέγχῳ συνιδεῖν τὸ παρανομηθὲν μᾶλλον δυναμοῦσι, κἄν τι δέῃ πρὸς τοὺς ἔξω λέγειν, ἀντὶ κατηγορίας ἀπολογίαν τοῦ πραχθέντος ἐκμηχανῶνται. Ὅσον οὖν τοῦ ἐπὶ κακίαν προκόπτειν τὸ ἀρετὴν ἀσκεῖν διενήνοχε, καὶ τοῦ διαβάλλεσθαι ἐν τοῖς ἀρχομένοις τὸ τὰς διαβολὰς διαλύειν, τοσοῦτον δεῖ παρὰ σοὶ τοὺς εὔνους πλέον ἔχειν τῶν κολάκων.[2]

λζ'. Τῶν ἀποῤῥήτων ἃ μὲν τὴν σὴν ἀρετὴν αὐξάνει, κοινώνει τοῖς φίλοις· ἃ δὲ τὴν γνώμην φαυλίζει, μητ' αὐτὸς μετέρχου, μήτε τοῖς φίλοις ἀνατίθει.[3] Ἄριστον μὲν γὰρ τοῦτο καὶ χωρὶς αἰτίας ἑτέρας· πλήν γε δὴ καὶ εἰς κόρον, οἷα πολλὰ τὰ ἀνθρώπινα, τοῦ φίλτρου τραπέντος, μᾶλλον τῆς παραινέσεως τὸ χρήσιμον καθορᾶται. Τὸ μὲν γὰρ φαῦλον τῶν κρυφίων τότε μάλιστα τοὺς λογισμοὺς τοῦ συνεγνωκότος ὑποτρέχον καὶ διακυμαῖνον, θᾶττόν τε καὶ σὺν οὐδενὶ ὄκνῳ τῆς ἀγάπης ἀποστήσει, καὶ πρὸς ἐπιστροφὴν ἰδεῖν οὐκ ἐάσει· σοί τε διαβολὴν βαρεῖαν, ἔκφορον γεγονός, ἐποίσει, καὶ πρὸς τὸν ἐξειπόντα χαλεπώτερον διαθήσει. Τὸ δὲ χρηστὸν τόν τε συνεγνωκότα ῥαγῆναι τῆς φιλίας ἐπικατασχήσει,[4] δεσμῷ κρατίστῳ, τῇ ἀρετῇ βιαζόμενον, καὶ εἰς ἔπαινον τῆς σῆς σπουδαί-

---

ἐν τῇ Γ' ἐπιστολῇ "ῥᾷστα τὸ ξυμβὰν ἀνεσώσατο·" ἀλλ' ἐγὼ καὶ ἀλλαχοῦ (ἐπιστ. ΛΔ') τῇ τοιαύτῃ συντυχὼν ἀνωμαλίᾳ, οὐ μεταβλητέαν εἶναι τὴν γραφὴν ἐνόμισα.

[1] Οὐδεμιᾶς, οἶμαι, χρῄζει τὸ χωρίον διορθώσεως, ὡς Μοντακ. ὑπέλαβεν, οὑτωσὶ διορθοῦν παραινῶν· "πόθεν ἡμῖν ἡ τῆς ἀληθείας ἔσεται γνῶσις, καὶ ἡ ἐπιστροφή, ἢ τῶν οὐκ εὐαγῶς ἐνίοτε παρ' ἡμῶν λεγομένων ἢ πραττομένων ἀποστροφή;" περιττὴ γὰρ πάντως ἡ προσθήκη τοῦ συνδ. ἤ, καὶ ἡ τοῦ ὀνόματος "ἀποστροφή," ὡς καθαρᾶς οὔσης τῆς ἐννοίας καὶ πλήρους· "πόθεν ἔσοιτο ἡμῖν ἡ γνῶσις τῆς ἀληθείας, καὶ ἡ μετάνοια τῶν κακῶς ἐνίοτε παρ' ἡμῶν λεγομένων ἢ πραττομένων;" οὐδὲ τὴν Εὐκτ. "ἔσοιτο" εἰς Ὁριστ. μεταβλητέον—ἔσεται· ποιητικὸς γὰρ ὁ σχηματισμὸς οὗτος· τοῖς δὲ πεζογρ. συνήθης ὁ—ἔσται.

[2] Τοῦτο ἐν ταῖς Βασιλ. παραιν. (κεφ. μή) οὕτως ἐκφέρεται· "Ἐπαίνει τῶν συνόντων μὴ τοὺς ἅπαντα "τὰ πραττόμενά σοι ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἐσφαλμένοις μᾶλλον ἐπιτιμῶντας· τούτους γὰρ ἐγὼ "εὐνουστέρους καὶ σωφρονεστέρους οἶδα τῶν ἄλλων· καὶ γὰρ τοῦ ψεύδους ἡ ἀλήθεια προτιμητέα κ.τ.λ." Παρὰ δὲ Ἰσοκρ. (π. Δημ. δ')· "Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ "πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν." Καὶ πρὸς Νικοκλ. (§ ή)· "Διόρα καὶ τοὺς τέχνῃ κολακεύ"οντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν."

[3] "Περὶ τῶν ἀποῤῥήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι κἀκείνοις τοῖς ἀκούουσιν" (Ἰσοκρ. π. Δημ. δ').

[4] Παρὰ Μοντακ. καὶ τοῖς ἄλλοις—ἐπικατασχέσει.

Digitized by Google

ας γνώμης ἐπὶ νοῦν ἐρχόμενον διαναστήσει, καί σε δῆλον ὅτι ταῦτα συνορῶντα οὐκ ἀηδῶς ἀναλαβεῖν, εἴ τι παρηνέχθης, τήν τε πρὸς αὐτὸν ὁμιλίαν καὶ τὴν ἐν τῷ πόθῳ σχέσιν ἀναπείσει. Ἀεὶ μὲν οὖν φίλους εὐλόγει, μάλιστα δὲ τοὺς ἀπόντας ἐπὶ τῶν παρόντων· οὕτω γε γὰρ καὶ τὸ τῆς κολακείας διαφύγοις,[1] οὐδ' ἴχνος αὐτῆς ἐν σοὶ φαίνεσθαι παρασκευάζων, καὶ τοῖς φίλοις ἔσῃ πράττων κεχαρισμένα, τοιοῦτον σεαυτὸν εἶναι τοῖς παροῦσι πιστώσας, οἷος αὐτοῖς περὶ τῶν ἀπόντων ἐγνώσθης.[2]

λή. Οὕτω δὲ σεαυτὸν φιλίᾳ περιφράξας, ἔσῃ[3] *τοῖς μὲν εἰς ἑτέρους καὶ εἰς τὰ κοινὰ πλημμελοῦσιν ἀπαραίτητος, τοῖς δὲ εἰς σὲ ἁμαρτάνουσι συμπαθέστατος.*[4] *Διὰ μὲν γὰρ ἐκείνου εὐνομία ἔσται τῇ πολιτείᾳ, καὶ ἡ σὴ περὶ τοὺς ἀρχομένους ἐπίδηλος σπουδὴ καὶ κηδεμονία· διὰ δὲ τούτου τὸ φιλάνθρωπον τῆς γνώμης καὶ ὁ βασίλειος ὡς ἀληθῶς ἀνακηρύττεται τρόπος. Οἱ μὲν γὰρ τύραννοι τὰ κοινὰ τῶν ἀδικημάτων καὶ τὰ εἰς ἀλλήλους πολλάκις ὑπερορῶσι, πικρῶς δὲ τὰ εἰς ἑαυτοὺς ἐξετάζουσι· βασιλέως δέ ἐστι καὶ Ἀρχῆς ἐννομωτάτης ἔργον, τὰ μὲν εἰς ἑαυτὸν φιλανθρώπως φέρειν, τὰ δὲ εἰς κοινὰ καὶ εἰς ἀλλήλους δικαίως εὐθετεῖν καὶ διεξάγειν.*

λθ'. Ὥσπερ πολλῶν ἐπαίνων ἄξιος ὁ μεγάλην ἐξουσίαν τοῦ ἀδικεῖν λαβὼν καὶ τὰ δίκαια πράττων, οὕτω πολλῶν ὑπεύθυνος ψόγων ὁ μηδενὸς ἐνδεὴς τῶν ἀναγκαίων καὶ εἰς τὰ ἀλλότρια τὰς χεῖρας ἐκτείνων. Ἀνδρὶ μὲν γὰρ πενομένῳ πρόφασις, εἰ καὶ παράλογος, τοῦ ἀδικεῖν ἡ πενία· ἀνὴρ δὲ δυναστείαν ἔχων, καὶ ἀπορίαν οὐκ ἔχων, ἀναπολόγητον ἔχει τὴν ἀπὸ τοῦ ἀδικεῖν ἁμαρτίαν.[5]

---

[1] Ὤφειλε μὲν μετὰ τοῦ δυνητικοῦ ἂν ἐξενεγκεῖν τὴν Εὐκτικήν, ὡς καθαρῶς δυνητικοῦ ὄντος τοῦ λόγου· ἀλλὰ σύνηθες Φωτίῳ τὸν τοιοῦτον λόγον δι' ἁπλῆς ἐκφέρειν Εὐκτικῆς. Οὕτω καὶ μικρὸν ἔμπροσθεν (§ λστ') εἶπε· "πόθεν ἡμῖν ἀλλαχόθεν ἡ τῆς ἀληθείας ἔσοιτο γνῶσις;" ὅπερ Μοντακ. διορθοῦν παρῄνει "ἔσεται" (Ἴδε τὰ ἐκεῖ μοι σεσημειωμένα).

[2] Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. κστ')· "Ἀλλὰ καὶ οὓς ἤδη κέκτησαι φίλους, εἰ βούλει πλέον "ἐφέλκεσθαι, ἐπαίνει ἀπόντας ἐπὶ τῶν παρόντων· καὶ γὰρ οὕτω δόξειας ἂν ἐπαινεῖν καὶ τοὺς παρόντας "ἐπὶ τῶν ἀπόντων." Ἀμφότερα δὲ κατὰ τὸ Ἰσοκράτειον· "Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς "παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν" (π. Δημ. § δ').

[3] Ἴσως ἐγέγραπτο κατὰ Προστακτ.—ἔσο.

[4] Ὡραιοτάτη καὶ ἡ ταύτῃ παράλληλος τοῦ Βασιλείου παραίνεσις (κεφ. ιδ')· "Ἵλεων ἔχειν βούλει "περὶ σὲ τὸν Θεόν; ἵλεως γενοῦ περὶ τοὺς ὑπηκόους καὶ αὐτός· κἂν γὰρ δεσπότης ἐκρίθης, ἀλλὰ καὶ "σύνδουλος ὑπάρχεις· ἕνα γὰρ δεσπότην τῶν ὅλων καὶ μόνον κεκτήμεθα πάντες ἄνθρωποι, καὶ πηλὸς "ἡμῶν τοῦ γένους εἷς ὑπάρχει προπάτωρ, κἂν κατ' ἀλλήλων οἱ χόες φυσώμεθα. Μέμνησο τοίνυν ὁ "ὑψηλὸς χοῦς σεαυτοῦ, καὶ εὖ ἴσθι, ὡς, ὅπου δ' ἂν ὑψωθῇς ἀπὸ γῆς, πάντως πάλιν κατενεχθήσῃ πρὸς "γῆν, καὶ οὐδέποτε κατὰ χοὸς ἐπαρθήσῃ ταπεινοῦ. Μέμνησο τῶν σεαυτοῦ σφαλμάτων πρὸς Θεόν, καὶ "ἐπιλήσῃ τῶν τοῦ πλησίον σφαλμάτων πρὸς σέ."

[5] Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. κζ')· "Χρήματα, εἰ μὲν δικαίως συνάγεται, πολλὰ τὸν κεκτημένον "ὀνήσει, καὶ ἰσχὺς τῇ βασιλείᾳ χρηματίσει· εἰ δὲ ἐξ ἀδικίας καὶ δακρύων πορίζεται, καὶ τὰ δικαίως "συνηγμένα συνεξαφανίζει, καὶ Θεὸν ἀντίδικον, τὸν τοῦ δικαίου νομοθέτην, ἐπισπᾶται, κ.τ.λ."

Digitized by Google

μ'. Ὅσῳ δέ τις προέχει τῇ Ἀρχῇ, τοσούτῳ χρεωστεῖ πρωτεύειν καὶ τῇ ἀρετῇ.[1] Ὁ δὲ τοὐναντίον ποιῶν τρία ἅμα καὶ κάκιστα ἐπιτελεῖ· ἀπόλλυσιν ἑαυτόν·[2] τοὺς ὁρῶντας εἰς κακίαν παρακαλεῖ·[3] βλασφημεῖσθαι παρασκευάζει τὸν Θεόν, ὅτι τοιούτῳ τηλικαύτην ἐνεχείρισεν Ἀρχήν.[4] Διὰ τοῦτο παντὶ μὲν ἀνθρώπῳ φευκτέον ἡ κακία, μάλιστα δὲ τοῖς ἐν τῇ Ἀρχῇ.

μά. Ἄρχε τοίνυν τῶν ὑπηκόων, μὴ πεποιθὼς τυραννίδι, ἀλλὰ τῇ τῶν ἀρχομένων εὐνοίᾳ. Εὔνοια γὰρ μεῖζον Ἀρχῆς βάθρον καὶ ἀσφαλέστερον, ἢ φόβος.[5] Τοῦτο δὲ ἀρετῶν τε κτῆσις ποιεῖ, καὶ οἱ περὶ τὸ ὑπήκοον πόνοι καὶ φροντίδες. Οὕτω δὲ αὐτός τε ὡς ἀληθῶς βασιλικῶς καὶ ἡδέως βιώσεις, κἀκείνοις ἐλευθέραν ἐπιβουλῆς καὶ συμφορῶν ἀλογίστων τὴν πολιτείαν συντηρήσας, ἀείμνηστον σαυτοῦ κλέος τὸν ἅπαντα χρόνον καταλείψεις.

μβ'. Νόμων τοὺς ἀκριβεστάτους ἐπαίνει καὶ ἀποδέχου· καὶ πρὸς ἐκείνους βλέπων τὸν σεαυτοῦ ῥύθμιζε βίον· μὴ μέντοι κατὰ τὰς ἐκείνων ψήφους τὸ ὑπήκοον ἀπαραιτήτους εἰσπράττου τὰς τιμωρίας, ἀλλὰ διὰ τῶν φιλανθρωποτέρων μᾶλλον παιδαγώγει· οὕτω τε γὰρ φοβερός, δι' ὧν σεαυτὸν ἀκριβολογεῖς, τοῖς ἁμαρτάνουσιν εἶναι δόξεις, καὶ ἀνεπαχθὴς τοῖς ὑπηκόοις.

μγ' Δεῖ δὲ ἐγκρατῶς ἄρχειν, οὐ τῷ κολάζειν, ἀλλὰ τῷ δοκεῖν κολαστικὸν εἶναι.[6] Τοῦτο δὲ ἦθος εὐσταθὲς ποιεῖ καὶ ἡ τῶν οἰκείων τρόπων σεμνότης καὶ ἐπιμέλεια· ὀργίλων δὲ μᾶλλον ἀνθρώπων ἢ φρονίμων αἱ κολάσεις· οἵτινες ἀπορίᾳ τοῦ δημαγωγεῖν σωφρόνως, ἐπὶ τὸ κολάζειν τρέπονται ῥᾳδίως. Καὶ τὸ μὲν καὶ ὁ τυραννικώτατος πράξειεν ἄν, τὸ δὲ

---

[1] "Ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσον περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦ-"τον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις" (Ἰσ. π. Νικ. § δ').

[2] Κατὰ γὰρ Εὐριπίδην, "ἡ τυραννὶς πάντοθεν τοξεύεται" (παρὰ Στοβ.).

[3] "Φιλεῖ γάρ πως ἀεὶ τὸ ὑπήκοον ζήλῳ τῆς τοῦ Ἄρχοντος γνώμης βιοῦν" ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (§ μζ'). "Ὁ τῶν ἀρχόντων τρόπος νόμος γίνεται τοῖς ὑπὸ χεῖρα."

[4] "Οὐ γὰρ ἔστιν ἐξουσία, εἰ μὴ ἀπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν" (Παῦλος π. Ρωμ. ΙΓ', 1—2). Ἐντεῦθεν μέντοι οὐ μόνον τὸ τῶν ἀρχομένων δείκνυται χρέος, τὸ τοῖς ἄρχουσι πείθεσθαι, ἀλλὰ καὶ το τοῦ ἄρχοντος αὐτοῦ, ὅν, ὡς ἐκ Θεοῦ τοῖς ἀνθρώποις δεδομένον, κοινόν τε πᾶσιν εἶναι προσήκει, καὶ εὐεργετικὸν καὶ φιλάνθρωπον, οἷα δὴ πατέρα κοινόν, ὡς τέκνων, τῶν ἀρχομένων ἐπιμελούμενον· ὅταν γὰρ μὴ τοιοῦτος ὢν τυγχάνῃ, τὴν ἑαυτοῦ καταγωγὴν ἀτιμάζει, καὶ βλασφημεῖσθαι παρασκευάζει τὸν Θεόν, ὅτι τοιούτῳ τηλικαύτην ἐνεχείρισεν ἀρχήν.

[5] Τοῦτο ἐν ταῖς Βασιλ. παραιν. (κεφ. μ') οὕτως ἐκφέρεται· "Ὡς ἀγαθὴ λίαν σώματι βασιλικῷ φυλακὴ "ἡ παρὰ τῶν ὑπηκόων εὔνοια σὺν Θεῷ, καὶ τὸ πάντας εὖ ποιεῖσθαι παρ' αὐτοῦ, καὶ μηδένα ὑφορᾶσθαι "τυραννικόν τι παθεῖν, κ.τ.λ." Ἀμφότερα δὲ κατὰ τὸ Ἰσοκράτειον· "Φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ "σώματος εἶναι τήν τε τῶν φίλων ἀρετήν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σαυτοῦ φρόνησιν, κ.τ.λ." (π. Νικ. ζ'). Ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (§ ρθ') "Ὅπλων καὶ ἀνδρίας καὶ στρατηγίας κραταιότερον καὶ "ἀσφαλέστερον νόμιζε τὴν εὔνοιαν τῶν ἀρχομένων."

[6] "Ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι, μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς "σῆς διανοίας, καὶ νομίζειν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἄμεινόν σε βουλεύεσθαι" (π. Νικ. ζ').

Digitized by Google

μόνος ὁ ἀρχικώτατος· εἴπερ ἄρχοντος ἀρετὴ μὴ φθείρειν, ἀλλὰ πλείους καὶ βελτίονας ποιεῖν τοὺς ἀρχομένους.

μδ'. Ἄρχοντος μέν τινες ἔφασαν ἀρετὴν ἐκ μικρᾶς μεγάλην πόλιν ποιῆσαι·[1] ἐγὼ δὲ μᾶλλον ἂν φαίην τὸ ἐκ φαύλης σπουδαίαν παρασκευάσαι· τοῦ μὲν γὰρ καὶ καιρῶν πολλάκις φορὰ γέγονε παραιτία· τὸ δὲ οὐκ ἔστι μὴ οὐχὶ παρὰ τοῦ ἄριστα διοικοῦντος γενέσθαι· Ὃν σὺ παραζηλῶν, δι' ὧν κατορθοῖς, ἀρετῇ τὴν τῶν ἀρχομένων αὔξεις πολιτείαν.

μέ. Ὥσπερ τεῖχος σαθρόν, κἂν οἰκίας ἔνδον ἔχῃ λαμπράς, καὶ ἀέρων εὐκρασίαν, καὶ ὠνίων[2] ἀφθονίαν, ὅμως τὴν πόλιν ἐξευτελίζει, οὕτως οἱ περὶ τὸν ἄρχοντα φαῦλοι καὶ τὸν ἐκείνου συνδιαβάλλουσι τρόπον· οἱ γὰρ ἐκείνων τῆς πονηρίας λαμβάνοντες πεῖραν καὶ τὸν ὑπ' αὐτῶν δορυφορούμενον παραπλήσιον ὑπολαμβάνουσιν εἶναι.[3]

μστ'. Μηδενὸς παρανομίαν, κἂν δοκῇ δι' αὐτῆς εὐημερεῖν, ἐπαινέσῃς· ἐκεῖνόν τε γὰρ μᾶλλον εἰς κακίαν ὑπαλείψεις, καὶ σεαυτὸν εἰς παραπλησίαν πρᾶξιν καιρὸν ἐπιζητεῖν ἀπελέγξεις. Ὁ γὰρ πρὸ καιροῦ ταῦτα, δι' ὧν ἐπαινεῖ, προθυμούμενος καὶ τιμῶν, τί ἂν οὐ ποιήσει,[4] τοιούτου καιροῦ παραπεπτωκότος;[5]

μζ'. Ὁ τῶν ἀρχόντων τρόπος νόμος γίνεται τοῖς ὑπὸ χεῖρα.[6] Εἰ οὖν, εἴ τι τὸ πλῆθος ἐξαμαρτάνει,[7] εἰς τὸν ἄρχοντα τὴν αἰτίαν ἀναπέμπει, πόσον οἴει σαυτὸν[8] [δεῖν] ἀρετῆς ἐπιμελεῖσθαι, καὶ χρεωστεῖν ἀεὶ ἐπὶ τοῖς καλοῖς ἐγρηγορέναι;

μή. Πάσης πράξεως βουλὴ προηγείσθω· αἱ γὰρ ἀνεπίσκεπτοι πράξεις ὡς τὰ πολλὰ

---

[1] Ἰσοκράτην αἰνίττεται λέγοντα· "Οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι προσήκειν αὐτοῖς (τοῖς βασιλεῦσι) "πόλιν τε δυστυχοῦσαν παῦσαι, καὶ καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι" (π. Νικ. γ'). Οὕτω δὲ καὶ Θεμιστοκλῆς ἔλεγεν, "ὅτι λύραν μὲν ἁρμόσασθαι καὶ μεταχειρίσασθαι ψαλτή-"ριον οὐκ ἐπίσταται, πόλιν δὲ μικρὰν καὶ ἄδοξον παραλαβὼν ἔνδοξον καὶ μεγάλην ἀπεργάσασθαι" (Πλουτ. Θεμιστ. § 2).

[2] Ἡμ. διόρθ. ἀντὶ—ὠνείων—παρὰ τοῖς ἄλλοις ἅπασιν.

[3] "Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδώς, ὅτι πάντες οἱ μή σοι πλησιάζοντες ὅμοιόν σε "τοῖς χρωμένοις εἶναι νομιοῦσιν" (π. Νικ. ή).

[4] Ἴσως ἐγέγραπτο τὴν ἀρχὴν—ποιήσειε.

[5] "Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, "οἷά περ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς" (π. Δημ. δ'). Λέγει δὲ καὶ Λυκοῦργος ἐν τῷ κατὰ Λεωκρ. (§ λέ)· "Τὸ ὑπὲρ τῶν ἀδικημάτων ἀπολογεῖσθαι τεκμήριόν ἐστιν, ὅτι καὶ τῶν πεπραγμένων οἱ τοιοῦτοι ἂν μετάσχοιεν."

[6] Οὕτως ὀρθῶς ἔγραψε Μίγνιος, ἀντὶ—τοῖς ὑπόχειρα—παρὰ Μοντακ.

[7] Οὕτω διώρθωσα τὸ παρὰ τοῖς ἄλλοις κακῶς, οἶμαι, γεγραμμένον "εἴ τι οὖν τὸ πλῆθος ἐξαμαρτάνει, εἰς τὸν ἄρχοντα τὴν αἰτίαν ἀναπέμπει, πόσον οἴει σαυτὸν ἀρετῆς ἐπιμελεῖσθαι;" κ.τ.λ. Δυνατὸν δὲ καὶ διὰ τοῦ ἑνὸς ὑποθετ. εὐοδοθῆναι τὸ χωρίον, εἴ τις θάτερον τῶν ῥημάτων "ἐξαμαρτάνει" εἰς Μετοχὴν βούλοιτο τρέψαι "ἐξαμαρτάνον." Προσέθηκα δὲ καὶ τὸ Ἀπαρέμφατον ΔΕΙΝ ἐλλεῖπον παρὰ τοῖς ἄλλοις ἅπασιν.

[8] Οὕτως ἄμεινον ἔγραψε Μίγνιος, ἢ Μοντακ.—οἴεις αὐτόν.

Digitized by Google

σφαλεραί·[1] καὶ τὸ κατορθούμενον δικαίως ἂν αἰτίας ἄλλης ἔργον νομισθείη μᾶλλον, ἢ τῆς τοῦ πολλάκις παρασφαλέντος ὁρμῆς καὶ περιπετείας.

μθ'. Ἅπερ χεῖρες πολλῶν, καὶ πολλάκις, οὐκ εἰργάσαντο, ταῦτα βουλὴ μία καὶ ἐφάπαξ κατεπράξατο. Δι' ὃ εὐβουλίαν προτίμα πολυχειρίας.

ν'. Προνοίας ἐπίκουρος ἡ μετάνοια. Ἃ τοίνυν ἐκείνην διέλαθε καὶ ἐκπίπτει, αὕτη ταῦτα ἐπανελομένη διορθούσθω καὶ διασωζέτω.

να. Ὁ φθόνος πάσῃ μὲν ψυχῇ μεγάλη νόσος, μεγίστη δὲ μάλιστα τοῖς ἐν ἐξουσίᾳ· ἀνάγκη γάρ, οἷς συνεργοῖς μέλλει χρῆσθαι καὶ βίου καὶ πόλεως πρὸς εὐδαιμονίαν, τούτους ὁρᾷν ὡς ἐχθροὺς διὰ τὴν ἐνοῦσαν ἀρετήν, καὶ ἐπιβουλεύειν ὡς πολεμίοις· οὗ τί ἂν εἴη ὀλεθριώτερον ἢ ἀφρονέστερον;

νβ'. Ὅσον δὲ δεῖ φυγεῖν τὸ φθονεῖν, τοσοῦτον διώκειν τὸ φθονεῖσθαι·[2] ἄρχοντι δὲ μάλιστα πρέπει, ᾧ μηδ' ἐξ ἑτοίμου ἡ ἀπὸ τῶν φθονούντων φέρεται βλάβη. Εἰ δεῖ δὲ ὅμως τὸν φθόνον περιστέλλειν (πολυμήχανον γὰρ καὶ πάντολμον τὸ θηρίον), οὐκ ἀρετῆς ἐλαττώσει, μετριότητι δὲ φρονήματος, καὶ ἀφαιρέσει καὶ περικοπῇ τῆς ἐν τοῖς οὐκ ἀναγκαίοις ἐπιδείξεως καὶ πλεονεξίας, τὰς αὐτοῦ βολίδας διακρουστέον.

νγ'. Ὅταν τις ἄρχῃ ἑαυτοῦ, τότε νομιζέτω καὶ τῶν ὑπηκόων ἄρχειν ἀληθῶς.[3] Ὅταν γὰρ ἴδωσι τὸν ἐφεστηκότα ἄρχοντα παθῶν καὶ κρατοῦντα ἡδονῶν, τότε πόθῳ καὶ ἑκόντες καὶ αὐτοὶ ὑποταγήσονται· ἂν δὲ ἀνδράποδον ἴδωσιν ἡδονῆς καὶ παθῶν, ἀφόρητον ἡγήσονται ἀνδραπόδῳ δουλεύειν αὐτοί.

νδ'. Ἄριστον νόμιζε δικαστήν, ὃς τάχει μὲν λογισμῶν τὴν τοῦ δικαίου φύσιν θηρεύει· θηρεύσας δὲ σὺν ὀρθότητι προάγει· καὶ πρᾶξαι μὲν ἄνεσιν τοῖς ἀδικουμένοις

---

[1] Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. ιή)· "Βουλῆς ἀρίστης οὐδὲν ἀσφαλέστερον, καὶ πράξεως ἀπρο-"βουλεύτου οὐδὲν σφαλερώτερον. Ἵνα οὖν μετ' ἀσφαλείας πράττῃς, ἃ βούλει, αἱροῦ προβουλεύεσθαι, "ἃ πράττεις, κ.τ.λ." Καὶ ἐν κεφ. λά· "Ἅπερ οὖν ἢ λέγειν ἢ πράττειν βούλει, μηδέποτε ἀπερισκέπτως "προβάλλῃ (ἴσ. γρ. προβάλλου, ἢ προβάλῃ), καὶ οὐδαμοῦ σεαυτῷ διαμαχόμενος φωραθείης, κ.τ.λ." Καὶ ταῦτα κατὰ τὸ Ἰσοκράτειον· "Οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς "ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας" (π. Δημ. δ').

[2] Κατὰ γὰρ Πίνδαρον "κρέσσων οἰκτιρμῶν φθόνος" (Πυθ. Α', 164)· κατὰ δὲ τὸν ἀπὸ σκηνῆς φιλόσοφον, "φθόνον οὐ σέβω· φθονεῖσθαι δ' ἐθέλοιμ' ἂν ἐπ' ἐσθλοῖς" (ἐν ἀποσπ. Φοίνικος, 11).

[3] Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. ί)· "Ὥσπερ βασιλεύειν τῶν λοιπῶν ἀνθρώπων προεκρίθης κατὰ "τὴν ἀξίαν, οὕτω προτερεύειν τῶν ὑπὸ χεῖρα πάντων σπεῦδε καὶ κατ' ἀρετήν· ἡ γὰρ ἀρετὴ κρείττων "ἐστὶ παντὸς ἀξιώματος. Εἰ οὖν κατὰ μὲν τὸ ἀξίωμα κυριεύεις ἁπάντων, κατὰ δὲ τὴν ἀρετὴν ὑπό τινων "κυριεύῃ, κατὰ μὲν τὸ ἔλαττον εἶ βασιλεύς, κατὰ δὲ τὸ κρεῖττον οὐκ εἶ βασιλεύς, ἀλλ' ὑφ' ἑτέρων βασι-"λευόμενος. Μὴ οὖν νόθος γίνου δεσπότης ἐν τῷ ὑφ' ἑτέρων κρατεῖσθαι· ἀλλὰ βασίλευε ἀληθῶς ἐν τῷ "πάντων κρατεῖν κατὰ τὸ μέρος τῆς ἀρετῆς." Καὶ ἐν κεφαλαίῳ ξγ'· "Ἴσθι, τέκνον ἐμόν, ὡς τότε σε "κατὰ τὴν ἀλήθειαν βασιλέα ὁρίσονται, ὅταν μὴ μόνον τῶν ὑπηκόων κρατῇς, ἀλλὰ καὶ τῶν ἡδονῶν "ἁπασῶν ἐπικρατῇς, κ.τ.λ." Ταῦτα δὲ κατὰ τὸ Ἰσοκράτειον· "Ἄρχε σεαυτοῦ μηδὲν ἧττον ἢ καὶ τῶν "ἄλλων· καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν "μᾶλλον, ἢ τῶν πολιτῶν (π. Νικ. ή).

Digitized by Google

ὀξύς, βραδὺς δὲ κολάσαι τοὺς ἁμαρτάνοντας· καὶ κρείττων μὲν χρυσίου, οὐκ ἐλάττων δὲ δυναστείας· καὶ κρατῶν μὲν ὀργῆς, οὐχ ἡττώμενος δὲ συμπαθείᾳ· καὶ μόνην μὲν συγγένειαν καὶ φιλίαν καὶ δόξαν οἶδεν ἐν τῷ δικάζειν τὴν δικαιοσύνην, μόνην δὲ ἀλλοτρίωσιν καὶ ἔχθραν καὶ ἀδοξίαν τὴν ἀδικίαν.[1]

νέ. Μηδὲν τῆς πρὸς τὸ ὁμόφυλον διαθέσεως εὐχερῶς καὶ χωρὶς ἐμφανοῦς αἰτίας μεταβάλῃς.[2] Εἰ γὰρ καὶ ὑπολανθάνουσαι παρ' αὐτῶν αἰτίαι τὴν πρὸς αὐτοὺς μεταβολὴν δικαίαν ποιοῦσιν, ἀλλ' οὖν οἱ ταύτας μὴ συνορῶντες οὐκ ἐκείνους αἰτιάσονται τῆς σῆς περὶ αὐτοὺς ἀλλοιώσεως, σοῦ δ' ἀῤῥωστίαν καὶ εὐχέρειαν κατηγορήσουσι γνώμης.

νστ'. Οὐχ οὕτως ἡ ἐν πολέμῳ ἀνδρία τὸν ἄρχοντα κοσμεῖ καὶ σώζει, ὡς ἡ πρὸς τοὺς ὁμοφύλους εὐμένεια καὶ φιλανθρωπία. Πολλοὶ γὰρ πολεμίων κρατήσαντες ὑπὸ τῶν οἰκείων δι' ὠμότητα διεφθάρησαν· καὶ πολλοὶ παρὰ μικρὸν ἁλῶναι πολεμίοις κινδυνεύσαντες, ὑπὸ τῶν ὁμοφύλων διεσώθησαν, οὐδ' αὐτὸ τὸ ζῆν ὑπὲρ τῆς σωτηρίας προτιμησάντων τοῦ ἄρχοντος.

νζ'. Ἄρχοντας δεῖ καθιστάναι, μάλιστα μὲν πάσαις πλουτοῦντας ταῖς ἀρεταῖς· εἰ δὲ μή, πάντως γε δικαιοτάτους·[3] καὶ γὰρ ἃ τοῖς ἄρχουσι παρανομεῖται, ταῦτα τὸ μῖσος καὶ τὴν ὀργὴν τοῦ πλήθους εἰς τὸν προχειρισάμενον ἀναφέρει.[4]

νή. Πολλαχόθεν δεῖ τὸν ἄρχοντα θηρεύειν τῶν ὑπηκόων τὰς γνώμας, καὶ οὕτω κοινωνοῖς χρῆσθαι φιλίας καὶ ἀρχῆς καὶ βουλευμάτων· πρῶτον, ἐξ ὧν αὐτὸς τὰ κατὰ τὴν αὐτοῦ οἰκίαν οἰκονομεῖ·[5] δεύτερον, ἐξ ὧν γυναικί τε καὶ παισὶ καὶ δούλοις συνδιατίθεται· τρίτον, ἐξ ὧν κέχρηται τοῖς φίλοις· τέταρτον, ἐξ ὧν πρὸς τοὺς ἐκ γειτόνων διάκειται· καὶ πέμπτον, ἐξ ὧν ἔχθραν τε ἀναδέχεται καὶ ἀμύνεται, καὶ πάλιν οἷς κατατίθεται καὶ διαλύεται. Ἱκανὰ γὰρ ταῦτα φύσιν ἀνδρὸς τεκμηριῶσαι, καὶ δεῖξαι γυμνὸν προσωπείου *καὶ* τοῖς ἐπὶ σκηνῆς ὑποκρίσεως τὸν ἄνθρωπον θεωροῦσιν.[6]

---

[1] "Δικαστοῦ μὲν γὰρ αὕτη ἀρετὴ (τὸ τὰ δίκαια μόνα σκοπεῖν, καὶ τούτοις τὸν νοῦν προσέχειν), ῥήτορος δὲ τἀληθῆ λέγειν (Πλάτ. Ἀπολ. Σωκρ. § ά).

[2] Ἡμ. διόρθ, ἀντὶ—μεταβάλλοις—παρὰ τοῖς ἄλλοις.

[3] Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. λ')· "Ἰατρὸς ἐκεῖνός ἐστιν ἄριστος, ὃς καταλλήλους τοῖς νοσήμασι "τὰς ἰατρείας ἐπιτίθησι· καὶ βασιλεὺς ἐκεῖνός ἐστιν ἀγαθός, ὅς, ἀδικουμένων τῶν ὑπηκόων, τοὺς τὰς "ἀδικίας ἐκδιώξοντας προβάλλεται ἄρχοντας, κ.τ.λ."

[4] Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. λχ')· "Δοιμοὺς ἄνδρας τῆς πολιτείας ἐξόριζε, καὶ μηδέποτε τοῖς "τοιούτοις ἀρχὴν καταπιστεύσῃς, ἵνα μὴ καὶ αὐτὸς ὅμοιος ἐκείνοις εἶναι δόξῃς, καὶ χαίρων ἐπὶ ταῖς ἐκείνων "ἀδικίαις· ἃ γὰρ ἂν ἐκεῖνοι πράξωσι κακά, σοὶ τούτων τὰς αἰτίας ἀναθήσουσι, κ.τ.λ." Ἀμφότερα δὲ κατὰ τὸ Ἰσοκράτειον· "Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς αἰτίας "ἔξων, ὧν ἂν ἐκεῖνοι πράξωσιν (π. Νικ. ή). Καὶ ἐν τῷ πρὸς Δημόν. δὲ (§ δ')· "Εἰς ἀρχὴν κατασταθείς, "μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν."

[5] "Τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο (ὁ νομο"θέτης) διαθήσειν· καὶ οὐκ ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρόν, "δημοσίᾳ δὲ χρηστόν" (Αἰσχ. κ. Τιμ. § ζ').

[6] Ὀρθῶς μὲν εἶπασε Μοντακούτιος οὐκ ἐῤῥῶσθαι τὴν γραφὴν ἐνταῦθα, κακῶς δ', οἶμαι, διωρθώσατο—

Digitized by Google

νθ'. Τότε κριτὴς ἄριστος ἔσῃ τῶν ἄλλων, ὅτε τὰ σαυτοῦ ἐπισκοπῶν λόγον ἑκάστης πράξεως ὑπὸ συνειδότι κριτῇ δίδως,[1] *καὶ διόρθωσιν ἐπινοεῖς τῶν ἡμαρτημένων.*[2] *Ἐπεὶ πῶς τοὺς ἄλλους ἐπιτιμῶν οὐκ ἐρυθριάσεις, ἐφ' οἷς αὐτὸς τὰ ὅμοια ἐξαμαρτάνεις; Πῶς δὲ ἐκείνους οἴει σοι διατεθῆναι, ἡνίκα ἐν οἷς ἀνεύθυνόν σε καθορῶσιν, αὐτοὶ δίκας εἰσπράττεσθαι δικαιοῦνται;*

ξ'. Ἐπαίνει τὰς ἀρίστας πράξεις· ἐπαίνει δὲ μὴ λόγῳ μόνον, ἀλλὰ δι' ὧν αὐτός τε μάλιστα τὰ ὅμοια πράττοις, καὶ δι' ὧν τοὺς μιμητὰς τῶν λοιπῶν προκρίνων ἐντίμους ἀποδεικνύοις· τὸ μὲν γὰρ καὶ τῶν τυχόντων, τὸ δὲ τῶν ἄρχειν ἀξίων.

ξά. Προνόει πάντων, τῶν μὲν ἐπιεικῶν, ὡς ἂν ἄριστοι γένωνται, καὶ τῆς ὀφειλομένης αὐτοῖς ἀπολαύσωσι τιμῆς καὶ τοῦ προνομίου· τῶν δὲ μὴ τοιούτων, ὡς ἂν βελτιωθῶσι τὰς γνώμας, καὶ τῆς ἀπὸ τῶν νόμων ῥυσθῶσιν ἀτιμίας· τοῦτο γὰρ ὡς ἀληθῶς Ἀρχῆς ἐννόμου καὶ ἐπιστασίας ἔργον.

ξβ'. Τὰς πρὸς ἀλλήλους τῶν ἀρχομένων ἔρεις εἰς τοὺς πολεμίους τρέπων, ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀγῶσι μετατίθει. Τυράννων μὲν γὰρ στασιάζειν τὰ πλήθη· ἐν γὰρ τῇ κοινῇ φθορᾷ καὶ διχοστασίᾳ ἡ τυραννὶς τὴν ἀσφάλειαν ἔχει· ἄρχοντος δὲ καὶ βασιλέως ἀστασίαστον συντηρεῖν τὴν ὁμόνοιαν τῶν ὑπηκόων· ἐν γὰρ τῇ τῶν ἀρχομένων σωτηρίᾳ τὸ βάθρον αὐτοῖς πέπηγε τῆς ἐξουσίας.

ξγ'. Ὥσπερ δεῖ τὸν ἄρχοντα φοβερὸν εἶναι τοῖς ἀδικοῦσιν, οὕτω φυλακὴν καὶ ἀσφάλειαν τῶν μηδὲν ἀδικούντων, ἀλλὰ κατὰ τοὺς νόμους πολιτευομένων.[3]

ξδ'. Τρία ἐστὶν ἐν ἀνθρώποις, τιμωρία, ψόγος, ἔπαινος· εἰ βούλει δέ, καὶ εὐεργεσία. Ἀλλὰ τῆς μὲν οἱ πολέμιοι ἄξιοι· ψόγου δὲ οἱ μέτρια τῶν πολιτῶν ἁμαρτάνοντες· ἐπαίνου δὲ καὶ εὐεργεσίας οἱ διαφέροντες κατορθώμασιν. Εἰ δέ τις εἰς τὴν τῶν πολεμίων τόλμαν καὶ μίμησιν ἐξαχθείη, αὐτὸς καὶ τὴν ἐκείνων ποινὴν εἰς ἑαυτὸν ἐπιστρέφει· ὁ δέ τι τούτων

" καὶ τῆς ἀπὸ σκηνῆς ἀποκρίσεως τὸν ἄνθρωπον θεωροῦσιν."—οὐδεμίαν γὰρ ἔχει συνεπῆ ἔννοιαν οὕτω γραφόμενον· ἀλλ' ὀρθότερον, ἐμοὶ δοκεῖν, ἔξει, περιαιρουμένου τοῦ συνδέσμου ΚΑΙ, ὅπως ἔχῃ τὸ ἑξῆς— καὶ δεῖξαι γυμνὸν προσωπείου τὸν ἄνθρωπον τοῖς θεωροῦσιν αὐτὸν ἐπὶ σκηνῆς ὑποκρίσεως (τοῦτ' ἔστιν, ὡς ὑποκριτὴν ἐπὶ σκηνῆς τοῦ θεάτρου). Διὰ δὴ τοῦτο ἀστερίσκοις τὸν σύνδεσμον περιέβαλον, ὡς ὀβελιστέον.

[1] *Καὶ τοῦτο Μοντακ. κακῶς οἴεται γεγράφθαι, καὶ ὧδε διορθοῦν παραινεῖ· " Ὅτε τὰς ἑαυτοῦ ἐπισκοπῶν πράξεις, λόγον ἑκάστης ὑπὸ συνειδότι κριτῇ δίδως." Ἐμοὶ δὲ δοκεῖ μιᾶς μόνης χρῄζειν διορθώσεως, ἣν καὶ ἐποίησα, γράψας " τὰ σαυτοῦ" ἀντὶ " τὰς αὐτοῦ." Δυνατὸν δὲ καὶ κατὰ χώραν ἅπαντα ἐᾶσαι, εἴ τις βούλοιτο ἐκ τοῦ ἑπομένου τὸ οὐσιαστικὸν " πράξεις" εἰς τὸ ἡγούμενον " τὰς αὐτοῦ" ὑπονοεῖν, καὶ τὴν τριτοπρόσωπον " αὐτοῦ" ἀντὶ τῆς δευτεροπροσώπου " σαυτοῦ" ἐκλαμβάνειν, κατὰ τὸ " δαίμων ἑαυτῷ πλουσίαν γήμας ἔσῃ" (ἴδε Ἀσωπ. π. Ἑλ. συντ. περ. Β', σελ. 54).*

[2] *" Ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστοις τοῖς ἁμαρτήμασι " περιπίπτῃς" (Ἰσ. π. Νικ. θ').*

[3] *" Τοὺς φόβους ἐξαιροῦ τῶν πολιτῶν, καὶ μὴ βούλου περιδεὴς εἶναι τοῖς μηδὲν ἀδικοῦσιν· ὅπως γὰρ " ἂν τοὺς ἄλλους πρὸς σεαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς ἐκείνους ἕξεις" (Ἰσ. π. Νικ. ζ').*

Digitized by Google

ἀμείβων καὶ τὴν διάταξιν ἐπαλλάσσων, οὗτος ἐχθρὸς τῆς πολιτείας πλέον ἢ οἱ πολέμιοι· ὅ τε γὰρ τοὺς πολεμίους εὐεργετῶν, προδότης, ὅ τε τοὺς φαύλους ἐπαινῶν τὴν πόλιν ἀνατρέπει· ἐπὶ κακίαν γὰρ παρακαλεῖ τοὺς πολίτας· καὶ ὁ τοὺς κατορθοῦντας μὴ τιμῶν εἰς τὴν αὐτὴν ἀκοσμίαν τὴν πολιτείαν καταστρέφει.

ξέ. Χαλεπὸν μὲν φόβον ἀγάπῃ κεράσαι· οἱ γὰρ φιλοῦντες ὡς ἐπίπαν τὸ δέος οὐκ ἔχουσι, καὶ οἱ δεδιότες φιλεῖν οὐκ ἐθέλουσιν. Σὺ δὲ δίελε· καὶ τοὺς μὲν ἀρίστους φιλεῖν παρασκεύασον (οὐδὲν γὰρ δεῖ δέους ἐπὶ τοῖς τοιούτοις)· τοὺς δ' ἄλλους ἀνάγκη φοβεῖν, ἵνα τῶν φαύλων ἀπέχωνται. Φοβήσονται δὲ χωρὶς μίσους, ἂν μὴ μετ' ὀργῆς ὀρῶσι κολάζοντα, ἀλλ' ὡς πατέρα παιδεύοντα· καὶ ἐν μὲν τοῖς ἁμαρτήμασιν οὐχ ἡδέως τιμωρούμενον, ἐν δὲ ταῖς συμφοραῖς καὶ τοῖς δυστυχήμασιν ἀπροφασίστως ἐπικουρεῖν προθυμούμενον.

ξστ'. Οἱ χρώμενοι τοῖς ἐκ φύσεως πλεονεκτήμασιν εἰς πονηρίας ὑπηρεσίαν, ἀλλὰ μὴ πρὸς τὴν τῶν πλησίον εὐεργεσίαν, οὗτοι καὶ τὴν φύσιν φαυλίζουσι, καὶ τῷ δημιουργῷ τὴν περὶ αὐτοὺς φιλοτιμίαν εἰς ὕβριν καὶ ἀχαριστίαν περιτρέπουσιν.

ξζ'. Ὥσπερ αἰσχρὸν καὶ ταπεινὸν πρὸς ἡδονὴν ὁμιλεῖν τῷ πλήθει, οὕτως ἐπικίνδυνον καὶ σφαλερὸν ἀεὶ σοβαρεύεσθαι καὶ ὑπέρογκον ὁρᾶσθαι. Δεῖ τοιγαροῦν ἑκάτερον ἄκρον φυγόντα, ὡς ἀρετήν, τὴν μεσότητα διώκειν, καὶ καιροῖς ἰδίοις τὸ πρόσφορον ἀπονέμειν.

ξή. Προπετὴς ὅρκος πρόχειρος ἐπιορκία· ἄλλως τε δὲ καὶ τὸ ὀμνύειν ὅλως ἦθους οὐκ εὖ βεβηκότος, οὐδὲ φρονήματος εὐγενοῦς· ὁ δὲ εὐσταθὴς καὶ μεγαλόψυχος ἀνὴρ αἰσχυνθήσεται τοὺς λόγους ὅρκῳ πιστοὺς ἀποφαίνειν, καὶ τὴν διὰ τῶν οἰκείων τρόπων πίστιν ἀτιμάζειν.[1] Λίαν ἄρα συμφερόντως καὶ κηδεμονικῶς καὶ ὁ Δεσποτικὸς νόμος τὸν ὅρκον κωλύει.[2]

ξθ'. Ἃ μὲν εὖ πάθοις, ἀεὶ μέμνησο· ὧν δ' ἂν εὖ ποιήσαις, θᾶττον ἐπιλανθάνου·[3] τὸ μὲν γὰρ χρηστότητος καὶ εὐγνωμοσύνης, τὸ δὲ καθαρᾶς μεγαλοψυχίας, καὶ καθαρὰν φυλάττει τὴν εὐεργεσίαν.

ό. Εὐεργεσίας καὶ συμφορὰς ὀνειδίζειν τῆς αὐτῆς εἶναι νόμιζε κουφότητος καὶ ἀπανθρωπίας.

οά. Ἀπάτη μὲν πανταχοῦ ἀσθενείας ὁμολογία· ἀλλ' εἰ μὲν ἐν φίλοις, κακόν τε ἔσχατον καὶ ὑπερβαλούσης μοχθηρίας· εἰ δὲ πρὸς ἐχθροὺς καὶ πολεμίους, μηδὲν μὲν προειδότας, οὐ πόῤῥω στρατηγίας· κοινολογίας δὲ γενομένης, καὶ ταύτην οὐκ ἀθετοῦντας, πόῤῥω ἀριστείας καὶ ἀνδραγαθίας. Δι' ὃ μηδὲ τοὺς πιστεύοντάς σοι πολεμίους ἀπάτῃ

---

[1] "Δεῖ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους" (Ἰσ. π. Δημ, δ').

[2] "Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως" (Ματθ. Ε', 34).

[3] Κατὰ τὸ γνωστόν—"Χάριν λαβὼν μέμνησο, καὶ δοὺς ἐπιλάθου."

Digitized by Google

μετέρχου. Εἰ γὰρ καὶ πολέμιοι, ἀλλ' ὅμως οὐδὲν ἔλαττον ἀπατεῶν καὶ πλάνος ὁ τοὺς πεπιστευκότας ἐξαπατήσας.

οβ'. Προδότην ὡς τὰ πολλὰ οἱ ἄνθρωποι προδιδόντα μὲν φιλοῦσι, προδεδωκότα δὲ μισοῦσιν.[1] Σὺ δὲ ἐπισκόπει· κἂν μὲν ἐπιβουλευθεὶς ὑπὸ τῶν οἰκείων, καὶ χαλεπὰ παθών,[2] προΐδωκεν, οὐκ ἀνέλπιστόν ἐστι φίλον καὶ καλὸν γενέσθαι· ἂν δὲ μηδέν, καὶ σαυτοῦ μηδὲν ἔλαττον νόμιζε προδότην. Τὸ μὲν γὰρ ἀμείψασθαι κακοῖς τοὺς λελυπηκότας ἀνθρώπινον πάθος· τὸ δὲ τηλικαύτης ἄρξαι κακουργίας, ἀνιάτου μοχθηρίας.

ογ'. Χρυσὸς ἅπαντα τ' ἀνθρώπινα στρέφει. Φύλαττε τοιγαροῦν τὸ τῆς πατρίδος ἀνύβριστον ἔθος,[3] ἄχρηστον καὶ νομίζων καὶ πᾶσιν ἐπιδεικνὺς τὸν τοῖς φιλοῦσιν ἰσχυρὸν ἐπίβουλον χρυσόν.

οδ'. Δεῖ τὰ μὲν ἴδια συμπίπτοντα εὐχαρίστως καὶ γενναίως φέρειν, τὰ δὲ τῶν ὑπηκόων συμπαθῶς καὶ οὐκ ἀναλγήτως· τὸ μὲν γὰρ καρτερίας καὶ φρονήματος ἀνδρείου, τὸ δὲ[4] ὀλιγωρίας, καὶ ἀνάξιον ἀρχικῆς προνοίας καὶ ἐπιστασίας.

οε. Ἐχθροὺς ὁμοφύλους[5] μὴ ἀμύνασθαί ἐστι μὲν θεῖος καὶ φιλάνθρωπος νόμος,[6]

---

[1] "Οθεν δὴ καὶ Φίλιππος ὁ Μακεδὼν ἐρωτώμενος, οὕστινας μάλιστα φιλεῖ, καὶ οὕστινας μάλιστα μισεῖ, τοὺς μέλλοντας, ἔφη, προδιδόναι μάλιστα φιλῶ, τοὺς δ' ἤδη προδεδωκότας μάλιστα μισῶ. Δημοσθένης δὲ ἐν τῷ περὶ στεφάνου (§ ιέ) τάδε περὶ τούτου φησίν· " Οὐδείς, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τοῦ προδιδόντος " συμφέρον ζητῶν χρήματ' ἀναλίσκει· οὐδ' ἐπειδὰν ὧν ἂν πρίηται κύριος γένηται, τῷ προδότῃ συμβούλῳ " περὶ τῶν λοιπῶν ἔτι χρῆται· οὐδὲν γὰρ ἂν ἦν εὐδαιμονέστερον προδότου. . . . . Ἀλλ' ἐπειδὰν τῶν " πραγμάτων ἐγκρατὴς ὁ ζητῶν ἄρχειν καταστῇ, καὶ τῶν ταῦτ' ἀποδεδομένων δεσπότης ἐστίν· τὴν δὲ " πονηρίαν εἰδώς, τότε δή, τότε καὶ μισεῖ καὶ ἀπιστεῖ καὶ προπηλακίζει."

[2] Ταύτην προειλόμην τὴν γραφήν, ἐν τῷ περισελιδίῳ τοῦ χειρογράφου ὑπάρχουσαν, ἀντὶ τῆς ἐν τῷ κειμένῳ—" καὶ χαλεπῶν παθῶν," ἣν Μοντακ. προείλετο. Ὅτι δ' ὀρθοτέρα ἡ γραφὴ αὕτη, δῆλον ἐκ τοῦ ἀμέσως ἑπομένου—" ἂν δὲ μηδέν"—ἔνθα προφανῶς ἀναπληροῦται ἀπὸ κοινοῦ—" ἂν δὲ μηδὲν παθὼν προΐδωκε"—Σημειοῦ δὲ καὶ τὴν χρῆσιν τοῦ ὑποθ. ΑΝ μετὰ παρωχημ. χρόνου Ὁριστικῆς.

[3] Οἱ γὰρ Βούλγαροι τότε, ὡς καὶ καθ' ἡμᾶς οἱ πρὸ μικροῦ γνωσθέντες Ἀμερικανοί, οὐδένα λόγον ἐποιοῦντο τοῦ χρυσοῦ· καὶ ἔοικεν ὁ μυθολογούμενος χρυσοῦς αἰὼν ἐν τούτῳ συνίστασθαι τῷ ἔθει, μηδαμῶς ἅπτεσθαι τοῦ χρυσοῦ. Διὸ καὶ ἐν εἰρήνῃ τότε διῆγον· " Χρυσὸς γὰρ ἅπαντα τ' ἀνθρώπινα στρέφει."—Ταῦτα Μοντακ. σημειῶν καὶ τούς δε τοῦ Ῥωμαίου ποιητοῦ Τιβούλου παρατίθησι τοὺς στίχους·

Divitis hoc vitium est auri; nec bella fuerunt
Faginus astabat cum scyphus ante dapes:
Non acies, non vallus erat, somnumque petebat
Securus varias dux gregis inter oves.

τοῦτ' ἔστιν.—" Τοιαύτη τίς ἐστιν ἡ τοῦ πολυτίμου χρυσοῦ κακία· οὐ γὰρ ἦσαν πόλεμοι, οὐ μάχαι, οὐδὲ πολιορκίαι, ὅτε φήγινα σκύφη τὰς τραπέζας ἐκόσμουν· ὁ δὲ ποιμὴν ἀσφαλὴς ἐν μέσῳ τῷ ποιμνίῳ ἐκάθευδεν."

[4] Τοῦτ' ἔστι, τὸ ἀναλγήτως φέρειν τὰ τοῖς ὑπηκόοις συμπίπτοντα.

[5] Μοντακ. γράφειν παραινεῖ—ὡς ὁμοφύλους.

[6] " Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, κ.τ.λ." (Ματθ. Ε', 44).

Digitized by Google

ἐστὶ δὲ καὶ πολὺ τὸ χρήσιμον ἐν αὐτοῖς τοῖς πράγμασι παρέχων. Ὁ μὲν γὰρ ἀμυνόμενος ἔχει πάλιν χαλεπώτερον ἐχθρόν, ὁ δ' εὐεργετῶν ἢ φίλον παρεσκεύασεν ἀντὶ ἐχθροῦ, ἢ πάντως πραότερον ἐχθρόν.

οστ'. Μηδὲν, ὧν ἄλλοις ἔγνως ἐπαγγέλλειν, φαίνου παραβαίνων. Ἡ γὰρ ἔν τισι ψευδολογία τὸν ὅλον τρόπον ἄπιστον δεικνύει· καὶ τοῖς διαψευσθεῖσιν οὐκ ἔστιν αἰσχύνη μὴ ἀμείβεσθαι τοῖς ὁμοίοις. Παντὶ μὲν οὖν ἀνθρώπῳ διὰ τοῦτο φευκτέον τὸ ψεῦδος, μάλιστα δὲ τοῖς ἐν δυναστείᾳ·[1] τοῖς μὲν γὰρ ἄλλοις ἔσθ' ὅτε γίνεται ἀπολογία ἡ ἀδυναμία· τοῖς δὲ οὐκ ἔστι καταφυγὴ μὴ οὐχὶ παντὶ τρόπῳ μοχθηροὺς τὰς γνώμας ἐλεγχθῆναι.

οζ'. Τὰς μετὰ σφοδρότητος ὑποσχέσεις εὐλαβεῖσθαι χρή. Εἴτε γὰρ παράσχοις, τὴν πλείστην προαφεῖλες χάριν, τῇ σφοδρότητι τῆς ἐπαγγελίας ταύτην προκαταμερίσας, καὶ εἰς δύο τὴν μίαν δωρεὰν κατασμικρύνας· εἴτε μὴ παράσχοις, διπλῆν ἀπήνεγκας τὴν αἰσχύνην, ὅτι τε σφοδρῶς ὑπέσχου, καὶ ὅτι μηδὲν ὧν ὑπέσχου παρέσχες· καὶ δυσμενὴς ὤφθης ἀντὶ φίλου· ἀφεῖλες γὰρ ὃ παρέσχον αἱ ἐλπίδες. Ἄλλως τε δέ, καὶ αἱ σφοδραὶ ὑποσχέσεις ἁρμόζουσι τοῖς οὐ λίαν πιστευομένοις· ἐλέγχουσι δὲ καὶ ὡς οὐ κηδεμονίας μᾶλλον ἢ χρείας ὑποτεινόμεναι χάριν.

οη'. Ἄξιος χαρίτων ὁ εὐλαβούμενος αὐτῆς καὶ τὴν φύσιν καὶ προσηγορίαν, καὶ μὴ παυόμενος μελετᾷν, ἕως ἂν αὐτὴν ἀνταποδώσῃ.[2] Ὥσπερ δὲ ἀνάξιος χαρίτων ὁ ἀχαριστίᾳ γνώμης ἀμείβων τὸν εὐεργέτην, οὕτως ἄξιος τοῦ τῆς εὐεργεσίας ἀξιώματος ὁ χαριζόμενος ἐφ' ᾧ μὴ ἀνταπολαβεῖν τὴν χάριν.

οθ'. Μηδὲν παράνομον μηδὲ φίλοις χαρίζου· ἂν μὲν γὰρ ἐπιεικεῖς ὦσι, μισήσουσι μᾶλλον παρανομοῦντα, ἢ φιλήσουσι χαριζόμενον· ἂν δὲ φαῦλοι, διπλῆν ζημίαν ὑπέμεινας, κακοὺς εὐεργετῶν, καὶ ἀγαθοῖς ἀπεχθανόμενος. Καὶ χωρὶς δὲ τούτων, τέρψει προσκαίρῳ καὶ ἰδιωτικῇ αἰδίου ὄνειδος ἀλλάξασθαι καὶ κοινόν, μεγάλης ἀνοίας.

---

[1] Ἐν δὲ ταῖς Βασιλ. παραιν. (κεφ. κθ')· "Ἀληθῆ λόγον περὶ πλείστου ποιοῦ καὶ αὐτὸν ἔχειν, καὶ "ἑτέρους τοὺς ἔχοντας οἰκειοῦσθαι· οὕτω γὰρ βέβαιος εἶναι δόξεις πρὸς ἅπαντά σου τὰ λεγόμενα καὶ "πραττόμενα, καὶ ἀνύποπτον καὶ βεβαίαν τὴν εἰς σὲ φιλίαν διαφυλάξεις· εἰ γὰρ ψευδέσι λόγοις χρῆσθαι "ὑποπτευθείης, κἂν βασιλεύειν κατηξιώθης, ἀλλ' ἀνάξια τῆς τοιαύτης ἀξίας διαπραττόμενος ἐλεγχθείς, "καὶ περιδεεῖς τοὺς ὑπὸ χεῖρα, καὶ τεταραγμένους σοι πάντας εἶναι παρασκευάσεις· ὅσον γὰρ ὁ τῆς "ἀληθείας λόγος τὸν κεκτημένον ἄνδρα ποθητὸν ἀπεργάζεται, τοσοῦτον ὁ ψευδής τε καὶ ὕφαλος τὸν "ἐπιτηδεύοντα μισεῖσθαι παρασκευάζει." Ἀμφότερα δὲ κατὰ τὸ Σολομώντειον· "Μηδὲν ψεῦδος ἀπὸ "γλώσσης βασιλέως λεγέσθω, καὶ οὐδὲν ψεῦδος ἀπὸ γλώσσης αὐτοῦ οὐ μὴ ἐξέλθῃ" (Παροιμ. ΚΔ', 22). Λέγει δὲ ὁ αὐτὸς Σολομὼν καὶ ἐν κεφ. Θ' τάδε περὶ ψεύδους· "Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποι"μανεῖ ἀνέμους, ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα· ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ "ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται· διαπορεύεται δὲ δι' ἀνύδρου ἐρήμου, καὶ γῆν διατεταμένην ἐν "διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν." Ἰσοκράτης δέ· "Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου "προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους μᾶλλον ἢ τοὺς τῶν ἄλλων ὅρκους" (π. Νικ. ζ').

[2] Σημειωτέον τὸν Ἀόριστον "ἀνταποδώσῃ" ἀντὶ "ἀνταποδῷ," ὡς καὶ κατωτέρω "ὑφέξῃ" ἀντὶ "ὑπόσχῃ" (ἐν § πστ'), συνηθεστάτους καὶ παρ' ἡμῖν.

Digitized by Google

π'. Αἱ χάριτες ταῖς ἀναβολαῖς καὶ παρατάσεσι τοῦ χρόνου, ὥσπερ εἰς γῆρας ἐλθοῦσαι, τὸ οἰκεῖον μαραίνονται κάλλος· τὸ γὰρ ἄνθος ἀποβαλοῦσαι τῆς προθυμίας, μεθ' ἧς ἀμήχανόν τινα καὶ λαμπρὰν ἐποιοῦντο τὴν τέρψιν, οὐ καθ' ὥραν[1] φέρουσι τὴν εὐφροσύνην.[2]

πά. Αἱ χάριτες, ἡμιτελεῖς οὖσαι, οὐκ ἐθέλουσι χάριτες εἶναι· ἔσονται δέ, ἐπειδὰν τετελειωμέναι ὦσιν· ὁ δὲ ταύτας ἐξ ἡμισείας κατατιθεὶς ἑαυτὸν ἐζημίωσε, καὶ τὸν λαβόντα οὐκ εὔφρανεν. Ὁ γὰρ ἡμίτομον τὴν χάριν ἀπειληφώς, οὐχ οὕτω τῷ ἡμίσει εὐφρανθήσεται, ὡς ὑπὲρ τοῦ ἀφαιρέματος ἀνιάσεται.

πβ'. Ὁ τὰς χάριτας ὀνειδίζων ὅμοιός ἐστι τῷ γεωργῷ, σπείροντι μὲν προθύμως, ἐπαφέντι δὲ χοίρους καὶ θηρία τῷ σπόρῳ. Ὡς γὰρ ἐκεῖνος καὶ τὸ σπέρμα καὶ τὸν ἐξ αὐτοῦ λυμαίνεται καρπόν, οὕτω καὶ οὗτος καὶ τὰ καταβληθέντα καὶ τὴν βλαστάνουσαν αὐτῷ προσαπόλλυσιν εὐχαριστίαν.

πγ'. Μηδὲ κατὰ πρώτας εὐεργετῶν, ἔπειτα δὲ ἀμελῶν, νόμιζε τὴν ἐξ ἀρχῆς σοι εὔνοιαν τοὺς εὐεργετηθέντας διαφυλάττειν. Πολλοὺς γὰρ αὐτὸς ἐγὼ πεῖρᾳ διέγνων, ὅτι θαῤῥήσαντες τῷ πλήθει καὶ μεγέθει τῆς κατ' ἀρχὰς εὐεργεσίας, οὐδὲν ἐν τοῖς ἐφεξῆς ἐφρόντισαν ἐπιδείξασθαι τοιοῦτον· ἀρκέσειν γὰρ τοῖς εὐεργετηθεῖσι πρὸς τὴν διὰ βίου εὐχαριστίαν τὴν κατ' ἀρχὰς ἤλπισαν φιλοτιμίαν, καὶ χρόνον οὐδένα ἂν ἐγγενέσθαι λήθης τοῖς εὖ πεπονθόσι τῆς ἀγαθουργίας· τὸ δὲ οὐ μόνον οὐ κατὰ τὰς αὐτῶν ἐλπίδας ἀπέβη, ἀλλὰ καὶ εἰς τοὐναντίον ἐτράπη. Ἀλλὰ περὶ μὲν τῶν φαύλων τὴν προαίρεσιν οὐδὲν θαυμαστόν· οἱ γὰρ τοιοῦτοι, οὐδὲ ῥεούσης αὐτῆς εἰς χεῖρας ἴσως τῆς εὐεργεσίας, οὐδὲ τότε γλώσσαις ἀνοθεύτοις ἠμείβοντο τὰς εὐεργεσίας· πλὴν καὶ ἐπὶ τῶν ἄλλων, τοὺς μὲν καλοκαγαθίας ἐπιμελουμένους ἦν ἰδεῖν, ὡς εἶχον μὲν μνήμην ὧν ἔτυχον ἀπολελαυκότες, καὶ εὐλογεῖν οὐκ ἐξίσταντο τὸν εὐεργέτην· ὅμως δέ, μὴ τῶν ὁμοίων τυγχάνοντες, οὐδ' αὐτοὶ καθαρὰν καὶ ἀκήρατον τὴν ἀρχαίαν διέσωζον εὐγνωμοσύνην· ἀλλὰ τῷ χρόνῳ τὴν χάριν (οὐ γὰρ εἶχον ἐπιῤῥοήν) ὑπομαραινόμενοι, τὸ σφοδρὸν καὶ ὡραῖον ἀπηνθίζοντο τοῦ φίλτρου. Οἱ δὲ μέσης νομιζόμενοι διαθέσεως, εὐεργετούμενοι μέν, εὐχαρίστως διέκειντο, ἀμεληθέντες δέ, οὐδ' αὐτοὶ τὴν προτέραν διάθεσιν εἰς τοὐναντίον μεταβαλεῖν ἐνῃσχύνθησαν, μάλιστα βλέποντες ἑτέρους φιλοτιμιῶν ἀπολαύοντας. Οὐ γὰρ ἃ προπεπόνθασιν αὐτοί, καίτοι δέον, ἐλογίσαντο· οἷς δ' εὖ πάθοιεν οἱ πλησίον, ἐνητένιζον· καὶ τούτοις παρακνιζόμενοι τὴν εὐφημίαν εἰς ἀχαριστίαν ἔτρεπον. Πολλῷ ἄρα λυσιτελέστερον ἄρχοντι,

---

[1] *Μοντακ. εἰκάζει γραπτέον εἶναι—καθαράν.*

[2] *Τοῦτο Ἰσοκράτης μὲν (π. Δημ. δ') οὕτως ἐξήνεγκεν· "Ὁμιλητικὸς δὲ ἔση . . . . μὴ τὰς χάριτας "ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοί, ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουρ-"γοῦντες." Ὁ δ' "οὐ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδὴ" χρυσορῥήμων Εὐριπίδης ἐν τῷ ὑπὸ Λυκούργου τοῦ ῥήτορος διασωθέντι ἡμῖν ἀποσπάσματι τῆς τραγῳδίας "Ἐρεχθεύς" ὧδε·*

Τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται
ἥδιστον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μέν,
χρόνῳ δὲ πολλῷ δρῶσι, δυσγενέστεροι.

(Λυκ. κ. Λεωκρ. § κδ', ἔκδ. Κοραῆ).

Digitized by Google

καὶ ἐν πολιτείᾳ καὶ κατὰ μέρος,[1] διὰ βίου ταῖς δωρεαῖς, ἢ ἀθρόον καὶ ἐφάπαξ, οἰκειοῦσθαι τὸ ὑπήκοον· τὸ δὲ πλῆθος καὶ βάρος τῶν χαρίτων ἁρμόζει μᾶλλον τοῖς ὑπέρογκόν τι καὶ παράδοξον ἐπὶ κοινῇ σωτηρίᾳ κοτωρθωκόσιν, ἢ τοῖς εἰς τὸ σπανιώτατον τῆς ἡμῶν ἐπικουρίας δεῖσθαι νομισθεῖσιν.

πδ'. Θυμός ἐστιν ἔκστασις ἑκούσιος καὶ τῶν ἰδίων φρενῶν ἀλλοτρίωσις·[2] ἃ γὰρ οἱ διὰ παντὸς μελαγχολῶντες κατεργάζονται, παραπλήσια τούτοις καὶ οἱ τῷ θυμῷ πληγέντες κατ' ἐκεῖνο καιροῦ διαπράττονται.

πέ. Ὥσπερ τὸ πῦρ τὴν τρέφουσαν ὕλην ἀφανίζει, οὕτω καὶ ὁ θυμὸς τὴν ἔχουσαν ψυχὴν κατεσθίει· πολλάκις δὲ καὶ φθορὰν ὁλόκληρον εἰργάσατο τοῦ ζώου.

πστ'. Μηδαμῶς μηδένα μηδὲ δικαίως θυμῷ κολάσῃς· ὡς γὰρ ἂν ὁ πάσχων τὴν δίκην ὑφέξῃ,[3] αὐτὸς ὅμως οὐδὲν ἔλαττον ἐξελεγχθήσῃ σφαλερῶς τῇ πράξει κεχρημένος. Διὸ καὶ κάλλιστά τις τῶν ἀρχαίων ἀπεθέσπισε πρὸς ἡμαρτηκότα· "ἐκόλασα ἄν σε, εἰ μὴ ἐθυμούμην."[4]

πζ'. Τυφλόν ἐστι πάθος ὁ θυμός, καὶ κρίνειν οὐκ ἔχων ἀπὸ τοῦ χείρονος τὸ κρειττον. Διὸ οὐδεμία ὄνησις παραίνεσις ὀργιζομένῳ· πεπαυμένῳ δέ, τὴν διὰ τῶν ἐλέγχων θεραπείαν προσενεκτέον κεράσαντι ἐπιεικείᾳ.[5] Οὔτε γὰρ τὰ δριμύτερα τῶν φαρμάκων ἄνευ μέλιτος τοῖς κάμνουσι προσάγειν ἐγνώκασιν οἱ ἰατροί, οὔτε τοὺς ἀκράτους ἐλέγχους ἡ τῶν ἀπαιδεύτων δέχεται ψυχή.

πή. Ὥσπερ ταχὺν ἐν ταῖς ἀξίων εὐεργεσίαις εἶναι προσῆκεν, οὕτω βραδὺν ἐν ταῖς

---

[1] Μετέστησα τὸν σύνδεσμον ΚΑΙ εἰς τὸν οἰκεῖον τόπον, ἀβλεψίᾳ, οἶμαι, τοῦ ἀντιγραφέως ἢ τοῦ τυπωτοῦ μετατοπισθέντα· φέρεται γὰρ παρὰ Μοντακ. ὧδε· "λυσιτελέστερον ἄρχοντι καὶ ἐν πολιτείᾳ, κατὰ μέρος, καὶ διὰ βίου ταῖς δωρεαῖς . . . . οἰκειοῦσθαι τὸ ὑπήκοον" κατὰ Μοντακ. δὲ καὶ Μίγνιος ἔγραψε, καὶ ταῦτα τῆς Λατινικῆς Μοντακουτίου μεταφράσεως σαφῶς τὸ τοῦ ἀντιγραφέως ἢ τυπωτοῦ διαδηλούσης ἁμάρτημα· "cum in republica administranda tum in privata vita."

[2] Παραπλήσιον τοῦτο τῷ τοῦ κωμικοῦ Φιλήμονος·

Μαινόμεθα πάντες, ὅτ' ἂν ὀργιζώμεθα·
Τὸ γὰρ κατασχεῖν ἐστι τὴν ὀργὴν πόνος.

Ἀλλὰ καὶ Κάτων ὁ πρεσβύτερος εἰώθει λέγειν χρόνῳ διαφέρειν τοῦ μαινομένου τὸν ὀργιζόμενον. Ἀριστοτέλης δὲ τὸν θυμὸν ὧδέ πως ὁρίζεται· "Ὁ θυμός ἐστι πάθος θηριῶδες μὲν τῇ διαθέσει, συνεχὲς δὲ "τῇ λήψει, σκληρὸν δὲ καὶ βίαιον τῇ δυνάμει, φόνων αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργὸν καὶ "ἀτιμίας, χρημάτων ἀπώλεια, ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν" (παρὰ Στοβ. ἐν Ἀνθολ. Κ').

[3] Τὸ μὲν ὡς τροπικὸν ἐνταῦθα = ὅπως ἄν· ὁ δὲ Ἀόριστος "ὑφέξῃ" ἀντὶ—ὑπόσχῃ, οἷος καὶ παρ' ἡμῖν συνηθέστατα—νὰ καθέξῃ—νὰ προσέξῃ—νὰ μεθέξῃ, κ.τ.λ. Τοιοῦτος καὶ ὃν ἐν § οὗ ἐσημειωσάμεθα "ἀνταποδώσῃ" ἀντὶ τοῦ Ἀττικοῦ "ἀνταποδῷ."

[4] Τοῦτο περὶ Πλάτωνος λέγεται· ὃς ὀργισθείς ποτέ τινι τῶν δούλων, χάριν ἔχειν τοῖς Θεοῖς ἐκέλευεν αὐτόν, ὅτι ὀργίζεται· κολασθῆναι γὰρ ἂν πάντως, εἰ μὴ ὠργίζετο (παρὰ Στοβ. ἔνθ. ἀνωτ.).

[5] "Ὁμιλητικὸς δὲ ἔσῃ, ... μὴ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ' ἂν "ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἶκων, πεπαυμένοις δὲ τῆς ὀργῆς "ἐπιπλήττων" (π. Δημ. δ').

Digitized by Google

τῶν αἰτίων τιμωρίαις· καὶ χαίρειν μὲν τιμῶντα τοὺς σπουδαίους, ἀνιᾶσθαι[1] δὲ κολάζοντα τοὺς ὑπευθύνους.

πθ'. Μηδενὶ μηδέποτε πιστεύσαντί σοι ἄπιστος ὀφθείης·[2] ἂν γὰρ ἄπιστοι γενώμεθα τοῖς πεπιστευκόσι, τίνες τοῖς ἄλλοις δόξομεν; καὶ μετὰ τίνων δὲ λοιπὸν ἀδεῶς καὶ ἡδέως βιώσομεν;

ρ'. Οὐκ ἐθέλει τὸ εἶναι μετὰ τοῦ οἴεσθαι συνεῖναι. Δι' ὃ ἐν οἷς ἂν τὴν οἴησιν ὁρᾷς, τὴν πρᾶξιν ὑπερόριον νόμιζε, καὶ διαπεφευγέναι τὸ εἶναι.

ρά. Αἰσχρόν ἐστιν ἀνδρῶν ἄρχοντα καὶ δεσπόζοντα γυναικῶν ἡττηθῆναι, καὶ δοῦλον ἡδονῶν ὀφθῆναι· ἣν δέ τις νόμῳ βοηθὸν ἐκτήσατο βίου, ταύτῃ συνοικῶν οὐχ ἁμαρτάνει. Ἀγαμία μὲν θεῖον πρᾶγμα, καὶ ὑπερφυές, καὶ μεῖζον πολιτικῆς ἀρετῆς καὶ εὐνομίας· μονογαμία δὲ φύσεως ἀνθρωπίνης ἔργον, εἴς τε γένους διαδοχήν, καὶ εἰς κοινωνίαν ἡμέρου καὶ φιλανθρώπου βίου καὶ πολιτείας εὐνομουμένης· πολυγαμία[3] δὲ ὑπέραισχρον καὶ μιαρόν, καὶ τῆς τῶν ἀλόγων ἀκολασίας καὶ ἀκαθαρσίας.

ρβ'. Ἀλέξανδρος ὁ Μακεδών, Ἀσίας κύριος δόρατι γεγονώς, τὰς Περσίδας ἔλεγε βολίδας ὀμμάτων εἶναι·[4] ὁ δὲ σώφρων ὡς ἀληθῶς ἀνήρ, καὶ δεσποτικῶν φύλαξ ἐντολῶν,[5] οὐ τὰς Περσίδας μόνον, ἀλλὰ καὶ πάσης γυναικὸς ὄψιν, ὡς ὀξὺ ψυχῆς βέλος καὶ θανατηφόρον, φεύξεται καὶ ἀποστραφεῖται.[6] Ἦχος μὲν φωνῆς ἔπληξεν ἀκοήν, καὶ δι' αὐτῆς ἐνετυπώθη τὸ πάθος τῇ ψυχῇ· κάλλος δὲ σωμάτων εἵλκυσεν ὀφθαλμόν, καὶ δι' αὐτοῦ δέσμιον λαβὼν κατεδουλώσατο τὸν αὐτοδέσποτον λογισμόν.[7]

---

[1] Ἐνεργητικῶς, οὐδὲν προσῆκον, παρὰ τοῖς ἄλλοις γέγραπται—ἀνιᾶσαι.

[2] "Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς "λόγους μᾶλλον, ἢ τοὺς τῶν ἄλλων ὅρκους" (Ἰσ. π. Νικ. ζ').

[3] Οὔ μοι δοκεῖ ὀρθῶς ἐνταῦθα σημειοῦν Μοντακούτιος, ὅτι διὰ τῆς ἀμφιλόγου ταύτης λέξεως τὴν τριγαμίαν καὶ τετραγαμίαν φεύγειν παραινεῖ Φώτιος· ἀλλὰ τὸ βαρβαρικὸν ἔθος τὸ πολλὰς ἅμα ἔχειν γυναῖκας, ὡς κτηνῶδες, κατακρίνει δικαίως. Ἐν τέλει δὲ καὶ τάδε προστίθησι Μοντακούτιος· "Ἀλλ' ὦ τοῦ αἴσχους! τὴν τοῖς λαϊκοῖς ἀπαγορευομένην πολυγαμίαν, ταύτην οἱ καθαρότητα καὶ ἁγνείαν ἐπαγγελλόμενοι οὐκ αἰσχύνονται τὰ νῦν ἀσκοῦντες." περὶ τίνων δὲ ταῦτα λέγει Μοντακούτιος; ἴδε τὰ περὶ τούτου ἐν τῇ Δ' ἐπιστολῇ (§ έ) σημειωθέντα.

[4] Τοῦτο Πλούταρχος ἱστορῶν, οὐ βολίδας, ἀλλ' ἀλγηδόνας ὀμμάτων φησὶ τὸν Ἀλεξανδρον τὰς Περσίδας ἀποκαλέσαι. "Τὰς δ' ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει τε καὶ με-"γέθει διαφερούσας, ἔλεγε παίζων, ὡς 'εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες.'" (ἐν βίῳ Ἀλεξ. § κά, ἔκδ. Κοραῆ.)—Καὶ παρ' Ἡροδότῳ δὲ (Ε', 18) ἀλγηδόνες ὀφθαλμῶν αἱ Περσίδες ἀποκαλοῦνται. Ἔοικε δὲ Φώτιον ἐξ ἑτέρου τινὸς τῶν τ' Ἀλεξάνδρου ἱστορησάντων τὴν ῥῆσιν παραλαβόντα, ἢ καὶ ἀπὸ μνήμης, ὥσπερ εἰώθει, γράφοντα, βολίδας γράψαι ἀντὶ—ἀλγηδόνας.

[5] Ματθ. Ε', 28.—Ἴδε καὶ Ἐπιστ. ΚΓ', ἔνθα διὰ μακρῶν ἡ ἐντολὴ αὕτη ἑρμηνεύεται· "Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, κ.τ.λ."

[6] Ὀρθ. γραπτ.—ἀποστρέψεται· ἀδόκιμον δὲ τὸ "ἀποστραφεῖται."

[7] Ὅμοιον τοῦτο τῷ τοῦ Φιλήμονος· "Ὁρῶσι πάντες πρῶτον, εἶτ' ἐθαύμασαν, εἶτ' εἰς ἐλπίδα ἐνέπεσον· οὕτω γίνεται ἐκ τούτων ἔρως." Ἐρεῖ δέ που καὶ Φώτιος αὐτὸς ἐν τοῖς ἑξῆς· "ἐκ γὰρ τοῦ ὁρᾶν γίνεται τὸ ἐρᾶν·" ἔνθα καὶ τοὺς ὀφθαλμοὺς δαδούχους ἔρωτος ἀποκαλεῖ (σημ. Μοντακ.).

Digitized by Google

γγ'. Ὥσπερ ἀδύνατον ἐν θαλάσσῃ πλέοντα ταραχῆς καὶ ζάλης ἀπείρατον διαμεῖναι, οὕτως ἀμήχανον τὸν κάλλη σωμάτων ἐπισκοποῦντα καὶ περιεργαζόμενον τῶν ἐκεῖθεν κυμάτων καὶ κινδύνων ἐκτὸς καθεστάναι.[1] *Δι' ὃ τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἐκτρέπεσθαι χρὴ τῶν παθημάτων· τοῦτο γὰρ καὶ συμφέρον καὶ οὐ χαλεπόν. Ἐπειδὰν δὲ τοῖς λογισμοῖς τὸ κακὸν ἐνσκήψῃ, καὶ τὸ εἴδωλον αὐτοῖς τῆς ἐπιθυμίας ἐντυπώσῃ, δυσαπόβλητον γίνεται τὸ πάθος, καὶ χαλεπὸν ἀπαλλαγῆναι.*

γδ'. Τινὲς τοὺς ἐρῶντας ἔφασαν ἐν ἀλλοτρίοις σώμασι τὴν ψυχὴν τὴν ἰδίαν ἔχειν· εὐλογώτερον δ' οἶμαι λέγειν αὐτοὺς ἐν ἀλλοτρίοις σώμασι τὸν νοῦν τῇ ψυχῇ συναπολωλεκέναι.

γε. Μέθην καὶ τρυφὴν τῶν ἀρχόντων ναυάγιον νόμιζε τῶν ἀρχομένων· ὅτε γὰρ ὁ κυβερνήτης καταποντίζεται τῇ πλησμονῇ καὶ τῷ οἴνῳ, πῶς οὐχὶ μυρίοις κύμασι καὶ κλύδωσιν ἐσχάτοις ἡ κυβερνωμένη προσαράξει πολιτεία, καὶ τῇ τοῦ κυβερνήτου ὑποβρυχίῳ[2] *συγκαταποθήσεται ἀπωλείᾳ;*[3]

γστ'. Μηδένα μηδέποτε ἀνθρώπων, μηδὲ τῶν τυχόντων, εἰς ἀπόγνωσιν συνελάσῃς· ἰσχυρὸν γὰρ καὶ ἄμαχον ἀπόγνωσις ὅπλον· καὶ πολλάκις ἀνάγκη στρατηγήσασα πράξεων παραβόλων ἀνελπίστους μεταβολὰς ἐξειργάσατο, καὶ πρὶν ἢ γενέσθαι μύθους νομιζομένας.

γζ'. Ἄριστον μὲν ἀνθρώπῳ μὴ διαμαρτεῖν, μηδὲ τῆς ὀρθῆς κρίσεως ἀποσφαλῆναι·

---

[1] *Κατὰ γὰρ Πλούταρχον (ἐν τῷ περὶ ἔρωτος) "τὸ μὲν πῦρ τοὺς ἁψαμένους καίει μόνον, οἱ δὲ καλοὶ "καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν· ἡ γὰρ ὄψις λαβὴ τοῦ πάθους ἐστίν"* (παρὰ Στοβ. ΞΣΤ', 7).—*Ἐν δὲ ταῖς Βασιλ. παραιν.* (κεφ. θ') *τάδε περὶ τούτου νουθετεῖται· "Σώματος ἐπιθυμία εὐμόρφου μή "σου κατακρατήσῃ, ὅτι χώματος ὀλίγου ἄξιον τὸ τοιοῦτον· σῶμα γὰρ μετ' ὀλίγον χῶμα πάλιν ὀλίγον. "Μήτε οὖν ἐπ' εὐγενείᾳ σώματος ἐπαρθῇς, μήτε τὴν δυσγένειαν ἐξουθενώσῃς, μήτε κάλλει ἀγρευθῇς, "μήτε δυσμορφίαν ἀποστραφῇς· ἀλλ' ὅρα τὸ κάλλος τὸ τῆς ψυχῆς, καὶ ἔρα τῷ πνεύματι τῆς ψυχῆς· ἔρως γὰρ ἐκεῖνος μόνος ἀληθὴς καὶ ἀθάνατος, οὐχ ὃς ἅμα τῷ τυχεῖν εὐθὺς ἀπογίνεται, ἀλλ' ὃς μετὰ "τὸ τυχεῖν μᾶλλον ἐπιγίνεται."*

[2] *Ἐλλείπει ἡ λέξις αὕτη παρά τε Βασναγίῳ καὶ Μιγνίῳ.*

[3] *Καὶ ἀλλαχοῦ (Ἐπιστ. ρπγ') λέγει περὶ μέθης· "Ὁ τῶν ἀπορρήτων ἐπόπτης καὶ μυσταγωγὸς τὴν "μέθην πόρρω Θεοῦ βασιλείας ἐθεάσατο." Ἴδε τὴν ἐπιστολήν. Ἀλλ' ὅμως τῶν τινες Φωτιομάχων καὶ τοῦτο κατηγορῆσαι αὐτοῦ κατεθρασύναντο, ὡς ἄρα φιλοπότης ἦν καὶ μέθυσος. Οὕτως αὐτοὺς ὁ φθόνος ἀπετύφλωσεν, ὥστε μηδὲ τὰ πρὸ τῶν ὀφθαλμῶν αὐτῶν κείμενα καθορᾶν. Σὺ οὖν ἐκείνοις μακρὰ χαίρειν εἰπών, ὅρα μοι τὴν παραβολικὴν ταύτην νουθεσίαν παραπλησίαν οὖσαν τοῖς ὑπὸ Πλάτωνος εἰρημένοις· "Μεθύων κυβερνήτης καὶ πᾶς παντὸς ἄρχων ἀνατρέπει πάντα, εἴτε πλοῖον, εἴτε ἅρμα, εἴτε στρατόπεδον, "εἴτε ὅ,τι ποτὲ εἴη τὸ κυβερνώμενον ὑπ' αὐτοῦ" (παρὰ Στοβ. ΙΗ', 29).—Ἡ δ' ἐν ταῖς Βασιλείου παραινέσεσι* (κεφ. κέ)—*"Συνουσίας τὰς ἐν τοῖς πότοις εὐλαβοῦ· μέθη γὰρ τῇ φρονήσει ἐναντίον τι χρῆμα καὶ "πολέμιον. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ τοῦ οἴνου τυραννηθῇ, ταὐτόν τι πάσχει τοῖς φαύλοις ἡνιόχοις, οἳ τὸ "ἅρμα κυβερνᾶν ἀδυνατοῦντες, καὶ ἑαυτοὺς καὶ τοὺς ἵππους ὧδε κἀκεῖσε παραφέρουσι, καὶ γέλωτα τοῖς "ὁρῶσι μέγιστον ἐμποιοῦσιν. Οὕτω δὲ πασχούσης τῆς διανοίας, ἀνάγκη καὶ τὴν ψυχὴν πολλὰ σφαλλο"μένην διατελεῖν"—ὁμοία ἐξενήνεκται τῇ Ἰσοκρατείῳ· "Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συν"ουσίας· ἂν δέ ποτέ σοι συμπέσῃ καιρός, ἐξανίστασο πρὸ μέθης. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, "ταὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν· ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται, "διαμαρτόντα τῶν εὐθυνούντων, ἥ τε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας" (π. Δημ. δ').*

Digitized by Google

συνετοῦ δὲ καὶ πεσόντα θᾶττον ἀναστῆναι, καὶ χρῆσθαι τῷ πταίσματι πρὸς τὸ μὴ πάλιν πεσεῖν παραγγέλματι.

γή. Τὸ περὶ τοὺς πόνους ἑκούσιον τῶν ἀκουσίων ἀφαιρεῖται τὸ ἀφόρητον καὶ χαλεπόν. Δι' ὃ χρήσιμος ἡ ἐν τοῖς ἑκουσίοις τριβὴ καὶ μελέτη.[1]

γθ'. Ἀρχικῆς ἀρετῆς καὶ τελείας μὴ μόνον τὸ πλῆθος αἰσχύνεσθαι πρὸς τὸ μὴ ἁμαρτάνειν, ἀλλὰ καὶ ἑαυτὸν πρὸ τοῦ πλήθους.[2]

ρ'. Ἡ διὰ λόγων ὕβρις τοῖς ἐλευθέροις οὐ πολὺ παραλλάσσει τοῖς διὰ πληγῶν καὶ μαστίγων.[3] Χρὴ οὖν παραφυλάττεσθαι τὸ προπετὲς τὸ ἐν τούτοις· οὐ μέγα γὰρ δοκοῦν μεγάλας φέρει ζημίας.

ρά. Πολλοὺς ἔβλαψεν εὐτραπελία· ἀπὸ γὰρ γνώμης διεκπεσοῦσα παιζούσης, καιρία πληγὴ γέγονε τοῖς διαπαιχθεῖσι· καὶ βραχείᾳ τέρψει τῶν ἐπιτυχόντων, μεγάλας ἔτεκεν ἔχθρας τῶν σπουδαίων· ἣν παντὶ μὲν ἔμφρονι παραφυλακτέον, ἄρχοντι δὲ μάλιστα τῶν ἄλλων· ὅτι καὶ χυδαῖον, καὶ καταφρονεῖσθαι μᾶλλον ἢ χαριεντίζεσθαι παρασκευάζει.[4]

ρβ'. Εὐεργετῶν τὸ ὑπήκοον περιφρούρει, ὡς τῆς ἀρχῆς νεῦρα καὶ οἰκεῖα μέλη· ἐκείνων γὰρ διασπασθέντων, κίνδυνος καὶ τὴν σὴν συγκαταλύεσθαι ἐξουσίαν.

ργ'. Τὰς μελετωμένας στάσεις, ὅσας[5] μὴ σβέσαι ῥᾷον, ἄμεινον ἀγνοίας ὑποκρίσει δοῦναι, καὶ λήθῃ καλῦψαι, ἢ θριαμβεύσαντα ἐπεξιέναι· τὸ μὲν γὰρ ἔσθ' ὅτε καὶ πλέον ἀνῆψε τὴν φλόγα, καὶ χαλεποὺς ἤνεγκε κινδύνους, καὶ πολλῇ καὶ τὸν διασωθέντα περιέβαλε ζημίᾳ· τὸ δὲ πραέως κοιμίζειν καὶ μετὰ τοῦ ἀκινδύνου τὸ φιλάνθρωπον καὶ συνετὸν καὶ ἀζήμιον περιέχει.[6]

---

[1] "Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν." (Ἴσ. π. Δημ. δ'.)

[2] Τοιοῦτον καὶ τὸ τοῦ Θεοφράστου· "Αἰδοῦ σαυτόν, καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ." Δημόκριτος δὲ ὁ φιλόσοφος ἔλεγεν· "Φαῦλον, κἂν μόνος ᾖς, μήτε λέξῃς, μήτ' ἐργάσῃ· μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι." (παρὰ Στοβ. ΛΑ'.)

[3] Κατὰ δὲ Πλούταρχον καὶ χαλεπωτέρα τῆς βλάβης ἐστὶν ἡ ὕβρις· "Οὕτως ὑπὸ λόγων μᾶλλον ἢ "πράξεων πονηρῶν ἀνιᾶσθαι πεφύκασιν οἱ πολλοί· χαλεπώτερον γὰρ ὕβριν ἢ βλάβην φέρουσιν. Καὶ "τὸ μὲν ἀμύνεσθαι δι' ἔργων, ὡς ἀναγκαῖον, δέδοται τοῖς πολεμίοις· αἱ δὲ βλασφημίαι περιουσίᾳ μίσους "ἢ κακίας γίνεσθαι δοκοῦσιν." (ἐν βίῳ Τιμολ. § λβ', ἔκδ. Κοραῆ.)

[4] Ἰσοκράτης δὲ τοὺς ἑαυτοῦ πολίτας ἐλέγχων, ὡς τοῖς εὐτραπέλοις χαίροντας, καὶ τούτους εὐφυεῖς προσαγορεύοντας, τὴν ἀρχαίαν αὐτοὺς ἀναμιμνήσκει σώφρονα πολιτείαν, ἐν ᾗ δυστυχεῖς (=μωροί) οἱ τοιοῦτοι ἐνομίζοντο. "Καὶ τοὺς εὐτραπέλους δὲ καὶ σκώπτειν δυναμένους, οὓς νῦν εὐφυεῖς προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς ἐνόμιζον." (Ἀρειοπαγ. § ιή, ἔνθα ὅρα καὶ τὰς σημ. τοῦ σοφοῦ Κοραῆ.)

[5] Ἡμ. διόρθ. ἀντὶ—ὅσαι—παρά τε Μοντακ. καὶ Μιγνίῳ.

[6] Οὕτω δὴ πράξας ὁ Ἀριστείδης ἐκεῖνος, ὅτε, τῆς ἐν Πλαταιαῖς μάχης ἐπικειμένης, πολλοὺς τῶν ἐπιφανῶν Ἀθηναίων κρύφα στασιάζοντας κατέλαβε, τὴν Ἑλλάδα πᾶσαν ἀπὸ μεγάλου κινδύνου ἐρρύσατο. (Ἴδε Πλούτ. ἐν βίῳ Ἀριστείδου, § ιγ', ἔκδ. Κοραῆ.)

Digitized by Google

ρδ'. Δεῖ τὸν ἄρχοντα, φερομένων μὲν αὐτῷ κατὰ ῥοῦν τῶν πραγμάτων, καὶ εὖ συνεστώτων, ὡς σαλευομένων ἀσφαλίζεσθαι καὶ ἐπιμελεῖσθαι· ἀνατρεπομένων δὲ καὶ συῤῥηγνυμένων, ὡς ἂν ἐπαναχθείησαν καὶ ἐδρασθεῖεν, βουλεύεσθαι καὶ φροντίζειν· οὐδέτερον γὰρ τῶν ἐπὶ τἀναντία φερόντων ἡ πεῖρα δείκνυσιν ἀνέλπιστον· ἀλλὰ πολλάκις μικρὰ ῥαστώνη μεγάλας ἀρχὰς καὶ ὑπερόγκους κατήνεγκεν· καὶ πάλιν σπουδὴ σὺν εὐβουλίᾳ εἰς μέγα δυνάμεως ὕψος τοὺς κατενεχθέντας ἐπανήγαγεν.[1]

ρέ. Οἱ ἔμφρονες καὶ εὐσταθεῖς τῶν ἀνθρώπων, κατορθοῦντες μέν, οὐ φυσιοῦνται, ἀλλὰ μετρίῳ φρονήματι τῆς εὐπραγίας κοσμοῦσι τὸν ὄγκον, καὶ τῶν φθονούντων διαπραΰνουσι τὸ φλεγμαῖνον· περιπταίοντες δέ, φέρουσι γενναίως· καὶ τὸ συνενεχθὲν ἀρετῆς ὑπόθεσιν ποιούμενοι, τῷ κράτει ταύτης δυναμοῦσι τὴν γνώμην, καὶ τὸ ἀθυμοῦν ἐξορίζουσι τῆς διανοίας· ἴσασι γὰρ τὸ ἐφ' ἑκάτερα τρεπτὸν καὶ ἄστατον καὶ ἀβέβαιον τῶν ἀνθρωπίνων.[2] Ἀφροσύνης δὲ καὶ κουφότητος καὶ ἀπειροκαλίας, τό τε ἐν ταῖς εὐπραγίαις ἐπαίρεσθαι καὶ

---

[1] Τούτων ἀμφοτέρων μαρτύριον ἐγένετο Διονύσιος ὁ Σικελίας τύραννος, περὶ οὗ Πλούταρχος (ἐν βίῳ Τιμολέοντος, § ά) ἱστορεῖ, ὡς ἐξελαθεὶς ὑπὸ Δίωνος τῆς ἀρχῆς, "ἔτει δεκάτῳ ξένους συναγαγών, καὶ "τὸν τότε κρατοῦντα τῶν Συρακουσίων Νυσσαῖον ἐξελάσας, ἀνέλαβε τὰ πράγματα πάλιν, καὶ καθε"στήκει τύραννος ἐξ ἀρχῆς, παραλόγως μὲν ὑπὸ μικρᾶς δυνάμεως τὴν μεγίστην τῶν πώποτε "τυραννίδων ἀπολέσας, παραλογώτερον δ' αὖθις ἐκ φυγάδος καὶ ταπεινοῦ τῶν ἐκβαλόντων κύριος "γενόμενος."

[2] Τοῦτο ἐν ταῖς Βασιλ. παραιν. (κεφ. λή) ὧδ' ἐξενήνεκται· "Ἴσθι, τέκνον ἐμόν, ὡς οὐδὲν ὁ βίος οὗτος ἔχει "τὸ στάσιμον, οὐδὲ τὸ βέβαιον, ἢ ἀμετάβλητον· ἄλλοτε γὰρ ἄλλως ἀμείβει τὰ πράγματα, καὶ τροχοῦ "δίκην κυλιομένου τὰ μὲν ἄνω φέρεται κάτω, τὰ δὲ κάτω φέρεται ἄνω. Δι' ὃ μήτε εὐτυχίαις ἐπαίρου, "μήτ' ἐν ταῖς δυστυχίαις καταφέρου· ἀλλ' ἔσο κατ' ἄμφω σταθερὸς καὶ ἀμετάπτωτος, μόνῳ τῷ καλῷ "σπουδάζων, τὰ δ' ἄλλα προσανατιθεὶς τῷ Θεῷ, κ.τ.λ." Ἀμφότερα δὲ κατὰ τὸ Ἰσοκράτειον· "Νόμιζε "μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὐτ' εὐτυχῶν ἔσῃ περιχαρής, οὔτε δυστυχῶν περίλυ"πος.—Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν· "γίγνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὧν κατάδειλος. Ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις "ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν." (π. Δημ. δ'.) Σοφώτατα δὲ τὸ τρεπτὸν καὶ ἄστατον καὶ ἀβέβαιον τῶν ἀνθρωπίνων Σόλων ὁ Ἀθηναῖος τῷ Λυδίας βασιλεῖ Κροίσῳ παρέστησεν, ὅτε ἄλλους ἀπαριθμῶν εὐδαίμονας, αὐτὸν δὲ μὴ κατονομάζων, ἠρωτήθη παρ' αὐτοῦ· "Ὦ ξεῖνε "Ἀθηναῖε· ἡ δὲ ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέῤῥιπται εἰς τὸ μηδέν, ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξί"ους ἡμᾶς ἐποίησας;" Τηνικαῦτα γὰρ Σόλων τάδε σοφῶς τῷ ἀνοήτῳ Κροίσῳ ἀπεκρίνατο· "Ὦ Κροῖ"σε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερὸν καὶ ταραχῶδες, ἐπειρωτᾷς ἀνθρωπηίων πραγμάτων "πέρι; ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μέν ἐστι ἰδεῖν, τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ παθεῖν . . . . "Οὕτω οὖν, ὦ Κροῖσε, πᾶν ἐστι ἄνθρωπος συμφορή. Ἐμοὶ δὲ σὺ καὶ πλουτέειν μὲν μέγα φαίνεαι, καὶ "βασιλεὺς εἶναι πολλῶν ἀνθρώπων· ἐκεῖνο δέ, τὸ εἴρεό με, οὔκω σε ἐγὼ λέγω, πρὶν ἂν τελευτήσαντα "καλῶς τὸν αἰῶνα πύθωμαι . . . . σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτήν, κῇ ἀποβήσεται· "πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ Θεὸς προῤῥίζους ἀνέτρεψεν." Ἀλλὰ τότε μὲν τὸν σοφὸν Ἀθηναῖον σοφὰ λέγοντα καταφρονήσας ὁ Κροῖσος ἀπεπέμψατο, "κάρτα δόξας ἀμαθέα εἶναι, ὃς τὰ παρεόντα "ἀγαθὰ μετεὶς τὴν τελευτὴν παντὸς πράγματος ὁρᾷν ἐκέλευεν." ἔπειτα δὲ περιτραπέντων αὐτῷ τῶν πραγμάτων, ἐπὶ τὴν πυρὰν ἀναβιβασθεὶς ὑπὸ Κύρου, συνῆκε τὸ τοῦ Σόλωνος, "ὡς οἱ εἴη σὺν Θεῷ εἰρημένον, τὸ μηδένα εἶναι τῶν ζωόντων ὄλβιον" καὶ τρὶς ἀναβοήσας τὸ τοῦ Σόλωνος ὄνομα, ἑαυτόν τε τοῦ θανάτου ἐῤῥύσατο, καὶ τὸν νικητὴν Κῦρον ἐδίδαξεν, ὅτι τρεπτὰ καὶ ἄστατα καὶ ἀβέβαια τ' ἀνθρώπινα πάντα. (Ἡροδ. Α', 32 καὶ 86).

Digitized by Google

ὀγκοῦσθαι,[1] καὶ τὸ ἐν ταῖς δυσπραγίαις σφόδρα καταπίπτειν καὶ ἐνασχημονεῖν τῇ ἀθυμίᾳ.

ρστ'. Ἀνδρῶν μὲν συνετῶν προνοῆσαι τὰ δυσχερῆ, καὶ ἀπώσασθαι δι' εὐβουλίας· οὐκ ἐλαττόνων δέ, καὶ τὰ συμβεβηκότα καλῶς διαθέσθαι καὶ οἰκονομῆσαι.

ρζ'. Οἶδα πράξεις ἀθρόον ἐπιστάσας, καὶ τῷ ἀδοκήτῳ τοῦ συμβεβηκότος ἐκπλαγέντας τοὺς τεθεαμένους, καὶ ἡσύχως ἐνεγκόντας τὰ συνενεχθέντα, καὶ οὐδ' εἰς τὸ ἔπειτα διαναστάντας ἀποσείσασθαι τὸ βάρος· μάλιστα δὲ τῆς ἐξ αὐτῶν οὐ συναυξομένης βλάβης, ἀλλὰ καὶ τρόποις ἄλλοις πραοτέροις ὑποχαλωμένης. Ἰδὼν γὰρ εἶδον ἐνίας οὕτως οἰκονομηθείσας, καὶ τῷ συνήθει κατ' ὀλίγον ἐπὶ πλέον συνεπικουφιζομένας, εἰς τὸ ἀλυπώτατον ἀποκριθείσας· ἄλλας δὲ τοὐναντίον καὶ τοὺς πρὸς ἀμέλειαν καὶ ἀτολμίαν ζῶντας κέντρου δίκην, ὡς ἐξ ὕπνου, διεγηγερκυίας. Τῷ γὰρ παραλόγῳ καὶ ἐξαιφνιδίῳ τῶν προστυχόντων ἕκαστος ἀνηρεθισμένος, πᾶς ἀνὴρ τοῖς πράγμασιν ἐγεγόνει·[2] καὶ οὐδ' ἐπὶ μιᾶς ἡμέρας ἀντέσχεν ἐπισχεῖν τῇ καινοτομίᾳ.[3] Ἄλλαι δέ, καὶ αὗται τῶν οὐκ ἐξ ἔθους, κατὰ μικρὸν ὑπεισιοῦσαι, καὶ τῷ ἠρεμεῖ[4] καὶ ἀταράχῳ συνδιακλέπτουσαι τὴν συναίσθησιν τῆς καινοτομίας, παρεισέδυσάν τε οὐ σὺν πόνῳ, καὶ οὐδ' εἰ καινότερόν τι συνέβη μνήμην ἔδωκαν, οὐδὲ τοῖς πεπειρασμένοις. Τινὲς δὲ τὸν ὅμοιον τρόπον ἐπιχειρήσασαι παρεισδύνειν, καὶ τῷ μὴ τυραννίδι μηδ' αὐτοδεσπότῳ κράτει, καὶ ἐκ τοῦ ἐμφανοῦς, ὥσπερ ἐπισκήπτειν, δειλίαν καταγνωσθεῖσαι, θᾶττον ἀνετράπησαν ὑπὸ τῶν ἐπιτυχόντων· τῷ γὰρ καθ' ἑαυτὰς εὐλαβεστέρῳ εἰς θράσος ἄσχετον καὶ παράβολον τόλμαν ἐξοπλίσασαι καὶ τοὺς πρὸ τούτου δόξαντας ἐπιεικεστάτους, αὐτῇ συνεφθάρησαν τῇ ἐπιχειρήσει. Πῶς οὖν ἔστι τυχεῖν τοῦ σκοποῦ; τἀναντία γὰρ διὰ τῶν αὐτῶν ὁρᾶται συντετελεσμένα. Ἄμεινον μὲν μηδ' ἀπάρχεσθαι τῶν τοιούτων· δειναὶ γὰρ αἱ καινότητες, καὶ χωρὶς ἑτέρου λυπηροῦ, θορυβεῖν καὶ πλήττειν διανοίας, καὶ εἰς διαβολὴν καὶ ὕβριν ἐκκαλεῖσθαι τὸ πλῆθος. Ἐπεὶ

---

[1] Ἐλλείπει παρὰ Βασναγίῳ καὶ Μιγνίῳ τὸ—καὶ ὀγκοῦθαι.

[2] Τοῦτ' ἔστι, πᾶσαν ἐποιήσατο σπουδὴν πρὸς ἀνατροπὴν τῆς καινοτομίας, ἤ, ὡς νῦν κοινῶς λέγομεν, ἔβαλεν ὅλα του τὰ δυνατά (Ἴδε Λεξ. Σκαρλ. Βυζαντίου ἐν λ. πᾶς). Ἄπορον δὲ τὸ τοῦ Μοντακουτίου, ὅτι πᾶσαν εὑρίσκει τὴν παράγραφον ταύτην συγκεχυμένην καὶ χαίνουσαν· ἰδίᾳ τε περὶ τοῦ "ἕκαστος" καὶ "πᾶς ἀνήρ" ἐσημειώσατο, ὅτι παρεφθαρμένα πάντως ἐστίν, ἢ σόλοικα. Δοκεῖ δ' ἔμοιγε πάντα καλῶς ἔχειν, καὶ οὐδὲν ἄλλο βούλεσθαι παραινεῖν, ἢ φεύγειν τὰς καινοτομίας, ὡς ἐπικινδύνους· αἵ τε γὰρ ἀθρόον ἐπιστᾶσαι καὶ αἱ κατὰ μικρὸν ὑπεισιοῦσαι ἐνίοτε μὲν ὠκονομήθησαν, ἔσθ' ὅτε δὲ καὶ ταραχῶν ἐγένοντο παραίτιοι. Ἤτοι οὖν μὴ καινοτομητέον, ἢ ἐν ἀνάγκῃ μετὰ προσοχῆς τοῦτο ποιητέον, καὶ παραδείγμασι χρωμένους τοῖς παρεληλυθόσι, καὶ τοῖς ἐν ὁμοίοις καιροῖς γενομένοις.

[3] Μοντακ. κατ' ὀνομαστ. παραινεῖ γράφειν—ἡ καινοτομία—καὶ οὕτως ἔσται ὁ νοῦς· "ἡ καινοτομία οὐδ' ἐπὶ μίαν ἡμέραν ἠδυνήθη ἐπικρατῆσαι." Ὡς δὲ νῦν ἔχει τὰ τῆς γραφῆς, = ἕκαστος ἀνηρεθισμένος οὐδ' ἐπὶ μίαν ἡμέραν ὑπέμεινεν ἐπισχεῖν (ἑαυτὸν) τῇ καινοτομίᾳ.

[4] Ἀήθης τοῖς δοκίμοις ὁ τοιοῦτος σχηματισμὸς τοῦ ἐπιθέτου "ἠρεμής," συνηθέστατοι δὲ οἱ "ἠρεμαῖος" καὶ "ἤρεμος·" εὕρηται δ' ὅμως τὸ συγκριτικὸν "ἠρεμέστερος" παρὰ Ξενοφῶντι· "ἠρεμέστεροι γίγνονται στερισκόμενοι ταύτης τῆς ἐπιθυμίας" (Κύρ. Παιδ. Ζ', ε, 63)· καὶ ἐπιῤῥηματικῶς δέ· "πότερον ἂν εἴη ἠρεμεστέρως ἔχειν τὰ ἐνθάδε, καινῆς ἀρχομένης (ἄλ. γρ. γενομένης) ἀρχῆς, ἢ τῆς εἰωθυίας καταμενούσης;" (αὐτ. Γ', ά, 30.)

Digitized by Google

δ' ἔσθ' ὅτε χρεία κατεπείγει, καὶ δεῖται πράξεως ὁ προεστηκὼς καινοτέρας, ἂν μὲν μέγα ὄφελος καὶ εὐφροσύνην ἐξ αὐτῆς τὸ κοινὸν εὑρίσκῃ, οὐδὲν δεῖ σκέψεως καὶ μελέτης· ἂν δ' ἄλλως, καὶ λυπηρὰ εἴη, λόγῳ μὲν διελθεῖν ὅπως ἂν ὡς ἄριστα διανυσθείη, οὐ ῥᾴδιον οἶμαι· τὰ γὰρ κατά τινας ἰδικωτάτας ἐπακολουθοῦντα περιστάσεις οὐκ ἔνεστιν ἀκριβῶς κοινοτέρῳ λόγῳ, καὶ τῶν ἔργων πόῤῥωθεν, θηρᾶσαι. Πλὴν ὅ γε καλῶς ἐν τοῖς προειρημένοις ἐγγεγυμνασμένος, καὶ πρὸς τὰ τοιαῦτα τὴν ἄνωθεν ῥοπὴν ἐπίκουρον ἔχων, μεγάλην εἴσεται δύναμιν συνειλεγμένος.

ρθ'. Ὅπλων καὶ ἀνδρίας καὶ στρατηγίας κραταιότερον καὶ ἀσφαλέστερον νόμιζε τὴν εὔνοιαν τῶν ἀρχομένων.[1] Ταύτης μὲν γὰρ παρούσης καὶ στρατηγούσης, κἀκεῖνα χρήσιμα, καὶ μεγάλην ῥοπὴν πρὸς πάντα παρέχει· ἀνῃρημένης δὲ τῆς εὐνοίας, ἄμεινον συνανῃρῆσθαι κἀκεῖνα· θᾶττον γὰρ ἐπὶ τὴν μισουμένην ἀρχήν, ἢ κατὰ τῶν πολεμίων ἐθέλει ταῦτα κινεῖσθαι.[2]

ρί. Λόγους μὲν ἤλεγξαν δόρατα πολλάκις· ἤμβλυνε δὲ πολλαχοῦ καὶ λόγων ἰσχὺς ὀξύτητα πολέμου, καὶ μεγάλων ὁρμὴν διέλυσε στρατευμάτων. Χεῖρες ἄρα μετὰ λόγου διπλοῦν τρόπαιον. Πόνους ἐλπίδες νευροῦσι, καὶ πόνοι τίκτουσιν ἐλπίδας. Σὺ δὲ ἐξιλεούμενος τὸ θεῖον, μηδενὸς ἀμέλει τῶν πρακτέων, καὶ καλὰς καὶ μεγάλας ἐλπίδας θερίσεις.

ριά. Ἐπικουρεῖν ἐν οἷς ἕκαστος ἔχει χρείαν ἀρχικῆς καὶ ἐχέφρονος διανοίας· μάλιστα δὲ τοῖς ἐν συμφοραῖς περιπεσοῦσιν. Μετὰ γὰρ τῶν ἄλλων καὶ ἀείμνηστον συντηρεῖν εἰώθασι τὴν εὐεργεσίαν.

ριβ'. Ἡ εὐδαιμονία τῶν ὑπεξουσίων ἄκραν ἀνακηρύττει σύνεσιν καὶ δικαιοσύνην τῆς ἐξουσίας.[3]

ριγ'. Περὶ ὧν ἂν εὖ πράξῃς, εἴτε ἐν τῷ οἰκείῳ βίῳ, εἴτε ἐν τῷ κοινῷ τῆς πολιτείας, τῷ Θεῷ ἀνατιθέναι δικαίου τὴν αἰτίαν·[4] οὕτω γὰρ μᾶλλον τε αὐτὸν ἐπίκουρον ἕξεις, καὶ θεοφιλὴς εἶναι δόξεις, καὶ κοῦφον σεαυτὸν καὶ ἀλαζονικὸν οὐκ ἐλέγξεις, καὶ τοῦ φθόνου δείξεις περιτεθραυσμένας τὰς ἀκίδας.

ριδ'. Ταῦτά σοι ἐκ πολλῶν ὀλίγα, ὦ τῶν ἐμῶν πνευματικῶν ὠδίνων εὐγενὲς καὶ

---

[1] Ἴδε τὴν σημ. ἐν § μά.

[2] Τούτου τεκμήριον ὅτι μέγιστον τὰ πρὸ μικροῦ ἐν Ἑλλάδι γενόμενα. Τῆς γὰρ τῷ Ἄρχοντι προσηκούσης εὐνοίας τῶν ὑπηκόων ἀνῃρημένης, θᾶττον ἐπὶ τὴν μισουμένην Ἀρχὴν τὰ τῆς Ἀρχῆς ὅπλα, ἢ ἐπὶ τοὺς δικαίως ἐπαναστάντας ὑπηκόους ἔστραπται· καὶ τὸν ὅπλοις, ἀλλ' οὐ τῇ τῶν ἀρχομένων εὐνοίᾳ, στηρίξειν ἐλπίσαντα τὴν Ἀρχὴν λόγος μόνος εἷς ἐξήρκεσε τῆς Ἑλλάδος ἀποσοβῆσαι, οὗτος δὴ ὁ Εὐαγγελικός—Ἆρον τὸ σόν, καὶ ὕπαγε.

[3] Ἴδε τὴν σημ. ἐν § κστ'.

[4] Ταῖς αὐταῖς σχεδὸν λέξεσι καὶ ἡ περὶ τούτου νουθεσία ἐν ταῖς Βασιλ. παραινέσεσι (κεφ. ξέ) καταλήγει· "Τὰς δ' ἐπὶ ταῖς νίκαις πανηγύρεις ἀνατίθει μόνῳ τῷ Θεῷ εὐχαρίστως, ἵνα καὶ ἐν ταῖς εὐτυχίαις "δυστυχῶν, καὶ ἐν ταῖς δυστυχίαις εὐτυχῶν, τὸ ἄνθρωπος εἶναι μὴ ἀπολέσῃς."

Digitized by Google

γνήσιον γέννημα,[1] τῆς περὶ σὲ φιλίας καὶ υἱοθεσίας, οἱονεί τινα θεῖα συμβόλαια, καὶ ἀρετῆς ἀρχετύπους ἀνατίθημι πίνακας. Εἰς οὓς ἀφορῶν, καὶ πρὸς ἐκείνους σεαυτὸν σχηματίζων καὶ διαμορφῶν, οὐ χαλεπῶς ἕξεις συνορᾷν, τίνες τε τῶν πράξεων ἀνθεῖν τὴν ἐν τῇ ψυχῇ παρασκευάζουσιν ὡραιότητα, καὶ τίνες αὐτήν, ὥσπερ σπῖλοι καὶ ῥυτίδες, εἰς αἰσχρὰν ὄψιν καὶ ἀσχήμονα μετασκευάζουσιν. ὧν τὰς μὲν ἀπαλείφων, τὰς δὲ ἐγγραφόμενος, ἔμψυχον ὡς ἀληθῶς καὶ κάλλιστον θεοφιλοῦς πολιτείας σεαυτὸν ἐπιδείξεις ἄγαλμα, καὶ ἥδιστον ἐμοὶ καὶ πᾶσιν εὐσεβέσι καὶ θέαμα καὶ διήγημα. Δι' ὃ καὶ τὰς χεῖρας εἰς οὐρανοὺς ἐξαπλώσας, καὶ τὴν περὶ σὲ στοργὴν καὶ τὸν πόνον καὶ τὴν εἰς Θεὸν ἀναφερομένην δόξαν ἀνθ' ἱκετηρίας αὐτῷ προτείνας, ἐπεύχομαί σε τῶν ἐλπίδων καὶ παραινέσεων ἐργάτην δόκιμον καὶ πιστὸν φύλακα γενέσθαι. Καὶ εἴης μοι δι' ἁπάσης ἰδέας κατορθωμάτων ἐπίσημος καὶ περίβλεπτος· ἄκρος μὲν σύνεσιν, μνήμην δ' ἀσφαλής· ἡδὺς ἐν λόγοις, τοὺς τρόπους ἡδύτερος· ἐράσμιος συντυχεῖν, τοῖς ἀεὶ συνοῦσιν ἐρασμιώτερος· κράτιστος τὸ παρὸν κρῖναι, καὶ ἀγαγεῖν εἰς διάταξιν· ὀξὺς τὸ μέλλον ἰδεῖν, προμηθὴς φυλάξασθαι· ἕτοιμος μεγάλας αὐτουργῆσαι πράξεις, ἑτοιμότερος τὸ κατορθωθὲν διασώσασθαι· δεινὸς μὲν τὸ συμφέρον κρύπτειν, κρείττων δὲ λανθάνειν, δεινότερος δὲ φωρᾶσαι τοὺς ἐπηρεάζοντας· φοβερὸς μὲν τοῖς πολεμίοις, ποθεινὸς δὲ τοῖς ὑπηκόοις, ἀμφοῖν δὲ κοινὸς τὸ αἰδεῖσθαι καὶ θαυμάζεσθαι· κρείττων ἡδονῶν, ἥττων σωφροσύνης· ὀργῆς κύριος, πραότητος φίλος· ταχὺς θηρεῦσαι τὸ δίκαιον, ἀδέκαστος διανεῖμαι· γνώμην εὐσταθής, ταῖς ὑποσχέσεσι βέβαιος· γενναῖος ἐν φόβοις, ἄτολμος πρὸς πᾶσαν παρανομίαν, καὶ μηδεμίαν ῥαστώνην καρτερίας καὶ καλῶν πόνων ἀνταλλασσόμενος· εὐεργετεῖν πρόθυμος, κολάζειν ὀκνηρός· φιλίας ἐραστής, ἔχθρας πολέμιος· ἐλέους πηγή, οἰήσεως μείζων ταπεινοφροσύνης ἐλαττούμενος· ὑπερόπτης πλούτου, πενίας ἐπίκουρος· ἀλήθειαν τιμῶν ψεύδει μὴ σπενδόμενος· ἀταπείνωτος οὐκ εὐδοκιμῶν, εὐδοκιμῶν δὲ οὐ φυσιούμενος γλώσσης αὐτοκράτωρ· ἀκοῆς φύλαξ· ἀφῆς καὶ τῆς ἄλλης αἰσθήσεως ἀδυσώπητος ἐπιστάτης, καὶ μηδενὶ πάθει ἐνδιδούς, μηδὲ τοῖς ἐρεθισμοῖς κηλούμενος τῶν ὀρέξεων. σύμπαν εἰπεῖν, εἴης μοι πάσης ἀρετῆς καὶ εὐσεβείας οὐ τοῖς ὑπὸ σὲ μόνον ὑπογραμμὸς παράδειγμα, ἀλλὰ καὶ τῷ μετὰ σὲ παντὶ τῶν ἀνθρώπων γένει καλὴ καὶ μεγάλη καὶ καλὰ κατεργαζομένη παραίνεσις. Δι' ἃ σοι μάλιστα καὶ ἡ τῶν οὐρανῶν ἀνέκφραστος καὶ ἀΐδιος βασιλεία εἰς κλῆρον ἀναφαίρετον, καὶ κατασκήνωσιν ἀδιάδοχον, καὶ ὑπὲρ καὶ θείαν τρυφὴν καὶ ἀπόλαυσιν μὴ λυομένην, παρασχεθήσεται.[2]

---

[1] Ἴδε τὰ περὶ τούτου ἐν ἀρχῇ τῆς ά παραγρ. σεσημειωμένα. Θαυμαστὴ δὲ πάντως ἡ ἐν τῇ τῇδε παραγράφῳ γλαφυρά τε καὶ ἔντεχνος τῶν ἐν πάσῃ τῇ ἐπιστολῇ εἰρημένων ἀνακεφαλαίω

[2] Τούτοις παράλληλόν ἐστι τῶν Βασιλείου παραινέσεων τὸ ΜΑ' κεφάλαιον, ὧδ' ἔχον
« βασιλεῖς τὰ βασίλεια ταῦτα παρῴκησαν· ἀλλ' ὀλίγοι τὴν ἐπουράνιον βασιλείαν κατῴκησαν.
« οὖν, τέκνον ἠγαπημένον, μὴ μόνον ταύτην τὴν βασιλείαν κατορθῶσαι διὰ τῆς τῶν τρόπων
« θίας, ἀλλὰ καὶ τὴν ἐπουράνιον κληρονομῆσαι διὰ τῆς τῶν ἀρετῶν ἀγαθοεργίας· σήμερον
« βασίλεια σά, καὶ αὔριον ἔσονται οὐ σά· μετὰ δὲ τὴν αὔριον ἑτέρου, καὶ τὴν μετ' ἐκείνην
« νον· ὥστε οὐκ εἰσὶν οὐδέποτε οὐδενός· εἰ γὰρ πολλοὺς ἀμείβουσι τοὺς δεσπότας, οὐδέν' ἄρ
« ἔχουσι δεσπότην. Ἐπεὶ οὖν μεταβῆναι χρὴ τῆς ἐντεῦθεν ἐξουσίας, σπεύσωμεν ἀμείψαι

Digitized by Google

ΕΠΙΣΤΟΛΗ Ζ'.—7.

Σεργίῳ Πρωτοσπαθαρίῳ ἀδελφῷ.[1]

(Πῶς ἔστι λέγειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα, κ.τ.λ.)

Ἐρωτᾷς, πῶς ἔστι λέγειν Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα, καὶ μὴ εἰς ἀνάγκην περιίστασθαι τρεῖς ἀνθ' ἑνὸς Θεοὺς ἀνομολογεῖν; Ἐγώ σοι σαφῶς καὶ συντόμως ἐρῶ. Παραδείγματα μὲν γὰρ πολλὰ καὶ ποικίλα τοῖς θείοις ἡμῶν Πατράσιν εἰς τὸ διαλῦσαι τὴν ἀπορίαν ταύτην ὑπ' αὐτῆς τῆς ἀληθείας, ὑπὲρ ἧς ἐσπούδαζον, ἀφθόνως τε ἐχορηγήθη, καὶ εἰς δέον διατέτακται· ὧν εἴ τις ἐπιμνησθῆναι θελήσειε, βιβλίον ὅλον ἀντ' ἐπιστολῆς ἂν γράψειεν. Τοῦτο δὲ καὶ ἄλλως οἶμαι περιττόν· τί γάρ, ἐνὸν τοῖς ἀρχαίοις καὶ ἐξ ἑτοίμου προσομιλεῖν, σὺ δέ (οὐ γὰρ ἔχω πῶς ἀνεπαχθέστερον εἴπω) ἀντὶ τῶν πάλαι καὶ καλῶς γεγραμμένων, καινῶν προσδέῃ γραφέων, ἐξιδιουμένων τὰ πρὸ αὐτῶν καὶ ἀλλότρια; Ἀλλὰ χωρὶς ἐκείνων τὸ σύντομον καὶ σαφὲς καὶ οὐδὲ χωρὶς τοῦ συμπείθειν μετὰ προσοχῆς ἄκουε. Ἔχει δὲ ὧδε. Θεὸν καλεῖς τὸν Πατέρα, πότερον, τεμὼν τὴν ὑπόστασιν, καὶ ἀλλοτριώσας τῆς ἐν αὐτῷ καὶ κοινῆς θεότητος, ἢ οὐκ ἂν τολμήσαις εἰπεῖν; οὕτω γὰρ ἂν εἴη τὸ τιμᾷν καὶ ὀνομάζειν Θεὸν τὸν Πατέρα τῆς ἐσχάτης βαρύτερον ὕβρεως, ἀποσπάδα τινὰ καὶ παραφυάδα νοεῖν τῆς ὁλικῆς καὶ ὑπερουσίου Θεότητος, ἐξ οὗ πᾶσα θεία καὶ τοῖς ἐν διαιρέσει καὶ ῥεύσει τὸ εἶναι λαχοῦσιν ἕνωσίς τε καὶ συνοχὴ καὶ συνά-

---

"τὴν ἐκεῖθεν βασιλείαν, ἥτις μόνη τὸ ἀθάνατον κέκτηται καὶ ἀδιάδοχον· τὰ δ' ἄλλα πάντα ῥεῖ καὶ "παρέρχεται."—Καθόλου δ' εἰπεῖν, ἅπασαι μὲν αἱ νουθεσίαι, αἵ τε ἐν ταῖς παραινέσεσιν ἐκείναις, καὶ αἱ ἐν τῇδε τῇ ἐπιστολῇ περιεχόμεναι, ἐκ τῶν Σολομῶντος καὶ Ἰησοῦ τοῦ Σιρὰχ καὶ τῶν Ἰσοκράτους δοκοῦσι συνειλέχθαι· ὅτι δὲ τῆς αὐτῆς χειρὸς ἔργον τυγχάνουσιν οὖσαι, ῥαδίως ἄν τις ἐκ τῆς παραθέσεως κατανοήσειεν, ἣν διὰ πάσης ἐποιησάμεθα τῆς ἐπιστολῆς. Οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ τελευταίῳ ἐκείνων κεφαλαίῳ, οἷον δεικνὺς τὴν πηγὴν, ἐξ ἧς ἠρύσατο, τελευταίαν τήνδε προστίθησι τὴν παραίνεσιν, λέγων· "Ἵνα δέ σου τὸ ἦθος διὰ πάντων κοσμήσῃς, μὴ κατόκνει τὰς τῶν παλαιῶν διεξέρχεσθαι γνώμας· πολλὰ "γὰρ ἐν αὐταῖς εὑρήσεις τὰ χρήσιμα· καὶ πλέον πάντων τά τε Σολομώντεια, τά τε Ἰσοκράτεια, εἰ βούλει, "καὶ τὰ τοῦ Ἰησοῦ τοῦ Σιρὰχ διαμελέτα βουλεύματα καὶ διδάγματα, ὡς ἐκεῖθεν καὶ πολιτικὰς καὶ "βασιλικὰς ἀρετὰς δυνάμενος ἀναλέξασθαι· τὰ γὰρ ἄλλα πάντα τῆς θεοπνεύστου Γραφῆς σωτήρια λόγια "συναναπνέεσθαί σοι πάντως ἐπάναγκες. Ἐπὰν δὲ τέλειος γένῃ τὴν φρόνησιν, κἀμὲ τὸν βασιλέα, "καὶ πατέρα, καὶ παιδευτὴν εὐφρανεῖς, καὶ αὐτὸς τότε νουθετεῖν ἑτέρους ἀξιωθήσῃ, καὶ τὸ οἰκεῖον τέλος, "ἄνθρωπος ὤν, μᾶλλον ἐπιγνώσῃ, ὅτι οὐδεὶς ἀνθρώπων ἀναμάρτητος· οὐδεὶς ἀνθρώπων τὴν τῶν βεβιω-"μένων διαφεύξεται κρίσιν· οὐδεὶς ἀνθρώπων οἶδε τοῦ βίου τὸ ἄδηλον τέλος."

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκονόμου ἔκδοσιν, Ζήτημα ΠΖ', κατὰ δὲ τὴν Μιγνίου (ἐν τῷ Α' τόμῳ τῶν ἁπάντων Φωτίου) Ἐρώτησις ΠΗ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΞΑ', σελ. 214. Περὶ δὲ τοῦ τίτλου "Πρωτοσπαθαρίῳ" σημειωτέον, ὅτι Μοντακούτιος μὲν εὐταῦθα τε καὶ ἀλλαχοῦ "Ἀσπαθαρίῳ" γράφει, ταὐτὸν εἶναι λέγων τὸ "Ἀσπαθάριος" τῷ "Σπαθάριος." ἔχει δ' οὐχ οὕτως, ὡς ὀρθῶς ὁ Καρδινάλιος Μάϊος ἐσημειώσατο (Spicileg. Rom. Tom. X., p. xxiii.)· ἀλλὰ τὸ πρωτοσπαθάριος, Ἑλληνιστὶ γεγραμμένον, ὡς ἔοικε, ἁ σπαθάριος (ἔνθα τὸ ἁ = πρῶτος) κακῶς ὑπὸ τοῦ ἀντιγραφέως ὑφ' ἓν γέγραπται ἀσπαθάριος. Ἴδε τὴν περὶ τούτου σημ. τοῦ Μαΐου ἔν τε τῇ Ῥωμαϊκῇ Σταχυολογίᾳ (ἔνθ. ἀνωτ.) καὶ ἐν τέλει τῶν Φωτίου ἐπιστολῶν κατὰ τὴν Μιγνίου ἔκδοσιν.

Digitized by Google

φεια. Ὁρᾷς, πῶς ἂν ὀρθῶς ἐννοηθείης τε καὶ φήσαις Θεὸν τὸν Πατέρα; Οὐκοῦν οὐδὲ τὸν Υἱὸν Θεὸν ὀνομάζων, ἀφοριεῖς τῆς αὐτῆς Θεότητος, εἴπερ μὴ κατ' ἄλλην μὲν ἔννοιαν τὸν Υἱόν, κατ' ἄλλην δὲ τὸν Πατέρα Θεὸν ὑπεκρίνω ἀποφαίνεσθαι. Οὐδὲ τὸ Πνεῦμα δὲ δῆλον ὅτι· ἡ αὐτὴ γὰρ παρακολουθήσει[1] κακόνοια. Εἰ τοίνυν ἕκαστον τῶν τριῶν, καθ' ἑαυτὸ τῷ νῷ λαμβανόμενον, καὶ Θεός, καὶ Θεός, καὶ Θεὸς ὀνομαζόμενον, οὐδαμῇ οὐδαμῶς τῆς ἐνθεωρουμένης καὶ μιᾶς ἀπετμήθη θεότητος, εἰκότως ἄρα καὶ σὺν ἀλλήλοις λαμβανόμενα, οὐ τρεῖς Θεοί, ἀλλ' εἷς τὰ τρία[2] Θεὸς δοξασθήσεται. Εἰ μὲν γὰρ Θεὸς ἐλέγετο καθ' ἑαυτὸ νοούμενον ἕκαστον, ὡς εἰς ἰδίαν καὶ ἔκφυλον θεότητα ἀναγόμενον, εἰκότως ἂν σὺν ἀλλήλοις καὶ τρεῖς Θεοὶ ὠνομάζοντο· εἰ δέ, ὡς εἰς[3] τὴν αὐτὴν ὁμοτίμως καὶ μίαν θεότητα συναγόμενον, Θεὸς τῶν τριῶν ἐκαλεῖτο ἕκαστον, τίς ὁ βιαζόμενος τὰ μηδαμῇ μηδαμῶς τῆς ἐνθεωρουμένης αὐτοῖς καὶ συμπληρωματικῆς[4] διαιρεθέντα θεότητος τρεῖς λέγειν Θεούς; μᾶλλον δέ, πῶς οὐκ ἀνάγκη πᾶσα τὰ τρία λέγειν ἕνα Θεόν, οὐδαμοῦ διαιρεθέντος οὐδενὸς τῶν τριῶν τῆς ἐνιαίας καὶ ἀτμήτου καὶ ἀδιαιρέτου θεότητος;

ΕΠΙΣΤΟΛΗ Η'.—8.

Τῷ αὐτῷ.[5]

('Η χάρις οὐκ ἀντίκειται τῷ νόμῳ, κ.τ.λ.)

Οὐκ ἔστιν ἐναντίον ἀστράσιν[6] ἥλιος, οὐδὲ τῇ νυκτὶ ἡμέρα, οὐδὲ πυρὸς αἴγλῃ αἱ ἡλιακαὶ ἀκτῖνες,[7] οὐ μὴν οὐδὲ νεαζούσῃ φύσει ἡ κατ' ἄνδρα τελειότης· εἰ βούλει δέ, οὐδ' ἡ στύφουσα ποιότης, πρὸς ἁλουργὸν βαφὴν εὐτρεπίζουσα τὴν ὕλην, πρὸς τὸ τῆς πορφύρας ἄνθος· οὐδ' ἡ τῶν χρωμάτων κρᾶσις καὶ μόρφωσις τῶν εἰκονισμάτων ταῖς προτυπωθείσαις γραμμαῖς καὶ χαράγμασι τῶν σκιασμάτων. Τί δὴ[8] βούλεται ἡ τῶν

---

[1] *Οὕτως ἄμεινον ἐν τῷ 'Αθωνείῳ κώδηκι, ἐξ οὗ ἡ Οἰκονόμου τῶν 'Αμφιλοχ. ἔκδοσις· παρὰ δὲ Μοντακ. καὶ Μιγνίῳ—ἡ αὐτὴ γὰρ ἂν παρακολουθήσῃ.*

[2] *'Ομοίως, ἀντὶ—εἰς τὰ τρία—παρὰ τοῖς ἄλλοις.*

[3] *'Ομοίως· παρὰ δὲ τοῖς ἄλλοις ἄνευ τῆς εἰ ς.*

[4] *'Ομοίως· παρὰ δὲ τοῖς ἄλλοις—συμπληρωτικῆς.*

[5] *'Η αὐτὴ καὶ ἐν 'Αμφιλ. κατὰ μὲν τὴν Οἰκον. ἔκδοσιν Ζήτ. ΡΨΣΤ', κατὰ δὲ τὴν Μιγνίου 'Ερώτ. ΡΨΘ'. 'Η αὐτὴ δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 914, ἔκδ. Οἰσχελίου), καὶ ἐν τῇ Μοντακ. συλλογῇ 'Επιστ. Ν', σελ. 103.*

Παρ' Οἰσχελίῳ καὶ Οἰκον.—ἄστρασιν—παρὰ δὲ τοῖς ἄλλοις "ἀστράσιν."

[7] *Οὕτως ἄμεινον γέγραπται παρὰ Μοντακ. καὶ Μιγνίῳ, ἀντὶ—οὐδὲ πυρὸς αἴγλη καὶ ἡλιακαὶ ἀκτῖνες—παρ' Οἰσχελ. καὶ Οἰκονόμῳ· δῆλον δὲ γίνεται ἐκ τῆς μετὰ μικρὸν ἐπιφερομένης τῶν συστοιχιῶν τούτων παραθέσεως.*

[8] *Οὕτω παρ' Οἰσχ. καὶ Οἰκον. παρὰ δὲ τοῖς ἄλλοις—δέ.*

Digitized by Google

δοκούντων ἀντικεῖσθαι παράθεσις, τὴν δόκησιν τῆς ἐναντιώσεως ἐξ αὐτῆς ἀνατρέπουσα παραθέσεως; Ὅτι[1] οὐδ' (ὅπερ αὐτὸς ἀπορεῖς) οὐδ' ἡ χάρις τῷ νόμῳ ἀντίκειται· χειραγωγία δὲ καὶ προάγγελος, συμφωνία τε καὶ προκατασκευὴ καὶ ὁδὸς ὑπάρχει καὶ παρασκευὴ καὶ τὰ ἄλλα πάντα ὁ νόμος τῆς χάριτος. Τελείωσις μὲν γάρ ἐστιν[2] ἡ χάρις· πάντα δέ, ὅσα τῆς τελειώσεως προϋφέστηκεν, ὑπηρετούμενος ὁ νόμος ἐδείχθη τῇ χάριτι· ἐχειραγώγησε, προεκήρυξε, προητοίμασεν, ὁδὸς καὶ τύπος ἐγένετο, ἐν ἑαυτῷ σχηματίζων καὶ ὑποδεικνὺς τὴν ἀλήθειαν· οὐδὲν τῶν προπαρασκευαζόντων ὑστέρησεν. Ἀλλ' ἦλθεν ἡ χάρις· ἐσχόλασεν εἰκότως ὁ νόμος· φύσις γὰρ τοῦτο προτελείων, ὑπεξίστασθαι καὶ παραχωρεῖν τῇ τελειότητι· καὶ ἵνα ὁ τῷ νόμῳ προσανέχων λαὸς τὸν ἐν τῇ χάριτι Θεὸν ἐπιγνῷ καὶ τῆς νομοθεσίας ὄντα κύριον· "σχολάσατε γάρ, φησί, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός, καὶ ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ."[3] Ἦλθεν ἡ χάρις, ὑπεχώρησεν ὁ νόμος, ὡς ἀστέρες, ἡλίου φαίνοντος, ὡς νύξ, ἡμέρας διαυγαζούσης, ὡς αἱ τοῦ πυρὸς φλόγες, ἐξ αἰθρίας καὶ ἐν σταθερᾷ μεσημβρίᾳ τῷ ἡλιακῷ φωτὶ ἀμαυρούμεναι, ὡς καταργεῖται τὸ νήπιον εἰς ἄνδρα τῆς ἡλικίας ἀναδραμούσης, ὡς ἡ ποιότης τοῦ στύφοντος, τῆς πορφυρίδος βαφῆς ἐπικρατησάσης, ὡς αἱ γραμμαὶ καὶ τὰ προχαράγματα, εἰς διαμόρφωσιν τῆς εἰκόνος συναπαρτισθείσης. Ἕκαστον γὰρ τῶν ἐν ἑκατέρᾳ συστοιχίᾳ εἰρημένων, τὸ μὲν ὡς ἀτελὲς προηγήσατο, τὸ δὲ ὡς τέλειον ἐπεγένετο·[4] καὶ οὔτε τῷ προϋπάρξαντι τὸ ἐπιγεγονὸς ὑπάρχει πολέμιον (μᾶλλον μὲν οὖν πολλὴ πρὸς ἄλληλα τούτων συμφωνία καὶ συγγένεια), οὔτε μένει[5] τὰ πρότερα, τῶν τελείων ἐπιγινομένων. Τοιοῦτός ἐστιν ὁ νόμος τῆς φύσεως, τῆς τελειότητος ἐνεργουμένης, ἀργεῖν ὅσα εἰς τὴν αὐτῆς κατασκευὴν καὶ συντέλειαν παρελαμβάνετο. Ὥστε καὶ κατήργηται ὁ νόμος, τῆς χάριτος ἐπιστάσης, καὶ οὐ καταλέλυται· καὶ πέπαυται, καὶ οὐ διαβέβληται· καὶ πεπλήρωκεν αὐτὸν ὁ Χριστός, μηδὲ μίαν[6] κεραίαν λύσας ἐξ αὐτοῦ, καὶ ὅλον ἠφάνισε τελειώσας αὐτόν· οὐκ ἔστι[7] γὰρ τοῦ παιδαγωγοῦντος χρεία, αὐτοῦ παρόντος τοῦ διδασκάλου. Καταλῦσαι μὲν γάρ ἐστι, καὶ διαβολῆς ἔνοχον ἐλέγξαι, τὸ ἐκ βάθρων αὐτὸν ἀνατρέψαι, μηδενὶ τῶν αὐτοῦ δικαιωμάτων προσχρησάμενον· παῦσαι δὲ καὶ ἀργῆσαι μόνον μετὰ τῆς πρεπούσης εὐφημίας, τὸ διακονῆσαι μέν, οἷς ἐκεῖνος ἐνομοθέτει, ἐπαγαγεῖν δὲ τὴν χάριν, καὶ διὰ τοῦ τελείου τὸ ἀτελὲς ἀποκρύψασθαι. Καὶ καταλύει δὲ οὐχ ὁ μὴ παραβαίνων τοὺς τοῦ νόμου

---

[1] *Οὕτω παρ' Οἰσχ. καὶ Οἰκον. παρὰ δὲ τοῖς ἄλλοις ἄνευ τοῦ—ὅτι.—καὶ ἡ παρένθεσις δὲ ὀρθῶς Οἰκονόμῳ προστέθειται.*

[2] *Οὕτω παρὰ πᾶσι, πλὴν Οἰκονόμου, παρ' ᾧ ἄνευ τοῦ—ἐστίν.*

[3] *Ψαλμ. ΜΕ', 10.*

[4] *Παρ' Οἰσχελίφ—ἀπεγένετο.*

[5] *Ὁμοίως—μείω.*

[6] *Οὕτω μοι δοκεῖ ἄμεινον γεγράφθαι ἐπὶ τὸ ἐμφαντικώτερον, ἢ ὑφ' ἕν, ὡς παρὰ πᾶσι τοῖς ἐκδόταις γέγραπται· ἔτι δὲ καὶ ἀναλογώτερον ἔχει ἡ τοιαύτη γραφὴ πρὸς τὸ τοῦ Εὐαγγελίου· "Ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου." (Ματθ. Ε', 18.)*

[7] *Παρ' Οἰσχ. καὶ Οἰκον.—οὐκέτι.*

Digitized by Google

νόμους, ἀλλ' ὁ παραβαίνων· παραβαίνει δὲ οὐχ ὁ σχολάζειν αὐτοὺς καὶ ἀργεῖν ὀφείλοντας εἰδώς, ἀλλ' ὁ μηδὲ τοῦτο εἰδώς (καίτοι πολλαχοῦ τὴν οἰκείαν ἀργίαν αὐτῶν ἐκείνων διακεκραγότων)· καὶ οὐχ ὁ μετὰ τὴν σχολὴν καὶ τὴν χάριν ἀχρήστους εἰδώς, ἀλλ' ὁ πρὸ τῆς χάριτος καὶ ἐν αὐτῷ τῆς ἐνεργείας τῷ καιρῷ, ὡς βεβήλους, ἀποστρεφόμενος. Ἅγιος οὖν ὁ νόμος, καὶ δίκαιος καὶ ἀγαθός (ἀγαθοῦ γὰρ ὡς ἀληθῶς καὶ ὑπεραγίου καὶ πᾶσαν δικαιοσύνην ὑπερφυῶς τελεσαμένου ὑπῆρχε προάγγελος), ἄχρηστος δέ, καὶ σχολάζει καὶ πέπαυται. Ἐφεστῶτος γὰρ τοῦ Κυρίου, ἡσυχάζειν δεῖ τὰ τοῦ ἐπιτρόπου· καὶ οὐδεὶς μετὰ τὴν καθαρὰν ὑγιείαν ἐπὶ τὰ φάρμακα τρέχει· οὐδὲ στερεᾶς τροφῆς ἀπολαύων, τὴν θηλάζουσαν περιεργάζεται· οὐδὲ ῥητορεύων, τοὺς τῶν συλλαβῶν γραμματιστὰς ζητῶν περιέρχεται· οὐ μὴν[1] οὐδ' εἰς στρατηγοὺς ἀναχθείς, τὴν τῶν στρατιωτῶν λῆξιν ἐπιποθήσειεν· οὐδὲ τοὺς οὐρανοὺς λαβών, τὰ ἀγαθὰ τῆς γῆς προτιμήσειεν· ὥσπερ οὐδ' ὁ βασιλείαν ἐνδύς, τὸν ἰδιώτην χιτῶνα καὶ τὴν ὑπήκοον τάξιν ἀντὶ τῆς ἐπιστατούσης καὶ κυρίας ἀλλάξαιτο.

β'. Ἔχεις ἱκανῶς, οἶμαι, καὶ μάλιστα ὡς ἐν ἐπιστολῆς τύπῳ, ἀπορήματος ἄνω καὶ κάτω φερομένου, καὶ πολλὴν πολλάκις ἀμηχανίαν παρεσχημένου, τὰς λύσεις ἀφθόνους· δι' ὧν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες καὶ οἱ Μαρκίωνος[2] λόγοι συγχυθήσονται, αὐτοὶ δόξαντες[3] πολλάκις διὰ τῆς τοιαύτης παρατάξεως τῆς Ἐκκλησίας κατεξανίστασθαι. Ἐτελείωσε γὰρ τὸν νόμον ὁ Χριστός, ἀλλ' οὐ κατέλυσε· καὶ ἔπαυσεν, ἀλλ' οὐκ ἀνέτρεψε· καὶ τέλος ἐστὶν αὐτοῦ, ἀλλ' οὐκ ἀναίρεσις· καὶ ἤργησεν, ἀλλ' οὐ διέβαλε· καὶ συμφωνοῦσιν ἡ χάρις καὶ ὁ νόμος, ἀλλ' οὐ μάχονται. Εἰ δέ τις καὶ τοῦτο λέγοι, τὸν μὲν ἐν τῷ γράμματι νόμον λελυκέναι τὸν Κύριον, πεπληρωκέναι δὲ τὸν ἐν Πνεύματι, οὐδὲν τῶν ἀπεικότων ἐρεῖ. Τὸ δὲ λέγειν, ὅτι τὸν μὲν τῆς δευτερώσεως νόμον[4] ἔλυσε, τὸν δὲ τῆς πρώτης νομοθεσίας ἐπλήρωσε, ληρούντων ἐστίν.

---

[1] Οὕτω παρ' Οἰκον. καὶ Μιγν. παρὰ δὲ Οἰσχελ.—μέντοι—καὶ παρὰ Μοντακ.—μέν.

[2] Ἤκμασεν οὗτος ἐν τῷ Β' αἰῶνι, υἱὸς ὢν Ἐπισκόπου, καὶ τὴν πατρίδα Σινωπεύς. Ἀποβληθεὶς δὲ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ὑπὸ τοῦ ἰδίου αὐτοῦ πατρὸς διὰ κακοήθειαν, καὶ συγχωρήσεως οὐκ ἀξιούμενος, εἰς Ῥώμην παρεγένετο, κἀκεῖ τῇ τοῦ αἱρεσιάρχου Κέρδωνος κακοδοξίᾳ προσθέμενος, τὴν μὲν Παλαιὰν Διαθήκην ἀπέβαλλε, τὴν δὲ Καινὴν μετέβαλλε, καὶ πολλὰ καὶ ἀνόσια περί τε τῆς τοῦ Κόσμου κτίσεως καὶ τῆς τοῦ ἀνθρώπου ἀποκαταστάσεως ἐτερατολόγει· περὶ ὧν ἴδε Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 206—8. Μόσχειμ, Τόμ. Α', σελ. 184—6, τῆς Ἀγγλ. μεταφρ. ὑπὸ J. Murdock, London, 1841.

[3] Οὕτω παρὰ τοῖς τρισὶν ἐκδόταις· παρ' Οἰκον. δέ—δοξάζοντες.

[4] Δευτέρωσιν λέγει οὐ τὰς Φαρισαίων καὶ Ῥαββίνων (πρεσβυτέρων) παραδόσεις, ὡς οὐκ ὀρθῶς ὑπέλαβεν ὁ Μοντακούτιος, ἀλλὰ τὴν ἐν ταῖς Ἀποστολικαῖς Διαταγαῖς (Α', 6, ΣΤ', 20) μνημονευομένην Δευτέραν νομοθεσίαν ἢ Δευτέρωσιν. Βλ. περὶ τῶν Ο' ἑρμηνευτῶν τῆς παλ. θείας Γραφῆς Τόμ. Γ', σελ. 104. (Σημ. Οἰκονόμου.)

Digitized by Google

ΕΠΙΣΤΟΛΗ Θ'.—9.

Τῷ αὐτῷ.[1]

(Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων.—Ματθ. Ζ', 6.)

Ἅγια καὶ μαργαρῖται ὅ τε τοῦ θείου κηρύγματος λόγος καὶ τὸ Δεσποτικὸν καὶ ἄχραντον χρηματίζει σῶμα· μαργαρῖται μέν, ὅτι τίμια, καὶ ὅτι λαμπρὰν τῆς σωτηρίας τὴν αἴγλην τοῖς εἰλικρινῶς προσιοῦσιν ἐκπέμπουσιν· ἅγια δέ, ὅτι τε σεπτά, καὶ ὅτι τῆς πλάνης ἀφορίζοντα[2] τῇ ἀληθείᾳ ἀνατιθέασι· κύνες δέ, καὶ τῶν αἱρετικῶν καὶ τῶν ἀπίστων ὅσοι πολλάκις τὸν τῆς εὐσεβείας κατηχηθέντες λόγον, οὐ μόνον οὐδὲν ἄμεινον διετέθησαν, ἀλλὰ καὶ τὴν λύσσαν αὐτῶν κατὰ τῆς ἱερᾶς ἡμῶν θρησκείας ἐμμανέστερον κυνῶν ὑλακτούντων[3] ἐπεδείξαντο· χοῖροι δέ, ὅσοι τῷ βορβόρῳ τῶν παθῶν ἐγκαλινδούμενοι, πρὸς τὰς παραινέσεις ἀναισθήτως τε καὶ ἀνεπιστρόφως ἔχουσιν. Οἷς ἅπασιν ὁ θεῖος ἀποθεσπίζει χρησμὸς μὴ προτιθέναι τὰ θεῖα μυστήρια, ἀναξίους ἑαυτοὺς δι' ὧν ἔπραξαν παρεσκευακόσι τῆς ὑπερφυοῦς σωτηρίας καὶ χάριτος. Ἀλλ' εἰ μηδετέροις τούτων δοτέον, ἴσως ἄν τις διαπορήσειε, τίσιν ὅλως δοτέον; Φημὶ τοιγαροῦν, τοῖς τε πιστοῖς καὶ ὀρθοδόξοις, καὶ οἷς ὁ βίος τῇ πίστει συμφθέγγεται. Ἀλλὰ καὶ τῶν ἀπίστων,[4] καὶ δὴ καὶ τῶν αἱρετικῶν, καὶ μὴν καὶ τῶν πρὸς καθαρότητα πολιτείας διαβεβλημένων καὶ ταύτης ὀλισθαινόντων, ἐκείνους τῷ λόγῳ κατηχητέον, καὶ χειραγωγεῖν προθυμητέον, οἵτινές εἰσιν ὥσπερ πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ σφόδρα δέονται τῆς ποιμαντικῆς ἐπιστασίας καὶ κατηχήσεως. Ἐπὶ τούτοις γὰρ καὶ ὁ Κύριος σπλαγχνίζεται, καὶ τρέφει τροφὴν τό τε σῶμα συνέχουσαν, καὶ τὴν ψυχὴν βελτιοῦσάν τε καὶ στηρίζουσαν.[5] Εἶεν. Ἀλλὰ πῶς ῥήσσουσιν[6] ἐπιστραφέντες οἱ χοῖροι καὶ οἱ κύνες τούς, εἴ τις αὐτοῖς προθείη ἃ μὴ θέμις; ἢ δῆλον, ὡς οἱ μέν, κωμῳδοῦντες καὶ ἐπιγελῶντες καὶ χλευάζοντες τὰ πάσης εὐφημίας ὑπέρτερα, οἱ δέ, τὸ καθαρὸν αὐτῶν καὶ ὑπέρλαμπρον διὰ τῆς οἰκείας ἀκαθαρσίας καὶ ἀνεπιστρόφου φαυλότητος βεβηλοῦντές τε καὶ καταῤῥυπαίνοντες· ὧν ἑκάτερον, ἀνατρέχον εἰς τοὺς ἀπερισκέπτως καὶ χωρὶς προνοίας οἰκονομήσαντας τὸ μυστήριον, πτῶσιν αὐτῶν χαλεπὴν καὶ μέγα ὄνειδος ἀπεργάζεται.

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΨΖ', κατὰ δὲ τὴν Μιγν. Ἐρώτ. Σ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΝΔ'.

[2] Οὕτως εἰκάζει Οἰκονόμος γραπτέον εἶναι τὸ παρὰ πᾶσι κακῶς γεγραμμένον—ἀφορίζοντες.

[3] Οὕτω παρὰ τοῖς ἄλλοις· παρ' Οἰκον. δὲ—ὑλακτοῦντες· ἄμεινον δέ, δοκεῖν ἐμοί, κατὰ Γενικήν.

[4] Παρ' Οἰκον.—οὐ μόνον δέ, ἀλλὰ καὶ τῶν ἀπίστων, κ.τ.λ.

[5] Ματθ. Θ', 36. καὶ ΙΕ', 32. Μάρκ. ΣΤ', 34.

[6] Ἐκ διορθ. Οἰκον. ἀντὶ—ῥίπτουσι—παρὰ Μοντακ. καὶ Μιγνίῳ. Συνᾴδει δὲ ἡ διόρθωσις αὕτη τῷ τε χειρογράφῳ τῆς ἐν Τυρνάβῳ βιβλιοθήκης, ὅπερ φέρει—ῥήξουσι—καὶ αὐτῷ δὴ τῷ τῆς Γραφῆς κειμένῳ· "καί στραφέντες ῥήξωσιν ὑμᾶς." (Ματθ. Ζ', 6.)

Digitized by Google

β'. Εἴησαν δ' ἂν μαργαρῖται καὶ ἅγια οὐ τὰ εἰρημένα μόνον, ἀλλά γε καὶ τῶν σημείων[1] καὶ θαυμάτων τὰ χαρίσματα, καὶ πρὸς τούτοις αὐτὰ τὰ θαύματα καὶ ἰάματα·[2] καὶ τρίτον, εἰ βούλει, τὸ Ἀποστολικὸν καὶ θεῖον ἀξίωμα, ὃ κατὰ διαδοχὴν τὸ Ἀρχιερέων γένος ὁρᾶται κληρούμενον· οὐδὲν γὰρ τούτων, οὔμενουν, οὔτε τοῖς κυσὶ προτιθέναι, οὔτε τοῖς χοίροις θεμιτόν. Καὶ κοινὸς μὲν περὶ πάντων νόμος ἡ προειρημένη τοῦ Δεσπότου ψῆφος καὶ ἀπόφασις· εὕροι δ' ἄν τις καὶ περὶ ἑνὸς ἑκάστου αὐτῶν τὰς μαρτυρίας οὐδὲν ἐργωδέστερον.[3] Αὐτίκα γοῦν τοῖς κυνῶν δίκην τὴν ἀναίδειαν[4] προβεβλημένοις, καὶ σημεῖον αἰτοῦσιν, οὔπω σχεδὸν τῆς ὄψεως αὐτῶν τῶν προδεδειγμένων ἀπαλλαγείσης, οὐ μόνον οὐδὲν ὁ τοῦ γένους Σωτὴρ οὐδαμῶς ἐπεδείξατο, ἀλλὰ καὶ ἀπεῖπε μὴ δοθήσεσθαι, καὶ τὴν αἰτίαν τοῦ μὴ παρασχεῖν ἀποκαλύπτων, γενεὰν αὐτοὺς πονηρὰν καὶ μοιχαλίδα ὠνόμασε,[5] δι' ἑκατέρου τοῦ πάθους[6] παραστήσας, ὅτι κυνῶν καὶ χοίρων οὐδὲν ἀμείνους ἐτύγχανον. Καὶ πάλιν ἐν τῇ πατρίδι αὐτοῦ οὐκ ἐποίησε δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν·[7] καὶ πολλαχοῦ φαίνεται πίστιν προσαπαιτῶν, εἶθ' οὕτως ἰάσεις ἐπιτελῶν. Ὥστε ὁ κυνογνώμων καὶ χοιρώδης ἄνθρωπος ἀνάξιός ἐστι τῆς ἀπὸ τῶν σημείων εὐεργεσίας· εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον καὶ αὐτοῦ τοῦ ἐν τοῖς σημείοις χαρίσματος. Ἀλλὰ τοῦτο μὲν καὶ αὐτόθεν δῆλον· οὐδὲν δὲ ἧττον ὅμως καὶ Πέτρος, ὁ τῶν μαθητῶν κορυφαῖος, δι' ὧν ἐπιτιμήσας ἀπεσείσατο τὸν δεισιδαίμονα καὶ πονηρὸν καὶ φιλόχρυσον Σίμωνα,[8] ἀκριβεστάτην παρέσχετο τὴν ἀπόδειξιν.

γ'. Ὅτι δὲ οὐδ' Ἀποστολικῆς ἀξίας ἢ Ἀρχιερατικῆς τιμῆς οὐδείς ἐστι τῶν τοιούτων μετέχειν δίκαιος, αὐτὸς πάλιν ὁ Δεσπότης ἔργῳ καὶ λόγῳ παρίστησιν, οἷς τὸν ἀκολουθεῖν αὐτῷ αἰτησάμενον, καὶ τῶν Ἀποστόλων ὑπελθεῖν τὸν κλῆρον καὶ τὸ προνόμιον διαμηχανώμενον, οὐ μόνον οὐ προσεδέξατο, ἀλλὰ καὶ δι' ὧν[9] ἐθριάμβευσεν αὐτοῦ τὰ τῆς καρδίας ἀπόῤῥητα, τῆς μαθητείας ἀπώσατο· πτηνῶν γὰρ αὐτὸν καὶ ἀλωπέκων ὁ πάντα καὶ πρὸ γενέσεως εἰδὼς οἰκητήριον ἑώρα καὶ κατασκήνωσιν· καὶ τοῦτο αὐτὸ[10] αἰτιασάμενος,[11] ὅτι

---

[1] Οὕτω παρ' Οἰκονόμῳ· παρὰ δὲ τοῖς ἄλλοις—ἀλλά γε καὶ τῶν θαυμάτων.

[2] Ὁμοίως ἐλλείπουσι παρὰ τοῖς αὐτοῖς αἱ λέξεις—καὶ ἰάματα.

[3] Παρὰ Μοντακ.—ἀργωδέστερον—ὅπερ καὶ Μίγν. κατ' Οἰκονόμον ἔγραψε διορθωσάμενος—ἐργωδέστερον.

[4] Οὕτω παρὰ τοῖς ἄλλοις· παρ' Οἰκονόμῳ δὲ ἀνάρθρως—ἀναίδειαν προβεβλημένοις.

[5] "Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου." (Ματθ. ΙΒ', 39.)

[6] Ἄμεινον ἐνάρθρως, ὡς παρ' Οἰκον. ἢ ἀνάρθρως, ὡς παρὰ τοῖς ἄλλοις.

[7] Ματθ. ΙΓ', 58.

[8] Πράξ. τῶν Ἀποστ. Η', 18—24.

[9] Οὕτω παρ' Οἰκονόμῳ· παρὰ δὲ τοῖς ἄλλοις ἄνευ τοῦ—καί.

[10] Ἄμεινον ἂν ἐγέγραπτο—αὐτὸν—ὥς γέ μοι δοκεῖ.

[11] Οὕτως ἄμεινον παρ' Οἰκονόμῳ· παρὰ δὲ τοῖς ἄλλοις—αἰτησάμενος.

Digitized by Google

δόλου γέμων καὶ κουφότητος καὶ ἀναιδείας, καὶ πάθει προσανέχων φιλοχρηματίας, πρὶν ἢ ταῦτα τὰ θηρία ἀπελάσῃ[1] τῆς ψυχῆς, ἐτόλμησεν ἑαυτὸν εἰς τὴν τῶν μαθητῶν κλῆσιν εἰσωθεῖν, καὶ τῶν ὑπερφυῶν ἐκείνων καὶ δεσποτικῶν χαρισμάτων δοχεῖον φαντάζεσθαι, ὡς ποῤῥωτάτω τῆς ἐλπίδος ὁ πάντας ἕλκων πρὸς ἑαυτὸν καὶ πάντας σωθῆναι θελων ἀπεπέμψατο.[2] Καὶ τὸ σκεῦος δὲ τῆς ἐκλογῆς, ὁ τὸν οὐράνιον πόλον, ὡς ἐπίγειον στάδιον, διατρέχων, καὶ τὴν οἰκουμένην σταδιεύων τῷ τοῦ κηρύγματος δρόμῳ καὶ τοῖς ὑπὲρ εὐσεβείας παθήμασι, τὰ αὐτὰ τῷ Διδασκάλῳ καὶ Δεσπότῃ, δι' ὧν Τιμοθέῳ γράφει, συμφθέγγεται· "Χεῖρας γὰρ ταχέως, φησί, μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις·"[3] καὶ μυρία ἄλλα. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν περὶ τούτων.

δ'. Ἐγὼ δέ σοι καὶ πρὸς ἑτέραν θεωρίαν, ἐκ γειτόνων τοῖς εἰρημένοις οὖσαν (ἐπεί σοι τὰ τοιαῦτα ἔρως ἐστὶ καὶ τρυφὴ καὶ θεάματα), οὐκ ὀκνήσαιμι καθηγήσασθαι, εἰ καὶ τῆς ἐπιστολῆς ἠρέμα πως τοὺς νόμους ὁρῶ διευλαβουμένους μοι ἕπεσθαι. Ἀλλὰ γὰρ μαργαρίτας μὲν καὶ τοὺς περὶ ἀρετῆς καθαροὺς λογισμούς, ἅγια δὲ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων λογισμῶν τὸ τίμιον καὶ σεπτόν, οὐκ ἄν τις ἀποσφαλείη τῆς ἀληθείας καὶ εἰδὼς καὶ καλῶν, ὥσπερ κύνας τοὺς δυσσεβεῖς καὶ αἱρετίζοντας λογισμούς, καὶ χοίρους πάλιν τοὺς φιληδόνους καὶ δυσώδεις καὶ ἐμπαθεῖς.[4] Οὐ δεῖ τοιγαροῦν τούτοις τοῖς χοίροις οὐδὲ τοῖς κυσὶ τοὺς μαργαρίτας καὶ τὰ ἅγια εἰς ἔριν καὶ ζυγομαχίαν ῥίπτειν καὶ προβάλλεσθαι· πολλοὶ γὰρ ἐκείνοις ταῦτα προθέντες, καὶ τὴν τούτων ἐν τῷ λογιστικῷ τῆς ψυχῆς ἅμιλλαν ὡς σκηνικὴν θέαν ποιούμενοι, καὶ δὴ καὶ ὑπὸ τῆς περὶ τὰ πάθη προσπαθείας τὴν κρίσιν ἀδέκαστον οὐκ ἔχοντες, ἔλαθον ἑαυτοὺς ἀνατρέψαντες, καὶ πεσόντες πτῶμα ἐξαίσιον, ἐκνικηθέντων αὐτοῖς τῶν κρειττόνων τοῖς χείροσι, καὶ θέαν μᾶλλον τραγικὴν ἑαυτούς, ἢ θεατάς, ἐπιδείξαντες. Εἰ δὲ καὶ ἀπὸ τῶν μαχομένων ἐννοιῶν καὶ ἐνθυμήσεων ἐπ' αὐτὰς προέλθοις τὰς ἀντικειμένας πράξεις, καὶ τοὺς κατὰ τὰς πράξεις αὐτὰς διακειμένους, οὐδὲν ἧττον εὑρήσεις τὴν θεωρίαν προβαίνουσαν. Ὁ γὰρ σπουδαῖος βίος καὶ ὀρθόδοξος, μαργαριτῶν καὶ ἁγίων δίκην ἀποστίλβων, οὐκ ὀφείλει ταῖς αἱρετικαῖς καὶ δυσώδεσι καὶ ῥυπώσαις πολιτείαις συνδιαιτᾶσθαι καὶ συναναφύρεσθαι· "Ἐξέλθετε γάρ, φησίν, ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος, κἀγὼ εἰσδέξομαι ὑμᾶς·"[5] καὶ "Τίς κοινωνία φωτὶ πρὸς σκότος;"[6] καὶ "Ἐξάρατε τὸν πονηρὸν ἐκ μέσου ὑμῶν·" καὶ "τῷ τοιούτῳ μηδὲ συνεσθίειν·"[7] καὶ ἄλλο πλῆθος ἄπειρον. Ἀλλὰ ταῦτα μὲν σὴν πεφιλοτιμήσθω

---

[1] Ὁμοίως, ἀντὶ—ἀπελάσει—παρὰ τοῖς ἄλλοις.

[2] Ματθ. Η', 19—21. Λουκ. Θ', 57—59.

[3] Παῦλος ἐν τῇ Α' πρὸς Τιμόθ. ἐπιστ. Ε', 22.

[4] Οὕτω καὶ Γρηγόριος ὁ Παλαμᾶς ἐν τῇ Γ' τῶν Ὁμιλιῶν αὐτοῦ τοὺς χοίρους ὡρίσατο, αὐταῖς σχεδὸν λέξεσι τὰ Φωτίου εἰπών.—Σημ. Οἰκονόμου (Ἀμφιλ. σελ. 378).

[5] Ἡσαΐας ἐν κεφ. ΝΒ', 11, καὶ Παῦλος ἐν Β' πρὸς Κορινθ. ἐπιστ. ΣΤ', 17.

[6] Παῦλος αὐτ. 14.

[7] Παῦλος ἐν τῇ Α' πρὸς Κορινθίους, Ε', 11—13.

Digitized by Google

χάριν· οἶδε δὲ καὶ τὸ τῆς ἀναγωγικῆς θεωρίας χωρίον τῷ πλάτει καὶ τῇ εὑρέσει τῶν θεωρημάτων ἐγκαλλωπίζεσθαι.

ΕΠΙΣΤΟΛΗ Ι'.—10.

Τῷ αὐτῷ.[1]

(Διὰ τί ἐν τῇ Γραφῇ σκιὰ καὶ ὄναρ καὶ καπνὸς καὶ ματαιότης ὁ ἀνθρώπινος βίος ὠνόμασται.)

Οὐ καταῤῥητορεύουσα τῆς ἡμετέρας εὐτελείας ἡ θεία Γραφὴ σκιὰν καὶ ὄναρ καὶ καπνὸν καὶ ματαιότητα καὶ τοιαῦτα ἄλλα τὸν ἀνθρώπινον βίον ὠνόμασεν. Τί γὰρ ἂν καὶ εἴποις; τὴν ἐν παισὶν ἡλικίαν;[2] καὶ τί τούτου ματαιότερον ἢ ἀναισθητότερον; Ἀλλὰ τὴν νεότητα, ὃ καὶ ἄνθος δόξειεν ἂν εἶναι τῆς φύσεως; ἀλλὰ γέμει ζάλης· ἀλλὰ πολὺ τὸ κοῦφον ἐν αὐτῇ καὶ ὑπόκενον καὶ εὐρίπιστον· ἀλλὰ παντὸς ὀνείρου θᾶττον παρέρχεται, οὐδὲν ἄλλο χαρισαμένη καὶ προξενήσασα, πλὴν ὅτι πολὺν σάλον καὶ κλύδωνα παθῶν τῇ ψυχῇ ἐπικυμήνασα, αὐτὴν τὴν πρώτην ὁρμὴν τῆς ἐπ' ἀρετὴν κινήσεως ἔστιν οἷς ἐποίησεν ὑποβρύχιον. Τί δαί;[3] τὸ τῆς ἡλικίας μεθόριον; ἀλλὰ καὶ τοῦτο καπνοῦ φορᾶς οὐδὲν διενήνοχεν, ὧδε κἀκεῖσε διάττον,[4] καὶ καθαρῶς οὐδαμοῦ καθιστάμενον· τῆς τε γὰρ κατὰ τὴν νεότητα κούφης καὶ ἀτάκτου μετέχει πως ἔτι κινήσεως, οὔπω τελείως τῆς ἐκεῖθεν ἀχλύος καὶ ταραχῆς ἀπαλλάξαν τὸν ἄνθρωπον, καὶ τῷ πρὸς τὸ γῆρας γειτονήματι τῆς ἐξ αὐτοῦ αἰθάλης[5] ἠρέμα πως καὶ ἀνεπαισθήτως ὑποπιμπλάμενον, καταῤῥεῖν ἀρχὴν παρέχει καὶ ὑπομαραίνεσθαι· καὶ δοκεῖ μὲν τῆς ἀφ' ἑκατέρου τῶν ἄκρων βλάβης τε καὶ κακίας ἀφεστᾶναι, οὐδὲν δὲ ἧττον τῆς ἐν ἀμφοῖν θεωρουμένης μοχθηρίας μετέχον, εἰς καπνὸν ὡς ἀληθῶς, τὸ γῆρας, καὶ εἰς ὄναρ διαλύεται. Αὐτὸ δὲ τὸ γῆρας τί; κἂν οὐδὲν ἡμεῖς ἐροῦμεν, αὐτὸ πᾶσιν αὐτοῦ τὰ πάθη καὶ τὸ βάρος καὶ τὴν χαλεπότητα διακέκραγε, καὶ ὅτι καὶ κονιορτοῦ καὶ καπνοῦ καὶ σκιᾶς καὶ ὀνείρου καὶ πάντων ἐστιν εὐτελέστερόν τε καὶ ἀμυδρότερον.

β'. Πῶς οὖν ἔστι φυγεῖν τὰ κακά; Κατὰ παῖδα μὲν ἀγωγῆς τυχόντα χρηστῆς καὶ

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΓ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. Σς', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΟΒ'.

[2] Οὕτω παρ' Οἰκονόμῳ· παρὰ δὲ τοῖς ἄλλοις εἰς μίαν αἱ δύο πρῶται ἐρωτήσεις συνῄρηνται.

[3] Καὶ τοῦτο κατ' Οἰκον. παρὰ δὲ τοῖς ἄλλοις—τί δὲ τὸ τῆς ἡλικίας μεθόριον;

[4] Διάττω=μεθ' ὁρμῆς διαβαίνω διά τινος τόπου· ὅθεν "ἀστέρες διάττοντες" καὶ "ἀστραπὴ διάττουσα."

[5] Αἰθάλη (ἐκ τοῦ αἴθω=ἀνάπτω, καίω) κατὰ Σουίδαν=σποδός, τέφρα, καὶ εἶδος καπνοῦ πεπυκνωμένου. Οὕτω καὶ Ἡσύχιος· ἐντεῦθεν καὶ τὸ ῥῆμα αἰθαλόω=μαυρίζω τι διὰ τοῦ πυρός. Ἴδε Λεξικ. Σκαρλ. Βυζαντίου, καὶ Κοραῆ Ἄτακτα, Τόμ. Δ', σελ. 217. Προσσημειωτέον δέ, ὅτι καὶ νῦν ἔτι ἡ κοινὴ ἡμῶν γλῶσσα διατηρεῖ τὴν λέξιν, τὸ ι τῆς διφθόγγου ἀφελοῦσα, καὶ ἀθάλην λέγουσα τὴν καίουσαν σποδόν. Οὐχ ἧττον δὲ καὶ τὸ τῇ αἰθάλῃ συνώνυμον "ἀσβόλη" παρέμεινεν ἔστιν οὗ· καὶ ἐν τῇ Χιακῇ διαλέκτῳ κοινῶς λέγεται πρὸς ὕβριν ἀσβολοπερεχυμένος (=ἀσβόλῃ περικεχυμένος) ὁ ῥυπαρός, ἀχρεῖος, κατάπτυστος.

Digitized by Google

σωφρόνων παιδαγωγῶν, ὅπερ οὐδ' ἐν ἡμῖν ἐστιν, ἀλλ' ἐν ταῖς τῶν τεκόντων ἢ τῶν ἐπιτρόπων φροντίσιν· ἐν νεότητι δέ, καθ' ἣν ἄρχεται καὶ τὸ ἡμέτερον, διὰ σφοδροτάτου[1] χαλινοῦ καὶ ἀκριβεστάτης παιδεύσεώς τε καὶ γυμνασίας καὶ συνασκήσεως· κατὰ δὲ τὴν μέσην ἡλικίαν, διά τε τοῦ προκαταρτισθέντος καὶ προεντυπωθέντος τῇ ψυχῇ ἔθους (ὃ καὶ μεγίστην ἔχει πρὸς τὰ ἐξῆς κατορθώματα τὴν ἰσχύν), καὶ διὰ τῆς ὁμοίας σπουδῆς καὶ ἐπιμελείας τῆς κατ' ἀρετὴν τελειώσεως. Τῷ δ' οὕτω λοιπὸν οἰκονομήσαντι καὶ διακυβερνήσαντι τὸν βίον λιμὴν ἀπαντήσει τὸ γῆρας, καὶ πόνων ἀνάπαυσις, τῆς κατὰ ψυχὴν ἡδονῆς καὶ θείας εὐφροσύνης τὰς ἀπὸ τοῦ σώματος λύπας παρωθουμένης τε καὶ ἀποκρυπτούσης, καὶ μακάριον ὡς ἀληθῶς ἀποφαινούσης τὸν ἄνθρωπον. Σὺ δέ μοι, τέκνον, μὴ μόνον ἃ γράφω προθύμως ἀναγίνωσκε, ἀλλὰ καὶ διὰ τῶν ἔργων προθυμότερον ἐπιγίνωσκε.

ΕΠΙΣΤΟΛΗ ΙΑ'.—11.

Τῷ αὐτῷ.[2]

(Ἕτεροι δὲ χλευάζοντες ἔλεγον, ὅτι γλεύκους μεμεστωμένοι εἰσίν.—Πράξ. τῶν Ἀποστ. Β', 1—13.)

Πότερον οἱ χλευάζοντες συνίεσαν λαλούντων γλώσσαις τῶν Ἀποστόλων, ἢ οὔ; εἰ μὲν γὰρ οὐ συνίεσαν, πῶς ἁπάσαις ἐλάλουν οἱ Ἀπόστολοι; εἰ δὲ συνίεσαν, πῶς ἐθάῤῥησαν μέθην αἰτιάσασθαι, παρὰ πόδας τὸν ἔλεγχον ἔχοντες, αὐτῶν τῶν ἀκουόντων καὶ συνιέντων τὴν αἴσθησιν; Οὕτω μὲν ἄν τις εἴποι, τὴν σὴν ἀπορίαν εἰς τὸ δριμύτερον μεταχειριζόμενος. Ἐγὼ δὲ φαίην ἂν τοὐναντίον, ὡς, εἰ μὴ συνίεσαν, οὐδ' ἂν εἰς μέθην τὸ θαῦμα διέβαλλον. Τί γὰρ ἄν τις καὶ διαβάλλειν ἐπιχειροίη, ὅπερ οὐδὲ τῶν λυπούντων αὐτὸν εἴη; Ἀλλὰ συνίεσαν μέν, ἀπηρέσκοντο δέ· τὰ γὰρ μεγαλεῖα ἔλεγον ἐκεῖνοι τοῦ Θεοῦ, ἐφ' οἷς οἱ ἀγνωμονοῦντες νυττόμενοι, χλεύην ἐπεχείρουν τὸ θαῦμα ἐργάζεσθαι. Διὸ καὶ ὁ μακάριος Λουκᾶς "χλευάζοντες, φησίν, ἔλεγον," οἱονεὶ διασύροντες, ἐνδιαβάλλοντες, ἐπισκιάσαι τὴν θαυματουργίαν μηχανώμενοι. Πῶς οὖν, συνιέντες, εἰς μέθην ἀνέφερον τὰ λεγόμενα; Ἀπὸ πολλῆς ἀπονοίας, ἐξ ὑπερβαλλούσης ἀνοίας· ἔθος γὰρ τοῖς τοιούτοις, ὅταν ᾖ μὴ καταθύμια τὰ λεγόμενα, κἂν ἄλλως πολὺ τὸ σωτηριῶδες ἔχῃ καὶ ὠφέλιμον, παραφορὰν τῶν εἰρημένων, ἢ μέθην, ἢ καὶ δαιμόνιον αἰτιᾶσθαι τοῦ λέγοντος· καὶ μήτε αὐτὸν ἐκεῖνον,[3] ἃ λέγοι,[4] συνιέναι, μήτε μὴν τὸν ἀκούοντα, καίτοι καὶ τοῦ λέγοντος ἐπὶ τὸ ἄπταιστον φθεγγομένου, καὶ τοῦ χλευάζοντος καὶ αἰτιωμένου μέχρι τοῦ ἀκούειν καὶ συνιέναι ὑγιῶς ἔχοντος. Ἐκεῖνοι δὲ καὶ μᾶλλον ἐθάῤῥουν μέθην ἐγκαλεῖν, ὅτι

---

[1] Παρ' Οἰκον. συγκριτικῶς—σφοδροτέρου.

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. Π', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΠΑ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΜΕ'.

[3] Παρ' Οἰκον.—ἐκεῖνα.

[4] Ὁμοίως—λέγει.

Digitized by Google

τῇ ἰδίᾳ γλώσσῃ ἀκούοντες, τοὺς ἄλλους δὲ διὰ τὸ ἑτερόγλωσσον μὴ συνιέναι νομίζοντες, οὐδ' ἔλεγχον τῆς συκοφαντίας εὑρεῖν ἐξ ἑτοίμου ὑπελάμβανον· αὐτοὶ μὲν γὰρ συνίεσαν, τοὺς δὲ συμπαρόντας, δι' οὓς καὶ πρὸς μέθην τὸ θαῦμα κατέφερον, πόῤῥω τοῦ συνιέναι ἐτόπαζον. Καὶ θαυμαστὸν οὐδέν. Ὥσπερ γάρ, της Δεσποτικῆς ἐξουσίας ἐλαυνούσης τὰ δαιμόνια, συνίεσαν μὲν καὶ ἔβλεπον τὰ παράδοξα, δέον δὲ ὑμνεῖν καὶ προσκυνεῖν, εἰς βλασφημίας ἀπήγοντο, καὶ νόσους πάσας καὶ πάθη πάντα ὁρῶντες φυγαδευόμενα, τῶν θαυμάτων τὴν ὑπερβολὴν καὶ τῆς εὐεργεσίας φθόνου καὶ συκοφαντίας καὶ φόνου ὕλην εἰργάζοντο· οὕτω καὶ νῦν, οὐκ ἔχοντες ἐξαρνήσασθαι[1] τὸ ὑπερφυὲς τῶν γλωσσῶν καὶ παράδοξον, ὅμως[2] τῇ βασκανίᾳ ἀνερεθιζόμενοι, μέθην κατασκεδάζειν τοῦ θαύματος οὐκ ἐνεκαλύπτοντο. Καὶ σκόπει κακουργίας ὑπερβολήν, ἐν ἴσῳ τὴν ἄνοιαν ἔχουσαν. Ἐπεὶ γὰρ ἀπίθανον ἦν, καθ' ὥραν μάλιστα τρίτην, μέθῃ διδόναι τοὺς Ἀποστόλους, ἀνθρώπους ἀρετῆς τε κήρυκας, καὶ ἐν μέσοις φόβοις καὶ κινδύνοις ἐναπειλημμένους, ἐπὶ τὸ τοῦ πόματος πρόσφατον (καίτοι τῶν βοτρύων οὔπω πρὸς ὥραν ὄντων, ἀλλ' ἄρτι τὴν γεηρὰν ἰκμάδα εἰς ἄνθος ἀποτριβομένων) καταφεύγουσι, καὶ τῇ ποιότητι τὴν ὕβριν συνδιαπλέκουσι, "γλεύκους, λέγοντες, μεμεστωμένοι εἰσίν." Ἐν οἷς γὰρ τὸ ἰταμὸν[3] τῆς γνώμης ἀκατάσχετον, μόνος[4] πρόκειται σκοπός, οὐχ ὅπως τι δέον καὶ μὴ καταγέλαστον εἰπεῖν, ἀλλὰ δι' ὧν ἄν τις τύχοι τὸ μανιῶδες καὶ ἀλλόκοτον ἐμπλῆσαι τῆς ψυχῆς, καὶ τὴν ἐπὶ τοῖς ὁρωμένοις ἀμηχανίαν παραμυθήσασθαι. Δι' ὃ καὶ ὅπερ ἔδοξαν ἐκ περινοίας εἰπεῖν, εἰς πολλὴν αὐτῶν ἄνοιαν καὶ ἀπόνοιαν τελευτᾷ.

ΕΠΙΣΤΟΛΗ ΙΒ'. — 12.

Ταρασίῳ Πατρικίῳ, ἀδελφῷ ἠγαπημένῳ.[5]

(Περὶ Προνοίας.)

Εἰ μηδεὶς τῶν ἀδικούντων, καὶ ὅλως ἁμαρτανόντων, κατὰ χεῖρας εἶχε φθάνουσαν τὴν δίκην, ἀλλὰ καὶ πάντες οἱ τῆς ἀρετῆς ἐργάται τὸν βίον ἔτριβον ἐν ταλαιπωρίᾳ, οὐκ ἄν σοι λίαν ἀτόπως ὁ περὶ προνοίας λόγος ἐχώλευεν. Ἐπεὶ δὲ πολλοὶ καὶ τῶν τὴν κακίαν μετιόντων παρ' αὐτὰς τὰς πράξεις ὤφθησαν τὰς δίκας δεδωκότες, καὶ τῶν ἀρετῇ ῥυθμιζομένων εὐπαθοῦντές εἰσιν ἐγνωσμένοι, πῶς οὐκ ἀνόητος ἡ κατὰ τῆς Προνοίας ἐπίνοια; Εἰ δ' ὅτι μὴ πάντες ἐνταῦθα κομίζονται τὰ ἐπίχειρα, τοῦτό σε κατ' αὐτῆς

---

[1] *Παρ' Οἰκον—ἐξαρνεῖσθαι.*

[2] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—ὁμοίως (καὶ ὁμῶς)—παρὰ τοῖς ἄλλοις.*

[3] *Παρ' Οἰκον.—τὸ ὠμόν.*

[4] *Ὁμοίως—εἷς μόνος.*

[5] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΟΑ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΟΒ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΛΑ'.*

Digitized by Google

ἀνερεθίζει, ἴσθι, ὡς δι' ὧν ἔγνως αὐτῇ μάχεσθαι, μᾶλλον αὐτῆς ἀνακηρύττεις μετὰ τῆς σοφίας τὸ ἄμαχον. Εἰ γὰρ πάντες ἐν τῷ νῦν αἰῶνι, οἱ μὲν τὰς εὐθύνας εἰσεπράττοντο τῶν ἡμαρτημένων, οἱ δέ, ἐφ' οἷς εἵλοντο τὰ ἀμείνω, δόξης καὶ τιμῆς ἀπήλαυον καὶ εὐδαιμονίας, μάτην τε ἂν τὸ ἐκεῖθεν κριτήριον συνειστήκει (ὅπερ ἐστὶ τῆς ἀνωτάτω Θεοῦ σοφίας καὶ κηδεμονίας), καὶ βίαιον ἄλλως[1] καὶ ἀκούσιον ἡ τοῦ κακοῦ φυγὴ ἐπεδείκνυτο, δεδοικότων, ὡς εἰκός, τῶν πλημμελεῖν ἐγνωκότων τὴν παραυτίκα τιμωρίαν, καὶ οὐχὶ γνώμης ἀγαθῆς αἱρέσει, δειλίᾳ δὲ μᾶλλον ἀπὸ τῆς κακίας διασπωμένων· ἀλλά γε δὴ καὶ μισθαρνία καὶ οὐκ ἀρετὴ τῆς ἀρετῆς ἐτύγχανεν ἂν ἡ ἐργασία, καὶ οὐκέτι διάκρισις τῶν σπουδαίων καὶ τῶν φαύλων ἐγεγόνει, οὐδὲ τίσι[2] μέν, ἵνα τῆς ἐκεῖθεν τύχωσι βασιλείας, καὶ ἵνα Δεσποτικὰς συντηρήσωσιν ἐντολάς, ἡ ἀρετῆς πρᾶξις καὶ ἡ ταύτης χρῆσις ἐξ ἔρωτος θείου, τίσι δέ, ἵνα τὸν παρόντα βίον ἐν ἀπολαύσει διανύσωσι καὶ εὐδαιμονίᾳ. Ἄλλως τε δέ,[3] καὶ τὸ πάντων κάλλιστον, τοὺς ἀγῶνας λέγω, ἐφ' οἷς οἱ δίκαιοι μάλιστα στεφανοῦνται, ἀναιροῦντός ἐστι τὸ μηδένα τούτων βούλεσθαι τοῖς παροῦσι πόνοις ἐνταλαιπωρεῖσθαι· οὐ μόνον δέ, ἀλλὰ καὶ (ὃ τῶν εἰρημένων οὐδενὸς εἰς ἀπόδειξιν ἀσθενέστερον) αὔξοντός ἐστι τὴν τιμωρίαν, καὶ ὑπεροργιζομένου κατὰ τῶν ἁμαρτανόντων· ὧν ἑκάτερον ἀλλότριον τῆς τοῦ Θεοῦ φιλανθρωπίας· τό τε γὰρ στεφάνους ἀφαιρεῖν, καὶ τὸ πικροτάτην καὶ ἄκρατον μηχανᾶσθαι τιμωρίαν, πόρρω καθέστηκε τῆς ἀγαθοειδοῦς ἐπιστασίας. Πῶς δ' οὐκ ἂν εἴη τοῖς ἁμαρτάνουσι σφοδρὰ καὶ ἀπαραίτητος, καὶ ὅλον[4] τρυγίας ἄκρατος[5] ἡ τιμωρία τρόπον τινὰ παρεσκευασμένη, ὅταν ἐπὶ τοσοῦτον μὲν ὑπέρβλυσις ᾖ τῆς εὐεργεσίας, ὥστε, ἐξὸν ἄμεινον βιοῦντας καὶ τῆς ἐντεῦθεν εὐπαθείας καὶ τῶν ἐκεῖθεν ἀγαθῶν ἀπολαύειν, τοῖς δὲ οὐδ' οὕτως ἀντὶ τῶν χειρόνων αἵρεσις ἔπεισι τῶν κρειττόνων; Ὥστε τὸ μὴ πάντας τοὺς σπουδαίους ἐνταῦθα τὸν βίον ἔχειν ἐν εὐροίᾳ, μηδὲ τοὺς φαύλους ἅπαντας ἐν ταλαιπωρίᾳ, τῆς ἄκρας ἐστὶ περὶ τὸ ἀνθρώπινον φιλανθρωπίας τε καὶ κηδεμονίας. Κολάζονται τοίνυν ἐνταῦθα τινές, τῶν μὲν σπουδαίων ἐπὶ τῇ τῶν στεφάνων ἀπολήψει, καὶ ἵνα μᾶλλον αὐτοῖς[6] ὁ θεῖος ἔρως θαυμαστὸς ἡλίκος κἀν ταῖς θλίψεσιν ἐνακμάζων[7] ἐπιδεικνύοιτο· εἰ βούλει δέ, καὶ "ἵνα μὴ (ὡς ὁ θεῖος Παῦλός φησιν[8]) ὑπεραίρωνται, μηδέ γε μείζους, ὑπὲρ ὃ ὁρῶνται, παρ' ἐνίοις νομίζωνται." Σὺ δέ μοι σύνες, εἰ βούλει, καὶ διότι μεγάλαις καὶ καθαραῖς ἡδοναῖς, ταῖς κατὰ τὴν ἀρετήν, ἐντρυφῶσι καὶ διαχέονται, δί-

---

[1] Παρ' Οἰκον. ἄνευ τοῦ—ἄλλως.

[2] Ἡμ. διόρθ. ἀντὶ—τισὶ μέν . . . . τισὶ δὲ—παρά τε τοῖς ἄλλοις καὶ Οἰκον. αὐτῷ· ἔστι γὰρ ὁ λόγος ἐρωτηματικός, ἐννοουμένου ἀπὸ κοινοῦ "οὐδὲ διάκρισις ἐγεγόνει," τίσι, κ.τ.λ.

[3] Οὕτω παρ' Οἰκον., παρὰ δὲ τοῖς ἄλλοις ἄνευ τοῦ—δέ.

[4] Παρ' Οἰκον.—ὅλως.

[5] Ψαλμ. ΟΔ', 9.

[6] Παρ' Οἰκον.—αὐτῶν.

[7] Οὕτω διώρθωσα τὸ ἐν τῷ κειμένῳ τοῦ Μοντακ.—ἀνακμάζων— Μίγνιος δὲ "ἂν ἀκμάζων" τοῦτο διωρθώσατο· ἀλλὰ δοκεῖ μοι ἄχρηστον ὅλως εἶναι ἐνταῦθα τὸν ἄν, καὶ ἄλλως ἐν τελικῷ λόγῳ μετὰ τοῦ ἵνα μὴ ἐθέλειν συντάσσεσθαι· τὴν δὲ γραφὴν—ἐνακμάζων—πιθανωτέραν καθίστησιν ἡ Δοτ. αὐτοῖς, ὅπως εἴη "ὁ θεῖος ἔρως ἐπιδεικνύοιτο ἐνακμάζων αὐτοῖς." Παρ' Οἰκον. δὲ γέγραπται ἁπλοῦν—ἀκμάζων.

[8] Ἐν τῇ Β' πρὸς Κορινθ. κεφ. ΙΒ', 6—8.

Digitized by Google

καιοι ἂν εἶεν, ὥσπερ στύφοντί τινι καὶ συνάγοντι φαρμάκῳ, προσομιλεῖν καὶ ταῖς θλίψεσι· καὶ ὅτι ἡ τοῦ Θεοῦ χάρις διὰ τῆς ἀσθενείας αὐτῶν πλέον ἐκλάμπει καὶ θαυμάζεται· ἀλλὰ καὶ εἰς τελείαν αἰσχύνην τοῦ πονηροῦ καὶ κατάπτωσιν, ὅτι καὶ τοῖς τῶν πειρασμῶν ἱδρῶσι περισταζόμενοι, οὔτε τὸν τῆς ἀρετῆς τόνον ἔλυσαν, οὐδ' εἰς τὴν κατ' αὐτοῦ πάλην κατεμαλακίσθησαν. Οὐ πάντες δὲ τοῖς πειρασμοῖς παραδίδονται, ἵνα μὴ τοῖς ἀσθενεστέροις κατὰ τῆς προνοίας οἱ λογισμοὶ συνταράσσωνται. Κολάζονται δὲ καὶ τῶν φαύλων, οἱ μὲν ἐπὶ καθάρσει μολυσμάτων, ὅσοις μετριώτερόν τι διημάρτηται, οἱ δὲ εἰς παράστασιν[1] τοῦ πικροτέραν αὐτοῖς πάντως ἀποκεῖσθαι τῶν βεβιωμένων ἐκεῖθεν τὴν εἴσπραξιν, καὶ ἵνα καὶ τοῖς ἀνοήτοις τῆς τοῦ Θεοῦ μισοπονηρίας συναίσθησις γένηται. Οὐ πάντες δέ, ἵνα μὴ μάτην τοῦ αὐτεξουσίου ἀπελεγχθῇ τὸ φιλότιμον, καὶ ἵνα καθαρὸν ἐξουσίας καὶ ἀμίαντον συναποδειχθῇ τῆς τῶν ἐντολῶν νομοθεσίας τὸ ὠφέλιμον, καὶ διότι μένει τὸ κοινὸν ἐκεῖθεν καὶ πάντων κριτήριον. Πολλοὶ δὲ πάλιν ἐν εὐπαθείᾳ διάγουσι, τῶν μὲν δικαίων, παράκλησις καὶ παραψυχὴ καὶ κοινὸν ἀγαθὸν τοῖς πλησίον προκείμενοι, καὶ εἰς ἀῤῥαβῶνα τῆς μελλούσης ἀπολαύσεως, καὶ ἵνα τὸν ἀλάθητον πιστεύσωσιν ὀφθαλμὸν καὶ τὰ ἐνταῦθα ἐποπτεύειν. Οὐ πάντες δέ, ἵνα μὴ προσκαίρῳ μισθῷ τῆς ἀρετῆς ἡ χάρις δόξῃ διαλύεσθαι, καὶ ἵνα[2] βαρυτάτη καὶ ἄκρατος τοῖς παρολισθοῦσι[3] τρόπον τινὰ παρεσκευασμένη εἴη ἡ τιμωρία, ἅτε δὴ παντελῶς εἰς ἀναπολόγητον αὐτοῖς περιϊσταμένης τῆς ἁμαρτίας (τί γάρ, ἐξὸν κἀνταῦθα κἀκεῖθεν ἐν εὐπαθείᾳ διάγειν, σὺ δὲ μετὰ τῆς ἑκατέρωθεν ποινῆς τῶν κρειττόνων ἠλλάξω τὰ χείρονα;), μηδ' ἐν[4] ὑπερβολῇ χρηστότητος ἡ τῶν εἰσπράξεων ὑπερβολὴ μεμηχανημένη νομίζοιτο. Ὡσαύτως δὲ καὶ τῶν ἀδίκων πολλοῖς τὰ παρόντα κατὰ ῥοῦν φέρεται, ἵνα, εἴ τι καλοκαγαθίας ἴχνος αὐτοῖς διεπράχθη, ἐντεῦθεν ὥσι τὴν ἀντιμισθίαν ἀπειληφότες, ἐξασθενούσης τῆς πράξεως παρατείνεσθαι πρὸς τὴν ἐκεῖθεν μισθαποδοσίαν· ἔτι δὲ[5] καὶ ἵνα μὴ πρόφασιν τῆς κακουργίας τὴν ταλαιπωρίαν προβάλλωνται. Οὐκ εἰς πάντας δὲ αὐτῶν τὰ τῆς εὐπαθείας διαβιβάζεται, ἵνα μὴ ἡ τῆς κακίας τρίβος ἐπὶ πλέον ἀνευρυνομένη πολλοὺς ἑλκύσῃ πρὸς βάραθρον, καὶ ἵνα μὴ πρὸς ἀναλγησίαν ἔτι μᾶλλον οἱ φιλαμαρτήμονες ἀποκλίνωσι, καὶ ἡ θεία ψῆφος τοῖς πολλοῖς εἰς χλεύην νομίζοιτο. Καὶ μυρία ἄλλα, δι' ὧν τῆς Προνοίας τὸ ἀγαθουργόν τε καὶ σοφὸν καὶ ὑπὲρ ἀνθρωπίνην κρίσιν τε καὶ μεθοδίαν καὶ ἔρευνάν ἐστι θεάσασθαι. Τούτοις καὶ τοῖς τοιούτοις ἐμμελετῶν, καὶ τοὺς λογισμοὺς ἐγγυμναζόμενος, τῆς δοκούσης ἐν τοῖς παροῦσιν ἀνωμαλίας καὶ συγχύσεως σαυτὸν ἀναλάμβανε· καὶ τὰ περὶ ἡμᾶς πάθη καὶ τῶν πειρασμῶν ἡ συνέχεια μηδέν σε κατὰ τῆς Προνοίας ὀπλιζέτω.[6] Εἴτε γὰρ (ὡς ἡμεῖς εὐχόμεθα)

---

[1] Οὕτως ἐξ Οἰκον. παρὰ δὲ Μοντακ.—παράτασιν.

[2] Ὁμοίως, ἀντὶ—ἵνα μὴ—παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον.—παρολισθήσασι.

[4] Ἐκ διορθ. Οἰκον. ἀντὶ—μηδὲν ὑπερβολή . . . . νομίζοιτο.

[5] Οὕτως ἐξ Οἰκον. ἀντὶ—εἰ δὲ—παρὰ τοῖς ἄλλοις.

[6] Τούτοις τὰ ἴδια αὐτοῦ παθήματα καὶ τὰς συμφορὰς αἰνίττεται, ὡς Οἰκονόμος ἐσημειώσατο, καὶ ὡς ἐκ τῶν ἀμέσως ἑπομένων σαφέστερον καταφαίνεται.

Digitized by Google

δι' αὐτῶν τοῦ πλείστου ῥύπου καθαιρόμεθα, ἐντεῦθεν μᾶλλον τὸ ὑπέρσοφον καὶ φιλάνθρωπον τῆς Προνοίας λαμπρῶς διαφαίνεται· εἴτε (καθάπερ αὐτὸς νομίζεις) ἄθλους καὶ ἀγῶνας ὑπερχόμεθα, μήτε τῶν ἐκεῖθεν ἡμᾶς στεφάνων φθονήσῃς, καὶ τῆς Προνοίας τὸ διὰ πάντων ἀγαθουργὸν καὶ μεγαλεῖον ἐκθειάζων μᾶλλον ἐπιγίνωσκε. Εἴη δὲ τὰ ἡμέτερα πάθη, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν περὶ ἡμᾶς σπλαγχνιζομένου, τῶν προειρημένων τὸ ἕτερον, ἀλλὰ μὴ βαρυτέρας τιμωρίας καὶ ἀπαρακλήτου προοίμιον.

ΕΠΙΣΤΟΛΗ ΙΓ'.—13.

Τῷ αὐτῷ.[1]

(Τίς ἐστιν ἡ μήτηρ μου; καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; Ματθ. ΙΒ', 48.)

Ὅπερ ἔφησεν ἐν τοῖς Εὐαγγελίοις ὁ Σωτήρ, "Τίς ἐστιν ἡ μήτηρ μου; καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;" οὐχ, ὡς ἄν τις ἀφρόνως οἰηθείη, ἐπαισχυνόμενος ὠδῖνας τὰς μητρικάς, ἢ τὴν μητέρα ἐκβάλλων τοῦ μητρικοῦ κλέους καὶ τῶν προνομίων, τοῦτό φησιν. Πῶς γάρ, ὅ γε καὶ πρὸ καιροῦ τῶν θαυμάτων διὰ τὴν πρὸς αὐτὴν αἰδῶ εἰς οἶνον μεταστοιχειώσας τὸ ὕδωρ, καὶ κατ' αὐτὸν τοῦ πάθους τὸν καιρόν, ὅτε τραύμασι καὶ λόγχῃ καὶ σταυρῷ καὶ ἅλοις κατετείνετο, πλείστην ὅσην περὶ αὐτῆς τὴν φροντίδα ἐπιδεδειγμένος, καὶ πρό γε τούτων οὐκ αὐτῇ μόνον, τῇ γεννησαμένῃ ἀληθῶς, ἀλλὰ καὶ τῷ νομισθέντι ὑποτασσόμενος πατρί; "ἦν γάρ, φησίν, ὑποτασσόμενος αὐτοῖς."[2] Ἀλλὰ τί ταῦτα λέγω; ὁ μήτραν οἰκῆσαι μὴ ἐπαισχυνθείς, καὶ τὸ ἔργον ἑκὼν ὑπελθών, πῶς ἂν ἔχοι λόγον τὴν κλῆσιν αἰσχύνεσθαι; καὶ ὁ τιμᾷν γονεῖς μετά γε τὸ θεῖον εὐθὺς νομοθετῶν, πῶς ἂν αὐτὸς ὑπεύθυνος ὀφθείη μητρικῆς καταφρονήσεως; Οὐκ ἔστι τοίνυν, οὐκ ἔστιν εἰπεῖν, ὅτι τὴν μητέρα ἐν αἰσχύνῃ ποιούμενος ὁ κοινὸς πλάστης ἡμῶν ἢ ὑπερορῶν, τὸ "τίς ἐστιν ἡ μήτηρ μου; καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;" ἔφησεν· ἀλλὰ διὰ τῶν ῥημάτων τούτων ἕτερά τινα διοικονομεῖται μείζονα. Καὶ γὰρ ὁ τὴν σωτηρίαν τῆς ψυχῆς τῶν ἄλλων ἁπάντων πολλαχοῦ διδάσκων προτιθέναι, καὶ μήτε πατέρα, μήτε μητέρα, μήτε τέκνα, μήτε ἀδελφοὺς αὐτῆς προτιμᾷν, ἀλλὰ μηδὲ αὐτὸν σύμπαντα τὸν Κόσμον, νῦν διὰ τῶν ἔργων αὐτῶν αὐτὸ τοῦτο περιφανῶς ἐπιδείκνυσιν. Ἐπεὶ γάρ, διδάσκοντος αὐτοῦ τοὺς ὄχλους, καὶ τὸν τῆς σωτηρίας λόγον ταῖς ἐκείνων ψυχαῖς ἐγκατασπείροντος, ἐπέστησαν ἡ μήτηρ καὶ οἱ ἀδελφοί, πρὸς ἑαυτοὺς τὸν εὐεργέτην καὶ κοινὸν Σωτῆρα μετακαλούμενοι, εἰκότως οὐκ ἐπεστράφη τῇ κλήσει, οὐδὲ ὑπήκουσεν, οὐδὲ καταλιπὼν τὴν διδασκαλίαν, καὶ τὴν

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΙΒ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΙΕ' (ἀλλὰ καὶ ἐν τῷ ΜΕ' Ζητήματι τῶν Ἀμφιλοχίων τὴν αὐτὴν εἰς πλάτος ἑρμηνεύει ῥῆσιν)· ἐν δὲ τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΛΒ'.

[2] Λουκᾶς, Β', 51.

Digitized by Google

τῶν ἀκροατῶν ὑπεριδὼν σωτηρίαν, τὴν μητρικὴν ἐντυχίαν[1] προὐτίμησεν· ἔργῳ παιδεύων, ὡς, ἐπειδάν τις γεωργῇ ψυχικὴν σωτηρίαν, ὥσπερ ὁ γεωργούμενος μόνῳ προσέχειν ὀφείλει τῷ γεωργῷ (ἂν μὴ ἄρα παρὰ τὴν ὁδόν, ἢ ἐπ' ἀκάνθαις, ἢ πέτραις ὑποδέχεσθαι μέλλοι τὴν κατασποράν[2]), οὕτω δή, οὕτω καὶ ὁ γεωργὸς[3] ὅλον ἑαυτὸν ἐπιδιδόναι τῷ πόνῳ καὶ τῇ γεωργίᾳ χρεωστεῖ, καὶ μὴ πρὸς ἑτέρας καταμερίζεσθαι τὰς φροντίδας,[4] μηδ' ἂν μήτηρ, ἤ τις ἄλλος ᾖ τῶν ἐγγυτάτω γένους ὁ πρὸς ἑαυτὸν ἐκεῖθεν μετακαλούμενος καὶ μεθέλκων. Τοῦτο δὲ οὐκ ἔστι παρόρασις μητρός, ἀλλὰ πολλὴ πρόνοια καὶ σπουδὴ τῶν σωζομένων· οὐδὲ γὰρ οὐδὲ τὸν τῆς διδασκαλίας καιρὸν εἰς τὴν τῶν συγγενῶν χρὴ καταναλίσκειν θεραπείαν. Διὰ τοῦτο τοὺς μαθητὰς ἐπὶ πλέον οἰκειούμενος ὁ Σωτήρ, "Ἰδοὺ ἡ μήτηρ μου, φησί, καὶ οἱ ἀδελφοί μου·" τοῦτ' ἔστιν, οὗτοι δή, οὗτοι τὸν πατρικὸν τῆς διδασκαλίας σπόρον τοῖς ψυχικοῖς ὑποδεχόμενοι κόλποις, τὸν μητρικὸν τόπον καὶ ἀδελφικὸν ἀναπληροῦσιν ἐμοί. Τοῦτο δὲ δῆλον, ὡς οὐ φαυλίζοντός ἐστι τὴν τεκοῦσαν (πῶς γὰρ ἂν τοὺς τοιούτους, ὡς εἰς μέγα κλέος, εἰς τὸν μητρῷον ἀνέφερε κλῆρον;), ἀλλὰ μᾶλλον ἀξίως σεμνύνοντος καὶ τιμῶντος αὐτήν. Ἦν γάρ, φησί, πρὸς μητέρα καὶ ἀδελφοὺς στοργὴν καὶ διάθεσιν ὀφείλει τις κεκτῆσθαι, τῆς αὐτῆς ἀξιοῦνται καὶ οὗτοι, πληρωταὶ τῆς διδασκαλίας, καὶ γεννητικοὶ τῶν ἐξ αὐτῆς φυομένων ἀγαθῶν ἔργων γινόμενοι.[5] Σκόπει δὲ κἀκεῖνο, ὡς, ἐπειδὴ προεῖπεν, "Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος,"[6] ἵνα μὴ δόξῃ βαρὺ καὶ δύσκολον ἐπιτάσσειν πρόσταγμα, αὐτὸς τοῦτο πρῶτος ἐκπληροῖ, τῷ καθ' ἑαυτὸν ὑποδείγματι ῥᾳδίαν παρασκευάζων τὴν μίμησιν, καὶ τῆς μητρικῆς θεραπείας προτίθησι τὴν ὠφέλειαν καὶ σωτηρίαν τῶν πολλῶν, μονονουχὶ τοῖς ἔργοις φωνὴν ἀφιείς· "μὴ νομίσητε τὴν ἐμὴν ἐντολὴν βαρεῖαν εἶναι καὶ δυσεξάνυστον· ἐγὼ[7] γὰρ ὑμῖν, ὁ[8] μηδενὶ τυγχάνων ὑπόχρεως, πρῶτος τοῦ ἔργου ἀπάρχομαι, καὶ τῆς μητρικῆς θεραπείας, ὡς ὑμῖν ὁρᾷν πάρεστι, τὴν ὑμῶν προκρίνω σωτηρίαν· ὅπου δὲ πάντων δεσπότης ὑπάρχων καὶ δημιουργός, τοῦτο περὶ ὑμᾶς αὐτοὺς οὐκ ὤκνησα ἐπιδείξασθαι, ἀλλὰ καὶ μητρῴας στοργῆς τὴν εἰς ὑμᾶς σπουδὴν προτίθημι καὶ διάθεσιν, πῶς οὐκ[9] αὐτοὶ μᾶλλον ὀφειλέται καθεστήκατε τοῖς ὁμοίοις ἀμείβεσθαι, καὶ πάντων ἔμπροσθεν ἄγειν τὴν περὶ ἐμὲ τὸν εὐεργέτην φιλίαν καὶ εὔνοιαν; καίτοι οὐδὲ ταῦτα δι' ἐμέ (τί γὰρ εἰσοίσει

---

[1] Οὕτω παρὰ Μοντακ. καὶ Μιγνίῳ· παρ' Οἰκον. δὲ—συντυχίαν.

[2] Ματθ. ΙΓ', 3—9.

[3] Μοντακ. προσθετέον εἶναι οἴεται καὶ τὸ ἐπίθετον "πνευματικός·" ὅπερ ἀνάλογον ἂν εἴη πρὸς τὸ ἡγούμενον "ἐπειδάν τις γεωργῇ ψυχικὴν σωτηρίαν."

[4] Παρ' Οἰκον. ἀνάρθρως.

[5] Παρ' Οἰκον.—γινωσκόμενοι.

[6] Ματθ. Γ, 37.

[7] Οὕτως ἄμεινον ἐξ Οἰκον. ἀντὶ—ἔργῳ—παρὰ τοῖς ἄλλοις.

[8] Παρ' Οἰκον. ἀνάρθρως.

[9] Παρ' Οἰκον.—πῶς οὐκ ἂν αὐτοί.

Digitized by Google

πόθος ἀνθρώπινος τῷ πάντα νεύματι περιάγοντι, καὶ οὗ δακτύλων ἔργον αὐτὴ φύσις ἀνθρώπων, καὶ οὐρανός, καὶ τὰ σύμπαντα;), ἀλλὰ καὶ ταῦτα, ὥσπερ καὶ τ' ἄλλα, διὰ τὴν ὑμῶν αὐτῶν ἐπιζητῶ σωτηρίαν." Οὐ χρὴ δὴ[1] θαυμάζειν, εἰ τὴν μητέρα τιμῶν ὁ Χριστός, ὡς προσῆκεν, ὅμως οὐδὲ ταύτην τῆς ἡμῶν ὑπερτίθησι σωτηρίας· καὶ γὰρ δὴ καὶ μητέρα ὅλως δι' ἡμᾶς καὶ διὰ τὴν ἡμῶν ἐκτήσατο σωτηρίαν. Ἄλλως τε δέ, ὁ μηδ' ἑαυτοῦ[2] φεισάμενος ὑπὲρ ἡμῶν, ἀλλὰ κἀκεῖνα τὰ μυρία πάθη ὑποστάς, καὶ τὸν ἐπονείδιστον ἐκεῖνον καὶ βίαιον θάνατον, ἵν' ἀντὶ θανάτου ζωῆς ἡμᾶς ἀθανάτου δείξῃ κληρονόμους, οὐκ ἂν ἀπεικότως καὶ τῆς μητρικῆς συμπαθείας τὴν ἡμῶν ἡγήσατο προτιμοτέραν σωτηρίαν. Εἰ βούλει δὲ κἀκεῖνο σκοπεῖν[3] (πολύχους γὰρ ἡ τῶν θείων Γραφῶν γεωργία, καὶ πολλὴν ἀναδιδοῦσα τοῖς φιλοπονοῦσι τὴν ὠφέλειαν), οὐδενὸς τῶν ἄλλων ἐνδεέστερον ὄψει, ὅτι τό "τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου;" οὐ πρὸς τὴν μητέρα ἀποτεινόμενος εἴρηκεν ὁ Σωτήρ· ἐκείνη γὰρ ἡ μακαρία Παρθένος σεμνοπρεπῶς τε[4] καὶ σὺν εὐλαβείᾳ ἔξω ἵστατο, οὐδὲ τὴν πρὸς τὸν υἱὸν παῤῥησιαζομένη εἴσοδον, οὔμενουν, οὐδὲ τὴν διδασκαλίαν περικόπτουσα, αὐτὸν δὲ μόνον ἰδεῖν ἐπιποθοῦσα. Πρὸς τίνα λοιπὸν ὁ Δεσποτικὸς λόγος ὁρᾷ; Δῆλον,[5] ὡς πρὸς ἐκεῖνον, τὸν οὐκ ἐν καιρῷ καὶ θρασέως ἐπιφωνοῦντα καὶ ἀνακράζοντα, "ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσι σε." Ἐκεῖνος γὰρ ὁ Ἰουδαῖος (οὐδὲ γὰρ ἔχομεν τούτου κυριώτερον ἐκ τῶν εὐαγγελίων ὄνομα), ὅτε τῷ Δεσπότῃ προσεφώνει, οὐ μόνον οὐδὲν[6] συνῆπτε ῥῆμα σεβασμιότητος, ἀλλ' οὐδὲ τὸν πρέποντα καιρὸν ἀναμείνας, ἀλλὰ καὶ τὴν διδασκαλίαν περικόπτων, καὶ πολλῇ χρώμενος τῇ αὐθαδείᾳ καὶ θρασύτητι, τό "ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου, προσέῤῥιπτεν, ἔξω ζητοῦσί σε." Οἶμαι δὲ αὐτὸν τοῦτο δεδρακέναι, ὡσανεὶ καὶ ἀπὸ τοῦ γένους ἐπισκώπτειν τὸν κοινὸν τοῦ γένους Σωτῆρα διαμηχανώμενον· οὐ γὰρ ἂν οὕτω θρασέως καὶ εἰς ἐπήκοον[7] τῶν διδασκομένων τὸν ὀνειδισμόν, οἰκειότερον εἰπεῖν, ἢ τὴν πρόκλησιν[8] τοῦ Δεσπότου ἐπεποίητο. Καὶ ταῦτα διεμηχανᾶτο καὶ συνεσκευάζετο, ῥαθυμοτέρους τε περὶ τὴν ἀκρόασιν, τό γε καθ' ἑαυτόν, τὸ πλῆθος ἀπεργαζόμενος, καὶ τὸ ἀξιόπιστον τοῦ Διδασκάλου ἀπό γε τῆς συγγενείας, ὡς ἐνόμιζεν, ἐξευτελίζων καὶ ὑποτεμνόμενος. Καὶ γὰρ καὶ ἀλλαχοῦ φαίνεται τὸ Ἰουδαῖον[9]

---

[1] *Παρ' Οἰκον.—δέ.*

[2] *Οὕτω παρ' Οἰκονόμῳ· παρὰ δὲ Μοντακ.—ἀλλ' ὥστε δὲ αὐτοῦ—ὅπερ διορθοῖ "ἄλλως τε γε οὐχ ἑαυτοῦ." ἀλλ' ἄμεινον ὡς παρ' Οἰκον.*

[3] *Τοῦτο Μοντακ. διορθωτέον εἶναι οἴεται—σκόπει—ἀλλ' ἄμεινον κατ' Ἀπαρέμφατον, ὥσπερ καὶ παρ' Οἰκον. γέγραπται.*

[4] *Παρ' Οκον. ἄνευ τοῦ—τε.*

[5] *Παρ' Οἰκον. ἐρωτηματικῶς—ἢ δῆλον . . . . ;*

[6] *Οὕτως ἄμεινον παρ' Οἰκον., παρὰ δὲ Μοντακ.—οὐδὲν οὐ μόνον.*

[7] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—ὑπήκοον—παρὰ Μοντακ.*

[8] *Παρ' Οἰκον.—πρόσκλησιν.*

[9] *Παρ' Οἰκον.—Ἰουδαίων.*

Digitized by Google

ἔθνος, καὶ μάλιστα κατὰ τὸν καιρὸν τῆς τε διδασκαλίας καί γε καὶ τῆς θαυματουργίας, τῷ φθόνῳ διαπιμπράμενον, καὶ πρὸς διαβολὰς καὶ ὕβρεις τοῦ Δεσπότου ἐκτόπως ἀναφλεγόμενον· "Οὐχ οὗτος γάρ ἐστι, φησίν, ὁ τοῦ τέκτονος υἱός;"[1] καὶ πάλιν· "Οἴδαμεν τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα·"[2] καί "Οὗτος οὐκ οἴδαμεν πόθεν ἐστίν·"[3] καί "Οὐχὶ παρ' ἡμῖν εἰσὶν οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ;"[4] καὶ πολλὰ τοιαῦτα βασκανίας ῥήματα. Διὸ καὶ ὁ Δεσπότης Χριστὸς ἐλέγχων αὐτοῦ τὴν παράνοιαν,[5] καὶ δι' αὐτοῦ[6] τῶν ὁμοφρόνων τὸ σύστημα, εἰς τοιαύτην τινὰ διάνοιαν τὸν λόγον σχηματίζων τῆς ἀποκρίσεως, "Τίς ἐστι, φησίν, ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου;" τοῦτ' ἔστι, τί τὴν μητέρα καὶ τοὺς ἀδελφοὺς εἰς ὀνειδισμὸν προφέρειν ἐμελέτησας; μάτην σοι διεμηχανήθη τὸ κακούργημα· εἰς τοὐναντίον σοι περιτραπήσεται τὸ σκευώρημα· ἐγὼ γὰρ τοσοῦτον ἀπέχω τοῦ τῇ εὐτελείᾳ τῶν συγγενῶν ἐπαισχύνεσθαι, ὥστε οὐ μόνον τὴν κατὰ σάρκα γεννησαμένην ἀληθῶς μητέρα ἐπιγράφομαι, ἀλλὰ δὴ καὶ τούτους, οὓς ὁρᾷς,[7] τοὺς εὐτελεῖς καὶ ἀπόλιδας, τοὺς ἀοίκους καὶ πένητας, καίτοι μηδὲν κατὰ γένος προσήκοντας, οὐ παραιτοῦμαι ὡς μητέρα καὶ ἀδελφοὺς οἰκειοποιήσασθαι, ἂν ὦσι μόνον τὸ πατρικὸν διὰ τῶν ἐμῶν διδαγμάτων ἐκπληροῦντες θέλημα. Ὥσπερ γὰρ ἐκείνην, μηδὲν τῇ θείᾳ φύσει προσήκουσαν (τί γὰρ κοινὸν ἀνθρωπίνῳ γένει καὶ θεότητι;), ὅμως θελήματι πατρικῷ σαρκωθεὶς ἐξ αὐτῆς, μητέρα ἀνέδειξα, καὶ πάντα τὰ μητρικὰ προνόμια μετά γε τῆς παρθενίας αὐτῇ[8] συνετήρησα, οὕτω δή, οὕτω καὶ τούτους, μηδὲν μηδὲ ἐκ τῆς κατὰ σάρκα προσεχοῦς φυλῆς ἐμοὶ δικαίωμα διασώζοντας, ἂν μόνον λάβω πληρωτὰς τῆς ἐμῆς διδασκαλίας καὶ τοῦ πατρικοῦ θελήματος, εἰς τὸν τῶν ἀδελφῶν καὶ μητέρων ἀναβιβάζω κλῆρον καὶ τὸ ἀξίωμα.

Ἐκ τοίνυν τῶν εἰρημένων οἶμαί σοι σαφῶς ἐπιγνωσθῆναι, ὡς οὐδὲ διὰ τοῦ "Τίς ἐστιν ἡ μήτηρ μου;" καὶ τῶν ἐφεξῆς, οὐδαμῶς ὁ Δεσπότης ἡμῶν καὶ Σωτὴρ μητρικῆς ὑπεροψίας, ἤ τινος ὀλιγωρίας, ἐγένετο ἔνοχος· ἀλλὰ καὶ διὰ τούτων, ὡς καὶ διὰ πάντων τῶν ἄλλων, ἡ Θεοτόκος ἐπιδέδεικται τῶν μητρικῶν γερῶν ἀξίως παρὰ τοῦ τεχθέντος ἐξ αὐτῆς ἀπολαύουσα.

---

[1] *Ματθ. ΙΓ', 55.*

[2] *Ἰωάν. ΣΤ', 42.*

[3] *Ἰωάν. Θ', 29.*

[4] *Μάρκ. ΣΤ', 3.*

[5] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—παρανομίαν.*

[6] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—καὶ διὰ τοῦ—παρὰ Μοντακ.*

[7] *Προσέθηκα τὴν Ἀντωνυμ.—οὓς—ἐξ Οἰκον., ἐλλείπουσαν παρὰ τοῖς ἄλλοις.*

[8] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—αὐτῆς.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΙΔ'.—14.

Τῷ αὐτῷ.[1]

(Οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον.—Παῦλ. π. Ῥωμ. Ε', 12.)

Τοῦ[2] "ἐφ' ᾧ πάντες ἥμαρτον," ὅπερ Παῦλος μὲν ὁ θεῖος ἔφησε, σὺ δὲ μαθεῖν ᾔτησας, τούτου δὴ τὴν διάνοιαν, οἱ μὲν "ἐφ' ᾧ—τῷ Ἀδάμ,"[3] οἱ δὲ "ἐφ' ᾧ—τῷ θανάτῳ" συννυπακούοντες ἀποδιδόασιν. Ἐμοὶ δὲ οὐδέτερον δοκεῖ· οὐδὲ γάρ τι συννυπακούειν δεῖ, αὐτόθεν ἔχοντος τοῦ ῥητοῦ τὴν ἐντέλειαν· τὸ γὰρ "ἐφ' ᾧ πάντες ἥμαρτον" νῦν οὐ προσώπου τινός, οὐδ' οἷον προσώπου δεικτικόν ἐστιν, ἀλλ' αἰτίας μάλιστα παραστατικόν· οἷον "ἐφ' ᾧ πάντες ἥμαρτον = διότι πάντες ἥμαρτον." Καὶ μυρία μὲν καὶ παρὰ τοῖς ἔξω ἡ τοιαύτη συνθήκη τῶν λόγων· ἀρκέσει δ' οὖν ὁ θεῖος Παῦλος, αὐτὸς ἑαυτοῦ τὰς λέξεις ἑρμηνεύων. Λέγει γὰρ ἀλλαχοῦ· "καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι·" εἶτα, "ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι."[4] Περίδηλον γὰρ ἐκ τούτου, ὡς τὸ "ἐφ' ᾧ" αἰτίας αὐτῷ σημαντικὸν παρελήφθη· τοῦτ' ἔστι, διὰ τοῦτο στενάζομεν, οὐχ ὅτι ἐκδύσασθαι θέλομεν, ἀλλὰ διότι ἐπενδύσασθαι· ἔστι γάρ, πλατύτερον εἰπεῖν, ὁ νοῦς τοῦ ῥητοῦ τοιοῦτος. Στενάζομεν ἐν τῷ σκήνει ὄντες βαρούμενοι· τί οὖν; ἀποδύσασθαι τὸ σῶμα θέλεις, ὃ χεῖρες ἔπλασαν Θεοῦ, καὶ ψυχὴν αὐτῷ θεῖον ἐμφύσημα συνηρμόσατο; οὐχί, φησί, μὴ γένοιτο· οὐ γὰρ, δίοτι οὐκ ἀποδύομαι, στενάζω, ἀλλὰ διότι οὐκ ἐπενδύομαι, ἐπένδυσιν καλῶν τὸ μετὰ τῆς ἀφθαρσίας αὐτὸ περιβαλέσθαι, καὶ οἷον ἀπ' ἀρχῆς διεπέπλαστο· δι' ὃ καὶ εὐθὺς ἐπάγει· "ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς." Οὐ διότι οὖν οὐκ ἀποτίθεμαι τὸ σῶμα στενάζω, ἀλλὰ διότι οὐ περιτίθεμαι αὐτὸ μετὰ ἀφθαρσίας καὶ ἀϊδίου ζωῆς. Οὐ μόνον δὲ ἐντεῦθεν δῆλον, ὡς τὸ "ἐφ' ᾧ" αἰτίας ἐστὶν αὐτῷ δηλωτικόν, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς τοῦ προκειμένου ῥητοῦ διανοίας· λέγει γάρ, ὅτι, τοῦ Ἀδὰμ ἡμαρτηκότος, εἶτα θανάτῳ κατακριθέντος, καὶ τὸ ἐξ αὐτοῦ γένος εἰσεπράχθη τὸν θάνατον·[5] ἀλλ' οὐχ ἁπλῶς, φησίν, οὐδὲ ἀκρίτῳ λόγῳ, ἀλλ' "ἐφ' ᾧ πάντες ἥμαρτον," τοῦτ' ἔστιν, ἀλλὰ διότι πάντες, ὡς ὁ γεννησάμενος, ἥμαρτον· τοῦτο γὰρ αὐτοὺς κοινωνοὺς καὶ τῆς τιμωρίας ἀπέφηνε· καὶ γὰρ ἡ κοινωνία τῆς πράξεως εἰς τὴν κοινωνίαν αὐτοὺς τῆς καταδίκης συνήλασεν.[6]

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδοσιν Ζήτ. ΠΓ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΠΔ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. PNB'.

[2] Ἐκ διορθ. Οἰκον. ἀντὶ—τὸ—παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον. ἄνευ τοῦ ἄρθρου, ὡς καὶ ἐν τῷ ἀμέσως ἑπομένῳ—τῷ θανάτῳ.

[4] Πρὸς Κορινθ. Β' ἐπιστ. κεφ. Ε', 4—6.

[5] Παρ' Οἰκον. ἄνευ τοῦ ἄρθρου.

[6] Οὕτως ἑρμηνεύει τὸ χωρίον τοῦτο καὶ Θεοδώρητος· ὁ δὲ Θεοφύλακτος ἐκ τοῦ Χρυσοστόμου "ἐφ' ᾧ—Ἀδάμ·" ἀλλ' ἀμφότερα εἰς ἓν φέρουσιν, εὐσεβῶς ἐξηγούμενα. Παρὰ δ' οὖν τῷ Ἀποστόλῳ τὸ "ἐφ' ᾧ" ἀντὶ τοῦ—διότι—καὶ ἐν τῇ πρὸς Φιλιππησ. ἐπιστολῇ (Γ', 12) εὕρηται. (σημ. Οἰκονόμου.)

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΙΕ'.—15.

Κωνσταντίνῳ Πρωτοσπαθαρίῳ[1] ἀδελφῷ[2]

('Ηκούσατε ὅτι ἐρρέθη—'Οφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος.—Ματθ. Ε', 38.)

Οὐκ ἔστιν ἐναντίον, ὡς ἔδοξέ τισι τῶν μὴ σωφρονούντων, ἡ "ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος" ζημιοῦσθαι προστάττουσα νομοθεσία πρὸς τὴν γνώμην,[3] "Οστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην,"[4] καὶ ὅσαι ταύτῃ παραπλήσιοι. Ἡ μὲν γὰρ τὸν κριτὴν ῥυθμίζει, καὶ πρὸς αὐτὸν ἀποτείνεται, ἀδέκαστον αὐτὸν τοῖς κρινομένοις παρέχειν νομοθετοῦσα, καὶ τῷ ἀδικουμένῳ τιμωρεῖν, τὴν ἴσην ἀπαιτοῦντα ποινὴν τὸν ἠδικηκότα· ἡ δέ, οὗμενοῦν, οὐκ ἔστι πρὸς τὸν κριτήν, οὐδὲ νόμος, οὐδὲ πολλοῦ γε καὶ δεῖ (οὕτω γὰρ ἂν ἦν ἐναντίον)· ἀλλὰ τὸν ἀδικηθέντα παραινεῖ, εἰς ἐπιείκειαν καὶ συμπάθειαν ἐπαλείφουσα, καὶ κρείττονα παρασκευάζουσα ὀργῆς καὶ θυμοῦ, φιλοσόφως λίαν καὶ ὠφελίμως εἰσηγουμένη τὴν συμβουλήν. Τὸ μὲν γὰρ στερηθὲν ἢ οὐκ ἔστιν ἀναλαβεῖν, ἢ ἀναλαβόντα οὐδὲν πλέον ἐστὶ τοῦ ἐξ ἀρχῆς προσλαβεῖν· ὁ δὲ δι' ἐπιεικείας καὶ συμπαθοῦς γνώμης περιγεγονὼς τοῦ ἐχθροῦ, μετὰ τοῦ νικῆσαι λαμπρῶς, καὶ ἀείμνηστον τῆς ἀρετῆς ἐγείρει μνημεῖον, καὶ τὸν κοινὸν κριτὴν εὐίλατον ἑαυτῷ καὶ εὐμενῆ παρασκευάζει, ἐκεῖνα παθεῖν ἑαυτὸν ἄξιον εὐτρεπίσας, ἃ προλαβὼν[5] αὐτὸς τῷ πλησίον ἐπεδείξατο.

ΕΠΙΣΤΟΛΗ ΙΣΤ'.—16.

Τῷ αὐτῷ.[6]

('Ο δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν.—Ματθ. ΙΑ', 11· καὶ Λουκ. Ζ' 28.)

Τὸ περὶ τοῦ Προδρόμου ἐν ἐπαίνῳ καὶ κατ' ἐρώτησιν εἰρημένον "'Ο δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστι" τοὺς πλείστους τῶν πρὸ ἡμῶν ἀποφαινόμενον εἰπεῖν τὸν Δεσπότην, καὶ ψῆφον οἰκείαν φέρειν ὑπειληφότας ἐγνώκαμεν. Τούτων δὲ οἱ μὲν συνάπτοντες τὸ "μικρότερος" καὶ τὸ "ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν" ὑφ' ἓν

---

[1] Παρὰ Μοντακ.—'Ασπαθαρίῳ—δι' ἣν αἰτίαν ἐν 'Επιστολῇ Ζ' ἐσημειωσάμεθα.

[2] 'Η αὐτὴ καὶ ἐν 'Αμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΒ', κατὰ δὲ τὴν Μιγνίου 'Ερώτ. ΡΓ', καὶ ἐν τῇ Μοντ. συλλογῇ 'Επιστ. ΡΨΣΤ'.

[3] Παρ' Οἰκον.—πρὸς τὴν "ὅστις σε ῥαπίσει (γνώμην) ἐπὶ τὴν δ. σ."

[4] Ματθ. Ε', 39.

Οὕτως ἐξ Οἰκον. ἀντὶ—προσλαβών—παρὰ τοῖς ἄλλοις.

'Η αὐτὴ καὶ ἐν 'Αμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΙΘ', κατὰ δὲ τὴν Μιγνίου 'Ερώτ. ΣΚΒ'· καὶ ἐν τῇ Μοντακ. συλλογῇ 'Επιστ. ΡΛΕ'.

Digitized by Google

ἀναγινώσκουσι, καὶ τὸν ἐν αὐτῇ τῶν ἄλλων μικρότερον τοῦ Ἰωάννου τιθέασι μείζονα, βασιλείαν μὲν ἐνταῦθα τὸν μετὰ τὴν δεσποτικὴν ἀνάστασιν καιρὸν ἐξακούοντες, καθ' ὃν μάλιστα τῷ σταυρῷ καὶ τῷ βαπτίσματι καὶ τῷ Πνεύματι ἐτελειοῦτο καὶ ἐκρατύνετο τὰ τῆς πίστεως, μικρότερον δὲ τῶν ἐν αὐτῇ πολιτευομένων τὸν ἐλάσσονα· ὃς εἰ καὶ τῶν ἄλλων ἔχει τὸ ἔλαττον, ἀλλ' οὖν τοῦ Ἰωάννου τὸ μεῖζον ἀποφέρεται. Καὶ γὰρ ὁ μὲν Πρόδρομος ἔτι, φασίν, ὑπὸ τῷ νόμῳ πολιτευόμενος, ἐν γεννητοῖς ἐστι[1] γυναικῶν, καθ' ὧν ἁπάντων καὶ τὰ πρεσβεῖα ἠνέγκατο· ὁ δὲ ἐν τῇ χάριτι καὶ ἐν γεννητοῖς ἐστι πνεύματος, καὶ ἀναγεγεννημένος ἄνωθεν· "ἔδωκε γὰρ αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν·"[2] ὧν ὁ Πρόδρομος οὐδενός, φασίν, οὐχ ὅτι μείζων, ἀλλὰ καὶ τοῦ μικροτέρου ἐνδεέστερος.[3] Ἀλλ' οἱ μὲν οὕτως. Οἱ δὲ τὸν βαπτιστήν, οἶμαι, (καὶ δικαίως) δυσωπούμενοι, εἰ τηλικοῦτον ὄντα, μηδενὸς τῶν ἐν τῇ χάριτι τελειωθέντων ἰσοστάσιον, ἀλλὰ καὶ τοῦ μικροτέρου ποιήσωσιν εὐτελέστερον, πρῶτον μὲν τὸ "ὁ δὲ μικρότερος" κατὰ διαστολὴν τοῦ "ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν" ἀναγινώσκουσιν· ἔπειτα βασιλείαν οὐρανῶν ἑτοιμότερον τὴν Δεσποτικὴν καὶ δευτέραν παρουσίαν ἐξακούουσι, μικρότερον δὲ αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὃς, εἰ καὶ μὴ κατὰ τὸν καιρὸν τῆς πρώτης αὐτοῦ παρουσίας μείζων τοῦ Προδρόμου τοῖς πολλοῖς ἐνομίζετο, ἀλλ' οὖν τηνικάδε πᾶσι, καὶ τοῖς μὴ βουληθεῖσιν ἐπιγνῶναι πάλαι, μετὰ φοβερᾶς καὶ φρικώδους ἐπιγνωσθήσεται τῆς εἰδήσεως, κριτὴς πάντων καὶ βασιλεὺς παραγενόμενος. Ἀλλὰ καὶ οὗτοι μικρότερον εἰρῆσθαι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὐ κατὰ μίαν καὶ τὴν αὐτὴν παρεδέξαντο ἔννοιαν· ἀλλ' οἱ μὲν τῷ χρόνῳ τῆς κατὰ σάρκα γεννήσεως (μησὶ γὰρ ὅλοις ἓξ ὁ Δεσποτικὸς τόκος τοῦ Προδρόμου ὑπελείπετο[4]), οἱ δὲ τῷ μήκει τῆς ἡλικίας· ὑπερέχειν γὰρ τοῦ Δεσπότου καὶ τῇ τοῦ σώματος ἀναδρομῇ τὸν Βαπτιστὴν παραδέδοται· ἄλλοι δὲ τὸ μικρότερον[5] εἰρῆσθαι πρὸς τὴν τῶν πολλῶν ὑπόληψιν ἐξειλήφασιν· ὑπείληπτο γὰρ μείζων ὁ Ἰωάννης, ἅτε δὴ Θεῷ ἐκ βρέφους ἀνειμένος, καὶ βίον ἄσκευον[6] ἐκ σπαργάνων αὐτῶν καὶ ἐρημικὸν ἐπανῃρημένος, καὶ διότι τὸν βαπτίζοντα τοῦ βαπτιζομένου ὁ πρόχειρος λογισμὸς ποιεῖν ἐθέλει σεβασμιώτερον. Ἀλλ' οὗτοι μὲν κἂν ἐπὶ διαφόροις αἰτίαις[7] μικρότερον τοῦ Προδρόμου τὸν κηρυσσόμενον τοῖς πολλοῖς νομισθῆναι συγκατέθεντο, πλὴν ἀλλ' ὁμοφώνως[8] ἀναῤῥηθῆναι μείζονα τοῦ δούλου τὸν Δεσπότην κατὰ τὴν οὐράνιον ἐκείνην καὶ φρικτὴν βασιλείαν ἀπεφήναντο.

---

[1] Παρ' Οἰκον. ἐλλείπει τὸ—ἐστι.

[2] Ἰωάν. Α', 12—14.

[3] Οὕτως ἄμεινον ἐξ Οἰκον. ἀντὶ—ἔτι ἐνδεέστερος—ὡς Μοντακ. γραπτέον εἶναι εἰκάζει.

[4] Λουκ. Α', 24 καὶ ἑξ.

[5] Οὕτως ἐξ Οἰκον. ἀντὶ—μικρότερος—παρὰ τοῖς ἄλλοις.

[6] Μοντακ. γραπτέον εἶναι εἰκάζει—ἀσκητικόν.

[7] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἐπὶ διαφόρους αἰτίας—παρὰ τοῖς ἄλλοις.

[8] Παρ' Οἰκον.—ὁμοφρόνως.

Digitized by Google

Ἐγὼ δὲ τούτοις διαιτᾶν ἐμαυτὸν ἐξιστάς, καὶ τὸν ἄμεινον εἰπόντα φιλοκρινεῖν οὐ νομίζων ἐμόν, οὐδ' ὡς ἀντείποιεν οἱ ἐπικληθέντες τοῦ βαπτιστοῦ πολλὴν καταγνῶναι ταπεινότητα, ὅτι περ οὐδὲ τοῖς αἰτιασαμένοις ὑμῖν μέγα τι διανενόηται, μείζονα τοῦ δούλου τὸν δεσπότην ἀποφήνασι (ποῖον γὰρ κλέος δεσπότην δούλου μείζονα φαίνεσθαι, καὶ τότε κατὰ τὴν ἄφραστον ἐκείνην καὶ φρικτὴν παρουσίαν;)· οὐδὲν οὖν τούτων λέγειν ἐμὸν εἶναι δικαιώσας, ἀλλὰ καὶ τοὺς ἄνδρας, Ἀρχιερεῖς ὄντας μάλιστα καὶ Θεῷ[1] θεράποντας, στέργων, καὶ χάριν μεγάλην ὑπὲρ ὧν εἶπον ὁμολογῶν (οὐ γὰρ ὅσα ταῖς ἑτέρων διανοίαις ἔνστασιν ποιεῖ, ταῦτα καὶ τοῖς ἐξ ἀρχῆς εἰποῦσι λαβήν τινα προξενεῖ· ἀγαπητὸν μὲν [γὰρ[2]] εἴ τις ἀρχόμενος ὑψηλῆς τινος θεωρίας ἐπὶ ποσόν τι τῆς ἀληθείας ἐφίκοιτο· οἱ δέ γε κλεινοὶ τῶν Πατέρων ἡμῶν ἐπί γε τὸ πλεῖστον καὶ εἰς ἀκρίβειαν τὴν τῶν θείων χρησμῶν διάνοιαν ἀπεκάλυψαν)· πλήν γε δὴ τοὺς ἄνδρας ἐν τοῖς μάλιστα τιμῶν καὶ θαυμάζων, οὐδ' ὅπερ ἐμοὶ παρέστη σιγήσομαι.

Ὁρῶ τοιγαροῦν ἐνταῦθα σκοπὸν τῷ Δεσπότῃ οὐχ ἑαυτοῦ τὸν Βαπτιστὴν ὑποβεβηκότα δεῖξαι, οὐδ' ἄλλου τινός, μὴ ὅτι γε τοῦ μικροτέρου πάντων, ἀτιμότερον, ἀλλὰ καὶ πᾶν τοὐναντίον ἐπαίνοις δοξάσαι· καὶ γὰρ τῶν προειρημένων τὸ μὲν ἀσύμφορον ἴσως, τὸ δὲ ταπεινόν· ἄν τε γὰρ τὸν κήρυκα εἰς ἐσχάτους ἐλαύνῃς, οὐδὲ τοῦ κηρυσσομένου τὸ ὑψηλὸν διασώσεις· καὶ τὸ δοῦλον ἐλαττῶσαι, μάλιστα νυνί, παρέλκον, καὶ μικρολογίαν οὐκ ἐκφεύγει. Ἀλλ' ὅ γε δεσποτικὸς σκοπὸς δῆλός ἐστιν εἰς ἔπαινον ἀφορῶν (καὶ μάλα δικαίως) τοῦ Προδρόμου. Ὤκει μὲν γὰρ ὁ μέγας ἐκεῖνος ἄνθρωπος ὑπὲρ θείων νόμων τὸ δεσμωτήριον· ἀλλὰ τῶν μὲν κακῶν, οἷς συνείχετο, ὑπερεώρα, ἐδεδίει δὲ ἄρα οὐχὶ τὸ ξίφος, οὐδὲ τὴν σφαγήν, ἀλλὰ μή, τὸν θάνατον ὑπερχόμενος, ὀλέθριον δόγμα ὑπολίποιτο[3] τῷ βίῳ, καὶ τὸ τοῦ Δεσπότου μεγαλεῖον τῷ καθ' ἑαυτὸν ῥαθύμῳ οὐκ ἐν μικροῖς ταπεινώσει·[4] πολλοὶ γὰρ μείζονα τοῦ κηρυσσομένου τὸν κήρυκα ὑπενόουν, ἐξ ὧν τινες καὶ τῶν αὐτοῦ μαθητῶν ὑπὸ φιλαυτίας τοῦτο ἔπασχον, τὴν ὑπεροχὴν τοῦ διδασκάλου εἰς αὔξησιν οἰκείας ἐπισπώμενοι δόξης· ἅπερ ὁρῶν ἐκεῖνος, ὅλος ἐφλέγετο, καὶ τὴν πονηρὰν ταύτην ὑπόνοιαν ὥστε καθελεῖν πάντα ἔπραττε· καὶ πολλάκις μὲν τοὺς μαθητὰς ἀπάγειν ἐπεχείρει ποικίλοις λόγοις τῆς ὑπολήψεως·[5] ἐπεὶ δὲ τοὺς λόγους ἑώρα τῆς ἐκείνων γνώμης ἡττωμένους, καὶ τὰ τῆς φιλονεικίας ἐπικρατέστερα, ἐπ' ἄλλην εἶδεν ὁδόν, καὶ τὴν δι' αὐτοψίας πειθὼ προσάγειν αὐτοῖς ἐμελέτησεν. Καὶ ὅρα, ὅπως ἐμφρόνως μεταχειρίζεται τὴν ὑπόθεσιν. Πέμπει τοὺς μαθητὰς πρὸς τὸν ὑπ' αὐτῶν ζηλοτυπούμενον, καὶ σχῆμα δοὺς ἐρωτήσεως, τὴν ἑαυτῶν παρασκευάζει διὰ τῶν ὀφθησομένων σωτηρίαν καρπώσασθαι, καὶ τὴν προτέραν

---

[1] Παρ' Οἰκον.—καὶ Θεοῦ.

[2] Ὀρθῶς Οἰκονόμος εἰκάζει προσθετέον εἶναι τὸν γάρ.

[3] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—ὑπολείποιτο—παρὰ τοῖς ἄλλοις.

[4] Ὀρθῶς εἰκάζει Μοντακ. γραπτέον εἶναι — ταπεινώσειε — ὅπως συμφωνῇ πρὸς τὸ ἡγούμενον "ὑπολίποιτο."

[5] Καὶ ἐνταῦθα Μοντακ. εἰκάζει προσθετέαν εἶναι τὴν Ἀντωνυμίαν "ταύτης·" ἀλλὰ περιττὴ ἴσως ἡ τοιαύτη προσθήκη.

Digitized by Google

πλάνην ἐν τῇ τῶν μαθητῶν διορθώσει καὶ τοῖς ἄλλοις ἐναποσβεσθῆναι καὶ διαῤῥυῆναι τέλεον. Αὐτίκα γὰρ παραγεγονότων, ῥήμασι μὲν τέως ὁ Σωτήρ, ὁ καὶ ταῦτα τῷ Βαπτιστῇ χαριτώσας λογίσασθαι, οὐδὲν πρὸς τὴν ἐρώτησιν ἀποκρίνεται (ᾔδει γάρ, ᾔδει τὸν ἐξ αὐτῆς μήτρας σκιρτήμασι καὶ μητρῴᾳ γλώσσῃ αὐτὸν προκηρύξαντα,[1] καὶ μυρίαις ὅσαις μετὰ ταῦτα λαμπραῖς μαρτυρίαις καὶ θεοπρεπέσιν ἀναῤῥήσεσι, μηδεμιᾶς δεῖσθαι περὶ αὐτοῦ μαθήσεως)· σημείοις δὲ παραδόξοις καὶ τέρασι τὸ ἀσύγκριτον αὐτοῦ παραστήσας τῆς θεότητος (τοῦτο γὰρ ὁ πέμψας ἐπραγματεύετο), ἐξ αὐτῶν ὀμμάτων τοὺς σταλέντας τοῖς θαύμασιν ἀνηρτήσατο,[2] καὶ λοιπὸν εὐπειθεῖς τῷ διδασκάλῳ καὶ τῆς αὐτοῦ[3] θεότητος ἀναπέμπει κήρυκας. Ἀλλ' ὁ μὲν Βαπτιστὴς οὕτω τοὺς μαθητὰς μεθιστῶν τῆς πλάνης, καὶ δι' αὐτῶν τοὺς ἄλλους ἀνθρώπους, τῷ κοινῷ προσδραμεῖν ἐμεθόδευε Δεσπότῃ. Ὁ δέ γε Σωτὴρ τῆς τε ἄλλης ἀρετῆς τοῦ ἀνδρὸς εἰς ζῆλον τοὺς ἀκροατὰς προτρέπων, καὶ τῆς τηλικαύτης αὐτὸν καὶ τοσαύτης ἀποδεχόμενος σπουδῆς καὶ προθυμίας, δεσποτικοῖς καὶ δικαίοις ἀμείβεται ἐγκωμίοις· οὐδὲ γὰρ οὐδ' ἠνέσχετ' ἂν ὁ προῖκα πᾶσι καὶ κοινὸς φανεὶς εὐεργέτης, τῆς προκαταβληθείσης στοργῆς καὶ τοῦ μέχρι σφαγῆς διαπύρου πόθου ἀγέραστον μόνον τὸν Βαπτιστὴν ἀποπέμψαι. Ἀλλ' αὕτη μέν, οἶμαι, τῶν ἐπαίνων ἡ πρώτη αἰτία· οὐδὲν δὲ ταύτης ἐλάττων καὶ αὕτη. Ἐπεὶ γὰρ τὸ "Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;" ὁ μὲν ἐπὶ τῇ τῶν μαθητῶν διηρώτα σωτηρίᾳ, τὸ δὲ πρόχειρον τῆς ἐρωτήσεως τοῖς μὴ πρὸς τὸ εὐμήχανον καὶ σοφὸν τοῦ ἐρωτήσαντος διακύπτουσιν ἐξ ἀγνοίας τοῦτο πυθέσθαι τὸν Βαπτιστὴν ὑποτίθεται, ἵνα καὶ ταύτης αὐτὸν τῆς ὑποψίας ἐκ περιουσίας ἐλευθερώσῃ (μεγίστη γὰρ ὡς ἀληθῶς κήρυκος διαβολὴ καὶ κατηγορία τοῦ κηρυσσομένου ἡ ἄγνοια), ἐπὶ τοὺς ἐπαίνους ἔρχεται, καὶ πλείοσιν αὐτοὺς ἐξυφαίνει τρόποις· ἄτοπον γὰρ ὡς ἀληθῶς, εἰ δι' ὧν ἄλλος[4] προσεκέρδανεν ἄν, ὁ Βαπτιστὴς καὶ τῆς προτέρας διεκπίπτοι δόξης. Δι' ὃ πρῶτον μὲν ἔπαινον προάγει ἀπ' αὐτῆς ἐκείνης τῶν ἀκροατῶν τῆς ψήφου· τρίτον[5] ἀπὸ τῆς τῶν Προφητῶν μαρτυρίας καὶ προῤῥήσεως· τῶν δὲ λοιπῶν δύο ἑκάτερον ἐκ τῆς ἰδίας καὶ δεσποτικῆς ἐπικρίσεως. Ἀλλ' ὁ μὲν δεύτερος τρόπος ἐκ τοῦ εὐθέος λέγει τὸν ἔπαινον· ὁ δὲ τέταρτος ἐκ τοῦ παρακολουθοῦντος ἀτοπήματος τοῖς ἐξ ἀγνοίας ὑπειληφόσι τὸν Βαπτιστὴν προσενεγκεῖν τὴν ἐρώτησιν διαπλέκει τὸ ἐγκώμιον. Ὁ μὲν οὖν πρῶτος καὶ ὁ τέταρτος τῶν ἐπαίνων τρόπος, ἐξ ἀναιρέσεως ὑφαινόμενος τῶν μηδαμόθεν μὲν τῷ Βαπτιστῇ προσηκόντων, μάτην δὲ ἐνίοις ὑπειλημμένων, κατ' ἐρώτησίν τε σχηματίζεται, καὶ τὸ ἐναντίον ἀπαιτεῖ καὶ

---

[1] *Λουκ. Α', 39 κ. ἑξ.*

[2] *Ματθ. ΙΑ', 2—7.*

[3] *Οἱ μὲν ἄλλοι πάντες ἔγραψαν—αὐτοῦ—ἐμοὶ δὲ γραπτέον εἶναι ἔδοξεν—αὐτοῦ—ὅπως μὴ πρὸς τὸν Ἰωάννην ἀναφέροιτο (ἀσεβὲς γὰρ ἂν εἴη), ἀλλὰ πρὸς τὸν Χριστόν.*

[4] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—ἄλλως—παρὰ Μοντ. καὶ Μιγν. οἵπερ καὶ ὑποστίζοντες ἐν τῷ "Βαπτιστής," ἀλλοίαν ἐκφέρουσι τὴν ἔννοιαν· "εἰ, δι' ὧν ἄλλως προσεκέρδανεν ἂν ὁ Βαπτιστής, καὶ τῆς προτέρας διεκπίπτοι δόξης.*

[5] *Τὸν δεύτερον ἀπεταμίευσεν ἐν τοῖς ἑξῆς. (σημ. Οἰκονόμου).*

Digitized by Google

διδάσκει τῆς ἐρωτήσεως· οἱ δὲ μέσοι ἐπ' εὐθείας τε τὴν εὐφημίαν καὶ σὺν ἀποφάσει ἀναγράφουσιν. Ὥσπερ γὰρ ἐν τῷ "τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;" οὐ κάλαμον εἶναι τὸν Βαπτιστὴν ὁ κατ' ἐρώτησιν ἐσχηματισμένος λόγος ἀποφαίνεται, τοὐναντίον δὲ κατασκευάζει πόρρω καθεστᾶναι πάντων, ὅσοι καλάμου δίκην τὴν γνώμην σαλεύονται· οὕτω καὶ ὁ διὰ τοῦ "ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστι" παραπλησίως προαγόμενος, οὐχὶ μικρότερον, οὔμενουν, ἀλλὰ μηδένα εἶναι τοῦ Προδρόμου παρίστησι μείζονα· οὐδὲ γὰρ οὐδὲ τῶν ἐπαίνων, οὓς ἔπλεκεν ὁ Σωτήρ, ἐξαίφνης ἂν ἀπεστέρησεν, [οὐδ' εἰς [τοὺς [1]] ἐσχάτους ἀθρόον τὸν ἐπαινούμενον ἔρριψεν· ἀλλὰ τὸν αὐτὸν εἰρμὸν φυλάττων, οὐδαμοῦ συγχωρεῖ τὸν ἐν τῇ βασιλείᾳ μικρότερον τῆς ὑπεροχῆς Ἰωάννου νομίζεσθαι μείζονα.

Ἀλλ' ὁ μὲν ἀπὸ τῆς τῶν ἀκροατῶν ψήφου πλεκόμενος ἔπαινος, πλατύτερον εἰπεῖν, τοιοῦτός τίς ἐστι· "τί ἐξήλθετε εἰς τὴν ἔρημον;[2] ἆρα κάλαμον ἰδεῖν ὑπὸ ἀνέμου σαλευόμενον;" ἀλλ' ἆρα ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἢ δῆλον, ὡς οὐδαμῶς· ὑμεῖς γὰρ αὐτοί, δι' ὧν πρὸς αὐτὸν διεπράξασθε, καὶ τῷ πρὸς τὴν ἔρημον δρόμῳ, τἀναντία τῆς δόξης ταύτης ἐμαρτυρήσατε, θαυμάσιόν τινα καὶ μικροῦ τοὺς ἀνθρωπίνους ὅρους ὑπερβεβηκότα τὸν ὡς ἀληθῶς τοιοῦτον ὄντα[3] νομίσαντες.[4] Οὔκουν, οὐδὲ νῦν ὁ τηλικοῦτος μεταβολῇ τινι καὶ ἀγνοίᾳ τὴν διὰ τῶν μαθητῶν ἐρώτησιν ἐμοὶ προσενήνοχεν· ἀλλὰ τοὐναντίον, ἅπερ ἐδίδαξε λόγῳ, καὶ διὰ τῆς ὄψεως αὐτῆς πιστωθῆναι τοὺς μαθητευθέντας σοφῇ μεθόδῳ συνδιεπράξατο. Τίς γὰρ λόγος ἀνδρὶ τοσούτῳ μεταβολὴν ἐπελθεῖν τῶν κρειττόνων, ἢ ἀλλοίωσιν; ὅπου γε πᾶσα ἡ πρὸς τὸ χεῖρον ἀπόπτωσις ἢ γνώμης ἀῤῥωστίᾳ, ἢ φιληδονίας πάθει, ἢ φιλαργυρίας καὶ τοῦ κενοῦ τούτου δοξαρίου ἔρωτι παραγίνεται, οἷς παραγίνεται· δι' ὧν καὶ ἡ πρὸς τὰ λοιπὰ τῶν παθῶν παρολίσθησις, οἷς ἄλλοι μὲν οὐκ ὀλίγοι, μάλιστα δὲ οἱ περὶ τοὺς βασιλείους οἴκους ἐπτοημένοι, καὶ τοῦ κονιορτοῦ ἐκείνου ἁλώσιμοι, ὑφ' ὧν ὁ Ἰωάννης, οὐδ' ἔστιν εὐχερὲς ἅπασιν εἰπεῖν, οὐδ'[5] ὅσον ἀνάλωτος· οὐ γάρ ἐστιν, οὐκ ἔστι κάλαμος, τὸν ὑπὸ τῶν ἀνέμων σάλον δεχόμενος. Ἐξέφυγε, φησί, τῶν ἀστηρίκτων τοὺς τρόπους, καὶ καλάμου δίκην ῥιπιζομένων τὸ νόσημα· οὐ μὴν οὐδὲ μαλακοῖς ἱματίοις οὐδὲ τοῖς ἄλλοις ἐκδεδιήτηται, οἷς οἱ περὶ τὰ βασίλεια διαθρύπτονται, χρυσῷ καὶ ἡδοναῖς καὶ φιλοδοξίᾳ δουλούμενοι· ἀλλ' ἔρημος μὲν αὐτῷ οἶκος ἅμα λαμπρός,

---

[1] Ὀρθῶς Οἰκον. εἴκασε προσθετέον εἶναι τὸ ἄρθρον.

[2] Μοντακ. οἴεται ἐνταῦθα προσήκειν τὸ Ἀπαρέμφατον "ἰδεῖν," ἀλλ' οὐκ ἐν τῇ ἑξῆς ἐρωτήσει· τοῦτο δὲ μᾶλλον συνάδει τῷ τῆς θείας Γραφῆς κειμένῳ. Ἀλλὰ Φώτιος ἀφ' ἑαυτοῦ νῦν τοῦτο λέγει, ἑρμηνεύων τὸ χωρίον· διὰ τοῦτο καὶ προσέθηκε τὸ "ἆρα" ἐν τῇ δευτέρᾳ ἐρωτήσει, μὴ ὑπάρχον ἐν τῷ κειμένῳ.

[3] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—εἶναι—παρὰ τοῖς ἄλλοις.

[4] Καὶ τοῦτο κατ' Οἰκον. ἀντὶ—νομίζοντες—παρὰ τοῖς ἄλλοις.

[5] Παρέλκειν ἐνταῦθα τὸ—οὐδὲ—Οἰκονόμος ἐσημειώσατο. Τοῦτο δ', ὡς ἔοικε, μὴ κατανοήσας Μοντακ. γραπτέον εἶναι εἴκασεν—εὐάλωτος—ἀντὶ "ἀνάλωτος," νοεῖν ἴσως βουλόμενος, ὅτι οὐδὲ κατ' ἐλάχιστον ἦν εὐάλωτος· εἰ δὲ μὴ τοιοῦτόν τι νοεῖν ἐβούλετο, θαυμαστὸν ἂν εἴη, τίποτε βουλόμενος τὴν τοιαύτην ἐποιήσατο διόρθωσιν.

Digitized by Google

καὶ παράδεισος, καὶ βασίλειον· καμήλων δὲ τρίχες τῷ σώματι σκέπη, καὶ ζώνη δερματίνη περὶ τὴν ὀσφύν, δεσμοῦσα τε καὶ νεκροῦσα πάντα τὰ παρ' ἑκάτερα ταύτης σωματικά τε καὶ ἀνθρώπινα σκιρτήματα· εἰ βούλει δέ, καὶ τροφὴ τὸ μηδὲ τροφῆς ἁπλῶς μετέχειν, ἀλλ' ὅση πικρά τε καὶ ἄτροφος· καὶ οὐδὲ ταύτης[1] ἐν μέτρῳ, ἀλλ' ὥστε καὶ αὐτὴν τὴν ἀνάγκην διαπλανῆσαι[2] τῆς φύσεως·[3] οἷς πῶς ἂν ἐπιτολμήσοι τρυφὴ παρεισδύναι, ἢ ῥέουσα δόξα, ἢ πλοῦτος, ὁ καὶ τῶν ἐχόντων καὶ τῶν εἰς τὸ ἀκούσιον οὐκ ἐχόντων[4] βαρὺς καὶ πικρὸς τύραννος; Καὶ ταῦτα δὲ οὐχὶ τὰ ἔργα μόνα[5] βοᾷ, ἀλλὰ καὶ ὑμεῖς αὐτοί, φησίν, ἀπὸ τῶν ἔργων, ἃ τοὺς ὑμετέρους ὀφθαλμοὺς καὶ τὴν γνώμην ἐφειλκύσατο μάρτυρας, οὐδὲν ἔλαττον παρεστήσατε·[6] ἔργοις γὰρ καὶ αὐτοὶ τὴν μαρτυρίαν εἰσηνέγκατε, ὡς καὶ τῶν ἀστηρίκτων τὴν γνώμην, καὶ τῶν ταῖς[7] ἡδοναῖς καὶ δόξῃ καὶ πλούτῳ δουλουμένων,[8] δι' ὧν ἡ ἐπὶ τὸ χεῖρον μεταβολὴ καὶ ἀλλοίωσις καὶ ἡ ἄγνοια, ὁ Βαπτιστὴς ὑψηλότερος. Ἀλλ' οὗτος μὲν ὁ ἀπὸ τῆς τῶν ἀκροατῶν ψήφου τῶν ἐπαίνων τύπος.

Τίς δ' ὁ ἐφεξῆς; ἢ δῆλον, ὡς ὁ[9] ἐκ τῆς ἰδίας καὶ δεσποτικῆς ἀποφάσεως. Ποίας ταύτης; "Ναί, φησί, λέγω ὑμῖν, ὅτι Προφήτην ἐξήλθετε ἰδεῖν," ὡς ἐκείνων τοῦτο σαφῶς δι' ὧν ἔπραξαν καταθεμένων· ἵνα εἴπῃς· Οἶδα, ὅτι οὔτε τὴν γνώμην εὑρίπιστον ἄνθρωπον, οὔτε φιλάργυρον ἢ κενόδοξον, οὐδὲ τρυφῆς ἐλάττονα εἰς τὴν ἔρημον ἰδεῖν ἐξεληλύθατε, ἀλλ' ὑψηλόν τινα καὶ μετάρσιον, καὶ τοῦ Προφητικοῦ χαρίσματος μέτοχον· καὶ καλῶς ὑπειλήφατε. "Ναὶ γὰρ λέγω ὑμῖν, ὅτι Προφήτην ἐξεληλύθατε ἰδεῖν." Εἶτα καὶ οὐ μέχρι τούτου, ἀλλὰ καὶ περισσότερον ἀποφαίνεται Προφήτου. Ἐπειδὴ δὲ καὶ κριταὶ καὶ νομοθέται καὶ βασιλεῖς ἐπ' ἀρετῇ μέγα κατέλιπον ὄνομα, ἵνα μὴ τῶν Προφητῶν περισσότερος, τῶν ἀλλων δέ τινος νομισθῇ ἐνδεέστερος, μιᾷ κατὰ πάντων ἀποφάσει τὰ πρεσβεῖα φέρειν τὸν Βαπτιστὴν ἀνεκήρυξεν, "Οὐκ ἐγήγερται, εἰπών, ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ." Ἀλλ' οὗτος μὲν καὶ ὁ δεύτερος τῶν ἐγκωμίων τύπος.

Ὁ δὲ τρίτος μεταξὺ τῶν Δεσποτικῶν ἐπαίνων τὴν Προφητικὴν προβάλλεται μαρ-

---

[1] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ταύτην—παρὰ τοῖς ἄλλοις.

[2] Μοντακ. γραπτέον εἶναι εἰκάζει—διαπλῆσαι—ὅπερ ἴσως ἄμεινον.

[3] "Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον" (Ματθ. Γ', 4).

[4] Τοῦτ' ἔστι, τῶν ἀκουσίως πενομένων· "αἰσχύνεσθαι γὰρ πενίαν τοὺς ἀκουσίως πενομένους," ἔλεγεν Ἀριστείδης ὁ πάνυ, αὐτὸς ἑαυτῷ τὴν πενίαν οὐκ αἰσχύνην, ἀλλὰ τιμὴν καὶ δόξαν δικαίως νομίζων, ὡς ἑκουσίως πενόμενος. (Πλούτ. ἐν βίῳ Ἀριστείδου. § κέ.)

[5] Παρ' Οἰκον.—μόνον.

[6] Οὕτω παρ' Οἰκον. ἀντὶ—ἃ τοὺς ὑμ. ὀφθ. κ. τ. γν. ἐφειλκύσατο, μάρτυρας οὐδὲν ἔλαττον παρεστήσατε.

[7] Παρ' Οἰκον. ἀνάρθρως.

[8] Παρ' Οἰκον.—δεδουλωμένων.

[9] Παρ. Οἰκον. ἀνάρθρως.

Digitized by Google

τυρίαν· "Οὗτος γάρ ἐστι,[1] φησί, περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου." Λοιπὸς δὲ καὶ τελευταῖός ἐστι, περὶ οὗ μάλιστα καὶ ἡ σκέψις, ὅς, καθάπερ καὶ ὁ πρῶτος, ἐξ ἀναιρέσεως μέν ἐστι τῆς μηδαμόθεν προσηκούσης τῷ Βαπτιστῇ ὑπολήψεως, κατ' ἐρώτησιν δὲ ἀπορηματικὴν καὶ αὐτός, οὐκ ἐξ εὐθείας, οὐδὲ ἀποφατικῶς πρόεισιν, ἐκ δὲ τοῦ συμβαίνοντος ἀτοπήματος τὴν φαύλην ὑπόληψιν ἀναιρεῖ, κἀκεῖθεν διαπλέκει καὶ συναπαρτίζει τῷ Βαπτιστῇ τὸ ἐγκώμιον. Τίς οὖν ἡ ψευδὴς ὑπόληψις; τὸ νομίσαι τινὰς τὸν Βαπτιστὴν ἀγνοῆσαι τὸν κηρυττόμενον, καὶ διὰ τοῦτο προσενεγκεῖν τὴν ἐρώτησιν. Τί δὲ[2] τὸ ἑπόμενον ἄτοπον; τὸ ἐρρίφθαι διὰ τοῦτο τῆς βασιλείας τῶν οὐρανῶν. Ὁ γὰρ ἐν αὐτῇ πάντων μικρότερος τίνος ἄλλου μείζων εἴη ἄν, πλὴν τοῦ πόρρω ταύτης ἀπεληλαμένου; Διὰ τί δ' ἀπορρίπτοιτο, οὐδὲ λόγου δεῖται. Καὶ γὰρ ὁ μὴ πεπεισμένος ἀκριβῶς τὸν ἐκ Παρθένου μὲν γεννηθέντα, ὑπὸ Ἰωάννου δὲ βαπτισθέντα, ὑπὸ δὲ τῆς πατρῴας[3] φωνῆς μαρτυρηθέντα, καὶ ὑπὸ τοῦ συγγενοῦς ὑποδειχθέντα Πνεύματος, τοῦτον λυτρωτὴν τοῦ Κόσμου καὶ τοῦ ᾅδου καθαιρέτην εἶναι, δῆλον, ὡς ὁ τοιοῦτος ἐκτός ἐστι[4] τῆς βασιλείας τῶν οὐρανῶν. Πῶς γὰρ ἂν κληρονομήσειε βασιλείαν ὁ μηδὲ τὸν ταύτης ἐπιστάμενος δημιουργὸν καὶ διανομέα καὶ κληροῦχον; Εἶτα πῶς ἀναιρεῖται τὸ ἄτοπον; Καὶ αὐτόθεν μὲν (πῶς γὰρ οὐκ ἄτοπον τὸν ἄλλοις κηρύξαντα τὴν βασιλείαν,[5] αὐτὸν ἐκπεσεῖν ταύτης;), ἀλλά γε καὶ ἐκ τῶν ἔμπροσθεν εἰρημένων. Εἰ οὖν ἠγνόησε μὲν[6] ὅπερ ἐκήρυξεν ὁ Ἰωάννης, ἔδωκε δὲ λήθῃ τὰ ἄνωθεν ἠκουσμένα, οὐκ ᾔδει[7] δὲ ὃν ἐβάπτισεν, ἐρωτᾷ δ', ἵνα μάθῃ, τίς ἐστιν ὁ προσδοκώμενος, δῆλον, ὡς οὐδὲ τῆς βασιλείας ὅλως, οὐδὲ καθ' ἣν ὁ μικρότερος διαιτᾶται λῆξιν, οὐδὲ ταύτης ἀξιωθήσεται. Ἀλλὰ τῶν *μὲν*[8] λίαν ἀτοπωτάτων τοῦτο τά τε ἄλλα καὶ ἐκ τῶν ἄνωθεν εἰρημένων. Ποῦ γὰρ Προφήτης ὁ μηδὲ τὰ ἐν χερσὶ βλέπων; Ποῦ δὲ Προφητῶν περισσότερος ὁ[9] καὶ αὐτὸν τὸν κηρυσσόμενον ἀγνοήσας; Ἐν γεννητοῖς δὲ γυναικῶν μείζων πῶς ἄν,[10] ὁ μηδὲ τῆς βασιλείας ἄξιος; Οὐκ ἄρα μικρότερος οὐδαμῶς τοῦ μικροτέρου τῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· οὐδ' ἄρα ἠγνόησεν, ὃν ἐκήρυξεν· οὐδ' ἵν' αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοὺς μαθητὰς διὰ τῆς αὐτοψίας

---

[1] *Οὕτω παρ' Οἰκον. περὰ δὲ Μοντακ. ἄνευ τοῦ—ἐστι.*

[2] *Παρ' Οἰκον.—δαί.*

[3] *Οὕτω παρ' Οἰκον. ἀντὶ—πατρὸς—παρὰ τοῖς ἄλλοις.*

[4] *Μοντακ. κατὰ Μέλλοντα γράφειν παραινεῖ—ἔσται.*

[5] "Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ Βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, καὶ λέγων· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν" (Ματθ. Γ').

[6] *Παρ' Οἰκον.—μόνον.*

[7] *Ἐκ διορθ. Οἰκον. ἀντὶ—οἶδε.*

[8] *Περιττὸς ὁ—μὲν—καὶ παρ' Οἰκον. δὲ οὐχ εὕρηται.*

[9] *Προσέθηκα τὸ ἄρθρον ἐξ Οἰκονόμου.*

[10] *Ἐννοητ.—εἴη—ὡς καὶ Οἰκον. ἐσημειώσατο.*

Digitized by Google

βελτιώσῃ, τὴν διδασκαλίαν εἰς ἐρώτησιν ἐσχημάτισεν. Ἀλλ' ἡ μὲν τῆς ὅλης διανοίας ἀνάπτυξις αὕτη.

Ὁ δὲ Δεσποτικὸς καὶ θεῖος χρησμὸς δριμεῖ τε καὶ συντετμημένῳ λόγῳ διὰ τοῦ κατ' ἐρώτησιν ἀπορηματικοῦ τύπου τὴν ὅλην παρέστησεν ἔννοιαν, εἰπών· "Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστι;" Ταύτης γὰρ τῆς φωνῆς ἐξ αὐτῆς ἀκοῆς ἀπαντώσης, καὶ τῇ τοῦ ἀτοπήματος ὑπερβολῇ οὐκ ἐώσης εἰς ἀπρεπῆ τινα ὑπόληψιν τοῦ τῆς ἀληθείας κήρυκος ἀπενεχθῆναι, εὐθὺς μὲν συνελαυνόμεθα εἰς τὸ συνιδεῖν τὸ σοφὸν καὶ ὠφέλιμον τῆς διὰ τῶν μαθητῶν ἐρωτήσεως, ἐκεῖθεν δὲ πάλιν εἰς τὴν τῶν ἐπαίνων ἀποδοχὴν ἔτι μᾶλλον ἐφελκόμεθα, καὶ οὐχὶ τοῦ μικροτέρου τῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐλάττονα τὸν Βαπτιστὴν ψηφιζόμεθα· πολλοῦ γε καὶ δεῖ· ἀλλὰ καὶ κριτῶν, καὶ νομοθετῶν, καὶ βασιλέων, καὶ αὐτῶν Πατριαρχῶν ὑπερανεστηκέναι, ὡς αὐτὴ σαφῶς ἀνεῖπεν ἡ ἀλήθεια, συντιθέμεθα· καὶ μάλα εἰκότως. Εἱρκτῇ καὶ μυρίᾳ κακώσει συνείχετο, τὴν ἐπὶ θανάτῳ τηρούμενος, ἄλλην ταύτην[1] ὑπὲρ θεσμῶν θείων διακαρτερῶν ἄθλησιν, καὶ ὁ πρὸς τὸν ἀμνὸν τοῦ Θεοῦ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ Κόσμου, διάπυρος αὐτῷ πόθος οὐκ ἐμαραίνετο, ἤνθει δὲ μᾶλλον, καὶ διεφιλονείκει τῷ θανάτῳ ἐπὶ πλέον ἀναζωπυρεῖσθαι, καὶ ἀπαθανατίζεσθαι· οὐδ' ἔληγε κηρύσσων καὶ χειρὶ καὶ γλώσσῃ καὶ πάσῃ μεθόδῳ τὸν οὐράνιον νυμφίον, πάντας[2] ἐπιποθῶν αὐτῷ συναρμόσαι, καὶ τῶν νυμφικῶν παστάδων ἐνθεῖναι τὸν ἔρωτα. Ἐμοὶ δοκεῖ καὶ χαίρειν αὐτὸν πρὸς τὸ ξίφος, καὶ ἀδημονεῖν τῇ βραδύτητι, καὶ σπεύδειν πρὸς τοὺς ἐν ᾅδου, ἵνα κἀκεῖ φθάσῃ τοὺς ἄλλους τὸν προσδοκώμενον ἀνακηρύξαι καὶ προευαγγελίσασθαι.[3] Ἆρα οὐκ ἐγκωμίων ταῦτα Δεσποτικῆς ἀξίων γλώσσης; Ἔβλεπε τὸ ξίφος, ἔβλεπε τοὺς δημίους, καὶ τὴν σφαγὴν κέντρον ἐποιεῖτο τοῦ Δεσποτικοῦ φίλτρου, ὅλος πρὸς αὐτὸν ἐπιστρεφόμενος. Ὄντως οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ· ἤψατο κορυφῆς Δεσπότου· ἐκήρυξεν ἀπὸ γαστρός· ἐκήρυσσε μέχρι θανάτου· εἵλκυσεν εἰς μετάνοιαν Κόσμον· ἐῶ τὴν ἔρημον πολιτείαν, καὶ τὴν καταιδέσασαν καὶ τοὺς ἀναισχύντους Ἰουδαίους ὑπερφυῆ δίαιταν καὶ διαγωγήν, καὶ τὴν ἐμφράξασαν αὐτῶν τὰ ἀπύλωτα στόματα ὑπὲρ ἄνθρωπον ζωήν. Ἆρ' οὐ δικαίως μείζων ἐν γεννητοῖς γυναικῶν; Ἆρ' οὐ κατ' ἀξίαν τῆς Δεσποτικῆς ἀπήλαυσε φωνῆς; Ἆρ' ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων τοῦ τοιούτου ἐστί; Δεῖ τοιγαροῦν ἐκ τῶν εἰρημένων οὐκ ἀποφαινόμενον ἀναγινώσκειν τὸ "ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν," ἀλλὰ κατ' ἐκεῖνον τὸν τύπον, καθ' ὃν ἀναγινώσκεται καὶ τὸ "τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον;" Καὶ σκόπει μοι συνετῶς, ὅτι οὔτε τὸ "ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν" παρὰ τὴν πρόχειρον καὶ πᾶσιν ἐγνωσμένην διάνοιαν ἠναγκάσθημεν εἰς ἄλλο τι περινενοημένον ἐκβιάσασθαι, οὔτε τὸ "μικρότερος" προσθήκαις τισὶ περιεργοτέραις πρὸς

---

[1] Ἐκ διορθ. Μοντακ. ἦν καὶ Οἰκον. ἐπεδοκίμασεν, ἀντὶ—ταῦτα.

[2] Ἡ Μοντακ. διόρθωσις—πάντως—πάντως οὐκ ἔῤῥωται.

[3] Παρ' Οἰκον. κατ' Ἐνεστ.—προευαγγελίζεσθαι.

Digitized by Google

ὁμολογίαν τοῦ "μείζων ἐν γεννητοῖς γυναικῶν" συνδιεπλέξαμεν· μόνον δὲ τὸ ἐξ ἀρχῆς σχῆμα τοῦ λόγου εἰς τὸν κατ' ἐρώτησιν τύπον ῥυθμίσαντες, τὴν τοῦ δηλουμένου σαφῶς, εἰ καὶ πλέον ἢ κατ' ἐπιστολήν, παρεστήσαμεν ἔννοιαν·

ΕΠΙΣΤΟΛΗ ΙΖ'.—17.

Θεοδώρῳ ἀδελφῷ[1]

('Εγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος.—Λουκᾶς. ΚΒ', 44.)

Παροιμία λέγεται ἐπὶ τῶν σφόδρα λυπουμένων καὶ ἀγωνιώντων "Αἵματι ἵδρωσεν," ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων "Αἵματι κλαίει."[2] Εἰ μὲν οὖν κατὰ τοῦτόν τις πεπαρῳδῆσθαι νομίσοι τὸν τρόπον (οὐδὲ γὰρ τῶν τοιούτων μαθημάτων ὁ ἀνὴρ ἀνήκοος) καὶ τὸ παρὰ τῷ θεσπεσίῳ Λουκᾷ εἰρημένον "'Εγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος," ἔχεις τὸ ζήτημα· Εἰ δὲ περιεργότερον ἐπινενοῆσθαί σοι τοῦτο δόξει, ἀλλ' οὖν ἐκεῖνο αὐτόθεν ἔχει τὸ εὔκολον, ὅτι "ὡσεὶ θρόμβοι αἵματος" εἰπών, οὐ θρόμβους ἱδρῶσαι ἀπεφήνατο αἵματος (οὐ γὰρ ἂν καθ' ὁμοιότητα τούτων εἰρήκει γενέσθαι τοὺς ἱδρῶτας· τοῦτο γὰρ σαφῶς δῆλον ὅτι τὸ "ὡσεὶ θρόμβοι" παρίστησι), θέλων δὲ μᾶλλον δηλῶσαι, ὡς οὐχὶ λεπταῖς τισι νοτίσι, καὶ οἷον ἐνδείξεως χάριν ἐπιφαινομέναις, τὸ Δεσποτικὸν ἐνοτίζετο σῶμα, ἀλλ' ὡς ἀληθῶς ἀδρῶν σταγόνων δίκην ὅλον τοῖς ἱδρῶσι περιεστάζετο, τοὺς τῶν αἱμάτων θρόμβους εἰς[3] εἰκόνα τοῦ γεγενημένου παρείληφεν. 'Εδήλου δὲ ἄρα, ὥσπερ καὶ διὰ τῆς ἐντεταμένης προσευχῆς καὶ τῆς πολλῆς ἀγωνίας, οὕτω καὶ διὰ τῆς τῶν ἱδρώτων παχύτητος, ὡς φύσει καὶ ἀληθῶς, ἀλλ' οὐκ ἐπιδείξει καὶ φαντασίᾳ, ἄνθρωπός τε ἐχρημάτισεν ὁ Σωτήρ, καὶ τοῖς φυσικοῖς τῶν ἀνθρώπων καὶ ἀδιαβλήτοις ὑπηρετήσατο πάθεσι· τοῦτο γὰρ αὐτὸ καὶ ὁ Δεσπότης ἔργοις παριστάς, καὶ ὡς οὐχὶ κατὰ θείαν φύσιν, ἀλλ' ἐν τῇ ἀνθρωπίνῃ τὸ πάθος ἐδέξατο, καὶ προσηύξατο, καὶ ἠγωνίασε, καὶ τοὺς παχεῖς ἐκείνους καὶ παραπλησίους αἵματος θρόμβοις ἱδρῶτας ἐξίδρωσεν.[4] Μηκέτι οὖν σὺ[5] τοῦ Εὐαγγελίου τόδε τὸ χωρίον περικεκόφθαι (κἂν τισι τῶν Σύρων, ὡς ἔφης,

---

[1] 'Η αὐτὴ καὶ ἐν 'Αμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ, Ζήτ. ΣΙΣΤ', κατὰ δὲ τὴν Μιγνίου 'Ερώτ. ΣΙΘ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ 'Επιστ. ΡΛΗ'. Δῆλον δ' ἐκ ταύτης τε τῆς ἐπιστολῆς καὶ τῶν πρὸ ταύτης δύο, αἳ "Κωνσταντίνῳ ἀδελφῷ" τυγχάνουσιν ἐπιγεγραμμέναι, ὅτι τέσσαρας εἶχε Φώτιος ἀδελφούς, Σέργιον, Ταράσιον, Κωνσταντῖνον καὶ Θεόδωρον ὥσπερ ἐν τοῖς ἔμπροσθεν (Προλεγ. § κά) εἴπομεν, καὶ Μοντακ. ἐν τῇδε τῇ ἐπιστολῇ ἐσημειώσατο.

[2] Ἴδε τὰς παροιμίας ταύτας καὶ τὰς ἑρμηνείας αὐτῶν ἐν Παροιμιογρ. Ἑλλησι, σελ. 7, 158 καὶ 238, ἔκδ. Θ. Γαισφόρδου, ἐν 'Οξωνίᾳ 1836.

[3] Παρ' Οἰκον.—ὡς.

καὶ Θεοφύλακτος καὶ Ζιγαβηνὸς (ἐκ τοῦ Φωτίου) εἰς Λουκᾶν. (σημ. Οἰκονόμου.)

ιεινον παρ' Οἰκον. ἀντὶ—σοὶ—παρὰ Μοντακ.

Digitized by Google

δοκῇ) εὐπρεπὲς νόμιζε·[1] ἀλλ' ὡς οὐδὲν ἀδύνατον, μᾶλλον δὲ καὶ λίαν ἀκόλουθον, ἐν αὐτῷ περιεχόμενον καλῶς ἐπιγνούς, τοῖς ἄλλοις συντάσσων θείοις χρησμοῖς, ἀναμφιβόλῳ γνώμῃ συναναγίνωσκε.

ΕΠΙΣΤΟΛΗ ΙΗ'.—18.

Ἰγνατίῳ Μητροπολίτῃ Κλαυδιουπόλεως.[2]

(Καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω.— Ματθ. ΚΖ', 51.)

Ῥήγνυται τὸ καταπέτασμα τοῦ ναοῦ, ξύλῳ τοῦ Δεσπότου κρεμαμένου, διὰ πολλάς, οἶμαι, τὰς αἰτίας. α. Τὸ μὲν γὰρ τὴν γῆν κατ' ἐκεῖνο τὸ σωτήριον πάθος κλόνῳ καὶ τρόμῳ, μικροῦ δεῖν, συγκατενεχθῆναι, δυνατόν ἐστι τοῖς ἀγνωμονοῦσι καὶ εἰς τὰ κατὰ φύσιν ἀνάγειν[3] τῶν στοιχείων πάθη· τὸ δὲ ῥαγῆναι τὸ[4] καταπέτασμα, μηδενὸς μάλιστα διασπῶντος, ἀπὸ ἄνωθεν ἕως κάτω, μήτε πρὶν μήτε μετὰ ταῦτα φύσιν ἔχον ἐπιτελεσθῆναι, οὐδεμίαν ἀναχώρησιν δίδωσιν, οὐδὲ τοῖς λίαν κακουργοῦσι, τὸ μὴ οὐχὶ θεομηνίαν εἶναι τὸ τέρας, καὶ τῆς Ἰουδαϊκῆς μαιφονίας ἀπαράγραπτον ἔλεγχον τὸ γεγενημένον.— β'. Δευτέραν δ' ἄν τις αἰτίαν ἀποδοίη, σύμβολον αὐτὸ καὶ προμήνυμα γενέσθαι λέγων τῆς μετ' ὅσα ἔτη[5] καταστροφῆς τε καὶ ἐξερημώσεως τοῦ τε περιωνύμου ναοῦ, καὶ τῶν ἐν αὐτῷ Ἰουδαϊκῶν τελετῶν τε καὶ ὀργίων· ὧν μέγα τε καὶ διὰ σπουδῆς τὸ μηδενὶ τῶν πολλῶν τὰ ἔνδον τοῦ καταπετάσματος ὀφθῆναι· διὰ τοῦτο καὶ διεπετάννυτο τὸ ὕφασμα, ὥστε ἀθέατα μὲν φυλάττειν τὰ τίμια τῷ λαῷ, μόνοις δὲ τοῖς ἱερεῦσιν εἶναι ὁρατά· οὗ δὴ περιῤῥαγέντος, ἀνεπετάσθη μὲν δῆλον ὅτι πᾶσιν ἡ ὄψις αὐτῶν, κοινὰ δὲ γέγονεν, εἰς κοινὴν ἀπενεχθέντα θέαν καὶ βεβήλωσιν, τὰ τέως ἅγια καὶ φρικτά, δι' ὧν προοιμιάσθη καὶ τῶν

---

[1] Οὐ μόνον οἱ Σῦροι ἔν τισι τῶν ἀντιγράφων, ἀλλὰ καὶ οἱ Ἀρμένιοι κακοήθως ἀπήλειψαν τοὺς ἱδρῶτας ἐκ τῶν Εὐαγγελίων, ἀθετοῦντες τὴν ὁμογενῆ τοῖς ἀνθρώποις φύσιν τοῦ Σωτῆρος (Ζιγαβ. Πανοπλ. τίτλ. ΚΓ', σελ. ρνγ')· ἀλλ' ὑπάρχουσι καὶ Ἀρμενιακὰ ἔχοντα τὴν Εὐαγγελικὴν ταύτην περικοπήν, ἣν βεβαιοῦσι καὶ Ἰουστῖνος, Ἱππόλυτος, Εἰρηναῖος, Ἐπιφάνιος, Χρυσόστομος, Τίτος Βοστρῶν, Ἱερώνυμος, καὶ ἄλλοι τῶν θείων Πατέρων τῆς Ἐκκλησίας. (σημ. Οἰκονόμου.)

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΘ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΙΒ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΚΕ'.

[3] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—ἄγειν—παρὰ τοῖς ἄλλοις.

[4] Προσέθηκα τὸ ἄρθρον ἐξ Οἰκον. ἐλλεῖπον παρὰ τοῖς ἄλλοις.

[5] Παρ' Οἰκον.—τῆς (ὅσα ἔτη) καταστροφῆς. Ἀλλὰ καὶ τοῦτο, οὐχ ἧττον ἡμαρτημένως δοκοῦν γεγράφθαι, Οἰκον. εἰκάζει διορθωτέον εἶναι "τῆς μεθ' ὅσα Ο' (70) ἔτη." Ἴσως δὲ καὶ ἐγέγραπτο τὴν ἀρχήν "τῆς μετ' Ο' ἔτη," ἀμεταβλήτου τηρηθέντος τοῦ τ διὰ τὸ ἀφανὲς τῆς ἑπομένης δασείας· οὕτω δὲ τυγχάνοντος γεγραμμένου, ἡ τοῦ ἀντιγράψαντος ἀπειρία τὸ ἀριθμητικὸν Ο' εἰς τὴν Ἀντων. ὅσα μετέβαλεν.

Digitized by Google

ἄλλων αὐτοῖς ἁπάντων θεσμῶν καὶ τῆς νομικῆς λατρείας[1] ἡ παντελὴς ἀναίρεσις καὶ σχολή. — γ'. Ἔστι δὲ καὶ τρίτην αἰτίαν συνιδεῖν, ἐναντίως μὲν πρὸς τὴν εἰρημένην ἔχειν δοκοῦσαν, ἐξ αὐτῆς δὲ μᾶλλον τικτομένην. Τίς οὖν αὕτη; Ὅτι τῶν Ἰουδαίων ἡ περὶ τὸ θεῖον γνῶσις καὶ λατρεία εὐπεριγράπτῳ μὲν τόπῳ, τῇ τε Ἰουδαίᾳ καὶ τοῖς Ἱεροσολύμοις, ἐναπεκλείετο, τύπων δὲ ὅμως καὶ προχαραγμάτων τάξιν ἀνεπλήρου τῆς χάριτος. Ἐπεὶ οὖν ἔδει τὴν εἰς στενὸν κομιδῇ περιγεγραμμένην λατρείαν καὶ γνῶσιν ἀργῆσαι, τὴν εἰς τὰ πέρατα δὲ τῆς οἰκουμένης διὰ τοῦ σωτηρίου πάθους ἐξαπλοῦσθαι μέλλουσαν εἰς ἀρχὴν καταστῆναι, διὰ τοῦτο δὴ ῥήγνυται τὸ προμετωπίδιον ὕφασμα ἐκεῖνο, δι' οὗ τὰ τῶν ἁγίων ἅγια ὡς ἐν ἀπορρήτῳ καὶ ἀψαύστῳ περιεστέλλετο χωρίῳ, μονονουχὶ τοῖς ἔργοις βοῶν καὶ προκαλούμενον ἅπαντας εἰς τὴν τῶν ἀθεάτων καὶ θείων ἐποψίαν τε καὶ ἐπίγνωσιν, καὶ ὡς οὐκέτι μέρει τινὶ τῆς οἰκουμένης καὶ εὐαριθμήτῳ ἔθνει ἡ εὐσέβεια συγκλεισθήσεται, ἀλλ' ἅπαντα τὰ ἔθνη καὶ τὰ πέρατα[2] τῆς οἰκουμένης τῶν τοῖς Ἰουδαίοις ἀπροσίτων καὶ ἀνεφίκτων ἐν ἀπολαύσει γενήσεται.

Ἀλλὰ σύ μοι καὶ πρὸς τὴν ἐχομένην ταύτης μετάβαινε, καὶ σκόπει ὧδε. Ἡ κιβωτὸς καὶ τὰ ἐν τῇ κιβωτῷ κατὰ τὸν τύπον γέγονε τοῦ οὐρανοῦ τε καὶ τῶν ὑπὸ τὸν οὐρανόν. "Ὅρα γάρ, φησί, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν[3] δειχθέντα σοι ἐν τῷ ὄρει."[4] Αὕτη οὖν μετὰ τῶν ἄλλων ἀπορρήτων ἐν τῷ ναῷ ἀπεκρύπτετο, διειργομένη τῷ καταπετάσματι, καὶ πρόσοδον αὐτῆς, πλὴν ὅσα τοῖς ἱερεῦσιν, οὐδενὶ ἀνθρώπων ἐμπαρέχουσα. Ἐδήλου δὲ ἄρα τοῦτο καὶ ὑπέγραφε τὴν εἰς οὐρανὸν εἴσοδον ἀνθρώποις ἄβατον συντετηρῆσθαι τέως, καὶ μηδέ τινα μηδὲ τῶν τῆς νομικῆς λατρείας ἐραστῶν ταύτης ἀξιωθῆναι τῆς λήξεως. Ῥήγνυται οὖν τοῦτο, τοῦ Δεσπότου σταυρουμένου, τὴν εἰς οὐρανοὺς εἴσοδον πᾶσιν ἡμῖν ὑποσαλπίζον καὶ εὐαγγελιζόμενον. Καὶ γὰρ δὴ καὶ[5] διὰ τοῦ ζωοποιοῦ θανάτου αὐτοῦ τὴν εἰς[6] οὐρανοὺς εἴσοδον παντὶ τῷ ἀνθρωπίνῳ γένει ἐνεκαίνισεν[7] ὁ διὰ τοῦτο κενωθείς, καὶ σάρκα τὴν ἡμετέραν προσλαβών, καὶ πάντα παθὼν ὑπὲρ ἡμῶν, Χριστὸς ὁ Θεὸς ἡμῶν.[8]

---

[1] *Παρ' Οἰκον.—ὅλως ἡ παντελὴς κ.τ.λ.*

[2] *Παρ' Οἰκον.—ἀλλὰ πάντα τὰ ἔθνη καὶ πέρατα.*

[3] *Προσέθηκα τὸ ἄρθρον ἐξ Οἰκον.*

[4] *Ἐξόδ. ΚΕ', 9. Παρ' Οἰκον. δὲ ἐλλείπουσιν αἱ λέξεις—ἐν τῷ ὄρει.*

[5] *Ἐξ Οἰκον. ἡ προσθήκη τοῦ—καὶ—ἐλλείποντος παρὰ τοῖς ἄλλοις.*

[6] *Παρ' Οἰκον.—ἐπ' οὐρανούς.*

[7] *Παρ' Οἰκον.—ἀνεκαίνισεν—ἄμεινον δέ, οἶμαι, τὸ τοῦ Μοντακ. "ἐνεκαίνισεν."*

[8] *Ταῦτα συνοπτικώτερον καὶ ἐν Νικήτα Σερ. Συναγωγῇ, σελ. 716. (σημ. Οἰκονόμου.)*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΙΘ'.—19.

Ἀμφιλοχίῳ Μητροπολίτῃ Κυζίκου.[1]

(Μαρία, μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου.—Ἰωάν. Κ', 17.)

Ὅπερ Χριστὸς ὁ Θεὸς ἡμῶν τῇ Μαγδαληνῇ Μαρίᾳ προσιούσῃ φησί, "Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου," δοκεῖ μέν πως εἶναι δυσθεώρητον (τί δέ; ἆρα γὰρ μετὰ τὴν πρὸς τὸν Πατέρα ἄνοδον, τότε μᾶλλον αὐτῇ ἐπιτρέψει τὸ ἐφάπτεσθαι;)· τὸ δὲ τοιοῦτόν ἐστιν. Οὐκ ἔξεστί σοι, φησίν, ἐμοῦ ἅπτεσθαι. Διὰ τί; οὔπω γάρ σοι[2] δοκῶ πρὸς τὸ Πατρῷον ὕψος ἀναβεβηκέναι, καὶ τῆς ὑπερφυοῦς οὐσίας ἀναλαβεῖν τὸ ἀξίωμα· ἀλλ' ἔτι ταπεινὰ λογίζῃ περὶ ἐμοῦ, προσιοῦσά μοι, καὶ τῶν ἀνθρωπίνων μέτρων οὐδὲν ὑψηλότερον. Τὸ δὲ οὐχ ὅτι ἀξίαν οὐ ποιεῖ σε τῆς ἐμῆς δόξης ἐφάπτεσθαι, ἀλλὰ καὶ μακρὰν τίθησιν. Καὶ ὅρα, ὅπως τὸ "Μή μου ἅπτου" εἰπών, τὸ "οὔπω γὰρ" συνεπήνεγκε, διδοὺς ἐλπίδας αὐτῇ, ὡς οὐκ εἰς τέλος τοῦ πόθου ἀπελαθήσεται, ἀλλ' ὅτι καὶ μετ' ὀλίγον, ὧν ἐσπούδασεν, ἐπιτεύξεται· ὡσανεὶ λέγων· μεθ' ἧς μὲν προσέρχῃ μοι γνώμης, οὐκ ἔξεστί σοι προσιέναι μοι· οὐδὲ γὰρ ἂν τύχοις τῆς ἐφέσεως· ἂν δὲ ταῖς ὑψηλοτέραις καὶ θεοπρεπέσι διανοίαις σαυτὴν[3] ἐπάρῃς τῶν ταπεινῶν, συγχωρηθήσεταί σοι καὶ[4] ἡ πρόσοδος, καὶ μειζόνων ἀξιωθήσῃ, ἃ ὤνπερ ἤλπισας. Καὶ γὰρ ἡ μὲν ἐβούλετο, οἷα δὴ καὶ πρότερον, ἀνθρωπικώτερον καὶ κατὰ τὸν τῆς οἰκονομίας τρόπον τῷ Δεσπότῃ συναναστρέφεσθαι· πολλὰ γὰρ τοιαῦτα, καὶ τῷ τάφῳ παρακαθημένη, ἔπραττέ τε καὶ ἐλογίζετο, μύρα φέρουσα, δακρύουσα, μετάθεσιν ὑπονοοῦσα τὴν ἔγερσιν. Ὁ δὲ ταύτην ἀπάγων τῆς ὁρμῆς, καὶ τῶν τοιούτων διακαθαίρων ὑπονοιῶν, ἔτι δὲ καὶ τὸ ἄκαιρον ἐνδεικνὺς καὶ ἀδύνατον τῆς ἐγχειρήσεως, "Μή μου ἅπτου, φησίν· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου·" τοῦτ' ἔστιν, οὐ προσῆκε τὴν σὴν ἀρέσκειαν τῆς κοινῆς προνοίας προτιμᾶν, καὶ τοῦ τῆς οἰκουμένης συμφέροντος, οὐδὲ τὸν σὸν πόθον ἀφοσιούμενον, τὴν ἐν ἐμοὶ Πατρῴαν συνεπισκιάζειν ἔτι θεότητα, καὶ ὡς ἀνθρώπῳ ψιλῷ ἔτι ἀνέχεσθαι προσιέναι μοι. Ἦν μὲν γὰρ τῶν τῆς συγκαταβάσεως καὶ τῶν ταπεινοτέρων ὁ πρὸ τοῦ σταυροῦ καιρός, ὅτε καὶ σοὶ παρεχωρεῖτο, τοῖς ταπεινοτέροις λογισμοῖς οἷον ἀναπαυομένην, ὑποστηρίζεσθαι, καὶ μή, πρὸς τὰ μείζω κατ' ἀρχὰς καὶ ἀθρόον ἐκβιαζομένην, πάντων ἐκπίπτειν καὶ ὑποσύρεσθαι· νῦν δὲ τῶν ὑψηλοτέρων καὶ θείων ἐφέστηκεν ὁ καιρός. Θάνατος γὰρ εἰς νῖκος καταποθεὶς τεθανάτωται· καὶ ᾅδης τῶν ἀπ' αἰῶνος νεκρῶν κενωθείς, τῆς τυραννίδος ἐκβέβληται· καὶ λαμπρὰ κατὰ πάντων ἐχθρῶν διὰ τῆς Ἀναστάσεως

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΙΕ', κατὰ δὲ τὴν Μιγν. Ἐρώτ. ΣΙΗ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΛΖ'.

[2] Ἐλλείπει ἡ Ἀντων.—σοι—παρ' Οἰκον. ἐκ τυπογραφικοῦ πάντως παροράματος.

[3] Οὕτως ἐξ Οἰκον. ἀντὶ—σαυτόν—παρὰ τοῖς ἄλλοις.

[4] Προσέθηκα τὸν—καὶ—ἐξ Οἰκον. ἐλλείποντα παρὰ τοῖς ἄλλοις.

Digitized by Google

ἠγέρθη τὰ τρόπαια. Χρὴ τοιγαροῦν καὶ σὲ πρὸς τὰ ὑψηλότερα καὶ θεοπρεπῆ τὸν νοῦν ἀναφέρουσαν, μηκέτι τὰ πρότερα καὶ τὰ τῆς συγκαταβάσεως ἐπιζητεῖν, μηδὲ τοῖς ταπεινοτέροις ἐναπομένειν καὶ συγκαταφέρεσθαι. Τοῦτο δὲ κατορθοῦσα,[1] εὑρήσεις ἐξ ἑτοίμου καὶ οὐ σφαλλομένῃ γνώμῃ τὸ ποθούμενον· λαβοῦσα γὰρ ἃς οὔπω εἴληφας ὀρθὰς ὑπολήψεις, τότε μᾶλλον καὶ τῆς ἐνανθρωπήσεως τὸν ἄῤῥητον καὶ ὑπερφυᾶ θαυμάσεις τρόπον, καὶ πλέον, ἢ ἐγώ σοι ἀπεῖπον, εὐλαβουμένη ταπεινῶς μοι προσιέναι καὶ ἐφάπτεσθαι, ἀξίως[2] καὶ τῆς ἐμῆς θεότητος καὶ τῆς σῆς ἐντελοῦς πίστεως ἐπιδείξεις τὸν εἰς ἐμὲ πόθον καὶ τὴν εὔνοιαν. Ὅτι γὰρ οὐχὶ τῆς ἐπαφῆς προηγουμένῳ λόγῳ καὶ καθ' ἑαυτὸ τὸ γύναιον ἐκωλύετο, ἀλλ' ὅτι ταπεινοῖς καὶ χαμαιπετέσι λογισμοῖς ἔτι διενοεῖτο προσάπτεσθαι, τεκμηριοῦσι σαφῶς καὶ αἱ συναντήσασαι τῷ Δεσπότῃ δύο γυναῖκες, αἷς τό τε "Χαίρετε" ἡ πάντων χαρὰ λαμπρῶς προσφωνεῖ, καὶ τῶν ἀχράντων ποδῶν τετελειωμέναις καὶ φρεσὶ καὶ χερσὶν ἐφίησιν ἅπτεσθαι.[3] Ἐπεὶ δὲ τέως ἐφάπτεσθαι τὸ γύναιον ἐκεκώλυτο, ἵνα μὴ διαμαρτοῦσα τῆς σπουδῆς εἰς λύπην καὶ λογισμοὺς ἐμπέσῃ (εὔκολον γὰρ τὸ γένος[4] πρὸς ὀλιγοψυχίαν καὶ ὑπόνοιαν), ὡς παρεώραμαι! ὡς ἐξουθένημαι! οἴμοι λοιπόν! τί γένωμαι; ἵνα οὖν μὴ πρὸς ταῦτα δράμῃ, προλαβὼν αὐτὴν ὁ Σωτὴρ ψυχαγωγεῖ, καὶ "Πορεύου, φησί, πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς," δυσὶ τρόποις διὰ τῶν ῥημάτων τούτων τὸν τάραχον ἀπελαύνων τῶν λογισμῶν, καὶ πρὸς εὐθυμίαν αὐτὴν παρακαλῶν· ἐνὶ μέν, ὅτι περ αὐτὴν εὐαγγελίστριαν ἐχειροτόνει τῆς Ἀναστάσεως, ἑτέρῳ δέ, δι' ὧν τὰ ἴσα καὶ τοῖς μαθηταῖς δι' αὐτῆς ἐκείνης παρεκελεύετο· καὶ γάρ φησι, "Καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν Πατέρα μου·" ἵνα εἴπῃς. Μή σε λυπείτω ὅτι προσάπτεσθαί μου διεκώλυσα· οὐ γὰρ παρορῶν ἢ ἐνυβρίζων τοῦτο ἔπραξα, ἀλλ' ἡ τῶν πραγμάτων φύσις καὶ τῆς ἐμῆς προνοίας καὶ οἰκονομίας ὁ ἄῤῥητος θεσμὸς τοῦτο κρατεῖν ἐπὶ πάντων βούλεται· καὶ οὐδὲν ἔξεις ἔλαττον, εἰ μὴ καὶ πλέον, τῆς σῆς σπουδῆς οὐ συντελεσθείσης· ἰδοὺ γάρ σε καὶ κήρυκα πέμπω τοῖς μαθηταῖς τῆς ἐμῆς Ἀναστάσεως, κἀκείνοις δὲ τὰ αὐτά σοι διακελεύομαι, εἰδέναι πρὸς τὸν Πατέρα με ἀναβαίνοντα, καὶ μηκέτι ταῖς προτέραις δόξαις ὑποφέρεσθαι, ταπεινὰ φανταζομένους περὶ ἐμοῦ καὶ ἀνθρώπινα, συνοδοιπορεῖν[5] πάλιν, ὡς τὸ πρίν, καὶ συνδιαφέρειν πόνους καὶ λύπας, συνεχῶς τε ἐπιχωριάζειν καὶ συναλίζεσθαι.[6]

Σὺ δέ μοι σκόπει, ὅπως καὶ ἀδελφοὺς ἐν τοῖς πρὸς τὴν γυναῖκα ῥήμασι τοὺς Μαθητὰς ἐπωνόμασε, θαῤῥεῖν αὐτὴν διὰ πάντων παρασκευάζων, καὶ μηδὲν λυπηρὸν ὑποδέχεσθαι.

---

[1] *Παρ' Οἰκον.—συγκατορθοῦσα.*

[2] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—ἀξίαν—παρὰ τοῖς ἄλλοις.*

[3] "Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς, λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ" (*Ματθ. ΚΗ'*, 9).

[4] *Τὸ τῶν γυναικῶν δῆλον ὅτι.*

[5] *Παρ' Οἰκονόμῳ καὶ ἑτέρα ὑποσημειοῦται γραφὴ ἐξ Εὐγενίου τοῦ Βουλγάρεως "συνοδοιπορεῖν μοι·" καὶ Μοντακ. δὲ προσθετέαν εἴκασεν εἶναι τὴν Ἀντωνυμίαν.*

[6] *Παρ' Οἰκον.—συναυλίζεσθαι·—ἀλλ' ἀμφότερα εἰς ταὐτὸ φέρει.*

Digitized by Google

Ὁ γὰρ τῶν ἀδελφῶν τὴν κλῆσιν τοῖς Μαθηταῖς χαριζόμενος, εἶτα ταύτην ἐκείνοις συναριθμῶν, καὶ τῶν ἴσων ἀξιῶν, πᾶσαν αὐτῆς λύπην καὶ ὑποψίας ἐξέβαλε θόρυβον. Σοφῶς δὲ λίαν καὶ θεοπρεπῶς καὶ τὸ "πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν" κατὰ διαστολὴν προηνέχθη καὶ διάστασιν τῶν συλλαβῶν, τῷ συνδέσμῳ τῆς τῶν πραγμάτων διαφορᾶς καὶ ἑτερότητος ἐπιτρανουμένης·[1] τῷ μὲν γὰρ ἰδιάζοντι τὴν φύσιν ἔδειξε, τῷ δὲ κοινῷ τὴν χάριν ἐμήνυσεν. Ὅσον δὲ φύσις χάριτος καὶ υἱοθεσίας διενήνοχεν, ἐν τοσούτῳ μέτρῳ τῆς ὑπεροχῆς καὶ ἡ πρὸς τὸν Ἕνα καὶ Μονογενῆ τοῦ Πατρὸς κατ' οὐσίαν σχέσις τῆς ἐκ φιλανθρωπίας καὶ οἴκτου πρὸς τοὺς ἄλλους σχέσεως ὑπερανέχει καὶ ὑπερίδρυται· καὶ ὁ Μονογενὴς δὲ δῆλον ὅτι τῶν πολλῶν υἱῶν, καὶ οὓς ἡ χάρις ἐκυοφόρησεν. Διὸ "Πατέρα μου" εἰπών, καὶ τὸ γνήσιον τῆς φύσεως τῷ ἰδιάζοντι ἀφορίσας, "καὶ Πατέρα ὑμῶν" ἐπενήνοχε, τὴν ἐκ φιλοτιμίας θέσιν καὶ εἰσποίησιν τῶν Ἀποστόλων παραστησάμενος· καὶ τὸ "Θεόν μου" δὲ "καὶ Θεὸν ὑμῶν" πρὸς τὴν αὐτὴν βλέπει διάνοιαν, καὶ τῆς αὐτῆς γνώμης ἤρτηται. Διὰ μὲν γὰρ τοῦ "Θεόν μου" τὸ συγγενὲς τοῦ ἑνὸς καὶ οἰκεῖον περιλαμβανόμενον ἀνακηρύτεται· διὰ δὲ τοῦ "Θεὸν ὑμῶν" τῶν πολλῶν τὸ δοῦλον καὶ ὑπήκοον καὶ τὸ δεδημιουργῆσθαι[2] κοινοποιούμενον ἐπιδείκνυται. Δῆλον γάρ, δῆλον ἅπασιν, ὅτι, ὥσπερ ἐνίοτε τὸ ὑποβεβηκὸς καὶ παρηλλαγμένον, ἢ τὸ ὑπερέχον, διὰ τῆς τοῦ ἐμοῦ φωνῆς ἐνσημαίνεται, οὕτω πάλιν καὶ τὸ ἴσον καὶ συγγενὲς καὶ γνησιώτατον διὰ τῆς αὐτῆς χαρακτηρίζεται λέξεως. Ἀλλὰ ταῦτα μέν σοι πρὸς ὑποτύπωσιν διεχάραξα, τῆς μὲν ὑποθέσεως ταπεινότερον, τῆς δὲ κατ' ἐπιστολὴν χρείας ἴσως οὐκ ἐνδεέστερον.

ΕΠΙΣΤΟΛΗ Κ'.—20.

Τῷ αὐτῷ.[3]

(Ἄνθρωπος, ἄνθρωπος, ὃς ἐὰν καταράσηται Θεόν, ἁμαρτίαν λήψεται.—Λευῖτ. ΚΔ', 15.)

Τρία σημαινόμενα τοῦ Θεὸς ὀνόματος, ὅσα γε εἰς μνήμην ἦκε τὴν ἐμήν, κατὰ τὸ δόξαν οἶδα τῆς θείας Γραφῆς.[4] Ἓν μὲν τὸ κυρίως καὶ πρώτως Ὄν, οὗ ἐν τῇ χειρὶ πάντα, καὶ ὃς ἁπάντων δεσπόζει· "τὰ γὰρ σύμπαντα δοῦλα σά."[5] Δευτέρᾳ δὲ τάξει καὶ μεθέξει τῆς πρώτης αἰτίας λέγοιτ' ἂν καὶ τῶν ἀνθρώπων ἐκεῖνος Θεός, ὃς ἐφ' ὅσον ἐστὶ δυνα-

---

[1] Οὕτω παρ' Οἰκον. ἀντὶ—κατὰ διαστολὴν προηνέχθη καὶ διάστασιν· τῶν συλλαβῶν τῷ συνδέσμῳ, τῆς τῶν πραγμάτων διαφορᾶς, καὶ ἑτερότητος, ἐπιτρανουμένης—παρὰ Μοντακ. ἔμοιγε δὲ δοκεῖ ἄμεινον ἂν κεῖσθαι τὴν ὑποστιγμὴν ἐν τῷ "διάστασιν," ἀλλ' οὐκ ἐν τῷ "συλλαβῶν."

[2] Παρ' Οἰκον. κατ' Ἐνεστ.—δημιουργεῖσθαι·—ἀλλ' ἄμεινον κατὰ Παρακ. ὡς παρὰ Μοντακ.

[3] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΠΗ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΠΘ, καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΞΒ'.

[4] Ταύτην προειλόμην ἐξ Οἰκον. τὴν γραφὴν ἀντὶ τῆς παρὰ Μοντακ.—ὅσα γε εἰς μνήμην κατὰ δόξαν οἶδα τῆς θείας Γραφῆς.

[5] Ψαλμ. ΡΙΗ', 91.

Digitized by Google

τὸν γεννητῇ φύσει, εἰς μίμησιν ἑαυτὸν ἀρετῶν ἀσκήσει διαπλάττοι Θεοῦ· καὶ γάρ, ὥσπερ κυρίως μέν ἐστιν ἀγαθὸν ἡ θεία καὶ παντουργὸς φύσις, κατὰ μέθεξιν δὲ καὶ τῶν ἀνθρώπων ὅσοι διακαθάρσει[1] βίου τῆς ἐκεῖθεν ἀκτῖνος ἐνηυγάσθησαν τὰς μαρμαρυγάς,[2] οὕτω καὶ Θεὸς οὐ μόνον ἡ πάντων δεσπόζουσα καὶ κατεξουσιάζουσα φύσις, ἀλλὰ καὶ τοὺς ἀνθρώπους ἔστιν ἰδεῖν ταύτης ἠξιωμένους τῆς ὀνομασίας· Πρῶτος δὲ τῆς κλήσεως τυγχάνει ὁ τοῦ Σὴθ παῖς, Ἐνώς, ἀνὴρ δι' εὐσέβειαν καὶ χρηστότητα τρόπων ὑπὸ τῶν τότε ἀνθρώπων τῇ τοῦ θείου κλήσει τετιμημένος, ἐξ οὗ καὶ τὸ γένος ἅπαν θεοί τε καὶ θεῶν παῖδες ὠνομάσθησαν· καθ' ἃ πού φησιν· "Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο."[3] Υἱοὺς γὰρ Θεοῦ δῆλον ὅτι τοὺς ἐκ τοῦ Ἐνὼς φύντας ἐκάλεσεν, οἳ ταῖς ἐκ τοῦ Κάϊν ὡμιληκότες, τό τε γένος ἐνόθευσαν, καὶ εἰς ἀσέβειαν καὶ κακίαν συνωλίσθησαν. Τὸ γὰρ λέγειν Ἀγγέλους πεσεῖν,[4] τὴν ἀσώματον φύσιν, εἰς ἔρωτας γυναικῶν, πεσόντων ἐστιν ὡς ἀληθῶς εἰς μυθώδεις καὶ οὐδὲ κεχωρισμένους τοῦ ἀσεβεῖν λογισμούς. Ἐξ ἐκείνου τοιγαροῦν τοῦ γένους καὶ τῶν ἄλλων ἀνθρώπων ὅσοι δι' ἐπιμελείας ἠθῶν τῷ Θεῷ προσεγγίζειν ἐμελέτησαν, ναὶ δὴ καὶ ὅσοις εἰς ἀξίωμα τῶν δικαίων κριτῶν ἀνελθεῖν καὶ ἀρχόντων τάξιν ἐξεγένετο, οὗτοι πάντες τῆς θείας κλήσεως τετυχήκασι· "Θεὸς γάρ, φησί, Θεῶν Κύριος ἐλάλησε·"[5] καὶ "Ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες·"[6] καὶ "Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν·" καὶ "ἐν μέσῳ δὲ Θεοὺς διακρινεῖ·"[7] καὶ "Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς."[8] Δῆλον γὰρ ἐκ τῶν εἰρημένων, ὅτι Θεοὺς ἡ θεία Γραφὴ τούς τε τῆς ἀρετῆς φίλους καὶ τοὺς τῆς δίκης καλεῖ ὑπηρέτας.

Ἔστι δὲ καὶ τρίτον παρὰ ταῦτα σημαινόμενον, τρόπῳ μέν τινι συναπτόμενον, τρόπῳ δὲ πλείονι διαιρούμενον τοῦ δευτέρου·[9] καθ' ὃ δίδοται Μωϋσῆς "Θεὸς εἶναι Φαραώ·"[10] Εἴη δ' ἂν ὁ τρόπος οὗτος τῆς προσηγορίας ἐξ ἀναλογίας εἰλημμένος.[11] Καὶ γάρ, ὥσπερ Θεὸς ἐχρημάτιζε Μωσεῖ ῥίψαι τὴν ῥάβδον εἰς πίστωσιν τῶν ἐπηγγελμένων, οὕτω Μωσῆς Ἀαρὼν ἐκέλευε ῥίπτειν τὴν ῥάβδον εἰς ἔκβασιν τῶν ἀπειλουμένων· καὶ Μωσῆς μὲν ὑπη-

---

[1] *Παρ' Οἰκον.—διὰ καθάρσεως.*

[2] *Μοντακ. εἰκάζει γραπτέον εἶναι—ταῖς μαρμαρυγαῖς.*

[3] *Γενέσ. κεφ. ΣΤ', 2.*

[4] *Φέρεται γὰρ ἐν τῇ Γραφῇ—"Ἰδόντες δὲ οἱ Ἄγγελοι τοῦ Θεοῦ"—ὅπερ ἑρμηνεύεται "οἱ υἱοὶ τοῦ Θεοῦ."*

[5] *Ψαλμός ΜΘ', 1.*

[6] *Ψαλμός ΠΑ', 6.*

[7] *Αὐτ. 1.*

[8] *Ἐξόδ. ΚΒ', 28.*

[9] *Προσέθηκα τὸ ἄρθρον ἐξ Οἰκον. ἐλλεῖπον παρὰ Μοντακ.*

[10] *Ἐξόδ. Ζ', 1.*

[11] *Παρ' Οἰκον.—εἰρημένος.*

Digitized by Google

ρετεῖτο προστάγμασι Θεοῦ, Ἀαρὼν δὲ Μωσέως ἐξεπλήρου τὰς ἐντολὰς εἰς Φαραώ, μαστίζων τὴν Αἴγυπτον, καὶ προφήτης[1] γινόμενος τ' ἀδελφοῦ,[2] ὃν ἐκεῖνος τρόπον ἐγίνετο τοῦ Θεοῦ· δι' ὃ οὐδὲ Θεὸς Μωσῆς ἁπλῶς, ἀλλὰ Θεὸς εἴρηται Φαραώ· πάντα γὰρ ἔπραττεν εἰς αὐτόν, ὥσπερ αὐτεξουσίῳ κράτει, ὑπηρετουμένου τοῦ Ἀαρών. Ἀλλὰ κοινωνεῖ μὲν οὗτος τῆς κλήσεως ὁ τρόπος τῷ πρὸ αὐτοῦ, τῷ τε ἐπ' ἀνθρώπου καὶ ταύτην τεθεῖσθαι, καὶ τῷ, ἔχοντος ἀρετήν· διαφέρει δὲ ἄλλοις τε πολλοῖς, καὶ ὅτι ἡ μέν, ἐξιδιωσαμένη Μωσῆν, αὐτοῦ γίνεται, καὶ οὐκ ἔστιν, ὥσπερ ἐκείνη, κοινή· καὶ ὅτι ἐκεῖ μὲν Θεὸς ἁπλῶς, καὶ οὐχί τινος ὁ τὴν κλῆσιν ὑπελθὼν ἀπεδέδοτο,[3] ἐνταῦθα δὲ τοὐναντίον, Θεὸς Φαραώ. Ὅτι δ' οὐ κατ' ἐκεῖνον τὸν νοῦν, ἀλλὰ καθ' ὃν ἔφαμεν, ὁ Μωϋσῆς εἴρηται Θεὸς Φαραώ, γνώριμον μὲν ἐκ τῶν εἰρημένων, οὐδὲν δὲ ἔλαττον τεκμηριοῖ καὶ τὸ τὸν Ἀαρών, ἄνθρωπόν τε ὄντα καὶ ἀρετὴν ἀσκοῦντα, εἰ βούλει δέ, καὶ ταῖς τερατουργίαις ἐφεστηκότα, μηδαμοῦ κληθῆναι Θεὸν Φαραώ.

Ἐπὶ γοῦν τριῶν διαφόρων ὑποκειμένων τῆς θείας[4] τιθεμένης προσηγορίας, καὶ τοῦ μὲν κυρίως, τῶν δὲ καθ' ὁμωνυμίαν λεγομένων, ἔστιν εὑρεῖν καὶ ἄλλο τι τῆς φωνῆς σημαινόμενον, οὐκέτι μὲν κατὰ δόξαν, χρήσει δὲ μόνῃ λαμβανόμενον τῆς θείας Γραφῆς. Τὰ γὰρ τῆς Ἑλληνικῆς θρησκείας σεβάσματα, Θεοὺς καὶ αὐτή, πολλάκις μὲν κατειρωνευομένη, καὶ ἐπ' ἐλέγχῳ τῶν προσκεκυνηκότων ("βαδίζετε γάρ, φησί, καὶ βοᾶτε πρὸς τοὺς Θεούς, οὓς ἐξελέξασθε ἑαυτοῖς, καὶ αὐτοὶ σωσάτωσαν ὑμᾶς·"[5]), πολλάκις δὲ καὶ εἰς μόνην δήλωσιν τοῦ προκειμένου, εἴωθε καλεῖν· "Οὐκ ἔσονται γάρ σοι, φησί, Θεοὶ ἕτεροι πλὴν ἐμοῦ·"[6] καὶ "Οὐ ποιήσετε ὑμῖν Θεοὺς ἀργυροῦς καὶ χρυσοῦς·"[7] καὶ μυρία ἡ χρῆσις.

Ἐπεὶ δὲ τέσσαρα[8] τῆς Θεὸς φωνῆς διεκρίθη τὰ δηλούμενα, εἰδέναι δεῖ, ὡς ἐν τῷ προκειμένῳ σοι πρὸς μάθησιν ῥητῷ, "Ἄνθρωπος, ἄνθρωπος, ὃς ἐὰν καταράσηται Θεόν, ἁμαρτίαν λήψεται" καὶ ἑξῆς, οἱ μὲν Θεὸν ἐνταῦθα τὸν ἀληθῶς καὶ κυρίως Θεὸν ἐξακούουσιν, οἱ δὲ τὸν ψευδωνύμως ἐπονομασθέντα λαμβάνουσιν· ἀρχὴν δὲ διάφορον ἑαυτοῖς ὑποθέμενοι, καὶ τὰ ἑξῆς διαφόρως περαίνουσιν. Οἱ γὰρ ὑπειληφότες Θεὸν εἰρῆσθαι νῦν, ὃν ἕκαστος τῶν δυσσεβούντων ἄγει σέβασμα, οὕτω τὸν νοῦν ἀναπτύσσουσιν. Οὐ δεῖ,

---

[1] *Μοντακ. γραπτέον εἶναι οἴεται—ὑποφήτης.*

[2] *Συνηθεστάτη καὶ νῦν ἡ τοιαύτη τοῦ ἄρθρου ἀποκοπὴ πρὸ τῶν ἀπὸ τοῦ α ἀρχομένων ὀνομάτων. Οὕτω γὰρ λέγεται—τ' ἀδελφοῦ μου ὁ λόγος—τ' ἀνιψιοῦ μου ἡ οἰκία—τ' ἁμαρτωλοῦ τὰ λόγια ὁ Θεὸς δὲν ἀκούει—τ' ἀμπελιοῦ τὰ φύλλα—κ.τ.λ.*

[3] *Παρ' Οἰκον.—ἀπεδίδοτο.*

[4] *Μοντακ. γραπτέον εἶναι οἴεται—τῆς Θεὸς προσηγορίας—συνφδὰ τῇ τε ἐν ἀρχῇ τῆς ἐπιστ. ἐκφράσει, καὶ τῇ ἑφεξῆς ἑπομένῃ "τέσσαρα τῆς Θεὸς φωνῆς διεκρίθη τὰ δηλούμενα."*

[5] *Κριτ. Ι', 14.*

[6] *Ἐξόδ. Κ', 3.*

[7] *Αὐτ. 22.*

[8] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—εἰς τέτσαρα—παρὰ Μοντακ.*

Digitized by Google

φησίν, οὐδὲ τὸν Ἑλληνικαῖς θρησκείαις προσανακείμενον ἐξυβρίζειν, ὅπερ σέβεται· εἰ γὰρ κἀκεῖνο δυσφημίας ἐστὶν ἀπάσης ἄξιον, καὶ τῶν εὐσεβούντων ἑκάστῳ βδέλυγμα καὶ νομίζεσθαι καὶ ὀνομάζεσθαι δίκαιον, ἀλλ' οὖν ὅ γε Θεὸν νομίζων, εἶτα δὲ δυσφημῶν, ἁμαρτίας ἐστὶν ἔνοχος· τῇ γὰρ ἑαυτοῦ γνώμῃ καὶ κρίσει Θεὸν ὁ τοιοῦτος ἀλίσκεται βλασφημῶν, καὶ δυσσεβείας ὑπεύθυνον ἑαυτὸν καθιστάς. Τί γάρ, ἐνὸν ἢ μὴ σέβειν, ἢ μὴ δυσφημεῖν, σὺ δὲ μιγνὺς τ' ἀσύμβατα, ὅπερ σέβεις, τοῦτο δυσφημεῖς; Κατέγνως; ἀπόστηθι. Ἀλλ' ἔτι προσέρχῃ ὡς Θεῷ; πῶς οὐ πέφρικας δυσφημεῖν, καὶ ἀραῖς ὑπάγειν τὸν ἔτι σοι λατρευόμενον; "Ἄνθρωπος τοιγαροῦν, ἄνθρωπος, ὃς ἐὰν καταράσηται Θεὸν αὐτοῦ, διὰ τοῦτο ἁμαρτίαν λήψεται·" οὐχ ὅτι Θεὸν ἐπηράσατο,[1] ἀλλ' ὅτι, ὅνπερ ὡς Θεὸν αὐτοῦ σέβεται, κατ' αὐτοῦ καὶ γλῶσσαν ἀφῆκε δύσφημον. Εἶτα "ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου θανάτῳ θανατούσθω·" ἂν δέ τις τὸν ἀληθῆ Θεὸν καὶ πάντων Δεσπότην ὑπ' ἀρὰν καὶ βλασφημίαν ἀγαγεῖν τολμήσῃ, θάνατος αὐτῷ τὸ ἐπιτίμιον· διττοῖς γὰρ οὗτος ἀτόποις συνείληπται· τό τε γὰρ οἰκεῖον ἐδυσφήμησε σέβασμα, καὶ τὴν ὕβριν κατὰ τοῦ Σωτῆρος καὶ δημιουργοῦ τῶν ὅλων, ὃς πάσης ἐστὶν εὐφημίας καὶ δόξης ὑπεράνω, κατεσκέδασεν. Ἁμαρτίας μὲν γάρ ἐστιν ἔνοχος, τοῦτ' ἔστι παροινίας καὶ ὕβρεως δίκην ὀφείλων, καὶ ὁ τὸ ἴδιον ἐπαρώμενος θρήσκευμα, εἰ καὶ ψευδωνύμως τὴν κλῆσιν ἐφέλκοιτο τῆς θεότητος· διπλῆς δὲ καὶ πολλαπλῆς τιμωρίας ὑπόχρεως ὁ τὸν τοῦ παντὸς δημιουργὸν καὶ Θεὸν ὕβρεσι πλύνων, καὶ ἀραῖς τετολμηκὼς ὑπάγειν· δι' ὃ λίθοις τοῦ ζῆν ἡ βλάσφημος ἐκείνη κεφαλὴ ἀξία ἐκκόπτεσθαι, τῆς ἀκολάστου γλώσσης τὴν δίκην ὑπέχουσα.

Οὕτω μὲν οἱ πρότεροι τὸ ῥητὸν διασαφοῦσιν· οἱ δὲ μετ' ἐκείνους ὧδε διηγοῦνται τὸν νοῦν. "Ἄνθρωπος, ἄνθρωπος, ὃς καταράσηται Θεὸν αὐτοῦ, ἁμαρτίαν λήψεται." Αὐτόθεν ἐστί, φασί, σαφὴς ἡ διάνοια· ὁ γὰρ τὸν ἀληθῆ Θεὸν ἐπαρώμενος, ἢ ἄλλως ἐμπαροινῶν αὐτῷ, ἔνοχός ἐστιν ἁμαρτίας· ἡ δὲ εἰς τιμωρίαν ἀπαραίτητον τελευτᾷ. Τὸ δὲ "ὀνομάζων τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ" τοιοῦτον εἶναι. Ἀπείρητο τοῖς Ἰουδαίοις τὸ τοῦ Θεοῦ ὄνομα, ἄλλο τι[2] παρὰ τὴν Θεὸς φωνὴν νομιζόμενον, διὰ χειλέων ὅλως προφέρεσθαι· ἄφραστον δὲ καὶ ἀνέκφορον παντελῶς (πλὴν ὅσα γε τοῖς Ἀρχιερεῦσι μόνοις ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ θείου) διετετήρητο· δι' ὃ οὐδὲ γράμμασι τοῖς παρ' αὐτοῖς διεγράφετο· ξένοις δέ τισι καὶ παρηλλαγμένοις γραμμάτων τύποις χαρακτηρίζοντες, οἷα δὴ μυστικωτέροις συμβόλοις, αὐτὸ παρυπέφαινον· τέσσαρα δὲ τὰ γράμματα ἦν, ἐξ οὗ καὶ τετράγραμμον αὐτοῖς ἐπωνομάζετο. Ἐν ἴσῳ τοίνυν, φασίν, ὑπῆρχε παρ' Ἰουδαίοις ἀράσασθαί τε τὸν Θεόν, καὶ ὀνομάσαι, τοῦτ' ἔστι τὸ ἄφραστον ὄνομα αὐτοῦ διὰ χειλέων, καὶ μάλιστα κοιναῖς, προσενεγκεῖν ἀκοαῖς· δι' ὃ καὶ ἑκατέρῳ θάνατος ἐπέκειτο ἡ ζημία. Ἀλλὰ ταύτῃ μὲν καὶ οὗτοι. Τοῦτο δὲ τὸ ὄνομα καὶ χρυσοῦ[3] πετάλῳ ἐγχαραττόμενον,

---

[1] *Παρ' Οἰκον.—ἐπειράσατο·—ἀλλ' ἄμεινον τὸ παρὰ Μουτακ.—ἐπηράσατο·—ἐρεῖ γὰρ εὐθὺς ἐφεξῆς "ὁ τὸ ἴδιον ἐπαρώμενος θρήσκευμα."*

[2] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἀλλ' ὅτι—παρὰ τοῖς ἄλλοις.*

[3] *Παρ' Οἰκον.—χρυσῷ· ἀλλ' ἀμφότερα ἔῤῥωται.*

Digitized by Google

καὶ τῇ Ἀρχιερατικῇ ταινίᾳ δεσμοῖς ἁρμοζόμενον, τὸ τοῦ Ἀρχιερέως ἐφρούρει τε καὶ ἐκόσμει μέτωπον, ἅμα μὲν φοβερὸν καὶ σεβάσμιον τοῖς ἁρῶσι δεικνύν,[1] ἅμα δὲ καὶ παρεγγυώμενον ἀεὶ δεῖν τὸν Ἀρχιερέα τὸν νοῦν συνηνῶσθαι τῷ Θεῷ, καὶ μηδέποτε τῆς ἐκεῖθεν συναφείας καὶ μακαριότητος διασπώμενον, ἐπὶ τὰ γήϊνα, καὶ ἅπερ ἐστὶ τῆς ματαιότητος, καταφέρεσθαι. Τί δήποτ' οὖν ἐστι τοῦτο τὸ ὄνομα; αὐτὸς ὁ τῶν ὅλων Θεὸς διδάσκει. Ἐπερωτήσαντι γὰρ τῷ Μωσεῖ, "τί τὸ ὄνομα αὐτοῦ," ἔφη, "Ἐγώ εἰμι ὁ Ὤν·" καὶ πάλιν ἐπιβεβαιῶν, ὡς τοῦτο αὐτοῦ εἴη τὸ ὄνομα, ὃ προεξέφηνεν, "Ἐγώ, φησί, Κύριος ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ·" εἶτα καὶ "τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς·"[2] ἵνα εἴπῃ—μείζονός σε φιλοτιμίας ἢ τοὺς Πατριάρχας, τοὺς σοὺς προγόνους, ἠξίωσα· τὸ γὰρ ὄνομά μου, ὅπερ ἐκείνοις οὐκ ἐδήλωσα, καίτοι τῷ Ἰακὼβ καὶ προσλιπαρήσαντι,[3] τοῦτό σοι διεσάφησα, ἀποφηνάμενος, "Ἐγώ εἰμι ὁ Ὤν." Τοῦτο δὲ παρὰ μὲν Ἑβραίοις λέγεται Ἀϊά, παρὰ δὲ Σαμαρείταις Ἰαβέ. Γράφεται δὲ καὶ γράμμασι τούτοις, ιωθ. αλφ. ουαυθ. ηθ. δι' ὧν δηλοῦται τὸ ἄναρχόν τε καὶ ἀτελεύτητον τοῦ Θεοῦ· τοῦτο γὰρ παρίστησι καὶ τὸ "ὁ Ὤν." Αὕτη γὰρ ἡ φωνὴ μήτε πρὸ αὐτοῦ μήτε μετ' αὐτὸν εἶναί τι κυρίως καὶ ὑπάρχειν ὅλως ἐνδείκνυται· ὅπερ τὸ ἀεὶ εἶναι καὶ ἀϊδίως εἶναι συνίστησιν.[4] Ἑκατέρᾳ τοίνυν προσομιλῶν ἑρμηνείᾳ, οὐδετέραν, οἶμαι, διώξεις οὔτε ἀσαφείας, οὔτε τοῦ μὴ περὶ πόδα εἶναι[5] τὴν ἑκατέρωθεν διάνοιαν τῷ ῥητῷ. Ἐρώσω·

ΕΠΙΣΤΟΛΗ ΚΑ'.—21.

Τῷ αὐτῷ.[6]

(Ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου θανάτῳ θανατούσθω.—Λευϊτ. ΚΔ', 16.)

Ὡς καλή σου ἡ ἀπορία! Γράφεις γάρ, ὡς, εἰ μὲν ἄῤῥητον ὄνομα τὸ θεῖον καὶ γνώσεως μεῖζον, πῶς ἐπέκειτο θάνατος τῷ φθεγξαμένῳ ἡ ζημία; οὐδὲ γὰρ ἐνῆν, οὐδὲ πολλὰ

---

[1] Οὕτως ἐξ Οἰκον. ἀντὶ—δεικνύς—παρὰ τοῖς ἄλλοις.

[2] Ἐξόδ. κεφ. ΣΤ', 3.

[3] Οἰκον μὲν γραπτέον εἶναι εἰκάζει, "οὔτε τῷ Ἰακώβ, καίτοι προσλιπαρήσαντι·" ἴσως μέντοι καὶ οὕτω γεγραμμένον οὐχ ἡμάρτηται, εἰς τὴν τῶν συνεπτυγμένων φράσεων τάξιν ἀναγόμενον, καὶ τοῦτο δὴ σημαῖνον, ὅπερ ὁ ἀοίδιμος Οἰκονόμος τῇ πληρεστέρᾳ γραφῇ σαφέστερον βούλεται ποιῆσαι.

[4] Περὶ τοῦ τετραγράμμου (ἢ τετραγραμμάτου) ὀνόματος τοῦ Θεοῦ καὶ τῶν τούτου στοιχείων καὶ τοῦ Ἀϊά (ὅ τινες διορθοῦσιν Ἰαώ) καὶ τοῦ Ἰαβὲ βλέπε "περὶ τῶν Ο' ἑρμηνευτ. τῆς παλ. θείας Γραφῆς" Τόμ. Β', σελ. 597, καὶ Τόμ. Δ', σελ. 67. (σημ. Οἰκον.)

[5] Περὶ πόδα εἶναι (ὅπερ καὶ κατὰ Δοτ. λέγεται "περὶ ποδί εἶναι") =ἁρμόζουσαν εἶναι· ἐσχημάτισται δὲ ἡ φράσις μεταφορ. ἐκ τῶν ἐμβάδων τῶν ἀκριβῶς περὶ τὸν πόδα προσαρμοζομένων. Τὸ δὲ ἀντίθετον λέγεται—ὑπὲρ πόδα. Ἴδε Λεξ. Σκ. Βυζαντίου ἐν λ. πούς.

[6] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΠΘ', κατὰ δὲ τὴν Μινγίου Ἐρ. Ψ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΞΓ'.

Digitized by Google

θελήσαντι, φθέγξασθαι· εἰ δ' ἐνῆν διὰ χειλέων προενεγκεῖν, πῶς ἄρρητον καὶ ἀνέκφραστον; Ἀλλ' ἔχεις, οἶμαι, προγεγραμμένην σοι καὶ λαμπρῶς τὴν λύσιν. Τῷ γὰρ εἰπεῖν τὸν ὑπερουσίως ὄντα Θεόν, "Ἐγώ εἰμι ὁ Ὤν," ὄνομά τε αὐτοῦ εἶναι τοῦτο ἀνειπεῖν,[1] καὶ τῷ ταύτης τῆς φωνῆς Μωσέα διακοῦσαι, οὐκ ἀκοῦσαι δὲ μόνον, ἀλλὰ καὶ τοῖς Ἀρχιερεῦσιν ἀπαγγεῖλαι, οὐκ ἀπαγγεῖλαι δὲ μόνον, ἀλλὰ καὶ χρυσῷ πετάλῳ γράφειν παραδοῦναι, ὅτι μὲν τῇ ἑαυτοῦ φύσει καὶ γνωστὸν ἦν καὶ ῥητόν, καὶ ὅτι τισὶ μὲν ἐπέγνωστο, καὶ οὐκ ἄφραστον πρὸς ἀλλήλους ἦν, διὰ πάντων ὑπάρχει σαφέστατον· ὅτι δὲ δι' ὧν τοῖς πολλοῖς οὔτε εἰς ἀκοάς, οὔτε εἰς γνῶσιν ἀφῖκτο, ἀλλὰ καὶ οἷς ἐγινώσκετο[2] φυλακὴ προσῆν εἰς ἄλλους μὴ ἐξάγειν, καὶ τοῦτο δῆλον, ὡς ἄρρητον αὐτὸ καὶ ἀνέκφραστον ἐδίδου καλεῖσθαι. Ἄφραστος οὖν καὶ ἀνέκφορος[3] ἡ θεία κλῆσις, οὐχ ὅτι φύσιν οὐκ εἶχε ῥήμασι καὶ γλώσσῃ ῥηθῆναι (δῆλον γὰρ κᾀξ ὧν νῦν παντὶ τῷ βουλομένῳ ῥητόν[4] ἐστιν), ἀλλ' ὅτι οὔτε πᾶσι ῥητὸν ἢ γνωστόν, οὐδ' ἅτι οἷς ἐπεπίστευτο εἰδέναι, οὐδ' ἐκείνοις ἦν δυνατὸν φόβῳ τοῦ θανάτου πρὸς ἄλλους λέγειν, ἢ τρόπον ἕτερον εἰς γνῶσιν ἄγειν. Ἔχεις τοιγαροῦν, ὦ βέλτιστε, ὅπως παρ' Ἰουδαίοις ἄγνωστόν τε καὶ ἀνέκφραστον τὸ τοῦ Θεοῦ ὄνομα ὑπῆρχε, καὶ ὅπως ἐνῆν βουλομένοις ἐνίοις αὐτῶν, καὶ αὐτοὺς εἰπεῖν, καὶ ἑτέρους εἰδέναι τε καὶ ἀναφθέγγεσθαι παραπλησίως αὐτοῖς ἐκδιδάσκειν, εἰ μὴ τῆς τιμωρίας ἐπικείμενος ὁ φόβος μείζων ἐγίνετο τῆς ἐπιθυμίας τῶν τὰ τοιαῦτα ζητούντων μυεῖσθαι· καὶ οὐδέν, ὡς ὁρᾷς, καθορᾶται οὔτε δύσκολον, οὔτε εἰς ἀπορίαν τινὰ περιστῆναι βιαζόμενον.

ΕΠΙΣΤΟΛΗ ΚΒ'. — 22.

Τῷ αὐτῷ.[5]

(Περὶ τῆς τοῦ Πέτρου ἀρνήσεως.—Ματθ. ΚΣΤ', 69 κ. ἑξ.)

Ὅπερ μαθεῖν ἐπηρώτησας, ἔξεστί σοι, κατά γε διδασκαλίαν ἐπιστολῆς, ἐνωτίζεσθαι. Ἐπειδή περ ἔμελλεν ὁ Πέτρος τῆς οἰκουμένης τὴν προστασίαν καταπιστεύεσθαι, συγχωρεῖται περιενεχθῆναι τῷ πτώματι, ἵνα τῷ καθ' ἑαυτὸν ὑποδείγματι φιλάνθρωπος εἴη καὶ ἐπιεικὴς τοῖς μετανοοῦσιν, ἐφ' οἷς ἥμαρτον. Εἰ γὰρ καὶ τοσαύτης ἀπολαύσας συγγνώμης ἐπὶ τηλικούτῳ πταίσματι, ὅμως τοὺς περὶ Ἀνανίαν ἀδυσωπήτῳ καὶ ὀξείᾳ δίκῃ τοῦ βίου ἐθέρισε,[6] τίς ἂν αὐτοῦ Κόσμος τὸν ζῆλον ἐχώρησεν, εἰ τοῦ Δεσποτικοῦ πόθου τὸ φίλτρον ἀλώβητον ὅλως διὰ βίου καὶ καθαρὸν διεσώσατο; Οὐκοῦν ὁ κοινὸς Σωτὴρ καὶ Θεὸς ἀφί-

---

[1] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἂν εἰπεῖν—παρὰ τοῖς ἄλλοις.

[2] Παρ' Οἰκον.—ἐπεγινώσκετο.

[3] Παρ' Οἰκον. οὐδετέρως—ἄφραστον καὶ ἀνέκφορον.

[4] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ῥητὸς—παρὰ τοῖς ἄλλοις.

[5] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΨΣΤ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΨΖ', ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΟΗ'.

[6] Πράξ. τῶν Ἀποστ. Ε', 1—12.

Digitized by Google

ησι τὸν ἕνα πεσεῖν, ἵνα πολλοῖς δι' αὐτοῦ τὰς τῆς συμπαθείας πηγὰς καὶ τοῦ ἐλέους ἀναβλύζων ἀπαρύεσθαι, τῆς φιλανθρωπίας τὸ πέλαγος ἐπιδείξῃ ἀνεξάντλητον· ἔτι δὲ καὶ ἵνα ὁ μαθητὴς τὰ ὑπὲρ ἄνθρωπον τελεσιουργῶν, εἰς τὴν ἄνωθεν ἔχῃ χάριν ἀναφέρειν μᾶλλον, ἢ τῷ ἀνευθύνῳ τοῦ οἰκείου βίου ἐπιγράφειν τῶν κατορθωμάτων τὸ αἴτιον. Ὀξὺ γὰρ θαυματουργία εἰς ὄγκον καὶ φύσημα, τῷ τοῦ συνειδότος ταπεινῷ μὴ καθελκομένη πρὸς τὸ μέτριον. Δι' ὃ καὶ ὁ Σωτὴρ φησι, "Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑποτάσσεται ὑμῖν, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς·"[1] καὶ "Πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ ἐρῶ αὐτοῖς· οὐκ οἶδα ὑμᾶς."[2] Διὰ τοῦτο καὶ Παῦλος πειρασμοῖς τισι παλαίειν ἀφίεται, ἵνα μή, ὡς αὐτός φησιν, ὑπεραίρηται,[3] καὶ τῶν ἀποκαλύψεων ἡ ὑπερβολὴ τὰ πάθη παιδαγωγὸν ἐπιφέρουσα, περιστέλλοιτό τε καὶ διακόπτοιτο τὰ σκιρτήματα, οἷς ἡ ἀνθρωπίνη φύσις ἐκφέρεται πρὸς φυσίωσιν· εἰ βούλει δέ, καὶ ἵνα μετὰ ταῦτα τὰς φοβερὰς ἐκείνας ἀπειλάς, καὶ τοὺς πικροὺς διωγμούς, καὶ τὰς μυρίας σφαγὰς ἐν ἀκλονήτῳ φέρων ὁ κορυφαῖος καὶ ἀσαλεύτῳ τῷ φρονήματι, εἰς θαῦμα τῆς Δεσποτικῆς συμμαχίας προσκαλῆται τοὺς κολάζοντας, καθορῶντας τὸν ὑπὸ φωνῆς παιδίσκης καταπεσόντα οὕτως ἀκίνητον πρὸς τοσαῦτα πάθη καθιστάμενον, μεθέλκοι τε καὶ διὰ τούτου πρὸς τὸ μέγα τῆς εὐσεβείας μυστήριον τῆς Ἰουδαϊκῆς ταπεινότητος.[4] Καὶ τέταρτον ἔμοιγε δοκεῖ λαμπρὸν καὶ μέγα ψυχαγωγίας παράδειγμα. Τί γὰρ[5] τοῦ κορυφαίου λαμπρότερον ταῖς ἔπειτα γενεαῖς, ἐπειδάν τις ἐξασθενήσας ἁλῷ, πρὸς τὰ τέλεια ἀναστηλῶσαι[6] βουλόμενος; Εἰ γὰρ τῶν μαθητῶν ὁ κορυφαῖος μετὰ τηλικαύτας δυνάμεις, ὧν τὰς μὲν εἶδε, τὰς δὲ καὶ ἐτέλεσε, μετὰ τοσαύτην διδασκαλίαν, μεθ' οὕτω πολλὴν καὶ ποικίλην τοῦ Διδασκάλου πεῖραν, τρὶς ἀρνησάμενος, διὰ μετανοίας ὅμως καὶ θερμῶν δακρύων, οὐ τὸ ἁμάρτημα μόνον ἐκάθηρεν, ἀλλὰ [καὶ[7]] πρὸς τὸ αὐτὸ τῆς ἀποστολῆς ἀξίωμα ἐπανέστρεψεν, οὐ χρὴ ῥᾳθυμεῖν ἐμὲ καὶ καταπίπτειν ἐξ ἀσθενείας ὀλισθαίνοντα, ἀλλὰ θᾶττον ἀνίστασθαι πρὸς μετάνοιαν, καὶ τὸν πλοῦτον τῆς Δεσποτικῆς χρηστότητος ἐννοοῦντα, ὅλον ἐμαυτὸν ἐν συντριμμῷ καρδίας ἀνατιθέναι τῷ τὰς νόσους ἡμῶν καὶ τὰς ἀσθενείας βαστάσαντι.

Διὰ ταῦτα οὖν, οἶμαι, καὶ τὰ τοιαῦτα Πέτρος ἁλῶναι συνεχωρήθη τῷ ἁμαρτήματι, ἀλλ' οὐχ ὅτι προανεῖπε τὴν ἄρνησιν ὁ Διδάσκαλος, ἀνάγκῃ τινὶ τῆς προγνώσεως ἐξεβιάσθη

---

[1] Λουκ. Γ', 20, ὅπου γέγραπται "πνεύματα." ἐν ἄλλοις δὲ κώδηξι "δαιμόνια." (σημ. Οἰκονόμου.)

[2] Ματθ. Ζ', 22.

[3] "Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατάν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι." (πρὸς Κορινθ. Β'. ἐπιστ. κεφ. ΙΒ', 7.)

[4] Ἐξ Οἰκον. ἡ προσθήκη τοῦ ἄρθρου—τῆς· ὁ δὲ νοῦς κατ' Οἰκον. αὐτὸν οὕτως ἔχει—ἵνα μεθέλκοι (τοὺς Ἰουδαίους) ἐκ τῆς Ἰουδαϊκῆς ταπεινότητος πρὸς τὸ μέγα τῆς εὐσεβείας μυστήριον.—Κατὰ δὴ τοῦτο ἴσως ἂν εἴη προσθετέα μετὰ τοῦ ἄρθρου καὶ ἡ πρόθεσις—ἀπό. Μοντακ. δὲ εἰκάζει γραπτέον εἶναι—σκληρότητος.

[5] Προσέθηκα τὸν—γὰρ—ἐξ Οἰκον. ἐλλείποντα παρὰ τοῖς ἄλλοις.

[6] Οἰκον. εἰκάζει γραπτέον εἶναι—ἀναστῆναι—ἢ—ἀνασφῆλαι.

[7] Ἐκ διορθ. τοῦ αὐτοῦ ἡ προσθήκη τοῦ—καί.

Digitized by Google

πρὸς τὸ ἀθέλητον· ἐπεὶ οὕτω γε φθάνοις ἂν τῶν φαύλων πράξεων ἁπασῶν τὴν αἰτίαν εἰς τὴν τῶν ἀγαθῶν πηγὴν ἀναφέρων. Προεῖπε γὰρ καὶ Ἰούδα τὴν προδοσίαν, Ἰουδαίων τὴν μαιοφονίαν, ναὶ δή, κἂν μὴ προεῖπεν, ἀλλά γε προῄδει πάντως, ὅτι περ τῆς δοθείσης ἐντολῆς ὁ πρῶτος ἄνθρωπος ἀντὶ τῆς φυλακῆς προέλοιτ' ἂν τὴν ὑπεροψίαν, καὶ τοῦ Κάϊν τὴν ἀδελφοκτονίαν, Φαραὼ τὴν σκληροκαρδίαν, καὶ Σαοὺλ τὴν παρανομίαν· καὶ τί καθ' ἕκαστον λέγω; οὐχὶ καὶ[1] κατὰ πόλεις ὅλας καὶ ἔθνη ὁλόκληρα αἱ πράξεις αὐτῶν τῇ προγνώσει περιέχονται; Σοδόμων καὶ Γομόρρας αἱ ἀῤῥητουργίαι· Ἑλλήνων, Αἰγυπτίων, μικροῦ συμπάντων βαρβάρων ἐν πολλοῖς χρόνοις αἱ εἰδωλομανίαι· ἀλλὰ τί ταῦτα; αὐτοῦ τοῦ σπορέως τῶν κακῶν καὶ ἀρχιτέκτονος, καὶ ὅσαι αὐτῷ δυνάμεις τῆς ἄνω συναπερράγησαν[2] λήξεως, ἆρ' ἠγνόει τὴν ἀλαζονείαν καὶ τὴν ἐπὶ βλάβῃ[3] τῶν ἀνθρώπων ἀνυπέρβλητον αὐτῶν μοχθηρίαν; Τί οὖν; ἐπεὶ μηδὲν μηδὲ τῶν τοιούτων ἡ ἀγαθουργὸς ἠγνόει σοφία, ἆρα διὰ τοῦτο τῶν ἐθελοκάλῳ γνώμῃ τὰ χείρω τῶν κρειττόνων ἀλλαξαμένων ἀφελόντες τὸ ὑπεύθυνον, τοῦ προεγνωκότος καταγνωσόμεθα; καὶ ποῦ τοῦτο χώραν ἔχει; Εἰ γὰρ ἐγώ τινα φερόμενον ἐπὶ κρημνὸν ἰδών, ἔπειτα τὸν ὄλεθρον διαγνοίην, ἢ ξίφος σπασάμενον κατὰ τοῦ πλησίον, οὐκ ἀγνοήσω τὸν φόνον, ἆρ' ἀντὶ τοῦ δεδρακότος ἐγὼ τὴν δίκην ὑπέχειν δίκαιός εἰμι; Εἰ δὲ γέλως τοῦτο καὶ παράνοια, πῶς οὐ μανία καὶ τόλμα, ἀντὶ τοῦ δίκας ἀπαιτεῖν τοὺς αἰτίους τῶν φαύλων πράξεων, τὴν δυσφημίαν μεθέλκειν κατὰ τῆς θείας προγνώσεως; Εἰ δὲ ἡ πρόγνωσις τῶν ὑπαιτίων ἀνεύθυνος, ἆρα πρόῤῥησις ἔνοχος;[4] οὐ γὰρ διότι προέγνωσται, ἢ προείρηται, διὰ τοῦτο διαπέπρακται, ἀλλ' ἐπεὶ αὐθαιρέτῳ κρίσει πράξειν ἔμελλον, ἃ μὴ ὄφελον, τὸ ἀλάθητον καὶ πενεπίσκοπον ὄμμα τοῦ Θεοῦ λαθεῖν οὐκ ἔσχον τὸ δύνασθαι. Διὰ τοῦτο τοιγαροῦν καὶ ὁ μακάριος Πέτρος, οὐχ ὅτι προεῖπεν ὁ Δεσπότης, ἠρνήσατο, ἀλλ' ὅτι προσολισθαίνειν τῇ ἀρνήσει ἔμελλε, καὶ προγινώσκεται τῷ Διδασκάλῳ καὶ προανακηρύττεται.

ΕΠΙΣΤΟΛΗ ΚΓ'.—23.

Θεοδώρῳ Μητροπολίτῃ Λαοδικείας.[5]

(Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.—Ματθ. Ε'. 28.)

Πολλὰ μὲν εἰπεῖν ἔχων, δι' ὧν ἔστι[6] σαφῶς ἐπιγνῶναι, ὡς οὐχὶ βαρὺς οὐδὲ ἀδύνατος, ἀλλὰ καὶ κοῦφος καὶ χρηστὸς ὁ Δεσποτικὸς ἐκεῖνος χρησμός, ὁ λέγων, "πᾶς ὁ βλέ-

---

[1] Οὕτως ἐξ Οἰκον. ἀντὶ—οὐχ ὅτι καὶ—παρὰ τοῖς ἄλλοις.

[2] Παρ' Οἰκον.—συναπερῥώγεσαν.

[3] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—ἐπιβλαβῇ— παρὰ τοῖς ἄλλοις.

[4] Παρ' Οἰκον. ἄνευ τοῦ ἆ ρ α καὶ τοῦ ἐρωτηματικοῦ—οὐδ' ἡ πρόῤῥησις ἔνοχος.

[5] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΙΖ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΚ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΛΘ'.

[6] Παρ' Οἰκον.—ἔστι σοι.

Digitized by Google

πων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς,[1] ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ," ἐκεῖνα τέως κατ' ἐπιστολὴν ἐρῶ. Ὅτι πρῶτον χρεωστοῦμεν οἱ τῆς χάριτος πλέον τι τῶν ἐν νόμῳ βεβιωκότων κατορθοῦν, καὶ οὐχ ὁμοίως πέφυκεν ἑκατέρῳ[2] μέρει βαρεῖα[3] τῆς νομοθεσίας ἡ ἀκρίβεια· ἀλλὰ τὸ ἐκείνοις ἴσως δόξαν βαρύ, ἡμῖν σύμμετρον καὶ ἐλαφρόν· καὶ τὸ ἡμῖν τοιοῦτον, ἐκείνοις οὐ τοιοῦτον. Τοῖς μὲν γὰρ μόνον ἀπέτρεπεν ὁ νόμος, ἃ μὴ θέμις ποιεῖν, δύναμιν δὲ οὐδεμίαν ἐχαρίζετο πρὸς τὴν τῶν νομοθετηθέντων ἐκπλήρωσιν· ἡμῖν δὲ μεγάλη γέγονεν ἡ διὰ τοῦ βαπτίσματος καὶ τῶν ἄλλων δωρεῶν[4] ἐπικουρία, κουφίζουσα σχεδὸν ἅπαν τὸ δυσχερές, καὶ τῶν πονηρῶν πνευμάτων τὴν ὁρμὴν οὐκ ἐῶσα τυραννίδι καθ' ἡμῶν ἐπιτίθεσθαι, μόνῃ δὲ τῇ ἡμετέρᾳ ῥᾳστώνῃ, καὶ οἷον ὑποκατακλίσει, παραχωροῦσα αὐτοῖς τὴν ἐπίθεσιν. Ὥστε, εἰ μή τι ἀκριβέστερον ἡμῖν, ἥπερ ἐκείνοις, νενομοθέτητο,[5] εἰς τοὐναντίον ἂν ἡ τοῦ Θεοῦ δικαιοσύνη καὶ χρηστότης περιέστραπτο, ἡμῶν τε τῶν μεγίστης ἐπικουρίας τυχόντων, κἀκείνων τῶν μηδεμιᾶς τοιαύτης ἀπολελαυκότων, τὴν αὐτὴν ἀκρίβειαν καὶ τὸ τῆς πολιτείας παραπλήσιον ἀπαιτουμένων, καὶ ἐν τῷ ἀνίσῳ τῆς δυνάμεως τῆς ἴσης ἐπιζητουμένης πράξεως. Ὥσπερ γὰρ ἄδικόν τε ὁμοῦ καὶ βαρύτατον τὸν δύο τάλαντα εἰληφότα[6] ἐπὶ τῇ συντελείᾳ τῆς ἐργασίας δέκα ἀπαιτεῖν, οὕτως ὀλίγωρον καὶ ἐκ τοῦ ἐναντίου παράνομον τὸν πέντε τάλαντα λαβόντα εἰς τέσσαρα τὴν ὅλην πρᾶξιν συγκεφαλαιωσάμενον ἀποδέχεσθαι· ἀλλ' ἕκαστον δεῖ ἀναλόγως τῇ ἰσχύϊ καὶ τῷ καταβληθέντι χαρίσματι τὴν ἐργασίαν εἰσπράττεσθαι· τοιοῦτος γὰρ τῆς ἰσότητος καὶ τῆς ἀδεκάστου γνώμης καὶ κρίσεως ὁ θεσμός. Δῆλον τοιγαροῦν ἐκ τῶν εἰρημένων, ὡς τοιοῦτον παρ' ἡμῖν ὀφείλει νομίζεσθαι τὸ μηδὲ[7] ἐμβλέψαι γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, οἷον παρὰ τοῖς ἐν τῷ νόμῳ τὸ μὴ μοιχεῦσαι. Καὶ οὐχὶ τῶν λόγων μόνων[8] τὸ ἀψευδὲς καὶ ἀκόλουθον ἐπιμαρτύρεται τοῦτο, ἀλλὰ καὶ διὰ τῶν ἔργων αὐτῶν ἐναργῶς ὁρᾶται· οὐ πλείους γὰρ ἔστιν ἰδεῖν τῶν Μωσαϊκῶν τὴν πρᾶξιν πεφευγότας, ἢ τοὺς ἐν τῇ χάριτι καὶ τῶν πρὸς τὴν πρᾶξιν ὠθούντων ἀνακεχωρηκότας· ὅπου γε πλεῖστοι ὅσοι τῶν παρ' ἡμῖν οὐ μόνον περιέργους καὶ ἐρωτιῶντας ὀφθαλμοὺς ξένοις κάλλεσιν οὐκ ἐπέβαλον, ἀλλ' οὐδὲ εἰς ὄψιν ἁπλῶς γυναικὸς ἐνητένισαν, μέχρι ψιλῆς θέας ἑαυτοῖς τὸ σεμνὸν συντηρήσαντες.

---

[1] Οὕτως Οἰκονόμος διωρθώσατο ἐκ τοῦ Ματθ. (Ε', 28)· οἱ δ' ἄλλοι πάντες κατ' αἰτιατικὴν ἔγραψαν— αὐτήν. Οὐ μέντοι σπανίως ἐν ταῖς Γραφαῖς τὸ ἐπιθυμῶ αἰτιατικῇ συντεταγμένον εὕρηται. Οὕτως ἐν Ἡσαΐᾳ (ΜΓ, 24) "οὐδὲ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα." γνωστὸν δὲ καὶ τό "οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου κ.τ.λ." ἐξυπονοουμένου (ἔμοιγε δοκεῖν) τοῦ ἀπαρεμφ. ἔχειν, λαβεῖν, ἢ ἄλλου τινὸς τοιούτου.

[2] Παρ' Οἰκον.—ἐν ἑκατέρῳ.

[3] Ἐκ διορθ. Οἰκον. ἀντὶ—βαρύς.

[4] Παρ' Οἰκον.—τῶν δωρεῶν.

[5] Περιττὴ πάντως ἡ Μοντακ. διόρθωσις—ἐνενομοθέτητο· Ἀττικὸν γὰρ τοῦ πολυσυλλάβου Ὑπερσυντελ. τὸ ἀναύξητον ἐν τῷ γ' προσώπῳ.

[6] Παρ' Οἰκον.—λαβόντα.

[7] Παρ' Οἰκον.—μή.

[8] Παρ' Οἰκον.—καὶ οὐχὶ μόνον τῶν λόγων.

Digitized by Google

Δεύτερον δέ, ὅτι τοῖς μὲν ὑπὸ τῷ νόμῳ παιδαγωγουμένοις, τὰ προστεταγμένα κατορθοῦσι, τὰ ἀγαθὰ τῆς γῆς ἆθλον προὐτείνετο· ἡμῖν δὲ βασιλεία οὐρανῶν, καὶ ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀναβέβηκεν.[1] Ὥστε καὶ ἐκ τῆς τῶν ἐπάθλων διαφορᾶς τὸ ῥᾷστον καὶ χρηστὸν τῆς Εὐαγγελικῆς ἐντολῆς ἐπιδείκνυται. Οὐ γὰρ ὁμοίως ἐπίπονον δραμόντα στάδιον τυχεῖν κοτίνου, καὶ δύο στάδια χρυσοῦ στεφάνου ἀξιωθῆναι· δῆλον γὰρ ὡς κουφότερος ὁ τῶν δύο σταδίων πόνος, ἢ ὁ τοῦ ἑνός, τῇ ἀσυγκρίτῳ τοῦ ἐπάθλου ὑπεροχῇ καὶ λαμπρότητι τῆς ταλαιπωρίας κουφιζομένης, καὶ μηδ' αἴσθησιν ἐπιγίνεσθαι συγχωροῦντος τῆς διπλῆς συντριβῆς καὶ τῶν διπλῶν ἱδρώτων τῷ κάμνοντι. Ἐπὶ τούτοις δὲ οὐδὲ μοιχείαν ἁπλῶς τὴν τοιαύτην διὰ τῶν ὀφθαλμῶν συμπλοκὴν διωρίσατο· ἀλλὰ μοιχείαν εἰπὼν ἐν καρδίᾳ, καὶ τὸ δοκοῦν σφοδρὸν τῆς ἀποφάσεως καὶ ἀπότομον νόμῳ συμπαθείας ἀφάτου ἐκόλασεν. Ἐν καρδίᾳ, φησίν, ἡ μοιχεία συνέστη,[2] ἦν ὁ διὰ τῶν ὀμμάτων οἶστρος καὶ γαργαλισμὸς κατειργάσατο· ὅπως ἄν τις φιλανθρωπότερον ἢ οὕτως εἴποι;[3] Ἐῤῥίψας ὄμμα πορνικὸν ἐπὶ πρόσωπον γυναικὸς ἀλλοτρίας· ἐνετρύφησας, οὐκ ἐξόν, ἀσελγεῖ καὶ ξένῳ θεάματι· βλέμμασιν ὑγροτέροις τὸν ἰὸν τοῦ πάθους ψυχαῖς ἐνέσταξας ἁπαλωτέραις· ἀνῆψας ἐκεῖθεν σφοδροτέραν λοιπὸν καὶ ἀκάθεκτον ἐν τοῖς λογισμοῖς τὴν φλόγα· μέχρι καρδίας ἡ πύρωσις διῆλθεν· εὐκαιρία μόνη πρὸς τὴν πρᾶξιν λείπει· πῶς οὐκ ἐμοίχευσας ἐν καρδίᾳ; Ἀλλ' εἶπε μὲν ἴσως ἄλλος ἄν τις, ὡς καὶ μοιχείαν τελείαν εἰργάσω, ἂν εἰς τὴν ἑαυτοῦ[4] σε μάλιστα συνήσθετο τοῦτο δεδρακότα· φιλεῖ γὰρ ἕκαστος, ὥσπερ ὅσα μὲν αὐτὸς εἰς ἄλλους ἥμαρτε μέτρια ποιεῖν καὶ βραδύτερον ἐπισκοπεῖν, οὕτως ὀξύτερον τὸ εἰς ἑαυτὸν ἀδίκημα βλέπειν, καὶ τότε γενέσθαι[5] τοῦ ἀκροδικαίου. Ἐπέβαλες ὀφθαλμοὺς ὄψεσιν ἀλλοτρίαις, πορνικὰς δι' αὐτῶν ἐκπέμπων ἀκτῖνας· ἀνταπεκλάσθησάν σοι πάλιν ἐκεῖθεν μιαρώτεραι βολίδες· ὅλον ἐκ μέσης δεσμήσας καρδίας αἰχμάλωτον ἕλκεις τὸ ζῶον, τοῖς αὐτοῖς ἀνθελκόμενος βρόχοις· ἐτρώθης, ἔτρωσας· κατεβλήθης, κατέβαλες· πῶς οὐχὶ σαφὴς τοῦτο μοιχεία; Ἀλλ' οὐχ ὁ φιλάνθρωπος ἡμῶν Θεὸς οὕτως· ἀλλὰ μέχρι καρδίας, ἐν ᾗ καὶ τὸ πάθος ὑπέστη, περιγράφει τὴν ἁμαρτίαν· "Ἐμοίχευσας γάρ, φησίν, ἐν καρδίᾳ." Ὁρᾷς, ὅπως χρηστῶς, ὅπως κούφως πάντα γνωματεύει; ὅπως ἡμῶν φείδεται; Πρὸς δὲ τοῖς εἰρημένοις κἀκεῖνο

---

[1] *Α' πρὸς Κορινθ. Β', 9.*

[2] *Παρ' Οἰκον. τὸ—συνέστη—ἐν τέλει τῆς προτάσεως μετὰ τὸ "κατειργάσατο" τέθειται.*

[3] *Παρ' Οἰκον. μὲν τοῦτο ἄνευ τοῦ ἐρωτηματικοῦ γέγραπται· παρὰ δὲ Μοντακ. καὶ Μιγνίῳ ἐρωτηματικῶς, ὡς ἐν τῷ κειμένῳ· ἀλλ' ἔμοιγε δοκεῖ γραπτέον εἶναι κατ' ἐρώτησιν εὐθεῖαν· "πῶς ἄν τις φιλανθρωπότερον ἢ οὕτως εἴποι;" Οὕτω καὶ εὐθὺς παρακατιὼν μετὰ τὸ ἐν ἀσυνδέτῳ σχήματι—"ἐῤῥίψας ὄμμα . . . ἐνετρύφησας . . . ἐνέσταξας . . . ἀνῆψας κ.τ.λ" ἐπάγει τὴν ἐρώτησιν· "πῶς οὐκ ἐμοίχευσας ἐν καρδίᾳ;" καὶ αὖθις κατωτέρω· "ἐτρώθης, ἔτρωσας· κατεβλήθης, κατέβαλες· πῶς οὐχί σαφὴς τοῦτο μοιχεία;"*

[4] *Ἐννοητ.—γυναῖκα (σημ. Οἰκον.)· περὶ δὲ τοῦ ὑποθετ. ἂν πρὸς παρῳχημένον Ὁριστικῆς ἔπιθι τὰ ἐν τοῖς ἔμπροσθεν (Ἐπιστ. Α', § ά) σημειωθέντα.*

[5] *Παρ' Οἰκον.—ἐγγίνεσθαι· ὀρθῶς δὲ εἰκάζει γραπτέον εἶναι "γίνεσθαι," ὡς καὶ ἐν τῷ Βατικανῷ ἀλλαχοῦ γέγραπται, ἐν ᾧ καὶ "ἄκρου δικαίου" ἀντὶ "ἀκροδικαίου."*

Digitized by Google

λογίζου· ὅτι οὐχὶ τιμωρίαν ἡμῖν ἐπινοῶν, ἀλλὰ τιμωριῶν ἐξαιρούμενος, ταύτην ἀνεῖπε τὴν γνώμην· ὁ γὰρ τοῖς τοιούτοις ἐμφιλοχωρῶν ἀτόποις θεάμασιν ἐγγύς ἐστι καὶ πρὸς αὐτὴν τὴν πρᾶξιν ὅλως[1] βαπτισθῆναι. Ἵνα οὖν ἡμᾶς ἐξέληται τοῦ κολασθῆναι, προαναστελλει τὰς αἰτίας τῶν ἐφ' οἷς εἰσπραττόμεθα τὰς τιμωρίας.

Ἴδοις δ' ἄν, μᾶλλον ἐπισκοπούμενος, ὡς οὐχὶ ποινὴν ἀδυσώπητον, οὐδὲ τιμωρίαν ἀλογοθέτητον, ψυχαγωγίαν δὲ μᾶλλον φιλάνθρωπον, καὶ χειραγωγίαν σωτήριον διὰ ταύτης ἡμῖν τῆς ἐντολῆς μεθοδεύει. Πῶς; ἐπεὶ γάρ, οἷα πολλὰ τὰ ἀνθρώπινα, καὶ χωρὶς μελέτης καὶ περιεργίας εἰς ἀτόπους ἐκφερόμεθα πράξεις, ἵνα, ἐπειδὰν μηδὲν προμεμελετηκότες, μηδὲ τοῖς λογισμοῖς τὸ πάθος στηλώσαντες, κατά τινα δὲ βίαν, ἢ συναρπαγήν, ἢ δόλον, εἰς τοιαύτην παρολισθήσωμεν[2] πρᾶξιν, τηνικαῦτα μὴ καταπέσωμεν παντελῶς, μηδ' εἰς ἀπόγνωσιν ἑαυτοὺς ἀπορρίψωμεν, ἀλλ' ἐννοοῦντες, ὅτι μήτε μελέτης, μήτε σπουδῆς, μήτε λογισμῶν συγκαταθέσεως προηγησαμένης, τῷ πτώματι παρεσύρημεν, θᾶττόν τε αὐτοὺς ἐκεῖθεν ἀναστήσωμεν, καὶ πρὸς μετάνοιαν δράμωμεν, μεγάλην ἐφευρηκότες ἀφορμὴν συγγνώμης τὸ μὴ μετὰ γνώμης πεσεῖν· ἵνα οὖν τούτοις τοῖς λογισμοῖς, ἐπειδὰν ἐξ ἐπιδρομῆς, ἢ τέχνης τινὸς διαβολικῆς,[3] ἢ καὶ τυραννίδος ἁλῶμεν, ψυχαγωγεῖν ἔχωμεν ἑαυτούς, καὶ προθυμότερον πρὸς τὴν διόρθωσιν εὐθυδρομῶμεν, ταύτην ὁ Σωτὴρ ἀπεφήνατο τὴν γνώμην, ἐν τῇ τῶν χειρόνων αἱρέσει, καὶ τῶν λογισμῶν τῇ συγκαταθέσει, ἀλλ' οὐκ ἐν τῇ πράξει μόνῃ τὸ τῆς ἁμαρτίας περιστήσας.[4] Τοῦτο δὲ οὐ βαρύνοντός ἐστι δίχα λόγου τὸ συνειδὸς τῶν ἁμαρτανόντων, ἀλλὰ βεβαρυμένην τῶν οὐκ ἐκ μελέτης ἁλόντων ἀνακουφίζοντος τὴν συνείδησιν, καὶ παρηγοροῦντος. Ὥσπερ γὰρ τοῖς δι' ἐκείνων προελθοῦσι τῶν ἐρεθισμάτων μέγα καὶ δύσοιστον τὸ κατάκριμα (τί γὰρ ἐμελέτας; τί δ' ἀνηρέθιζες τὰ πάθη, καὶ τῆς φαύλης αἱρέσεως ὅλον σεαυτὸν ἐποίεις, ἑκὼν ἀποστὰς τῶν κρειττόνων, καίτοι τὸ θέλειν τὰ ἀμείνω ῥᾷον; παράκειται γὰρ καὶ ἐν ἑτοίμῳ πᾶσιν, ὡς καὶ Παῦλος βοᾷ,[5] τὸ τὰ ἀγαθὰ θέλειν, καὶ οὐδὲν ἐργῶδες μισεῖν τἀναντία)· ἀλλὰ γάρ, ὥσπερ τοῖς τοιούτοις τὸ τῆς κατακρίσεως χαλεπόν, οὕτω τοῖς μὴ διὰ τῶν ὁμοίων παρενεχθεῖσι προφθάνει τῆς τιμωρίας ἡ φιλανθρωπία, ἐν τῇ ταχινῇ[6] μεταμελείᾳ ῥᾳδίαν τὴν συγγνώμην καὶ τὴν ἀθώωσιν χαριζομένη.

Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. Σὺ δέ μοι καὶ πράξεις ἀτόπους ἐκτρέπου, καὶ εἴδωλα τοῖς λογισμοῖς διὰ περιέργου καὶ ἐμπαθοῦς ὄψεως ἀνιστᾷν ἀπέχου, ἵνα σοι καὶ τοῖς τοιούτοις λόγοις ἐντρυφᾷν, ἀλλὰ μὴ δυσχεραίνειν, περιγίνοιτο.[7]

---

[1] Παρ' Οἰκον.—ὅλος.

[2] Ἡμάρτηται πάντως τὸ παρὰ Μοντακ.—παραλογισθήσωμεν.

[3] Ἐλλείπει παρ' Οἰκον. τὸ ἐπίθετον—διαβολικῆς.

[4] Παρ' Οἰκον.—παραστήσας· ἀλλ' ἄμεινον τὸ παρὰ Μοντακ.—περιστήσας=περιορίσας.

[5] Πρὸς Ῥωμ. Ζ', 18.

[6] Ἴδε ἐν τοῖς ἔμπροσθεν (Ἐπιστ. ΣΤ', § ιζ') τὰ περὶ τοῦ ἐπιθέτου τούτου σημειωθέντα.

[7] Παρ' Οἰκον.—περιγίνηται

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΚΔ.—24.

Πρὸς τὸν Μητροπολίτην Νικομηδείας.[1]

(Περὶ τοῦ ἐπὶ τῷ ἀδίκῳ ἀποκλεισμοῦ τοῦ ἐπισκόπου ἀπὸ τῆς ἐκκλησίας.—Ἰδίαν πρὸς Ρωμ. θ', 3.)

Τὸν ἐπὶ δικαίοις πρεσβεύσαντα τῆς ἐκείνου Θεοῦ, οὐ θάνατος ἀπειλούμενος, οὐ ζωῆς ἐπαγγελία, οὐ τὰ μέλλοντα κτήματα, οὐ τὰ ἐντεῦθεν τῶν αὐτὸν ἐκουσίως ἀφίσταται, καὶ τοῦτο ἐπὶ τῷ ἐκεῖ τιμᾶσθαι μαρτυρίῳ· καὶ οὐ μόνον τὸν χωρισμὸν ὑπομένει, ἀλλὰ καὶ ἐπάρατος ἐκ στόματος γενήσεται Χριστοῦ· "Ἠυχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου τῶν κατὰ σάρκα." Οὕτω μὲν ἐν τοῖς τῶν ἀγίων ἐπαίνοις ἐκεῖνος ἔχει. Τί οὖν; τῶν συμβήσεται τὰ ἀσύμβατα; ἢ τοῦτον μὲν ἀδικεῖν ὑπολαμβάνειν ἔστι· ταῦτα μαχόμενα (οὐ γὰρ ἐναντίον ἀδικεῖσθαι τοῦ Χριστοῦ καὶ τὴν ἐκείνου τοῦτον τὸν πλησίον, ὥστε καὶ τῆς ἰδίας ὠφελείας ἐν τιμῇ ἔχοντα τὴν ἐκείνου τοιαύτην)· μᾶλλον δὲ καὶ συνάδει ταῦτα πρὸς ἄλληλα. Ὁ γὰρ ἐκείνου τὴν ἐντολὴν τηρῶν Δεσποτικήν, τὸ πρὸς τὸν Δεσπότην φιλεῖν καθαρὸν ἐν ἑαυτῷ διασῴζει. "Ἐν τούτῳ γὰρ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε" καὶ πάλιν· "Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ Νόμος καὶ οἱ Προφῆται κρέμανται"· κεφάλαιον γάρ ἐστι καὶ σύνδεσμος καὶ ῥίζα τῶν ἄλλων ἁπάντων ἐκείνων τε τοῦ Θεοῦ ἀγάπη καὶ ἡ τοῦ πλησίον.

Νῦν μὲν οὖν ἐπιτρέπει τοῖς τοιούτοις καὶ τοὺς συγγενεῖς, εὔχεται δὲ Θεοῦ χωρισθῆναι τοὺς τοιούτους ὁ δὲ Χριστὸς ἔφη· "Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος"· ἀλλὰ γὰρ τοῦτο φιλεῖν ὑπὲρ τὸν Χριστόν; Εἰ μὲν οὖν ἐκεῖνος ὁ Παῦλος ἀντέγραψεν, εἶχεν ἂν ὁ λόγος τὸ ἰσχυρόν· εἰ δ' ἵνα γένωνται Χριστοῦ, νῦν ἐχθροὺς ἵστησι τοὺς συγγενεῖς προτετίμηται τοῦ Δημιουργοῦ. Τί γὰρ καὶ δεῖ τοὺς φιλεῖν ἐκείνους, ἢ τὸ ὑπερτίθεσθαι αὐτοὺς καὶ προσοικειοῦσθαι τῷ κοινῷ Δεσπότῃ; Πῶς μὲν οὖν φιλεῖ ἐκείνους ὑπὲρ τὸν Χριστόν, ὅπου γε καὶ αὐτοὺς εἰς τὴν [illegible] καὶ ἀγάπην εἶλκε τὴν αὐτοῦ; Μᾶλλον δὲ ἀδεκάστῳ κρίσει τις ἐπισκοπῶν, [illegible] ἂν καταφρονοῖτο τοιοῦτος τὸν ἀναφλεγόμενον ἀεὶ τοῦ θείου ἔρωτος ἐν Παύλῳ πυρσόν·

---

[1] Αὐτὸς καὶ ὁ Χαλκηδόνος κατὰ μὲν τὴν Οἰκουμ. ἔκδ. Ζήτ. ΡΚΓ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΙΒ', ὡς καὶ ἡ Κανονικὴ συλλογὴ Ἀντιοχ. ΣΙΣΤ.

[illegible] καὶ ἀκόλουθα Ἴδε τὰ περὶ τούτου σημειωθέντα ἐν Ἐπιστ. Γ', § ή.

[illegible] καὶ ἀντίγραφα

[illegible]

Γ', ΚΔ.

ΚΒ', 40.

[illegible] θείου

Γ, ΚΒ.

Digitized by Google

οὐ γὰρ ἠρκεῖτο ἑαυτὸν μόνον προσάγων, ἀλλὰ καὶ ἑτέρους, οὐ γλώσσῃ μόνον καὶ χειρὶ σημαίνων, ἀλλὰ καὶ βίῳ, καὶ τρόποις ἅπασι, καὶ μεθόδῳ πάσῃ ἔσπευδε συνεισενεγκεῖν. Καλῶς, φησίν, εἰ μὴ ἐχώριζεν ἑαυτὸν τοῦ Χριστοῦ· τὸ μὲν γὰρ θέλειν ἑτέρους προσενεχθῆναι οὐκ ἔστιν ἐπιτιμᾷν· τὸ δὲ χωρίζειν ἑαυτόν, ᾧ τινι προσῆγεν ἄλλους, οὐκ ἔστι μὴ ἐπιτιμᾷν. Τί οὖν φαμεν; ἢ ὡς οὔμενουν, οὐκ ἐχώριζεν· οὐδὲ γὰρ εἶπεν, "εὔχομαι χωρισθῆναι," ἀλλ' "ηὐχόμην ἄν" τοῦτ' ἔστιν, εἰ δυνατὸν ἦν, εἰ συνέβαινε θείῳ πόθῳ πόθον ἔνθεον ἐκνικηθῆναι, εἰ ἔρως θεσπρεπὴς θεσπέσιον ἔρωτα παρηυδοκίμει, καὶ τοῦτον ἂν ὑπελθεῖν ἠγωνισάμην. Πάντα μὲν γὰρ ἐπράττετο Παύλῳ, ἵνα πάντας Χριστῷ οἰκειώσῃ, μάλιστα δὲ Ἰουδαίους· οὗτοι γὰρ καὶ συγγενεῖς, καὶ νόμοις ἡγμένοι, καὶ πρὸς οὓς αἱ ἐπαγγελίαι[1] ἄνωθεν καὶ ἐκ πατέρων, ἀλλὰ καὶ τῶν ἄλλων πλέον τῷ κηρύγματι ἀνθεστηκότες. Δι' ὃ καὶ ὁ περὶ αὐτοὺς ἀγὼν καὶ ἡ σπουδὴ καὶ ὁ πόνος μᾶλλον διὰ τοῦτο, ἵνα μὴ δόξῃ ὁ νόμος οὐδὲν τῇ χάριτι συνεισενεγκεῖν, καὶ τὰς ἐκεῖθεν παιδαγωγηθείσας ψυχὰς οὐδὲν ἐπιτηδειοτέρας παρασκευάσαι·[2] ἵνα μὴ ψευδεῖς, εἰ[3] καὶ μάτην, αἱ πρὸς τοὺς πατέρας ἐπαγγελίαι νομισθῶσιν· ἵνα μὴ Χριστός, ὑφ' ὧν ἔδει μᾶλλον προσκυνεῖσθαι, μᾶλλον βλασφημῆται· ἵνα μὴ καὶ τῆς ἔγγιστα συγγενείας εἰς τὸν κοινὸν Δεσπότην ἐμπαροινούσης, μέρει τινὶ τοῦ προσεχοῦς αἵματος, καὶ τότε[4] μεγίστῳ, δόξῃ καὶ αὐτὸς ἐμπαροινεῖν. Τοιαύτη γὰρ ἦν ἡ Παύλου ψυχή· διὰ πάντων ἤθελεν ὁλοτελῆ τὴν δόξαν καὶ τὴν λατρείαν προσάγεσθαι Θεῷ, δι' ἑαυτοῦ, διὰ τῶν ἐκ γένους, διὰ τῶν ἐθνῶν· οὐδενὶ μέρει ἐλλιπῆ παραστῆσαι τὴν τῆς ἀποστολῆς αὐτοῦ διακονίαν ἠνείχετο· μάλιστα δ' αὐτὸν ἡ τῶν συγγενῶν ἠνία ἀπιστία, καὶ τούτων πέρι ἐκαίετο· καὶ τοῦτο παριστάνων ἔλεγεν, "Ηὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι·" οὕτω με (φησίν) εἰπεῖν τοῦ πόθου τὸ κέντρον συνελαύνει· οὕτως ἡ τῆς στοργῆς φλὸξ τὰ σπλάγχνα ἐπιβοσκομένη βιάζεται ἀνακράζειν· οὕτως ὁ πρὸς Χριστὸν ἔρως, καὶ τὸ σπεύδειν αὐτῷ πάντας ἱερῶσαι, φρονεῖν ἀναπείθει. Ηὐχόμην ἄν, εἰ ἐνεδέχετο, εἰ ἐνεχώρει, εἴ τις ἦν ἀπόστασις σωτήριος, Θεοῦ χαριζομένη συνάφειαν, εἴ τις χωρισμὸς συνδέων σφοδρότερον, εἴ τις ἀλλοτρίωσις οἰκειοῦσα τελειότερον· οὐδὲ γὰρ οὐδὲ τοῦτον τῆς Χριστοῦ δόξης, καὶ τῆς τῶν ὁμοφύλων σωτηρίας, οὔμενουν, οὐκ ἄν γε παρῆλθον τὸν τρόπον. Ἐπειδὴ γὰρ ἐκ τῶν ὄντων ἁπάντων τὴν εἰς Χριστὸν ἀγάπην ἐπεδείξατο, "Πέπεισμαι, λέγων (καὶ τοῖς λόγοις διὰ τῶν ἔργων[5] τὴν πίστιν ἐπάγων), ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἀρχαί, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μελλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε κτίσις τις[6] ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν"[7] ἐπεὶ οὖν σύμπαντα

---

[1] Παρ' Οἰκον.—καὶ ἐπαγγελίαι.

[2] Παρ' Οἰκον.—κατασκευάσαι.

[3] Παρ' Οἰκον.—ἤ.

[4] Καὶ πάλιν, ὡς καὶ πρὸ μικροῦ, ἀντὶ—καὶ ταῦτα=καὶ μάλιστα.

[5] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ Μοντακ.—καὶ διὰ τῶν ἔργων.

[6] Παρ' Οἰκον.—οὔτε τις κτίσις;—συνῳδὰ τῷ τῆς Γραφῆς κειμένῳ.

[7] Πρὸς Ῥωμ. Η', 38 καὶ 39.

Digitized by Google

[illegible] οὕτω δὲ τὸν τοῦ πόθου ἔστησε [illegible] γεραιτάτων, εἰς ὑπόθεσιν δὲ παρα- [illegible] ἐλαττοῦσθαι τοῦ χρέους, [illegible] μονονουχὶ λέγων, ὡς "καὶ [illegible] κατεθέμην ἄν, εἰ Χριστὸς πλέον [illegible] ἐπιστρέφων διεσώζετο." Τὸ δὲ [illegible] οὔτε διάστασις, ἕνωσις [illegible] συνάφεια, καὶ τοῦ πρὸς Θεὸν [illegible] τάσις, καὶ μόνης ὡς ἀληθῶς τῆς [illegible] γνώρισμα. Ἀλλ' ἡ μὲν [illegible] τῆς Ἀποστολικῆς ἐκείνου γνώμης [illegible].

[illegible] ἀλλ' ἐπεὶ ὅτε πολυστέλεχοί τε καὶ [illegible] ὡραῖοι καρποὶ ἀναφύονται, [illegible] ἄλλο ἄξιον. Ὁρῶμεν [illegible] κεχωρίσθαι θέλειν ὑπὲρ τῶν [illegible] τοῦτο γὰρ ἴσως καὶ φοβερώτερον)· [illegible] ἀλλ' ηὐχόμην εἶναι, ὅπερ ἴσον [illegible] τοῦ Χριστοῦ σπέρματι προσδεδραμηκότων ὑμῶν, [illegible] τοῦ σωτηρίου γεωμέτρου προθύροις, καὶ τῇ σκιᾷ [illegible] τῇ τίστει δρόμον, ὑμᾶς οὕτως ὁρᾷν [illegible] Καὶ γὰρ ἐκεῖνος μὲν ἐμβραδύνων [illegible] καὶ πολλῶν προκατειληφότων, τί δεῖ λέγειν [illegible] ἀλλὰ μὴ παρρησιασάμενον τὴν ἀλήθειαν, ὅτι [illegible] ἀλλ' ἐκείνῳ μὲν ἡ βραδύτης εἰς οὐδὲν [illegible] τῶν οὕτω κακῶς ἐπὶ τῇ πίστει διακειμένων [illegible] συνεργάσωνται. [illegible] ἐντὸς γενέσθαι τῆς σωτηρίας.

[illegible] τοῦ Γραφῆ, καὶ ἀντὶ κακώσεως καὶ τιμωρίας [illegible] συνήσεις, ὅτι τὰ τῶν κακούργων [illegible] τοὺς συγγενεῖς διὰ τῶν τοιούτων ῥημάτων [illegible] καὶ ἀπὸ Χριστοῦ δικάζοντος (τοῦτο γὰρ ἂν εἴη

[illegible] ἄμεινον δὲ—συνεκκαρπωσώμεθα.

[illegible] ὑπὲρ ὧν Ἀποστόλων" (*Β' πρὸς Κορινθ. ΙΑ', 5*).

[illegible] καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν [illegible] ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί" (*Α'. πρὸς Κορινθ. ΙΕ', 10*).

[illegible]—αὐτός.

Digitized by Google

τὸ " ἀπὸ Χριστοῦ "), καὶ τὴν τιμωρὸν ἀφιέντος ψῆφον. Τοῦτο δὲ μέγα μὲν καὶ θαυμάσιον (πῶς γὰρ οὔ;), οὐδεμίαν δὲ τοῦ πρὸς Χριστὸν πόθου ἢ τῆς συναφείας διάστασιν συνεισάγει, οὐδέ τινα πάροδον ταῖς ἄνωθεν ἀφίησιν ἀπορίαις· οὐδὲ γὰρ οὐδὲ τὸ βούλεσθαί τινα ὑπὲρ τῆς ἑτέρων σωτηρίας τὰ ἔσχατα τῷ σώματι πάσχειν, καὶ ἄνωθεν ἕλκειν τὴν κρίσιν,[1] ἐλάττωσίν τινα τῆς θείας στοργῆς, ἵνα μὴ λέγω μάλιστα ὡς καὶ συναύξησιν, εἰσάγει. Ἐδίδου τοίνυν ἑαυτὸν ὁ θεῖος Παῦλος, καὶ ηὔχετο πικραῖς ὑπελθεῖν καὶ βαρείαις τιμωρίαις,[2] εἰ μόνον τοὺς ὁμοφύλους ἴδοι τὸν κατὰ Χριστοῦ φθόνον καὶ πόλεμον καταθεμένους, καὶ τὸ βαρὺ τοῦ νόμου καὶ παλαιὸν ἄχθος ἀποσεισαμένους, ὑπὸ τὸν χρηστὸν τῆς χάριτος καὶ ἐλαφρὸν ζυγὸν γεγενημένους.[3]

Ὑπόλοιπον δὲ τῶν εἰρημένων ἔστιν ἰδεῖν, ὡς εἴ τις καὶ μηδὲν ἔξωθεν τῶν γεγραμμένων ἐπιλογιζόμενος, αὐτὰ δὲ καθ' ἑαυτὰ καὶ χωρίς τινος περινοίας μετερχόμενος, ἀδεκάστῳ κρίσει καὶ πνευματικαῖς (κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν τὸν θεσπέσιον) ἀνακρίσεσι[4] τὴν περὶ αὐτῶν ἐπιτρέψοι ψῆφον, οὐδ' οὕτως οὐδὲν δυσχερὲς ἢ τῶν ἀπόρων ἐπόψεται. Ἵνα γὰρ τὴν τοῦ Πατριάρχου θαυμασίαν ἐάσω Ῥεβέκκαν, φοβερὰν ἀρὰν ἐφ' ἑαυτὴν ἕλκουσαν, ὡς ἂν τὸν παῖδα πείσῃ πατρικῆς εὐλογίας τέχνῃ τὸν κλῆρον ἰδιώσασθαι,[5] ἀλλ' ὅ γε Μωσῆς ὁ θεόπτης τὰ αὐτὰ ὑπὲρ Ἰουδαίων μικροῦ καὶ λέξεσι προαναφθεγξάμενος, πῶς οὐκ ἀντὶ πάντων ἀρκέσει τὰς ἐπιφερομένας ἀπορίας τῶν τοῦ Ἀποστόλου ῥημάτων προδιαλύσασθαι; Τί γάρ φησιν; " Εἰ μὲν ἀφεῖς αὐτοῖς, ἄφες· εἰ δὲ μή, ἐξάλειψον κἀμέ· "[6] ἀλλὰ πόθεν; ὄντως συγγενὴς ἦν ἡ Μωσέως ψυχὴ τῆς Παύλου ψυχῆς· " ἐκ τῆς βίβλου γάρ φησι τῆς ζωῆς." Τοῦτο δὲ τί ἐστιν ἄλλο παρὰ τὸ λέγειν, ὡς, ἂν μὴ τοῖς ἐκ γένους καταλλαγῇς,[7] καὶ σαυτῷ συνάψῃς αὐτούς (ὦ γνώμης ἄκρατον τὴν τῶν ἐξ αἵματος πρόνοιαν μεθυούσης!), χώρισον κἀμὲ ἀπὸ σοῦ. Εὔδηλον γάρ, ὡς ὁ ἐκεῖθεν ἀπαλειφόμενος τὸν χωρισμὸν συγκαταδικάζεται τοῦ Θεοῦ· καὶ οὐδὲν διενήνοχεν εἰπεῖν, " ἐξάλειψόν με τῆς βίβλου τῆς ζωῆς, καὶ χώρισόν με ἀπὸ σοῦ." Ὦ παῤῥησίας, οὐκ ἐκ θείας μόνης φιλοτιμίας, ἀλλὰ καὶ πόνοις οἰκείοις, οὐχὶ τὸ ἀκατάγνωστον μόνον, ἀλλὰ καὶ τὸ εὐδόκιμον ἀπενεγκαμένης! ἐξεῖλέ τε γὰρ τὸν φυλέτην λαὸν τῆς δικαίας ὀργῆς ἡ φωνή, καὶ τὸν εἰπόντα οὐκ ἀπήλειψε τῆς τῶν ἀειζώων συγγραφῆς. Ὡς οὖν Μωσῆς ταῦτα λέγων καὶ πράττων θαυμάσιος, οὕτω καὶ Παῦλος ἐν τοῖς ὁμοίοις σφοδρότερος ὀφθείς, ἐπὶ τοσοῦτον θαυμασιώτερος. Ἡ οὐ

---

[1] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—κἂν ἄνωθεν ἕλκῃ τὴν κρίσιν.

[2] Παρ' Οἰκον.—πικρὰς ὑπελθεῖν καὶ βαρείας τιμωρίας.

[3] " Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς . . . . ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν."—Ματθ. ΙΑ', 19 καὶ 30.

[4] " Ὁ δὲ πνευματικὸς (ἄνθρωπος) ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται."—πρὸς Κορινθ. Α', ἐπιστ. Β', 15.

[5] Γενέσ. κεφ. ΚΖ'.

[6] Ἐξόδ. ΛΒ', 32, ὅθεν καὶ ἡ διόρθωσις—αὐτοῖς—ἀντί, αὐτούς.

[7] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—καταλλαγείης—παρὰ τοῖς ἄλλοις.

Digitized by Google

δοκεῖ σοι ἀνάθεμα ποιεῖν ἑαυτὸν ὑπὲρ τῆς σωτηρίας τῶν συγγενῶν, καὶ τρόπον τινὰ τῆς χάριτος διασχίζεσθαι, ὅτε Τιμόθεον περιέτεμνεν,[1] ὅτε αὐτὸς ἐκεῖνος λαμπρῶς κηρύσσων τὸ Εὐαγγέλιον Ἰουδαϊκὰς εὐχὰς ὑπεκρίνετο, τήν τε κόμην ξυρώμενος τῆς κεφαλῆς, καὶ τὰς νενομισμένας θυσίας προσφέρων, καὶ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ὑπερ ἑτέρων, οἷς συνηγνίζετο, τὰς ἐπὶ τῇ θυσίᾳ κατατιθεὶς δαπάνας καὶ τὰ ἀναλώματα;[2] ἵνα τί γένηται; ἵνα πάντας[3] Χριστῷ κερδήσῃ, ἵνα τοὺς πλείονας προσάξῃ, ἵνα πάντως τινὰς σώσῃ. Διὰ τοῦτο καὶ Ἰουδαῖος γίνεται τοῖς Ἰουδαίοις,[4] καὶ τοῖς ἀνόμοις ὡς ἄνομος διατίθεται,[5] καὶ συνασθενεῖ τοῖς ἀσθενοῦσι, μηδὲν τούτων (ἄπαγε!) μήτε ὢν ἐν κρίσει, μήτε γινόμενος· καὶ τοῖς πᾶσι πάντα γίνεται, ἵνα πάντως τινὰς τῆς πλάνης ἀνελκύσῃ·[6] μιμητὴς γὰρ ἦν περιδέξιος (ἵνα τὸ κεφάλαιον εἴπω) τοῦ κοινοῦ Σωτῆρος ἡμῶν καὶ Δεσπότου· ὃς πάντα παθὼν ὑπὲρ ἡμῶν ἀφάτῳ πλούτῳ φιλανθρωπίας καὶ κενώσεως, οὐδ' ἁμαρτία, οὐδὲ κατάρα κληθῆναι δι' ἡμᾶς καὶ νομισθῆναι παρῃτήσατο,[7] καίτοι πηγὴ πάσης εὐλογίας καὶ πάσης ἁμαρτίας ὑπάρχων ἀναίρεσις· ὃν διὰ βίου καλὸν παράδειγμα προστησάμενος ὁ γνήσιος ὡς ἀληθῶς μαθητής, ἀεὶ τὸ θαυμαστὸν ἐκεῖνο καὶ πολυέραστον τῆς πολιτείας ἐν τῇ ψυχῇ μεταγράφων καὶ ἀνατυπῶν οὐκ ἀπέληγεν ἄγαλμα. Ἀλλὰ γὰρ περὶ τοῦ διηπορημένου σοι τῆς χρείας, οὐκ οἶδα, εἰ ἔλαττον, τῆς δ' οὖν ἐπιστολῆς καὶ ἐπὶ πλέον τὰς λύσεις δεχόμενος, ἔρρωσο.

ΕΠΙΣΤΟΛΗ ΚΕ'.—25.

Τῷ αὐτῷ.[8]

(Διὰ τί περιετμήθη ὁ Χριστός.)

Τὸ μὲν βαθύτερον τῆς προνοίας, δι' ἣν Ἰησοῦς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν σαρκὶ τὴν περιτομὴν ἔσχεν, εἰς τὸν ἀνεξερεύνητον αὐτοῦ τῶν κριμάτων βυθόν, τῆς ἀνθρωπίνης ἀναχωρεῖν διανοίας, καταδύεται. Ὁ δέ,[9] καὶ τῶν μακαρίων ἡμῶν Πατέρων διδασκόντων,

---

[1] Πράξ. ΙΣΤ', 1—4.

[2] Αὐτόθι. ΚΑ', 24. Ἴδε καὶ ἐν τοῖς ἔμπροσθεν (Ἐπιστ. Ε', σελ. 195).

[3] Οὕτως ἐξ Οἰκον. ἀντὶ—πᾶν—παρὰ Μοντακ.

[4] Καὶ τοῦτο ἐξ Οἰκον. διώρθωται, κακῶς παρὰ Μοντακ. γεγραμμένον—Διὰ τοῦτο καὶ Ἰουδαῖος γὰρ Ἰουδαίοις.—Μίγνιος δὲ "γίνεται" ἔγραψεν, ἀλλ' ἀνάρθρως τὸ ὄνομα "Ἰουδαίοις."

[5] Παρ' Οἰκον.—συνδιατίθεται.

[6] Α' πρὸς Κορινθ. Θ', 20—24.

[7] Πρὸς Γαλάτ. Γ', 13.

[8] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΘ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΙΗ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΜΗ'. Τὴν αὐτὴν δὲ ὑπόθεσιν πραγματεύεται καὶ ἐν Ἐπιστ. ΜΕ' (καὶ ἐν τῇ Μοντακ. ἐκδόσει ΣΕ'), πρὸς Θεόδωρον γράφων τὸν Ἡγούμενον "περὶ τῆς περιτομῆς τοῦ Ἀβραάμ."

[9] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἄ—παρὰ τοῖς ἄλλοις.

Digitized by Google

καὶ αὐτοὶ διασκοποῦντες, συνιδεῖν οὐχ εὑρίσκομεν ἄπορον, πρῶτον μὲν ἐπ' ἐλέγχῳ τέμνεται τὴν σάρκα τῶν τὴν παλαιὰν δυσφημούντων Διαθήκην, καὶ τὸν ἐν αὐτῇ νομοθετήσαντα ὕβρεσι βαλλόντων· δι' ὧν γὰρ τὴν ἐκεῖθεν δοθεῖσαν περιτομήν, ὡς οὐδ' ἂν αὐτοὶ ἀρνηθεῖεν, ὁ ἀγαθός τε καὶ ἀληθὴς Θεὸς ὑπέστη, τοῖς ἔργοις αὐτοῖς μαρτυρεῖ τὸν τῆς περιτομῆς νομοθέτην ἀγαθόν τε εἶναι, καὶ ἀγαθῶν δοτῆρα, καὶ τῆς αὐτῆς φύσεως κοινωνόν· οὐ γὰρ ἄν τινος ὄντος ἐναντίας,[1] ἡ τῆς ἀγαθότητος πηγὴ τὰς ἐκεῖθεν τοῦ νόμου ῥανίδας διὰ τῆς σαρκὸς ἐπεδείκνυ προχεομένας. Ἵνα οὖν τὰ ἀπύλωτα στόματα, τὰ κατὰ τοῦ Πατρός, ἢ καὶ κατ' αὐτοῦ γε τοῦ Υἱοῦ τὴν βλασφημίαν λαλήσαντα, ἐπιστομίσῃ (πάντα γὰρ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι, καὶ ἃ ποιεῖ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ποιεῖ[2]), τέμνεται καὶ τὴν σάρκα τῆς ἀκροβυστίας, συνδιατέμνων αὐτῇ πολλῶν δυσσεβῶν αἱρέσεων ἀφορμάς. Δεύτερον δὲ ἐκεῖνό μοι νόει. Ἐτόλμησέ ποτε ὁ δυσσεβὴς Ἀπολινάριος τερατεύσασθαι, ὡς ἡ προσληφθεῖσα σὰρξ τῇ προσλαβούσῃ θεότητι τὸ ὁμοούσιον συνδιέσωζε·[3] σάρκα γὰρ ἀνέπλαττεν, ὡς ἠβούλετο, οὐχ' οἵαν ἡ ἀνθρωπίνη φύσις οἶδεν, ἀλλ' οἵαν ἡ φαντασία τῶν ἐξεστηκότων λογισμῶν ἐδημιούργει. Ἡ τοίνυν τομὴ τῆς σαρκὸς καὶ τὸ πρὸς τὴν θεότητα λαμπρῶς ἀνακηρύττει ἑτεροφυές, καὶ τὸ πρὸς τὴν ἡμετέραν σάρκα ὁμοούσιον παριστᾷ. Τρίτον δὲ πρὸς τοῖς εἰρημένοις, οἱ τῶν Μανιχαίων παῖδες φαντασίᾳ τὴν σάρκα τὸν Χριστὸν προσειληφέναι δόγμα ποιοῦνται·[4] ἀλλ', ὡς ὁρᾷς, προαποτειχίζεται τῇ περιτομῇ καὶ τοῦτο[5] τὸ δύσφημον· ἡ φαντασία γὰρ τομὴν καὶ πάθος καὶ ῥύσιν ὁρωμένην αἵματος οὐκ ἀνέχεται, οὐδὲ τὰ τῆς ἀληθείας ἔργα τὸ πλάσμα καθαρῶς παραδέχεται. Πάλιν Οὐαλεντῖνος κενοφωνεῖ οὐκ ἐκ τῶν Παρθενικῶν ἀχράντων αἱμάτων τὴν ἐνωθεῖσαν τῷ Λόγῳ σάρκα παγῆναι· κάτω δὲ τῆς εὐσεβείας πεσών, ἄνωθεν αὐτῷ ποθεν καταβιβάζει τὸ σῶμα.[6] Ἀλλὰ καὶ τούτου πόῤῥωθεν, ὡς δῆλον, ἡ περιτομὴ τὸ θράσος προαποτέμνεται. Καὶ πρὸς τούτοις περιτέμνεται, ἵνα τὸ βέβαιον τῆς δοθείσης ἐντολῆς παραστήσῃ· διαμένειν γὰρ αὐτῇ τὸ ἀπαράβατον μέχρι τῆς αὐτοῦ παρουσίας, ἐξ ὧν ὑπηρετήσατο, μετὰ τοῦ ἀνεπιλήπτου συγκατασκευάζει. Εἰ γὰρ ὁ μὴ δεηθεὶς ὅλως περιτομῆς, ὅμως ὑπέρχεται ταύτην, σχολῇ γ' ἄν τις ἀλοίη τῶν ὑπὸ τῷ νόμῳ, ταύτην παρεωραμένος, οὐκ ὀφείλων δίκας. Πάλιν τῶν Ἰουδαίων ὁ δῆμος φιλαιτιώτατος ὤν, καὶ τὰς μὴ οὔσας δεινὸς προφάσεις ἀναπλάττειν, εἰ μὴ τὴν περιτομὴν ὑποστὰς οὕτως αὐτοῖς τὰ σωτήρια εἰσηγεῖτο, τίνος ἂν οὐκ ἐνόμιζον περιδράττεσθαι δικαιολογίας, διωθούμενοι τὴν διδασκαλίαν, ὅτι περ ἀπερίτμητον ὄντα, καὶ ἐξ αὐτῆς ἑστίας πάντα λύοντα θεσμόν, πῶς ἐνῆν παραδέχεσθαι Σωτῆρα; Ἵνα οὖν αὐτῶν ἀναχώρησιν πᾶσαν ἀποκλείσῃ, καὶ τὸ οἰκεῖον ἁμάρτημα μηδεμίαν ἔχωσι χώραν εἰς τὸν

---

[1] Ἐννοητ.—φύσεως—ὡς Οἰκον. ἐσημειώσατο.

[2] Ἰωάν. Ε', 19.

[3] Περὶ Ἀπολιναρίου καὶ τῆς αἱρέσεως αὐτοῦ ἴδε Μελετ. Ἐκκλ. Ἱστορ. Τόμ. Α', σελ. 387—9. καὶ Μόσχειμ Τόμ. Α', σελ. 331 καὶ 402 τῆς Ἀγγλικῆς μεταφράσεως ὑπὸ J. Murdock. London, 1841.

[4] Μελέτ. ἔνθ. ἀνωτ. σελ. 274—8. καὶ Μόσχειμ ἔνθ. ἀνωτ. σελ. 257 κ. ἑξ. ἡ δὲ γραφὴ—δόγμα ποιοῦνται—ἐξ Οἰκον. ἀντὶ—δογμαποιοῦνται—παρὰ τοῖς ἄλλοις, ὅπερ ἴσως ἐγέγραπτο "δογματοποιοῦνται."

[5] Παρ' Οἰκον.—καὶ τούτων.

[6] Ἴδε καὶ περὶ Οὐαλεντίνου Μελέτ. ἔνθ ἀνωτ. σελ. 203—6. καὶ Μόσχειμ ἔνθ. ἀνωτ. σελ. 191 καὶ ἑξ.

Digitized by Google

ἀναίτιον περιτρέπειν, περιτεμνόμενος τὴν ἀκροβυστίαν, συναποτέμνει τῶν ἀχαρίστων πᾶσαν εὐπρόσωπον πιθανολογίαν.

Σκόπει δέ μοι κἀκεῖνο. Εἰ μὲν μὴ περιτμηθεὶς ἔπαυε τὴν πρᾶξιν, τάχ' ἄν τισιν ὁ Δεσπότης, ὡς ἑαυτὸν ἀπαλλάσσων αἰτίας, καὶ τῆς ἰδίας προθέσεως προϊστάμενος, τὴν τῆς περιτομῆς ἀναίρεσιν διὰ τῶν μαθητῶν ὑπενοεῖτο μεθοδεῦσαι· ἐπεὶ δὲ καὶ περιτέμνεται, καὶ παύει τὸ ἔργον, καὶ ταύτην προαφαιρεῖται τὴν ὑπόνοιαν τῶν φιλαιτίων. Σὺ δὲ μηδ' ἐκεῖνο παραδράμῃς. Τύπος ἦν καὶ σύμβολον τοῦ βαπτίσματος ἡ περιτομή· μήπω τοιγαροῦν τῆς ἀληθείας φανερωθείσης, τὸν τύπον ἐπικρατεῖν ἔδει· ἐπιστάσης δ' ἐκείνης, ταύτην ὑποχωρεῖν. Δι' ὃ περιτέμνεται μὲν τὸ κρύφιον τῆς σαρκός, οὔπω τῆς ἐν χάριτι περιτομῆς φανερωθείσης· ἐκείνης δὲ τῷ Δεσποτικῷ βαπτίσματι πάντα περιαυγαζούσης, καὶ λαμπρὰν τὴν ἀλήθειαν ὑποδεικνυούσης, τὰ ἐν σκιᾷ καὶ αἰνίγματι παῤῥησιάζεσθαι τόπον οὐχ εὑρίσκει.

Χωρὶς δὲ τῶν εἰρημένων, ἀναμνησθῆναι κἀκεῖνο[1] *δεήσει. Ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ τὰ ἔθνη πάντα ἐνευλογηθήσεσθαι ὅρκον καθ' ἑαυτοῦ διδοὺς ὁ Θεὸς τῷ δικαίῳ, ποιεῖται λογάδα πάντων ἐθνῶν τὴν ἐκείνου φυλήν· καὶ οἱονεὶ σφραγίζων αὐτὴν διὰ τοῦ φυλάρχου τῇ περιτομῇ, τήν τε πίστιν ἐπισημαίνεται τοῦ Πατριάρχου, καὶ τὸ γένος ἅμα ἐν ἀφορισμῷ συντηρεῖ. Ὁ τοίνυν ὅρκος παραβάσεως ἂν παρεῖχεν αἰτίαν, εὐλογουμένων μὲν ἁπάντων ἐθνῶν διὰ μόνου τοῦ κοινοῦ Σωτῆρος Χριστοῦ, οὐ φέροντος δὲ τὸ ἐπίσημον τῆς Ἀβραμιαίας σπορᾶς, ἥτις ἦν ἡ περιτομή. Ἵνα οὖν καὶ τῷ Ἀβραὰμ τὸ κεχαρισμένον πέρας ἡ ὑπόσχεσις ἀπολάβῃ, καὶ τὴν κατὰ τῆς ἀληθείας ὑπόληψιν (ἡ δέ ἐστιν ὁ Θεός) τῆς ψευδορκίας διαλύσῃ ("Ἐγὼ γάρ εἰμι, φησίν, ἡ ἀλήθεια καὶ ἡ ζωή"), τέμνεται τὴν σάρκα τῆς ἀκροβυστίας, ἐν τῇ τῆς χάριτος ἀπαρχῇ καὶ εἰσαγωγῇ (αὕτη δέ ἐστιν ἡ κλῆσις καὶ ἡ εὐλογία καὶ ἡ υἱοθεσία τῶν ἐθνῶν) τὴν νομικὴν πολιτείαν συμπεριγράφων καὶ συνεκπληρώων. Καὶ πολλὰ ἄν τις ἕτερα τοιαῦτα κατὰ σχολὴν ἐπιθεωρήσοι, ὧν ὅ τε τῆς ἐπιστολῆς νόμος καὶ ἡ σὴ σύνεσις (τί γάρ; ἐκ τῶν εἰρημένων οὐκ ἐνῆν καὶ τὰ σεσιγημένα θηρεύσαι;) ἐπεὶ μὴ ἡδὺ νομίζει, περιττὸν ἐκρίθη ἡ παράθεσις.*

ΕΠΙΣΤΟΛΗ ΚΣΤ'.—26.

Τῷ αὐτῷ.[2]

(Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, Ἀδελφοί, ὅτι πολλάκις προεθέμην, κ.τ.λ.—πρὸς Ῥωμ. Α', 13.)

" Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, Ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, " καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα τινὰ καρπὸν σχῶ" καὶ ἑξῆς. Τοῦτο δὴ τὸ χωρίον,

---

[1] Οἰκον. ἀντὶ—κἀκεῖ.

[2] Ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. Ψ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΨΑ', καὶ συλλογῇ Ἐπιστ. ΡΞΔ'.

Digitized by Google

οὐ τὴν διάνοιαν ἀναμαθεῖν ἐπεζήτησας, ἔστι μὲν καὶ καθ' ὑπερβατὸν[1] ἐκλαβεῖν, ἵν' ᾖ τὸ ἀκόλουθον τοιοῦτον· "οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα καρπόν τινα σχῶ καὶ ἐν ὑμῖν, ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο." Καὶ ἡ μὲν ἀπηρτισμένη τοῦ ῥητοῦ σύνταξις τοιαύτη ἂν εἴη, σαφὴ καὶ τὸν νοῦν τῆς περιόδου παρέχουσα. Ἀλλ' εἴποι τις ἄν, ὅτι, εἰ ἡ πίστις αὐτῶν ἐν ὅλῳ τῷ Κόσμῳ κατηγγέλλετο (τοῦτο γὰρ αὐτοῖς ἐμαρτύρησε πρὸ μικροῦ), τίνα καρπὸν ἤθελε παραγενόμενος αὐτὸς παρασχεῖν; Ἀλλὰ πολὺν μεν οὖν, ἐροῦμεν. Εἰ γὰρ καὶ ἐπεπιστεύκεισαν[2] ἐκεῖνοι, καὶ διὰ τὸ λαμπρὸν τῆς πόλεως εἰς πάντας ἐχύθη τῆς αὐτῶν πίστεως ἡ φήμη, παμπόλλων ὅμως ἐδέοντο· καὶ τοῦτο δῆλον ἔκ τε τοῦ πρὸ ὀλίγου εἰπεῖν "εἰς τὸ στηριχθῆναι ὑμᾶς" (τὸ γὰρ στηριχθῆναι τίνων ἄλλων ἢ τῶν σαλευομένων ἐστί;), καὶ πάλιν ἐν τοῖς ἔμπροσθεν, ἡνίκα μὴ κρίνειν ἀλλήλους, ἀλλὰ καὶ τὰς διχοστασίας ἐκκλίνειν καὶ τὰ σκάνδαλα παραινεῖ·[3] καὶ μυρία τις τοιαῦτα δι' ὅλης ἴδοι τῆς ἐπιστολῆς, δι' ὧν τὸ ἀτελὲς αὐτῶν καὶ νεοπαγὲς ἐπιδείκνυται. Οὐδὲν οὖν ἀπεικὸς καὶ τὴν πίστιν αὐτῶν καταγγέλλεσθαι, καὶ αὐτοὺς ἔτι πολλῆς δεῖσθαι τῆς ἐπικουρίας Παύλου, καὶ τῆς διὰ τῶν αὐτοῦ ῥημάτων ἀρδείας καὶ καρποφορίας. Ὅρα δέ, πῶς φησιν, "ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν," τοῦτο μὲν δεικνύς, ὡς ὁ[4] ἐκείνων καρπὸς οἰκεῖος ἐλογίζετο τῷ Παύλῳ καρπός, καὶ οὕτως ἔχαιρεν ἐν τοῖς τῶν πλησίον, ὡς εἴ τις ἄλλος ἐν τοῖς ἰδίοις κατορθώμασιν· "ἵνα τινά, φησί, καρπὸν σχῶ·" τὸν ἐκείνων καρπὸν καρπὸν οἰκεῖον τιθέμενος· τοῦτο δὲ πάλιν παριστάς, ὅτι τῆς αὐτῶν ἕνεκεν ὠφελείας τὴν πρὸς αὐτοὺς πορείαν ἐστέλλετο. Ἄλλως τε δέ, καὶ εἴ τις ἀκριβῶς ἐπισκοποίη, Παύλου καρπὸς ἀληθῶς ἐστιν ὁ ἐκείνων καρπός· ἔργον γὰρ ἦν ἐκείνῳ καὶ σπουδὴ καὶ γεώργιον ἡ τῶν ἀνθρώπων σωτηρία, καὶ τὸ καρποφοροῦντας αὐτοὺς πораστῆσαι τὴν εὐσέβειαν καὶ τὰς ἀρετάς. Καλῶς οὖν φησιν "ἵνα τινὰ καρπὸν σχῶ," ἑκάτερον συντόμως τε λίαν[5] καὶ σὺν τῷ εὐφυεῖ ἐπίδηλον ποιῶν, καὶ τὸ ἐκείνους τὴν ἐν κατορθώμασι πίστιν καρποφορεῖν, καὶ τὸ αὐτὸν αὐτοὺς ἐκείνους· ἐν γὰρ τῇ ἐκείνων καρποφορίᾳ ἡ τοῦ Παύλου λαμπρῶς ἐδείκνυτο γεωργία. Ἀλλ' εἰ μὲν καθ' ὑπερβατόν τις εἰρῆσθαι τὸ χωρίον ἐκλάβοι, ἔχοι τὴν διάνοιαν οὕτως ἐξηπλωμένην· καὶ γὰρ πολλή τις τοῦ τοιούτου σχήματος τῷ μεγάλῳ Παύλῳ ἡ χρῆσις, ὥσπερ καὶ τῆς ἐλλείψεως,[6]

---

[1] Σχῆμα λόγου τὸ ὑπερβατόν, ἐν ᾧ ἡ αἰτία προτάσσεται, σαφηνείας χάριν, ὥς φησιν Ἑρμογένης· "Τὸ ὑπερβατὸν οὐ μόνον ἐστὶ καλὸν σχῆμα, ἀλλὰ καὶ ἀναγκαῖον· γίνεται δέ, ὅταν τὴν αἰτίαν τοῦ "λεγομένου, ἣν μέλλει ποθεῖν ὁ ἀκροατής, μέσην ὁ λέγων τάξῃ, καὶ οὕτω γίνεται σαφηνείας ὄργανον "τὸ ὑπερβατόν, κ.τ.λ." (Rhetores Graeci ex recognitione Leonardi Spengel. Vol. II. p. 438. Vol. III. p. 38 καὶ 136.)

[2] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἐπεπιστεύκασιν—παρὰ τοῖς ἄλλοις.

[3] Πρὸς Ῥωμ. ΙΣΤ', 17.

[4] Ἐξ Οἰκονόμου ἡ τοῦ ἄρθρου προσθήκη, ἐλλείποντος παρὰ τοῖς ἄλλοις.

[5] Ἐκ διορθ. τοῦ αὐτοῦ, ἀντὶ—τελειαν—παρὰ τοῖς ἄλλοις.

[6] Σχῆμα λόγου, καὶ ἐκ μόνου τοῦ ὀνόματος δῆλον. Ὅμως δὲ ἴδε περὶ τούτου ἐν τῇ ἄρτι εἰρημενῃ συλλογῇ τοῦ Λεονάρδου Σπεγγέλου Τόμ. Γ', σελ. 33, 46 καὶ 78. καὶ Κ. Ἀσωπίου "περὶ Ἑλλην. συντάξεως." Περίοδος Β', σελ. 836 κ. ἑξ. ἔνθα διὰ μακρῶν τὰ περὶ τούτου ἐξετάζεται.

Digitized by Google

καὶ τῶν περιβολῶν,[1] καὶ δὴ καὶ τοῦ ἀπὸ κοινοῦ,[2] καὶ κατὰ πᾶσαν ἰδέαν ἡ μεταχείρισις.

Ἀλλ' οὖν δυνατὸν καὶ μὴ καθ' ὑπερβατὸν εἰληφότα, ἀλλ' ὡς ἔχει τάξεως συντηρήσαντα, τοιοῦτον ἐν αὐτῷ θηρᾶσαι τὸν νοῦν. "Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς." Διὰ τί οὖν[3] οὐκ ἦλθες; "Ἐκωλύθην, φησίν, ἄχρι τοῦ δεῦρο." Τίνος ἕνεκεν; "Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν·" τοῦτ' ἔστι· διὰ τοῦτο ἐκωλύθην, ἵνα μὴ θᾶττον ἐλθὼν ἀκάρπους ὑμᾶς ἔτι καταλάβω. Καταλαβὼν γὰρ ἀώρους, ἐμεμψάμην ἂν ἐμαυτῷ μὲν τῆς ἀκαίρου ταχυτῆτος, καὶ ὑμῖν δὲ τῆς, ἐν οἷς οὐκ ἔδει, βραδυτῆτος.[4] Δι' ὃ ἀνεβαλόμην τὴν παρουσίαν, ἐλπίζων τὴν γεωργίαν, ἧς οὐχὶ μήπω πρὸς βλάστην ὁρώσης, ἀλλ' ἤδη καὶ τοῖς ἄνθεσιν ἐνυστερούσης, ὅκνος ἔχει παρεῖναι τὸν ταύτης ἐν ἀπολαύσει γενέσθαι ποθοῦντα. Ἐπειδὰν δὲ μετὰ τὴν βλάστην καὶ τὰ ἄνθη ἐπιφαίνηται καὶ τελεσφορουμένη, τότε χαρᾶς καὶ εὐφροσύνης ὁ πρὸς αὐτὴν πληρούμενος δρόμος, οὐκ οἶδε λογίζεσθαι πόνους, οὐδὲ πρὸς ἄλλα τὴν σπουδὴν καταμερίζειν. Τί οὖν; ἂν καὶ καρποφορῶσι, τίς ἡ χρεία τῆς παρουσίας Παύλου; Πολλὴ μὲν οὖν· οὐ γὰρ πάντα ἀνέμενε τὸν καρπόν, ἀλλά τινα· "ἵνα γάρ τινα καρπὸν σχῶ, φησί, καὶ ἐν ὑμῖν." Ὥσπερ δὲ περιττὸν καὶ μάταιον τὸν τελείως καρποφοροῦντα εἰς καρποφορίαν παρακαλεῖν, οὕτως ἐπίπονον καὶ ὀκνηρόν, ἂν μηδὲ χρηστὰς ἐλπίδας ὑπάρχῃ λαβεῖν, ἐπὶ τὰ τέλεια παραινεῖν. Εἰ δὲ καὶ καρπός τις ἦν, καὶ οὗτος τέλειος ἐν αὐτοῖς, οὐδ' οὕτως ἁπλῶς ἐνεκόπτετο τὴν παρουσίαν ὁ πτηνὸς ἐκεῖνος καὶ μετάρσιος ἄνθρωπος· ὀφειλέτην γὰρ ἑαυτὸν καὶ οἶδε καὶ ἀποκαλεῖ οὐχ Ἑλλήνων μόνον καὶ βαρβάρων, ἀλλὰ καὶ σοφῶν καὶ ἀνοήτων·[5] καὶ τῷ καθ' ἑαυτὸν προθύμῳ οὐχ ἵστατο μὴ πλείω τῶν ὄντων ἐπιζητεῖν. Ὥστε, εἰ[6] καὶ τοῖς ἔργοις ἐκόμων, αὐτὸς ἂν τὸ αὐτοῦ οὐκ ἀπέστη ποιῶν, ἀλλ' ἐπέκειτο προσθήκην μειζόνων ἐπιζητῶν. Ἀλλ' οὕτω μὲν καὶ ἡ τοιαύτη τοῦ ῥητοῦ διασάφησις.

Ἔστι δὲ καὶ ἄλλως τὸ νόημα συνιδεῖν, ἁπλουστέραν μὲν ἴσως τὴν ἐξήγησιν ἐκδεχόμενον, οἰκειοτέραν δ', οἶμαι, καὶ τῆς Παύλου διανοίας καὶ τῆς λέξεως· "Πολλάκις, φησί, προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς· ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο." Διὰ τί; "Ἵνα τινὰ

---

[1] Περὶ τοῦ σχήματος τούτου λέγει ὁ Ἑρμογένης· "Γίνεται τοίνυν περιβολὴ κατ' ἔννοιαν μέν, ὅταν ἤτοι ἔξωθέν τι προσλαμβάνῃς τούτῳ, περὶ οὗ ὁ λόγος, οἷον γένος εἶδει . . . . ἀόριστον ὡρισμένῳ . . . . ὅλον μέρει . . . . ἢ ὅταν μὴ ψιλὰ λέγῃς τὰ πράγματα, μηδὲ καθ' ἑαυτά, ἀλλὰ μετὰ τῶν παρακολουθούντων, οἷον τόπου, χρόνου, αἰτίας, τρόπου, προσώπου, κ.τ.λ. (ἔνθ. ἀνωτ. Τόμ. Β', σελ. 316 κ. ἑξ.)

[2] Σχῆμα "ἀπὸ κοινοῦ" γίνεται ὅταν λέξις τις ἅπαξ μὲν λέγηται, πολλάκις δὲ νοῆται. (ἔνθ. ἀνωτ. Τόμ. Γ', σελ. 46 καὶ 256). Παρ' Οἰκον. δὲ γέγραπται—τὸ ἀπὸ κοινοῦ·—ἄλλ' ἄμεινον κατὰ Γεν. ὡς παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον. ἄνευ τοῦ—οὖν.

[4] Οὕτω παρ' Οἰκον. παρὰ δὲ τοῖς ἄλλοις—ταχύτητος . . . . βραδύτητος.

[5] —σί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί" (πρὸς Ῥωμ. Α', 14).

[6] —κα ἐξ Οἰκον. τὸν εἰ, ἐλλείποντα παρὰ τοῖς ἄλλοις.

Digitized by Google

καρπὸν σχῶ·" ἵνα εἴπῃς·[1] ἐνελείπετό μοι καρπός τις, ὃν ἔδει συλλέξαι πρότερον, εἶτα πρὸς ὑμᾶς παραγενέσθαι. Τίς οὖν ἦν[2] ὁ καρπὸς ἐκεῖνος, καὶ ἐν τίσι συνελέγετο; Αὐτὸς ἐκεῖνος ἐρεῖ· ἐπὶ γὰρ τῷ τέλει τῆς ἐπιστολῆς, ὥσπερ ἐπιλογιζόμενος αὐτῷ τὰ προοιμασθέντα, οὕτω φησί· "Διὸ ὃ καὶ ἐνεκοπτόμην ἐλθεῖν πρὸς ὑμᾶς·" ὅπερ εἰς ταὐτὸν ἦκει τῷ "καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο·" εἶτα· "Νυνὶ δὲ μηκέτι ἔχων τόπον ἐν τοῖς κλίμασι τούτοις (ἀλλὰ πεπληρωκὼς δῆλον ὅτι τὸ ἔργον), ἐλεύσομαι πρὸς ὑμᾶς."[3] Ὁρᾷς, ὅτι τὸ ἕως τοῦ νῦν μὴ ἐλθεῖν ὁ ἐν τοῖς κλίμασιν ἐκείνοις συλλεγόμενος ἐπεῖχε καρπός; ἀτέλεστον γὰρ τὸν ἐν ἐκείνοις πόνον λιπεῖν οὐκ ἦν τῆς Παύλου ψυχῆς καὶ σπουδῆς. Καὶ ὅρα, ὡς ἡ τοιαύτη ἀνάπτυξις τοῦ ῥητοῦ οὔτε τοῦ κατὰ τὸ ὑπερβατὸν ἐδεήθη σχήματος, οὔτε μὴν ἔσχε τινὰς ἀντιπίπτοντας λογισμούς, ἀλλὰ καὶ προσήρμοσται μᾶλλον τῶν ἄλλων ταῖς τε λέξεσι καὶ τῷ τοῦ θεσπεσίου Παύλου σκοπῷ. Καὶ τὸ "ἐν ὑμῖν" δὲ οὐδαμῶς ἐναντιοῦται· ἀρχὴ γάρ ἐστι τῶν ἐφεξῆς, καὶ οὐ συναπτόμενον πρὸς τὸ "ἵνα τινὰ καρπὸν σχῶ·" οἷον· "καὶ ἐν ὑμῖν ὀφειλέτης εἰμί, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν, Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις." Ἵνα γὰρ μὴ λέγωσι· τί οὖν; τὸν μὲν ἐν τοῖς ἑτέροις κλίμασι καρπὸν διὰ σπουδῆς εἶχες συλλέγειν, ἡμῶν δὲ οὐδένα λόγον;[4] Ναί, φησί, καὶ ἐν ὑμῖν ὀφειλέτης εἰμί, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι· τοῦτο σπεύδω· τοῦτο ἐπιζητῶ· πᾶσι χρεωστῶ· καὶ οὐδείς ἐστιν, ὑπὲρ οὗ μὴ πολλῇ συνέχομαι φροντίδι. Ἀλλὰ ταῦτα μὲν τέως ἐπὶ τοσοῦτον· τῆς γὰρ ἑρμηνείας ὁ τρόπος ἀλλοιότερος, ἢ ὃν ὁ τῆς ἐπιστολῆς ἐπιζητεῖ τύπος· διὸ ὅπερ οὐδέτερόν ἐστι[5] καθαρῶς καὶ ὡς οἱ τῆς τέχνης νόμοι, κατ' ἐπιστολὴν ἑρμηνεύοντα, πράττειν. Ἂν δὲ καὶ τοῦ καθαρῶς ἑρμηνεύειν ὁ καιρὸς τὴν ἄδειαν δῷ, ἴσως, Θεοῦ βουλομένου, καὶ τελειότερον ἐμοὶ μὲν εἰπεῖν, σοὶ δ' ἀκούειν γενήσοιτο χάρις.

ΕΠΙΣΤΟΛΗ ΚΖ'.—27.

Τῷ αὐτῷ.[6]

(Διὰ τί ῥητορικαῖς ἰδέαις τὰς αὐτοῦ ἐπιστολὰς σχηματίζων ὁ Παῦλος, ὕφειται ἰδιώτην ἑαυτὸν ἐκάλει;)

Θαυμάζεις, εἰ τοιαύταις ἰδέαις τοῦ θείου Παύλου αἱ ἐπιστολαὶ σχηματίζονται (καί μοι μηδὲν τῆς ἀληθείας ἀχθεσθῇς), ὅτι οὔπω διέκυψας πρὸς τὸ βάθος τῆς ἐνούσης τῷ ἀνδρὶ

---

[1] Μοντακ. διορθοῖ—εἴπῃ·—ὅπερ ἄμεινον ἂν εἴη.

[2] Ἐλλείπει τὸ—ἦν—παρ' Οἰκονόμῳ.

[3] Πρὸς Ῥωμ. ΙΕ', 22 καὶ 23.

[4] Ἀπὸ κοινοῦ τὸ—εἶχες, ἢ ἐποιοῦ,—ὡς Οἰκον. φησίν· ὡς δὲ Μοντακ. ἐννοητέον τὸ—ἐποίησας·—ἀλλ' ἄμεινον τὸ Οἰκονόμου.

[5] Ἐλλείπει τὸ—ἐστὶ—παρὰ Μοντακ.

[6] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΨΑ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΨΒ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΞΕ'. Εὕρηται δὲ καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ Γαλλιστὶ μεθηρ-

Digitized by Google

μελέτη, τῆς ἄνωθέν σοι ... σε τοσαύτη[1] σοφίας ... οὐκ εἶχεν. Καὶ οὔπω γε τὴν ... ἐμφωλευθεῖσαν ὤφθης)· ἀλλ' ... ἐν βάσει τῷ λόγῳ; ὥσπερ ... τῶν Ἀποστόλων, ὡς ... ὡς μὴ ὢν ἄξι- ... ὡς θέατρον ... ἐν βάρει εἶναι ... τούτων κοπιάσας,[3] ... τῷ Θεῷ ἀφωρι- ... ἐκ τῶν ἐκκλήτων κατήκοος,[5] ... τοῦ Ἰησοῦ, ἀλλὰ ... [6] Ὥσπερ οὖν ἔκτρωμα, καὶ ... οὕτω καὶ ἰδιώτης τῷ ... τοῦ σταυροῦ μὴ συνιέντων τὸ βάθος, ... καὶ ἐπιείκεια. Τί οὖν; ἐν σοφίᾳ ... [7] διὶ ἧς καὶ ἰδιῶται σοφί- ... τοῦτον τὸν αἰῶνα ἀρχόντων σοφία; Καὶ τίς ἂν ... [8] ἡ τῶν ... τεχνολογία, ἡ πλοκὴ καὶ τέχνη τῶν

... τεταγμένα, ἅπερ ἐν τοῖς ἔμπροσθεν ... οὐ μόνον ὡς λέγειν δεινότατον, ... τὰ παντία ἐκείνῳ αἰσθανό- ... imbued with the spirit of this divine apostle, ... upon one of his letters, more especially ... in a literary point of view. It is addressed to ...

... ἐν δυνάμει Θεοῦ." (Α' πρὸς Κορινθ. Β', 5.)

... ἐστὶ, τοῖς δὲ σῳζομένοις ἡμῖν δύναμις Θεοῦ ... καὶ τὴν δύναμιν τῶν συνετῶν ἀθετήσω. Ποῦ σοφός; ... ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ Κόσμου

Digitized by Google

κακοσχόλων σοφισμάτων.—Θνητὴ ἡ ψυχή, ὅτι συμμερίζεται καὶ συμπάσχει τῷ σώματι. Οὐκ ἔχει δημιουργὸν ὁ Κόσμος, ὅτι οὐχ, ὥσπερ τὸ πῦρ, ἐθέλει οὐδὲ τὸ ὕδωρ φέρεσθαι.[1] Κοινὸς ὁ γάμος, ὅτι μᾶλλον οὕτως ἡ πόλις φιλάλληλος. Ἐκ τῶν νεκρῶν οἱ ζῶντες· καὶ γὰρ ἐκ τοῦ ἵστασθαι καθεζόμεθα. Πολλοὺς δὲ δεῖ καὶ θεοὺς εἶναι, ὅτι πλείονα τὰ προνοούμενα, καὶ φόβος καμεῖν τὸν ἕνα, τῇ κοινῇ φροντίδι ἐνασχολούμενον· ἢ ὅτι τὸν πρῶτον ἀνάγκη πείθει παράγειν καταδεέστερον, ἵνα μὴ τῆς ἀρχῆς περιαιρεθῇ τὸ προνόμιον· καὶ τὸν δεύτερον πάλιν ὑφειμένον ἄλλον· καὶ τοῦτο εἰς ἄπειρον.—Τὰ μωρὰ ταῦτα καὶ παρανοίας ἐσχάτης ἐπέκεινα, καὶ ψυχῆς ὄντως θνητῆς, καὶ τοῦ κωνίου[2] ἄξια, ταύτην τοῦ αἰῶνος τὴν σοφίαν, Παῦλος ὁ τὰ θεῖα τῷ ὄντι σοφὸς καὶ τὰ ἀνθρώπινα, διὰ τῆς ἐν μυστηρίῳ Θεοῦ σοφίας τῆς οἰκουμένης ἀπήλασε, καὶ τὰς τῶν πιστῶν διανοίας ἀβάτους αὐτῇ συνετήρησεν. Ἡ τοιαύτη σοφία μωρία παρὰ τῷ Θεῷ· τῶν ταύτῃ σοφῶν οἱ λογισμοὶ μάταιοι, καὶ ταῖς οἰκείαις πανουργίαις ἁλισκόμενοι, τῷ ἁπλῷ τῆς ἀληθείας λόγῳ περιδράσσονται.[3] Ταύτην, ὥσπερ πάλαι, οὕτω δὲ καὶ νῦν, ἅπας εὐσεβὴς διαπτύει λογισμός, τοὺς μακροὺς λήρους, τὰ ψυχικὰ βάραθρα, τὰ τοῦ πονηροῦ θήρατρα, τὸ μέγα τῆς ἀπωλείας ἐργαστήριον.

Τῶν δέ γε ῥημάτων καὶ τῆς δι' αὐτῶν συνθήκης ἡ ὀρθότης τί λυμαίνεται τῇ εὐσεβείᾳ; τίνα βλάβην φέρει τοῖς χρωμένοις; πρὸς ποίαν ὑποσκελίζει μικρὰν ἢ μεγάλην πλάνην; Εἰ δ' ὁ τῆς φύσεως πλάστης αὐτὸς καὶ τῶν γλωσσῶν ὁ τεχνίτης, πῶς οὐκ ἔστιν ἀκόλουθον μᾶλλον τοὺς μαθητὰς τοῦ Λόγου τῷ καθήκοντι κεχρῆσθαι λόγῳ; Οὐκοῦν οὐ προσελάβετο μαθητὰς ὁ Χριστὸς ἰδιώτας; καὶ μάλιστα, φαίην ἂν ἔγωγε, καί, εἰ βούλει γε, καὶ τῶν ἰχθύων, οὓς ἐθήρων, ἀφωνοτέρους· ἀλλ' ὥσπερ ἰδιώτας, οὕτω καὶ τελώνας καὶ ἁλιεῖς. Μήτι τελῶνας ἢ ἁλιεύειν ἀπέλιπεν; Καὶ ποῦ τοῦτο θαύματος, ἢ τῆς Χριστοῦ δυνάμεως ἄξιον; πῶς δ' ἄν τις διαδύσῃ[4] τὸν ἐπὶ τῶν ἔργων αὐτῶν ἔλεγχον; Οὕτως οὖν οὐδ' εἰς ἰδιώτας ἀφῆκεν, οὓς ἐκεῖθεν προσείληφεν· ἀλλ' ἀντὶ μὲν ἁλιέων, ἁλιεῖς ἀπετέλεσεν ἀνθρώπων ("Δεῦτε γὰρ ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων"[5])· ἀντὶ

---

[1] Μοντακ. εἰκάζει προσθετέον εἶναι τὸ ἐπιῤῥῆμα—ἄνω· "οὐδὲ τὸ ὕδωρ ἄνω φέρεσθαι."

[2] Οὕτως ἄμεινον παρ' Οἰκονόμῳ ἢ παρὰ τοῖς ἄλλοις—κωνείου·—οὐ γὰρ ἐκ τῆς εὐθείας—κώνειον (τὸ)—ἡ γενικὴ αὕτη, ἀλλ' ἐκ τῆς—κωνίας (ὁ),—ἐξυπονοουμένου τοῦ οὐσιαστ. οἶνος· λέγεται δὲ κωνίας καὶ κωνίτης (οἶνος) ὁ ἐν ἀγγείοις κεκωνισμένοις (=πίσσῃ ἢ ῥητίνῃ ἀληλειμμένοις) διατηρούμενος, ὁ νῦν κοινῶς λεγόμενος ῥ ε τ σ ι ν ά τ ο ς (ἐκ τοῦ ῥητινίτης ἢ ῥητινίας)· τὸ γοῦν ἐν τῷ κειμένῳ—κωνίου ἄξια—ἴσον δύναται τῷ "λόγοι μεθύοντος" ἢ ὡς ἄν τις εἴποι κοινῶς "μεθυσμένα λόγια" ἢ "τοῦ κρασιοῦ λόγια." Μοντακούτιος δὲ γράψας—κωνείου (=δηλητηρίου), οὕτω καὶ μετέφρασε Λατινιστί "cicutam merentur" ὃ δὴ καὶ Ἰάγερος οὐκ ὤκνησε Γαλλιστὶ μεθερμηνεῦσαι "et meriter la ciguë" ἀλλ' ἀμφότεροι πεπλάνηνται τῆς γραφῆς ἕνεκα, καὶ Μίγνιον τῇ πλάνῃ συνεφείλκυσαν, οὕτω κἀκεῖνον γράψαντά τε καὶ μεταφράσαντα.

[3] "Ἡ γὰρ σοφία τοῦ Κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι. Γέγραπται γάρ· ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν." (Παῦλος ἔνθ. ἀνωτ. Γ', 19.—Ἰώβ, Ε', 19.)

[4] Ἴσως ἐγέγραπτο—διαδύσηται·—μέσῳ γὰρ ἀεὶ χρῆσθαι τῷ ῥήματι τούτῳ εἰώθασιν· εἰ δὲ καὶ σπανίως εὕρηταί που τὸ ἐνεργητικόν, ἀλλ' οὖν γε ἐνταῦθα τὸν μέσον ἀπαιτεῖ τύπον ἡ ἔννοια.

[5] Ματθ. Δ', 19.

Digitized by Google

ἀναίτιον περιτρέπειν, περιτεμνόμενος τὴν ἀκροβυστίαν, συναποτέμνει τῶν ἀχαρίστων πᾶσαν εὐπρόσωπον πιθανολογίαν.

Σκόπει δέ μοι κἀκεῖνο. Εἰ μὲν μὴ περιτμηθεὶς ἔπαυε τὴν πρᾶξιν, τάχ' ἄν τισιν ὁ Δεσπότης, ὡς ἑαυτὸν ἀπαλλάσσων αἰτίας, καὶ τῆς ἰδίας προθέσεως προϊστάμενος, τὴν τῆς περιτομῆς ἀναίρεσιν διὰ τῶν μαθητῶν ὑπενοεῖτο μεθοδεῦσαι· ἐπεὶ δὲ καὶ περιτέμνεται, καὶ παύει τὸ ἔργον, καὶ ταύτην προαφαιρεῖται τὴν ὑπόνοιαν τῶν φιλαιτίων. Σὺ δὲ μηδ' ἐκεῖνο παραδράμῃς. Τύπος ἦν καὶ σύμβολον τοῦ βαπτίσματος ἡ περιτομή· μήπω τοιγαροῦν τῆς ἀληθείας φανερωθείσης, τὸν τύπον ἐπικρατεῖν ἔδει· ἐπιστάσης δ' ἐκείνης, ταύτην ὑποχωρεῖν. Δι' ὃ περιτέμνεται μὲν τὸ κρύφιον τῆς σαρκός, οὔπω τῆς ἐν χάριτι περιτομῆς φανερωθείσης· ἐκείνης δὲ τῷ Δεσποτικῷ βαπτίσματι πάντα περιαυγαζούσης, καὶ λαμπρὰν τὴν ἀλήθειαν ὑποδεικνυούσης, τὰ ἐν σκιᾷ καὶ αἰνίγματι παῤῥησιάζεσθαι τόπον οὐχ εὑρίσκει.

Χωρὶς δὲ τῶν εἰρημένων, ἀναμνησθῆναι κἀκεῖνο[1] *δεήσει. Ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ τὰ ἔθνη πάντα ἐνευλογηθήσεσθαι ὅρκον καθ' ἑαυτοῦ διδοὺς ὁ Θεὸς τῷ δικαίῳ, ποιεῖται λογάδα πάντων ἐθνῶν τὴν ἐκείνου φυλήν· καὶ οἱονεὶ σφραγίζων αὐτὴν διὰ τοῦ φυλάρχου τῇ περιτομῇ, τήν τε πίστιν ἐπισημαίνεται τοῦ Πατριάρχου, καὶ τὸ γένος ἅμα ἐν ἀφορισμῷ συντηρεῖ. Ὁ τοίνυν ὅρκος παραβάσεως ἂν παρεῖχεν αἰτίαν, εὐλογουμένων μὲν ἁπάντων ἐθνῶν διὰ μόνου τοῦ κοινοῦ Σωτῆρος Χριστοῦ, οὐ φέροντος δὲ τὸ ἐπίσημον τῆς Ἀβραμιαίας σπορᾶς, ἥτις ἦν ἡ περιτομή. Ἵνα οὖν καὶ τῷ Ἀβραὰμ τὸ κεχαρισμένον πέρας ἡ ὑπόσχεσις ἀπολάβῃ, καὶ τὴν κατὰ τῆς ἀληθείας ὑπόληψιν (ἡ δέ ἐστιν ὁ Θεός) τῆς ψευδορκίας διαλύσῃ ("Ἐγὼ γάρ εἰμι, φησίν, ἡ ἀλήθεια καὶ ἡ ζωή"), τέμνεται τὴν σάρκα τῆς ἀκροβυστίας, ἐν τῇ τῆς χάριτος ἀπαρχῇ καὶ εἰσαγωγῇ (αὕτη δέ ἐστιν ἡ κλῆσις καὶ ἡ εὐλογία καὶ ἡ υἱοθεσία τῶν ἐθνῶν) τὴν νομικὴν πολιτείαν συμπεριγράφων καὶ συνεκπληρῶν. Καὶ πολλὰ ἄν τις ἕτερα τοιαῦτα κατὰ σχολὴν ἐπιθεωρήσοι, ὧν ὅ τε τῆς ἐπιστολῆς νόμος καὶ ἡ σὴ σύνεσις (τί γάρ; ἐκ τῶν εἰρημένων οὐκ ἐνῆν καὶ τὰ σεσιγημένα θηρᾶσαι;) ἐπεὶ μὴ ἡδὺ νομίζει, περιττὸν ἐκρίθη ἡ παράθεσις.*

ΕΠΙΣΤΟΛΗ ΚΣΤ'.—26.

Τῷ αὐτῷ.[2]

(Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, Ἀδελφοί, ὅτι πολλάκις προεθέμην, κ.τ.λ.—πρὸς Ῥωμ. Α', 13.)

" Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, Ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, " καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα τινὰ καρπὸν σχῶ" καὶ ἑξῆς. Τοῦτο δὴ τὸ χωρίον,

---

[1] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—κἀκεῖ.*

[2] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. Ψ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΨΛ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΞΔ'.*

Digitized by Google

οὐ τὴν διάνοιαν ἀναμαθεῖν ἐπεζήτησας, ἔστι μὲν καὶ καθ' ὑπερβατὸν[1] ἐκλαβεῖν, ἵν' ᾖ τὸ ἀκόλουθον τοιοῦτον· "οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα καρπόν τινα σχῶ καὶ ἐν ὑμῖν, ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο." Καὶ ἡ μὲν ἀπηρτισμένη τοῦ ῥητοῦ σύνταξις τοιαύτη ἂν εἴη, σαφῆ καὶ τὸν νοῦν τῆς περιόδου παρέχουσα. Ἀλλ' εἴποι τις ἄν, ὅτι, εἰ ἡ πίστις αὐτῶν ἐν ὅλῳ τῷ Κόσμῳ κατηγγέλλετο (τοῦτο γὰρ αὐτοῖς ἐμαρτύρησε πρὸ μικροῦ), τίνα καρπὸν ἤθελε παραγενόμενος αὐτὸς παρασχεῖν; Ἀλλὰ πολὺν μεν οὖν, ἐροῦμεν. Εἰ γὰρ καὶ ἐπεπιστεύκεισαν[2] ἐκεῖνοι, καὶ διὰ τὸ λαμπρὸν τῆς πόλεως εἰς πάντας ἐχύθη τῆς αὐτῶν πίστεως ἡ φήμη, παμπόλλων ὅμως ἐδέοντο· καὶ τοῦτο δῆλον ἔκ τε τοῦ πρὸ ὀλίγου εἰπεῖν "εἰς τὸ στηριχθῆναι ὑμᾶς" (τὸ γὰρ στηριχθῆναι τίνων ἄλλων ἢ τῶν σαλευομένων ἐστί;), καὶ πάλιν ἐν τοῖς ἔμπροσθεν, ἡνίκα μὴ κρίνειν ἀλλήλους, ἀλλὰ καὶ τὰς διχοστασίας ἐκκλίνειν καὶ τὰ σκάνδαλα παραινεῖ·[3] καὶ μυρία τις τοιαῦτα δι' ὅλης ἴδοι τῆς ἐπιστολῆς, δι' ὧν τὸ ἀτελὲς αὐτῶν καὶ νεοπαγὲς ἐπιδείκνυται. Οὐδὲν οὖν ἀπεικὸς καὶ τὴν πίστιν αὐτῶν καταγγέλλεσθαι, καὶ αὐτοὺς ἔτι πολλῆς δεῖσθαι τῆς ἐπικουρίας Παύλου, καὶ τῆς διὰ τῶν αὐτοῦ ῥημάτων ἀρδείας καὶ καρποφορίας. Ὅρα δέ, πῶς φησιν, "ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν," τοῦτο μὲν δεικνύς, ὡς ὁ[4] ἐκείνων καρπὸς οἰκεῖος ἐλογίζετο τῷ Παύλῳ καρπός, καὶ οὕτως ἔχαιρεν ἐν τοῖς τῶν πλησίον, ὡς εἴ τις ἄλλος ἐν τοῖς ἰδίοις κατορθώμασιν· "ἵνα τινά, φησί, καρπὸν σχῶ·" τὸν ἐκείνων καρπὸν καρπὸν οἰκεῖον τιθέμενος· τοῦτο δὲ πάλιν παριστάς, ὅτι τῆς αὐτῶν ἕνεκεν ὠφελείας τὴν πρὸς αὐτοὺς πορείαν ἐστέλλετο. Ἄλλως τε δέ, καὶ εἴ τις ἀκριβῶς ἐπισκοποίη, Παύλου καρπὸς ἀληθῶς ἐστιν ὁ ἐκείνων καρπός· ἔργον γὰρ ἦν ἐκείνῳ καὶ σπουδὴ καὶ γεώργιον ἡ τῶν ἀνθρώπων σωτηρία, καὶ τὸ καρποφοροῦντας αὐτοὺς ποραστῆσαι τὴν εὐσέβειαν καὶ τὰς ἀρετάς. Καλῶς οὖν φησιν "ἵνα τινὰ καρπὸν σχῶ," ἑκάτερον συντόμως τε λίαν[5] καὶ σὺν τῷ εὐφυεῖ ἐπίδηλον ποιῶν, καὶ τὸ ἐκείνους τὴν ἐν κατορθώμασι πίστιν καρποφορεῖν, καὶ τὸ αὐτὸν αὐτοὺς ἐκείνους· ἐν γὰρ τῇ ἐκείνων καρποφορίᾳ ἡ τοῦ Παύλου λαμπρῶς ἐδείκνυτο γεωργία. Ἀλλ' εἰ μὲν καθ' ὑπερβατόν τις εἰρῆσθαι τὸ χωρίον ἐκλάβοι, ἔχοι τὴν διάνοιαν οὕτως ἐξηπλωμένην· καὶ γὰρ πολλή τις τοῦ τοιούτου σχήματος τῷ μεγάλῳ Παύλῳ ἡ χρῆσις, ὥσπερ καὶ τῆς ἐλλείψεως,[6]

---

[1] Σχῆμα λόγου τὸ ὑπερβατόν, ἐν ᾧ ἡ αἰτία προτάσσεται, σαφηνείας χάριν, ὥς φησιν Ἑρμογένης· "Τὸ ὑπερβατὸν οὐ μόνον ἐστὶ καλὸν σχῆμα, ἀλλὰ καὶ ἀναγκαῖον· γίνεται δέ, ὅταν τὴν αἰτίαν τοῦ "λεγομένου, ἣν μέλλει ποθεῖν ὁ ἀκροατής, μέσην ὁ λέγων τάξῃ, καὶ οὕτω γίνεται σαφηνείας ὄργανον "τὸ ὑπερβατόν, κ.τ.λ." (Rhetores Graeci ex recognitione Leonardi Spengel. Vol. II. p. 438. Vol. III. p. 38 καὶ 136.)

[2] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἐπεπιστεύκασιν—παρὰ τοῖς ἄλλοις.

[3] Πρὸς Ῥωμ. ΙΣΤ', 17.

[4] Ἐξ Οἰκονόμου ἡ τοῦ ἄρθρου προσθήκη, ἐλλείποντος παρὰ τοῖς ἄλλοις.

[5] Ἐκ διορθ. τοῦ αὐτοῦ, ἀντὶ—τελειαν—παρὰ τοῖς ἄλλοις.

[6] Σχῆμα λόγου, καὶ ἐκ μόνου τοῦ ὀνόματος δῆλον. Ὅμως δὲ ἴδε περὶ τούτου ἐν τῇ ἄρτι εἰρημενῃ συλλογῇ τοῦ Λεονάρδου Σπεγγέλου Τόμ. Γ', σελ. 33, 46 καὶ 78. καὶ Κ. Ἀσωπίου "περὶ Ἑλλην. συντάξεως." Περίοδος Β', σελ. 836 κ. ἑξ. ἔνθα διὰ μακρῶν τὰ περὶ τούτου ἐξετάζεται.

Digitized by Google

καὶ τῶν περιβολῶν,[1] καὶ δὴ καὶ τοῦ ἀπὸ κοινοῦ,[2] καὶ κατὰ πᾶσαν ἰδέαν ἡ μεταχείρισις.

Ἀλλ' οὖν δυνατὸν καὶ μὴ καθ' ὑπερβατὸν εἰληφότα, ἀλλ' ὡς ἔχει τάξεως συντηρήσαντα, τοιοῦτον ἐν αὐτῷ θηρᾶσαι τὸν νοῦν. "Πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς." Διὰ τί οὖν[3] οὐκ ἦλθες; "Ἐκωλύθην, φησίν, ἄχρι τοῦ δεῦρο." Τίνος ἕνεκεν; "Ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν·" τοῦτ' ἔστι· διὰ τοῦτο ἐκωλύθην, ἵνα μὴ θᾶττον ἐλθὼν ἀκάρπους ὑμᾶς ἔτι καταλάβω. Καταλαβὼν γὰρ ἀώρους, ἐμεμψάμην ἂν ἐμαυτῷ μὲν τῆς ἀκαίρου ταχυτῆτος, καὶ ὑμῖν δὲ τῆς, ἐν οἷς οὐκ ἔδει, βραδυτῆτος.[4] Δι' ὃ ἀνεβαλόμην τὴν παρουσίαν, ἐλπίζων τὴν γεωργίαν, ἧς οὐχὶ μήπω πρὸς βλάστην ὁρώσης, ἀλλ' ἤδη καὶ τοῖς ἄνθεσιν ἐνυστερούσης, ὄκνος ἔχει παρεῖναι τὸν ταύτης ἐν ἀπολαύσει γενέσθαι ποθοῦντα. Ἐπειδὰν δὲ μετὰ τὴν βλάστην καὶ τὰ ἄνθη ἐπιφαίνηται καὶ τελεσφορουμένη, τότε χαρᾶς καὶ εὐφροσύνης ὁ πρὸς αὐτὴν πληρούμενος δρόμος, οὐκ οἶδε λογίζεσθαι πόνους, οὐδὲ πρὸς ἄλλα τὴν σπουδὴν καταμερίζειν. Τί οὖν; ἂν καὶ καρποφορῶσι, τίς ἡ χρεία τῆς παρουσίας Παύλου; Πολλὴ μὲν οὖν· οὐ γὰρ πάντα ἀνέμενε τὸν καρπόν, ἀλλά τινα· "ἵνα γάρ τινα καρπὸν σχῶ, φησί, καὶ ἐν ὑμῖν." Ὥσπερ δὲ περιττὸν καὶ μάταιον τὸν τελείως καρποφοροῦντα εἰς καρποφορίαν παρακαλεῖν, οὕτως ἐπίπονον καὶ ὀκνηρόν, ἂν μηδὲ χρηστὰς ἐλπίδας ὑπάρχῃ λαβεῖν, ἐπὶ τὰ τέλεια παραινεῖν. Εἰ δὲ καὶ καρπός τις ἦν, καὶ οὗτος τέλειος ἐν αὐτοῖς, οὐδ' οὕτως ἁπλῶς ἐνεκόπτετο τὴν παρουσίαν ὁ πτηνὸς ἐκεῖνος καὶ μετάρσιος ἄνθρωπος· ὀφειλέτην γὰρ ἑαυτὸν καὶ οἶδε καὶ ἀποκαλεῖ οὐχ Ἑλλήνων μόνον καὶ βαρβάρων, ἀλλὰ καὶ σοφῶν καὶ ἀνοήτων·[5] καὶ τῷ καθ' ἑαυτὸν προθύμῳ οὐχ ἵστατο μὴ πλείω τῶν ὄντων ἐπιζητεῖν. Ὥστε, εἰ[6] καὶ τοῖς ἔργοις ἐκόμων, αὐτὸς ἂν τὸ αὐτοῦ οὐκ ἀπέστη ποιῶν, ἀλλ' ἐπέκειτο προσθήκην μειζόνων ἐπιζητῶν. Ἀλλ' οὕτω μὲν καὶ ἡ τοιαύτη τοῦ ῥητοῦ διασάφησις.

Ἔστι δὲ καὶ ἄλλως τὸ νόημα συνιδεῖν, ἁπλουστέραν μὲν ἴσως τὴν ἐξήγησιν ἐκδεχόμενον, οἰκειοτέραν δ', οἶμαι, καὶ τῆς Παύλου διανοίας καὶ τῆς λέξεως· "Πολλάκις, φησί, προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς· ἀλλ' ἐκωλύθην ἄχρι τοῦ δεῦρο." Διὰ τί; "Ἵνα τινὰ

---

[1] Περὶ τοῦ σχήματος τούτου λέγει ὁ Ἑρμογένης· "Γίνεται τοίνυν περιβολὴ κατ' ἔννοιαν μέν, ὅταν ἤτοι ἔξωθέν τι προσλαμβάνῃς τούτῳ, περὶ οὗ ὁ λόγος, οἷον γένος εἶδει . . . . ἀόριστον ὡρισμένῳ . . . . ὅλον μέρει . . . . ἢ ὅταν μὴ ψιλὰ λέγῃς τὰ πράγματα, μηδὲ καθ' ἑαυτά, ἀλλὰ μετὰ τῶν παρακολουθούντων, οἷον τόπου, χρόνου, αἰτίας, τρόπου, προσώπου, κ.τ.λ. (ἔνθ. ἀνωτ. Τόμ. Β', σελ. 316 κ. ἑξ.)

[2] Σχῆμα "ἀπὸ κοινοῦ" γίνεται ὅταν λέξις τις ἅπαξ μὲν λέγηται, πολλάκις δὲ νοῆται. (ἔνθ. ἀνωτ. Τόμ. Γ', σελ. 46 καὶ 256). Παρ' Οἰκον. δὲ γέγραπται—τὸ ἀπὸ κοινοῦ—ἄλλ' ἄμεινον κατὰ Γεν. ὡς παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον. ἄνευ τοῦ—οὖν.

[4] Οὕτω παρ' Οἰκον. παρὰ δὲ τοῖς ἄλλοις—ταχύτητος . . . . βραδύτητος.

[5] "Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί" (πρὸς Ῥωμ. Α', 14).

[6] Προσέθηκα ἐξ Οἰκον. τὸν εἰ, ἐλλείποντα παρὰ τοῖς ἄλλοις.

Digitized by Google

καρπὸν σχῶ·" ἵνα εἴπῃς·[1] ἐνελείπετό μοι καρπός τις, ὃν ἔδει συλλέξαι πρότερον, εἶτα πρὸς ὑμᾶς παραγενέσθαι. Τίς οὖν ἦν[2] ὁ καρπὸς ἐκεῖνος, καὶ ἐν τίσι συνελέγετο; Αὐτὸς ἐκεῖνος ἐρεῖ· ἐπὶ γὰρ τῷ τέλει τῆς ἐπιστολῆς, ὥσπερ ἐπιλογιζόμενος αὑτῷ τὰ προοιμασθέντα, οὕτω φησί· "Δι' ὃ καὶ ἐνεκοπτόμην ἐλθεῖν πρὸς ὑμᾶς·" ὅπερ εἰς ταὐτὸν ἥκει τῷ "καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο·" εἶτα· "Νυνὶ δὲ μηκέτι ἔχων τόπον ἐν τοῖς κλίμασι τούτοις (ἀλλὰ πεπληρωκὼς δῆλον ὅτι τὸ ἔργον), ἐλεύσομαι πρὸς ὑμᾶς."[3] Ὁρᾷς, ὅτι τὸ ἕως τοῦ νῦν μὴ ἐλθεῖν ὁ ἐν τοῖς κλίμασιν ἐκείνοις συλλεγόμενος ἐπεῖχε καρπός; ἀτέλεστον γὰρ τὸν ἐν ἐκείνοις πόνον λιπεῖν οὐκ ἦν τῆς Παύλου ψυχῆς καὶ σπουδῆς. Καὶ ὅρα, ὡς ἡ τοιαύτη ἀνάπτυξις τοῦ ῥητοῦ οὔτε τοῦ κατὰ τὸ ὑπερβατὸν ἐδεήθη σχήματος, οὔτε μὴν ἔσχε τινὰς ἀντιπίπτοντας λογισμούς, ἀλλὰ καὶ προσήρμοσται μᾶλλον τῶν ἄλλων ταῖς τε λέξεσι καὶ τῷ τοῦ θεσπεσίου Παύλου σκοπῷ. Καὶ τὸ "ἐν ὑμῖν" δὲ οὐδαμῶς ἐναντιοῦται· ἀρχὴ γάρ ἐστι τῶν ἐφεξῆς, καὶ οὐ συναπτόμενον πρὸς τὸ "ἵνα τινὰ καρπὸν σχῶ·" οἷον· "καὶ ἐν ὑμῖν ὀφειλέτης εἰμί, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν, Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις." Ἵνα γὰρ μὴ λέγωσι· τί οὖν; τὸν μὲν ἐν τοῖς ἑτέροις κλίμασι καρπὸν διὰ σπουδῆς εἶχες συλλέγειν, ἡμῶν δὲ οὐδένα λόγον;[4] Ναί, φησί, καὶ ἐν ὑμῖν ὀφειλέτης εἰμί, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσι· τοῦτο σπεύδω· τοῦτο ἐπιζητῶ· πᾶσι χρεωστῶ· καὶ οὐδείς ἐστιν, ὑπὲρ οὗ μὴ πολλῇ συνέχομαι φροντίδι. Ἀλλὰ ταῦτα μὲν τέως ἐπὶ τοσοῦτον· τῆς γὰρ ἑρμηνείας ὁ τρόπος ἀλλοιότερος, ἢ ὃν ὁ τῆς ἐπιστολῆς ἐπιζητεῖ τύπος· δι' ὅπερ οὐδέτερόν ἐστι[5] καθαρῶς καὶ ὡς οἱ τῆς τέχνης νόμοι, κατ' ἐπιστολὴν ἑρμηνεύοντα, πράττειν. Ἂν δὲ καὶ τοῦ καθαρῶς ἑρμηνεύειν ὁ καιρὸς τὴν ἄδειαν δῷ, ἴσως, Θεοῦ βουλομένου, καὶ τελειότερον ἐμοὶ μὲν εἰπεῖν, σοὶ δ' ἀκούειν γενήσοιτο χάρις.

ΕΠΙΣΤΟΛΗ ΚΖ'.—27.

Τῷ αὐτῷ.[6]

(Διὰ τί ῥητορικαῖς ἰδέαις τὰς αὐτοῦ ἐπιστολὰς σχηματίζων ὁ Παῦλος, ὕστερα ἰδιώτην ἑαυτὸν ἐκάλει;)

Θαυμάζεις, εἰ τοιαύταις ἰδέαις τοῦ θείου Παύλου αἱ ἐπιστολαὶ σχηματίζονται (καί μοι μηδὲν τῆς ἀληθείας ἀχθεσθῇς), ὅτι οὔπω διέκυψας πρὸς τὸ βάθος τῆς ἐνούσης τῷ ἀνδρὶ

[1] Μοντακ. διορθοῖ—εἴπῃ·—ὅπερ ἄμεινον ἂν εἴη.

[2] Ἐλλείπει τὸ—ἦν—παρ' Οἰκονόμῳ.

[3] Πρὸς Ῥωμ. ΙΕ', 22 καὶ 23.

[4] Ἀπὸ κοινοῦ τὸ—εἶχες, ἢ ἐποιοῦ,—ὡς Οἰκον. φησίν· ὡς δὲ Μοντακ. ἐννοητέον τὸ—ἐποίησας·—ἀλλ' ἄμεινον τὸ Οἰκονόμου.

[5] Ἐλλείπει τὸ—ἐστὶ—παρὰ Μοντακ.

[6] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΨΑ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΨΒ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΞΕ'. Εὕρηται δὲ καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ Γαλλιστὶ μεθηρ-

Digitized by Google

μελέτη, τῆς ἄνωθέν σοι
σε τοσαύτη[1] σοφίας
ἔχει. Καὶ οὔπω γε τὴν
τῶν ἀποστόλων ὤφθης)· ἀλλ'
τῷ λόγῳ; ὥσπερ
τῶν Ἀποστόλων, ὡς
ὡς μὴ ὢν ἄξι-
ὡς θέατρον
ἐν βάρει εἶναι
κοπιάσας,[3]
τῷ Θεῷ ἀφωρι-
κατήκοος,[5]
τοῦ Ἰησοῦ, ἀλλὰ
ἔστιν οὖν ἔκτρωμα, καὶ
οὕτω καὶ ἰδιώτης τῷ
τὸ βάθος,
Τί οὖν; ἐν σοφίᾳ
ἢ καὶ ἰδιῶται σοφί-
σοφία; Καὶ τίς ἂν
τοῦ Σταυροῦ τοῦ Χριστοῦ μωρίαν κατεργάζεται[8] ἡ τῶν
τέχνη τῶν

ἐκεῖνῳ αἰσθανό-
in Esprit de ce divin apôtre,
dans ses Épîtres, plus spécialement
dans la première aux Corinthiens. Elle est adressée à
Corinthe, cette grande cité de Macédoine.

[1] Α' τῶν Κορινθ. Α. 22.—[2] τῶν Κορινθ. Γ' 3. καὶ Α. 4.—[3]

[4] Α' τῶν Θεσσαλ. Β'. 9. καὶ Α' τῶν Κορινθ. Γ'. 21.

[5] Τῶν Γαλατ. Α. 15. καὶ τῶν Ῥωμ. Α. 1.

[6] Β' πρὸς Κορινθ. ΙΒ'. 4.

[7] Α'. 18. καὶ Α. 21.

ἡμῶν οὐ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ." (Α' πρὸς Κορινθ. Β', 5.)

γὰρ ὁ τοῦ Σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σῳζομένοις ἡμῖν δύναμις Θεοῦ
ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. Ποῦ σοφός;
ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ Κόσμου
Α', 18—21.)

Digitized by Google

κακοσχόλων σοφισμάτων.—Θνητὴ ἡ ψυχή, ὅτι συμμερίζεται καὶ συμπάσχει τῷ σώματι. Οὐκ ἔχει δημιουργὸν ὁ Κόσμος, ὅτι οὐχ, ὥσπερ τὸ πῦρ, ἐθέλει οὐδὲ τὸ ὕδωρ φέρεσθαι.[1] Κοινὸς ὁ γάμος, ὅτι μᾶλλον οὕτως ἡ πόλις φιλάλληλος. Ἐκ τῶν νεκρῶν οἱ ζῶντες· καὶ γὰρ ἐκ τοῦ ἵστασθαι καθεζόμεθα. Πολλοὺς δὲ δεῖ καὶ θεοὺς εἶναι, ὅτι πλείονα τὰ προνοούμενα, καὶ φόβος καμεῖν τὸν ἕνα, τῇ κοινῇ φροντίδι ἐνασχολούμενον· ἢ ὅτι τὸν πρῶτον ἀνάγκη πείθει παράγειν καταδεέστερον, ἵνα μὴ τῆς ἀρχῆς περιαιρεθῇ τὸ προνόμιον· καὶ τὸν δεύτερον πάλιν ὑφειμένον ἄλλον· καὶ τοῦτο εἰς ἄπειρον.—Τὰ μωρὰ ταῦτα καὶ παρανοίας ἐσχάτης ἐπέκεινα, καὶ ψυχῆς ὄντως θνητῆς, καὶ τοῦ κωνίου[2] ἄξια, ταύτην τοῦ αἰῶνος τὴν σοφίαν, Παῦλος ὁ τὰ θεῖα τῷ ὄντι σοφὸς καὶ τὰ ἀνθρώπινα, διὰ τῆς ἐν μυστηρίῳ Θεοῦ σοφίας τῆς οἰκουμένης ἀπήλασε, καὶ τὰς τῶν πιστῶν διανοίας ἀβάτους αὐτῇ συνετήρησεν. Ἡ τοιαύτη σοφία μωρία παρὰ τῷ Θεῷ· τῶν ταύτῃ σοφῶν οἱ λογισμοὶ μάταιοι, καὶ ταῖς οἰκείαις πανουργίαις ἁλισκόμενοι, τῷ ἁπλῷ τῆς ἀληθείας λόγῳ περιδράσσονται.[3] Ταύτην, ὥσπερ πάλαι, οὕτω δὲ καὶ νῦν, ἅπας εὐσεβὴς διαπτύει λογισμός, τοὺς μακροὺς λήρους, τὰ ψυχικὰ βάραθρα, τὰ τοῦ πονηροῦ θήρατρα, τὸ μέγα τῆς ἀπωλείας ἐργαστήριον.

Τῶν δέ γε ῥημάτων καὶ τῆς δι' αὐτῶν συνθήκης ἡ ὀρθότης τί λυμαίνεται τῇ εὐσεβείᾳ; τίνα βλάβην φέρει τοῖς χρωμένοις; πρὸς ποίαν ὑποσκελίζει μικρὰν ἢ μεγάλην πλάνην; Εἰ δ' ὁ τῆς φύσεως πλάστης αὐτὸς καὶ τῶν γλωσσῶν ὁ τεχνίτης, πῶς οὐκ ἔστιν ἀκόλουθον μᾶλλον τοὺς μαθητὰς τοῦ Λόγου τῷ καθήκοντι κεχρῆσθαι λόγῳ; Οὐκοῦν οὐ προσελάβετο μαθητὰς ὁ Χριστὸς ἰδιώτας; καὶ μάλιστα, φαίην ἂν ἔγωγε, καί, εἰ βούλει γε, καὶ τῶν ἰχθύων, οὓς ἐθήρων, ἀφωνοτέρους· ἀλλ' ὥσπερ ἰδιώτας, οὕτω καὶ τελώνας καὶ ἁλιεῖς. Μήτι τελώνας ἢ ἁλιεύειν ἀπέλιπεν; Καὶ ποῦ τοῦτο θαύματος, ἢ τῆς Χριστοῦ δυνάμεως ἄξιον; πῶς δ' ἄν τις διαδύσῃ[4] τὸν ἐπὶ τῶν ἔργων αὐτῶν ἔλεγχον; Οὕτως οὖν οὐδ' εἰς ἰδιώτας ἀφῆκεν, οὓς ἐκεῖθεν προσείληφεν· ἀλλ' ἀντὶ μὲν ἁλιέων, ἁλιεῖς ἀπετέλεσεν ἀνθρώπων ("Δεῦτε γὰρ ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων"[5])· ἀντὶ

---

[1] Μοντακ. εἰκάζει προσθετέον εἶναι τὸ ἐπιῤῥῆμα—ἄνω· "οὐδὲ τὸ ὕδωρ ἄνω φέρεσθαι."

[2] Οὕτως ἄμεινον παρ' Οἰκονόμῳ ἢ παρὰ τοῖς ἄλλοις—κωνείου·—οὐ γὰρ ἐκ τῆς εὐθείας—κώνειον (τὸ)—ἡ γενικὴ αὕτη, ἀλλ' ἐκ τῆς—κωνίας (ὁ),—ἐξυπονοουμένου τοῦ οὐσιαστ. οἶνος· λέγεται δὲ κωνίας καὶ κωνίτης (οἶνος) ὁ ἐν ἀγγείοις κεκωνισμένοις (=πίσσῃ ἢ ῥητίνῃ ἀλληλειμμένοις) διατηρούμενος, ὁ νῦν κοινῶς λεγόμενος ῥ ε τ σ ι ν ά τ ο ς (ἐκ τοῦ ῥητινίτης ἢ ῥητινίας)· τὸ γοῦν ἐν τῷ κειμένῳ—κωνίου ἄξια—ἴσον δύναται τῷ "λόγοι μεθύοντος" ἢ ὡς ἄν τις εἴποι κοινῶς "μεθυσμένα λόγια" ἢ "τοῦ κρασιοῦ λόγια." Μοντακούτιος δὲ γράψας—κωνείου (=δηλητηρίου), οὕτω καὶ μετέφρασε Λατινιστί "cicutam merentur·" ὃ δὴ καὶ Ἰάγερος οὐκ ὤκνησε Γαλλιστὶ μεθερμηνεῦσαι "et meriter la ciguë·" ἀλλ' ἀμφότεροι πεπλάνηνται τῆς γραφῆς ἕνεκα, καὶ Μίγνιον τῇ πλάνῃ συνεφείλκυσαν, οὕτω κἀκεῖνον γράψαντά τε καὶ μεταφράσαντα.

[3] "Ἡ γὰρ σοφία τοῦ Κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι. Γέγραπται γάρ· ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν." (Παῦλος ἔνθ. ἀνωτ. Γ', 19.—Ἰώβ, Ε', 19.)

[4] Ἴσως ἐγέγραπτο—διαδύσηται·—μέσῳ γὰρ ἀεὶ χρῆσθαι τῷ ῥήματι τούτῳ εἰώθασιν· εἰ δὲ καὶ σπανίως εὕρηταί που τὸ ἐνεργητικόν, ἀλλ' οὖν γε ἐνταῦθα τὸν μέσον ἀπαιτεῖ τύπον ἡ ἔννοια.

[5] Ματθ. Δ', 19.

Digitized by Google

τελωνῶν δέ, ψυχῶν χειμαζομένων σωτῆρας· καὶ ἀντὶ ἰδιωτῶν, τῆς οἰκουμένης διδασκάλους, τῆς τε θείας καὶ οὐρανίου σοφίας ἐμπλήσας, καὶ τῆς ἀνθρωπίνης, ὅπου χρεία καλεῖ, οὐδὲν ὑστερουμένους ἀποφήνας. Ἐπεὶ πῶς Στωϊκοῖς, πῶς Ἐπικουρείοις, πῶς μυρίαις ἄλλαις πλάναις, ἐπὶ λόγοις μέγα ὄνομα λιπούσαις, κατὰ λόγους συνεπλέκοντο; πῶς ὁ τοῦ λόγου δρόμος, καὶ τῶν ῥημάτων ἡ εὔροια, συνδεδραμηκότα τῷ θαύματι, Ἑρμῆν νομισθῆναι τὸν Παῦλον τοῖς ἀκροαταῖς παρεσκεύασε, καὶ εἴ γε μὴ φθάσας αὐτὸς τοὺς χιτῶνας διέσχισε, καὶ γέρας ἂν αἱ θεῶν αὐτῷ θυσίαι δημοτελῶς προσεφέροντο;[1] Ἐῶ νῦν τὴν ἄλλην αὐτοσχέδιον ἰσχὺν τοῦ λόγου, τὴν ἐν ἐκκλησίαις, τὴν ἐν δήμοις, τὴν ἐν δικαστηρίῳ, τὴν κατὰ συναγωγὰς Ἰουδαίων, τὴν ἐν ἀγορᾷ, διδάσκοντος, διελέγχοντος, παραινοῦντος, ἀπολογουμένου, διαμαρτυρομένου, ὅση κατ' ἄνδρα, ὅση κατὰ πλῆθος, ὅση πρὸς δικαστάς, ὅση πρὸς συκοφάντας· ὡς εἶλε λέγων τὸν βασιλέα τῶν Ἰουδαίων, καὶ μικροῦ ἂν οὗτος εἰς Χριστιανοὺς μετετάξατο,[2] εἰ μὴ τῆς ἀρχῆς καὶ τῆς ἀλουργίδος τὸ φύσημα (ὃ πολλοῖς πολλάκις εἰς τὰ καίρια ἐλυμήνατο) ἐμποδὼν αὐτῷ κατέστη πρὸς τὴν ἀκρίβειαν τοῦ κηρύγματος· ὡς ἔσχισε δημηγορήσας τοὺς κατ' αὐτοῦ φονῶντας,[3] καὶ τοὺς διψῶντας τοῦ αἵματος ἀναλαβεῖν τὰς ὑπὲρ τῆς αὐτοῦ σωτηρίας φροντίδας ἀνέπεισεν· ὡς ἐπὶ τὸν Ἄρειον ἀνέβη Πάγον, ἀνδρῶν ἐν μέσῳ τοῖς λόγοις φλεγμαινόντων,[4] Ἄρειον Πάγον ἐκεῖνον, οὗ καὶ θεοὺς παρ' ἀλλήλων καὶ πρὸς ἀνθρώπους δίκας καὶ λαβεῖν καὶ δοῦναι μῦθοι χαίρουσιν Ἑλληνικοὶ διηγούμενοι·[5] ὅπως ἐκεῖσε καταστάς, οὐ πρὸς ἕνα λόγον ὑποσχεῖν, ἀλλὰ πρὸς ἅπαντας τοὺς ἐν ἀνθρώποις λογίους (εἴπερ Ἀθηναῖοι μὲν τότε τῶν ἄλλων ἀνθρώπων, Ἀθηναίων δὲ οἱ ἐν Ἀρείῳ Πάγῳ τὸ κράτος εἶχον), οὕτω κατέσεισεν αὐτῶν τοῖς λόλοις τὰς ψυχὰς καὶ μετεσκεύασεν, ὡς πολλοὺς αὐτῶν τῆς ἐκείνου γλώττης καὶ τῶν ῥημάτων ἐκκρεμασθέντας, ῥίψαντας ἅπαντα, διὰ βίου παντὸς πρὸς τὴν εὐσέβειαν μεθαρμόσασθαι, καὶ μιμητὰς ὀφθῆναι τοῦ διὰ βάθους αὐτῶν ταῖς ψυχαῖς τὰ τῆς ἀρετῆς καί τῆς ὀρθῆς λατρείας ἐγχαράξαντος δόγματα.

Ἆρα ταῦτα καὶ τὰ τοιαῦτα χωρὶς λόγου τοῦ καθήκοντος; Καὶ τίς ἂν αὐτῷ τὸν νοῦν βαρβαρίζοντι προσεῖχε, καὶ μηδ' ἐν αὐταῖς ὀρθῶς ταῖς φωναῖς φερομένου; Πῶς δ' οὖν, ἃ μηδὲ λέγειν ᾔδει, ταῦτα φρονεῖν ὀρθῶς ἔδοξεν ἄλλοις;[6] μή τι γε καὶ συμφρο-

---

[1] Πράξ. ΙΔ, 11—19.

[2] "Ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη· ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι κ.τ.λ."—Πράξ. ΚΣΤ', 24—32.— Ἡ δὲ Αἰτιατ. αὐτόν, ἣν Μοντακ. εἰκάζει προσθετέαν εἶναι ἐνταῦθα, περιττὴ πάντως.

[3] "Τοῦτο δὲ αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων, καὶ ἐσχίσθη τὸ πλῆθος.—Πράξ. ΚΓ', 6—9.

[4] Αὐτόθι, ΙΖ', 16 κ. ἑξ.

[5] Ἀπολλοδ. Βιβλιοθ. Γ', ιδ'.—Περὶ δὲ τοῦ Ἀρείου Πάγου ἐν γένει ἴδε ἐν τῷ Σμιθίου Λεξικῷ τῆς Ἑλλην. Ἀρχαιολογίας (σελ. 73—79, μετάφρ. Δ. Πανταζῆ. ἐν Ἀθήναις 1860).

[6] Μοντακ. γραπτέον εἶναι οἴεται—ἄλλους·—ἀλλ' οὐκ ἔῤῥωται ἡ διόρθωσις· ἄμεινον δὲ κατὰ Δοτικὴν γράφειν, καὶ ἐρωτηματικῶς, ἃς παρ' Οἰκονόμῳ.

Digitized by Google

νεῖν αὐτῷ πειθομένους εἶχεν;[1] Ἀλλὰ χάρις ἄνωθεν ἐνήργει· κἀγώ γέ φημι πάντων μάλιστα, χάρις ἄνωθεν, οὐ τέχνη· τὸ μὲν γὰρ ἐκ τέχνης ἀνθρώπινον καὶ κοινόν, τὸ δὲ ἐκ χάριτος οὐράνιον καὶ τῶν Ἀποστόλων. Χάρις ἐνήργει· ἀλλ' αὐτό γε τοῦτο πρῶτον ἐνεργοῦσα, τὸ μηδὲν αὐτῆς ἀνάξιον φθέγγεσθαι τοὺς ὑπηρέτας· οὐδὲ γὰρ τοῦτο μικρότερον,[2] ἐνάγειν τοὺς ἀνθεστηκότας εἰς συναίσθησιν τῆς ἐνισχυούσης αὐτοὺς ἀμάχου δυνάμεως. Καὶ γάρ πού φησι, " θεωροῦντες δὲ οἱ Ἰουδαῖοι τὴν τοῦ Πέτρου παῤῥησίαν καὶ Ἰωάννου· " ποίαν; ἢ τὴν ἐν λόγοις δῆλον ὅτι, δι' ὧν αὐτοῖς καὶ τὴν ἀναίσχυντον ἐρώτησιν ἐπεστόμισαν. Εἶτα τί; " καὶ καταλαβόμενοι, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον."[3] Ἀλιεῖς ὁρῶμεν ἄφωνα ῥήτορας, γραμμάτων τέχνην οὐκ ἔχοντας, καὶ σοφίαν χειλέων προχέοντας. Τί τοῦτο; πόθεν αὐτοῖς τὰ ὑπὲρ ἄνθρωπον παραγέγονεν;[4] ἴσμεν, ὅτι τῷ Ἰησοῦ συνῆσαν. Ὁρᾷς, ὅπως εἰς θαῦμα τοὺς ἐχθροὺς οὐδὲν ἔλαττον τοῦ παρὰ πόδας τερατουργηθέντος[5] ἡ τῶν λόγων ἰσχὺς ἐξεκαλεῖτο, καὶ πρὸς ἐπίγνωσιν, ἔπερ ἤθελον, τῆς ἀληθείας προεβίβαζεν; Ὅρα καὶ ἑτέρωθεν, εἰς ὅσον αὐτῶν ἐδεδίεσαν τὸ ἐν λόγοις κράτος. Παρήγγειλαν αὐτοῖς τὸ καθόλου μὴ φθέγγεσθαι. Τί λέγεις; ἂν μόνον χείλη ὁ ἀγράμματος κινήσῃ, αὐτίκα σοι μεταπίπτει τὰ τῆς δόξης, καὶ παλαιὸν οὕτω δόγμα τῆς μακρᾶς ἐπικρατείας ὑπεξίσταται τῷ ἰδιώτῃ λόγῳ, καὶ μεθίσταται λαὸς πρὸς νέαν γλῶτταν, ὁ Μωσαϊκοῖς θεσμοῖς ἐντεθραμμένος, καὶ ζῆν καὶ θνήσκειν πρὸς τὴν ἐκείνων ἀρχαιότητα κεκροτημένος; Ναί, φησίν· οὐ γὰρ ἰδιωτικὰ ὁ ἰδιώτης, ἀλλὰ σοφίας ῥήματα φθέγγεται· οὐδ' ὡς ἀγράμματος βάρβαρα, ἀλλ' ὡς διὰ πάσης τέχνης ἐλάσας, κεχαριτωμένα καὶ εὔσημα· ἔστι τις αὐτῶν ἐγκαθημένη τοῖς χείλεσιν ἔμφυτος πειθώ, δι' ἧς καὶ ῥητόρων ἔθνη, καὶ ἰδιωτῶν ἀγέλαι, ὥσπερ δεσμοῖς ἀλύτοις δεθέντα, πρὸς τὸ κηρυττόμενον αὐτοῖς ἕλκεται. Διὰ τοῦτο φθέγγεσθαι κωλύω, ὅτι ῥήμασιν ὀλίγοις πολλοὺς ἀφέντας τὰ πάτρια ἐκείνοις ὁρῶ προσχωρήσαντας· ὅτι μᾷ πολλάκις ὁμιλίᾳ καὶ τοὺς σὺν ἡμῖν ἑκάστοτε κατ' αὐτῶν ἱσταμένους, καὶ πολεμιωτάτους ὄντας, νῦν ὑπηκόων ἔχει καὶ μαθητῶν εὐγνωμόνων τάξις. Τοῦτό με σιγᾷν αὐτοὺς ἐπιτάττειν περιίστησιν εἰς ἀνάγκην. Διὰ τοῦτο μηδὲ στόμα αἴρειν οὐκ ἐπιτρέπω, διὰ τὴν ἐν λόγοις παῤῥησίαν, τὴν ἰσχὺν, τὴν χάριν, τὴν ἔμφυτον πιθανότητα.

Εἶδες τοὺς Ἰουδαίους ὅσον ὁ διδασκαλικὸς τῶν Ἀποστόλων λόγος ὑποπτήσσειν καὶ καταπεπλῆχθαι παρεσκεύαζε; καίτοι Παύλῳ περισσότερον ἡ τοιαύτη περιήστραπτε χάρις. Βούλει δέ σοι τὸν κορυφαῖον καλῶμεν μάρτυρα τῆς ἐνούσης τῷ ἀνδρὶ σοφίας;

---

[1] *Καὶ τοῦτο παρὰ Μοντακ.—ἔχειν—διορθοῦται, οὐδὲν δέον. Τὸ δὲ ἐρωτηματικὸν Μίγνιος προσέθηκεν, ἐλλεῖπον παρὰ τοῖς ἄλλοις.*

[2] *Παρ' Οἰκον.—μικρόν.*

[3] *Πράξ. Δ', 13.*

[4] *Παρ' Οἰκον.—περιγέγονεν.*

[5] *Τὸν ἐκ γενετῆς λέγει χωλόν, ὃν Πέτρος πρὸς τὴν θύραν τοῦ ἱεροῦ καθήμενον ἰδὼν ἐθεράπευσεν, εἰπὼν αὐτῷ· " Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειραι καὶ περιπάτει." (Πράξ. Γ', 1—11.)*

Digitized by Google

" καθώς, φησίν, ὁ ἀδελφὸς ἡμῶν Παῦλος κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν ἔγραψε,"[1] δῶρον θεῖον τὴν Παύλου σοφίαν καὶ εἰδὼς καὶ διαμαρτυρόμενος. Εἶτα καὶ τὸ βαθὺ καὶ πυκνὸν τῶν γεγραμμένων οἷον ἀποθειάζων καὶ ἐξυμνούμενος, " ἐν οἷς ἐστι, φησί, δυσνόητά τινα," ὡσανεὶ[2] φρενὸς ὀξείας δεῖται, ῥοπῆς θείας, σοφῶν μαθητῶν, συνέσεως σταθερᾶς, ὁ τῶν γραμμάτων Παύλου θεωρός. Διὰ τοῦτο οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι πρὸς τὸ μηδὲν κερδαίνειν καὶ σφᾶς αὐτοὺς διασφάλλοντες, προσαπόλλυνται. Εἰ δὲ καὶ γλωσσῶν ὁ Παῦλος, αἷς μηδ' ἐνείθιστο, μηδ' εἰς ἀκοῆς ἀφῖκτο πεῖραν, τὴν χάριν ἐπλούτει, κἂν ταύταις οὐδενὶ τῶν πρωτείων ἐξίστατο (" Εὐχαριστῶ γὰρ τῷ Θεῷ μού, φησί, πάντων μᾶλλον γλώσσαις λαλῶν "[3])· εἰ τοίνυν κἂν ταῖς ἐκφύλοις γλώσσαις ἄμαχον εἶχε τὸ κράτος, τῆς τοῦ Πνεύματος αὐτὸν σοφιζούσης ἐπινοίας, πῶς ἂν αὐτὸν διαφθείρειν λόγος,[4] καὶ τότε οὖσαν ἐθάδα, δέξαιτο τὴν Ἑλλάδα; καὶ δι' ὧν μὲν οὐ πολλοὺς ἔμελλεν εἰς εὐσέβειαν αἱρήσειν, ἐν ταύταις τὸ ἀριστεῖον ἔχειν, δι' ἧς δὲ σχεδὸν ἅπαντας ἀνθρώπους, ἐν ταύτῃ γέλωτος αἰτίαν καὶ χλεύης παρέχειν; Καὶ μὴν οὐχ οὕτως εὐχερὴς[5] εἰς λόγους οὐδὲ τοῖς ἐχθροῖς ἐνομίζετο· ἃ δὲ [παρὰ[6]] τοῖς ἐχθροῖς εἰς ἔπαινον ὁρᾷ μαρτυρίας, οὐκ ἔστιν ὅστις οὐκ ἂν ἐκδυσωπηθείη, κἂν μέγα θέλῃ φρονεῖν ἐπὶ τῷ πάντα φιλόνεικος εἶναι. Καί μοι πρόσεχε τῇ μαρτυρίᾳ. Ἐδίψα τὸ Ἰουδαίων ἔθνος τοῦ αἵματος Παύλου, ἐπεὶ τῷ οὐρανίῳ φωτὶ περιαστραφθεὶς ἐκεῖνος, ὅλος μετέστη πρὸς ὃν ἐδίωξεν·[7] ἐδίψα δὲ τότε μᾶλλον, καὶ πρὸς τὴν μιαιφθονίαν ἀνεφλέγετο, ὅτε τὰς συναγωγὰς αὐτῶν τὸ ἐκείνου κήρυγμα κεκενωμένας αὐτοῖς ἀπελίμπανε· καὶ δὴ πᾶσα μὲν αὐτοῖς συκοφαντίας τέχνη, πᾶσα δὲ μηχανὴ ἐκεκίνητο· οὐκ ἀργυραῖς δὲ ἄρα λόγχαις[8] μόνον, ὃ λέγεται,[9] ἀλλὰ καὶ ψεύδους, καὶ ἀπάτης, καὶ ὀργῆς, καὶ θράσους, πρὸς τὴν τοῦ ἀνδρὸς σφαγὴν τοὺς ὁμοφύλους ἐξώπλιζον,

---

[1] Πέτρου Ἐπιστ. Β', κεφ. Γ', 15.

[2] Ἐξυπακουστέον κατ' Οἰκονόμον τὸ—ἔλεγεν.

[3] Α' πρὸς Κορινθ. ΙΔ', 18· ἔνθα καὶ γέγραπται " πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν. "

[4] Οἰκονόμος μὲν εἰκάζει τὸ—λόγος—γραπτέον εἶναι πρὸ τοῦ " δέξαιτο," ὡς ἀβλεψίᾳ τοῦ ἀντιγραφέως μετατοπισθέν· ἔγωγε δὲ καλῶς ἔχειν ἡγοῦμαι τὸ γεγραμμένον· τὸ γὰρ—καὶ τότε οὖσαν ἐθάδα—ὡς παρένθεσιν ἐκληπτέον, τὴν αἰτιατ.—Ἑλλάδα—προσδιορίζουσαν, ὅπως ἔχῃ τὸ ἑξῆς· " πῶς ἄν τις αὐτὸν διαφθείρειν λόγος δέξαιτο τὴν Ἑλλάδα (γλῶσσαν), καὶ τότε (=καὶ ταῦτα) οὖσαν ἐθάδα;" εἴρηται δὲ τὸ " ἐθάδα" ἀντιθέτως τῷ προηγουμένῳ " ἐκφύλοις γλώσσαις."

[5] Εὐχερὴς = εὐχείρωτος, εὐάλωτος, ἀσθενής (σημ. Οἰκον.)

[6] Ὀρθῶς εἶκασεν Οἰκον. προσθετέαν εἶναι τὴν—παρά.

[7] Παρ' Οἰκον.—ἐδίωκεν.— Μοντακ. δὲ διορθοῖ—ἐδίωξαν (οἱ Ἰουδαῖοι δῆλον ὅτι).

[8] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις κατ' ὀνομαστ.—ἀργυραῖ λόγχαι.

[9] ...ται τὸν Φιλίππῳ δοθέντα χρησμόν, περὶ οὗ Σουΐδας φησίν· " Ἀργυρέαις λόγχῃσι μάχου, καὶ ...ήσεις (παρ' ἄλλοις—νικήσεις)." Παροιμία, ἐπὶ τῶν δώροις τινὰ πείθειν πρὸς τὰ δυσκατόρθωτα· τοῦτον γὰρ τὸν χρησμὸν ἡ Πυθία ἔχρησε Φιλίππῳ, αἰνιττομένη διὰ προδοσίαν περι... Ἑλλάδος. Ἴδε καὶ Παροιμ. Ἕλλην. σελ. 172, ἔκδ. Γαισφόρδου· ἐν Ὀξωνίᾳ 1836.

Digitized by Google

καὶ τὰς χεῖρας ἤδη ταῖς ἐλπίσι σταζούσας εἶχον θερμοῦ τοῦ μιάσματος.[1] Ἐπεὶ δὲ μάτην αὐτοὺς ἀνασκιρτῶντας καὶ χαίροντας αἱ ἐλπίδες ἀπέλιπον, κρείττονος[2] τοῦ ἀριστέως ἁπάντων μηχανημάτων ταῖς ἀπολογίαις καθισταμένου, τελευταῖον πρὸς τὸ ἐν λόγοις κράτος καὶ τὸ ἀνεπηρέαστον ἀπορούμενοι, ῥήτορά τινα μισθοῦ ποιοῦνται τῶν συκοφαντηθέντων συνήγορον,[3] οὐκ ἂν ἔτι διαδῦναι τὰς ἐκείνου τέχνας καὶ πλοκὰς τῶν λόγων τὸν γραφόμενον, κἂν μυριάκις εἴη ἀναίτιος, οὐδ' ὁπωσοῦν ἐν ἀμφιβόλῳ τιθέμενοι. Ἀλλ' ὅ γε σοφὸς τῷ ὄντι Παῦλος ὅσα τε θεῖα καὶ ὅσα ἀνθρώπινα, καὶ πρὸς τὸν οὕτω τῇ τέχνῃ καὶ τῷ μισθῷ παρεσκευασμένον, διὰ τῆς ἄνωθεν δῆλον ὅτι χορηγουμένης αὐτῷ σοφίας καὶ χάριτος, οὕτως ἀντικατέστη τοῖς λόγοις καὶ διηγωνίσατο, αὐτὸν μὲν τρεψάμενος καὶ καταισχύνας αὐτῇ τέχνῃ καὶ μισθαρνίᾳ, τοὺς δὲ Ἀρχιερεῖς καὶ ἱερεῖς, καὶ ὅσοις ὁ κατ' αὐτοῦ συνεκεκρότητο φόνος, ἐκπλήξεως καὶ ἀμηχανίας ἐμπλήσας, ὥστε μὴ μόνον αὐτοῖς τῆς τοιαύτης ἐπιχειρήσεως μεταμέλειν, ἀλλὰ καὶ σιωπῆς, καίτοι πλέον τῷ θυμῷ ἠγριωμένοις, ὅλα δύο ἔτη καταδίκην σφίσιν ἐπιθεῖναι.[4]

Ὁρᾷς, ὅπως τοὺς ἐχθίστους καὶ ἄκοντας ἡ τῶν τοῦ ἀριστέως λόγων δύναμις εἰς μαρτυρίαν ἐξεβιάσατο; Ὅτε δὲ καὶ τοῖς ἐχθροῖς ἡ Παύλου σοφία ἔργῳ καὶ λόγῳ διαβεβόηται, πῶς[5] τοῖς ἐκεῖθεν τὰ τῆς εὐσεβείας μεμυημένοις οὐ διαφερόντως καὶ ἀξίως τιμηθήσεται; Καὶ μή με νομίσῃς σοφίαν λόγων καὶ κράτος λέγειν καὶ δύναμιν, τὴν περίεργον ταύτην καὶ σοβοῦσαν, καὶ κομμωτικοῖς φαρμάκοις καὶ ἄνθεσι τὸ ἔμφυτον κάλλος τοῦ λόγου νοθεύουσαν, καὶ τοῖς ἐπιπλάστοις χρώμασι τὸ μειρακιῶδες καὶ ἔκλυτον πρὸς ἑαυτὴν ἐπιστρέφουσαν·[6] μηδ' αὖ ἐκείνην, ὅση τὸ σκυθρωπὸν καὶ ἀμειδὲς ἐπ' οὐδενὶ χρηστῷ ὑποδύεται, βαθεῖ τε τῆς ἀσαφείας ὑποκαθημένη σκότῳ, καὶ τοὺς ἀμαθεῖς καὶ ἀγελαίους τῷ περὶ αὐτὴν ζόφῳ συγχέουσά τε καὶ καταπλήττουσα, τυφλοὺς ἐραστὰς ἐπισυρομένη καλλωπίζεται·[7] οὐδ' ὅση πρὸς τὸ ποιητῶν αὐτόνομον ἐκτραχηλίζεται, τὰς νεωτερικὰς ὁρμὰς ἑταιριζομένη καὶ διαπαίζουσα.[8] Ἀλλ' ἐκείνην ἔγωγέ φημι, ὅση σώφρων μὲν ἀπαγγέλλειν, κοινὴ δὲ διδάσκειν, πρώτη δὲ παιδεύειν, μόνη δὲ συμπείθειν, εὔσημος δὲ διὰ τῶν συγγενῶν νοημάτων τὴν τῶν πραγμάτων φύσιν ἀναπτύσσειν, καὶ εἴ που χρεία ἐμφάσεως, μυστικῶς εὖ μάλα καὶ τελεστικῶς ἀνακαλύπτειν τὴν τῶν κεκρυμμένων ἀλήθειαν· ταῦτα μὲν γὰρ τῆς

---

[1] Οὕτω μὲν γέγραπται παρὰ πᾶσιν· Οἰκονόμος δέ φησιν ἔν τισι χειρογράφοις τῶν Ἀμφιλοχίων—αἵματος—γεγράφθαι. (Ἀμφιλοχ. σελ. 374, ἔκδ. Οἰκονόμου.)

[2] Οὕτως ἄμεινον παρ' Οἰκονόμῳ ἢ παρὰ τοῖς ἄλλοις—κρείττω.

[3] Τέρτυλλος οὗτος καλεῖται ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων (ΚΔ', 1).

[4] Αὐτόθι, 27.

[5] Ἐλλεῖπον ἐν τῷ χειρογράφῳ τῶν ἐπιστολῶν τὸ ἐπίῤῥημα—πῶς—Μοντακ. προσέθηκε μετὰ τοῦ "ἔτι" —πῶς ἔτι·— ἀλλὰ περιττὸν τὸ "ἔτι," οὐδ' ὑπάρχει ἐν τοῖς Ἀμφιλοχίοις.

[6] Ἐν τῷ χειρογράφῳ τῶν Ἀμφιλ. τάδε περὶ τούτου σεσημείωται, ὡς Οἰκον. φησίν· "Τοὺς περὶ Γοργίαν καί τινας τῶν Ἰσοκρατικῶν αἰνίττεται."

[7] Αὐτόθι καὶ περὶ τούτου τάδε· "Εἰς Θουκυδίδην καὶ Δημοσθένην ἀποτείνεται."

[8] Ἴδε Πλούταρχον ἐν τῷ "πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν." (σημ. Οἰκον.)

Digitized by Google

[illegible] ἐκείνῃ δὲ τῆς τερπούσης τὴν ἀκοὴν ἡδονῆς [illegible] χαιρούσης ἤθει, καὶ τὸν μὲν ἀκροατὴν [illegible] ἐς κάτοπτρον δὲ καὶ φιλαυτίας καὶ πολὺν λῆρον διαλυομένης. [illegible] ἐκ τῆς ἀκοῆς ἐπὶ τὴν ὄψιν ἀπομιμεῖσθαι, ὃν σὺ τῇ ἐν λόγοις ἐπιπλοκῇ καὶ τῇ τῶν ἡδέων ἐκλογῇ κατασκευάζεις. τὸν[1] "ἦ δ' ὅς," τὸν "ἦν δ' ἐγώ" καὶ τὸν ἐκ τούτου μέσον αὐτὸν ἐπεισφέρουσιν προσθείην ἂν ἐγὼ ἐνταῦθα καὶ μικρὰ πάνυ. καὶ τὸν "ἐπιστὰς ἔφη" καὶ "ἤδει ἐγώ," καὶ "ἠκηκόει ἔφη" καὶ τὸν . . . . . ἐκ τῶν ὧν τις ἐν τῷ πλήθει ἑκάστοτε ἀκροατὴς αὐτὸς ἐμπέσοι, τὰ ἐκεῖσε λεγόμενα ἢ καὶ πρᾶττόμενα τῷ τῶν ἐκείνων ἀκροατῶν διαμυττόμενος ἐθηλύνετο ἐς ἀπόδειξιν ἐπὶ πάντων ἐκείνων ἀκριβεστάτην. εἰς παράσημον δὲ τοῦτον ἐπιτηδείως [illegible] μεταλαμβάνοντα. Ἐὰ δὲ νῦν τὸν τὰ λιτότατα τῶν σχημάτων καὶ ἀπλοῦν τεταμένον ἢ φθεγξάμενον, καὶ τὰ τῆς γλώττης τοῦ ἐπιτηδείου καὶ ἐπιτεχνημένου ἰδιώτερον στέρξαντα, ἢ ἐκληρήσατο καὶ τοιαῦτα τοιαῦτα [illegible] ἐπισείοντα[2] ὧν οὐδετέρου μετῆν εἰς τοὺς λόγους τοὺς ἐκείνου τοὺς τοῦ θαυμασίου Παύλου. οὐδὲ πολλοῦ δεῖ, οὐδὲ μιᾷ ἐς τοῦτο [illegible] ἐν ἐκείνοις. Οὐ μὴν ἀλλ' οὐδ' ἡ Γόργειος πλάνη[3] καὶ μικροῦ τεταπεινωμένη τῆς ἐπὶ γενείοις τῶν χυδαίων σκαρτήμασι καὶ λυγίσμα-

---

[1] Καὶ Οἰκον.—τὸν "ἦ δ' ὅς" τὸν "ἦν δ' ἐγώ"—ὧν δὲ τῶν ἑξῆς—τῶν.

[2] Μετὰ δὲ ἑπτὰ στιγμὰς "Ἔπαινος παύλου" ὁ δὲ τῷ τῶν Ἀμφιλοχίων χειρογράφῳ, ἐξ οὗ ἡ Οἰκονόμου ἐκδοσις, ταῦτα δεῦρο μεταθεὶς "Διὰ τὸν Πλάτωνα" δεῦρο μετὰ τοῦ ν, αὐτὸς ἔθει παραλογῶν τὸν λαμπρότατον. σπ. τοιοῦτον ἐστι τὸ ὑποκείμενον· ὁ δὲ ξυγγραφεὺς πικρότερον καθαπτόμενος, καὶ ὡς δημοσίᾳ καὶ λαθραίως τὸν τοιοῦτον ἐπ' αὐτῷ ἄγει."—Τούτοις δὲ προσσημειωτέον, ὅτι τὸ μὲν "ἦ δ' ὅς" ἀντὶ τοῦ "ἔφη δ' ἐγώ" καὶ τὸ "ἦν δ' ἐγώ" ἀντὶ τοῦ "ἔφην δ' ἐγώ" συχνότατα παρὰ Πλάτωνι καὶ πᾶσι γοῦν τοῖς τὴν ἀττικὴν φράσιν τὰ μέγιστα σεμνύνουσι· σελ. 61—62, ἔκδ. ἐν Λονδίνῳ—καὶ τὰς σημειώσεις τοῦ Σχαιφίου εἰς τὸ "τῶν διαλέκτων" Γρηγορίου τοῦ Κορινθίου, σελ. 144 κ. ἑξ. ἐτι δὲ καὶ τὰς τοῦ Γαισφόρδου εἰς τὸ Μ. Ἐτυμ. σελ. 413. ἐκδ. ἐν Ὀξωνίᾳ· τὰ δὲ—ἐπεπόνθει ἐγώ—ἤδει ἐγώ—πλανᾶσθαι ἐγώ—οὐχ εὑρήσεις τῶν τοιούτων Πλάτωνι, ἂν γε ἡμεῖς ὦμεν, πλὴν εἰ μή που διὰ τοῦ η γραφόμενα, ὑπὲρ Ἀττικῶν αὐτὸν ὄντα οὐδεὶς Μώμος ὁ Ἀττικιστὴς λέγει—ἦ ἢ Ἀττικῶς ἤδειν Ἑλληνικῶς—(ἴδε καὶ ἐπὶ τούτου σημειωτέον τοῦ Ι. Πλουτάρχου ἐν λ ἠ ε τ. Ὁ δὲ Σουΐδας—ἐπεπόνθη ἀντὶ τοῦ ἐπεπονθέη—ἐωράκειν ἀντὶ τοῦ ἑωράκεσαν—καὶ ἦδη ἀντὶ τοῦ ἤδεσαν (παρατασσόντως δῆλον ὅτι).—τὰ δ' αὐτὰ καὶ ὁ πρωτοπρωτοσύγκελλος διὰ τοῦ η γραφόμενα ἀντὶ ἑστεώτειν, ἑωράκειν, ἤδειν. Ἴδε Μαιταίρου "περὶ διαλ. τῆς Ἑλλην. γλώσσης. σελ. 81—Ὃ περὶ δὲ τοῦ παρὰ Πλάτωνι (Φαίδων § 8) "ἀλλὰ σχεδὸν μέντοι ἤδειν," ὅπερ ἐν Λεξικῷ Φωτίου γεγραπται "ἤδη," ὅρα τὰ σημειωθέντα ὑπὸ Γοδοφρέδου Σταλμίωνος. Καὶ πανταχοῦ δὲ τὴν τοιαύτην γραφὴν διωρθώσαντο οἱ νεώτεροι.

[3] Γοργ' ἐστι, μὴ παρεμφαινόντων τὸ πρῶτον πρόσωπον χωρὶς τοῦ ν. (σημ. Οἰκον.)

[4] Λίπωσμα (ἐκ τοῦ λίπω, λιπαίνω)=πᾶν ὅ,τι χρησιμεύει ὡς λίπος (πάχος) ἢ ὅμοιόν ἐστι λίπει· ὁ δ' Ἡσύχιος λιπάσματα ὀφθαλμῶν τὰ δάκρυα εἶπεν. Κατ' Οἰκονόμον δὲ οὐ τοῦτο βούλεται νοεῖν ἐνταῦθα δηλ. τοῦ "λιπάσματα τῶν ὀφθαλμῶν," ἀλλὰ τὰς καλὰς γυναῖκας, ἃς Ἡρόδοτος "ἀλγηδόνας ὀφθαλμῶν" ἀπεκάλεσεν, ὡς ἐν τοῖς ἔμπροσθεν (Ἐπιστ. ΣΓ', § γβ') ἐσημειωσάμεθα.

Ὑπόκωμον δῆλον ὅτι.

μγίου τοῦ μήτορος, ὃς πρῶτος ἐχρήσατο τῷ σχήματι τῶν παρίσων κώλων τῆς αὐτῆς περιλίκων.)

σιν, ἀπαγγελλειν ἀξία τὸ βαθὺ καὶ βεβηκὸς[1] τῶν ὑψηλῶν Παύλου νοημάτων. Ἀλλ' ἐκείνων γε τῶν λόγων τὴν γλῶτταν εἶχε κανόνα, οἳ τηλικούτων πραγμάτων τὸν νοῦν ἐκφέρειν ἠδύναντο κατ' ἀξίαν, μηδὲν μήτε δολοῦντες, μήτε ἐξυβρίζοντες. "Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ·" καί, "τίς ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ;"[2] — "Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα."[3] Ἐπὶ ταύτῃ τῇ σοφίᾳ τὸν διδάσκαλον ἐγὼ τῆς οἰκουμένης θειάζω, καὶ θειάζειν ἂν ἀξίως, εἰ μὴ τολμηρόν, εὐξαίμην,[5] δι' ἧς τοιαῦτα ἐφθέγγετο, εὐσήμῳ μὲν καὶ σταθερᾷ λέξει τὸ νόημα παριστῶν, κοινὸν δὲ πᾶσι τὸ ὄφελος προτιθείς.

Τί δ' ἂν εἴποις, ἐνθεωρήσας αὐτοῦ τὸ καθαρὸν τῶν ῥημάτων, οὐ μόνον ὅσον εἰς ὀρθότητα φωνῆς καὶ συμμετρίαν ἥκει περιόδων, ἐναρμονίως συστελλόμενον, ἀλλὰ καὶ εἴ τι πρὸς τὴν τῶν πραγμάτων ἀφήγησιν ἀπευθύνεται, μηδὲν τῶν ἀναγκαίων ἔξωθεν ἐπισυρόμενον; ἐφ' ὅσον τε[6] τὸ τετραμμένον τῶν ὀνομάτων, καὶ ὅσον ἐπὶ τὸ σκληρὸν ἀπονεύει, διακρίνων[7] καλῶς ἀποπέμπεται, καίτοι μεγέθει τὸ σαφές, ὡς εἴ τις ἄλλος, μᾶλλον δ' ὡς οὐδεὶς ἕτερος, δι' ὅλων ἐγκερασάμενος; Καὶ οὕπω τοῦτό φημι, ὅτι περ τῷ συμβουλευτικῷ καὶ νομοθετικῷ διαποικίλλεται· οὐδ' ὅτι περὶ θείων ὁ λόγος αὐτῷ πραγμάτων, καὶ τῶν ἐν ἀνθρώποις μάλιστα τιμίων· ἀλλ' οὐδ' ὅτι λαμπρύνασθαι[8] καὶ φαιδρῶς εἰπεῖν μιμητὴν οὐκ ἔχων. "Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι· τὸν δρόμον τετέλεκα· τὴν πίστιν "τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος."[9] — "Οὕτω τρέχω, ὡς "οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων·"[10] καί, "Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, "οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λα"βών· δι' ὃ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνο"μα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων, καὶ καταχθονίων,

---

[1] *Μοντακ. εἰκάζει γραπτέον εἶναι—ἐπιβεβηκός·— ἄμεινον δὲ τὸ ἁπλοῦν, περὶ οὗ ἴδε Λεξ. Σ. Βυζαντίου ἐν λ. βαίνω.*

[2] *Πρὸς Ῥωμ. ΙΑ', 34.*

[3] *Πρὸς Γαλάτ. Γ', 13.*

[4] *Ἐννοητ. ἀπὸ κοινοῦ—τῆς σοφίας.*

[5] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—καὶ θειάζειν ἂν ἀξίως μὴ τολμηρὸν εὐξαίμην.*

[6] *Οὔ μοι δοκεῖ γραπτέον εἶναι—δὲ—ἀντὶ τοῦ "τε," ὡς Οἰκον. εἰκάζει· ἀλλὰ μᾶλλον τὸ—ἐφ' ὅσον—διὰ τοῦ "τε" συνδεῖν τῷ προηγουμένῳ—ὅσον—καὶ ἐρωτηματικῶς καταπαύειν τὸν λόγον, ὥσπερ δὴ καὶ ἔγραψα.*

[7] *Ἐκ διορθ. Οἰκον. ἀντὶ—διακρῖνον—παρὰ τοῖς ἄλλοις.*

[8] *Παρ' Οἰκον.—λαμπρύνεσθαι.*

[9] *Β' πρὸς Τιμόθ. Δ', 7 καὶ 8.*

[10] *Α' πρὸς Κορινθ. Θ', 26.*

Digitized by Google

" καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πα-
" τρός·" [1] καί, " Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδε-
" χόμεθα, Κύριον Ἰησοῦν Χριστόν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν,
" εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ." [2] Θαυμαστὰ μὲν γὰρ
ἄγαν καὶ ταῦτα (πῶς γὰρ οὔ;) ἔν τε τοῖς ἄλλοις, καὶ τῆς ἐπ' ἄκρον συνδρομῆς φαιδρότη-
τός τε καὶ καθαρότητος. Ἀλλ' οἷος ἐν τῷ γνωμολογεῖν, ἐν τῷ κρίνειν, καὶ εὐσταθῶς ἀπο-
φαίνεσθαι, ἐλέγχειν ἔνθα δεῖ, καὶ ὡς δεῖ, ἐπιτιμᾷν, διαμαρτύρεσθαι; " Ὤι γάρ τις ἥττη-
" ται, τούτῳ καὶ δεδούλωται·" [3] " Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί·" [4] καί, " Τοῦ-
" το δέ φημι, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ
" τὴν ἀφθαρσίαν κληρονομεῖ." [5] — " Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ
" πείθεσθαι;" [6] καί, " Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται·" [7] καί, " Ἴδε, ἐγὼ Παῦλος
" λέγω ὑμῖν, ὅτι, ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει·" [8] καί, " Μαρτύρο-
" μαι παντὶ ἀνθρώπῳ περιτεμνομένῳ ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι·" [9] καί,
" Τολμᾷ τις πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν
" ἁγίων;" [10] καὶ ἴσον ἐστὶ τὰ τοῦ μεγέθους συλλέγειν, καὶ τὰς ἐκείνου συντάξεις εἰς ὁλό-
κληρον ἀναγινώσκειν· οὕτως αὐτῷ τὸ ἀξίωμα δι' ὅλων κέκραται τῶν λόγων.

Ἀλλὰ τὸ ἦθος ὁποῖον; [11] " Χριστὸς ἦλθεν εἰς τὸν Κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν
" πρῶτός εἰμι ἐγώ·" [12] καί, " ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων·" καί, " ὃς οὐκ
" εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος·" [13] — " Ἐπιποθῶ σε ἰδεῖν, μεμνημένος σου τῶν δα-
" κρύων, ἵνα χαρᾶς πληρωθῶ, ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις
" ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνείκῃ·" [14] — " Ὄφελον,
" καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς·" [15] καί, " Χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφε-

---

[1] *Πρὸς Φιλιππησ. Β'*, 6—12.

[2] *Αὐτόθι, Γ'*, 20 *καὶ* 21.

[3] *Οὐ Παύλου τοῦτο, ἀλλὰ Πέτρου ἐκ τῆς Β' Καθολ. Ἐπιστ. κεφ. Β'*, 19.

[4] *Παύλου τοῦτο, ἐκ τῆς Α' πρὸς Κορινθ. ΙΕ'*, 33.

[5] *Αὐτόθι, ΙΕ'*, 50.

[6] *Πρὸς Γαλάτ. Ε'*, 7, *καὶ Γ'*, 1.

[7] *Αὐτόθι, ΣΤ'*, 7.

[8] *Αὐτόθι, Ε'*, 2.

[9] *Αὐτόθι, Ε'*, 3.—*Παρ' Οἰκον. δὲ γέγραπται—πληρῶσαι—ἀντὶ "ποιῆσαι.'*

[10] *Α' πρὸς Κορινθ. ΣΤ'*, 1.

[11] *Παρ' Οἰκον.—ὁποῖος.*

[12] *Α' πρὸς Τιμόθ. Α'*, 15.

[13] *Α' πρὸς Κορινθ. ΙΕ'*, 9.

[14] *Β' πρὸς Τιμόθ. Α'*, 4 *καὶ* 5.

[15] *Πρὸς Γαλάτ. Ε'*, 12.

Digitized by Google

"· λόν γε ἐβασιλεύσατε·" [1] καὶ μυρία ἄλλα. Ἆρ' οὖν ἐνδεῖ τινος τῶν περὶ ταῦτα τὸν βίον ὅλον κατατριψάντων ὁ μηδὲ μέχρι τῶν ὀνομάτων, οἶμαι, τῆς ἐπιμελείας αὐτῶν ἀνασχόμενος, ἀλλ' αὐτοσχέδιον ἔχων τὴν γλῶτταν ῥήτορα;

Ἀλλ' ἆρα τὸ μὲν ἦθος αὐτῷ καὶ τὸ σαφὲς διὰ τοῦ μεγέθους οὕτω διαπρέπει κεραυνύμενον, τοῦ τάχους δ' ἐνδεῖ; καὶ τίς οὕτω πέφυκε συγκράτῳ κεχρῆσθαι γοργότητι; "Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς·" [2] — "Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκο-" "δομεῖ·" [3] — "Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; πολύ," "κατὰ πάντα τρόπον· πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ· τί γάρ, εἰ" "ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει; μὴ γένοι-" "το·" [4] καί, "τί οὖν; προεχόμεθα; οὐ πάντως·" [5] καὶ πάλιν, "λοιδορούμενοι εὐλογοῦ-" "μεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν." [6]

Καὶ τί ἄν τις πελάγη θαλάσσης σταλαγμοῖς μετρεῖν ἐπιχειροίη; ἴσον γὰρ ἐκεῖνά τε σταλαγμῶν λογισμοῖς ὑποβάλλειν, καὶ τὴν Παύλου σοφίαν πειρᾶσθαι λόγῳ διεξελθεῖν. Οὐδὲ γὰρ οὐδὲ τὸ καλλωπίζον, καίτοι γε περιορῶν αὐτό, εἰς τέλος παρέδραμεν· ἀλλὰ τῆς ἐπιβουλῆς μὲν [7] γυμνώσας, ἐν ᾗ ἄν τις καὶ ἐκαλλωπίσατο, τῷ ἐμφύτῳ δὲ περιβαλών, ὅπερ ἄν τις μόλις ἐλπίσειεν, οὕτω καὶ [8] θαυμάσαι προήνεγκεν, ὡς αὐτὸ τοῦτο κανόνα καὶ τύπον κάλλους ἀληθινοῦ τοῖς συνορῶσι προκεῖσθαι, πολλῷ τοῦ σεσοφισμένου καὶ κατ' ἐπιτήδευσιν εἰς ὡραιότητα διαφέροντος. Ἀλλ' οὐδέν ἐστιν οἷον αὐτοῦ ἀκούειν· "Πῶς οὖν ἐπικαλέσονται, εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν, οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γεγραπται· Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά·" [9] πάλιν· "Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τινα σπλάγχνα καὶ οἰκτιρ-

---

[1] *Α' πρὸς Κορινθ. Δ'*, 8.

[2] *Πρὸς Ῥωμ. Η'*. 33 καὶ 34.

[3] *Α' πρὸς Κορινθ. Ι'*, 23.

[4] *Πρὸς Ῥωμ. Γ'*, 1—4. *Τὸ δὲ "τινές" ἐλλεῖπον παρὰ Μοντακ. ἐξ Οἰκον. προστέθειται ξυνῳδὰ τῷ τῆς Γραφῆς κειμένῳ.*

[5] *Αὐτόθι*, 9.

[6] *Α' πρὸς Κορινθ. Δ'*, 12 καὶ 13.

[7] *Παρ' Οἰκον.—τῆς μὲν ἐπιβουλῆς· ἀλλ' ἔμοιγε δοκεῖ γραπτ. εἶναι "ἐπιβολῆς" (=προσθέτου καὶ ἐπιτετηδευμένου κάλλους)· τοῦτο γὰρ συνᾴδει τοῖς τε ἀμέσως ἑπομένοις καὶ τῇ Λατ. μεταφρ. "fucis."*

[8] *Παρ' Οἰκον. ἄνευ τοῦ—καί.*

[9] *Πρὸς Ῥωμ. Γ'*, 14—15. *Τὸ δὲ σχῆμα τοῦ λογου κλιμακωτόν, οἷον καὶ τὸ τοῦ Δημοσθένους ἐκεῖνο. "οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους." Τοιοῦτον καὶ τὸ ἀμέσως ἑπόμενον· "Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ κ.τ.λ." Ἴδε Τιβέριον ἐν τῷ "περὶ σχημάτων," ἔκδ. Λ. Σπεγγέλου, Τόμ. Γ' σελ. 72 καὶ 133. Αὐτόθι δὲ καὶ Ἑρμογένους "Τέχνην Ῥητορικήν." Τόμ. Β', σελ 337· ἀλλὰ καὶ Ν. Βάμβα Ῥητορικήν, σελ. 207—8 (ἔκδ. δευτέρα, ἐν Ἀθήναις 1841).*

Digitized by Google

[illegible] ἐργάζεται, ἡ δὲ ὑπομονὴ [illegible] Οὗτος ὁ τῶν ἐπιστολῶν τοῦ [illegible] ἐμορφούμενος, καὶ τοῖς [illegible] καὶ παραδείγματος λόγον [illegible] ἐπιχάφθαι τοῖς γε σωφρο- [illegible] ἐπεὶ μηδὲ μελέτης [illegible] σκίας πλοῦτος, ἢ τῆς [illegible] Τοῦτο τῆς ἄνωθεν [illegible] ἐκεῖσε κατασάλλουσα· τοῦτο [illegible] ὅλον ἀρδεύουσα· [illegible] καὶ παραδόξων μυστη- [illegible] σοφίας, ἐξ ἀμελετήτου [illegible] ἀπειρίας.

[illegible] σοφίας, ἡ διαπό- [illegible] εἰς σχήματα τὰς ἐπιστολὰς [illegible] ὅτι σε τοσούτων [illegible] τῷ ἑτέρῳ μέρει τῆς ἐκείνου [illegible] στίνεσιν, εἰσάγων, [illegible] τὴν εὕρεσιν, τὸ ἐν [illegible] καὶ τοὺς παιδικούς, παραδείγμασιν! [illegible] ἃ σοι παράσχοι [illegible] εἰς ἀληθῆ ὀξὺν ἔρωτα [illegible] μετεχείρησις, καὶ ἐν [illegible] ἐλείπετο, τὸ φύσημα· καὶ

[illegible] καὶ τὸ τοῦ *Δημοσθένους* "μέ- [illegible] μέχρι τούτου *Τιμόλαος*, ἕως [illegible] τῶν τεχνογράφων ἔνθ. ἀνωτ. καὶ [illegible]

[illegible]

[illegible] τῶν ἄλλων—ἔτσους

[illegible] ἐκτεσεῖν τοῦ κειμένου τὸν [illegible] ἐπὶ τῆς ἑπτοῦ λήξῃ, "Θαυμάζεις, εἰ κτλ."

[illegible] τῶν ἄλλων—καθείκειν.

[illegible] τοῦτο ὡς τῶν [illegible] παραπλησίως τοῦ λογικοῦ παθεσχεσοι (ἀφορμήν) περιελθεῖν (καταντῆ- [illegible] ὡς ἀληθῶς ἔχειν ἔνστα καὶ θείαν γλῶτ· ἔτι δὲ καὶ ἡ περὶ τῶν εἰδωλοθύτων (κατὰ τούτων) με- [illegible] ἐπιχειρημάτων ἔφοδος τοῦ ἀνδρός, καὶ ἐν ᾧ ἐπιχειρεῖ καθαιρεῖν τὸ φύσημα τῶν μέγα φρο- [illegible] ἐπὶ τῷ γλωττοκλείειν.—

Digitized by Google

δὴ καὶ ὡς ὁ νόμος ὀφειλέτης ἦν παραχωρῆσαι τῇ χάριτι. Ἀλλὰ περὶ μὲν τούτων ἱκανὰ καὶ ταῦτα κατὰ γράμματος ὁμιλίαν· εἰ δέ ποτε συνεσόμεθα (συνεσόμεθα δέ· θεῖόν μοι τοῦτο μήνυμα προαγορεύει·), τότε πλατύτερον, ἢ νῦν, περὶ τούτων σοι διαλεξόμεθα.

ΕΠΙΣΤΟΛΗ ΚΗ'.—28.

Τῷ αὐτῷ.[1]

(Διάφορα Ζητήματα ἐπὶ τῶν ἐπιστολῶν τοῦ Παύλου, διὰ κεφαλαίων ΚΖ' ἐπιλυόμενα.[2])

Ἐπειδή περ οὐ μόνον χαίρων ἀνομολογεῖς τὴν ἧτταν, ἀλλὰ καὶ εἰς ἑορτὴν αὐτὴν ὠφελείας ἀναφέρεις, ὅμως δ' ἐπιζητεῖς ἔτι παραδείγματα τῶν ἐν τῷ πρώτῳ γράμματι εἰρημένων τρόπων, καὶ ταύτην σοι τὴν ἐξαίτησιν πέρας λαβεῖν οὐ βραδύνον δίκαιον νομίζω· ἀνδρὶ γὰρ ἀληθείας ἠττωμένῳ φθονερὸν μὴ παρέχειν μαθεῖν τὴν ἀλήθειαν, ἐπιζητοῦντι. Καθ' ἕκαστον τοιγαροῦν ἐκείνων σοι τῶν τεσσάρων τρόπων ὀλίγα τινὰ παραθέντες τῶν παραδειγμάτων, ἅτε ῥᾳδίαν οὖσαν τῶν λοιπῶν ἐκ τούτων τὴν θεωρίαν καὶ διάκρισιν, ἵνα μὴ καὶ τὴν σὴν ἐξυβρίζειν δόξωμεν σύνεσιν, καὶ βίβλον ὅλην ἀντ' ἐπιστολῆς γράφειν, παραλείψομεν.[3] Ὥσπερ γὰρ τὸ λεπτολογεῖν τῷ δυσθεωρήτῳ προσαρμόζεται, οὕτω τὸ σαφές, ἂν μὴ διὰ τοῦ συντόμου πρόεισι, τοῦ μανθάνοντος, ἢ τοῦ διδάσκοντός γε πάντως εἰς κατηγορίαν περιΐσταται.

ά. Αὐτίκα τοίνυν τὸ Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα;[4] φανερὸν ὡς καθ' ὑπερβατὸν ἐσχημάτισται· τὸ γάρ "κατὰ σάρκα" δέον πρὸ τοῦ "πατέρα" κεῖσθαι, ὑπερβεβηκὸς τὴν οἰκείαν χώραν, μετὰ τὸ "εὑρηκέναι" συντέτακται.

β'. Τοιοῦτον καὶ τὸ Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα·[5] ἀντὶ γὰρ τοῦ "Βλέπετε τὸν κατὰ σάρκα Ἰσραὴλ" εἴρηται.

γ'. Καὶ τοῦτο, Οἱ δοῦλοι δὲ ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα,[6] ἀντὶ τοῦ "τοῖς κατὰ σάρκα κυρίοις" ἀποδέδοται.[7]

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΨΒ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΨΓ, καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΞΣΤ'.

[2] Οὕτω σαφέστερον ἔγραψα τὸ ἐν Ἀμφιλοχίοις ἀσαφῶς γεγραμμένον "διὰ Κ καὶ Ζ κεφαλαίων ἐπιλυόμενα." Μιγνίῳ δ' ἑπόμενος, καὶ τὴν ἐπιστολὴν εἰς ἑπτὰ καὶ εἴκοσι διεῖλον παραγράφους, ὧν ἑκάστη τῶν προκειμένων κεφαλαίων ἓν περιέχει.

[3] Ἡμετ. διόρθ. ἀντὶ—παραλείψωμεν—παρά τε Οἰκον. καὶ τοῖς ἄλλοις.

[4] Πρὸς Ῥωμ. Δ', 1.

[5] Α' πρὸς Κορινθ. Ι', 18.

[6] Πρὸς Κολασσαεῖς, Γ', 22· ἔνθα μέντοι τὸ κείμενον ὧδ' ἔχει· "οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις."

[7] Κακῶς ὅ τε Μοντακ. καὶ Μίγνιος τὸ "ἀποδέδοται" τῇ ἑφεξῆς Δοτικῇ "τούτοις" συνῆψαν· αὕτη

Digitized by Google

δ'. Τούτοις καὶ τὸ Πρὸς ὃ δύνασθε, ἀναγινώσκοντες, νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ[1] συνδιαποικίλλεται· τὸ γὰρ ἁπλοῦν, "πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ σύνεσίν μου·" ἦ, εἰ βούλει, "πρὸς ὃ δύνασθε νοῆσαι τὴν σύνεσίν μου, τὴν ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ·" δύναται γὰρ τοῦτό τε καὶ ἕνια τῶν προειρημένων δι' ἑκατέρου τρόπου εἰς τὸ ὀρθόν τε καὶ συνειθισμένον τῆς φράσεως ἐπανάγεσθαι· λέγω δέ, ἤτοι διὰ τοῦ καθ' ὑπερβατόν, ἢ διά γε τοῦ κοινοποιοῦντος ἐλλειπτικοῦ τὸ προειρημένον τοῖς ἔπειτα· ὥσπερ καὶ νῦν τὸ κατ' αἰτιατικὴν ἐκπεφωνημένον ἐνικὸν ἄρθρον, ἀπὸ κοινοῦ παραληφθέν, ὁλόκληρον τὸ ῥητὸν ἀπειργάσατο.

έ. Τοιοῦτον καὶ τὸ Δι' ὃ αἰτοῦμαι μη ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν.[2] Ἡ γὰρ "ταῖς ὑπὲρ ὑμῶν" ὀφείλει προσειρῆσθαι, δι' οὗ γνώριμον τὸ ἀπὸ κοινοῦ, ἢ "ἐν ταῖς ὑπὲρ ὑμῶν θλίψεσί μου," ὅπερ ἐνδείκνυσι τὸ ὑπερβατόν· καθ' ὁπότερον γὰρ τῶν δύο τούτων διαληφθέν, ἀπηρτισμένην τὸ ῥητὸν ἀναδέχεται τὴν ἑρμηνείαν.

στ'. Πάλιν, Διὰ τοῦτο ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ, οὐ παύομαι εὐχαριστῶν·[3] ὅμοιον γὰρ καὶ τοῦτο τοῖς εἰρημένοις· ἢ γάρ "τὴν ἐν τῷ Κυρίῳ Ἰησοῦ καθ' ὑμᾶς πίστιν," ἢ "τὴν καθ' ὑμᾶς πίστιν τὴν ἐν Κυρίῳ Ἰησοῦ" ἀναγινώσκοντες, κεκοινοποιημένην καὶ οὐδὲν ἔχουσαν παρατετραμμένον τὴν φράσιν εὑρίσκομεν.

ζ'. Παραπλήσιον καὶ τὸ Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε·[4] τὸ γὰρ ἐντελές, "εἰ δέ τις οὐχ ὑπακούει τῷ διὰ τῆς ἐπιστολῆς ἡμῶν λόγῳ, τοῦτον σημειοῦσθε·" ἢ καὶ οὕτως, "εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, τῷ διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε·" καὶ δῆλον, ὅτι τὸ μὲν πρότερον ἀπὸ τοῦ καθ' ὑπερβατὸν ἐπανάγεται, τὸ δ' ὕστερον ῥηθὲν ἀπὸ τοῦ κατ' ἔλλειψιν, κοινοποιοῦντος τοῖς ἐφεξῆς τὰ προειρημένα, ἀπαρτίζεται.

ή. Καί, Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν·[5] ἀντὶ τοῦ "τοῖς ἐν τῷ νῦν αἰῶνι πλουσίοις," ἢ "τοῖς πλουσίοις τοῖς ἐν τῷ νῦν αἰῶνι." Καί, Νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν·[6] ἀντὶ τοῦ "ἐν τοῖς ὑπὲρ ὑμῶν παθήμασιν," ἢ "ἐν τοῖς παθήμασι τοῖς ὑπὲρ ὑμῶν."

μὲν γὰρ ἡ Δοτ. πρὸς τὸ "συνδιαποικίλλεται" συνάπτεται· τὸ δὲ "ἀποδέδοται" πρὸς τὴν Ὀνομαστ. "τοῦτο" τὴν ἐν ἀρχῇ τῆς γ' παραγράφου. Ὀρθῶς τοίνυν παρ' Οἰκον. γέγραπται, ὥσπερ ἐν τῷ κειμένῳ.

[1] Πρὸς Ἐφεσίους, Γ', 4.

[2] Αὐτόθι, Γ', 13.

[3] Αὐτόθι, Α', 15.

[4] Β' πρὸς Θεσσαλον· Γ', 14.

[5] Πρὸς Τιμόθεον, Στ', 17.

[6] Πρὸς Κολασσαεῖς, Α', 24.

Digitized by Google

θ'. Ἔτι δέ, Τὴν δέησιν ποιούμενος ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ Εὐαγγέλιον·[1] τοῦτ' ἔστιν "ἐπὶ τῇ εἰς τὸ Εὐαγγέλιον κοινωνίᾳ ὑμῶν" ἢ καὶ οὕτως, "ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν τῇ εἰς τὸ Εὐαγγέλιον" ἕκαστον γὰρ τῶν εἰρημένων ἀφ' ἑκατέρου[2] τρόπου τὴν εἰς τὸ κοινὸν ἐπάνοδον ἀπολαμβάνει.

ί. Καθ' ὑπερβατὸν δὲ καθαρῶς, ὃ καθ' ὑπέρθεσιν λέγεται, διαπλέκεται τὸ Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος, ὁ γράψας τὴν ἐπιστολὴν ἐν Κυρίῳ·[3] τὸ γὰρ "ἐν Κυρίῳ" συναπτόμενον τῷ "ἀσπάζομαι ὑμᾶς" κατὰ τὴν ἀκόλουθον τοῦ λόγου χρῆσιν, πρὸς τῷ τέλει νῦν ἀποδέδοται. Καὶ τὸ "Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ"[4] παραπλήσιον ἔσχε τὸν σχηματισμόν· τὸ γὰρ "πονηροῦ" τὴν ἐφεξῆς τοῦ "ἐνεστῶτος" χώραν ἐπέχειν ὀφεῖλον, τὴν ἐσχάτην ἀνεπλήρωσεν.

ιά. Καὶ πάλιν· Τούτου χάριν ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν·[5] οἷον, "τούτου χάριν ὁ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ." Δέσμιοι μὲν γὰρ γεγόνασι τοῦ Χριστοῦ Ἰησοῦ καὶ πολλοὶ τῶν μαρτύρων, ἀλλ' οὐχ ὑπὲρ τῶν ἐθνῶν· οὐ γάρ, ὅτι τὰ ἔθνη προσῆγον τῷ Χριστῷ, διὰ τοῦτο ἐδέδεντο καὶ ἐσφάττοντο, ἀλλ' ὅτι αὐτοὶ καθ' ἑαυτοὺς τὴν εἰς Χριστὸν οὐκ ἠθέτουν πίστιν. Ὁ δὲ[6] Παῦλος δέσμιος μὲν ἦν τοῦ Χριστοῦ Ἰησοῦ, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐθνῶν· ὅτι γὰρ ἐκήρυττεν αὐτοῖς τὸν Χριστόν, καὶ ὅτι οὐχὶ τόνδε ἢ τόνδε, ἀλλὰ καὶ δήμους ὅλους μετετίθει πρὸς Χριστόν, διὰ τοῦτο τὸ πλέον ἐδέδετο. Ἀλλὰ περὶ μὲν τῆς ἐν τῇ διανοίᾳ θεωρίας καὶ τῆς τῶν λέξεων ἀναπτύξεως ἐν ἄλλοις.

ιβ'. Τῆς αὐτῆς μέντοι τροπολογίας ἔχεται καὶ τὸ Οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν· ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι,[7] ἤτοι[8] μετέχοντες· τὸ γὰρ "οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι" φανερὸν ὡς ὑπερτέθειται· ἀναπληρώσει δὲ τὴν οἰκείαν χώραν, οὕτω πως διαταχθέν· "ἀλλὰ μᾶλλον οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοί (οἱ δεσπόται δῆλον ὅτι).

---

[1] *Πρὸς Φιλιππησ. Α'*, 4—5.

[2] *Παρ' Οἰκον.—ἀφ' ἑτέρου—ἐκ τυπογραφικοῦ πάντως παροράματος· εἶπε γὰρ καὶ πρὸ μικροῦ* (§ δ')*—δι' ἑκατέρου τρόπου—καὶ ἡ ἔννοια ἐν ἀμφοτέροις ἡ αὐτή.*

[3] *Πρὸς Ῥωμ. ΙΣΤ'*, 22.

[4] *Πρὸς Γαλάτ. Α'*, 4.

[5] *Πρὸς Ἐφεσίους, Γ'*, 1.

[6] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—οὐδὲ—παρὰ τοῖς ἄλλοις.*

[7] *Α' πρὸς Τιμόθ. ΣΤ'*, 2.

[8] *Κακῶς ἔγραψε Μίγνιος—ἢ—συνδέσας τῷ Ἀποστολικῷ ῥητῷ καὶ τὴν Μετοχ. "μετέχοντες;" αὕτη γὰρ ὡς ἐξήγησις ἐπενήνεκται τῆς "ἀντιλαμβανόμενοι," ἔνθα τὸ ῥητὸν καταλήγει.*

Digitized by Google

ιγ'. Εἰς τὸν αὐτὸν δὲ τρόπον ἀναφέρεται καὶ τὸ Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν· εἴ γε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον.[1] Εἰ μὴ γὰρ ὑπερθέντες εἴποιμεν, "ἀποθέσθαι ὑμᾶς τὸν κατὰ τὴν προτέραν ἀναστροφὴν παλαιὸν ἄνθρωπον," ἤ, εἰ βούλει, "ἀποθέσθαι ὑμᾶς τὸν παλαιὸν ἄνθρωπον τὸν κατὰ τὴν προτέραν ἀναστροφήν," εἰς ἀδιανόητον ἂν περιενεχθέντες εἴημεν.

ιδ'. Καὶ δὴ καὶ ἐν τῷ, Ἵνα δῴη κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν· ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος·[2] ἐν τούτῳ τοιγαροῦν τῷ χωρίῳ, εἴ τις τὸ "ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι" τῇ ὑπερτεθείσῃ λέξει μὴ ὑποτάξας, οὕτω τὴν σύμφρασιν εἰς τὸ κατὰ φύσιν ἔχον ἐπαναστρέψει, βαρβαρίζουσαν οὗτος ὑπόληψιν τῷ θείῳ Παύλῳ περιάψει. Τὸ μέντοι διηρθρωμένον εἴη ἂν τοιοῦτον· "ἵνα ἐν ἀγάπῃ ἐῤῥιζωμένοι καὶ τεθεμελιωμένοι ἐξισχύσητε καταλαβέσθαι" καὶ ἑξῆς. Καὶ ὅρα, ὅπως ἔμπροσθεν μὲν τοῖς μὴ προορῶσι τὸ ἀνακεχωρημένον καὶ σοφὸν τῶν ῥημάτων ἐδόκει τὸ ῥητὸν βάρβαρον· ἀναφανείσης δὲ τῆς τροπῆς, συνανεφάνη καὶ τὸ ἐμμέθοδον.

ιέ. Τὸ αὐτὸ δὲ εἶδος καθορᾶται καὶ ἔνθα φησίν· Τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι ζωὴν αἰώνιον·[3] ὑπερβέβηκε γὰρ κἀνταῦθα τὸ "ζητοῦσι ζωὴν αἰώνιον," καὶ ἔστι τὸ κατὰ πόδα τῆς ἑρμηνείας, "τοῖς καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ἀποδώσει." Καὶ σκόπει μοι πάλιν, ὅπως συνανεφάνη τῷ ὑπερβατῷ ἡ τοῦ ἀπὸ κοινοῦ μεταχείρησις· τὸ γὰρ "ἀποδώσει" ὄπισθεν ῥηθέν, καὶ ἐνταῦθα συνεφέλκεται.

ισ'. Τὰ μέντοι γε τοῦ προκειμένου ῥητοῦ ἐφεξῆς ἔχουσι μὲν καὶ αὐτὰ τὸ ἀπὸ κοινοῦ, ἔχουσι δὲ εἰς τὸ καλούμενον ζεῦγμα[4] ἀπομεριζόμενόν τε καὶ εἰδοποιούμενον. Τὸ γὰρ Πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ καὶ θλίψις καὶ

---

[1] Πρὸς Ἐφεσίους, Δ', 20—22.

[2] Πρὸς Ἐφεσίους, Γ', 16—19.

[3] Πρὸς Ῥωμ. Β', 7.

[4] "Ζεῦγμά ἐστι λέξις διάφορα κῶλα συνδέουσα, ἢ μετ' αὐτὰ τηθεῖσα (γρ. τεθεῖσα), ἢ πρὸ αὐτῶν· οἷον "τὸ—τῶν μὲν τὸν λόγον, τῶν δὲ τὴν πρᾶξιν, τῶν δὲ τὸ πρᾶον μιμησάμενος." (Ἀνώνυμος ἐν τῷ περὶ σχημάτων. Ἴδε τῆς προμνησθείσης συλλογῆς τοῦ Λ. Σπεγγέλου Τόμ. Γ', σελ. 185· πλείω δὲ περὶ τούτου καὶ ἀκριβέστερα ἐν τῷ "περὶ Ἑλλην. συντάξεως" Κ. Ἀσωπίου, Περ. Β', σελ. 850 κ. ἑξ.)

Digitized by Google

στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος,[1] οὐκ ἂν ἀπηρτισμένον εἴη, εἰ μὴ ἑλκυσθείη πάλιν τὸ "ἀποδώσει," σχηματισθὲν εἰς τὸ "ἀποδοθήσεται," ὅπερ ἐξακούειν δεήσει καὶ ἐπὶ τοῦ Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.[2]

ιζ'. Ναὶ δὴ τῇ ἀπὸ κοινοῦ τροπῇ διαμεμόρφωται καὶ τὸ Εἴτε θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως·[3] δεῖ γὰρ πάλιν προσυπακουσθῆναι τὸ "θλιβόμεθα."

ιή. Ὥσπερ καὶ ἐν τῷ Εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας[4] ὀφείλει προσεπισυνῆφθαι τὸ "παρακαλούμεθα."

ιθ'. Καὶ τὸ Εἴτε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν[5] εἰς τὸν αὐτὸν τύπον ἐσχημάτισται· τὸ γὰρ ἐντελές, "εἴτε γὰρ ἐξέστημεν, Θεῷ ἐξέστημεν· εἴτε σωφρονοῦμεν, ὑμῖν σωφρονοῦμεν."

κ'. Μάλιστα δὲ πλεονάζει τὰ εἰρημένα ἐν τῷ χωρίῳ τούτῳ· Δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας, εἰς αὐτοὺς καὶ εἰς πάντας, καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν·[6] ἅπερ εἴ τις μὴ προσαποδιδοὺς τῷ ῥητῷ εἰς τὴν καθ' εἰρμὸν ἀπαγγελίαν καταῤῥυθμίζει[7] τὸν λόγον, εἰς ἀδιανόητον ἂν περισταίη παντελῶς ἡ ὑφήγησις τοῦ προκειμένου· καὶ τό γε αἴτιον οὐ τοῦ γράμματος, τῶν δὲ μὴ συνιέντων τῶν ἐν τῷ γράμματι σχημάτων. Εἴη δ' ἂν ἡ τῶν ῥημάτων αὐτοτέλεια τοιαύτη· "Δοξάζοντές εἰσιν οἱ ἅγιοι τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν τῇ εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἐπὶ τῇ ἁπλότητι τῆς εἰς αὐτοὺς κοινωνίας, καὶ τῇ εἰς πάντας·" πάλιν, "Δοξάζοντές εἰσι τὸν Θεὸν καὶ ἐπὶ τῇ ὑπὲρ ὑμῶν δεήσει αὐτῶν, τῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν ἐφ' ὑμῖν χάριν τοῦ Θεοῦ." Καὶ ὅρα, ὅπως συνέστραπται μὲν τὸ χωρίον καὶ ἐλλέλειπται, εἰ βούλει δέ, καὶ περιβέβληται· οὐ μὴν ἔξωθέν γε πολλῶν ἐδεήθη· ἀλλὰ ῥήμασι βραχέσι, κατά τε ἔλλειψιν καὶ ἀπὸ κοινοῦ παραλαμβανομένοις, καὶ τοῦ ὑπερβατοῦ τὸν καθ' εἰρμὸν ἀπολαμβάνοντος τόπον, εἰς τὸ κοινὸν καὶ σαφέστατον τῆς ἑρμηνείας διαμορφωθεὶς ἐπανέδραμεν ὁ λόγος.

---

[1] *Πρὸς Ῥωμ. Β'*, 9—10.

[2] *Αὐτόθι.*

[3] *Α' πρὸς Κορινθ. Α'*, 6.

[4] *Αὐτόθι.*

[5] *Αὐτόθι, Ε'*, 13.

[6] *Αὐτόθι, Θ'*, 13.

[7] *Παρ' Οἰκον.—μεταῤῥυθμίζει.*

Digitized by Google

κά. Κατ' ἔλλειψιν δὲ διαπέφρασται καὶ τὸ Εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε καὶ ἀπών, ἀκούσω·[1] ἐλλείπει γὰρ ἐπιφανῶς τὸ "εὐφρανθῶ," ἢ ἕτερόν τι τοιοῦτον.

κβ'. Οὐ μὴν οὐδὲ τὸ Ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντὶ[2] ἀσχηματίστως προενήνεκται· ἀλλὰ τοῦτο μὲν ἐνδεῖ, τοῦτο δὲ τῷ κατ' ἐπίζευξιν ἀπὸ κοινοῦ λεγομένῳ ὑποβέβληται· ἀπαγγελθείη δ' ἂν οὕτω γε χωρὶς τροπικῆς ἐπιτεχνήσεως· "Ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Κυρίῳ, οὕτως αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντὶ πράγματι ὑποτασσέσθωσαν, ἤ, ὀφείλουσιν ὑποτάσσεσθαι."

κγ'. Οὐκ ἀπέοικε δὲ τοῖς εἰρημένοις οὐδὲ τὸ Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι· ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως.[3] Ποῖον[4] γὰρ ἂν παρασταίη νόημα δία τοῦ "ἓν δέ," εἰ μήτε ἀπὸ κοινοῦ παραληφθείη τὸ "λογίζομαι κατειληφέναι," μήτε τῶν, εἴ τι ἄλλως παρείθη, συνδιαληφθείη ἡ ἀναπλήρωσις; ἐκείνων δὲ κατὰ νόμους τῆς τροπικῆς τεχνολογίας συμπαραληφθέντων, τοιοῦτος ἂν εἴη καὶ ὁ νοῦς καὶ τὸ ἀκόλουθον τῆς συντάξεως· "Ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι· ἓν δὲ λογίζομαι κατειληφέναι, ὅτι τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως·" ὡς εἰ ἔλεγε· "τοῦτό ἐστιν, ὃ λογίζομαι κατειληφέναι, τὸ μήπω μέν τι κατειληφέναι, δεῖν δὲ ζητεῖν ἀεὶ καταλαβεῖν, καὶ μὴ ἐῤῥαθυμεῖν τοῖς κατορθωθεῖσιν· ὁ γὰρ τοῦτο κατειληφώς, οὗτός ἐστιν ἀληθῶς ὁ κατὰ σκοπὸν διώκων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως." Ἀλλ' ἡ μὲν τῶν νοημάτων παράστασις, εἰ καὶ συγγενοῦς, ὅμως οὖν ἰδιαζούσης δεῖται ὑποθέσεως· νῦν δὲ πρὸς ἔνδειξιν εἴρηται μόνον τῆς τροπικῆς ἀναπτύξεως.

κδ'. Σαφεστάτην δ' ἐμφανιεῖ τὴν ἔλλειψιν καὶ μικροῦ δεῖν εἰς περίοδον ἀποτεινομένην, ὅπερ ἐμοὶ μᾶλλον ἔδοξεν, αὐτοτελῶς εἰπόντα πρότερον, οὕτω τὸ κατεσχηματισμένον παραθεῖναι· οἷον, "Εἴτε ὑπὲρ Τίτου χρὴ λέγειν, κοινωνός ἐστιν ἐμός, καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ὑπὲρ τῶν συναποσταλέντων αὐτῷ λοιπῶν δύο, ἀδελφοὶ ἡμῶν εἰσι κἀκεῖνοι, Ἀπόστολοι Ἐκκλησιῶν, δόξα Χριστοῦ·" τοῦτο μὲν ἀπὸ τοῦ τροπικοῦ λόγου εἰς τὸ κατὰ φύσιν ἐπανήνεκται· τὸ δὲ τροπικὸν δῆλον ὡς ταύτην ἔχει τὴν γραφήν· Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ἀδελφοὶ ἡμῶν, Ἀπόστολοι Ἐκκλησιῶν, δόξα Χριστοῦ·[5] Καὶ οἶδα, ὅτι οὐκ

---

[1] Πρὸς Φιλιππησ. Α', 27.

[2] Πρὸς Ἐφεσ. Ε', 24.

[3] Πρὸς Φιλιππησ. Γ', 13.

[4] Παρ' Οἰκον.—ὁποῖον.

[5] Β' πρὸς Κορινθ. Η', 23.

Digitized by Google

ἄν σοι δόξοι παράδοξον εἶναι τὸ τοιοῦτον τῆς ἐλλείψεως εἶδος· πολλὰ γὰρ τοιαῦτα καὶ παρ' Ὁμήρῳ, καὶ Ἀντιμάχῳ, καὶ Ἀριστοφάνει, Θουκυδίδῃ τε καὶ Πλάτωνι καὶ Δημοσθένει, καὶ σχεδόν τι τοῖς ἄλλοις ποιηταῖς τε καὶ λογογράφοις· εἰ καί τινες, ὧν καὶ Καλλίμαχος ὁ Λίβυς, τά τε ἄλλα πολλῶν ἡττώμενοι, καὶ οὐκ εἰς κόρον μόνον, ἀλλὰ καὶ εἰς ἐκτοπωτάτην τομὴν τοῦ συνήθους λόγου[1] καὶ παρατροπὴν καὶ ἀφαίρεσιν τὸ τοιοῦτον εἶδος βιασάμενοι, οὐκ ἀναιτίως ὑπὸ τῶν ἐπιστήμην ἐχόντων κρίνειν τὰ τοιαῦτα (κριτικοὶ δὲ οὗτοι) ὑπὸ ἐπιτίμησιν ἔπεσον.[2] Ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

κέ. Τὸ μέντοι Ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ὑμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ, εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι·[3] τοῦτο δή, τοῦτο τὸ ῥητὸν λαμπρὸν ἂν εἴη περιβεβλημένου λόγου[4] παράδειγμα. Ἔχει μὲν γὰρ εὐθὺς τῷ καθολικῷ ἐπιφερόμενα τὰ μερικά, τοῦτο μὲν τῷ χαρίσματι τὴν προφητείαν καὶ τὴν διακονίαν, τοῦτο δ' αὖ πάλιν τῇ διακονίᾳ τὰ μερικώτερα ταύτης, τὴν διδασκαλίαν, τὴν παράκλησιν, καί, εἴ γε βούλει, τῇ παρακλήσει τὴν μετάδοσιν, τὴν προστασίαν, τὴν ἐλεημοσύνην· ὅ τε γὰρ μεταδιδούς, καὶ ὁ προϊστάμενος, καὶ ὁ ἐλεῶν, εἰς παραψυχήν τινα καὶ παράκλησιν καθίστανται τοῖς δι' αὐτῶν εὐεργετουμένοις. Οὐ μὴν ἀλλὰ καὶ καθ' ἕτερον τρόπον περιβέβληται· τὴν αἰτίαν γὰρ ἔστιν οἷς προσάπτει τῶν κεχαρισμένων· οὐ περιβέβληται δὲ μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ ποικίλλεται τῷ ἀπὸ κοινοῦ· καὶ δὴ προβάλλεται καὶ τὴν εἰδικῶς καλουμένην ἔλλειψιν· τὸ γὰρ "ἔχοντες" ἀπὸ κοινοῦ μὲν φέρεται κατὰ τοῦ "εἴτε προφητείαν, εἴτε διακονίαν," εἰς τὸ καλούμενον δὲ ζεῦγμα διασχίζεται ἐπὶ τοῦ "εἴτε ὁ διδάσκων, εἴτε ὁ παρακαλῶν," καὶ ἐν τοῖς ἑφεξῆς δὲ μέρεσι τοῦ λόγου· καὶ γὰρ ἐν ἀρχῇ πληθυντικῶς ἐκπεφωνημένου τοῦ "ἔχοντες," ἑνικῶς ἐξακούομεν ἐπί τε τοῦ "ὁ διδάσκων" καὶ "ὁ παρακαλῶν" καὶ τῶν ἄλλων. Πάλιν δὲ τὸ αὐτὸ χωρίον κρέμαται ὅλον, ἀνάπαυσιν οὐκ ἔχον οὐδεμίαν, ἂν μή τι ῥῆμα προσεπινοηθῇ· ἂν γὰρ μὴ ἐπινοήσωμεν τὸ "μενέτω μὲν ἔν τε τῇ διακονίᾳ καὶ τῇ διδασκαλίᾳ καὶ τῇ παρακλήσει," καὶ πρό γε τούτων ἐν τῷ "εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως" μετὰ καὶ προσθήκης τοῦ "ἐν τῇ προφητείᾳ," μὴ συνάψωμεν δὲ πάλιν τὸ "μεταδιδότω" καὶ "προϊστάσθω" καὶ "ἐλεείτω" τοῖς ἑφεξῆς, ἀτελὲς ὅλον

---

[1] Ἐλλεῖπον τὸ "λόγου" παρὰ Μοντακ. προσέθηκα ἐξ Οἰκονόμου.

[2] Οἷον Ἀρίσταρχος καὶ Κράτης καὶ ἕτεροι πλείους τῶν ὕστερον γραμματικῶν κληθέντων, πρότερον δὲ κριτικῶν (Δίων Χρυσόστ. Λόγ. ΝΓ'. § ά. Παράβαλε καὶ Στράβ. Α', σελ. 30—31). Ἴδε καὶ Διονύσ. Ἁλικαρν. (Τόμ. Β', σελ. 68—198), Λογγῖνον περὶ ὕψους, Φώτιον αὐτὸν ἐν Μυριοβ. κ.τ.λ. καὶ τοὺς νεωτέρους περὶ τῆς Ἑλλην. Φιλολογ. κριτικούς (σημ. Οἰκονόμου). Ἴδε περὶ Γραμματικῶν καὶ Κριτικῶν—Κ. Ἀσωπίου προλεγ. εἰς τὴν Ἱστ. τῶν Ἑλλήν. ποιητῶν καὶ συγγραφ. σελ. ί κ. ἑξ.

[3] Πρὸς Ῥωμ. ΙΒ', 6—9.

[4] Τοῦτ' ἔστιν, ἐν σχήματι περιβολῆς ἐξενηνεγμένου. Τί δ' ἐστὶ περιβολή, εἴρηται πρὸ μικροῦ (Ἐπιστ. ΚΣΤ', § ά, σημ.).

Digitized by Google

καὶ παράσημον πεποιηκότες. ἂν εἴημεν τὸ χωρίον. Ἀλλὰ τὸ μὲν ῥητὸν τοῦτο τρισὶν ἅμα διεσχηματίζετο[1] τρόποις.

κστ'. Ἐφεξῆς δὲ πάλιν ὁ ἐλλειπτικὸς προκύπτει· λείπει γὰρ ἐν τῷ Ἡ ἀγάπη ἀνυπόκριτος τὸ "ἔστω."

κζ'. Καὶ λοιπὸν ἐφεξῆς ἀρχὴν ἄλλη περίοδος δέχεται, ἡ Ἀποστυγοῦντες τὸ πονηρόν· ἥτις διὰ μακροτάτου ποιουμένη τὴν ἀπόδοσιν, εἰς πνεῦμα[2] μὲν ἀποτείνεται, οὐκ ἀπήλλακται δὲ οὐδὲ τοῦ περιβεβλῆσθαι· τὸ γὰρ "ἀποστυγοῦντες τὸ πονηρόν" εἰς τὸ "εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε"[3] τὸν ἀπαρτισμὸν λαμβάνει· ἐπεὶ καὶ τῶν ἄλλων πασῶν ἀρετῶν τέλος ἐστὶ καὶ οἱονεὶ συγκεφαλαίωσις τὸ μέχρι τῶν ἐχθρῶν καὶ μεμισηκότων τὴν ἀγαθότητα καὶ ἀγάπην παρατείνειν· κατὰ γὰρ ταύτην τὴν πρᾶξιν καὶ ὁ σωτήριος καὶ ἀψευδὴς λόγος ἀφομοιοῦσθαι τοὺς ἐπὶ γῆς ἀνθρώπους πρὸς τὸν ἐν οὐρανοῖς ἐπιστώσατο Πατέρα.[4]

Ἀλλὰ γὰρ πολὺ πλῆθος ἐν τοῖς γράμμασι τοῦ θείου Παύλου τοιούτων ἔνεστι παραδειγμάτων· ἐξ ὧν ὀλίγα παρεθέμην, δι' ἃς καὶ κατ' ἀρχὰς ὑπολήψεις ἔφην, αἷς τὰς αἰτίας ἀνατίθημι, καὶ διότι μηδὲ περὶ τῶν λοιπῶν, οἷς συνεχρήσατο, διεξῆλθον τρόπων,[5] ὅλως τε περὶ τρόπου γενέσεως, καὶ διαφορᾶς ποσότητός τε καὶ χρήσεως, ὅθεν τε ἡ τροπολογία ἔφυ,[6] καὶ δι' ἣν ποτε αἰτίαν ἡ Ἑλληνὶς ταύτην ᾠκειώσατο γλῶσσα. Οὐδὲ γὰρ ἂν

---

[1] Οἰκονόμος μὲν εἰκάζει γραπτέον εἶναι κατ' Ἐνεστῶτα—διασχηματίζεται·—ἀλλ' οὐδέν, οἶμαι, κωλύει καὶ κατὰ Παρατατ. γεγράφθαι, εἰς ὃν ἐσχηματίζετο χρόνον ἀναγομένου τοῦ λόγου.

[2] Διορθωτέον ᾧετο Κατήφορος τὸ—πνεῦμα—εἰς "ζεῦγμα·" ἀλλ' ἐνταῦθα βούλεται Φώτιος σημαίνειν, οἶμαι, τὸ παρὰ τοῖς ῥητορικοῖς σχῆμα, ὅπερ ὁριζόμενοι οὕτω φασίν· "πνεῦμα δ' ἐστὶ σύνθεσις λόγου, διάνοιαν ἀπαρτίζον, ἐν κώλοις καὶ κόμμασι μετρούμενον, πρὸς τὴν διάρκειαν τοῦ πνεύματος, κατὰ τὴν φωνὴν τοῦ λέγοντος" (Ἑρμογένης περὶ εὑρέσεως. Δ', δ', σελ. 201, ἔκδ. Genevae, 1614), Ἀλλά γε καὶ Λουκιανὸς οὕτω κέχρηται τῇ λέξει, λέγων· "ἦν δὲ Δημοσθένης σφοδρὸς τῷ πνεύματι" (Δημοσθ. ἐγκώμ. § 15)· ἄλλως τε, οὐδὲ ζεῦγμα δοκεῖ ἐνυπάρχειν τῷ χωρίῳ (σημ. Οἰκονόμου ἐν Ἀμφιλοχίοις, σελ. 374). Ὁ δὲ τοῦ Ἑρμογένους ὁρισμὸς τοῦ πνεύματος ἢ πνευματικοῦ σχήματος, ὡς αὐτὸ φιλοῦσι καλεῖν οἱ τεχνογράφοι, εὕρηται ἐν τῇ Λεονάρδου Σπεγγέλλου συλλογῇ, ἐν Τόμῳ Β', σελ. 243. Ἐν ταύτῃ δὲ καὶ ἕτερόν ἐστιν ἰδεῖν ὁρισμὸν τοῦ σχήματος τούτου, εἰς δύο διαιρουμένου εἴδη, ὥς φησιν Ἀνώνυμος ἐν τῷ "περὶ τῶν τοῦ λόγου σχημάτων" (Τόμ. Γ', σελ. 114). Ὁ δὲ Κατήφορος (Ἀντώνιος), οὗ Οἰκονόμος ἐν τῇ σημειώσει ταύτῃ καὶ ἀλλαχοῦ μέμνηται, ἱερεὺς ἦν Ζακύνθιος, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, πεπαιδευμένος τὴν φιλοσοφίαν, οὐ μόνον τὴν Ἀριστοτελικήν, ἀλλὰ καὶ τὴν τῶν νεωτέρων, οὐχ ἧττον δὲ καὶ τὴν ἱερὰν θεολογίαν, ἔμπειρος τῆς θείας Γραφῆς, ἱεροκήρυξ· ἐχρημάτισε δὲ διδάσκαλος τοῦ Φλαγγινιανοῦ φροντιστηρίου ἐν Ἐνετίᾳ, περὶ τὸ 1735 προσκληθεὶς καὶ μεταβὰς ἐκεῖσε. (Ἴδε Φαβρικ. Ἑλλην. βιβλιοθ. Τόμ. ΙΑ', σελ. 547· καὶ τὴν "Νεοελληνικὴν Φιλολογίαν" ὑπὸ Α. Π. Βρετοῦ. Μέρ. Β', σελ. 274.)

[3] Πρὸς Ῥωμ. ΙΒ', 14.

[4] [illegible]αθ. Ε', 44 καὶ 45. Οὕτω καὶ ἐν Ἐπιστολῇ Γ' (§ ά) εἶπεν· "ἐκείνην γὰρ ὁ λόγος οἶδε χρηστότητα, [illegible]ταῖς τῶν λυπούντων εὐεργεσίαις ὑπερεκτείνεται."

[5] [illegible] διορθ. Οἰκον. ἀντὶ—τρόπον.

[6] [illegible]' Οἰκον. ἔφη—ἐκ παροράματος πάντως τυπογραφικοῦ.

Digitized by Google

ἀξιώσαιμι, οὔτε σὲ δεῖσθαι μαθήσεως ὅλως τῆς περὶ ταῦτα, τηλικοῦτον ὄντα, οὔθ' ἡμᾶς ἐν τῇ περὶ τούτων διδασκαλίᾳ φιλοτιμεῖσθαι· τὰ μὲν γὰρ στοιχειώδη τε καὶ οἰκεῖα τοῖς εἰσαγομένοις, τὰ δέ, δι' ὧν ἔφημεν ὑποδειγμάτων, σαφῆ καὶ ῥᾳδίαν εἴληφε τὴν γνῶσιν. Τῶν μὲν οὖν Ἀποστολικῶν γραμμάτων καὶ τοῖς εἰρημένοις καὶ πολλοῖς ἑτέροις σχήμασιν ὁ χαρακτὴρ οὕτω πέφυκε διαμορφοῦσθαι· οὐχὶ δὲ (ὅπερ καὶ πολλαχοῦ ἀπειπάμην) τέχνῃ καὶ μελέτῃ ταῦτα γράφειν αὐτὸν ἡδέως εἴποιμι ἄν· οὐχ οὕτω μικρολογῶ τὸν οὐράνιον ἄνθρωπον ἐκεῖνον, τὸν ὡς οἰκίαν ἢ πόλιν μίαν τὴν οἰκουμένην ὅλην πολίσαντα τῷ κηρύγματι· ἀλλ' ἐμφύτῳ κράτει διανοίας, καὶ τῷ περὶ πάντα δραστηρίῳ, μᾶλλον δὲ τῇ ἄνωθεν χάριτι, ἣ καὶ τὸν πλοῦτον αὐτῷ τῆς ἐμφύτου γνώσεως καὶ τῆς ὑπὲρ τὸ ἀνθρώπινον ἀγχινοίας καὶ φρονήσεως χορηγοῦσα διὰ πάντων οὐ διέλιπε· δι' ἧς καὶ τῶν, ἄλλοις ὅσα πόνοι καὶ μελέται μόλις κατορθοῦσιν, αὐτὸς ἀταλαίπωρον ἔσχε τὴν χρῆσιν καὶ μεταχείρησιν.

Σὺ δέ μοι ταῖς ἐκεῖθεν καθαρῶς ἐλλαμπόμενος τῆς ἀληθείας ἀκτῖσιν, εἶης, ὥσπερ τὸ θεωρητικὸν ὀμματούμενος, οὕτω[1] καὶ τὸ πρακτικὸν ταῖς αὐτόθεν ἐντολαῖς διὰ βίου ῥυθμιζόμενος.

ΕΠΙΣΤΟΛΗ ΚΘ'.—29.

Παύλῳ Μητροπολίτῃ Λαοδικείας.[2]

(Πῶς οὐ μάχεται τὸ τοῦ Ματθαίου "Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς" πρὸς τὸ τοῦ αὐτοῦ "Μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων."—Ματθ. Ε', 16 καὶ ΣΤ', 1.)

Τῆς μακρᾶς σου καὶ μεμηχανημένης ἀπορίας ἁπλῆν καὶ σύντομόν σοι παρεχόμεθα τὴν λύσιν. Τὸ μὲν "οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς" εἰς ἀρετήν ἐστι δῆλον ὅτι τὴν τελειοτάτην παράκλησις· τὸ δὲ "Μὴ ποιεῖτε τὴν ἐλεημοσύνην ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων" φιλοδοξίας ἐστίν, ὅπερ ἐστὶ[3] κακίας, ἀναίρεσις. Πῶς οὖν ἡ τῆς κακίας ἀναίρεσις τῇ παρακλήσει τῆς ἀρετῆς δύναιτ' ἂν ὑπάρχειν μαχόμενον; τοὐναντίον γάρ, καὶ συνίστησι μᾶλλον ἡ θατέρας[4] ἀποτροπὴ τῆς ἑτέρας τὴν ὕπαρξιν. Ὁ γάρ τοι τῆς ἀνθρωπίνης δόξης διὰ τοὺς θείους νόμους ὑπερορῶν, οὗτός ἐστιν ὁ τῆς ἀρετῆς θερμὸς ἐραστής· καὶ ὁ μὲν σπουδαῖος τὸ θεῖον ἔχει δημοσιεῦον, καὶ λάμπειν αὐτοῦ παρασκευάζον τὰ ἔργα δίκην φωτός· ὁ δὲ πρὸς ἀνθρώπων δόξαν τὸν ἔλεον μετιών, αὐτός ἐστιν, ὃς ἀποφέρεται δῆλον ὅτι καὶ τὴν τῆς ἐπιδείξεως αἰτίαν. Ὅσῳ γοῦν ἀνθρωπίνης

---

[1] Παρ' Οἰκον.—οὕτω δή.

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΨΓ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΨΔ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΞΔ'.

[3] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ὅπερ καί ἐστι—παρὰ τοῖς ἄλλοις

[4] Ἴσως ἐγέγραπτο—τῆς ἑτέρας·—ἴδε τὰ περὶ τούτου σημειωθέντα ἐν § ά τῆς Γ' ἐπιστ. (σελ. 147).

Digitized by Google

σπουδῆς ψῆφος θεία διαφέρει, τοσούτῳ διενήνοχεν ἄνθρωπος πράττων ἀρετὴν καὶ Θεῷ ἀρέσκων ἀνδρὸς θήραν ἐπαίνων ἀνθρωπίνων τὴν πρᾶξιν προβαλλομένου· οὗ τὴν μίμησιν φεύγειν ὁ σωτήριος παρακελεύεται λόγος πᾶσιν, οἷς ἐστι σπουδὴ τὸν Θεὸν ἔχειν μάρτυρα καὶ κήρυκα τῶν ἔργων, ἀλλὰ μὴ τὰς οἰκείας τέχνας τῆς ἄνωθεν μαρτυρίας ἔμπροσθεν ποιεῖσθαι.

ΕΠΙΣΤΟΛΗ Λ'.—30.

Ζαχαρίᾳ Μητροπολίτῃ Χαλκηδόνος.[1]

(Διὰ τί ὁ Παῦλος πολλαχοῦ τοὺς μαθητὰς τῆς μετὰ τῶν φαύλων διατριβῆς ἀπείργων, αὐτὸς οὐ μόνον συνῆν καὶ συνανεστρέφετο, ἀλλὰ καὶ τοῖς ἀνόμοις ὡς ἄνομος συνδιετίθετο· καὶ ἐντεῦθεν, πῶς χρὴ καὶ περὶ τοῦ διορισμοῦ τῆς τριετίας λογίζεσθαι, ἣν ἐπὶ τῶν προσιόντων τῷ μονάδι βίῳ ὁ ἀκριβὴς λόγος διωρίσατο.)

Ὁ μακάριος καὶ θεῖος Παῦλος, ὁ τῶν ἐθνῶν Ἀπόστολος καὶ τῆς οἰκουμένης διδάσκαλος, ὁ τὸν γύρον ἅπαντα τῆς γῆς περιλαβὼν τῷ κηρύγματι, οὗτος ὁ τῷ οὐρανίῳ παιδευθεὶς διδασκαλείῳ, καὶ τῶν ἀπορρήτων ἐκείνων ῥημάτων πρῶτος ἀνθρωπίνην ἀκοὴν ἐπιδείξας κατήκοον,[2] πολλαχοῦ τοὺς μαθητὰς τῆς μετὰ τῶν φαύλων διατριβῆς ἀπείργων,[3] αὐτὸς οὐ μόνον συνῆν καὶ συνανεστρέφετο, ἀλλὰ καὶ τοῖς ἀνόμοις ὡς ἄνομος συνδιετίθετο. Τί τοῦτο; Μὴ γάρ, ἅπερ ἑτέροις ἀπέτρεπεν, αὐτὸς καθ' ἡδονὴν ἔπραττεν; ἢ τῶν μαθητῶν μὲν τὸ ἀσφαλὲς διετίθετο, ἑαυτῷ δὲ τὴν βλάβην εἰσέφερεν; ἢ λήθην ἔχων ὧν ἄλλους ἐπαίδευεν, αὐτὸς τἀναντία ἔστεργεν; Μὴ γένοιτο! Ἀλλ' ἑκάτερον τούτων ἀκριβῶς συνεπίστατο, καὶ τὸ καθ' ἑαυτὸν τέλειον καὶ πρὸς κακίαν ἀμετακίνητον, καὶ τῶν πολλῶν τὸ ἀτελὲς καὶ πρὸς τὰ χείρω εὐέμπτωτον. Ταῦτα δὲ καλῶς εἰδὼς καὶ συνεπιστάμενος, ἐκείνοις μὲν τὰς ἐκ τῶν ἐπισφαλῶς βιούντων βλάβας ἀνακόπτων καὶ ἀποκρουόμενος, τῆς μετ' αὐτῶν διαίτης καὶ ἀναστροφῆς διεκώλυεν· ἑαυτὸν δὲ καὶ εἰς μέσους φέρων ἠφίει, καὶ ὁμωρόφιος αὐτοῖς πολλάκις καὶ ὁμοδίαιτος ἐχρημάτιζεν, οὐ δεδιὼς μετασχεῖν κηλίδος τῆς παρ' αὐτῶν, θαῤῥῶν δὲ καὶ μεταδώσειν τῆς ἐνούσης καθαρότητος. Οὕτω τοιγαροῦν ὁ

---

[1] Αὕτη ἐν τοῖς Ἀμφιλοχίοις οὐ περιείληπται· ἐκδέδοται δὲ μόνον ἐν τῇ Μοντακ. συλλογῇ (Ἐπιστ. ΡΨΑ') καὶ ἐν τῇ Μιγνίου (σελ. 841). Ἡ δ' ἐπιγραφὴ κακῶς, οἶμαι, γέγραπται παρ' ἀμφοτέροις, "Ζαχ. Μητροπ. Ἀντιοχείας·" εἰ γὰρ Ἀντιοχείας ἦν ὁ Ζαχαρίας, Πατριάρχην ἂν αὐτὸν ἐπέγραψεν, ὥσπερ καὶ ἐν τῇ ΣΚΕ' "Εὐσταθίῳ Πατριάρχῃ Ἀντιοχείας." Διὰ δὴ τοῦτο τὸ—Ἀντιοχείας—εἰς τὸ "Χαλκηδόνος" μετέβαλον, τὸν αὐτὸν ἡγούμενος εἶναι τὸν Ζαχαρίαν τουτονὶ τῷ ἐν ταῖς Ἐπιστολαῖς ΨΒ', ΨΓ', ΨΔ', ΣΛ', καὶ ΣΛΑ', ὃν Χαλκηδόνος Μητροπολίτην ἐπιγράφει. Ἐξ ὧν δὲ λέγει ἐν τέλει, τὸν παρόντα καιρὸν αἰτίαν προβαλλόμενος οἰκονομίας τῶν περὶ τὴν δοκιμασίαν τῶν προσιόντων τῷ μοναδικῷ βίῳ ἀπαιτουμένων, ἔοικε τὴν ἐπιστολὴν ταύτην ἐν τῷ καιρῷ τῶν διωγμῶν καὶ ἀπὸ τοῦ δεσμωτηρίου γράψαι.

[2] Β' πρὸς Κορινθ. ΙΒ', 2—5.

[3] "Μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί" (Α' πρὸς Κορινθ. ΙΕ'. 33). Καὶ πρὸς Τιμόθεον δὲ τὴν πρώτην γράφων ἐπιστολὴν λέγει· "Εἴ τις ἑτεροδιδασκαλεῖ . . . . τετύφωται, μηδὲν ἐπιστάμενος . . . . ἀφίστασο ἀπὸ τῶν τοιούτων" (ΣΤ', 3—6).

[4] Α' πρὸς Κορινθ. Θ', 20—22.

Digitized by Google

αὐτὸς σκοπός, ἡ τῶν ψυχῶν, φημί, σωτηρία, διὰ τῶν ἐναντίων τῷ μακαρίῳ Παύλῳ ἐπεραίνετο, αὐτοῦ μὲν τῶν οὐκ εὐαγῶς βιούντων τὴν σύνοδον ἐπὶ διορθώσει τῶν συνόντων οὐ παραιτουμένου, τοὺς δὲ μαθητὰς οὐκ ἐῶντος παραπλησίως πράττειν, ἵνα μὴ χρηστὸν ἦθος κακαῖς ὁμιλίαις ἐνδιαφθείροιτο.

Πρὸς τί δέ μοι ἀφορᾷ ὁ λόγος, καὶ τί βούλεται; ἢ δῆλον ὅτι τὸ παρὰ τῆς ὑμῶν τελειότητος διαλύει προτεινόμενον. Ὥσπερ γὰρ οὐκ ἦν μὲν τοῖς ἀτελέσιν ἐπ' ἐξουσίας ἔχειν μετὰ τῶν φαύλων συναναφύρεσθαι, Παῦλος δὲ πράττων, ὅπερ ἀπεῖργε, καὶ διοικονομούμενος κατεφαίνετο, κερδαίνων μᾶλλον ἐξ ὧν ἄλλοις ὑπῆρχε τὸ ἐπιζήμιον, οὕτω χρὴ καὶ περὶ τοῦ διορισμοῦ τῆς τριετίας λογίζεσθαι, ἣν ἐπὶ τῶν προσιόντων τῷ μονάδι βίῳ ὁ ἀκριβὴς λόγος διωρίσατο. Τοὺς μὲν γὰρ πολλοὺς καὶ δεομένους προκαθάρσεως ἄμεινον ἐκεῖθεν τὴν δοκιμασίαν ἐπιδέχεσθαι· ὅσοι δὲ αὐτοὺς προκαθάραντες, οὕτω πρὸς τὸν φιλόσοφον βίον διαβεβαιοῦσιν,[1] οὐκ ἀναγκαίαν ἔχουσι τὴν ὁμοίαν παρατήρησιν. Ὥσπερ δὲ ἐπὶ τῶν προσιόντων τῇ φιλοσόφῳ πολιτείᾳ ταύτῃ πολλὴ καὶ μεγάλη καθορᾶται ἡ διαφορά, καὶ διὰ τοῦτο διάφορος συγχωρεῖται ἡ δοκιμασία, οὕτω καὶ ἐπ' αὐτῶν τῶν προτεταγμένων, καὶ καταῤῥυθμίζειν τοὺς ἄλλους ἠξιωμένων, οὐχ ἡ αὐτὴ δύναμις καὶ σοφία τοῦ παιδαγωγεῖν ἐπιδείκνυται. Δι' ὃ τοὺς ἁπλούστερόν πως διακειμένους βέλτιον ἂν εἴη μηδὲν παρ' ἑαυτῶν προσεπινοεῖν, πάντα δὲ πράττειν πρὸς τὴν τοῦ κανόνος κρίσιν ἀφορῶντας καὶ ἀπευθύνοντας. Ὅσοι δὲ τῶν προεστηκότων, τοῦτο μὲν τῶν ἀνθρωπίνων πείρᾳ πολλῇ καὶ συγγυμνασίᾳ, τοῦτο δὲ τῇ ἄνωθεν χάριτι καὶ ἐπικουρίᾳ, ἱκανῶς ἐλαχον κρίνειν τε καὶ διακρίνειν τὰς ὁρμάς τε καὶ τὰς διαθέσεις τῶν εἰσαγομένων, τούτοις οὐκ ἂν εἴη πολὺ τῆς εὐθύτητος ἀπολειπόμενον κριτήριον, οἶμαι, κἂν ὁ τῆς τριετίας οὐ συμπαρεκτείνοιτο χρόνος, ἡ τῆς οἰκείας γνώμης καὶ συνειδήσεως ψῆφος καὶ ἐπίκρισις, ἅτε δὴ πάντα πράττειν[2] ἐπὶ τῇ τῶν ἀνθρώπων σωτηρίᾳ οὐ μόνον σκοπὸν τιθεμένοις, ἀλλὰ καὶ χάριν ἄνωθεν, καὶ σοφίαν ἐξ ἐμπειρίας προσειληφόσι· καί, τὸ δὴ μέγιστον καὶ ἀναγκαιότατον εἰς μετάθεσιν αἰτίας καὶ παραίτησιν συγγνώμης, ὁ παρὼν καιρός, ὃς[3] τὰ μὲν πετεινὰ καὶ τὰς ἀλώπεκας, εἰ βούλει δέ, καὶ τοὺς λύκους καὶ τοὺς δράκοντας καὶ τὰς παρδάλεις, καὶ ἁπλῶς τοὺς θηριοτρόπους τῶν ἀνθρώπων, λαμπραῖς καὶ περιφανέσιν οἰκίαις ἐγκατοικίζει, καὶ πᾶσαν αὐτοῖς ἐλευθερίαν πράττειν, ἃ ἂν ἕλοιντο, παρέχει, τοῖς δὲ μαθηταῖς καὶ μιμηταῖς τοῦ υἱοῦ τοῦ ἀνθρώπου οὐδ' ἔχειν ὅπου κλῖναι τὴν κεφαλήν, οὐδ' ὧν ἄνευ οὐδὲ ζῆν ἐστιν, οὐδενὸς οὐδεμίαν ἄδειαν ἐπιτρέπει.[4] Πῶς οὖν ὁ καὶ αὐτῶν τῶν ἀναγκαίων ἀπεστερημένος, καὶ μηδὲ σπᾷν ἀδεῶς τὸν ἀέρα συγκεχωρημένος, ἐφ' ὅλα τρία ἔτη τὸν μαθεῖν ἐθέλοντα τὴν ἀρετὴν προκαταρτίσει, καὶ γυμνάσιον αὐτῷ τῆς μελλούσης ἀσκήσεως προδιαθήσει; ἀγαπητὸν γάρ, εἰ[5] καὶ ὅτῳ δήποτε τρόπῳ τῆς πολλῆς ἐξελκύσας γε κακίας τῇ φιλοσόφῳ

---

[1] Παρὰ Μιγνίῳ γέγραπται—διαβαίνουσιν·—ἀλλ' ἄμεινον τὸ παρὰ Μοντ. διαβεβαιοῦσιν.

[2] Πέντε ὅλαι λέξεις ἐλλείπουσι παρὰ Μιγνίῳ, αἵδε "ἐπίκρισις, ἅτε δὴ πάντα πράττειν."

[3] Ἡμ. διόρθ. ἀντὶ—ὡς—παρά τε Μοντακ. καὶ Μιγνίῳ.

[4] Τούτοις τὸ παρὰ Ματθαίῳ (κεφ. Η', 20) εἰρημένον αἰνίττεται· "Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει, ποῦ τὴν κεφαλὴν κλίνῃ."

[5] Ἡμ. διόρθ. ἡ προσθήκη τοῦ ΕΙ, ἐλλείποντος παρά τε Μοντ. καὶ Μιγνίῳ.

Digitized by Google

σπουδ
ἀρέσκ
φεύγ
καὶ κ
ποιεῖ

σ
δ
ἐ
ι
ι

ι
ι

θεο

Digitized by Google

ὅρκον εἰς τὸ τῆς περιτομῆς σεβάσμιον εἰσπραττόμενος· δεύτερον δὲ καὶ νοούμενον, εἰς τὸν ἐξ αὐτοῦ τεχθησόμενον Χριστὸν καὶ Θεὸν ἡμῶν δεσμεύων αὐτόν, καὶ εὐορκεῖν ἐπὶ πλέον ἀσφαλιζόμενος· ἅμα δὲ καὶ προθυμότερον αὐτὸν ἐργαζόμενος, ἅτε δὴ ἔφορον καὶ μάρτυρα τῶν ἐπὶ τῇ νυμφαγωγίᾳ ὅρκων οὐκ ἄλλον αὐτῷ ἐφιστάμενος,[1] ἀλλ' ἐκεῖνον, ὃς καὶ προϋπέσχετο, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, τὸ ἐν Ἰσαὰκ αὐτοῦ σπέρμα πληθυνθήσεσθαι,[2] καὶ δυνατός ἐστι πέρας ἐπιθεῖναι ταῖς ὑποσχέσεσι, καὶ ἀμεταμελήτους[3] οἶδε τὰς δωρεὰς καὶ τὰς χάριτας· μονονουχὶ καὶ ἐννοούμενος καὶ λέγων· Ὦ παῖ, τοῦ ἐμοῦ γνησίου νυμφαγωγὲ παιδός, προθυμηθῆναι δεῖ[4] μόνον τῇ ὑπηρεσίᾳ προαίρεσιν σπουδαίαν εἰσενεγκεῖν, τὰ δ' ἄλλα ῥᾷστον ἀνοίσει ὁ καὶ τῆς ὁρκομοσίας ἐπόπτης καὶ μάρτυς, καὶ τὰς τῆς πολυπαιδίας ὑποσχέσεις δωρησάμενος. Καὶ ὅρα, ὡς φιλοθέως λίαν καὶ εἰκότως τὸν ἐπὶ παιδογονίᾳ τοῦ υἱοῦ μεσίτην ἐσόμενον, τῆς σφραγίδος ἁπτόμενον, ἣν τῆς ἐν πίστει πολυγονίας σημεῖον ἔλαβεν, ὀμνύειν προσέταττεν· ἵνα εἴπῃς, ὁ δούς μοι τὴν περιτομήν, αὐτὸς ἔδωκε τὸ μὲν Χαναναῖον γένος, μεθ' ὧν ἐγὼ παροικῶ, ἐπάρατον, ἐν εὐλογίαις δὲ τὸ ἡμέτερον· ἰδοὺ τοίνυν τῆς θείας ἐφαπτόμενον σφραγίδος, τὸν νομοθέτην ταύτης ὀμνῦναι κελεύω, μή ἂν ἄλλως ποιεῖν, ἢ ὡς ἐκείνῳ, τῷ τῆς πολυτεκνίας δοτῆρι, χαριούμεθα, ἐξ ὁμογενοῦς νυμφαγωγῆσαι κόρην τῷ παιδί· τοιοῦτόν τί μοι πράττειν δοκῶν, ὁποῖόν τι τῶν ὁμοίων εὐσεβὴς ἀνὴρ καὶ τῶν ἐν χάριτι διαπραχθῆναι ποιούμενος σπούδασμα, αὐτά που προθέμενος τὰ τοῦ θείου καὶ σωτηρίου βαπτίσματος σύμβολα, τήν τε λευκήν, φημί, στολήν, καὶ τὰ λοιπὰ τοῦ δώρου παράσημα, εἶτα τούτων ἁπτόμενον, εἰς αὐτὰ τὸν ὅρκον ὑπέχειν ἀπαιτοίη τὸν ὑπεσχημένον ὑπηρετήσασθαι τῷ βουλήματι. Ἔχεις τοιγαροῦν κατ' ἐπιστολὴν ἐκ τῶν εἰρημένων, οἶμαι, τό τε εὔλογον καὶ ἀκόλουθον καὶ θεοφιλὲς τῆς τοῦ πιστοῦ Ἀβραὰμ διανοίας καὶ πράξεως, δι' ὧν λογισμὸς ἅπας χυδαῖος καὶ πεπατημένος καὶ ἀντικείμενος ἀπελαύνεται.

ΕΠΙΣΤΟΛΗ ΛΒ'. — 32.

Τῷ αὐτῷ.[5]

(Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται.—Ματθ. ΙΒ', 31 καὶ 32.)

Ἐπειδὴ πρὸς ταῖς ἑρμηνείαις, ἃς οἱ θεῖοι Πατέρες ἡμῶν κατὰ πλείους ἢ τέσσαρας, οἶμαι, διανοίας ἐκδεδώκασιν εἰς τὸ "Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς

---

[1] Παρ' Οἰκον. — ἐπιστάμενος· — ἄλλ' ἄμεινον τὸ Μοντακ. "ἐφιστάμενος," ᾧ συντέτακται καὶ ἡ Δοτ. "αὐτῷ."

[2] Γενέσ. ΚΒ', 17.

[3] Ἐν ἄλλοις εὕρηται—ἀμεταβλήτους—ὡς Οἰκον. φησίν. Ἴδε τὰς ἐπισημειώσεις ἐν Ἀμφιλοχίοις, σελ. 378.

[4] Ἐκ διορθ. Οἰκον. ἀντὶ—δέοι.

[5] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλ. κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΙ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΙΓ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΚΖ'.

Digitized by Google

ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται," καὶ "ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι·"[1] ἐπεὶ οὖν καὶ ἑτέραν πρὸς ταῖς εἰρημέναις ἐκείναις, καίτοι τοσαύταις οὔσαις, οὐκ οἶδ' ἀνθ' ὅτου ἐπιζητεῖς (ἱκαναὶ γὰρ ἐκεῖναι ψυχὴν φιλομαθοῦς ἐμπλῆσαι τῆς ἐπιθυμίας), οὐδὲν χεῖρον ἴσως κἀκεῖνο συνιδεῖν, πλείστην ὅσην τὴν ἀπ' αὐτῶν τῶν πραγμάτων ἔχον συμφωνίαν. Ποῖον δὴ τοῦτο; Ὅτι ὁ μὲν προσπταίων τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν ἀπὸ τῶν ἀνθρωπίνων ἐνδείξεων, οἷον ὅτι ἤσθιε καὶ μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν, ὅτι ἐκάθευδεν, ὅτι ἐκοπία, ὅτι "περίλυπός ἐστιν, ἔλεγεν, ἡ ψυχή μου," καὶ εἴ τι τοιοῦτον, ὧν ἕκαστον εἰς βεβαίωσιν καὶ παράστασιν ἐναργῆ τῆς ἐνανθρωπήσεως ὁ πάντα σοφῶς πρυτανεύων διεπράττετο Λόγος· οἱ γοῦν ἐκ τῶν τοιούτων προσεπταικότες Χριστῷ, ῥᾳδίαν, ὡς εἰκός, δύνανται τὴν διόρθωσιν ἔχειν· τρόπον γάρ τινα αὐτοῖς ἐξ ἀγνοίας διεξέπιπτεν ἡ βλασφημία, οὐ δυναμένοις διακύψαι πρὸς τὸ βάθος τῆς οἰκονομίας καὶ τὴν ἄῤῥητον συγκατάβασιν· δι' ὃ ἐκ τῶν θειοτέρων αὐτοῦ ἔργων καὶ πράξεων ταχίστην τὴν μεταβολὴν ἐπιδείξουσιν οὗτοι, καὶ παραπλησίαν ἔξουσι τὴν ἐφ' οἷς ἡμάρτανον ἄφεσιν. Οὕτω Παῦλος διώκτης,[2] σταυρὸν ἀκούων καὶ θάνατον, καὶ ὅτι ἔφαγε καὶ ἔπιε, καὶ ὅσα ἄλλα τοῖς Ἰουδαίοις εἰς διαβολὴν τοῦ Δεσπότου προεφέρετο· ἐπεὶ δὲ θειοτέρας ἔτυχε πείρας καὶ τῆς ἄνωθεν ὀπτασίας, αὐτίκα πάντα τὰ βλάσφημα ῥίψας ἐκεῖνα, κήρυξ τοῦ διωκομένου γίνεται.[3] Οὕτω πάλιν τρισχίλιοι ἅμα, καὶ τούτων ἐφεξῆς πλείους, εἶτα καὶ λαὸς μείζων ἢ ἀριθμεῖσθαι, ταῖς θεοσημείαις μετατεθέντες, σπουδῇ τῷ πρὶν[4] ὑπ' αὐτῶν πολεμουμένῳ προσῆλθον κηρύγματι.[5] Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅπως τοῖς εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου βλασφημοῦσιν ἡ ἄφεσις δίδοται, ὅτι τῷ ῥᾳδίῳ τῆς μεταβολῆς καὶ τὸ πρόχειρον τῆς συγγνώμης ἕπεται. Ὅσοι δὲ τῶν θαυμασιωτέρων, καὶ ἃ μόνης ἐστὶ τῆς θείας δυνάμεως, ὑπ' ὄψιν ἔχοντες τὴν ἐνέργειαν,[6] δαίμονας διωκομένους, νόσους ἐλαυνομένας, τυφλοῖς τὰς ὄψεις ῥήματι δημιουργουμένας, τὰ ὑπερφυῆ καὶ παράδοξα ἐκεῖνα, πρὸς οὐδὲν τούτων ἐθέλουσιν ἐπιστρέφεσθαι, ὡς ἑκόντες πρὸς τὰ τοῦ Πνεύματος ἔργα καὶ τὸ φῶς ἀποτυφλώττοντες, οὗτοι[7] χαλεπήν, ἣ καὶ ἀδύνατον παντελῶς, τὴν μεταμέλειαν ἔχουσιν· ἐξ οὗπερ αὐτοῖς ἀφαιρεῖται καὶ ἡ ἄφεσις. Τίνι γὰρ ἂν καὶ μεταπεισθεῖεν οὗτοι, πρὸς τὰ οὕτω καινὰ καὶ πολλῷ τῆς φύσεως κρείττονα

---

[1] *Ματθ. ΙΒ', 31 καὶ 32. Μάρκ. Γ', 28 καὶ 29. Λουκ. ΙΒ', 10.*

[2] "Σαῦλος δὲ ἐλυμαίνετο τὴν Ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν" (Πράξ. Η', 3)· ὅθεν ἐν τῇ Α' πρὸς Κορινθ. ἐπιστολῇ (ΙΕ', 9) λέγει. "Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ."

[3] *Πράξ. κεφ. Θ', 1—31.*

[4] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—πρὶν τῷ.*

[5] *Πράξ. κεφ. Β', 41 καὶ Δ', 32—36.*

[6] *Παρ' Οἰκον.—ἐνάργειαν.*

[7] *Παρ' Οἰκον.—οὗτοι δὴ οὗτοι·—πιθανὸν δὲ τὰς δύο πρώτας λέξεις ἀβλεψίᾳ τυπογραφικῇ ἐκπεσεῖν τοῦ κειμένου τῶν ἐπιστολῶν· συνηθεστάτη γὰρ Φωτίῳ ἡ ἐμφαντικὴ αὕτη τῆς Ἀντων. ἐπανάληψις.*

Digitized by Google

πωρωθέντες, καὶ μηδ' ὑπό τινος[1] αὐτῶν πρὸς ἐπιστροφὴν ἰδεῖν δυσωπηθέντες; Δι' ὃ δικαίως αὐτῶν καὶ ἀσύγγνωστον τὸ πλημμέλημα, καὶ μείζων ἡ βλασφημία τῆς ἀφέσεως.

Παραδείγματα τοῦ λόγου Ἄννας καὶ Καϊάφας καὶ πολλοὶ τῶν Ἰουδαίων· οἳ δαίμονας ἀπελαύνοντα ἰδόντες, δέον προσκυνεῖν τὸν εὐεργέτην, ἐν τῷ ἄρχοντι τῶν δαιμονίων (πρᾶγμα πάσης ἀναισχυντίας τολμῶντες ἐπέκεινα) ἐκβάλλειν αὐτὸν ἐλοιδόρουν τὰ δαιμόνια·[2] τυφλοὺς βλέποντας ὁρῶντες, καὶ κλινήρεις δρόμῳ καὶ φορτίῳ τὴν ἴασιν βεβαιοῦντας, "οὐκ ἔστιν ὁ ἄνθρωπος οὗτος, ἔλεγον, ἐκ τοῦ Θεοῦ·"[3] τὸν Λάζαρον ἀντιστάμενον τεταρταῖον, εἰς πλείονα φόνον[4] ἀνεφλέγοντο· "ἐζήτουν γάρ, φησίν, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν·"[5] εἶτα ἀναστάντα μεμαθηκότες, χρήμασι καὶ ψεύδει κατακρύπτειν ἐπεχείρουν τὴν Ἀνάστασιν·[6] καὶ δὴ καὶ τῶν μαθητῶν πυρίναις γλώσσαις στομωθέντων,[7] καὶ τὰ μεγαλεῖα τοῦ Θεοῦ ξένοις ῥήμασιν ἀνακηρυττόντων, καὶ πλῆθος ἄπειρον τῷ θαύματι πρὸς τὴν εὐσέβειαν ἐναγόντων, εἰς γλεῦκος οὗτοι καὶ μέθην τὸ φρικτὸν τοῦ θαύματος διασύρειν οὐκ ᾐσχύνοντο,[8] οὐδ' ἐφοβοῦντο μὴ τῷ ξένῳ πυρὶ καταδαπανηθῶσιν οἱ ἀλάστορες. Οὕτως οὐδὲν αὐτοῖς τῶν ὑπερφυῶν εἰς μεταβολὴν τῆς μοχθηρᾶς καὶ ἀτόπου γνώμης ἐξήρκεσεν, ἅπαξ πρὸς τὰ πρῶτα τῶν πνευματικῶν καὶ θείων ἔργων ἀναισχυντεῖν ἑαυτοὺς παρεσκευακόσι καὶ ἀποθρασύνεσθαι. Δικαίως ἄρα λίαν καὶ σοφῶς εἴρηται, ὅτι, "ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι·" τοῖς μὲν γὰρ ἀπὸ τῶν ἀνθρωπικωτέρων καὶ ταπεινοτέρων σκανδαλισθεῖσιν ἐπὶ τῷ Δεσπότῃ Χριστῷ ῥᾳδία ἡ διὰ τῶν μειζόνων καὶ ὑψηλοτέρων μεταβολὴ καὶ ἄφεσις· τοῖς δὲ πρὸς τὰ πνευματικὰ καὶ ὑπερφυῆ καὶ θεῖα ἀπονοηθεῖσι, παγχάλεπος, ἢ καὶ ἀδύνατος, ἡ διόρθωσις· διὰ τοῦτο καὶ οὐδεμία τῶν πλημμεληθέντων ἀπαντήσει ἄφεσις

---

[1] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—ὑπό τινι—παρὰ τοῖς ἄλλοις.

[2] Ματθ. Θ', 34 καὶ ΙΒ', 24.

[3] Ματθ. Θ', 6—9 καὶ Λουκ. Ε', 24—27.

[4] Τοῦτο Μοντακ. διορθωτέον εἶναι εἰκάζει "φθόνον," καὶ Λατινιστὶ "invidiam" μετέ[ρ]ρασεν· ἐκ μέντοι τοῦ ἀμέσως ἑπομένου ῥητοῦ ὀρθῶς ἔχειν τὴν γραφὴν "φόνον" κατάδηλον γίνεται· οὕτω δὴ καὶ παρ' Οἰκον. φέρεται—φόνον.

[5] Ἰωάν. ΙΒ', 10—12.

[6] Ματθ. ΚΗ', 12—14.

[7] Τὸ ῥῆμα τοῦτο διττὴν ἔχει καὶ ἀντίθετον ἔννοιαν· σημαίνει γὰρ "κλείω τινὸς τὸ στόμα," καὶ τοὐναντίον "ἀνοίγω τινὸς τὸ στόμα," καθ' ἣν ἔννοιαν ἐκληπτέον ἐνταῦθα.

[8] Πράξ. Β', 13. Ἴδε καὶ Ἐπιστ. ΙΑ', ἐν ᾗ τὸ μέρος τοῦτο ἑρμηνεύεται.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΛΓ'.—33.

Τῷ αὐτῷ[1]

(Πῶς οὐ μάχεται τὸ παρ' Ἰωάννῃ· "Οπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε," πρὸς τὸ "Κύριε, οὐκ οἴδαμεν, ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν γνῶναι;—Ἰωάν. ΙΔ' 4 καὶ 5.)

Τῇ Δεσποτικῇ φωνῇ τῇ λεγούσῃ, "ὅπου ὑπάγω ἐγὼ οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε," οὐκ ἀνακόλουθος,[2] οὐδὲ τἀναντία φθέγγεται, ἡ τοῦ μαθητοῦ ὑποφώνησις, "Κύριε, οὐκ οἴδαμεν, ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν γνῶναι;" Οὐ γὰρ ἁπλῶς, οὐδ' ἀπολύτως τοῦτο, οὐδὲ χωρίς τινος προηγουμένης ὑποθέσεως, εἴρηται· ἀλλ' ἔχει προηγούμενον, ᾧ καὶ συνάπτεται, τὸ "Πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς·" τοῦτο γὰρ εἰπών, ἐπισυνάπτει διὰ τοῦ "ἵνα" καὶ τὴν αἰτίαν τῆς παραλήψεως, εἰς τρία ταῦτα διελὼν αὐτήν· εἴς τε τὸ εἶναι τοὺς μαθητὰς ἔνθα καὶ ὁ Διδάσκαλος, καὶ εἰς τὸ εἰδέναι ὅπου ὑπάγει, καὶ εἰς τὸ τὴν ὁδὸν εἰδέναι. Φησὶ γάρ, "πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν·" διὰ τί; "ἵνα, ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε, καὶ ἵνα, ὅπου ὑπάγω οἴδατε, καὶ ἵνα τὴν ὁδὸν οἴδατε·" τοῦ ἵνα δῆλον ὅτι ταῖς τρισὶν αἰτίαις, ὡς πολλάκις εἴωθε, κοινοποιουμένου. Οὐκοῦν τὸ εἰδέναι τὴν ὁδόν, καὶ τὸ ὅπου ὑπάγει, οὔπω ἔλεγεν αὐτοῖς παρεῖναι, ὥσπερ οὐδὲ τὸ εἰς οὐρανοὺς αὐτῷ συνεῖναι, ἀλλ' εἰς τὸν τοῦ ἐπανέρχεσθαι καιρὸν καὶ παραλαμβάνειν αὐτοὺς τεταμιεῦσθαι αὐτοῖς ταῦτα. Τριῶν οὖν τοῖς μαθηταῖς κατὰ τὴν ἐπάνοδον ὑπεσχημένων,[3] ἀποθαυμάζων ὁ Θωμᾶς τὸ μέγεθος τῶν ἐπηγγελμένων, ἅτε δὴ μηδὲ τοῦ ἐλάττονός πω ἐν καταλήψει γεγονώς, εἰκότως διαμφισβητεῖ, πῶς ἐν μεθέξει γενήσονται τῶν μειζόνων· ἔλαττον γὰρ τὸ εἰδέναι ἁπλῶς, ποῦ τόδε ἐστίν, ἤπερ τὴν ἀπάγουσαν ὁδὸν εἰδέναι, καὶ τοῦτο πάλιν τοῦ ἐν αὐτῷ ἤδη τῷ ζητουμένῳ τόπῳ διαιτᾶσθαι. Ἀκόλουθος οὖν ἡ τοῦ μαθητοῦ διαμφισβήτησις, καὶ οὐδὲν τῇ Διδασκαλικῇ φωνῇ μάχεται· οὐ γὰρ ἐκεῖνος τὴν ὁδὸν αὐτοὺς ἤδη ἔφησεν εἰδέναι, ἢ ὅπου ὑπάγει, ἢ τὸ ἐν οὐρανοῖς αὐτῷ συνεῖναι, ἀλλ' ἔσεσθαι αὐτοῖς ταῦτα, ἐπειδὰν αὐτοῦ μὲν ἡ ἐπάνοδος, ἐκείνων δὲ διαπραχθείη ἡ πρόσληψις. Ἐπάνοδος δ' ἂν εἴη τοῦ Δεσπότου ἡ[4] μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν τελεσθεῖσα τοῖς μαθηταῖς ἐπιφάνεια, καθ' ἣν Θεὸν αὐτὸν ἀληθῶς ἐπεγνωκότες,[5] τήν τε ὁδόν, καὶ οὗ πορεύεται, ἔμαθον, καὶ ὅτι συνέσονται αὐτῷ ἐν ἀδιηγήτοις ἀγαθοῖς, οὐκέτι δισταγμὸν εἶχον, ἀλλ' ὡς συνόντες ἤδη ταῖς ἐλπίσιν ἔχαιρον· ἢ οὖν τοῦτο δηλοῖ

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχ. κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΨΗ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΨΘ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΠΑ'.

[2] Παρ' Οἰκον.—οὐκ ἀνακολούθως.

[3] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ὑπισχομένων—παρὰ τοῖς ἄλλοις.

[4] Παρ' Οἰκον.—ἢ ἡ μετὰ τὸν σταυρὸν .... ἐπιφάνεια—τοῦ διαζευκτικοῦ δῆλον ὅτι "ἢ" αὖθις διὰ τὴν μακρὰν παρενθετ. πρότασιν ἐπαναλαμβανομένου ἐν τῷ "ἢ οὖν τοῦτο δηλοῖ," καὶ εἰς τὸ "ἢ κατὰ τὴν δευτέραν αὐτοῦ .... ἐπάνοδον" ἀποδιδομένου.

[5] Ἡμάρτηται πάντως τὸ παρὰ Μοντακ.—ἀπεγνωκότες.

Digitized by Google

τὸ "πάλιν ἔρχομαι" καὶ ἐξῆς, ἢ τὴν[1] κατὰ τὴν δευτέραν αὐτοῦ καὶ φρικτὴν παρουσίαν ἐπάνοδον, ὅτε καὶ τὴν ὁδὸν καὶ τὸν μακάριον ἐκεῖνον χῶρον καὶ τῶν ἐν αὐτῷ τὴν ἀπόλαυσιν διὰ τῆς πείρας αὐτῆς ἀϊδίως εἴσονται.

ΕΠΙΣΤΟΛΗ ΛΔ'.—34.

Τῷ αὐτῷ.[2]

(Διὰ τί ὁ Ἄγγελος οὐκ ἐπέστη τῷ Ἰωσήφ, πρὶν ἢ ἐμπεσεῖν εἰς ἀπορίαν, καὶ διανοηθῆναι λάθρα τὴν Παρθένον ἀπολῦσαι.—Ματθ. Α', 19 κ. ἑξ.)

Ὅτε εἰς ἀπορίαν λογισμῶν κατέστη ὁ Ἰωσήφ, τότε ὁ Ἄγγελος ἐπέστη λύων τὴν ἔριν τῶν λογισμῶν· ὅτι γὰρ διηπορεῖτο περὶ τῷ τόκῳ, καὶ ἀμηχανίας ὅλος ἐγένετο, δῆλον ἐξ ὧν διενοεῖτο, καὶ ὅσον οὔπω πράξειν ἔμελλεν· "ἐβουλήθη γάρ, φησί, λάθρα αὐτὴν ἀπολῦσαι," οὐκ ἂν οὔτε λάθρα, οὔτε ὅλως ἐκπέμψαι διανοηθείς, εἰ νόθου γονῆς τὸν ὄγκον ἐπέπειστο τῆς γαστρός· νόμῳ δὲ καὶ τιμωρίᾳ, δικαιοσύνης ὢν μάλιστα ἐραστής, θᾶττον ἂν παρεδίδου τὸ τόλμημα. Ἀλλὰ τοῦτο μὲν οὐκ ἐπέπειστο· ἥ τε γὰρ ἀνυπέρβλητος ἀρετὴ τῆς μνηστευθείσης, καὶ ἡ πρέπουσα φυλακὴ τοῦ μνηστῆρος, πᾶσαν ἀπετείχιζεν ὑποψίαν οὐκ εὐαγῆ. Οὐδ' ἐκείνου δὲ πάλιν σύνεσιν εἶχεν, ὡς ἄρα θείας ἐνεργείας ἡ κύησις ἦν· ὑπὲρ ἔννοιαν γὰρ ἀνθρωπίνην ἐχρημάτιζεν ἡ πρᾶξις· δι' ὃ τοῖς λογισμοῖς ἐκυμαίνετο, καὶ τί ἂν δεηπορεῖτο πραξάμενος, τὰ ἀρεστὰ πράττοι τῷ Θεῷ. Ὅτε γοῦν τούτοις ἐκλονεῖτο τοῖς λογισμοῖς, τότε λίαν ἐπικαίρως ἄγγελον ἐφῆκεν[3] ὁ τῇ παρθενικῇ γαστρὶ τὸν ὄγκον θαυματουργῶν, στηρίζοντα αὐτὸν ἐφ' οἷς ἔδει μένειν ἀκλόνητον καὶ σταθερόν· δι' ὃ φησί· "Μὴ φοβηθῇς παραλαβεῖν" καὶ ἐξῆς. Σὺ μέν, φησί, λαθραίως μελετᾷς ἐκπέμψαι τὴν Παρθένον, δεδιὼς κατέχειν, ἣν τόκος ἄδειλος ἔχει· ἐγὼ δέ σε παραλαβεῖν, καὶ παρὰ σεαυτῷ ἔχειν προστάσσω· "τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου·" καὶ οὐ μόνον ἀνεύθυνον τὴν κυοφοροῦσαν τελεῖ, οὐδ' ὑπὲρ ἄνθρωπον δόξης καὶ λαμπρότητος πληροῖ, ἀλλὰ καὶ Κόσμῳ παντὶ Σωτὴρ τίκτεται καὶ Λυτρωτής. Εὐκαίρως ἄρα οὐ πρότερον ὁ Ἄγγελος ἐπιφαίνεται τῷ Ἰωσήφ, ἀλλ' ὅτε αὐτὸν ἀμφίβολοι διετάρασσον λογισμοί· ὅτε γὰρ σφοδρὰ ἡ ζάλη, τότε μάλιστα γλυκεῖα ἡ γαλήνη. Καὶ τὸ "τὴν γυναῖκά σου" δέ, ἀντὶ τοῦ, τήν,[4] ὅσα γε ἐκ τοῦ μὴ πρὸς ἕτερον ἄνδρα μήτε ὄμμα μήτε λογισμὸν ἐπιβεβληκέναι, σώαν σοι καὶ ἀκαινοτόμητον τὴν τῆς γυναικὸς διατηρήσασαν τάξιν, καὶ μηδ' ἐ-

---

[1] *Προσέθηκα τὸ ἄρθρον ἐξ Οἰκον. ἐλλεῖπον παρὰ τοῖς ἄλλοις.*

[2] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχ. κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΨΘ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. Ρ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΠΒ'. Ἐκτενέστερον δὲ περὶ τούτου πραγματεύεται ἐν τῷ ΚΒ' Ζητήματι τῶν Ἀμφιλοχίων.*

[3] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—ἀφῆκεν.*

[4] *Προσέθηκα τὸ ἄρθρον τὴν ἐξ Οἰκονόμου, ὅπερ δὴ καὶ Μοντακ. προσθετέον εἶναι εἴκασεν.*

Digitized by Google

πινοίᾳ λύσασαν τοὺς θεσμοὺς τῆς μνηστείας· ἄλλως τε δὲ καὶ γυναῖκας ἔθος ἦν καλεῖν παλαιόν, καὶ ἃς μόνος ὁ τῆς μνηστείας δεσμὸς συνεδέσμει, κἂν ὁ τῆς ὁμιλίας αὐταῖς οὐκ ἐγινώσκετο νόμος.

ΕΠΙΣΤΟΛΗ ΛΕ'. — 35.

Τῷ αὐτῷ.[1]

(Διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους.—Α' πρὸς Κορινθ. ΙΑ', 10.)

Τὸ ἐξουσίαν ἔχειν την γυναῖκα ἐπὶ τὴν κεφαλήν, οὐχ ὡς τὸ πρόχειρον τῶν ῥημάτων νοεῖν δίδωσιν, οὕτω νῦν ὁ θεσπέσιος Παῦλος ἐξείληφε· καὶ γὰρ ἐξουσίαν ἔχειν ἀκούοντες τὸ κατεξουσιάζειν καὶ κυριεύειν ἴσως τινὲς ἐξακούουσιν. αὐτὸς δὲ νῦν ἐξουσίαν ἔχειν φησὶ τὴν γυναῖκα, τὸ ὑπ' ἐξουσίαν τάττεσθαι καὶ τελεῖν· καί, ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, καὶ τῶν ἄλλων αἱ λύσεις, ἅ σοι κατὰ τὸ αὐτὸ χωρίον συνδιηπόρηται, ῥητέον ἐντεῦθεν. Τοὺς ἄνδρας ὁ τῆς οἰκουμένης Διδάσκαλος ἀκαλύπτους ἔχειν τὰς κεφαλὰς ἐν τῷ προφητεύειν τε καὶ προσεύχεσθαι διατάσσεται, τὰς γυναῖκας δὲ[2] κεκαλυμμένας· καὶ τίθησιν αἰτίας, δι' ἃς τοῦτο παρακελεύεται, διττάς. Ὁ ἀνήρ, φησί, κείρεται τὴν κεφαλὴν καὶ ξυρᾶται· γυναικὶ δὲ οὐδέτερον τούτων ποιεῖν θέμις· οὕτως οὖν εἰ καὶ ὁ ἀνὴρ ἀκάλυπτον ἔχοι τὴν κεφαλήν, ἀλλ' οὐκέτι καὶ γυναικὶ τολμητέον. Ὁ μὲν γάρ, ἵνα μὴ ταύτην αἰσχύνῃ, φυλάττει ἀκάλυπτον (οὐ γὰρ λόγον ἔχει τὴν μὲν κόμην, ἣν ἡ φύσις δίδωσιν, ἀφαιρεῖν, ἔξωθεν δὲ περιβόλαιον ἐπινοεῖν)· γυναικὶ δὲ χρέος τὸ κάλυμμα· καταισχύνει γὰρ τὴν κεφαλὴν αὐτῆς, ὥσπερ ξυρωμένη τε καὶ κειρομένη, οὕτω δὴ καὶ μὴ καλυπτομένη. Εἰ γὰρ καὶ τὸ μὲν ἡ φύσις προβάλλεται, τὸ δὲ ἡ σώφρων αἰδώς, ἀλλ' οὖν ἄμφω κεφαλῆς περιβόλαια· καὶ ὥσπερ ἡ ἐξυρημένη τὸ φυσικὸν ἀπέθετο περιβόλαιον, οὕτω καὶ ἡ ἀκάλυπτος τῆς σώφρονος αἰδοῦς περιεῖλε τὸ ἀμφίασμα, καὶ γίνεται κατὰ τοῦτο ταὐτὸν τῇ ἐξυρημένῃ. Μία μὲν οὖν αἰτία τοῦ τὴν μὲν δεῖν κατακαλύπτεσθαι, τὸν δὲ μηκέτι, αὕτη. Μᾶλλον δέ τις ἀκριβῶς ἐπισκοπῶν, οὐδὲ αἰτίας ἀπόδοσιν ἐρεῖ ταῦτα, ἀνατροπὴν δὲ καὶ ἀναίρεσιν τῶν αἰτιᾶσθαι τὴν νομοθεσίαν ἐπιχειρούντων, καὶ τὰ αὐτὰ τοῖς ἀνδράσιν ἀξιούντων καὶ ἐν τούτοις πράττειν τὰς γυναῖκας διὰ τὴν κοινωνίαν τῆς φύσεως. Ἀλλ' εἴτε αἰτία, εἴτε τῶν αἰτιωμένων ἔλεγχος, τοιαύτη ἂν ἡ διάνοια εἴη.

Δευτέραν δὲ τίθησι τοιαύτην. Ἡ γυνή, φησί, ὑπὸ τὴν ἐξουσίαν πέφυκε τελεῖν τοῦ ἀνδρός· ἐξ αὐτοῦ γὰρ ἔσχε κατὰ πρώτας[3] τὰς σωματικὰς ἀρχὰς τῆς γενέσεως· καὶ

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΙΘ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΗ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΙ'.

[2] Παρ' Οἰκον.—τὰς δὲ γυναῖκας.

[3] Τοῦτο Οἰκονόμος διωρθώσατο—κατὰ πρῶτον.—εὕρηται μέντοι καὶ ἐν θηλ. γένει ἐπιῤῥηματικῶς τεθειμένον "τὴν πρώτην" καὶ "περὶ τὴν πρώτην" καὶ "ἀπὸ τῆς πρώτης." Φωτίῳ δὲ σύνηθες "κατὰ πρώ-

Digitized by Google

πολλῶν μὲν ἐξουσιάζει καὶ ἄλλων ὁ ἀνήρ, τὸ δὲ ἐνδοξότερον αὐτοῦ καὶ τιμιώτερον τῆς ἐξουσίας καὶ ἀρχῆς ἡ γυνή ἐστι· τοῦτο γὰρ λέγει, "Γυνὴ δὲ δόξα ἀνδρός ἐστιν." Ἐπεὶ οὖν τὸ ἐνδοξότερον καὶ ἐπισημότερον τῆς τοῦ ἀνδρὸς ἀρχῆς ἡ γυνή ἐστι, κεχρεώστηκεν, ὅσα τιμῶσιν ὡς ἀρχὴν τὸν ἄνδρα, πράττειν· πράττοι δ' ἄν, ἔχουσα τὴν ἐξουσίαν αὐτοῦ ἐπὶ κεφαλῆς, καὶ ἐπιδεικνῦσα τὴν ὑποταγὴν ἐν τῷ καλύπτειν μὲν τὴν ἰδίαν, ἐκεῖνον δὲ κεφαλὴν αὐτῆς νομίζειν, καὶ εἰς ἐκεῖνον ὅλην ἑαυτήν, ὡς εἰς κεφαλήν, ἀναφέρουσαν ἀνατιθέναι. Ἀναίσχυντον γὰρ καὶ ἀχάριστον μὴ οὐχὶ τοῦτον ἀρχὴν καὶ παραίτιον τῆς ὑπάρξεως εἰδέναι, καὶ τὴν ἀρχικὴν τιμὴν ἀπονέμειν· εἰ γὰρ καὶ μηδὲν ἕτερον, πολλῶν ὄντων, ὑπολογίζοιτο, μηδέ τινας[1] ἀνθρώπων αἰσχύνοιτο, τὴν ἀρχὴν αὐτοῦ καὶ τὸ ὑποτετάχθαι παραιτουμένη, ἀλλὰ τοὺς γοῦν Ἀγγέλους, φησίν, οἳ ἐπόπται καὶ μάρτυρές εἰσι τῆς ἐξ ἀνδρὸς γενέσεως αὐτῆς καὶ προόδου, δικαία ἂν εἴη δυσωπεῖσθαι καὶ αἰσχύνεσθαι, ὑποκεῖσθαί τε διὰ τοῦτο τῷ ἀνδρί, καὶ τῆς ὑποταγῆς σύμβολον[2] τὸ ἐπὶ τῆς κεφαλῆς κάλυμμα φέρειν· τοῦτο γὰρ ἐδήλωσεν εἰπών, "διὰ τοῦτο ἡ γυνὴ ὀφείλει ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς Ἀγγέλους."

Ὁ μέντοι γε ἀνὴρ οὐκέτι τῷ αὐτῷ τῆς ὑποταγῆς ὑπόκειται νόμῳ· διὶ ὃ οὐδὲ χρείαν ἔχει καλύπτεσθαι τὴν κεφαλήν. Ἀλλὰ ναί, φησίν, εἴποι ἄν τις, διὰ τί δὲ ὁ ἀνὴρ κεφαλὴν ἔχων τὸν Χριστόν, καὶ τῆς ἀρχῆς αὐτοῦ τὸ ἐνδοξότατον ὑπάρχων (εἰκὼν γὰρ καὶ δόξα Θεοῦ, φησίν, ὥσπερ καὶ αὐτοῦ χρηματίζει ἡ γυνή), οὐχὶ καὶ αὐτὸς κατακαλύπτει τὴν κεφαλήν; Πρὸς ὃν ἔστιν εἰπεῖν, ὅτι διὶ αὐτὸ μὲν τοῦτο μᾶλλον οὐκ ὀφείλει κατακαλύπτειν, ἵνα καὶ αὐτὸς ἐν τῷ ἄρχειν καὶ ἐξουσιάζειν,[3] ἀλλὰ μὴ τελεῖν ὑφ' ἑτέρους, τὸν κοινὸν εἰκονίζων Δεσπότην δειχθῇ, οὗπερ ἔνδειξίς ἐστι τὸ φέρειν ἀκάλυπτον τὴν κεφαλήν. Ὅτι μὲν γὰρ ἄρχει Θεὸς καὶ κυριεύει, κεφαλὴ πεφηνὼς τοῦ ἀνδρός, οὐκ αὐτοῦ μόνον, ἀλλὰ καὶ συμπάντων, οὐδεὶς ἀμφιβολίας λόγος· διὶ ὅπερ οὐδὲ συμβόλων εἰς τοῦτο καθέστηκε χρεία, τὴν ὑποταγὴν ἐνδεικνυμένων· πᾶσι γὰρ τὸ κατὰ πάντων αὐτοῦ κράτος καὶ ἡ δεσποτικὴ ἀνωμολόγηται[4] κυριότης. Ὅτι δὲ τὴν[5] γυναῖκα ὑπὸ τὴν ἐξουσίαν δεῖ τετάχθαι τοῦ ἀνδρός, οὔτε πᾶσιν ὁμοίως φανερόν, αὐτήν τε εἰδέναι μάλιστα προσήκει, καὶ τοῖς συμβόλοις ἐπιδεικνύναι· ἔνιαι γὰρ καὶ τὰ σύμβολα περιφέρουσαι πολλῶν τε κατεξανίστανται, καὶ τὴν οἰκείαν τάξιν ἀμείβουσαι, θορύβων καὶ ταραχῆς οὐ τὰς οἰκίας μόνον, ἀλλὰ καὶ πόλεις ἐπλήρωσαν. Εἰ δὲ μὴ τοῦτο ἦν, καὶ τὴν ὑποταγὴν μὴ προσετέτακτο φυλάττειν, τί ἂν ἐγεγόνει; Εὐλόγως ἄρα καὶ βιωφελῶς ὁ μακάριος Παῦλος τά τε ἄλλα διωρίσατο, καὶ

τας" λέγειν ἀντὶ "κατ' ἀρχάς·" οὕτως ἐν τῇ ΣΤ' ἐπιστ. (§ πγ') λέγει· "Μηδὲ κατὰ πρώτας εὐεργετῶν .... νόμιζε τὴν ἐξ ἀρχῆς σοι εὔνοιαν τοὺς εὐεργετηθέντας διαφυλάττειν."

[1] Παρ' Οἰκον.—μηδέ τινα.

[2] Οὕτως ἄμεινον ἐξ Οἰκον. ἀντὶ—σύμβολα—παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον.—κατεξουσιάζειν.

[4] Παρ' Οἰκον.—ἀνθωμολόγηται.

[5] Προσέθηκα τὸ ἄρθρον ἐξ Οἰκον. ἐλλεῖπον παρὰ τοῖς ἄλλοις.

Digitized by Google

σοφοῖς τε καὶ φυσικοῖς, ἀλλὰ καὶ πολιτικοῖς, συγκατεσκευάσατο ἐνθυμήμασιν, ὡς ἀνδρὶ μὲν ἀκάλυπτον ἔχειν τὴν κεφαλήν, γυναικὶ δὲ οὐχὶ θεμιτὸν μὴ κατακαλύπτεσθαι.[1]

ΕΠΙΣΤΟΛΗ ΛΣΤ'.—36.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας Καππαδοκίας.[2]

(Βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης Ἡρῴδου.—Μάρκ. Η', 14—20.)

Τί θαυμάζεις λίαν τὴν ἐπὶ τοῖς ἄρτοις τῶν Μαθητῶν πώρωσιν, καὶ λέγεις· ἆρα γὰρ οὐχ ἑώρων; ἆρα γὰρ τοῖς οἰκείοις ὀφθαλμοῖς καὶ ταῖς χερσὶν ὑπηρετουμέναις ἠπίστουν τῷ θαύματι; πῶς οὐ συνίεσαν; πῶς ἐπελάθοντο; Ἔστι μὲν γάρ, εἰ καὶ μὴ ἐπὶ τοσοῦτον, ἀπορεῖν· ἀλλ' ἔστι πλέον ὀρθῶς καὶ ἐννοῆσαι καὶ ἐπιλύσασθαι, ὅτι καὶ τὰ πραττόμενα ἔβλεπον, καὶ οὔτε τοῖς ὄμμασιν οὔτε ταῖς οἰκείαις χερσὶ διημφισβήτουν καὶ ἀπεμάχοντο. Ἀλλὰ ταῦτα μὲν καὶ ἑώρων, καὶ ᾔδεισαν, καὶ ἐθαύμαζον (οὔτε γὰρ ἀνοήτοις, οὔτε τυφλοῖς, οὔτε τοῖς πρὸς ἅπαντα μαχομένοις καὶ ἀναισχυντοῦσιν Ἰουδαίοις παραπλησίως διέκειντο)· ἀλλ' οὔπω πρὸς τὸ τέλειον ἀναβεβηκότες, καθ' ἕνα τινὰ τῶν πάλαι ἁγίων καὶ προφητῶν, καὶ ὁπόταν ἡ ἄνωθεν χάρις ἐπινεύσῃ, ἀλλ' οὐχ ὡς Θεὸν καὶ κατὰ πᾶσαν ἐξουσίαν καὶ κυριότητα, τὸν Διδάσκαλον αὐτῶν ἐπιτελεῖν τὰς θεοσημείας ἐνόμιζον.[3] Δι' ὃ καὶ πλὴν ἑνὸς μὴ συνεπιφέροντες ἑαυτοῖς ἄρτους, ἐπεί περ ἤκουσαν παρ' αὐτοῦ προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, οὐκ ἔχοντες,[4] ὅπερ ἔφημεν, ὡς ἐξ αὐτοῦ καὶ ἀεὶ καὶ αὐθεντίας κράτει δυνατός ἐστιν ἃ βούλεται πράττειν, εἰς διαλογισμοὺς τοῦ πῶς ἂν διαγραφεῖεν ἀπηνέχθησαν.[5] Καὶ τοῦτο αἰτιασάμενος ὁ Δεσπότης, ὅτι μήπω θεοπρεπῆ καὶ τῶν ἀνθρωπίνων ὑπερανέχουσαν μέτρων τὴν περὶ αὐτοῦ δόξαν ἐκτήσαντο, εἰκότως αὐτοῖς τὴν πώρωσιν ἐπεκάλεσεν.[6]

---

[1] Ὅρα καὶ Χρυσοστόμου Ὁμιλ. ΚΣΤ' εἰς τὴν Α' πρὸς Κορινθ. ιά· καὶ Θεοδώρ. αὐτόθι, ὅστις τὴν ἐξουσίαν ἡρμήνευσε καὶ "κάλυμμα." (σημ. Οἰκον.)

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΕ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΗ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΟΕ'.

[3] Ἐνόμιζον, ὅτι ὁ Διδάσκαλος ἐθαυματούργει, ὥς τις τῶν πάλαι ἁγίων καὶ προφητῶν, οἷον Ἠλίας, Ἐλισσαῖος, καὶ ἄλλοι, οἵτινες ἐθαυματούργουν, ὅταν τούτοις ἡ θεία χάρις ἐπένευεν. Ἴδε Ματθ. ΙΣΤ', 13—15. (σημ. Οἰκονόμου.)

[4] Οἰκονόμος εἰκάζει γραπτέον εἶναι "οὐ κατέχοντες," ὅπερ ἄμεινον ἂν εἴη· Μοντακ. δὲ ἐξυπακούειν βούλεται τὸ "γνῶναι," ἢ "συνιέναι," ἢ ἄλλο τι τοιοῦτον.

[5] Παρ' Οἰκον—ἀνηνέχθησαν.

[6] Βλέπε καὶ Ζιγαβηνοῦ ἑρμην. εἰς Ματθ. ΙΣΤ', 6—10. (σημ. Οἰκονόμου.)

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΛΖ'.—37.

Τῷ αὐτῷ.[1]

(Καὶ αὐτοὶ οὐ συνῆκαν· καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα.—Λουκ. ΙΗ', 31—35.

Ἀπορεῖς πάλιν καὶ διερωτᾷς, πῶς τοῦ Δεσπότου τρανῶς καὶ σαφῶς τοῖς μαθηταῖς προαγγέλλοντος τὰς ἐξ ἀνθρώπων ὕβρεις καὶ τὰς πληγὰς καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον, αὐτοὶ οὐ συνίεσαν;[2] καὶ γάρ φησι· "καὶ αὐτοὶ οὐ συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα." Ἀλλ' ἐκεῖνό μοι ἐννόει, ὅτι καὶ τοὺς Μαθητὰς ὁ Σωτὴρ ὀξυτέρους ποιῶν, πολλάκις αὐτοῖς ἐν παραβολαῖς ἐλάλει, καὶ ὅτι καὶ[3] τὸ πρᾶγμα ἦν ἄλλως παράδοξον, νεκροὺς ἐγείρειν, καὶ βασιλείαν ἀΐδιον ἐπαγγέλλειν, καὶ θάνατον ἴδιον προαγγέλλειν· οὐ μόνον δέ, ἀλλ' ὅτι καὶ τὸ πρὸς τὸν Διδάσκαλον τοῖς Μαθηταῖς φίλτρον τῷ χρόνῳ ἤδη ἐῤῥώννυτο καὶ ἐνήκμαζε, καὶ δεινὸν παθεῖν οὐδὲν αὐτὸν ἤθελον· ὃ δέ τις οὐ βούλεται, μόλις καὶ παρὸν ἐφεστηκέναι συντίθεται. Διὰ ταῦτα πάντα παραβολήν τινα, καὶ οὐ τῶν δυσχερῶν ἐκείνων προαγόρευσιν, τὰ περὶ τοῦ πάθους ἐνόμιζον οἱ Ἀπόστολοι· καὶ διὰ τοῦτο συνιέναι, κἂν ἄλλως σαφῆ καὶ φανερὰ ἦν, οὐκ ἠδύναντο, μᾶλλον δὲ οὐκ ἐβούλοντο, τὰ λεγόμενα. Εἰ δὲ καὶ τὸ τῆς ἐγέρσεως αὐτοῖς προσεπινοεῖν ἐθελήσεις, πρᾶγμα μεῖζον μὲν πίστεως, καὶ καθ' ἑαυτὸ διασκοπούμενον, ἔγερσις αὐτουργουμένη τῷ τελευτήσαντι, μάλιστα δὲ μετὰ τῶν ἄλλων σκυθρωπῶν καὶ ἐκ διαμέτρου μαχομένων· συμπαρατιθέμενον καὶ προαγγελλόμενον, οὐκέτι, διότι μὴ συνίεσαν ὅλως, ἀπορήσεις.

ΕΠΙΣΤΟΛΗ ΛΗ'.—38.

Τῷ αὐτῷ.[4]

(Διὰ τί βοῶν καὶ λεόντων, ἀετῶν τε καὶ ἀνθρώπων μορφαῖς, αἱ τῶν Χερουβὶμ ὄψεις τοῖς θείοις Προφήταις ἐνεφανίσθησαν.)

Τί δήποτε, διαπυνθάνῃ, βοῶν καὶ λεόντων, ἀετῶν τε καὶ ἀνθρώπων μορφαῖς, αἱ τῶν Χερουβὶμ ὄψεις τοῖς θείοις Προφήταις ἐνεφανίσθησαν; Ἀλλὰ τὰς μὲν τοῖς πρὸ ἡμῶν

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΣΤ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΘ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΟΣΤ'.

[2] Κακῶς παρὰ Μοντακ. καὶ Μιγνίῳ γέγραπται—συνῆεσαν.

[3] Παρ' Οἰκον. ἄνευ τοῦ—καί.

[4] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΠΣΤ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΠΖ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΝΖ'.

Digitized by Google

ἀποδεδομένας αἰτίας οἶμαί σε μὴ ἀγνοεῖν,[1] κἀκείνους δὲ παροράν, οἳ τοὺς Ἀγγέλους[2] ἔφασαν, ὧν ἐτάχθησαν ἔφοροι, διὰ τῶν σχημάτων ἐκεῖνα[3] αἰνίττεσθαι· βοῶν γὰρ αὐτοῖς οὗτοι καὶ ἀνθρώπων, ἀετῶν τε καὶ λεόντων, οὐκ οἶδ' ἀνθ' ὅτου, τὴν ἐφορίαν ἐγχειρίζουσι, Πλατωνικώτερον μᾶλλον δι' ἑτέρων λόγων τὰς ἰδέας εἰσάγοντες, ἢ εὐσεβέστερον παριστῶντες τὸ ζητούμενον. Ἐγὼ δὲ φαίην ἄν, ὡς οὐχ ὧν ἔφοροι τυγχάνουσι, ταῦτα διὰ τῶν σχημάτων ἐμφανίζουσι· πολλοῦ γε καὶ δεῖ (εἷς γὰρ ἁπάντων δημιουργός τε καὶ ἔφορος)· ἀλλ' ἐκεῖνο τρανῶς ἐν τοῖς τύποις δεικνύουσιν, ὡς ὁ τὴν γῆν τε, καὶ τὸν ἀέρα, καὶ τὸν οὐρανόν, καὶ τὰ ἐν αὐτοῖς ὑποστήσας (ἐν τούτοις γὰρ τῶν ἐμφαινομένων ζώων τοῖς τόποις[4] ὅ τε βίος καὶ ἡ γένεσις), αὐτός ἐστιν οὗτος ὁ καὶ τὰς ὑπερουρανίους δυνάμεις οὐσιώσας καὶ παραγαγὼν εἰς ὕπαρξιν. Ἔπειτα δὲ διὰ τούτων ὁ λόγος διδάσκει, ὅτι περ, καθ' ὃν τρόπον ἄνθρωπός τε καὶ βοῦς καὶ λέων καὶ ἀετός, καὶ τ' ἄλλα τῶν κτισμάτων εὐχερῶς καὶ ῥήματι μόνῳ συνέστη, οὕτω δή, οὕτω καὶ ἡ μακαρία φύσις ἐκείνη λόγῳ τοῦ κτίσαντος ἐκ τοῦ μὴ ὄντος ἦχθη πρὸς γένεσιν. Τὸ γὰρ ἐν ἐκείνῃ τῇ ἀσωμάτῳ καὶ ἀσχηματίστῳ φύσει μορφάς τινας καὶ τοιαῦτα σχήματα παρυποδεῖξαι οὐδὲν ἕτερόν ἐστιν, ἢ ἕνα τε καὶ τὸν αὐτὸν ἁπάντων ποιητὴν ὑπάρχειν ἐπιδεδειχέναι· καὶ ὅτι οὐδὲν ἐργωδέστερον, ἢ τ' ἄλλα τῶν κτισμάτων, ἡ ἀσώματος καὶ νοερὰ φύσις ὑπέστη, ἐν πᾶσι παραπλησίως καὶ ἰσοσθενῶς τοῦ θείου καὶ ἀπειροδυνάμου δρῶντος βουλήματος. Εἰ βούλει δέ, πρὸς τούτοις καὶ τρίτον ἄλλο διδάσκουσιν αἱ ἐν τοῖς Χερουβὶμ ὁμοιώσεις· ὅτι, ὥσπερ ἄνθρωπός τε καὶ ἀετὸς καὶ βοῦς, καὶ ἁπλῶς ἕκαστον τῶν κτισμάτων, τῷ Δεσποτικῷ προστάγματι πειθαρχεῖ, καὶ τὴν ἐκεῖθεν ἐντολὴν ὑποπτήσσει, οὕτω δή, οὕτω καὶ πᾶσα ἡ ὑπερκόσμιός τε καὶ ὑπερουράνιος

---

[1] Τὰ τέσσαρα ταῦτα τῆς Προφητικῆς ὁράσεως μυστηριώδη καὶ πολυόμματα ζῶα κατεῖδε καὶ Ἰωάννης ὁ Εὐαγγελιστὴς ἐν τῇ Ἀποκαλύψει (Δ', 7). Ταῦτα δέ τινες τῶν ἀρχαίων Πατέρων (οὓς ὁ Φώτιος αἰνίττεται ἀνωτέρω) ἠλληγόρησαν ὡς σύμβολα τῶν τεσσάρων Εὐαγγελίων καὶ αὐτῶν τῶν τεσσάρων Εὐαγγελιστῶν, παραβάλλοντες συμβολικῶς τὸν μὲν ἄνθρωπον πρὸς τὸν Ματθαῖον, ὡς ἐν ἀρχῇ τοῦ Εὐαγγελίου κηρύσσοντα τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ Λόγου· τὸ δὲ τοῦ βοὸς ὁμοίωμα πρὸς τὸν Λουκᾶν, ὡς νομικῶς καὶ ἱερατικῶς γενεαλογήσαντα τὸν Χριστόν· τὸν δὲ ἀετὸν πρὸς τὸν Μάρκον, ὡς ἀπὸ τοῦ Προφητικοῦ πνεύματος, τοῦ ἐξ ὕψους κατιόντος τοῖς ἀνθρώποις, ἀρξάμενον τοῦ Εὐαγγελίου· τὸν δὲ λέοντα πρὸς τὸν Ἰωάννην, ὡς βροντοφωνοῦντα τὴν ἐκ τοῦ Πατρὸς τοῦ Υἱοῦ καὶ Λόγου προαιώνιον γένεσιν. Οἱ δὲ τἀνάπαλιν καὶ συνηθέστερον, τὸν μὲν λέοντα παραβάλλουσι πρὸς τὸν Μάρκον, διὰ τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ· τὸν δ' ἀετὸν πρὸς τὸν Ἰωάννην, ὡς ὑψιπέτην θεολόγον τοῦ "ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ Θεὸς ἦν ὁ Λόγος."—Βλέπε Εἰρην. Γ', ιά, σελ. 220. Ἀνδρέαν καὶ Ἀρέθαν, ἐξηγήσ. εἰς Ἀποκάλ. Δ', 7. Augustinum. de consensu Evang. L. 1 c. 6. Οὕτως ἐμφανίζουσι τοὺς τέσσαρας Εὐαγγελιστὰς καὶ ἀρχαῖαι εἰκονογραφίαι ἔν τε παλαιοῖς χειρογράφοις καὶ ἐκδόσεσι, παριστῶσαι ἕκαστον πρὸ τοῦ ἰδίου Εὐαγγελίου μετὰ τοῦ ἀνήκοντος συμβόλου. (σημ. Οἰκονόμου.)

[2] Ἐκ διορθ. Οἰκον. ἀντὶ—τοὺς λόγους.

[3] Ὁμοίως ἀντὶ—ἐκείνων.

[4] Παρ' Οἰκον.—τύποις—τῆς Δοτικῆς ταύτης τῷ "ἐμφαινομένων" συναπτομένης· ὡς δὲ παρὰ Μοντακ. γέγραπται—τόποις—τὴν μὲν ἔννοιαν οὐκ ἀλλοιοῖ, τῇ δὲ συντάξει πρὸς τὸ "τούτοις" συνάπτεται· τουτ' ἔστιν, ἐν τούτοις τοῖς τόποις (ἐν τῇ γῇ δῆλον ὅτι καὶ ἐν τῷ ἀέρι καὶ ἐν τῷ οὐρανῷ) γεννῶνται καὶ διαβιοῦσι τὰ ἐμφαινόμενα (τοῖς τύποις) ζῶα.

Digitized by Google

οὐσία τοῖς αὐτοῦ νεύμασιν ὑπείκει, καὶ πρὸς ἅπαν τὸ κελευόμενον προθύμως ὑπηρετεῖται.[1] Τάχα δ' ἄν σοι, καθ' ἑαυτὸν σκοποῦντι,[2] ἐκ τῶν εἰρημένων καὶ ἕτεραι προσεξευρεθήσονται αἰτίαι, αἷς ἂν ἡδέως ἐντύχοιμι.

ΕΠΙΣΤΟΛΗ ΛΘ'.—39.

Τῷ αὐτῷ[3]

('Ο δεχόμενος Προφήτην εἰς ὄνομα Προφήτου μισθὸν Προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται.—Ματθ. Ι', 41.)

Ἐδέξατό τις Προφήτην, ἢ ὅλως τινὰ τῶν δικαίων, ὅτι πολλοὺς εἶδε τὸν ἄνδρα θαυμάζοντας, καὶ δόξαν οὐ μικρὰν ἐκ τοῦ θαυμάσαι θηράσαντας· ἕτερος πάλιν ἐλπίδας τρέφων, ὡς ἐκ τῆς ὑποδοχῆς πλούτου περιβαλεῖται λαμπρότητα, ἤ τινος ἄλλης σωματικῆς εὐπαθείας ἐπιτεύξεται. Οὐδεὶς οὐδαμῶς τῶν εἰρημένων οὔτε Προφήτου μισθόν, οὔτε τινὸς δικαίου λήψεται. Τίς δὲ λήψεται; Ὁ δι' αὐτὸ τὸ εἶναι Προφήτην καὶ Θεοῦ θεράποντα (τοῦτο γάρ ἐστιν "εἰς ὄνομα Προφήτου" καὶ "εἰς ὄνομα δικαίου"), ἀλλὰ μὴ δι'[4] ἐμπορίαν, ἢ τοιαύτην τινὰ χρείαν, τὸν ἄνδρα δεχόμενος, καὶ τὴν δυνατὴν θεραπείαν εἰς αὐτὸν καθαρότητι καρδίας καὶ σπουδαίᾳ γνώμῃ ἐνδεικνύμενος· ἄξιος γὰρ ὡς ἀληθῶς, ἄξιος ὁ τοιοῦτος θείας ἀντιμισθίας καὶ ἀντιδόσεως. Τὸ δὲ "μισθὸν Προφήτου, καὶ μισθὸν δικαίου λήψεται" διττὴν ἔχει τὴν διάνοιαν· ἢ γὰρ ὅτι τῆς εἰλικρινοῦς καὶ καθαρᾶς φιλοξενίας τὸν μισθὸν οἱ τοὺς Προφήτας, καὶ ὅλως οἵ τινας τῶν δικαίων ὑποδεχόμενοι πάντως γε λήψονται, καὶ οὐκ ἔστιν αὐτοὺς τῶν γερῶν στερηθῆναι, ὧν ἀξίους ἑαυτούς, δι' ὧν ἔπραξαν, ἔδειξαν· ἢ ὅτι καὶ οὗτοι οὐχ ἁπλῶς μισθὸν φιλοξενίας, ἀλλὰ τὸν ἴσον καὶ ὅμοιον τοῖς Προφήταις καὶ δικαίοις ἀπολήψονται. Μέγα γὰρ φιλοξενία, καὶ μεγάλους μισθοὺς προξενοῦσα, καὶ μάλιστα σπουδαίων ἀνδρῶν καὶ ὑπὲρ θείων νόμων διωκομένων·[5] ἣν σὺ κατορθῶν, καὶ εἰς ὄνομα Θεοῦ θεραπόντων, ἀλλὰ μὴ δι' ἄλλο τι, τοὺς αὐτοῦ ξενίζων φίλους, μᾶλλόν τε συνήσεις τὸν Εὐαγγελικὸν χρησμόν, κἀκεῖθεν εὑρήσεις τὸ κέρδος (ὦ μακαριότητος!) πολὺ μεῖζον ἢ κατὰ διήγησιν λόγου.

---

[1] Οὕτως ὁ Φώτιος ἂς εἶπεν ἀνωτέρω παρορατέας ἐξηγήσεις πρὸς τὸ εὐσεβέστερον ὀρθῶς μεθηρμόσατο. Ὁ δὲ Μοντακούτιος, οὐκ οἶδ' ὅ,τι παθών, μετὰ τῶν παρορατέων καὶ τὴν Φωτίου ἑρμηνείαν εἰς λήρους ἀπεσκυβάλισεν. (σημ. Οἰκονόμου.)

[2] Παρ' Οἰκον.—ἐπισκοποῦντι—ὅπερ ἄμεινον.

[3] Αὕτη ἐν τοῖς Ἀμφιλοχίοις οὐ περιείληπται· ἐκδέδοται δὲ ὑπὸ Μοντακ. (ἐπιστ. ΣΒ') καὶ ὑπὸ Μιγνίου (σελ. τῶν ἐπιστ. 852).

[4] Ἡμ. διόρθ. ἀντὶ—μηδ' ἐμπορίαν—παρά τε Μοντακ. καὶ Μιγνίφ.

[5] Κατὰ Παῦλον ἐν τῇ πρὸς Ἑβρ. ἐπιστ. (ΙΓ', 2) παραινοῦντα· "Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες Ἀγγέλους." τούτοις δὲ τὸν Ἀβραὰμ ὁ θεῖος Παῦλος αἰνίττεται. (Γενέσ. κεφ. ΙΗ'.)

Digitized by Google

ΕΠΙΣΤΟΛΗ Μ'.—40.

Τῷ αὐτῷ.[1]

(Διὰ τί ὁ Σωτὴρ, εἰπὼν τοῖς Μαθηταῖς "Μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν," (Ματθ. ΚΣΤ', 32) ἐν Ἱεροσολύμοις αὐτοῖς πρὸ τῆς Γαλιλαίας ἐμφανίζεται;)

Συντέμνει τὴν ὑπόσχεσιν ὁ Σωτὴρ διὰ τὴν ὀλιγοψυχίαν τῶν Μαθητῶν, καὶ πρὸ τῆς Γαλιλαίας ἐν αὐτοῖς Ἱεροσολύμοις αὐτοῖς ἐμφανίζεται· καὶ οὐ δήπου τοῦτο τῆς ἐπαγγελίας ὑπάρχει παράβασις, οὐδὲ πολλοῦ δεῖ, ταχεῖα δὲ μᾶλλον ἐκ πολλῆς φιλανθρωπίας ἐκπλήρωσις. Εἰ δ' ἔτι τις[2] ἀγνωμονῶν εἰς ψεῦδος ἔλκειν τὴν ἀλήθειαν ἐκβιάζοιτο, οὐκ εἶναι λέγων ἐπαληθεύοντος, ἐν μὲν τῇ Γαλιλαίᾳ παρασχεῖν τὴν ὄψιν ἐπαγγείλασθαι, ἐν Ἱεροσολύμοις δὲ ταύτην δωρήσασθαι, ἐκεῖνο μᾶλλον συνιέτω, ὡς, εἴπερ εἰπὼν ὁ Σωτὴρ ἐν τῇ Γαλιλαίᾳ δοῦναι τοῖς μαθηταῖς τὴν ἀπόλαυσιν τῆς μακαρίας θέας ἐκείνης, εἶτα μηδόλως παρέσχεν, ἢ προσθεὶς ἐν Ἱεροσολύμοις μηδαμῶς αὐτοῖς ὀφθῆναι, ἔπειτα ὤφθη, οὐκ ἂν ἀφρόνως λίαν εἰς ὑπόνοιάν τις ἐξεφέρετο τοῦ ψεύδους· εἰ δὲ τὴν ἐν τῇ Γαλιλαίᾳ ἐπιφάνειαν προαγγείλας, καὶ ταύτην ἐπλήρωσε, καὶ τὴν ἐν Ἱεροσολύμοις ἐχαρίσατο, ποῦ τῷ ψεύδει πάροδος κἂν γοῦν ἐν ψιλῇ τινι καταλίποιτο φαντασίᾳ; μᾶλλον δέ, πῶς οὐκ ἔστιν, ὡς ἄν τις εἴποι, διπλῆ τις τῆς ἀληθείας ἐκπλήρωσις, ὧν τε ὑπέσχετο, καὶ ὧν μηδὲ ὑποσχόμενος ἐχαρίσατο;

Ὅρα δὲ κἀκεῖνο· εἰ μὲν ἁπλῶς ἦν προαγγείλας ἐν τῇ Γαλιλαίᾳ τοῖς μαθηταῖς ὁραθήσεσθαι, ὁ δὲ ἀλλαχοῦ πρότερον ὡράθη, συγκεχωρήσθω, καὶ μηδὲ χώραν ἔχον, τὸ ψεῦδος· εἰ δὲ ἀπελθόντας ἔφη ὄψεσθαι, οἱ δὲ οὔπω παρεγένοντο (οὐδὲ γὰρ ἦν αὐτοῖς ἐνεστηριγμένον τὸ τῆς Ἀναστάσεως θαῦμα, ἵνα τὸν ἀναστάντα, τὰ Ἱεροσόλυμα λιπόντες, εἰς τὴν Γαλιλαίαν ἰδεῖν προσδοκήσωσι), πῶς οὐκ ἀσύνετος σφόδρα τῆς ἐπὶ τῷ ψεύδει συκοφαντίας ἡ δόξα; Χωρὶς δὲ τῶν εἰρημένων, συνορᾷν μάλιστα δεήσει, ὡς, κἂν ἐν Ἱεροσολύμοις ἐπέστη, καὶ ὤφθη τοῖς μαθηταῖς ὁ Σωτήρ, ἀλλ' οὖν οὐ κυρίως ἐκεῖνοι τοῦτον ἐθεάσαντο· πῶς γὰρ ἑώρων, οἵ γε πνεῦμα θεωρεῖν ἐδόκουν;[3] εἰ δὲ καὶ ὕστερον ἐπίστευον, ἀλλ' οὐδὲ οὕτω μέγα·[4] τί γάρ, πλὴν "ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει," καὶ ὅτι αὐτὸς ὁ θανατωθεὶς καὶ ἀνέστηκε; Δι' ὃ καὶ ἐπιτιμῶν αὐτοῖς ἔλεγε· "Τί τεταραγμένοι ἐστέ, καὶ διὰ τί λογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν;"[5] ὅπερ οὐκ ἦν ἐστερεωμένων ταῖς γνώμαις, οὐδ' ἀκινήτοις χρωμένων περὶ τὴν ἀλήθειαν τοῖς λογισμοῖς.

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΑ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΙ', καὶ ἐν τῇ Μονταχ. συλλογῇ Ἔπιστ. ΣΙΓ'.

Παρ' Οἰκον. ἄνευ τοῦ "ὅτι"—εἰ δέ τις.

[3] "Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν." (Λουκ. ΚΔ', 37).

[4] Παρ' Οἰκον.—ἀλλ' οὐδὲν οὐδ' οὕτω μέγα—ὅπερ ἄμεινον, καὶ Φωτίῳ σύνηθες.

[5] Λουκ. ἔνθ. ἀνωτ. 38 καὶ 39.

Digitized by Google

Ἐν τῇ Γαλιλαίᾳ δὲ ἀληθῶς ἐθεάσαντο καὶ εἶδον· ἐκεῖσε γὰρ αὐτοῖς ἀποκαλυφθὲν ἐτρανώθη, ὡς ὃν βλέπουσι καὶ ὁρῶσιν, αὐτὸς μέν ἐστιν ὁ τοῦ θανάτου σκυλεύσας τὸ κράτος, αὐτὸς δὲ ὁ πάντων ἅπασαν τῶν ἐπὶ γῆς καὶ οὐρανῷ[1] τὴν ἐξουσίαν καὶ κυριότητα ἀναδεδεγμένος, ὅτε καὶ τὸ μέγα καὶ ὑψηλὸν τῆς ἀποστολῆς ἀξίωμα, τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην, περιεβάλοντο. Τοιγαροῦν ἐν τῇ Γαλιλαίᾳ τὸν Διδάσκαλον ὡς ἀληθῶς οἱ Μαθηταὶ ἐθεάσαντο· Κύριον γὰρ καὶ ἐξουσιαστὴν τοῦ παντός, τῆς τε χάριτος τοῦ παναγίου Πνεύματος χορηγόν, καὶ τῶν ἄλλων ἀγαθῶν ταμίαν, τότε μᾶλλον ἢ πρότερον διδαχθέντες, καὶ ενόησαν. Παναληθῶς ἄρα καὶ θεοπρεπῶς ἔφη ὁ Χριστός, κἂν ἐν Ἱεροσολύμοις ἑαυτὸν προϋπέδειξεν, ὅτι περ οἱ μαθηταὶ τὴν Γαλιλαίαν καταλαβόντες, ἐκεῖ αὐτὸν ὄψονται.

ΕΠΙΣΤΟΛΗ ΜΑ'.—41.

Τῷ αὐτῷ.[2]

(Τίς ἦν τῷ θεσπεσίῳ Παύλῳ πατρίς.)

Παῦλος ὁ θεῖος Ἀπόστολος, ὁ τῷ διαπύρῳ πόθῳ τῆς εἰς Χριστὸν ἀγαπήσεως καὶ τῷ ἀνυπερβλήτῳ δρόμῳ τοῦ κηρύγματος τὴν ἄνω Ἱερουσαλὴμ ἑαυτῷ καταλαβόμενος πατρίδα, τὴν ἐκ παλαιῶν προγόνων καὶ τῆς σωματικῆς γενέσεως τὰ Γίσχαλα (κώμη δὲ νῦν τὸ χωρίον, τῆς Ἰουδαίας πάλαι πολίχνιον χρηματίσαν) πατρίδα λαχὼν εἶχε· τῷ Ῥωμαϊκῷ δὲ δόρατι τῶν γεννησαμένων ἅμα καὶ πολλοῖς ἑτέροις τοῦ ἔθνους συνεαλωκότων, Ταρσοὺς[3] αὐτῷ τὸ συνενεχθέν, ἐν οἷς καὶ τὰς μητρικὰς ἔλυσεν ὠδῖνας, δίδωσι πατρίδα.

---

[1] Ὀρθότερον ἄν, οἶμαι, ἐμπροθέτως ἐγέγραπτο—ἐν οὐρανῷ· πανταχοῦ γάρ, ὅπου ἂν συμπλεκτικῶς τῷ "ἐπὶ γῆς" τιθῆται, ἐμπροθέτως ἐκφέρεται· γνωστότατον δὲ τὸ ἐν τῇ Κυριακῇ προσευχῇ "ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς."

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΖ', κατὰ δὲ τὴν Μιγμίου Ἐρώτ. ΡΙΣΤ', καὶ ἐν τῇ Μοναχ. συλλογῇ Ἐπιστ. ΣΜΖ'. Εὕρηται δὲ καὶ ἐν αἷς Οἰσχέλιος ἐν τέλει τῆς Μυριοβίβλου ἐκδέδωκε (σελ. 911—2).

[3] Οὕτω πληθυντικῶς καὶ παρ' ἄλλοις· ἀλλὰ συνηθέστερον ἑνικῶς εὕρηται—ἡ Ταρσός.—Περὶ δὲ τῶν Γισχάλων ἴδε Ἰωσήπ. Ἰουδ. πολέμ. Β', κ', § 6. Δ', β', § 1—5. Ταύτην προγονικὴν πατρίδα τοῦ Ἀποστόλου καὶ Ἱερώνυμος ἱστόρησεν (ἐν Καταλ. Ἐκκλ. Συγγραφ. Τόμ. Α', σελ. 349· καὶ Ὑπομνήμ. εἰς τὴν πρὸς Φιλήμ. § 23). Ἀλλ' οὗτος παραδόξως ἀντιλέγει πρὸς αὐτὸν τὸν θεῖον Ἀπόστολον, λέγοντα ῥητῶς, ὅτι ἐγεννήθη ἐν Ταρσῷ· καὶ τοῦτο ὁ ἱερὸς Φώτιος ἐξέφρασεν ὀρθῶς ἀνωτέρω. Ὁ δὲ μακάριος Ἱερώνυμος λαθὼν μετῴκισε συνάμα μετὰ τῶν γονέων καὶ αὐτὸν τὸν θεῖον Παῦλον ἔτι νήπιον εἰς Ταρσοὺς ἐκ τῶν Γισχάλων, ὡς ἐν τούτοις γεννηθέντα. Καὶ τὴν χρονολογίαν δὲ τῆς μετοικήσεως ἀσύστατον λέγει, διορίζων αὐτὴν ἐπὶ τῆς ὑπὸ τῶν Ῥωμαίων (ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου) αἰχμαλωσίας καὶ διασπορᾶς τῶν Ἰουδαίων. Τοῦτο δὲ φαίνεται καὶ Φώτιος ὑπονοῶν πεφεισμένως διὰ τοῦ "δόρατος τοῦ Ῥωμαϊκοῦ." Ἀλλ' ἡ μὲν πάγκληρος ἐκείνη αἰχμαλωσία συνέβη μετὰ πόλεμον τετραετῆ ἀπὸ τοῦ 66—70 μ. Χ., ὁ δὲ θεῖος Παῦλος ἀπεκεφαλίσθη ἐπὶ Νέρωνος τῷ 68 μ. Χ. Ποῦ λοιπὸν μένει ἡ κατ' ἐκεῖνον τὸν καιρὸν μετοικεσία τούτου καὶ τῶν γονέων; Καὶ φαίνεται ἄρα, ὅτι πολὺ πρὸ τῆς αἰχμαλωσίας μετῳ-

Digitized by Google

σοφοῖς τε καὶ φυσικοῖς, ἀλλὰ καὶ πολιτικοῖς, συγκατεσκευάσατο ἐνθυμήμασιν, ὡς ἀνδρὶ μὲν ἀκάλυπτον ἔχειν τὴν κεφαλήν, γυναικὶ δὲ οὐχὶ θεμιτὸν μὴ κατακαλύπτεσθαι.[1]

ΕΠΙΣΤΟΛΗ ΛΣΤ'.—36.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας Καππαδοκίας.[2]

(Βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης Ἡρώδου.—Μάρκ. Η', 14—20.)

Τί θαυμάζεις λίαν τὴν ἐπὶ τοῖς ἄρτοις τῶν Μαθητῶν πώρωσιν, καὶ λέγεις· ἆρα γὰρ οὐχ ἑώρων; ἆρα γὰρ τοῖς οἰκείοις ὀφθαλμοῖς καὶ ταῖς χερσὶν ὑπηρετουμέναις ἠπίστουν τῷ θαύματι; πῶς οὐ συνίεσαν; πῶς ἐπελάθοντο; Ἔστι μὲν γάρ, εἰ καὶ μὴ ἐπὶ τοσοῦτον, ἀπορεῖν· ἀλλ' ἔστι πλέον ὀρθῶς καὶ ἐννοῆσαι καὶ ἐπιλύσασθαι, ὅτι καὶ τὰ πραττόμενα ἔβλεπον, καὶ οὔτε τοῖς ὄμμασιν οὔτε ταῖς οἰκείαις χερσὶ διημφισβήτουν καὶ ἀπεμάχοντο. Ἀλλὰ ταῦτα μὲν καὶ ἑώρων, καὶ ἤδεισαν, καὶ ἐθαύμαζον (οὔτε γὰρ ἀνοήτοις, οὔτε τυφλοῖς, οὔτε τοῖς πρὸς ἅπαντα μαχομένοις καὶ ἀναισχυντοῦσιν Ἰουδαίοις παραπλησίως διέκειντο)· ἀλλ' οὔπω πρὸς τὸ τέλειον ἀναβεβηκότες, καθ' ἕνα τινὰ τῶν πάλαι ἁγίων καὶ προφητῶν, καὶ ὁπόταν ἡ ἄνωθεν χάρις ἐπινεύσῃ, ἀλλ' οὐχ ὡς Θεὸν καὶ κατὰ πᾶσαν ἐξουσίαν καὶ κυριότητα, τὸν Διδάσκαλον αὐτῶν ἐπιτελεῖν τὰς θεοσημείας ἐνόμιζον.[3] Δι' ὃ καὶ πλὴν ἑνὸς μὴ συνεπιφέροντες ἑαυτοῖς ἄρτους, ἐπεί περ ἤκουσαν παρ' αὐτοῦ προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, οὐκ ἔχοντες,[4] ὅπερ ἔφημεν, ὡς ἐξ αὐτοῦ καὶ ἀεὶ καὶ αὐθεντίας κράτει δυνατός ἐστιν ἃ βούλεται πράττειν, εἰς διαλογισμοὺς τοῦ πῶς ἂν διαπραφεῖεν ἀπηνέχθησαν.[5] Καὶ τοῦτο αἰτιασάμενος ὁ Δεσπότης, ὅτι μήπω θεοπρεπῆ καὶ τῶν ἀνθρωπίνων ὑπερανέχουσαν μέτρων τὴν περὶ αὐτοῦ δόξαν ἐκτήσαντο, εἰκότως αὐτοῖς τὴν πώρωσιν ἐπεκάλεσεν.[6]

---

[1] Ὅρα καὶ Χρυσοστόμου Ὁμιλ. ΚΣΤ' εἰς τὴν Α' πρὸς Κορινθ. ιά· καὶ Θεοδώρ. αὐτόθι, ὅστις τὴν ἐξουσίαν ἡρμήνευσε καὶ "κάλυμμα." (σημ. Οἰκον.)

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΕ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΗ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΟΕ'.

[3] Ἐνόμιζον, ὅτι ὁ Διδάσκαλος ἐθαυματούργει, ὥς τις τῶν πάλαι ἁγίων καὶ προφητῶν, οἷον Ἠλίας, Ἐλισσαῖος, καὶ ἄλλοι, οἵτινες ἐθαυματούργουν, ὅταν τούτοις ἡ θεία χάρις ἐπένευεν. Ἴδε Ματθ. ΙΣΤ', 13—15. (σημ. Οἰκονόμου.)

[4] Οἰκονόμος εἰκάζει γραπτέον εἶναι "οὐ κατέχοντες," ὅπερ ἄμεινον ἂν εἴη· Μοντακ. δὲ ἐξυπακούειν βούλεται τὸ "γνῶναι," ἢ "συνιέναι," ἢ ἄλλο τι τοιοῦτον.

[5] Παρ' Οἰκον—ἀνηνέχθησαν.

[6] Βλέπε καὶ Ζιγαβηνοῦ ἑρμην. εἰς Ματθ. ΙΣΤ', 6—10. (σημ. Οἰκονόμου.)

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΛΖ'.—37.

Τῷ αὐτῷ.[1]

(Καὶ αὐτοὶ οὐ συνῆκαν· καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα.—Λουκ. ΙΗ', 31—35.

Ἀπορεῖς πάλιν καὶ διερωτᾷς, πῶς τοῦ Δεσπότου τρανῶς καὶ σαφῶς τοῖς μαθηταῖς προαγγέλλοντος τὰς ἐξ ἀνθρώπων ὕβρεις καὶ τὰς πληγὰς καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον, αὐτοὶ οὐ συνίεσαν;[2] καὶ γάρ φησι· "καὶ αὐτοὶ οὐ συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα." Ἀλλ' ἐκεῖνό μοι ἐννόει, ὅτι καὶ τοὺς Μαθητὰς ὁ Σωτὴρ ὀξυτέρους ποιῶν, πολλάκις αὐτοῖς ἐν παραβολαῖς ἐλάλει, καὶ ὅτι καὶ[3] τὸ πρᾶγμα ἦν ἄλλως παράδοξον, νεκροὺς ἐγείρειν, καὶ βασιλείαν ἀΐδιον ἐπαγγέλλειν, καὶ θάνατον ἴδιον προαγγέλλειν· οὐ μόνον δέ, ἀλλ' ὅτι καὶ τὸ πρὸς τὸν Διδάσκαλον τοῖς Μαθηταῖς φίλτρον τῷ χρόνῳ ἤδη ἐῤῥώννυτο καὶ ἐνήκμαζε, καὶ δεινὸν παθεῖν οὐδὲν αὐτὸν ἤθελον· ὃ δέ τις οὐ βούλεται, μόλις καὶ παρὸν ἐφεστηκέναι συντίθεται. Διὰ ταῦτα πάντα παραβολήν τινα, καὶ οὐ τῶν δυσχερῶν ἐκείνων προαγόρευσιν, τὰ περὶ τοῦ πάθους ἐνόμιζον οἱ Ἀπόστολοι· καὶ διὰ τοῦτο συνιέναι, κἂν ἄλλως σαφῆ καὶ φανερὰ ἦν, οὐκ ἠδύναντο, μᾶλλον δὲ οὐκ ἐβούλοντο, τὰ λεγόμενα. Εἰ δὲ καὶ τὸ τῆς ἐγέρσεως αὐτοῖς προσεπινοεῖν ἐθελήσεις, πρᾶγμα μεῖζον μὲν πίστεως, καὶ καθ' ἑαυτὸ διασκοπούμενον, ἔγερσις αὐτουργουμένη τῷ τελευτήσαντι, μάλιστα δὲ μετὰ τῶν ἄλλων σκυθρωπῶν καὶ ἐκ διαμέτρου μαχομένων συμπαρατιθέμενον καὶ προαγγελλόμενον, οὐκέτι, διότι μὴ συνίεσαν ὅλως, ἀπορήσεις.

ΕΠΙΣΤΟΛΗ ΛΗ'.—38.

Τῷ αὐτῷ.[4]

(Διὰ τί βοῶν καὶ λεόντων, ἀετῶν τε καὶ ἀνθρώπων μορφαῖς, αἱ τῶν Χερουβὶμ ὄψεις τοῖς θείοις Προφήταις ἐνεφανίσθησαν.)

Τί δήποτε, διαπυνθάνῃ, βοῶν καὶ λεόντων, ἀετῶν τε καὶ ἀνθρώπων μορφαῖς, αἱ τῶν Χερουβὶμ ὄψεις τοῖς θείοις Προφήταις ἐνεφανίσθησαν; Ἀλλὰ τὰς μὲν τοῖς πρὸ ἡμῶν

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΣΤ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΘ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΟΣΤ'.

[2] Κακῶς παρὰ Μοντακ. καὶ Μιγνίῳ γέγραπται—συνήεσαν.

[3] Παρ' Οἰκον. ἄνευ τοῦ—καί.

[4] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΠΣΤ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΠΖ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΝΖ'.

Digitized by Google

ἀποδεδομένας αἰτίας οἶμαί σε μὴ ἀγνοεῖν,[1] κἀκείνους δὲ παροραῖν, οἳ τοὺς Ἀγγέλους[2] ἔφασαν, ὧν ἐτάχθησαν ἔφοροι, διὰ τῶν σχημάτων ἐκεῖνα[3] αἰνίττεσθαι· βοῶν γὰρ αὐτοῖς οὗτοι καὶ ἀνθρώπων, ἀετῶν τε καὶ λεόντων, οὐκ οἶδ' ἀνθ' ὅτου, τὴν ἐφορίαν ἐγχειρίζουσι, Πλατωνικώτερον μᾶλλον δι' ἑτέρων λόγων τὰς ἰδέας εἰσάγοντες, ἢ εὐσεβέστερον παριστῶντες τὸ ζητούμενον. Ἐγὼ δὲ φαίην ἄν, ὡς οὐχ ὧν ἔφοροι τυγχάνουσι, ταῦτα διὰ τῶν σχημάτων ἐμφανίζουσι· πολλοῦ γε καὶ δεῖ (εἷς γὰρ ἁπάντων δημιουργός τε καὶ ἔφορος)· ἀλλ' ἐκεῖνο τρανῶς ἐν τοῖς τύποις δεικνύουσιν, ὡς ὁ τὴν γῆν τε, καὶ τὸν ἀέρα, καὶ τὸν οὐρανόν, καὶ τὰ ἐν αὐτοῖς ὑποστήσας (ἐν τούτοις γὰρ τῶν ἐμφαινομένων ζώων τοῖς τόποις[4] ὅ τε βίος καὶ ἡ γένεσις), αὐτός ἐστιν οὗτος ὁ καὶ τὰς ὑπερουρανίους δυνάμεις οὐσιώσας καὶ παραγαγὼν εἰς ὕπαρξιν. Ἔπειτα δὲ διὰ τούτων ὁ λόγος διδάσκει, ὅτι περ, καθ' ὃν τρόπον ἄνθρωπός τε καὶ βοῦς καὶ λέων καὶ ἀετός, καὶ τ' ἄλλα τῶν κτισμάτων εὐχερῶς καὶ ῥήματι μόνῳ συνέστη, οὕτω δή, οὕτω καὶ ἡ μακαρία φύσις ἐκείνη λόγῳ τοῦ κτίσαντος ἐκ τοῦ μὴ ὄντος ἦχθη πρὸς γένεσιν. Τὸ γὰρ ἐν ἐκείνῃ τῇ ἀσωμάτῳ καὶ ἀσχηματίστῳ φύσει μορφάς τινας καὶ τοιαῦτα σχήματα παρυποδεῖξαι οὐδὲν ἕτερόν ἐστιν, ἢ ἕνα τε καὶ τὸν αὐτὸν ἁπάντων ποιητὴν ὑπάρχειν ἐπιδεδειχέναι· καὶ ὅτι οὐδὲν ἐργωδέστερον, ἢ τ' ἄλλα τῶν κτισμάτων, ἡ ἀσώματος καὶ νοερὰ φύσις ὑπέστη, ἐν πᾶσι παραπλησίως καὶ ἰσοσθενῶς τοῦ θείου καὶ ἀπειροδυνάμου δρῶντος βουλήματος. Εἰ βούλει δέ, πρὸς τούτοις καὶ τρίτον ἄλλο διδάσκουσιν αἱ ἐν τοῖς Χερουβὶμ ὁμοιώσεις· ὅτι, ὥσπερ ἄνθρωπός τε καὶ ἀετὸς καὶ βοῦς, καὶ ἁπλῶς ἕκαστον τῶν κτισμάτων, τῷ Δεσποτικῷ προστάγματι πειθαρχεῖ, καὶ τὴν ἐκεῖθεν ἐντολὴν ὑποπτήσσει, οὕτω δή, οὕτω καὶ πᾶσα ἡ ὑπερκόσμιός τε καὶ ὑπερουράνιος

---

[1] Τὰ τέσσαρα ταῦτα τῆς Προφητικῆς ὁράσεως μυστηριώδη καὶ πολυόμματα ζῶα κατεῖδε καὶ Ἰωάννης ὁ Εὐαγγελιστὴς ἐν τῇ Ἀποκαλύψει (Δ', 7). Ταῦτα δέ τινες τῶν ἀρχαίων Πατέρων (οὓς ὁ Φώτιος αἰνίττεται ἀνωτέρω) ἠλληγόρησαν ὡς σύμβολα τῶν τεσσάρων Εὐαγγελίων καὶ αὐτῶν τῶν τεσσάρων Εὐαγγελιστῶν, παραβάλλοντες συμβολικῶς τὸν μὲν ἄνθρωπον πρὸς τὸν Ματθαῖον, ὡς ἐν ἀρχῇ τοῦ Εὐαγγελίου κηρύσσοντα τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ Λόγου· τὸ δὲ τοῦ βοὸς ὁμοίωμα πρὸς τὸν Λουκᾶν, ὡς νομικῶς καὶ ἱερατικῶς γενεαλογήσαντα τὸν Χριστόν· τὸν δὲ ἀετὸν πρὸς τὸν Μάρκον, ὡς ἀπὸ τοῦ Προφητικοῦ πνεύματος, τοῦ ἐξ ὕψους κατιόντος τοῖς ἀνθρώποις, ἀρξάμενον τοῦ Εὐαγγελίου· τὸν δὲ λέοντα πρὸς τὸν Ἰωάννην, ὡς βροντοφωνοῦντα τὴν ἐκ τοῦ Πατρὸς τοῦ Υἱοῦ καὶ Λόγου προαιώνιον γένεσιν. Οἱ δὲ τἀνάπαλιν καὶ συνηθέστερον, τὸν μὲν λέοντα παραβάλλουσι πρὸς τὸν Μάρκον, διὰ τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ· τὸν δ' ἀετὸν πρὸς τὸν Ἰωάννην, ὡς ὑψιπέτην θεολόγον τοῦ "ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ Θεὸς ἦν ὁ Λόγος."—Βλέπε Εἰρην. Γ', ιά, σελ. 220. Ἀνδρέαν καὶ Ἀρέθαν, ἐξηγήσ. εἰς Ἀποκάλ. Δ', 7. Augustinum. de consensu Evang. L. 1 c. 6. Οὕτως ἐμφανίζουσι τοὺς τέσσαρας Εὐαγγελιστὰς καὶ ἀρχαῖαι εἰκονογραφίαι ἔν τε παλαιοῖς χειρογράφοις καὶ ἐκδόσεσι, παριστῶσαι ἕκαστον πρὸ τοῦ ἰδίου Εὐαγγελίου μετὰ τοῦ ἀνήκοντος συμβόλου. (σημ. Οἰκονόμου.)

[2] Ἐκ διορθ. Οἰκον. ἀντὶ—τοὺς λόγους.

[3] Ὁμοίως ἀντὶ—ἐκείνων.

[4] Παρ' Οἰκον.—τύποις—τῆς Δοτικῆς ταύτης τῷ "ἐμφαινομένων" συναπτομένης· ὡς δὲ παρὰ Μοντακ. γέγραπται—τόποις—τὴν μὲν ἔννοιαν οὐκ ἀλλοιοῖ, τῇ δὲ συντάξει πρὸς τὸ "τούτοις" συνάπτεται· τοῦτ' ἔστιν, ἐν τούτοις τοῖς τόποις (ἐν τῇ γῇ δῆλον ὅτι καὶ ἐν τῷ ἀέρι καὶ ἐν τῷ οὐρανῷ) γεννῶνται καὶ διαβιοῦσι τὰ ἐμφαινόμενα (τοῖς τύποις) ζῶα.

Digitized by Google

οὐσία τοῖς αὐτοῦ νεύμασιν ὑπείκει, καὶ πρὸς ἅπαν τὸ κελευόμενον προθύμως ὑπηρετεῖται.[1] Τάχα δ' ἄν σοι, καθ' ἑαυτὸν σκοποῦντι,[2] ἐκ τῶν εἰρημένων καὶ ἕτεραι προσεξευρεθήσονται αἰτίαι, αἷς ἂν ἡδέως ἐντύχοιμι.

ΕΠΙΣΤΟΛΗ ΛΘ'.—39.

Τῷ αὐτῷ[3]

('Ο δεχόμενος Προφήτην εἰς ὄνομα Προφήτου μισθὸν Προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται.—Ματθ. Ι', 41.)

Ἐδέξατό τις Προφήτην, ἢ ὅλως τινὰ τῶν δικαίων, ὅτι πολλοὺς εἶδε τὸν ἄνδρα θαυμάζοντας, καὶ δόξαν οὐ μικρὰν ἐκ τοῦ θαυμάσαι θηράσαντας· ἕτερος πάλιν ἐλπίδας τρέφων, ὡς ἐκ τῆς ὑποδοχῆς πλούτου περιβαλεῖται λαμπρότητα, ἤ τινος ἄλλης σωματικῆς εὐπαθείας ἐπιτεύξεται. Οὐδεὶς οὐδαμῶς τῶν εἰρημένων οὔτε Προφήτου μισθόν, οὔτε τινὸς δικαίου λήψεται. Τίς δὲ λήψεται; Ὁ δι' αὐτὸ τὸ εἶναι Προφήτην καὶ Θεοῦ θεράποντα (τοῦτο γάρ ἐστιν "εἰς ὄνομα Προφήτου" καὶ "εἰς ὄνομα δικαίου"), ἀλλὰ μὴ δι'[4] ἐμπορίαν, ἢ τοιαύτην τινὰ χρείαν, τὸν ἄνδρα δεχόμενος, καὶ τὴν δυνατὴν θεραπείαν εἰς αὐτὸν καθαρότητι καρδίας καὶ σπουδαίᾳ γνώμῃ ἐνδεικνύμενος· ἄξιος γὰρ ὡς ἀληθῶς, ἄξιος ὁ τοιοῦτος θείας ἀντιμισθίας καὶ ἀντιδόσεως. Τὸ δὲ "μισθὸν Προφήτου, καὶ μισθὸν δικαίου λήψεται" διττὴν ἔχει τὴν διάνοιαν· ἢ γὰρ ὅτι τῆς εἰλικρινοῦς καὶ καθαρᾶς φιλοξενίας τὸν μισθὸν οἱ τοὺς Προφήτας, καὶ ὅλως οἵ τινας τῶν δικαίων ὑποδεχόμενοι πάντως γε λήψονται, καὶ οὐκ ἔστιν αὐτοὺς τῶν γερῶν στερηθῆναι, ὧν ἀξίους ἑαυτούς, δι' ὧν ἔπραξαν, ἔδειξαν· ἢ ὅτι καὶ οὗτοι οὐχ ἁπλῶς μισθὸν φιλοξενίας, ἀλλὰ τὸν ἴσον καὶ ὅμοιον τοῖς Προφήταις καὶ δικαίοις ἀπολήψονται. Μέγα γὰρ φιλοξενία, καὶ μεγάλους μισθοὺς προξενοῦσα, καὶ μάλιστα σπουδαίων ἀνδρῶν καὶ ὑπὲρ θείων νόμων διωκομένων·[5] ἣν σὺ κατορθῶν, καὶ εἰς ὄνομα Θεοῦ θεραπόντων, ἀλλὰ μὴ δι' ἄλλο τι, τοὺς αὐτοῦ ξενίζων φίλους, μᾶλλόν τε συνήσεις τὸν Εὐαγγελικὸν χρησμόν, κἀκεῖθεν εὑρήσεις τὸ κέρδος (ὦ μακαριότητος!) πολὺ μεῖζον ἢ κατὰ διήγησιν λόγου.

---

[1] Οὕτως ὁ Φώτιος ἂς εἶπεν ἀνωτέρω παρορατέας ἐξηγήσεις πρὸς τὸ εὐσεβέστερον ὀρθῶς μεθηρμόσατο. Ὁ δὲ Μοντακούτιος, οὐκ οἶδ' ὅ,τι παθών, μετὰ τῶν παρορατέων καὶ τὴν Φωτίου ἑρμηνείαν εἰς λήρους ἀπεσκυβάλισεν. (σημ. Οἰκονόμου.)

[2] Παρ' Οἰκον.—ἐπισκοποῦντι—ὅπερ ἄμεινον.

[3] Αὕτη ἐν τοῖς Ἀμφιλοχίοις οὐ περιείληπται· ἐκδέδοται δὲ ὑπὸ Μοντακ. (ἐπιστ. ΣΒ') καὶ ὑπὸ Μιγνίου (σελ. τῶν ἐπιστ. 852).

[4] Ἡμ. διόρθ. ἀντὶ—μηδ' ἐμπορίαν—παρά τε Μοντακ. καὶ Μιγνίῳ.

[5] Κατὰ Παῦλον ἐν τῇ πρὸς Ἑβρ. ἐπιστ. (ΙΓ', 2) παραινοῦντα· "Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες Ἀγγέλους." τούτοις δὲ τὸν Ἀβραὰμ ὁ θεῖος Παῦλος αἰνίττεται. (Γενέσ. κεφ. ΙΗ'.)

Digitized by Google

ΕΠΙΣΤΟΛΗ Μ'.—40.

Τῷ αὐτῷ.[1]

(Διὰ τί ὁ Σωτὴρ, εἰπὼν τοῖς Μαθηταῖς "Μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν," (Ματθ. ΚΣΤ', ἐν Ἱεροσολύμοις αὐτοῖς πρὸ τῆς Γαλιλαίας ἐμφανίζεται;)

Συντέμνει τὴν ὑπόσχεσιν ὁ Σωτὴρ διὰ τὴν ὀλιγοψυχίαν τῶν Μαθητῶν, καὶ Γαλιλαίας ἐν αὐτοῖς Ἱεροσολύμοις αὐτοῖς ἐμφανίζεται· καὶ οὐ δήπου τοῦτο τῆς ἐπ ὑπάρχει παράβασις, οὐδὲ πολλοῦ δεῖ, ταχεῖα δὲ μᾶλλον ἐκ πολλῆς φιλανθρωπίας ρωσις. Εἰ δ' ἔτι τις[2] ἀγνωμονῶν εἰς ψεῦδος ἔλκειν τὴν ἀλήθειαν ἐκβιάζοιτο, λέγων ἐπαληθεύοντος, ἐν μὲν τῇ Γαλιλαίᾳ παρασχεῖν τὴν ὄψιν ἐπαγγείλασθαι, σολύμοις δὲ ταύτην δωρήσασθαι, ἐκεῖνο μᾶλλον συνιέτω, ὡς, εἴπερ εἰπὼν ὁ Σωτ Γαλιλαίᾳ δοῦναι τοῖς μαθηταῖς τὴν ἀπόλαυσιν τῆς μακαρίας θέας ἐκείνης, εἶτα παρέσχεν, ἢ προσθεὶς ἐν Ἱεροσολύμοις μηδαμῶς αὐτοῖς ὀφθῆναι, ἔπειτα ὤφθη ἀφρόνως λίαν εἰς ὑπόνοιάν τις ἐξεφέρετο τοῦ ψεύδους· εἰ δὲ τὴν ἐν τῇ Γαλιλ φάνειαν προαγγείλας, καὶ ταύτην ἐπλήρωσε, καὶ τὴν ἐν Ἱεροσολύμοις ἐχαρίσατο ψεύδει πάροδος κἂν γοῦν ἐν ψιλῇ τινι καταλίποιτο φαντασίᾳ; μᾶλλον δέ, πῶς οὐ ὡς ἄν τις εἴποι, διπλῆ τις τῆς ἀληθείας ἐκπλήρωσις, ὧν τε ὑπέσχετο, καὶ ὧν μηδὲ μενος ἐχαρίσατο;

Ὅρα δὲ κἀκεῖνο· εἰ μὲν ἁπλῶς ἦν προαγγείλας ἐν τῇ Γαλιλαίᾳ τοῖς μαθηταῖς σεσθαι, ὁ δὲ ἀλλαχοῦ πρότερον ὡράθη, συγκεχωρήσθω, καὶ μηδὲ χώραν ἔχον, τὸ εἰ δὲ ἀπελθόντας ἔφη ὄψεσθαι, οἱ δὲ οὔπω παρεγένοντο (οὐδὲ γὰρ ἦν αὐτοῖς ριγμένον τὸ τῆς Ἀναστάσεως θαῦμα, ἵνα τὸν ἀναστάντα, τὰ Ἱεροσόλυμα λιπό τὴν Γαλιλαίαν ἰδεῖν προσδοκήσωσι), πῶς οὐκ ἀσύνετος σφόδρα τῆς ἐπὶ τῷ ψεύδ φαντίας ἡ δόξα; Χωρὶς δὲ τῶν εἰρημένων, συνορᾷν μάλιστα δεήσει, ὡς, κἂν ἐν Ἱ μοις ἐπέστη, καὶ ὤφθη τοῖς μαθηταῖς ὁ Σωτήρ, ἀλλ' οὖν οὐ κυρίως ἐκεῖνοι τοῦτ σαντο· πῶς γὰρ ἑώρων, οἵ γε πνεῦμα θεωρεῖν ἐδόκουν;[3] εἰ δὲ καὶ ὕστερο τευον, ἀλλ' οὐδὲ οὕτω μέγα·[4] τί γάρ, πλὴν "ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐ καὶ ὅτι αὐτὸς ὁ θανατωθεὶς καὶ ἀνέστηκε; Δι' ὃ καὶ ἐπιτιμῶν αὐτοῖς ἔλεγε· " ραγμένοι ἐστέ, καὶ διὰ τί λογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν;"[5] ὃ ἦν ἐστερεωμένων ταῖς γνώμαις, οὐδ' ἀκινήτοις χρωμένων περὶ τὴν ἀλήθειαν τοῖς λο

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΑ', κατὰ δὲ τὴν Μιγνίου Ἐ καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΙΓ'.

[2] Παρ' Οἰκον. ἄνευ τοῦ " ἔτι· "—εἰ δέ τις.

[3] " Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν." (Λουκ. ΚΔ', 37).

[4] Παρ' Οἰκον.—ἀλλ' οὐδὲν οὐδ' οὕτω μέγα—ὅπερ ἄμεινον, καὶ Φωτίῳ σύνηθες.

[5] Λουκ. ἔνθ. ἀνωτ. 38 καὶ 39.

Digitized by Google

Ἐν τῇ Γαλιλαίᾳ δὲ ἀληθῶς ἐθεάσαντο καὶ εἶδον· ἐκεῖσε γὰρ αὐτοῖς ἀποκαλυφθὲν ἐτρανώθη, ὡς ὃν βλέπουσι καὶ ὁρῶσιν, αὐτὸς μέν ἐστιν ὁ τοῦ θανάτου σκυλεύσας τὸ κράτος, αὐτὸς δὲ ὁ πάντων ἅπασαν τῶν ἐπὶ γῆς καὶ οὐρανῷ[1] τὴν ἐξουσίαν καὶ κυριότητα ἀναδεδεγμένος, ὅτε καὶ τὸ μέγα καὶ ὑψηλὸν τῆς ἀποστολῆς ἀξίωμα, τῆς ἀνὰ πᾶσαν τὴν οἰκουμένην, περιεβάλοντο. Τοιγαροῦν ἐν τῇ Γαλιλαίᾳ τὸν Διδάσκαλον ὡς ἀληθῶς οἱ Μαθηταὶ ἐθεάσαντο· Κύριον γὰρ καὶ ἐξουσιαστὴν τοῦ παντός, τῆς τε χάριτος τοῦ παναγίου Πνεύματος χορηγόν, καὶ τῶν ἄλλων ἀγαθῶν ταμίαν, τότε μᾶλλον ἢ πρότερον διδαχθέντες, καὶ ἐνόησαν. Παναληθῶς ἄρα καὶ θεοπρεπῶς ἔφη ὁ Χριστός, κἂν ἐν Ἱεροσολύμοις ἑαυτὸν προϋπέδειξεν, ὅτι περ οἱ μαθηταὶ τὴν Γαλιλαίαν καταλαβόντες, ἐκεῖ αὐτὸν ὄψονται.

ΕΠΙΣΤΟΛΗ ΜΑ'.—41.

Τῷ αὐτῷ.[2]

(Τίς ἦν τῷ θεσπεσίῳ Παύλῳ πατρίς.)

Παῦλος ὁ θεῖος Ἀπόστολος, ὁ τῷ διαπύρῳ πόθῳ τῆς εἰς Χριστὸν ἀγαπήσεως καὶ τῷ ἀνυπερβλήτῳ δρόμῳ τοῦ κηρύγματος τὴν ἄνω Ἱερουσαλὴμ ἑαυτῷ καταλαβόμενος πατρίδα, τὴν ἐκ παλαιῶν προγόνων καὶ τῆς σωματικῆς γενέσεως τὰ Γίσχαλα (κώμη δὲ νῦν τὸ χωρίον, τῆς Ἰουδαίας πάλαι πολίχνιον χρηματίσαν) πατρίδα λαχὼν εἶχε· τῷ Ῥωμαϊκῷ δὲ δόρατι τῶν γεννησαμένων ἅμα καὶ πολλοῖς ἑτέροις τοῦ ἔθνους συνεαλωκότων, Ταρσοὺς[3] αὐτῷ τὸ συνενεχθέν, ἐν οἷς καὶ τὰς μητρικὰς ἔλυσεν ὠδῖνας, δίδωσι πατρίδα.

---

[1] Ὀρθότερον ἄν, οἶμαι, ἐμπροθέτως ἐγέγραπτο—ἐν οὐρανῷ· πανταχοῦ γάρ, ὅπου ἂν συμπλεκτικῶς τῷ "ἐπὶ γῆς" τιθῆται, ἐμπροθέτως ἐκφέρεται· γνωστότατον δὲ τὸ ἐν τῇ Κυριακῇ προσευχῇ "ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς."

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΖ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΙΣΤ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΜΖ'. Εὕρηται δὲ καὶ ἐν αἷς Οἰσχέλιος ἐν τέλει τῆς Μυριοβίβλου ἐκδέδωκε (σελ. 911—2).

[3] Οὕτω πληθυντικῶς καὶ παρ' ἄλλοις· ἀλλὰ συνηθέστερον ἑνικῶς εὕρηται—ἡ Ταρσός.—Περὶ δὲ τῶν Γισχάλων ἴδε Ἰωσήπ. Ἰουδ. πολέμ. Β', κ', § 6. Δ', β', § 1—5. Ταύτην προγονικὴν πατρίδα τοῦ Ἀποστόλου καὶ Ἱερώνυμος ἱστόρησεν (ἐν Καταλ. Ἐκκλ. Συγγραφ. Τόμ. Α', σελ. 349· καὶ Ὑπομνήμ. εἰς τὴν πρὸς Φιλήμ. § 23). Ἀλλ' οὗτος παραδόξως ἀντιλέγει πρὸς αὐτὸν τὸν θεῖον Ἀπόστολον, λέγοντα ῥητῶς, ὅτι ἐγεννήθη ἐν Ταρσῷ· καὶ τοῦτο ὁ ἱερὸς Φώτιος ἐξέφρασεν ὀρθῶς ἀνωτέρω. Ὁ δὲ μακάριος Ἱερώνυμος λαθὼν μετῴκισε συνάμα μετὰ τῶν γονέων καὶ αὐτὸν τὸν θεῖον Παῦλον ἔτι νήπιον εἰς Ταρσοὺς ἐκ τῶν Γισχάλων, ὡς ἐν τούτοις γεννηθέντα. Καὶ τὴν χρονολογίαν δὲ τῆς μετοικήσεως ἀσύστατον λέγει, διορίζων αὐτὴν ἐπὶ τῆς ὑπὸ τῶν Ῥωμαίων (ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου) αἰχμαλωσίας καὶ διασπορᾶς τῶν Ἰουδαίων. Τοῦτο δὲ φαίνεται καὶ Φώτιος ὑπονοῶν πεφεισμένως διὰ τοῦ "δόρατος τοῦ Ῥωμαϊκοῦ." Ἀλλ' ἡ μὲν πάγκληρος ἐκείνη αἰχμαλωσία συνέβη μετὰ πόλεμον τετραετῆ ἀπὸ τοῦ 66—70 μ. Χ., ὁ δὲ θεῖος Παῦλος ἀπεκεφαλίσθη ἐπὶ Νέρωνος τῷ 68 μ. Χ. Ποῦ λοιπὸν μένει ἡ κατ' ἐκεῖνον τὸν καιρὸν μετοικεσία τούτου καὶ τῶν γονέων; Καὶ φαίνεται ἄρα, ὅτι πολὺ πρὸ τῆς αἰχμαλωσίας μετῳ-

Digitized by Google

" Ἐγὼ γάρ εἰμι (φησίν) ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας."[1] Εἶτα τῆς Ῥωμαίων φιλοτιμίας τῷ μεγέθει τοῦ κράτους παραμιλλωμένης, καὶ μέχρις αὐτῶν τῶν ἀλλοφύλων τὸ φιλότιμον καθυπατευούσης,[2] εἰς τὴν τούτων εὐγένειαν καὶ τῆς πολιτείας καὶ τοῦ ὀνόματος, τοῦτο μὲν προῖκα, τοῦτο δὲ καὶ χρήμασι, πολλοῖς ἀναδραμεῖν ἐχαρίσθη ἐξουσία. Γίνεται τοίνυν ἐκ τούτου καὶ τοῖς γονεῦσι τοῦ θεσπεσίου Παύλου συλλαβαῖς ὀλίγαις καὶ νόμοις ἀνθρωπίνοις πατρὶς ἡ Ῥώμη, καὶ τὸ Ῥωμαῖον πολίτευμα· καὶ τοῦτό ἐστιν, ὃ καὶ ὁ θεῖος ἐκεῖνος ἀνὴρ ἐπεσημήνατο λέγων πρὸς τὸν χιλίαρχον, αὐχοῦντα τὴν ἐξ ἐμπορίας Ῥωμαίων συγγένειαν, ὡς " Ἐγὼ δὲ καὶ γεγέννημαι,"[3] ἀντὶ τοῦ " κατὰ κλῆρόν μοι πατρῷον ἡ Ῥωμαϊκὴ συγγένεια κάτεισι, καὶ οὐκ ἰδιωτεύουσι τοῖς γονεῦσι λαγόνων μητρῴων προῆλθον εἰς φῶς, ἀλλ' ἤδη καὶ τοῦ Ῥωμαϊκοῦ τοῖς γράμμασιν αὐτοὺς σεμνύνοντος αἵματος." Ὥστε οὐ μόνον δύο πατρίδες, ὅπερ αὐτὸς ἀμφισβητεῖς, τῷ τῆς ἀληθείας εὑρίσκονται ῥήτορι, ἀλλ' ἤδη πρὸς ταύταις καὶ τρίτη· ὧν εἰς μὲν τὰ Γίσχαλα[4] ἐν τῇ μερίδι καὶ δικαίῳ τῆς Βενιαμίτιδος[5] φυλῆς ἀναφέρεται· οἱ Ταρσοὶ δὲ τῆς αἰχμαλωσίας δῶρον ἐγένοντο· Ῥωμαῖον δὲ τῶν τεκόντων ἡ εἰς τοὺς Ῥωμαίους ἀναγραφὴ ποιεῖ, καὶ τὸ πατρικὸν διὰ τοῦ κλήρου διαβαῖνον εἰς αὐτὸν ἀξίωμα.

κησαν οἱ τούτου γονεῖς εἰς Ταρσούς, εἴτε διὰ στάσιν τινὰ ἐμφύλιον, εἴτε καὶ ἄλλως μεταναστεύσαντες εἰς τὴν πρωτεύουσαν τῆς Κιλικίας, ὅπου καὶ Ῥωμαϊκῇ ἰθαγενείᾳ ἐτιμήθησαν ὑπὸ τῶν τὴν Ἀσίαν ἤδη κατασχόντων Ῥωμαίων. Ὅτι δὲ κατὰ τὴν Ἀσίαν, ἀλλαχοῦ τε καὶ εἰς τὴν Κιλικίαν αὐτήν, ἦσαν καὶ πρὸ τῶν Καισάρων Ἰουδαϊκαὶ ἀποικίαι, μαρτυρεῖ Φίλων (Τόμ. Β', σελ. 578. Mang.) καὶ Στράβων παρὰ Ἰωσήπῳ (Ἰουδ. Ἀρχαιολ. ΙΔ', 7). (σημ. Οἰκονόμου.)

[1] Πράξ. κεφ. ΚΒ', 3.

[2] Οὕτω μὲν σύνθετον οὐχ εὕρηται τὸ ῥῆμα τοῦτο ἐν τοῖς Λεξικοῖς, ὡς καὶ Οἰκον. ἐσημειώσατο· εὕρηται μέντοι τὸ ἁπλοῦν ὑπατεύω=εἶμαι ἢ γίνομαι ὕπατος· καὶ γενικῶς=ἄρχω· καὶ τούτῳ Φώτιος ἐχρήσατο συνθέτῳ πρὸς ἔνδειξιν τοῦ ὅλως, ὡς ἐν τῷ κατατρώγειν, καταναλίσκειν, κ.τ.λ. Ἐχρήσατο δὲ τούτῳ καὶ ἀλλαχοῦ (Ἀμφιλ. σελ. 79, ἔκδ. Οἰκον.), περὶ τοῦ Ἀποστόλου Πέτρου λέγων, ὅτι " χερσὶν ἀμφοῖν καθυπάτευεν" ἔνθα ὁ ἀοίδιμος Οἰκον. τάδε σημειοῖ, ἃ καὶ ἡμεῖς, ὡς μάλιστα συνάδοντα οἷς ἐν τῇ Γ' ἐπιστολῇ (σελ. 163—4) ἐσημειωσάμεθα, οὐ περιττὸν ᾠήθημεν εἶναι παραθεῖναι ἐνταῦθα· " Κομψῶς διὰ τούτου (τοῦ ῥήματος δῆλον ὅτι " καθυπάτευε") βούλεται σημαίνειν ὁ Φώτιος, ὅτι ὁ Πέτρος, καθὸ κορυφαῖος τῶν ὁμο-" ταγῶν Ἀποστόλων, ὡς ὕπατος διῴκει τὰ τῆς ἰδίας ἀποστολῆς χερσὶν ἀμφοτέραις, τοῦτ' ἔστι, διπλῇ δυνά-" μει καὶ ἐνεργείᾳ, διά τε γλώσσης, διά τε γραφίδος (ἐπιστολῶν), ταχέως ἐξαπλῶν τοῦ Εὐαγγελίου τὸ " κήρυγμα. Ἐπῆνεσε τὸ γλαφυρὸν τῆς φράσεως καὶ ὁ κλεινὸς Μάϊος· παρεξέτρεψε δὲ τὸ νόημα, ὀνο-" μάζων τὸν Πέτρον ὑπέρτατον κυβερνήτην τῆς Ἐκκλησίας, καὶ οἷον ὕπατον πάσης τῆς Χριστιανικῆς " πολιτείας (ὑπαινιττόμενος δῆλον ὅτι τοιούτους καὶ τοὺς ἐν Ῥώμῃ διαδόχους τοῦ Πέτρου). Ἀλλ' ὁ Φώτιος " μετὰ τῆς Ἐκκλησίας οὔτ' εἶπεν οὔτ' ἐφρόνησε τοιοῦτον οὐδὲ τὸν Πέτρον αὐτόν, πολλῷ γε ἧττον τοὺς " διαδόχους τοῦ Πέτρου· τοὺς Πάπας ὁ Φώτιος!"—Τοιαύτην τινὰ παρεκτροπὴν νοήματος καὶ ἐν τέλει τῆς Γ' Ἐπιστολῆς Φωτίου, ἔνθα ἡμῖν τὰ προσήκοντα σεσημείωται, ὁ ἀληθῶς κλεινὸς ἐποιήσατο Μάϊος, ζήλῳ τῆς Παπικῆς παντοκρατορίας κἀκεῖ τῆς εὐθείας ἐκτραπείς, ὥσπερ δὴ καὶ ἐνταῦθα.

[3] Πράξ. ΚΒ', 28.

[4] Ὀρθῶς Οἰκον. εἴκασε γραπτέον εἶναι—ἡ μὲν εἰς Γίσχαλα.

[5] Παρ' Οἰκον. ἀπροθέτως—μερίδι καὶ δικαίῳ τὰ τῆς Βενιαμίτιδος φυλῆς ἀναφέρεται—παρὰ δὲ Οἰσχελίῳ " μερίδι καὶ δικαίῳ τῆς Βενιαμίτιδος, κ.τ.λ."

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΜΒ'.—42.

Τῷ αὐτῷ περὶ τοῦ αὐτοῦ.[1]

Ὥσπερ ὁ κλεινὸς Βαρνάβας, τὸ τῆς πραότητος καὶ συμπαθείας ὡς ἀληθῶς σκεῦος, αἵματι προγόνων Ἰουδαῖος ὤν, Κύπριον τὸ ἀπὸ τῆς πατρίδος εἵλκε γένος·[2] καὶ ὁ λόγιος Ἀπολλώς, ὁ τῷ κηρύγματι τὴν Ἔφεσον φθάσας, καὶ πρὸς τὴν Ἀχαΐαν διαβάς, Ἰουδαϊκῆς ὑπάρχων φυλῆς, ὅσα εἰς φύσιν ἀναφέρεται τῶν γεννησαμένων, διὰ τῆς παροικίας τὴν Ἀλεξάνδρειαν ἐπεγράφετο πατρίδα·[3] οὕτω καὶ ὁ ἱερὸς Παῦλος, ἐξ Ἰουδαίων τε φύς, καὶ εἰς τὴν Βενιαμίτιδα φυλὴν ἀνηγμένος, Ταρσούς, τῶν τεκόντων τὴν Ἑλληνίδα πόλιν ἐπῳκηκότων, ἐκτήσατο πατρίδα. Ὥσπερ δὲ πάλιν ὁ χιλίαρχος διὰ μὲν τῶν φύντων καὶ τῆς ἐνεγκούσης ὡς πορρωτάτω τοῦ Ῥωμαϊκοῦ διΐστατο γένους, χρήμασι δέ, ὡς αὐτὸς ἐκεῖνος διωμολόγει, εἰς τὴν ἐκείνων εὔκλειαν ἀνελήφθη·[4] καὶ ὥσπερ ἡ Φιλίππων πόλις, τῆς Μακεδόνων ἐπαρχίας μητρόπολις οὖσα, καὶ οὐδὲν δίκαιον ἔχουσα πρὸς συγγένειαν Ῥωμαίων, ὅμως ἠδυνήθη τῷ ταύτης ὀνόματι λαμπρυνθῆναι (καὶ γὰρ οἱ κύριοι τῆς παιδίσκης, ἐξ ἧς τὸ τοῦ Πύθωνος ἀπηλάθη πνεῦμα, ἀγανακτοῦντες κατὰ τῶν τῆς ἀληθείας κηρύκων, καὶ πρὸς τοὺς στρατηγοὺς ἕλκοντες τοὺς ἀπαλλάξαντας τὸ πλάσμα τοῦ δαιμονίου, ἐπείπερ ἡ θεραπεία τῷ πάθει συναπήλαυνεν αὐτῶν καὶ τὴν ἐμπορίαν, " Οὗτοι οἱ ἄνθρωποι, φασίν, ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν·"[5] ὁρᾷς, ὅπως οἱ Φιλιππήσιοι τῇ Ῥωμαίων ἑαυτοὺς ἐπισεμνύνουσι κλήσει;)· ὥσπερ δὲ πάλιν τούτων ὕστερον Ἰώσηπος, Ἑβραίων τε γνησίας σποράς ἐκβλαστήσας, καὶ αὐτὰ πατρίδα τὰ Ἱεροσόλυμα κεκληρωμένος, ἐξ ἱερέων τε καὶ ἱερεὺς αὐτὸ τοῦτο χρηματίσας, πλὴν πρὸς τῇ Ῥωμαίων κλήσει καὶ τὴν Φλαύϊος ἐπεγράφετο προσηγορίαν, ὃ γέρας ἡ τοῦ Οὐεσπασιανοῦ ἐπωνυμία τοῖς Ῥωμαϊκὴν αὐχοῦσι τὴν συγγένειαν ἐδίδου· καὶ οὐ μόνον Ῥωμαῖον αὐτὸν καὶ Φλαύϊον ἀναγράφων οὐδαμοῦ ξενίας ὁ Ἰώσηπος ἑάλω, καίτοι πολλῶν τῷ φθόνῳ κατ' αὐτοῦ βαλλόντων, ἀλλ' οὐδ' [εἰς] ἔνδειξιν[6] εἰσήχθη· εἰ βούλει δέ, καὶ αὐτὴ τῶν Ἱεροσολύμων ἡ πόλις, γενεαῖς ὑστέραις ἐκ τῆς

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΗ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΙΖ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΜΖ'· εὕρηται δὲ καὶ παρ' Οἰσχελίῳ ἔνθ. ἀνωτ. σελ. 912.

[2] "Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν Ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον υἱὸς παρακλήσεως, Λευίτης, Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν Ἀποστόλων" (Πράξ. Δ'. 36).

[3] "Ἰουδαῖος δέ τις, Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς Γραφαῖς" (αὐτ. ΙΗ', 24).

[4] Αὐτόθι. ΚΒ', 28.

[5] Αὐτόθι. ΙΣΤ', 16—22.

[6] Ἐκ διορθ. Οἰκον. ἡ προσθήκη τῆς προθ.—εἰς.

Digitized by Google

Ἀδριανοῦ προσωνυμίας τὴν Αἰλίαν[1] κλῆσιν λαχοῦσα, δημοποίητος[2] (ὡς φάναι τὸ ἔπος) τὸ Ῥωμαίων γένος ὑπέδυ· ὥσπερ οὖν οὗτοι πάντες, ἔθνους καὶ πατρίδος ὄντες ἀλλοφύλου, εἰς τὴν Ῥωμαϊκὴν ἐτέλεσαν πολιτογραφίαν, οὕτω καὶ οἱ τοῦ θεσπεσίου Παύλου γονεῖς, οὐκ ἐν τῷ λεληθότι τῆς Ἰουδαϊκῆς πολιτείας βιοῦντες, ἀλλὰ καὶ τῶν πολλῶν ἔχοντές τι πλέον, τῆς Ῥωμαϊκῆς φατρίας φυλέται διὰ τῆς ἐγγραφῆς ἐκρίθησαν οὐκ ἀνάξιοι χρηματίσαι· ἐξ οὗ καὶ ὁ σοφὸς Παῦλος διαδοχῆς κλήρῳ τὴν Ῥωμαίων εὐγένειαν πατρόθεν αὐτῷ κατιοῦσαν οὐκ ἠγνόει. Τὸ λοιπὸν μηκέτι σοι τὸ ἀπορεῖν μόνον, ἀλλὰ πολὺ μᾶλλον τὸ ἐπιζητεῖν τὸ οἰκεῖον τῶν λύσεων καὶ ἀγαπᾷν, ἐπιμέλεια γινέσθω. Ὥσπερ γάρ, εἴ τις τὰ κατὰ διαλεκτικὴν ζητήματα ἐξ ἀμέσων τε καὶ πρώτων καὶ τῶν καθ' αὐτὸ πειρῷτο διαλύσασθαι, διδοὺς τὸ γελοῖον,[3] οὐδὲ τὴν τοῦ ψεύδους δίκην διαφεύγει· καὶ ἐν ῥητορείᾳ γραμματικὰς[4] ὁ ἀπαιτῶν ἀνάγκας, καὶ ὁ τῶν κατὰ τὰ μαθήματα[5] θεωρημάτων πολιτικάς τε καὶ ἐπιπολαίους πίστεις ἐπιχειρῶν προκομίζειν· παραπλήσιόν τι, ἵνα μὴ ἀσχημονέστερον εἴπω, καταλαμβάνει[6] καὶ τούς, ὅσοι τῶν καθ' ἱστορίαν ζητημάτων οὐχ ἱστορικῶς, ἀλλ' ἐξ ἑτέρου γένους ἐλπίδας ἀνέχουσιν εἰς μάθησιν ἐλθεῖν τῆς ἀληθείας.

ΕΠΙΣΤΟΛΗ ΜΓ'.—43.

Θεοδώρῳ Ἡγουμένῳ.[7]

(Περὶ τῆς εἰκόνος τοῦ Χριστοῦ.)

Προτείνουσιν, ἔφης, τῶν εἰκονομάχων ὅσοι θρασύτεροι καὶ κακόσχολοι καὶ σοφὸν

---

[1] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν—Αἰλίων.—Περὶ δὲ τῆς μετωνυμίας ταύτης τῶν Ἱεροσολύμων, ἴδε Εὐσεβίου Ἐκκλ. Ἱστορ. Δ', στ'· καὶ ἐν γένει περὶ τῶν διαφόρων ὀνομάτων, τῶν κατὰ καιροὺς ἀποδεδομένων τῇ ἁγίᾳ ταύτῃ πόλει, ἴδε τὴν ἐν τῷ Εὐαγγελ. Κήρυκι (Ἔτ. Ζ'. σελ. 198 κ. ἑξ) δημοσιευθεῖσαν Ἱεροσολυμιάδα, πολύτιμον ἔργον τοῦ ἐν μακαρίᾳ τῇ λήξει Ἀρχιμανδρίτου καὶ Καθηγητοῦ τοῦ ἡμετέρου Πανεπιστημίου, Διονυσίου Κλεόπα.

[2] Ἐκ διορθ. Οἰκον. ἀντὶ—δημοποίητον.

[3] Ὀρθότερον τοῦτο παρ' Οἰκον. γέγραπται—διδοὺς τὴν τοῦ γελοίου—ὑπακουομένης ἐκ τοῦ ἑπομένου τῆς αἰτιατικῆς "δίκην."

[4] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις ἅπασι—γραμμικάς

[5] Μάθημα, κοινῶς μὲν σημαίνει πᾶν ὅ,τι μανθάνει τις, εἴτε καθ' ἑαυτὸν, εἴτε μετ' ἄλλων διδασκόμενος· ἰδίως δὲ μαθήματα ἐκαλοῦντο τὰ νῦν λεγόμετα μαθηματικά, καὶ μάλιστα ἡ περὶ τὴν ἀστρολογίαν σπουδή, ἴσως ὡς τῶν ἄλλων μαθημάτων ὑψηλότερα καὶ δυσκολώτερα μαθεῖν νομιζόμενα.

[6] Οὐκ οἶδ' ὅπως Οἰκονόμος ἐσημειώσατο πληθυντικῶς τοῦτο γεγράφθαι παρὰ Μοντακουτίῳ, καὶ ἄνευ τοῦ "καὶ τούς," οὐδὲν διαφέρον τοῦ ἐν τοῖς Ἀμφιλοχίοις κειμένου.

[7] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΒ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΕ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΞΔ'. Περὶ τῆς αὐτῆς δὲ ὑποθέσεως, τοῦτ' ἔστι περὶ τῆς τοῦ Χριστοῦ εἰκόνος, καὶ κατὰ τῶν εἰκονομάχων, καὶ ἑτέρας πέντε ἔγραψεν ἐπιστολὰς. "Ἰωάννῃ Σπαθαρίῳ τῷ Χρυ-

Digitized by Google

ἡγοῦνται τὸ περίεργον, ποία τῶν εἰκόνων Χριστοῦ ἀληθής· πότερον,[1] ἡ παρὰ Ῥωμαίοις, ἢ ἥνπερ Ἰνδοὶ γράφουσιν, ἢ ἡ παρ' Ἕλλησιν, ἢ ἡ παρ' Αἰγυπτίοις; οὐχ ὅμοιαι γὰρ[2] ἀλλήλαις αὗται,[3] καὶ ὁποίαν ἄν τις αὐτῶν ἀληθῆ φήσειε, δῆλον ὅτι παραγράφεται τὰς λοιπάς.[4] Ἀλλὰ ταύτην αὐτῶν τὴν ἀπορίαν, μᾶλλον δὲ τὴν κακομηχανίαν, ὦ καλὸν ὀρθοδοξίας ἄγαλμα σύ,[5] πολλαχῶς ἔστιν ἐπιῤῥαπίσαι, καὶ πολλῆς γέμουσαν παρανοίας καὶ δυσσεβείας ἀπελέγξαι.

Καὶ πρῶτον ἔστιν εἰπεῖν πρὸς αὐτούς, ὅτι τέως, ἐξ ὧν ἔγνωτε τῇ εἰκονουργίᾳ μάχεσθαι, καὶ ἅκοντες αὐτῆς παντὸς τῆς οἰκουμένης, ἔνθα τὸ Χριστιανῶν γένος, τὴν ὕπαρξιν καὶ προσκύνησιν ἐμαρτυρήσατε· ὥστε ὃ καθαιρεῖν ἐπιχειροῦσι, μᾶλλον συνιστῶσι, καὶ τοῖς οἰκείοις λόγοις ἁλίσκονται.

Δεύτερον, ὅτι λελήθασιν ἑαυτούς, δι' ὧν ταῦτα λέγουσιν, εἰς τὴν τῶν Ἑλλήνων τάξιν ἑαυτοὺς ἐντάττοντες· ἐπίσης γὰρ ἔστι τὰ εἰρημένα περὶ τῶν σεπτῶν εἰκόνων εἰπεῖν, καὶ περὶ τῶν ἄλλων μυστηρίων ἡμῶν· ποίους γὰρ λόγους εὐαγγελίου θεοπνεύστους, εἴποιεν ἄν, ἢ ὅλως εὐαγγέλιον ποῖον ὀνομάζετε; ἄλλοις γὰρ σχήμασι καὶ τύποις γραμμάτων τὸ Ῥωμαϊκόν, ἄλλοις δὲ τὸ Ἰνδῶν, καὶ ἑτέροις τὸ Ἑβραϊκόν, καὶ ἄλλοις τὸ Αἰθιόπων ἀπαρτίζουσι· καὶ οὐ μόνον τύποις γραμμάτων καὶ σχήμασιν ἀνομοίοις γράφονται, ἀλλὰ καὶ ἀπηχήσει καὶ σημασίᾳ φωνῆς ἑτεροειδεῖ τε καὶ ἀλλοτριωτάτῃ προφέρονται. Οὐκοῦν, φαίητ' ἄν[6] (μᾶλλον δέ, διὰ τί μὴ λέγετε;[7]), ὡς οὐδενὶ προσήκει πείθεσθαι ἢ προσέρχεσθαι εὐαγγελίῳ, ὅτι ἀνομοίοις καὶ σχημάτων τύποις, καὶ φωνῶν ἀπηχήσεσί τε καὶ σημασίαις ἀπαγγέλλονται· τῶν ὑμετέρων γὰρ ἐνθυμημάτων καὶ τοῦτο τὸ τόλμημα· οὐδὲ γὰρ οὐδ' Ἕλλην τις ἡμῖν ῥᾴον τὰ τοιαῦτα προτείνειε· πολλὰ γὰρ καὶ παρ' αὐτοῖς τῶν σεβασμίων παραπλήσια· καὶ ὥσπερ ἐστὶν αὐτοῖς φύσις κοινὴ πρὸς ἡμᾶς, καὶ νοῦς, καὶ

σχέρει," τὰς ὑπ' ἀριθμ. ΝΣΤ', ΝΖ', ΝΗ', ΝΘ' καὶ Ξ'.—Ἴδε καὶ Εὐαγελ. Κήρυκ. Ἔτ. Ζ', σελ. 289—305, ἔνθα σύντομον μέν, σαφῆ δὲ καὶ ἀκριβῆ εὑρήσεις ἐξιστόρησιν τοῦ κατὰ τῶν ἁγίων εἰκόνων διωγμοῦ, ἀπὸ τοῦ πρώτου εἰκονομάχου Λεόντος τοῦ Ἰσαύρου μέχρι Θεοδώρας τῆς Αὐτοκρατορίσσης, ἐφ' ἧς ἡ τῶν εἰκονομάχων αἵρεσις κατεβλήθη τέλεον, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία ὑπὲρ ἕνα αἰῶνα (726—842) κατὰ τῶν εἰκονομάχων παλαίσασα, τὸν θεοπρεπῆ αὐτῆς ἐπανέλαβε κόσμον.

[1] Παρ' Οἰκον. τὸ "πότερον" πρὸ τοῦ "ποία" κεῖται—πότερον, ποία τῶν εἰκόνων Χριστοῦ ἀληθής·—ἄμεινον μέντοι τοιαύτην ἔχειν τὴν τάξιν, οἵαν ἐν ταῖς ἐπιστολαῖς.

[2] Ἐλλείποντα τὸν γὰρ παρὰ Μοντακ. καὶ Μιγνίῳ προσέθηκα ἐξ Οἰκονόμου.

[3] Καὶ τοῦτο κατ' Οἰκον. ἀντὶ—αὗται—παρὰ τοῖς ἄλλοις.

[4] Τοῦτο τῶν εἰκονομάχων κατὰ τῆς Χριστοῦ εἰκόνος τὸ ἐπιχείρημα, ὅπερ δὴ καὶ Ἀχίλλειον εἰώθεσαν ἀποκαλεῖν, ὡς μέγα δῆθεν καὶ ἀκατάβλητον, οὐ μόνον Φώτιος διὰ τῆσδε τῆς ἐπιστολῆς εὐχερῶς καταβάλλει, ἀλλὰ καὶ Μοντακούτιος αὐτὸς ἀποδοκιμάζων φαίνεται, ἐν οἷς τῇδε τῇ ἐπιστολῇ ὑπεσημειώσατο, εὐφυὲς μὲν λέγων εἶναι τὸ ἐπιχείρημα τοῦτο, οὐ μέντοι καὶ ἰσχυρόν.

[5] Παρ' Οἰκον. ἄνευ τῆς ἀντωνυμίας.

[6] Ἐκ διορθ. Οἰκον. ἀντὶ—φαῖεν ἄν.

[7] Ὁμοίως, ἀντὶ—μὴ λέγοιτε.

Digitized by Google

λόγος, καὶ ψυχῆς πρὸς σῶμα σύγκρασις ὁμοιότροπος, καὶ μυρία ἄλλα, οὕτω καὶ περὶ τὴν τοῦ θείου ὑπόνοιαν, κἂν [1] τοῖς πλείστοις καὶ κυριωτάτοις διίστανται, ἀλλ' οὖν ἔστιν ὅμως οἷς διὰ τὴν ἐνάργειαν τῶν κοινῶν ἐννοιῶν οὐδ' αὐτοὶ τολμῶσι διαμάχεσθαι. Οὐκοῦν οὐδ' Ἕλλην ἀμφισβητήσειεν ἡμῖν περὶ τούτου, ἀλλά τις ἄλλος ὅλως ἄθεος καὶ ἀθρήσκευτος, μήτε θείου ἔννοιαν, μήτε λατρείαν ὅλως παραδεξάμενος.

Τρίτον δέ, καὶ τοῦ δευτέρου σύστοιχον, ποῖον σταυρόν, προσερήσεσθε πάντως, τοῦ πρωτοτύπου νομιοῦμεν ὅμοιον; ὃς μετὰ τοῦ τίτλου σχηματίζεται, ἢ ὃς ἄνευ ἐκείνου διατυποῦται καὶ διαγράφεται; ὧν γὰρ ἂν ἡ ὁμοιότης [2] ἡμῖν ὁμολογηθείη, ἐκ τούτου, κατὰ τὸν ὑμέτερον σοφὸν συλλογισμόν, ἡ τῶν λοιπῶν ποίησις καὶ προσκύνησις (ἀλλ' ὑμῖν γε τοῖς τοιαῦτα περὶ τηλικούτων τολμῶσιν) ἀπαρνηθήσεται, ἢ καὶ ἤδη ἐξήρνηται.

Τέταρτον, τὴν διαφορὰν ἡμῖν καὶ ἀνομοιότητα, τὴν ἐν ταῖς μυστικαῖς θυσίαις καὶ ταῖς ἄλλαις ἱερουργίαις, [3] εἰς διαβολὴν ἀπάσης καὶ ἀνατροπὴν τῆς ἡμῶν ἀχράντου τελετῆς καὶ λατρείας προκομεῖσθε· ἐξ ὧν γὰρ κατὰ τῆς Χριστοῦ εἰκόνος πονηρὰν μελέτην ταῖς ὑμῶν διανοίαις ἐμελετήσατε, πᾶσαν τὴν τῶν Χριστιανῶν ἱερὰν τελετὴν καὶ τὰ θεῖα μυστήρια ἐκ βάθρων αὐτῶν ἠλέγχθητε κατασείοντες.

Πέμπτον ῥητέον, ὃ καὶ λίαν αὐτῶν στηλιτεύει τὸ δυσσεβὲς καὶ μισόχριστον· τί γὰρ ἐπὶ τῆς εἰκόνος ἵστασθε, καὶ τοὺς τοιούτους φληνάφους ἀνελίσσετε, δέον πρὸς αὐτὸν τὸν εἰκονιζόμενον (ὃ κρύπτουσι τέως) ἀποδύσασθαι; ἵνα τί γάρ, ὃ ταῖς διανοίαις ὑμῶν ὠδίνετε, τὸν ἄσπονδον κατὰ Χριστοῦ πόλεμον, τοῦτον μὴ καὶ τοῖς χείλεσι καὶ γυμνῷ τῷ προσώπῳ, ἀλλ' ὑπὸ προσωπείῳ τῇ εἰκόνι, ἐπιδείκνυσθε; Λεγέτωσαν γάρ, ὡς, ἐπειδὴ Ἕλληνες μὲν αὐτοῖς ὅμοιον ἐπὶ γῆς φανῆναι τὸν Χριστὸν νομίζουσι, Ῥωμαῖοι δὲ μᾶλλον ἑαυτοῖς ἐοικότα, Ἰνδοὶ δὲ πάλιν μορφῇ τῇ αὑτῶν, καὶ Αἰθίοπες δῆλον, ὡς ἑαυτοῖς· ἐπεὶ ταῦτα, τίς ἐστιν ὁ ἀληθὴς Χριστός; ὁ παρὰ τίσι νομιζόμενος; οὐκ ἄρα δεῖ ὁμολογεῖν οὐδὲ πιστεύειν σαρκὶ ἐπιδημῆσαι τὸν Χριστόν; ὄντως γὰρ αὐτοῖς τοῖς ἀθλίοις οὐδ' ἐπεδήμησεν· ὃ γὰρ κατὰ τῆς εἰκόνος ἐπονηρεύσαντο, τοῦτο πολὺ πρότερον κατὰ τοῦ εἰκονιζομένου πεφώρανται φρυαξάμενοι, ἀπὸ τῆς τῶν νομισάντων διαφορᾶς ἀναίρεσιν παντελῆ τοῦ νομισθέντος ψηφισάμενοι. Ὁρᾷς, οἷος αὐτῶν ὁ σκοπός, καὶ εἰς οἷον αὐτοῖς τὸ κατὰ τῆς εἰκόνος ἀπέβλεπε τέχνασμα!

Ἀλλ' ἐπὶ τοῖς εἰρημένοις ἐκεῖνο ῥητέον, οὐκ ἐκείνοις (ἀνάξιοι γάρ), ἀλλά γε τοῖς πιστοῖς καὶ φιλοχρίστοις· ὅτι περ οὐ πάντως λυμαίνεται τῶν εἰκονισμάτων τὸ ἀνόμοιον τὴν τῆς εἰκόνος φύσιν καὶ τὴν ἀλήθειαν· οὐ γὰρ μόνῳ σχήματι σώματος καὶ μορφῆς εἰκονίζεται χρώμασι τὸ εἰκονιζόμενον, ἀλλὰ καὶ ποιᾷ διαθέσει, καὶ παρεπομένῃ πράξει,

---

[1] Παρ' Οἰκον.—εἰ καὶ—ὅπερ Ἀττικώτερον· ἀλλὰ περὶ τῆς τοιαύτης τῶν μορίων συντάξεως, πολλαχοῦ ἐπὶ τὸν νῦν συνήθη τρόπον ἀποκλινούσης, πολλάκις ἡμῖν ἐν τοῖς ἔμπροσθεν σεσημείωται, καὶ γενικῶς ἐν τῇ ἀρχῇ τῆς Α' Ἐπιστολῆς.

[2] Παρ' Οἰκον. ἄνευ τοῦ ἄρθρου.

[3] Ἐννοεῖ τὴν ὡς ἐκ τῆς διαφορᾶς τῶν γλωσσῶν φαινομένην ἀνομοιότητα τῆς αὐτῆς ἱερᾶς λειτουργίας, ὧν ἄλλων τελετῶν. (σημ. Οἰκονόμου.)

Digitized by Google

καὶ παθῶν ἐμφάσει, καὶ τόπων ἱερῶν ἀναθέσει, καὶ ἐπιγραμμάτων ἑρμηνείᾳ, καὶ συμβόλοις ἐξαιρέτοις ἄλλοις, ὧν μηδὲν παρεῖναι, ἢ μὴ τὰ πλείονα, ταῖς παρὰ τῶν πιστῶν εἰκόσι, παντελῶς ἀδύνατον· δι' ὧν οὐδὲν ἔλαττον, ἢ εἰ[1] καὶ πάντα προσῆν, εἰς ἔννοιαν καὶ τιμὴν τοῦ εἰκονισθέντος (ὅπερ ἐστὶ τῆς εἰκονουργίας σκοπός) ἀναγόμεθα. Ἀλλὰ ταῦτα μὲν κατ' ἐπιδρομήν, καὶ ὡς ἐν ἐπιστολῆς τύπῳ· ἡ δὲ τῆς ἐξεργασίας[2] ἀκρίβεια, Θεοῦ διδόντος, εἰς τὴν οἰκείαν ὑπόθεσιν ἀναχθήσεται.

ΕΠΙΣΤΟΛΗ ΜΔ'.—44.

Τῷ αὐτῷ.[3]

(Διὰ τί τὸν Ἄβελ δίκαιον ὄντα πρὸ τοῦ ἐξημαρτηκότος Ἀδὰμ συνεχώρησεν ὁ Θεὸς εἰς θάνατον ἐλθεῖν.—Γενέσ. Κεφ. Δ'.)

Ὁ μὲν ἀπορρητότερος καὶ βαθύτερος τῆς αἰτίας λόγος ἀνείσθω Θεῷ· ἐξ ὧν δὲ[4] διανοίαις ἀνθρώπων ἔδωκε γενέσθαι ληπτά, φαμέν, ὡς διὰ τοῦτο τὸν Ἄβελ δίκαιον ὄντα πρὸ τοῦ ἐξημαρτηκότος Ἀδὰμ καὶ τὴν ἀπόφασιν δεξαμένου[5] συνεχώρησεν εἰς θάνατον ἐλθεῖν, ἵνα μαθὼν ὁ ὑπόδικος ἐν τῷ ἀνευθύνῳ παιδὶ τὸ φοβερὸν τοῦ ἐπιτιμίου καὶ ἄφυκτον, πλέον τε τὸ ἄλγος εἰσδέξηται, καὶ τὴν μετάνοιαν ἐπιδείξηται, κἀκεῖθεν ἔλαττον ἀπέλθῃ τῆς παραβάσεως χρεωστῶν· ἔτι δὲ καὶ ἵνα τοῦ θανάτου τὸ βάθρον τὸν ἠδικημένον πρῶτον δεξάμενον σαθρὸν καταστῇ. Ὥσπερ γάρ, εἰ τὸν ὑπεύθυνον πρῶτον ἐδέξατο, στερρὸν ἂν θεμέλιον ὑπεβάλετο, οὕτω τὸν δίκαιον ἁρπασάμενος, σαθρὰν ἑαυτὸν ἔλαθε καὶ εὐπερίτρεπτον τὴν οἰκείαν κρηπίδα πηξάμενος. Σὺ δέ μοι σκόπει, καὶ εἴπως ὁ τῆς ἀναστάσεως διὰ τούτου πρυκαταβάλλεται καὶ μυσταγωγεῖται λόγος. Εἰ γὰρ ἀγαθὸς καὶ δίκαιος ὁ Θεός, μᾶλλον δ' ἀγαθότητος καὶ δικαιοσύνης πηγή, οὐκ ἂν ἀγέραστον ἀπελθεῖν καὶ πρὸ ὥρας τὸν δίκαιον εἴασεν Ἄβελ· καὶ τί λέγω ἀγέραστον; ἀλλ' οὐκ ἂν ἀδίκως, καί, τὸ μεῖζον, ἀνθ' ὧν ὤφθη θεοφιλής, οὐκ ἂν ὑπερεῖδεν ἀναιρούμενον, εἰ μή τις ἐκεῖθεν ἄλλη κατάστασις, καὶ βίος ἄλλος ἀπέκειτο, ἐν ᾧ τῶν πρακτέων τὰς ἀμοιβὰς καὶ τὰς ἀντιδόσεις ἀφάτῳ πλούτῳ προνοίας εὐτρεπίσας ταμιεύει. Οὔκουν οὐκέτι διαμφισβητήσεις, διὰ τί πρῶτος Ἄβελ φίλος δικαιοσύνης γεγονώς, πρῶτος τῷ θανάτῳ ἐλειτούργησεν. Εἰ δὲ καὶ

---

[1] Προσέθηκα τὸν σύνδεσμον ΕΙ ἐξ Οἰκον. ἐλλείποντα παρὰ τοῖς ἄλλοις.

[2] Καὶ τοῦτο ἐξ Οἰκον. ἀντὶ—ἐργασίας—παρὰ τοῖς ἄλλοις.

[3] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχ. κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΓ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΔ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΓ'. Ἐκτενέστερον δὲ περὶ τούτου πραγματεύεται καὶ ἐν τῷ (κατά τε τὴν Οἰκονόμου καὶ Μιγνίου ἔκδοσιν) ΙΑ' ζητήματι τῶν Ἀμφιλοχίων.

[4] Οὕτως ἐξ Οἰκον. ἀντὶ—γε—παρὰ τοῖς ἄλλοις.

[5] Ἡ ἀπόφασις αὕτη ἐν τοῖσδε περιείληπται τοῖς λόγοις, οἷς ὁ Θεὸς τῷ ἐξημαρτηκότι εἶπεν Ἀδάμ· "Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ." (Γενέσ. Γ', 19.)

Digitized by Google

πρὸς τὸν Ἐνὼχ ἀποβλέψεις, δικαιότατον γεγονότα, τάλαν ἔξεις, ἐξ ὧν οὐ ζητήσεις, τῶν τῶν δικαίων μᾶλλον ἢ τῶν ὑπ' αἰτίαν· ὁ πάντες ἐκμάθοιεν· ἀκέστερος γὰρ αὐτὸς ἐξ ἀρετῆς καὶ φιλοτιμίας Θεοῦ καὶ ἵνα μὴ τὸ δυσεύρητον ἔχοιεν εἰ σε ἀπορίαι) τῶν τοῦ θυμοῦ βρύχων καὶ τῆς τυραννίδος ἐχρημάτισεν.[1]

ΕΠΙΣΤΟΛΗ ΜΕ'.—45.

Τῷ αὐτῷ.[2]

Περὶ τῆς περιτομῆς τοῦ Ἅγιου.

Ἡ περιτομὴ τρία τινὰ πραγματεύεσθαί μοι δοκεῖ· ἓν μέν, οἷονεὶ σημεῖόν τινι καὶ σφραγῖδι τοὺς ἐκγόνους[4] Ἀβραὰμ ἀφορίζουσα, καὶ τῶν λοιπῶν διαστέλλουσα ἐθνῶν· δεύτερον δέ, ἐν ἑαυτῇ τὴν τοῦ θείου βαπτίσματος προδιατυποῦσα καὶ προκαταγγέλλουσα χάριν καὶ δύναμιν. Ὥσπερ γὰρ ὁ περιτεμνόμενος εἰς λαὸν Θεοῦ διὰ τῆς σφραγῖδος πάλαι ἐχρημάτιζεν, οὕτως ὁ βαπτιζόμενος σφραγῖδα τοῦ Χριστοῦ[5] ἐν ἑαυτῷ τυπωσάμενος, εἰς υἱοθεσίαν Θεοῦ ἀναγράφεται. Καὶ τρίτον, σύμβολον τῶν ἐν τῇ χάριτι καθιστημένων πιστῶν, οἱ τῶν σαρκικῶν ἡδονῶν καὶ παθῶν τὰς ἐπαναστάσεις τῷ τιμητικῷ τῆς πίστεως λόγῳ καὶ πόνοις ἀσκητικοῖς ἐκτέμνουσι καὶ ἀπονεκροῦσιν, οὐ σῶμα τέμνοντες, ἀλλὰ τὴν καρδίαν, καὶ πνεύματι, οὐ γράμματι περιτεμνόμενοι· ὧν καὶ τὸν ἔπαινον οὐκ ἀνθρωπίνης ἐπικρίσεως δεῖσθαι, ἀλλὰ τῆς ἄνωθεν ἠρτῆσθαι ψήφου Παῦλος ὁ θεῖος, ὁ τὰ τοιαῦτα μυσταγωγούς,[6] λαμπρᾷ τῇ φωνῇ διαμαρτύρεται.[7] Εἰ δέ τῳ κἀκεῖνο δοκεῖ, ὡς γένους μὲν

---

[1] Παρ' Οἰκον.—τῶν ὑπαιτίων.

[2] Ἐνταῦθα προφανῶς Μυστακ. πεπλάνηται, λέγων τὸ τοῦ Ἐνὼχ παράδειγμα οὐδὲν πρὸς ἔπος εἰρῆσθαι Φωτίῳ· οὐ γὰρ τέθνηκε (φησίν) ὁ Ἐνώχ, ἀλλ' ἀνείληπται. Ἀλλὰ διὰ τοῦτο μάλιστα Φώτιος τὸν Ἐνωχ εἰς παράδειγμα προβάλλεται, ἐκεῖνο ὑπὴ πιστούμενος, ὃ εἶπε περὶ τοῦ Ἄβελ, ὅτι πρὸς τοῖς ἄλλοις διὰ τὸν θανάτου αὐτοῦ "ὁ τῆς ἀναστάσεως μυσταγωγεῖται λόγος," καὶ ὅτι "βίος ἄλλος ἀπόκειται ἡμῖν, ἐν ᾧ τῶν πραχτέων τὰς ἀμοιβὰς καὶ τὰς ἀντιδόσεις ἀφάτῳ πλούτῳ προνοίας εὐτρεπίσας ὁ Θεὸς ταμιεύει." Τοῦτο τοίνυν πιστούμενος, παρὰ τὸν Ἄβελ θάνατον καὶ τὴν Ἐνὼχ ἀνάληψιν εἰς μαρτυρίαν προβάλλεται, διὰ τοῦτο λέγων καὶ τὸν πρῶτον ἀποθανεῖν καὶ τὸν δεύτερον ἀνειλῆφθαι, ὅπως ἐντεῦθεν δῆλον γένηται τοῖς ἀνθρώποις καὶ ἕτερον ὑπάρχειν βίον αὐτοῖς, τὸν αἰώνιον καὶ ἀγήρω. Ὥστε τὸ οὐδὲν πρὸς ἔπος, ὃ περὶ Φωτίου λέγει Μοντακούτιος, οὐ μᾶλλον ἐκείνῳ ἢ αὐτῷ τῷ εἰπόντι προσήκει· ἐκεῖνος μὲν γὰρ ὀρθῶς εἶπεν, οὗτος δὲ κακῶς τὰ εἰρημένα κατενόησεν.

[3] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΙΣΤ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΕ', καὶ ἐν τῇ Μοντ. συλλογῇ Ἐπιστ. ΣΕ'.

[4] Παρ' Οἰκον.—τοὺς ἐκ γένους.

[5] Ὁμοίως—τὸν Χριστόν.

[6] Ὁμοίως—μυσταγωγῶν.

[7] Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή· ἀλλ' ὁ ἐν τῷ

Χαλδαίων ἐχρημάτιζεν Ἀβραάμ, τὸ δὲ καὶ μητράσι καὶ θυγατράσι καὶ ἀδελφαῖς ἐκθέσμῳ νόμῳ συνανεφύρετο, ἵνα οὖν μὴ τοῖς πατρῴοις ἔθεσι μήτε αὐτός, μήτε τὸ ἐξ αὐτοῦ γένος, καταμιαίνοιτο, τέμνεται, φασί, τὴν ἀκροβυστίαν εἰς ἀθέτησιν τῆς τοιαύτης ἀῤῥητοποιΐας, καὶ γίνεται αὐτῷ τῆς οἰκείας σαρκὸς ἡ περιτομὴ διαίρεσις τῆς προσεχοῦς συγγενείας καὶ ἀποστροφή, ὅσα γε εἰς ὁμιλίαν γαμικήν· οὐδὲ γὰρ οὐδ' ἦν φωρᾶσαί τινα μετὰ τὴν περιτομὴν ἐν τοῖς ἐξ αἵματος Ἀβραὰμ ταῖς τοιαύταις ἐνισχημένον ἀῤῥητουργίαις, τῆς Χαλδαϊκῆς ἀκρασίας ἀδεῶς καὶ ἀνεπαισχύντως μακροῖς καὶ μετὰ ταῦτα χρόνοις τὰ τοιαῦτα δραματουργούσης. Ἀλλὰ τοῦτο μέν, ὡς[1] φίλον ἑκάστῳ, καὶ νομιζέτω· ἀφορισθῆναι μέντοι τὸ Ἀβραὰμ ἔδει γένος· πρῶτον μέν, ἵνα μὴ τοῖς ἄλλοις ἔθνεσιν ἐπιμιγνύμενον, καὶ κατὰ μικρὸν τοῖς ἐκείνων τρόποις ὑποσυρόμενον, τῆς τε οἰκείας εὐσεβείας παρατροπὴν πάθῃ, καὶ τοῖς ἐκείνων λατρεύσῃ βδελύγμασιν· ἔπειτα, ἵνα τῆς θείας ὑποσχέσεως ἐναργὲς καὶ πᾶσι γνώριμον τὸ πέρας δειχθῇ, εἰς ἀναρίθμητον πλῆθος τοῦ ἐξ Ἀβραὰμ σπέρματος πληθυνομένου καὶ αὔξοντος (οὐ γὰρ ἂν ὁμοίως, τοῖς ἄλλοις ἔθνεσι συμφυρομένων, τό τε τῆς ἐπαγγελίας ἀψευδὲς ἐγινώσκετο, καὶ τὸ τοῦ πλήθους παράδοξον ἐθαυμάζετο, ὥσπερ καθ' ἑαυτοὺς καὶ ἀφωρισμένην τὴν πολιτείαν ἐχόντων)· καὶ τρίτον, ὃ καὶ τῶν ἄλλων ἔστιν ἰδεῖν αἰτιώτατον, ἐπείπερ ὑπεσχημένον ἦν τῷ θεοφιλεῖ Ἀβραὰμ ἐν τῷ σπέρματι αὐτοῦ πάντα τὰ ἔθνη εὐλογηθήσεσθαι·[2] τοῦτο δὲ δι' οὐδενὸς ἄλλου δυνατὸν ἦν προελθεῖν, ἀλλ' ἢ δι' αὐτοῦ τοῦ καὶ πλάσαντος, καὶ τὸ τῆς προνοίας ἄφατον μέχρι καὶ αὐτῶν τῶν ἐπὶ γῆς καθιέντος καὶ ἐκχέοντος· ὁ γὰρ καινὸς πλάστης αὐτὸς δυνατὸς μόνος καὶ κοινὴν τὴν εὐλογίαν χαρίζεσθαι.

Ἀλλ' ἐπειδὴ τοῦτο πάλιν τὸ μέγιστον τῆς περὶ ἡμᾶς προνοίας εἰς ἐνανθρώπησιν τὸν προνοητὴν ἐκάλει (οὕτω γὰρ ἄνωθεν καὶ πρὸ τῶν αἰώνων τοῖς θείοις καὶ ἀπορῥήτοις προώριστο νεύμασι), διὰ τοῦτο τὸ Ἀβραμιαῖον γένος ἀφορίζεται, καὶ τῶν ἐθνῶν τῶν ἄλλων τῆς ἐπιμιξίας διακρίνεται· ἵνα τοῦ δημιουργοῦ καὶ δεσπότου τὴν ἡμετέραν φύσιν ἐξ αὐτοῦ προσλαμβάνοντος, καὶ παραπλησίως ἡμῖν σαρκὸς κοινωνοῦντος καὶ αἵματος, ἐπίδηλόν τε λίαν καὶ περιφανὲς ἅπασι τὸ τῆς ὑποσχέσεως ἀψευδὲς καταστῇ, καὶ ὅτι Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐν ᾧ πάντα τὰ ἔθνη τῆς ἐν χάριτι εὐλογίας κατηξιώθησαν, ἐκ τῆς ὀσφύος ἐκείνου τὰς πρώτας καὶ ἀνθρωπίνας ἀρχὰς οὐκ ἀπηξίωσεν αὐτῷ γενέσθαι τῆς κατὰ σάρκα γεννήσεως. Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα οἱ εὐσεβεῖς λογισμοί.

Κἀκεῖνο δέ σοι δῆλον οἶμαι καθεστάναι, ὡς τὴν περιτομὴν ὁ θεσπέσιος Ἀβραὰμ οὔτε πίστεως ἔσχεν αἰτίαν, οὐ μὴν οὐδ' αὐτό γε τοῦτο, τάξιν ἐπέχουσαν πίστεως (προ-

---

κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι· οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ." (πρὸς Ῥωμ. Β', 28 καὶ 29.)

[1] Παρ' Οἰκον.—ὥσπερ.

[2] "Καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογητός· καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ εὐλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς." Γενέσ. ΙΒ'. 2—4· καὶ Παῦλος πρὸς Γαλάτ. Γ', 8—10.)

Digitized by Google

επίστευσε γάρ), ἀλλὰ τῆς προϋπαρξάσης αὐτῷ μόνον σφραγίδα ταύτην ἐδέξατο. Τὸ μέντοι γε λέγειν, ὡς διὰ τοῦτο περιετμήθη τὴν ἀκροβυστίαν, ὡς ἂν γυμνὸν γεγονὸς τῶν ἐκ φύσεως περιβλημάτων τὸ παιδογόνον τῶν ἐκεῖθεν ῥύπων καθαρεύοι,[1] *οἶδα μὲν Ἑλλήνων παισὶ*[2] *καί τισιν Ἰουδαίων*[3] *πεφλυαρημένον· καὶ μυρία λέγειν ἔχων πρὸς αὐτούς, τῆς ἀτόπου δόξης τὸ τῶν ἐλέγχων ἄφθονον χορηγούσης, ἐκεῖνο μόνον ἐρῶ, ὡς ἡδέως ἂν αὐτῶν ἤκουον λεγόντων, εἰ κατ' αὐτῆς τῶν σπερματικῶν ῥευμάτων τῆς πηγῆς πρῶτον τὸ ξίφος ἔβλεπον φέροντας, ἢ κατὰ γαστέρων, ἃς αὐτοὶ ἑαυτοῖς καὶ πλειόνων ἀκαθαρσιῶν καὶ βδελυρωτέρων ὑπονόμους ὑπεστήσαντο.*

ΕΠΙΣΤΟΛΗ ΜΣΤ'. — 46.

Ἰγνατίῳ Ἡγουμένῳ μονῆς τῆς ἐν Χρυσοπόλει.[4]

(Δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.—Ματθ. Γ', 9.)

Τὸ "*δύναται ὁ Θεὸς καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ*" οἱ μὲν πρὸ ἡμῶν τοὺς ἐξ ἐθνῶν πεπιστευκότας ἐξειλήφασιν, οἳ καὶ κατὰ λίθους καὶ πέτρας πεπωρωμένην καὶ ἀναίσθητον τὴν καρδίαν ἔχοντες (*τί γὰρ τοῦ λίθοις καὶ ξύλοις προσκυνεῖν εἰς πώρωσιν καὶ ἀναισθησίαν ἀτοπώτερον;*), ὅμως ἐκεῖθεν διαῤῥαγέντες, *εἰς σπέρμα τῷ Ἀβραὰμ διὰ τῆς πίστεως ἐξανέστησαν, καὶ διὰ παντὸς ἐξανίστανται.*[5] Εἰ δὲ καὶ τῆς λέξεως εἰπεῖν καὶ τῆς ἱστορίας ἐγγύτερον οὐκ ἀδόκιμον, οὐδ' ἐκεῖνο παροπτέον, ὅτι τὸ *ἄῤῥητον καὶ ὑπερφυὲς καὶ παντουργὸν καὶ παντοδύναμον τῆς θείας βουλήσεως ὁ βαπτιστὴς παραστῆσαι βουλόμενος, ταῦτα ἐφθέγξατο, ἐκεῖνο ὑποδηλῶν, ὅτι, ὥσπερ κατ' ἀρχὰς βουληθεὶς ὁ Θεὸς ἐκ πηλοῦ τὸν ἄνθρωπον διεπλάσατο, οὕτω καὶ νῦν ἐκ τῶν συγγενῶν λίθων καὶ ὁμοστοίχων τῷ πηλῷ ῥᾴον, εἰ βούλοιτο, μεταπλάσας, εἰς σπέρμα καὶ τέκνα τῷ Ἀβραὰμ ἀναστήσειεν. Σὺ δέ μοι καὶ τρίτον ἐννόει τῶν εἰρημένων, ἵνα μὴ λέγω ἐγγύτερον, οὐδετέρου τέως μακρότερον. Ὡς ἐξ ἐκείνων τῶν λίθων, οὓς ὁ Πρόδρομος ὑποδεικνὺς ἔλεγε, "*δύναται ὁ Θεὸς ἐκ τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ,*" ἐπ' αὐτοῖς ἔργοις ἔστι θεά-*

---

[1] *Παρ' Οἰκον.—καθαρεύει.*

[2] *Ἡρόδ. Β', 104· καὶ Διόδωρ. Λ', 28. Ὅρα καὶ "περὶ τῶν Ο' ἑρμηνευτῶν" Τόμ. Δ', σελ. 38. (σημ. Οἰκονόμου.)*

[3] *Φίλων Ἰουδ. Τόμ. Β', σελ. 220, ἔκδ. Μ. καὶ Ἰώσηπος κατὰ Ἀπίωνος Α'. 23. (σημ. Οἰκονόμου.)*

[4] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΖ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΙ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΟΖ'.*

[5] *Οὕτως ἄμεινον παρ' Οἰκονόμῳ, ἢ παρὰ τοῖς ἄλλοις—διὰ τῆς πίστεως ἐξανίστανται—ἀβλεψίᾳ, ὡς ἔοικε, τυπογραφικῇ τεσσάρων ἐκπεσουσῶν λέξεων (ἐξανέστησαν, καὶ διὰ παντός) ἐν τῇ Μοντακουτίου συλλογῇ· ἐξ ἧς καὶ Μίγνιος τὴν ἐπιστολὴν ταύτην μετατυπώσας ἐν τοῖς Ἀμφιλοχίοις, τῷ αὐτῷ ὑπέπεσεν ἁμαρτήματι.*

Digitized by Google

σασθαι καὶ τέκνα τῷ Ἀβραὰμ ἀνιστάμενα, καὶ περατουμένην τὴν πρόῤῥησιν. Ὅτε γὰρ τὸ τοῦ Κόσμου σωτήριον ἐτελεῖτο πάθος, τότε, τῶν λίθων ἐκείνων καὶ πετρῶν μετὰ τῶν ἄλλων σχιζομένων, πολλοὶ καὶ τῶν ἐθνικῶν καὶ τῶν Ἰουδαίων, μέσας αὐτάς που τὰς πεπωρωμένας καρδίας διαῤῥαγέντες τῷ θαύματι, εἰς τὴν τοῦ Χριστοῦ πίστιν ἐθεμελιώθησαν, καὶ τῶν τέκνων τοῦ Ἀβραὰμ τῷ τε[1] γένει καὶ τοῖς κλήροις ἐναπεγράφησαν. Προῆκταί σοι τοίνυν, ὡς ὁρᾷς, κατά τε θεωρίαν καὶ ἱστορίαν ἡ ἑρμηνεία· διπλῆν δὲ τὴν ἱστορίαν, τὴν μὲν προγεγενημένην, τὴν δὲ ἐπιγεγονυῖαν, καὶ δι' ἑκατέρας τὸ δημιουργὸν καὶ ἀπειροδύναμον τῆς θείας βουλήσεως θεωρούμενον.

ΕΠΙΣΤΟΛΗ ΜΖ'.—47.

Σάβᾳ Πρεσβυτέρῳ καὶ Ἡσυχαστῇ.[2]

(Πῶς ἐννοητέον τὸ "ὁ Πατήρ μου μείζων μου ἐστίν."—Ἰωάν. ΙΔ', 28.)

Τὴν "ὁ Πατήρ μου μείζων μου ἐστί" τοῦ Εὐαγγελίου φωνὴν διαφόρως οἱ Πατέρες ἡμῶν ἐξειλήφασι, μηδεμιᾶς λυμαινομένης τῇ ἀληθείᾳ ὑπολήψεως. Οἱ μὲν γάρ φασι τῷ αἰτίῳ μείζονα εἰρῆσθαι, ὅπερ οὐκ οὐσίας παραλλαγήν, ταὐτότητα δὲ μᾶλλον καὶ συμφυΐαν παρίστησιν· ἅπας γὰρ πατὴρ τοῦ υἱοῦ τῷ αἰτίῳ καθηγούμενος, συσφίγγει μᾶλλον δι' αὐτοῦ καὶ συνδιακρατεῖ τὴν τῆς οὐσίας ἑνότητα, κἂν ὁ σκεδασμὸς τῶν ὑποστάσεων τοσοῦτος, μάλιστα τοῖς γεννητοῖς, ἐκ μυρίων ῥέων καὶ πληθυνόμενος περιστάσεων, εἰς ἑτερότητα ἐκβιάζηται· ὁμοουσιότητος ἄρα καὶ συμφυΐας τὸ μείζω εἶναι τῷ αἰτίῳ τὸν Πατέρα τοῦ Υἱοῦ, ἀλλ' οὐδαμῶς γε τῆς κατ' οὐσίαν ἑτερότητος.

Ἄλλοι δὲ τὸ "μείζων" κατὰ τὸ ἀνθρώπινον εἰλήφασι·[3] φασὶ γάρ, ὥσπερ τὸ πορεύεσθαι πρὸς τὸν Πατέρα, καὶ τὸ μηκέτι πολλὰ μετὰ τῶν μαθητῶν λαλεῖν, καὶ τὸ ἔρχεσθαι τὸν τοῦ Κόσμου ἄρχοντα, καὶ ἐρευνῶντα μηδὲν εὑρίσκειν ὅλως [ἐν αὐτῷ[4]]· ὥσπερ δὴ ταῦτα τοῦ προσλήμματος ἦν, οὐ τοῦ Λόγου, οὕτω καὶ τὸ "ὁ Πατήρ μου μείζων μου ἐστί·" μεταξὺ γὰρ ἐκείνων τοῦτο, καὶ παραπλησίως αὐτοῖς εἴρηται.[5] Τινὲς δὲ περὶ μὲν τοῦ

---

[1] Παρ' Οἰκον.—γε.

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΨΔ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΨΕ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΟΣΤ'. Ὁ δὲ Σάβας, πρὸς ὃν ἡ παροῦσα ἐπιστολή, ἐπονομάζεται καὶ Ἡσυχαστής, τοῦτ' ἔστι Μοναχὸς ἐν ἰδίῳ οἰκήματι διαβιῶν, καὶ τοῖς ἄλλοις μὴ ὢν ὁμοτράπεζος. Τῶν γὰρ μοναχῶν, τῶν ἐν μιᾷ καὶ τῇ αὐτῇ μονῇ ἀσκουμένων, ὅσοι μὲν τῆς κοινῆς μετεῖχον τραπέζης, οὗτοι ἐκαλοῦντο κοινόβιοι ἢ κοινοβιάται· εἰ δέ τινες ἐν ἰδίῳ διητῶντο οἰκήματι, τῆς κοινῆς τραπέζης μὴ μετέχοντες, οὗτοι ἐκαλοῦντο ἡσυχασταὶ ἢ ἡσυχάζοντες ἢ ἀναχωρηταί. Περὶ δὲ τῆς πρώτης συστάσεως τοῦ Μοναχικοῦ βίου ἔν τε τῇ Ἀνατολῇ καὶ τῇ Δύσει ἴδε ἐν Εὐαγγελ. Κήρυκι (Ἔτ. Α', σελ. 465 κ. ἑξ.).

[3] Παρ' Οἰκον.—ἐξειλήφασι.

[4] Ἐκ διορθ. Οἰκον. ἡ προσθήκη τῶν ἐν ταῖς ἀγκύλαις δύω λέξεων.

[5] Ἰωάν. ΙΔ', 28—31.

Digitized by Google

Λόγου τὸ μεῖζον συνεχώρησαν· οὐχ ἁπλῶς δὲ τοῦτο καὶ κατ' οὐσίαν, ἀλλ' εἴπερ ἐστὶν ἡ ἐνανθρώπησις ἄκρα κένωσις καὶ ταπείνωσις, καθ' ὃ κεκένωκεν ἑαυτὸν ὁ Λόγος καὶ τεταπείνωκε,[1] δούλου μορφὴν ὁ Δεσπότης ὑπελθών,[2] δῆλον, ὅτι τοῦ μηδαμῶς ὑποστάντος τὴν κένωσιν καὶ ταπείνωσιν ἀκολούθως λέγοιτ' ἂν τὸ ἔλαττον ἀπενέγκασθαι· ἐν μείζοσι γὰρ ὑπεροχαῖς κατ' αὐτό γε τοῦτο ὁ ἀκένωτος τοῦ κεκενωμένου μείζων ἐστί,[3] καὶ ὁ τῆς ἰδίας ὑπεροχῆς μηδὲν καθυφεὶς[4] τοῦ μέχρι καὶ τῶν ἐπονειδίστων παθῶν (σταυροῦ, φημί, καὶ θανάτου) διεληλυθότος τῆς ἀνθρωπίνης φύσεως.

Ἐκδέξαιτο δ' ἂν τις οὐκ ἀπεικότως καὶ πρὸς τὴν τῶν μαθητῶν διάνοιαν εἰρῆσθαι τὸν λόγον. Ἐπεὶ γὰρ ἔτι ἀτελῶς οὗτοι διέκειντο περὶ τὸν Θεὸν καὶ Διδάσκαλον, μείζονά τε πολλῷ τὸν Πατέρα ἐνόμιζον, τοῦτο μὲν τῶν Μωσαϊκῶν νόμων ἐμφανέστερον αὐτοῖς τὸν Πατέρα ἢ τὸν Υἱὸν καταγγελλόντων, τοῦτο δὲ καὶ τοῦ Σωτῆρος ἄνω καὶ κάτω περιστρέφοντος αὐτοῖς τὸν Πατέρα· ἐπεὶ οὖν τοιαύτη τις αὐτοῖς ἐνεστήρικτο ἡ δόξα (διὰ γὰρ τοῦτο καὶ ἔλεγον, "δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν"), πρὸς τὴν ἐκείνων ὑπόληψιν ἀποτεινόμενος, ἴσταται τοιοῦτόν τι λέγων ὁ Σωτήρ·[5] "ἀσύμφωνα ταῖς σφῶν ὁμολογίαις διαπράττεσθε,[6] λύπῃ διδόντες ἑαυτούς, ὅτι περ ἔφην, πορεύομαι πρὸς τὸν Πατέρα· εἰ γὰρ ἠγαπᾶτέ με (δοκεῖ δὲ ὑμῖν καὶ μείζων εἶναι ὁ Πατήρ), χαίρειν ὑμᾶς ἔδει, διότι πρὸς τὸν μείζονα πορεύομαι· τοῦτον γὰρ καὶ ὑμῖν, εἴγε μόνον ὑποδείξαιμι, ἀντὶ πάντων ἐξαρκέσειν διετείνεσθε." Ἀλλὰ γὰρ καὶ κατὰ ταύτην τὴν διάνοιαν μείζονα λελέχθαι τὸν Πατέρα παρὰ τοῦ Υἱοῦ εἴ τις ἐκδέχοιτο, οὐκ ἂν ἀπενεχθείη τοῦ πρέποντος.

Οὐδὲν δὲ ἴσως κωλύει καὶ ῥῆμα τοῦτο ὑπολαβεῖν συγκαταβάσεως, διὰ τὴν τῶν ἀκροατῶν ἀσθένειαν ἐσχηματισμένον πρὸς τὸ ταπεινότερον· ἔστι γὰρ[7] πολλὴ καὶ τῶν τοιούτων λόγων ἡ οἰκονομία ἐπὶ κέρδει καὶ σωτηρίᾳ τῶν τὰ τελεώτερα μήπω φέρειν δυναμένων, ὥσπερ καὶ τὸ "ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον πέμψει·"[8] καὶ τὸ "εὐχαριστῶ σοι, ὅτι πάντοτέ μου ἀκούεις,"[9] καὶ μυρία ἄλλα. Πόθεν οὖν δῆλον, ὅτι ταῦτα πρὸς τὴν ἀσθενοῦσαν ἀκοὴν ἐσχημάτισται; αὐτὸς ὁ Σωτήρ, ἡ πηγὴ τῆς σοφίας καὶ συνέσεως ἄβυσσος,[10] ἑαυτὸν ἑρμηνεύων ἐδίδαξεν εἰπών· "ἐγὼ δὲ ᾔδειν, ὅτι πάν-

---

[1] Οὕτως ἄμεινον παρ' Οἰκον., ἅτε δὴ σύμφωνον πρὸς τὸ "κεκένωκεν," ἀντὶ—ἐταπείνωσε—παρὰ τοῖς ἄλλοις.

[2] Καὶ τοῦτο κατ' Οἰκον. προειλόμην γράφειν, ἀντὶ—μορφὴν δούλου ὑπελθὼν—παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον. ἄνευ τοῦ—μείζων ἐστί.

[4] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—καθαφεὶς—παρὰ τοῖς ἄλλοις.

[5] Ἐλλείπουσαν παρὰ Μοντακ. τὴν Ὀνομ. "ὁ Σωτὴρ" προσέθηκα ἐξ Οἰκον.

[6] Ταύτην προειλόμην τὴν γραφὴν ἐξ Οἰκον. ἀντὶ τῆς παρὰ Μοντακ.—τοιοῦτόν τι λέγων αὐτοὺς ἀσύμφωνα . . . διαπράττεσθαι·—ἐκ γὰρ τῶν ἑπομένων κατάδηλον γίνεται, ὡς ἀρχὴ λόγου ἐστὶ πρὸς δεύτερον ἀποτεινομένου πρόσωπον, καὶ ἐν τῷ "διετείνεσθε" τελευτῶντος.

[7] Παρ' Οἰκον.—ἔστι γάρ, ἔστι πολλὴ κ.τ.λ.

[8] Ἰωάν. ΙΔ', 16.

[9] Ἰωάν. ΙΔ', 41.

[10] Παρ' Οἰκον.—καὶ τῆς γνώσεως ἄβυσσος.

Digitized by Google

τοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας."[1] Ἀλλὰ γὰρ κατ' ἐπιστολὴν ἀποχρώντως οἶμαί σοι ἔχειν τοῦ ζητηθέντος τὴν μάθησιν.

ΕΠΙΣΤΟΛΗ ΜΗ'.—48.

Τῷ αὐτῷ[2]

(Πῶς οὐ μάχεται τὸ "Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου πολλαὶ μοναί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν, πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν" πρὸς τὸ "Ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον."—Ἰωάν. ΙΔ', 2 καὶ 3.)

Οὐ μάχεται κατὰ διάνοιαν τὸ "Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν, πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν," καὶ τὸ ἐφεξῆς εἰρημένον, "Ἐὰν πορευθῶ, ἑτοιμάσω ὑμῖν τόπον·" τῇ μὲν γὰρ προνοίᾳ καὶ προγνώσει, ἤ, εἰ βούλει, τῇ οὐσιώσει καὶ τῇ ὑπάρξει πάντως ἅπασιν, ὅσοι τῆς οὐρανίου δόξης ἀξίως ἐπολιτεύσαντο, τῷ Θεῷ τῶν ὅλων οἱ τόποι προητοιμάσθησαν· ἐγκαινίζων δὲ αὐτούς, καὶ μονὰς δεικνὺς ὡς ἀληθῶς, εἴπερ κυρίως μοναί, αἷς οἱ μένοντες ἐναυλίζονται, οὐδεὶς οὐδαμοῦ μέχρι τοῦ σωτηρίου σταυροῦ καὶ τῆς εἰς ᾅδου καθόδου καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου τοῦ Δεσπότου ἐπιδέδειχεν·[3] αὐτὸς δὲ μετὰ τοῦ προσλήμματος εἰς οὐρανοὺς ἀναβάς, καὶ πρόσφατον ἡμῖν ὁδὸν καὶ ζῶσαν κατὰ τὸν μακάριον Παῦλον ἐγκαινισάμενος,[4] ἑτοιμοτέρας τῷ ὄντι, καὶ μονονουχὶ βλεπομένας τοῖς ἀξίοις, τὰς ἐκεῖσε μονὰς ἀπειργάσατο. Ὥστε καὶ παρὰ τῷ Πατρὶ αἱ μοναί, καὶ ὁ Υἱὸς ταύτας πορευθεὶς ἡτοιμάσατο.

ΕΠΙΣΤΟΛΗ ΜΘ'.—49.

Γεωργίῳ Διακόνῳ καὶ Ξενοδόχῳ.[5]

(Πῶς οἱ Ἀπόστολοι ἰδιῶται ὄντες ῥητόρων καὶ φιλοσόφων περιεγένοντο.)

Εἰ νοῦς μὲν γραμμάτων, νοῦ δὲ ἡ θεία χάρις ἀσυγκρίτῳ μέτρῳ πλεονεκτεῖ, μηδὲν

---

[1] Ἰωάν. ΙΑ', 42.

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΝΕ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΝΣΤ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΟΖ'.

[3] Παρ' Οἰκον.—ἐπιδέδεικται.

[4] "Ἔχοντες οὖν, Ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τοῦτ' ἔστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ." (πρὸς Ἑβρ. Ι', 19—23.)

[5] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΠΘ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΒ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΞΑ'.

Digitized by Google

θαυμάζῃς,[1] *εἰ οἱ Ἀπόστολοι, τὸ πλέον καὶ μέγιστον*[2] *λαβόντες, τῶν ἐπὶ τῷ ἐλαχίστῳ μέγα φρονησάντων, ῥητόρων λέγω καὶ φιλοσόφων, κατὰ κράτος περιεγένοντο.*

ΕΠΙΣΤΟΛΗ Ν'. — 50.

Θεοφάνει Διακόνῳ καὶ Πρωτονοταρίῳ,[3]

αἰτησαμένῳ ὡς δῆθεν ἐξ ἑαυτοῦ λύσιν ἀποριῶν, ἐκ βασιλικοῦ δὲ τῇ ἀληθείᾳ προστάγματος τὴν ἀξίωσιν πεποιηκότι.[4]

(Πῶς ἐσοφίσατο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπους καὶ ὑπὲρ Γαιθὰν τὸν Ἰσραηλίτην.—Γ'. Βασιλ. κεφ. Δ', 31.) κ.τ.λ.

Ἄνθρωπε τοῦ Θεοῦ, τί παθών, τί δὲ διανοηθείς, μετὰ τοσοῦτον χρόνον μακρόν, μετὰ λήθην ἡμῶν οὕτω βαθεῖαν, μετὰ φοβερὰν καὶ ἀνιστόρητον ὑπὸ τῶν ποτε φιλούντων ἀμνηστίαν, μετὰ τοσούτων πεῖραν δυσχερῶν, μετὰ τηλικαύτην ἐκ καταδίκης (οὐ λέγω ποίας) σιγήν, ἐκεῖνα προτείνειν ἔγνως, ἃ τοῖς ἐνευημεροῦσι τῷ παρόντι βίῳ καὶ φιλυσοφοῦσιν ἀκμαιότερον πολυπραγμονεῖσθαι εἴωθεν; Ἡμεῖς δὲ καὶ αὐτῆς ἡμῶν τῆς ζωῆς πάλαι τοῖς κακοῖς ἐναπομαρανθείσης, τὸ πλέον τεθνήκαμεν· καὶ νῦν οἷά τις εἰκὼν ἀμυδρά, καὶ μικροῦ μηδ' ἐπιγινωσκομένη[5] *τῆς παλαιᾶς ἐκείνης ἀγωγῆς καὶ φιλομαθείας, τῷ ταλαιπώ-*

---

[1] *Οἰκον. εἰκάζει γραπτέον εἶναι—θαυμάσῃς—ὅπερ κανονικόν ἐστι καὶ ὀρθόν· ἀλλ' ἡ τοιαύτη τοῦ κανόνος παράβασις, συνηθεστάτη νῦν ἐν τῇ κοινῇ ἡμῶν γλώσσῃ, ἐξ ἐκείνου (εἰ καὶ μὴ πρότερον) ἐγίνετο, ὡς φαίνεται. Οὕτω γὰρ καὶ νῦν λέγομεν—μὴ τρέχῃς (ἀντί, μὴ τρέχε)—μὴ βλέπῃς (ἀντί, μὴ βλέπε)—μὴ πηδᾷς (ἀντί, μὴ πήδα) κ.τ.λ. Κατὰ δὴ ταῦτα καὶ τὸ—μὴ θαυμάζῃς—μᾶλλον ἂν διορθοῖτο "μὴ θαύμαζε·" οὐ γὰρ ἔμελλε θαυμάσειν, ἀλλ' ἤδη θαυμάζοντι μὴ θαυμάζειν ἀπαγορεύει· ἄλλως τε δὲ καὶ ἡ τοῦ Ἀπαγορευτικοῦ μὴ πρὸς Ἀόριστον Ὑποτακτ. σύνταξις ἀμετάβλητος ἡμῖν τετήρηται. Λέγομεν γὰρ—μὴ φύγῃς—μὴ φάγῃς—μὴ τρέξῃς—μὴ πέσῃς κ.τ.λ.—μόνην δὲ τὴν πρὸς Ἐνεστῶτα Προστακτ. σύνταξιν τοῦ μὴ μεταβάλομεν, ἀείποτε ἀντ' ἐκείνου Ὑποτακτ. ἐνεστῶτι χρώμενοι.*

[2] *Παρ' Οἰκον.—τὸ καὶ πλέον μέγιστον'—ἀλλ' ἄμεινον ὡς παρὰ Μοντακ.*

[3] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΣΤ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΙΕ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΜΑ'.—Περὶ δὲ τοῦ ἀξιώματος "Πρωτονοτάριος" σημειωτέον, πρῶτον μέν, ὅτι παρὰ μὲν Μοντακ. γέγραπται "Ἀνοταρίῳ" παρὰ δὲ Οἰκονόμῳ "Νοταρίῳ·" ἐγὼ δὲ "Πρωτονοταρίῳ" ἔγραψα, εἰκάζων εὐλόγως τὴν γραφὴν "Ἀνοταρίῳ" ἐκ τῆς "Α' νοταρίῳ" προελθεῖν, καθάπερ δὴ καὶ ἐκ τῆς "Α' σπαθάριος" προῆλθεν ἡ "Ἀσπαθάριος." Ἴδε τὰ περὶ τούτου σημειωθέντα ἐν τοῖς ἔμπροσθεν (Ἐπιστ. Ζ')· ἔπειτα δέ, ὅτι τὸ νοτάριος Λατινική ἐστι λέξις (notarius=ὑπογραφεύς, γραμματεύς), ἐξ ἧς μετὰ τοῦ "πρῶτος" συντεθείσης προῆλθεν ἡ ἀνάμικτος "πρωτονοτάριος," ὡς καὶ Πρωτοασηκρῆτις ἐκ τοῦ πρῶτος a secretis. Ἴδε καὶ περὶ τούτου ἐν τοῖς ἔμπροσθεν (Προλεγ. σελ. 27). Ἦν δὲ ὁ Πρωτονοτάριος ἀξιωματικὸς τῆς Ἐκκλησίας, πρώτην κατέχων τάξιν ἐν τῇ δευτέρᾳ πεντάδι, οὗ τὸ ἔργον οὕτως ὁ Κ. Κουρουπαλάτης ὁρίζεται· "Ὁ Πρωτονοτάριος δῆλος καὶ ἀπὸ τοῦ ὀνόματος· πρῶτος γὰρ τῶν νοταρίων, ἤτοι τῶν γραμματικῶν." (Περὶ ὀφφικίων τοῦ παλατίου καὶ τῆς Μ. Ἐκκλησ. σελ. 4 καὶ 41. ἔκδ. Βόννης· ἴδε καὶ τὰς αὐτόθι σημ. τοῦ Γρετσέρου καὶ Γοαρίου.)*

[4] *Πότε καὶ πόθεν τὴν παροῦσαν ἔγραψε Φώτιος ἐπιστολήν, ἴδε ἐν τοῖς Προλεγομένοις* (σελ. 67, σημ. 1).

[5] *Οὕτω κατ' Ὀνομαστ. γέγραπται παρά τε τοῖς ἄλλοις καὶ Οἰκονόμῳ αὐτῷ, πρὸς τὸ "εἰκὼν ἀμυδρά"*

Digitized by Google

ρῳ τούτῳ σαρκίῳ (ᾧ μέχρι τίνος φιλοζωήσεις;[1]) περιπλανώμεθα. Ἓν μόνον ἡμῖν φιλοσοφεῖται, ὁ θάνατος, κἀκεῖνος παραλυπῶν, ὅτι βραδύνει, καὶ οὐκ ἀπάγει θᾶττον τῶν θλίψεων, αἷς ἀδιαλείπτως, οὐκ ἐνδιδόντων τῶν ἐπιτιθεμένων, συνεχόμεθα.[2] Πλὴν εἰ γέγονέ ποθεν φίλον (ὡς οὐκ οἶδ' ἀνθ' ὅτου) οἷς ἀκμάζει μὲν τὰ τῆς εὐδαιμονίας, ῥητόρων δ' ἀγέλαι χαίρουσιν ὑπηρετεῖν τῇ γλώττῃ, καὶ τῆς ἐκ τάφων φωνῆς ἐπακοῦσαι, φθέγξεται μὲν τὸ ἐμὸν εἴδωλον (οὕτω γὰρ εἰπεῖν τοῖς παροῦσιν οἰκειότερον· τάχα γὰρ καὶ γραφὴ τὴν σιγὴν ἐνεδρεύει, καὶ ζητεῖ πρόφασιν ἄλλης τραγῳδίας)· εἰ δὲ καὶ λοχᾷ τις[3] τοὺς λόγους, πάλαι τῶν λοχώντων[4] πεπειράμεθα· δι' ὃ φθέγξεται μᾶλλον ἢ σιωπήσει· φθέγξεται δὲ βραχέα καὶ ταπεινά, καὶ οἷα εἰκὸς τοῖς οὕτω διακειμένοις ἀποκρίνεσθαι.

Ἐν μὲν οὖν τῷ[5] "Ἐσοφίσατο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπους, καὶ ὑπὲρ Γαιθὰν τὸν Ἰσραηλίτην," καὶ ἑξῆς, πρῶτον μὲν ἐκεῖνο φαμέν, ὡς οὐκ Ἰσραηλίτην εὕρομέν που γεγραμμένον, ὡς αὐτοὶ τὸ ῥῆμα παρέθεσθε (εἰ μήπω καὶ αὐτὴν ἡμῶν τὴν μνήμην προσαφείλοντο αἱ θλίψεις)· ἀλλ' ἀντὶ τοῦ Ἰσραηλίτην Ζαραΐτην[6] ἀνέγνωμεν. Ἰσραηλῖται μὲν γὰρ τὸ Ἰουδαίων ἅπαν φῦλον, καὶ κοινὴν ἕλκει τὴν κλῆσιν τὸ ἔθνος· κοινότητι δὲ χαρακτηρίζειν τινάς, εἰς ἣν ἅπαντας συναναφέρει τὸ γένος, οὐκ ἔστι δικαίαν λαβὴν ἐκφυγεῖν. Ἀλλὰ τοῦτο μὲν ὀρθῶς ἂν εἶη ἔχον, εἰ ἀντὶ τοῦ Ἰσραηλίτης Ζαραΐτης μεταληφθείη. Τὸν δὲ Αἰθὰν ἕνια τῶν ἀντιγράφων Γαιθὰν ὀνομάζει,[7] διωνύμῳ τάχα κλήσει τὸν αὐτὸν ὑποδηλοῦντα. Τὸ μέντοι ἑξῆς τοῦ χωρίου καὶ εἰς δύο σχίζεται ἐδάφη, καὶ διπλῇ ποικίλλεται θεωρίᾳ. Εἰ μὲν γὰρ Αἰμὰν καὶ Χαλκὰδ καὶ Δαρδαλᾶ[8] τὸ ἔδαφος ἀναπτύσσει, παλαιοὺς ἄνδρας ἐπὶ σοφίᾳ γεγενημένους ὑποφαίνει,[9] οἱ κατὰ τὴν Αἴγυπτον προεφήτευσαν, οὕπω

συμφωνοῦσαν· ἔμοιγε μέντοι δοκεῖ ἄμεινον ἂν γεγράφθαι κατὰ Γενικὴν "ἐπιγινωσκομένης," πρὸς τὸ "παλαιᾶς ἐκείνης ἀγωγῆς καὶ φιλομαθείας" συναπτομένην.

[1] Οἰκον. εἰκάζει γραπτέον εἶναι πρωτοπροσώπως—φιλοζωήσω·—ἐνδέχεται μέντοι καὶ ἐπιφωνηματικῶς τοῦτο λέγειν, πρὸς τὸ σαρκίον στρέφων τὸν λόγον· "ὦ! μέχρι τίνος φιλοζωήσεις, σαρκίον;" ἢ καὶ πρωτοπροσώπως "ὦ! μέχρι τίνος φιλοζωήσω;" Καὶ Μοντακ. δὲ τὸ ὦ ἐπιφωνηματικῶς ἐξέλαβεν, ὡς ἐκ τῆς μεταφράσεως αὐτοῦ νοεῖν δίδωσιν· "ô, quousque vivendi desiderio teneberis?" ἐπὶ γὰρ τοῦ Ἑλληνικοῦ ω οὐδὲν οὔτε πνεῦμα οὔτε τόνος ἐπιγέγραπται, ἀλλ' ἁπλῶς "ω μέχρι τίνος φιλοζωήσεις;"

[2] Ἔλεγχός ἐστι ταῦτα τῆς Βασιλείου ὠμότητος, ἀδίκως αὐτὸν ἐν τῷ δεσμωτηρίῳ παντοίαις στερήσεσι καταβλίβοντος. Ἴδε τὰς πρὸς αὐτὸν Ἐπιστολὰς (ὑπ' ἀριθ. 218 καὶ 219) ἐκ τοῦ δεσμωτηρίου γεγραμμένας.

[3] Ἐκ διορθ. Οἰκον. ἡ προσθήκη τῆς ἀντωνυμ.—τις.

[4] Παρ' Οἰκον.—τῶν λόχων—ἀλλ' ἄμεινον ὡς παρὰ Μοντακ.

[5] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—Ἓν μὲν οὖν τὸ—παρὰ τοῖς ἄλλοις.

[6] Βασιλ. Γ', κεφ. Δ', 31, ὅπου γέγραπται "Ζαρίτην" (Βατικ.)· ἄλλ. Ἐσραΐτην. (σημ. Οἰκον.)—Ἐν τῇ ἐκδόσει δὲ τῆς Παλ. Διαθήκης, τῇ τε ἐν Μόσχᾳ καὶ τῇ ἐν Ἀθήναις, γέγραπται "Ἐζραηλίτην."

[7] Οὕτω Βατικανόν· τὸ δὲ Ἀλεξανδρ. Αἰθάμ. (σημ. Οἰκονόμου.)

[8] Οὕτως ἔγραψα κατ' Οἰκον. ἀντὶ—Αἴναν, Χάλκαδ καὶ Κάρδαλα—παρὰ τοῖς ἄλλοις. Οἰκον. δὲ γραπτέον εἶναι εἰκάζει, "Εἰ μὲν γὰρ ἅμα τὸν Αἰθὰν καὶ Αἰμὰν καὶ Χαλκὰδ κ.τ.λ."

[9] Παρ' Οἰκον.—ἀποφαίνει.

Digitized by Google

Μωσέως εἰς αὐγὰς ἡλίου προελθόντος· γονῆς δ' ἄρα εἶεν οὗτοι τοῦ Ζαρᾶ, ὃς ἐκ τῆς Θάμαρ ἐγεγέννητο τῷ Ἰούδα. Ἐνῆν δὲ αὐτοῖς μετὰ τῆς προφητείας καὶ τῆς ἄλλης σοφίας καὶ περὶ ποίησιν ᾠδῶν ἡ φύσις λαχοῦσα τὴν εὐκληρίαν, ὡς καί τινας τῶν ψαλμῶν εἰς τὸ ἐκείνων ὄνομα τὴν ἐπιγραφὴν ἀναφέρειν. Φησὶ τοιγαροῦν ἡ θεία Γραφή, ὡς οὐ μόνον τῶν ἄλλων ἀνθρώπων, ἀλλὰ καὶ τούτων Σολομὼν ἐκράτει τῇ σοφίᾳ. Εἰ δὲ κατὰ θάτερον τῶν λογίων[1] εἶδος ἀποκρύψασθαι μὲν λέγοιτο Σολομὼν ἀνθρώπους πάντας, σοφίσασθαι δὲ καὶ ὑπὲρ Αἰθὰν καὶ ὑπὲρ Αἰμάν,[2] ἐκεῖνο προσῆκεν εἰδέναι· ὡς Αἰθάν τε καὶ Αἰμὰν οὐκ ἐν μνήμῃ, καθάπερ οἱ περὶ Χαλκάδ, κατέλιπον τὴν αὐτῶν σωζομένην δόξαν, ἀλλ' ὑπὸ τοὺς αὐτοὺς χρόνους, ἐν οἷς καὶ Σολομὼν ἐπὶ σοφίᾳ πάντας κατέπληττε θαύματι, καὶ αὐτοί, τοῦτο μὲν μεγέθει φύσεως, τοῦτο δὲ σοφίας πλούτῳ, τῶν ὁμογενῶν ἁπάντων ὑπερέχοντες ὠρῶντο. Καὶ τί ἄλλο ἢ τὴν δόξαν, δι' ὧν ἔφερον τὰ δεύτερα, τῷ βασιλεῖ περιφανεστέραν[3] ἀνεκήρυττόν τε, καὶ τοῖς πέρασι περιηχεῖν κράτος ἦσαν ἄμαχον ἐμπεριειληφότες; Ψαλμῳδοὶ δὲ πρὸς οἷς ἐθαυμάζοντο τοῖς ἄλλοις ἐχρημάτιζον καὶ οὗτοι, διὰ κινύρας, καὶ νάβλας, καὶ κυμβάλων τὰ τοῦ Θεοῦ θαυμάσια μελῳδοῦντες.[4] Ἦν δὲ τῷ μὲν Αἰθὰμ πρόγονος, οἶμαι, ὁ Μεραρί, ὃς εἰς ἀρίθμησιν τῶν παίδων τοῦ Λευὶ τρίτην ἀνεπλήρου τάξιν· ὁ δὲ Αἰμὰν παῖς μὲν ἦν Ἰωήλ, υἱειδοῦς δὲ τοῦ Προφήτου Σαμουήλ, ὃν τὰ λόγια εἰς τὴν Κορὲ συνάπτει συγγένειαν· ἀνεψιαδοῖ δὲ Μωσέως τοῦ νομοθέτου οἱ περὶ Κορέ· ὥστε καὶ τῷ Αἰμὰν ἐκεῖθεν ἡ σωματικὴ ἀπορρύη τοῦ γένους. Ἀλλὰ περὶ μὲν τοῦ πρώτου ζητήματος ταῦτα.

Τὸν δὲ Δαβὶδ ἅπαξ ἴσμεν χρισθέντα, δεύτερον δὲ ἀναγορευθέντα εἰς βασιλέα· καὶ χρισθέντα μὲν ὑπὸ Σαμουὴλ τοῦ Προφήτου, ἀναῤῥηθέντα δέ, πρότερον μὲν ψήφῳ τῆς Ἰούδα φυλῆς ἐν Χεβρών, ἑπτὰ δὲ μεταγενέστερον ἐτῶν παρὰ τῶν ὑπολοίπων φυλῶν, τὴν φθάσασαν κρίσιν συμφώνοις γνώμαις ἐπικροτησάντων· κοινότερον δὲ τὰ λόγια καὶ τὴν προτέραν καὶ τὴν ὑστέραν ὑπὸ τοῦ πλήθους ἀνάῤῥησιν χρίσιν ὀνομάζει.[5] Βασίλειον μέντοι στέφανον φαίνεται περιθέμενος Δαβίδ, ὅσα γε ἐμὲ[6] μεμνῆσθαι, ἡνίκα προπολεμήσαντος Ἰωὰβ ἐν Ῥεβὰθ[7] τῶν υἱῶν Ἀμμὼν τὴν βασιλίδα πόλιν, ἐγγύς τε ἐγκαταστήσαντος τοῦ ἁλῶναι, ἐπιστὰς ὁ βασιλεύς, τέλος ἐπέθηκε τῇ πολιορκίᾳ· τότε γὰρ λάφυρον ἔχων τὸν στέφανον τοῦ Μελχὸμ (ἐβασίλευσε δὲ καὶ αὐτὸς τῶν ἑαλωκότων), ἅτε δὴ κατ' αὐτοῦ τε καὶ παντὸς τοῦ πλήθους ἀδήριτον καὶ λαμπρὰν αὐτῷ περιπεποιημένος τὴν νί-

---

[1] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—λογισμῶν.

[2] Παρ' Οἰκον. ἄνευ τῆς δευτέρας "ὑπέρ."

[3] Παρ' Οἰκον.—περιφανεστέραν τῷ βασιλεῖ.

[4] Α' Παραλειπ. κεφ. ΣΤ', 44.

[5] Α' Βασιλ. κεφ. ΙΣΤ', 13.—Β' Βασιλ. κεφ. Β', 4 καὶ Ε', 3.—Α' Παραλειπομ. κεφ. Γ', 4.

[6] Παρ' Οἰκον—ὅσον ἐμέ.

[7] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—Ῥεμάθ· ἐν δὲ τῇ τῆς Μόσχας ἐκδόσει καὶ τῇ ἐν Ἀθήναις φέρεται—Ῥαββάθ.

Digitized by Google

κην, τῇ ἰδίᾳ περιῆψε κεφαλῇ, λίθῳ μὲν τιμίῳ περιηνθισμένον, ἕλκοντα δὲ σταθμὸν εἰς τάλαντον χρυσίου.[1]

Τὴν δὲ κωλέαν[2] ἡ τοῦ Ἀκύλου ἔκδοσις κνήμην ἀναγράφει· εἴη δ' ἄν, ἀκριβέστερον εἰπεῖν, σκελος, ὅπερ καὶ δυσὶν ἑτέροις ὀνόμασι δηλοῦται· λέγω δή, ὁ μετὰ μηρὸν κωλήν, καὶ τὸ μετὰ τὸν μηρὸν ἀκροκώλιον· τὸ γὰρ τῆς κνήμης ὄνομα διαφόροις πράγμασιν ἐπιπλανᾶται. Εἰώθασι γὰρ καλεῖν κνήμην καὶ τὸ ὄπισθεν μὲν τοῦ σκέλους εἰς μῦν ἐπηρμένον, ὥσπερ τὸ ἔμπροσθεν ἀντικνήμιον.[3] Καὶ αὐτὸ δὲ τοῦτο τὸ συγκείμενον ἔκ τε τοῦ προκνημίου καὶ τῆς παρακνημίδος ἅμα [μετὰ[4]] τῆς ἐπαλειφούσης αὐτὰ σαρκὸς καὶ τῆς δερματίδος ἡ παλαιὰ τῆς Ἑλλάδος γλῶττα κνήμην ὀνομάζει.[5] Παρέθηκε δ' οὖν ὁ Σαμουὴλ τὴν κωλέαν ἐνώπιον τοῦ Σαούλ, τιμὴν αὐτῷ τῶν ἄλλων προαπονέμων, σύμβολον δὲ τὴν τιμὴν ἐξοσιούμενος τῆς βασιλείας, καὶ τοῦ δεῖν αὐτὸν ὑπὲρ τοῦ λαοῦ πάντας ὑφίστασθαι πόνους, καὶ προκινδυνεύειν· δι' ὃ καὶ ἐπήγαγε, "φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι." Τὸ δ' ἐφεξῆς ἔνια μὲν τῶν παλαιῶν γραμμάτων "παρὰ τοῦ λαοῦ," ἔνια δὲ "παρὰ τοὺς ἄλλους" ὑπαγορεύει.[6] Ἀλλ' εἰ μὲν εἴη "παρὰ τοῦ λαοῦ," ἀντὶ τοῦ "ἐνώπιον τοῦ λαοῦ τὸ διαμαρτύριόν[7] σοι προσενήνοχα" σημαίνει· εἰ δὲ "παρὰ τοὺς ἄλλους," ἀντὶ τοῦ "ἐξαίρετόν σοι παρὰ τοὺς ἄλλους προκρίτῳ μερίδι τὴν τιμὴν ἀνῆψα." Εἴη δ' ἂν τὰ μέλη ταῦτα τοῦ σώματος καὶ εἰκόνα φέροντα τῆς βασιλείας· ὥσπερ γὰρ ταῦτα τῷ σώματι τοῦ ζώου βραχύτερα πολλῶν μελῶν ὄντα, ὅμως ὑπεστήρικται, καὶ ἀναβαστάζει τὸν ὅλον τοῦ συγκρίματος ὄγκον, οὕτω καὶ ἡ βασιλικὴ στερρότης, καίτοι ἐφ' ἑνὶ ἀνδρὶ συστελλομένη καὶ σαλεύουσα, σύμπαν τὸ σῶμα τῆς πολιτείας ἀνέχει τε καὶ ὑπερείδει, καὶ οὐκ ἐᾷ εἰς αὐτὴν[8] καταπεσεῖν τε καὶ περιθραυσθῆναι.

Ἀλλὰ ταῦτα μὲν ἴσως καὶ φωνῆς εἰδώλου περιεργότερον.[9] Σὺ δὲ ψυχῇ καὶ σώματι

---

[1] *Β' Βασιλ. κεφ. ΙΒ', 30.*

[2] *Ἐν τῇ παραγράφῳ ταύτῃ τὸ τρίτον ἐξετάζεται ζήτημα, ὅπερ ἐστί· "Καὶ ὕψωσεν ὁ μάγειρος τὴν κωλέαν καὶ τὸ ἐπ' αὐτῇ, καὶ παρέθηκεν αὐτὴν ἐνώπιον Σαούλ." (Α' Βασιλ. κεφ. Θ', 24.)*

[3] *Ἐκ διορθ. Οἰκον. ἀντὶ—καὶ τὸ ἔμπροσθεν ..... ὥσπερ τὸ ὄπισθεν—παρὰ τοῖς ἄλλοις. Ἐμοὶ δὲ δοκεῖ καὶ τὸν σύνδεσμον ΜΕΝ προστεθεῖσθαι ἐξ ἀβλεψίας τῶν ἀντιγραφέων· ἢ γραπτέον ἴσως ἀντ' αὐτοῦ "μέρος."*

[4] *Ἐκ διορθ. Οἰκον. ἡ προσθήκη τῆς προθέσεως "μετά," εἰ καὶ σύνηθες ἦν τοῖς τότε γενικῇ τὸ "ἅμα" συντάσσειν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν (σελ. 140. σημ. 2) ἐσημειωσάμεθα.*

[5] *Ταῦτα τὰ τοῦ Φωτίου περὶ τῆς κνήμης (μετὰ τῶν σημειωθέντων γραφικῶν σφαλμάτων) ἐμνημόνευσε καὶ Οἰσχέλιος ἐκ τῆς ἔτι τότε ἀνεκδότου ἐπιστολῆς ἐν ταῖς εἰς τὸν Φρύνιχον σημειώσεσι (λ. κωλύφιον, σελ. 27, ἔκδ. Pauw.)—σημ. Οἰκονόμου.*

[6] *Τὸ Βατικ.—παρὰ τοὺς ἄλλους—τὸ δέ Ἀλδ. "παρὰ τοῦ λαοῦ." (σημ. Οἰκον.)*

[7] *Ὀρθῶς Οἰκον. εἰκάζει γραπτέον εἶναι—τόδε μαρτύριον'—οὐ γὰρ εὕρηται ἐν οὐδετ. γένει τὸ σύνθετον "διαμαρτύριον," ἀλλὰ μόνον ἐν θηλυκῷ "διαμαρτυρία."*

[8] *Ἴσως ἐγέγραπτο τὴν ἀρχὴν "αὐτὴν" ἄνευ τῆς προθέσεως.*

[9] *Εἶπε γὰρ ἐν τέλει τῆς ά παραγράφου· "φθέγξεται μὲν τὸ ἐμὸν εἴδωλον,..... φθέγξεται δὲ βραχέα καὶ ταπεινά."*

Digitized by Google

ἔῤῥωσο, καὶ μηκέτι τοῖς ἐν ᾅδου τὰ τοιαῦτα πρότεινε· ἀλλ' ἐκείνοις, οἷς τὰ κατὰ τὸν βίον εὑροεῖ, καὶ ὁ νοῦς καὶ οἱ λόγοι καὶ αἱ χεῖρες οὐ παρείθησαν.

ΕΠΙΣΤΟΛΗ ΝΑ'.—51.

Τῷ ἐπερωτήσαντι,

πῶς δυνατὸν μὴ ἀλῶναι ψεύδει τὸν θεῖον Ἀπόστολον, Ἰουδαῖον ἑαυτὸν καὶ Ῥωμαῖον ἀποφηνάμενον, καὶ ποτὲ μὲν Ταρσοὺς ἔχειν πατρίδα, ποτὲ δὲ ἐν τῇ Ῥώμῃ γεννηθῆναι;[1]

Οὔτε Ἰουδαῖον, οὔτε Ῥωμαῖον ἑαυτὸν εἰπὼν ὁ τῆς ἀληθείας μαθητὴς Παῦλος, ἐψεύσατο· οὐδὲ γὰρ οἷόν τε ἦν αὐτόν, ἀληθείας ὄντα κήρυκα, ἐπερείδεσθαι τῷ ψεύδει, μάλιστά γε κριτηρίῳ παριστάμενον, καὶ δίκας ἀπάτης καὶ κακουργίας, ὧν ἦν καθαιρέτης, ὑπὸ Ἰουδαίων εἰσπραττόμενον. Πῶς γὰρ ἂν καὶ ἐθάῤῥησε ψεύδει χρήσασθαι, καὶ τὴν κατ' αὐτοῦ συκοφαντίαν, οἷς ἐξηπάτα, πιστώσασθαι; Ἆρα γὰρ οὐχὶ τὸν παραυτίκα ἐδεδοίκει ἔλεγχον; οὐ τὸν μετὰ ταῦτα; οὐ συνεώρα δέ, ὅτι, ἐκκαλυπτομένου τοῦ δράματος, πρὸς τὸ μηδὲν ἀποκερδᾶναι, καὶ διπλῆς ἑαυτὸν τιμωρίας ἔνοχον παραστήσειεν, ὧν τε τὸ Ἰουδαίων ἔθνος ἐπεκάλει, καὶ ὧν αὐτὸς ἑαυτοῦ κατεψεύδετο; Πῶς δὲ καὶ ὁ Λυσίας,[2] ἀρχῆς ἐφεστώς, καὶ τἀληθὲς ἐξευρεῖν ῥᾴδιον ἔχων, ἀπέστη τοῦ τύπτειν, εἰ μὴ ἐπέπειστο; πῶς δ' ἂν ἐπέπειστο ὑπὸ δεσμίου καὶ πένητος, εἰ μὴ τὰ τῆς ἀληθείας αὐτὸν ἐβιάζετο; πῶς δὲ καὶ Φήλικι γράφων, εἰς Ῥωμαίους τελεῖν τὸν Παῦλον ἀπισχυρίζετο; "Μαθὼν γάρ, φησίν, ὅτι Ῥωμαῖός ἐστιν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην αὐτόν."[3] Ἀλλ' ἐκλάπη καὶ παρεσύρη Λυσίας. Τίνι τέχνῃ; καὶ πῶς ὑπαχθείς; ὁ Φῆλιξ δὲ πῶς

---

[1] *Ἡ αὐτὴ καί ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκονόμου ἔκδ. Ζήτ. ΣΗ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΙΑ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΠΒ'. Περὶ τούτου δέ, τοῦτ' ἔστι περὶ τῆς Παύλου πατρίδος, καὶ ἐν ἑτέραις δυσὶν Ἐπιστολαῖς (ΜΑ' καὶ ΜΒ') ἐπραγματεύσατο.—Ἴδε καὶ Πράξ. ΚΒ' καὶ ΚΓ'. Παράδοξα δὲ σημειοῦται Μοντακούτιος, λέγων μὴ δηλῶσαι Φώτιον τὸ τοῦ ἐπερωτήσαντος ὄνομα, οἱονεὶ κηδόμενον αὐτοῦ, καὶ τῆς ἀτιμίας βουλόμενον ἀπαλλάξαι, ἣν αὐτῷ ἐπιτρίβει τὸ μωρὸν τῆς ἐρωτήσεως, πρὸς ἣν ἐπιμελῶς μέν, οὐ μέντοι καὶ ἐν πᾶσιν ἐπιτυχῶς ἀπαντᾷ Φώτιος. Εἰ γάρ τις τὸν ἐκ παραδόσεως Ἰουδαϊκῆς ληφθέντα λόγον ἐξέλοι, ὃν καὶ Φώτιος αὐτὸς περίτρανα φαίνεται ἀποσκυβαλίζων, οὐδεὶς τῶν λοιπῶν ἕνδεκα, οὓς εἰς ἀπόδειξιν τῆς ἀληθείας προβάλλεται, ἀπίθανος ἂν ἦ βεβιασμένος δόξειεν· ἀλλὰ πάντες ἐξ αὐτῶν Παύλου τῶν λόγων, καὶ ἐκ τῶν πεπραγμένων τοῖς τε Ῥωμαίοις ἄρχουσι καὶ τοῖς διώκουσιν αὐτὸν Ἰουδαίοις, ἀδιάσειστον ἀρύονται τὸ κῦρος. Ὅτι δὲ τοῦ ἐπερωτήσαντος τοὔνομα οὐ δεδήλωται, οὐδέν, οἶμαι, θαυμαστόν· πάνυ γάρ ἐστι πιθανὸν ἐκ τῶν Ἀμφιλοχίων, ἔνθα δῆλός ἐστι πρὸς Ἀμφιλόχιον περὶ τούτου γράφων, τὴν ἐπιστολὴν ταύτην μετενηνέχθαι, ἢ καὶ ἀνεπίγραφον εὑρεθῆναι, οἷαι δή εἰσι καὶ ἄλλαι (Π', ΠΑ', ΠΒ', ΠΓ', ΠΔ'), ἃς ἀνεπιγράφους εὗρε Ῥάβιος ἐν τῇ Ἀνατολῇ.*

[2] *Οὗτός ἐστι Κλαύδιος Λυσίας ὁ χιλίαρχος, ὃς Παῦλον ὑπὸ τῶν Ἰουδαίων τυπτόμενον ἐῤῥύσατο, καὶ πρὸς Φήλικα τὸν Ἡγεμόνα ἀπέστειλε, κριθησόμενον ἐπ' αὐτοῦ. (Πράξ. ἔνθ. ἀνωτ.)*

[3] *Αὐτόθι, 27.*

Digitized by Google

οὐκ ἐφώρασε τὸ κακούργημα, καίτοι καὶ χάριτας τοῖς Ἰουδαίοις ἐκθέσμους κατατιθείς; ἀλλ' ἐν οἷς μὲν ἄνομος ἡ χάρις καὶ λόγον οὐκ ἔχουσα, θερμὸς ἦν[1] ὑπηρέτης, ἐν οἷς δὲ μετὰ τοῦ ὀρθοῦ λόγου χαρίσασθαι ἦν, ἐν τούτοις δὲ ἄρα ῥᾴθυμος καὶ ἀναπεπτωκώς, καὶ οὐδ' εἰς ἀρχὴν τοῦ βουληθῆναι δικαίαν καταθέσθαι χάριν διανιστάμενος; καὶ τίνα ἂν ἔχοι ταῦτα πειθὼ καὶ ἀκολουθίαν; Εἶτα αὐτοὶ δὴ[2] παρόντες οἱ φονῶντες κατ' αὐτοῦ, καὶ πάντα λίθον κινοῦντες (τοὺς Ἰουδαίους λέγω), εἰ διὰ ψεύδους ὁ Παῦλος τὰς βασάνους ἐτεχνάζετο διακρούσασθαι, πῶς οὐκ ἔῤῥηξαν φωνὴν πληροῦσαν τὸ θέατρον; "Ὁρᾶτε, ἄνδρες, ἡλίκον οἷον ἐψεύσατο; ἀπατεών ἐστι καὶ γόης·[3] οὐκ ἔστι Ῥωμαῖος· εὗρεν ὅπως καὶ ὑμᾶς ἀποπλανήσας, τὴν τῶν μαστίγων πεῖραν διαδράσειεν· ἀλλ' ὑμεῖς, ἐξ ὧν ἐτόλμησε καὶ πρὸς ὑμᾶς τερατεύσασθαι, καὶ ὧν ἡμεῖς κατηγοροῦμεν, λαβόντες τὰς πίστεις, κοινοῦ λυμεῶνος τὴν κοινὴν τῶν ἀνθρώπων πολιτείαν ἀπαλλάξατε." Ἀλλ' οὐδὲν τούτων, οὔμενουν, οὔτε εἰπεῖν εἶχον, οὔτε ἐτόλμησαν, οὐ τότε, οὐ μετὰ ταῦτα, καίτοι καὶ δικαστηρίου πάλιν αὐτοῖς κροτηθέντος, καὶ τοῦ φίλου Φήλικος εἰς κρίσιν προκαθεζομένου. Ἀλλ' οὕτως ἦν[4] ἐναργὴς καὶ ταῖς ἁπάντων δόξαις κρατοῦσα ἡ Παύλου ἀλήθεια, ὡς καὶ τῶν ἀναισχύντων Ἰουδαίων, καὶ πάντα λέγειν καὶ πράττειν[5] ἀποτολμώντων, ἐμφράξαι τὰ στόματα. Οὕτω μὲν οὖν πολλαχόθεν ψευδολογίας πάσης ἀνώτερος, Ῥωμαῖον ἑαυτὸν εἰπών, ὁ θεσπέσιος ἀποδείκνυται Παῦλος.

Ἀλλ' εἰ Ῥωμαῖος ἦν, φασί, πῶς αὐτὸς ἐν ἄλλοις τε καὶ ἐν τῇ αὐτῇ δημηγορίᾳ Ἰουδαῖός τε εἶναι καὶ Ταρσοὺς ἔχειν πατρίδα διϊσχυρίσατο; λέγων· "Ἐγὼ μέν εἰμι Ἰουδαῖος, Ταρσεύς,[6] τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης." Πῶς οὖν ἔστιν ἀμφότερα συνδραμεῖν, καὶ Ῥωμαῖον καὶ Ἰουδαῖον τὸν αὐτὸν χρηματίσαι; Πρὸς ὃ φαμεν, ὅτι ἄτοπον οὐδέν· γένει μὲν γὰρ καὶ τῇ κατὰ τὸν[7] Μωσαϊκὸν νόμον ἀγωγῇ Ἰουδαῖος ἐχρημάτιζε, πατρίδα Ταρσοὺς ἔχων, ἐν ᾗ τὰς μητρικὰς αὐτὸς ἔλυσεν ὠδῖνας· τῷ δὲ[8] τὸν αὐτοῦ πατέρα Ῥωμαϊκῇ φιλοτιμίᾳ, ἣ καὶ χρήμασι, Ῥωμαῖον ἐγγραφῆναι, Ῥωμαῖος καὶ αὐτὸς ἐκαλεῖτό τε[9] καὶ ἐτύγχανεν. Δι' ὃ καὶ τοῦ Λυσίου πρὸς αὐτὸν εἰπόντος, "Ἐγὼ πολλοῦ κεφαλαίου τὴν

---

[1] Ἐκ διορθ. Οἰκον. ἡ προσθήκη τοῦ—ἦν.

[2] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—δὲ—παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον.—ἀπατεών ἐστι· γόης ἐστί.—Μοντακ. δὲ διορθοῦται, "ἀπατεὼν οὗτός ἐστι· γόης ἐστίν."

[4] Ἐλλείπει παρ' Οἰκου. τὸ—ἦν—ἐκ παροράματος ἴσως τυπογραφικοῦ.

[5] Οὕτω καλῶς διωρθώσατο Μοντακ. τὸ παρὰ πᾶσι κακῶς, οἶμαι, γεγραμμένον—εἰς τὸ πράττειν.

[6] Οὕτω μὲν γέγραπται ἔν τε τῷ κειμένῳ τῶν ἐπιστολῶν καὶ ἐν Ἀμφιλοχίοις, ὥσπερ δὴ καὶ ἐν τῷ κειμένῳ τῶν Πράξεων (ΚΑ', 39). Μοντακ. μέντοι λέγει γραπτέον εἶναι, "Ταρσοῦ τῆς Κιλικίας, οὐκ ἀσήμου πόλεως κ.τ.λ." οὐ γὰρ πόλις ἡ Κιλικία, ἀλλ' ἡ Ταρσός.

[7] Οὕτως ἐξ Οἰκον. ἀντὶ—κατ' αὐτόν.

[8] Ἐκ διορθ. Οἰκον. ἀντὶ—τὸ δέ.

[9] Παρ' Οἰκον.—ἐκαλεῖτο τότε.

Digitized by Google

πολιτείαν ταύτην ἐκτησάμην," αὐτὸς ἐπήγαγεν, "Ἐγὼ δὲ καὶ γεγέννημαι·"[1] οὐκ ἐν τῇ Ῥώμῃ δῆλον ὅτι (οὐδὲ γὰρ οὐδ' ὁ Λυσίας ἐν ταύτῃ γεννηθῆναι ἐμεγαληγόρει καὶ διετείνετο), ἀλλ' ἐν ταύτῃ τῇ Ῥωμαϊκῇ κλήσει καὶ τῇ πολιτείᾳ, ἐν ᾗ κἀκεῖνος τελεῖν ἀπεσεμνύνετο· πρὸς ὃν καὶ ὁ θεῖος Παῦλος ἀποτεινόμενος ἔλεγε, μονονουχὶ φάσκων, καὶ καθαιρῶν αὐτοῦ τὸ φρόνημα, "ὅτι σὺ μὲν πρόσφατον καὶ ἀπὸ σοῦ προϊέναι ἀπαγγέλλεις τὸ ἀξίωμα, ἐμοὶ δὲ ἄνωθεν ἐῤῥιζωμένον καὶ ἐκ πατρὸς καταγόμενον[2] τῆς δόξης ταύτης καὶ τῆς προσηγορίας ἐκληρώθη τὸ προνόμιον." Διά τοι τοῦτο κἀκεῖνος ἀκούσας καὶ βεβαιωθείς, ὅτι Ῥωμαῖον ὄντα τύπτειν ἐπεχείρει, εἰς δειλίαν καὶ φόβον τὸ θράσος καὶ τὴν ὀργὴν διαλύων, συνεστέλλετο· τιμῆς γὰρ ἀπήλαυον κατ' ἐκεῖνο καιροῦ οὐχ ὅσοι μόνον ἰθαγενεῖς τῆς Ῥώμης ἐτύγχανον, ἀλλὰ καὶ ὅσοις αὐτῆς[3] ἡ κλῆσις νόμῳ χαρίτων ἢ χρημάτων ἐπολιτεύετο.

Οὐδὲν οὖν δύσκολον καὶ τὸν θεῖον Παῦλον, Ἰουδαῖον ὄντα, καὶ Ῥωμαῖον χρηματίσαι· καὶ γὰρ καὶ κατ' ἄνδρα, ὥσπερ ὁ Λυσίας, καὶ πόλεις ὁλόκληροι, τὴν Ῥωμαίων κλῆσιν, ἀλλογενεῖς οὖσαι, εἰς ἑαυτὰς ἐφειλκύσαντο. Καί (ἵνα νῦν τὰ ἄλλα παρῶ) ἄκουσον Φιλιππησίους,[4] ὅπως ἑαυτοὺς Ῥωμαίους ἀποσεμνύνουσιν. Ἡνίκα γὰρ Παῦλος τὸ Πύθωνος πνεῦμα τῆς παιδίσκης ἀπήλασε, καὶ πρὸς ὀργὴν αὐτῆς οἱ κύριοι, δέον εὐχαριστεῖν, ἀνεφλέχθησαν, καὶ τοὺς εὐεργέτας εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας εἵλκυον, οὕτω φασίν· "Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες·" εἶτα· "καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν."[5] Ὁρᾷς, ὅπως οἱ Φιλιππήσιοι Ῥωμαῖοί τε ἐχρημάτιζον, καὶ Ῥωμαίους ἑαυτοὺς ἐξονομάζουσι, τὸ μὲν ἔχοντες ἐκ πατρίδος, τὸ δὲ ἀπὸ ψηφισμάτων; Τί οὖν ἐμποδών, μᾶλλον δέ, πῶς οὐ γεγένηται φανερόν, καὶ τὸν μακάριον Παῦλον Ἰουδαῖον ὄντα, καὶ Ῥωμαῖον εἶναι; Δῆλον δὲ κἀντεῦθεν, ὡς οὐκ ἀπάτης ἦν ἢ ψεύδους πρόσχημα τῷ Παύλῳ τῆς Ῥωμαϊκῆς κλήσεως ἡ οἰκείωσις. Εἰ γὰρ πρὸς ἄλλους μὲν Ἰουδαῖον ἑαυτὸν ἐκάλει, Ῥωμαῖον δὲ πρὸς ἑτέρους, εἶχεν ἂν ἡ τῆς ἀπάτης σκηνή τινα λόγον· εἰ δὲ πρὸς τοὺς αὐτοὺς ἀμφότερα διετείνετο, πῶς οὐ λίαν εὔηθες ὑπονοεῖν, ὅτι ψεῦδος εἰπεῖν μελετήσας, ἐκεῖνο προὔθηκε καὶ προδιωμολογήσατο, δι' οὗ μᾶλλον ἄν τις πεπλασμένα λέγων ἐξελέγχοιτο; Θαῤῥοῦντος γὰρ μᾶλλον ἦν ὡς ἀληθῶς τῇ τῶν πραγμάτων φύσει, καὶ τὴν ἀλήθειαν ἔχοντος διαβολῆς ἀπάσης καὶ ὑπονοίας καὶ ψεύδους ἐναργεστέραν τε καὶ λαμπροτέραν, τὸ πρὸς τοὺς αὐτοὺς καὶ ἐν ὁλοκλήρῳ δήμῳ Ἰουδαῖον ἑαυτὸν ἀνειπόντα, καὶ τὴν πατρίδα ὅτι Ταρσεύς, Ῥωμαῖον ἐφεξῆς ἀποφήνασθαι· καὶ μάλιστά γε, ὅτι οὐχ ἅπαξ, οὐδὲ ὥσπερ λανθάνων, τὸ Ῥωμαῖ-

---

[1] *Πράξ. ΚΒ', 28.*

[2] *Παρ' Οἰκον.—ταττόμενον.*

[3] *Παρ' Οἰκον.—ὅσοις αὐτοῖς·—ὅπερ καὶ ἄμεινον, οἶμαι, ἅτε σύνηθες ὂν Φωτίῳ ἰδίωμα, τὴν αὐτὸς ἀντων. ἐπιτάσσειν ταῖς ἀναφορικαῖς· οὕτω καὶ ἐν Ἐπιστ. Ε', § ιγ', εἶπεν· "ἀλλὰ πολὺ μᾶλλον ἐξυβρίζουσιν οὓς αὐτοὺς κατὰ τοῦ Δεσπότου προκομίζουσιν."*

[4] *Παρ' Οἰκον.—Φιλιππησίων.*

[5] *Πράξ. ΙΣΤ', 20—22.*

Digitized by Google

ος[1] ἐπήνεγκεν· ἀλλὰ καὶ δίς, καὶ εἰς τρίτον, καὶ τὸν χιλίαρχον δεδιττόμενος, ὃ μάλιστα καὶ εἰς ὀργὴν ἐκκαίει, καὶ πρὸς ἀκριβεστέραν καὶ τούς γε μὴ βουλομένους ἀνακινεῖ καὶ διανίστησιν ἔρευναν.

Ἔστι τοίνυν τὸν θεσπέσιον Παῦλον διὰ πλειόνων, ὡς ἐδείχθη, Ῥωμαῖον εἶναι καταμαθεῖν· πρῶτον μέν, ἀπὸ τῆς προσούσης αὐτῷ ἀληθείας, καὶ ὅτι κῆρυξ αὐτῆς ἐγνωρίζετο· δεύτερον δέ, ὅτι καὶ κριτηρίῳ παρεστηκώς, ἑαυτὸν Ῥωμαῖον ἀνεκήρυττε· καὶ τρίτον, ὅτι εἰς ἀπάτην καὶ κακουργίαν συκοφαντούμενος, ἐν ᾧ οὐδὲ τὸν λίαν εὐήθη καὶ ἀναιδῆ ἐνῆν διαψεύσασθαι· καὶ ὅτι οὐχ ἁπλῶς ἀφῆκε ταύτην τὴν φωνὴν καὶ θρυπτόμενος (ὅπερ ἄν τις ἴσως καὶ ὑπερόψοιτο[2]), ἀλλὰ βασάνων ἑαυτὸν ἐξαιρούμενος, καὶ τὸν ἄρχοντα δεδιττόμενος· ἔτι δὲ καὶ ἐξ αὐτοῦ τοῦ πεπεῖσθαι Λυσίαν καὶ ἀποσχέσθαι τῆς ὕβρεως· καὶ ἐκ τοῦ πρὸς Φήλικα δὲ διατείνασθαι,[3] ὅτι Ῥωμαῖον ὄντα τὸν Παῦλον τῆς Ἰουδαϊκῆς μιαιφονίας ἐξείλετο· οὐ μὴν ἀλλὰ καὶ ἐξ ὧν Φήλικι μηδ' εἰς ἐξέτασιν ἐλθεῖν τοιαύτης ὑπονοίας ἐξεγένετο, καίτοι χαρίζεσθαι Ἰουδαίοις προαιρουμένῳ καὶ σπεύδοντι· καί, τὸ σφόδρα ἀναντίρρητον, ὅτι οὐδὲ τῶν Ἰουδαίων ὁ δῆμος παρών, καὶ φονῶν,[4] καὶ πάντα τολμῶν, οὐδ' ἐκεῖνος ἐτόλμησεν ἐπὶ τούτῳ ψευδολογίας αὐτὸν γράψασθαι· πρὸς δέ γε τούτοις, ὅτι καὶ πρὸς τοὺς αὐτοὺς ἄμφω ἔφη, ὡς Ἰουδαῖός τε καὶ Ῥωμαῖος εἴη, ὅπερ οὐκ ἄν τις μὴ λίαν πεποιθὼς τῇ ἀληθείᾳ παῤῥησιάσαιτο· καὶ ὅτι διατεινόμενος καὶ ἐπιμένων τὴν προσηγορίαν προὐβάλλετο· εἰ βούλει δέ, ὅτι καὶ[5] κατ' ἄνδρα καὶ κατὰ πόλεις τὴν Ῥωμαίων κλῆσιν, οὐ ταύτην λαχόντες πατρίδα, πολλοὶ ψηφίσμασιν ἐκληρώσαντο· ἐξ ὧν οἶμαι φανερὸν καὶ ἀναμφισβήτητον καθεστάναι, ὡς ἐν ἀμφοῖν ὁ Παῦλος, εἴπερ τις ἄλλος, ἠλήθευε, Ῥωμαῖον ἑαυτὸν καὶ Ἰουδαῖον ἀποφαινόμενος.[6] Τί οὖν, φασίν, οὐκ ἦν Χριστιανός; Καὶ μάλιστά γε. Πῶς οὖν οὐκ ἐκάλει ἑαυτὸν καὶ τούτῳ τῷ ὀνόματι; Ἐνταῦθα περιττὸν ἦν· ὑπὲρ γὰρ ταύτης τῆς θρησκείας καὶ τῆς κλήσεως πάντα πάσχων καὶ ἐναθλῶν, διεκαρτέρει καὶ ἔχαιρεν· αὐτός τε ἦν ὁ διδασκαλίαις καὶ πόνοις καὶ ἱδρῶσι πρώτην ἁπασῶν πόλεων τὴν Ἀντιόχειαν τῇ τῶν Χριστιανῶν κλήσει παρασκευάσας ἐγκαλλωπίζεσθαι.[7]

Εἰ δὲ δεῖ τι καὶ ἱστορίας ἐπακοῦσαι, λέγεταί τις εἰς πολλὴν ἀρχαιότητα λόγος[8]

---

[1] Παρ' Οἰκον.—Ῥωμαῖον.

[2] Ἐκ διορθ. Μιγνίου, ἀντὶ—ὑπερόψαιτο—παρά τε Μοντακ. καὶ Οἰκον.

[3] Παρ' Οἰκον.—διατείνεσθαι.

[4] Φονῶν = φόνου πνέων, αἵματος διψῶν· οὕτω καὶ ἀνωτέρω (§ ά) εἶπεν, "οἱ φονῶντες κατ' αὐτοῦ·" κακῶς ἄρα ἐν τῷ κειμένῳ τῶν Ἐπιστολῶν ἐγέγραπτο "φωνῶν" = φωνάζων, κραυγάζων, καὶ ὀρθῶς Μοντακ. διορθοῦν παρήνει "φονῶν," ὥσπερ δὴ καὶ παρ' Οἰκον. γέγραπται.

[5] Παρ' Οἰκον.—καὶ ὅτι.

[6] Εἰς ἕνδεκα συγκεφαλαιοῦνται ἐν τῇδε τῇ παραγράφῳ οἱ λόγοι, δι' οὓς ὁ Παῦλος Ῥωμαῖον ἑαυτὸν καὶ Ἰουδαῖον ἀπεφαίνετο.

[7] Πράξ. ΙΑ', 25—27.

[8] Προσέθηκα ἐξ Οἰκον. τὴν λέξιν "λόγος," ἐλλείπουσαν παρὰ τοῖς ἄλλοις. Τὸν δὲ λόγον τοῦτον

Digitized by Google

ἀνηγμένος, ὡς ἡ τοῦ Βενιαμεὶν φυλὴ ἐν Παλαιστίνῃ ῥιζωθεῖσα, μέχρι τῶν τῆς Ἰταλίας μερῶν τὰς βλάστας ὑπεξέτεινεν,[1] αὐτῷ γένει Ῥωμαίων καὶ αὐτῇ Ῥώμῃ χαρισαμένη γένεσίν τε καὶ ὄνομα· ἐξ ὧν ὁ θεῖος Παῦλος, εἰς τὸ τοῦ Βενιαμεὶν αἷμα[2] ἀναγόμενος, Ῥωμαῖος ἂν εἰκότως χρηματίσειεν· ἐγένοντο γὰρ ἀπόγονοι τῷ Βενιαμεὶν ἄλλοι τε οὐκ ὀλίγοι, ἐξ ὧν Ἄραδός[3] τε καὶ πόλεις ἄλλαι καὶ χῶραι τὰς ἐπωνυμίας ἐκληρώσαντο, καὶ δὴ καὶ ἀνήρ τις ὄνομα Ἀρώς,[4] ὃς ἐπὶ τὰ τῆς Ἰταλίας μέρη χωρήσας, καὶ πολλοὺς ἐκεῖσε τοῦ σπέρματος φύσας, καὶ ἐπὶ μέγα δόξης καὶ ἰσχύος ἀνελθών, Ῥώμην τε τὴν ἐπωνυμίαν ἕλκειν ἐξ αὐτοῦ καὶ τὸ Ῥωμαῖον γένος ἔδωκε· τὰς γὰρ Ἑλλήνων ἐπ' αὐτῇ αἰτίας, πολλάς τε καὶ οὐδὲ πρὸς ἀλλήλας συμφωνούσας, οἱ ταῦτα λέγοντες οὐδ' ἀκούουσιν. Ὁ τοίνυν Ἀρώς,[5] ἀπόγονος μὲν ὑπάρχων τοῦ Βενιαμείν, πρόγονος δὲ Παύλου, εἰκότως τὸν ἄνδρα Ῥωμαῖον ἀπέφηνεν, ἐξ αὐτοῦ μὲν τὴν τοῦ πορρωτέρου γένους αἰτίαν, ἐκ δὲ τοῦ Ῥωμαϊκοῦ συστήματος τὴν ἐγγυτέρω φέροντα. Ἀλλ' αὕτη μὲν ἡ ἱστορία, ἡδεῖα[6] μὲν ἀκοῦσαι καὶ ἐπαφρόδιτος, οὐ μήν γε μετὰ τοῦ χαρίεντος καὶ τὴν πειθὼ ἐπιφέρουσα· πολλοῦ γὰρ ἂν ἔγωγε τῆς ἀπ' ἀρχῆς ἀποδεδομένης μοι αἰτίας ταύτην προέταξα, εἰ μὴ λίαν ἀρχαία τε ἦν καὶ πολιωτέρα ἢ πιστεύεσθαι, οὐ[7] τοῖς νῦν μόνον, ἀλλὰ καὶ τοῖς τότε ἀνθρώποις, καὶ οὐδὲν ἐχέγγυον ἔχουσα πρὸς τὸ ἐξελέσθαι Παῦλον τοῦ τύπτεσθαι.

Τούτοις οὖν διαλύσας σου τὰς καλὰς ἀπορίας (καλαὶ γάρ, ὅτι ἀπὸ καλῆς καὶ φιλοπόνου γνώμης καὶ φιλοθέου βλαστάνουσι), καὶ εἴ τι ἄλλο σοι παραστῇ, θαῤῥῶν οὐχ ἡμῖν, ἀλλὰ Παύλῳ καὶ τῷ κοινῷ διδασκάλῳ Παύλου καὶ ἡμῶν, Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν,[8] ἐπερώτα· καὶ ἔῤῥωσο.

Μοντακ. ἀνόητον εἶναι λέγει τῶν Ῥαββίνων ὑπομνηματισμόν, περὶ οὗ Διονύσιος ὁ Ἁλικαρνασεύς, ὁ πάντα τὰ περὶ τούτου ἀκριβῶς ἐξετάσας, οὐδὲν οὐδαμοῦ λέγει. Φώτιον δὲ κἀνταῦθα θαυμάζων, κριτικώτατον ἀποκαλεῖ, ὅτι τὴν ἱστορίαν ταύτην, ὡς ἡδεῖαν καὶ ἐπαφρόδιτον, παρεμβαλών, ἅμα καὶ εἰς λήρους ἀποσκυβαλίζεται, πολιωτέραν εἶναι, λέγων, ἢ πιστεύεσθαι, οὐ τοῖς νῦν μόνον, ἀλλὰ καὶ τοῖς τότε ἀνθρώποις.

[1] *Παρ' Οἰκον.—ἐξέτεινεν.*

[2] *Ἐλλείπει παρ' Οἰκον. ἡ λέξις "αἷμα."*

[3] *Ἄραδος, νῆσος Φοινίκης· ἔστι καὶ ἑτέρα τῆς Ἐρυθρᾶς θαλάσσης· τὸ Ἐθνικὸν Ἀράδιος (Στέφ. Βυζάντιος). Ἀπέχει δὲ τῆς Φοινικικῆς παραλίας σταδίους εἴκοσιν, ὥς φησι Στράβων (Τόμ. Γ', σελ. 183, ἔκδ. Κοραῆ)· καὶ ὅσον ἑπτὰ σταδίους περίμετρον ἔχουσα, ὅμως πολλοὺς εἶχε τοὺς ἐνοικοῦντας, ὥστε πολυορόφους οἰκεῖν τὰς οἰκίας.*

[4] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—Ῥῶς—παρὰ τοῖς ἄλλοις· ἐν μέντοι τῷ τῆς Γραφῆς κειμένῳ (Α' Παραλειπ. Η', 15) γέγραπται Ἀρώδ, καὶ παρ' ἄλλοις Ἀρὰδ καὶ Ὠρήδ, ὡς Οἰκον. σημειοῖ.*

[5] *Οὐκ οἶδ' ὅπως Οἰκον. κατὰ Μοντακ. ἔγραψεν ἐνταῦθα—Ῥῶς—πρὸ μικροῦ γράψας "Ἀρώς."*

[6] *Ἐκ διορθ. Οἰκον. ἀντὶ—ἡδύ—καί, ἡδύς—παρὰ τοῖς ἄλλοις.*

[7] *Παρ' Οἰκον.—μή.*

[8] *Καὶ ἐνταῦθα κακῶς παρ' Οἰκον. δὶς γέγραπται—ὑμῶν—ἐκ τυπογραφικοῦ πάντως παροράματος.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΝΒ'.—52.

Ἰωάννῃ Σπαθαρίῳ τῷ Χρυσοχέρῃ.[1]

(Περὶ τῆς ἁγίας Τριάδος.)

Ἡ τῆς Τριάδος σύγχυσις ἀναίρεσιν τῶν προσώπων ποιεῖ· ἡ δὲ τῆς οὐσίας διαίρεσις ἀλλοτρίωσιν καὶ κατατομὴν ἐπινοεῖ τῆς θεότητος. Φεῦγε τὸν παρ' ἑκάτερα τῆς βασιλικῆς ὁδοῦ κρημνόν· καὶ κατὰ τοὺς Ἐκκλησιαστικοὺς ὅρους τε καὶ θεσμούς, μίαν οὐσίαν καὶ θεότητα ἐν ὑποστάσεσι καὶ προσώποις τρισὶ λατρεύων καὶ προσκυνῶν, τὴν τῶν Χριστιανῶν θεολογίαν τούτοις συγκεφαλαιούμενος ἀνακήρυττε.

ΕΠΙΣΤΟΛΗ ΝΓ'.—53.

Τῷ αὐτῷ.[2]

(Περὶ τῶν ἐπὶ Χριστοῦ δύο φύσεων.)

Ὥσπερ ἐπὶ τῆς θεολογίας καὶ τὸ τρεῖς ὁμολογεῖν οὐσίας πολύθεον, καὶ διὰ τοῦτο ἄθεον, καὶ τὸ μίαν λέγειν ὑπόστασιν Ἰουδαϊκὸν καὶ Σαβέλλιον, οὕτω καὶ ἐπὶ τῆς οἰκονομίας τό τε μίαν φύσιν φρονεῖν καὶ μίαν ὑπόστασιν Μανιχαϊκὸν καὶ ἀπόβλητον, καὶ τὸ δύο φύσεις καὶ δύο ὑποστάσεις Παυλιανιστῶν[3] καὶ μισόχριστον. Τί οὖν χρὴ ποιεῖν; τὴν μέσην καὶ Ἐκκλησιαστικὴν δόξαν ἰχνηλατεῖν, ἥτις τὴν ἑκατέρωθεν ἀποκλίνουσα καὶ ἐκτρεπομένη βλασφημίαν, μίαν ὑπόστασιν ἐπὶ Χριστοῦ, δύο δὲ φύσεις θεοφρόνως ὁμολογεῖ δογματίζουσα.

ΕΠΙΣΤΟΛΗ ΝΔ'.—54.

Τῷ αὐτῷ περὶ τοῦ αὐτοῦ.

Ὥσπερ Νεστόριος[4] *τῶν θολερῶν ναμάτων σπάσας τοῦ Σαμοσατέως Παύλου, εἰς*

---

[1] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΟΒ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΟΓ, καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΛΓ. Εὕρηται δὲ καὶ ἐν τῇ τῆς Μυριοβίβλου ἐκδόσει ὑπὸ Οἰσχελίου (σελ, 911).*

[2] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, ὡς καὶ αἱ μετ' αὐτὴν τέσσαρες, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΨ' ΡΨΑ', ΡΨΒ', ΡΨΓ καὶ ΡΨΔ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΨΓ—ΡΨΖ'. Σημειωτέον δέ, ὅτι παρὰ μὲν Μιγνίῳ καὶ ἡ ΝΗ' Ἐπιστολὴ ("Ἐρωτᾷς, διὰ τί τὴν αἰσχύνην κ.τ.λ.") εὕρηται ἡνωμένη τῇ ΝΖ' ("Σίμων ὁ μάγος κ.τ.λ."), παρ' Οἰκονόμῳ δὲ οὐχ εὕρηται.*

[3] *Οὗτως ἐκαλοῦντο οἱ Παύλου τοῦ Σαμοσατέως ὀπαδοί, καὶ ἄλλως λεγόμενοι Παυλιανοί, Παυλικιανοί, Παυλιασταί, ἔτι δὲ καὶ Σαμοσαταῖοι, καὶ νέοι Ἰουδαῖοι. Ἴδε περὶ τούτου Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 266—7· καὶ Μόσχειμ Τόμ. Α', σελ. 268 κ. ἑξ. καὶ Τόμ. Β', σελ. 251 κ. ἑξ. τῆς Ἀγγλ. μεταφρ. ὑπὸ J. Murdock, 1841.*

[4] *Περὶ Νεστορίου καὶ Εὐτυχοῦς ἴδε Ἐπιστ. ΣΤ' § ί κ. ἑξ.*

Digitized by Google

μέθην ἀσεβείας ἐξέπεσεν, οὕτως Εὐτυχὴς τῆς οἰκείας θρησκείας τὰ σπέρματα ἐκ τῆς Μανοῦ πικρᾶς παραφυάδος δρεψάμενος, ὀδύνης ἄρτον καὶ ἀπωλείας ἑαυτῷ καὶ τοῖς πειθομένοις κατειργάσατο. Ὁ δὲ τῶν Ὀρθοδόξων χορός, τὸν κορυφαῖον Πέτρον, μᾶλλον δὲ τὸν αὐτοῦ καὶ ἡμῶν κοινὸν Δεσπότην καὶ ποιητήν, διδάσκαλον προστησάμενοι (" Ὑμεῖς γάρ, φησί, μὴ καλέσητε ἐπὶ τῆς γῆς Ῥαββί· εἷς γάρ ἐστιν ὁ διδάσκαλος ὑμῶν ὁ Χριστός." [1]), τῶν δύο φύσεων ἐν τῇ μιᾷ ὑποστάσει τοῦ λόγου, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος, λαμπρῶς ἀνομολογοῦσι τὸ ἀσύγχυτον· τοῦτο γὰρ αὐτὸς ἐδίδαξεν, ἡ ἀλήθεια· υἱὸν γὰρ ἀνθρώπου ἑαυτὸν ἀνειπών, καὶ παρὰ τοῦ κορυφαίου Πέτρου υἱὸς τοῦ ζῶντος Θεοῦ ἀναῤῥηθείς, [2] τὸ μέν, οἷς αὐτὸς εἶπε, τὸ δέ, οἷς ἀπεδέξατο, ἐβεβαίωσε· δι' ὃ καὶ μισθὸν τῷ Πέτρῳ τῆς ὀρθῆς ὁμολογίας τάς τε κλεῖς τῆς βασιλείας ἐνεχείρισε, καὶ ἐπὶ τῇ αὐτοῦ ὁμολογίᾳ ἐστηρίχθαι τὴν Ἐκκλησίαν, [3] καὶ κατὰ πυλῶν ᾅδου καὶ πάσης αἱρετικῆς ἀθυροστομίας λαμπρὰ φέρειν τὰ νικητήρια ἐκραταίωσεν·

ΕΠΙΣΤΟΛΗ ΝΕ'.—55.

Τῷ αὐτῷ.

(Περὶ τῶν ἐπὶ Χριστοῦ δύο θελημάτων καὶ ἐνεργειῶν.)

Εἰ μία φύσις ἐπὶ Χριστοῦ ἐγνωρίζετο, ἓν ἂν καὶ τὸ ἐξ αὐτῆς ἐπήγαζε θέλημα· ἐπεὶ δὲ δύο αἱ φύσεις, καὶ δύο ἄρα συναναβλύουσι [4] τὰ θελήματα. Εἰ δὲ οὐκ ἔστι φύσις ἀνενέργητος, καὶ ἑκατέρᾳ πάντως ἡ οἰκεία συνανακύψει ἐνέργεια. Ὥσπερ δὲ ἡ ἀνθρωπίνη φύσις τῇ θεϊκῇ τοῦ Λόγου φύσει συνείπετο καὶ ὑπέκειτο, οὕτω δῆλον, ὅτι καὶ τὸ ἀνθρώπινον θέλημα τῷ θεϊκῷ, καὶ τῇ ἐνεργείᾳ ἡ ἐνέργεια.

ΕΠΙΣΤΟΛΗ ΝΣΤ'.—56.

Τῷ αὐτῷ.

(Περὶ τῆς εἰκόνος Χριστοῦ καὶ κατὰ τῶν εἰκονομάχων.)

Ἕλληνες τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν εἰκονίζειν, ὅτι μηδὲ θειάζουσιν, οὐκ ἀνέχονται· Ἰουδαῖοι πλέον ἐκείνων τὴν κατ' αὐτοῦ μανίαν νοσήσαντες, οὐδὲ μέχρι ψιλῆς ἀκοῆς τὴν

---

[1] *Ματθ. ΚΓ'*, 8 καὶ 9.

[2] *Ματθ. ΙΣΤ'*, 14—20.

[3] *Οὐκ ἐπὶ τῷ Πέτρῳ, ἀλλ' ἐπὶ τῇ Πέτρου ὁμολογίᾳ φησὶν ἐστηρίχθαι τὴν Ἐκκλησίαν· καὶ διὰ τοῦτο τὴν Βαρωνίου ἐξηρέθισεν ὀξυθυμίαν. (σημ. Μοντακ.)*

[4] *Παρ' Οἰκον.—συναναβλύζουσιν· ἀλλ' ἀμφότερον λέγεται.*

Digitized by Google

πρᾶξιν ὑφίστανται· ἕτεροι δέ, μοῖρα πονηρὰ καὶ ἐξάγιστος, οἱ μὲν αὐτοῦ τὸ σῶμα ἐναποτεθεῖσθαι τῷ ἡλίῳ τερατεύονται,[1] οἱ δὲ εἰς τά, ἐξ ὧν αὐτὸ συνιστῶσι, διαλύουσιν·[2] οἱ δ' ἀπὸ Μανοῦ οὐδ' ἀναλαβεῖν αὐτὸν ὅλως σῶμα τὸ ἡμέτερον διατείνονται· οἷς ἐξ ἀναγκαίου ἀκόλουθον μηδὲ Χριστὸν εἰκονίζεσθαι. Σκοπείτωσαν τοίνυν οἱ τῆς πολυπλανοῦς καὶ μοιχιδίου σπορᾶς ἀπόγονοι, τὰ νέα τῶν εἰκονομάχων λέγω γεννήματα, τίνας ἑαυτῶν πατέρας ἐπιγράφουσι, καὶ τίνος μερίδος αἱροῦνται παρὰ τοῖς Χριστιανοῖς θιασῶται καὶ μαθηταὶ ὀνομάζεσθαι.

ΕΠΙΣΤΟΛΗ ΝΖ'.—57.

Τῷ αὐτῷ περὶ τοῦ αὐτοῦ.

Σίμων ὁ μάγος[3] καὶ Καρποκρᾶς[4] ἐβαπτίσαντο· διὰ τοῦτο καὶ Χριστοῦ εἰκόνα περιέφερον· ἀλλὰ τῆς μαγικῆς τερθρείας καὶ τῶν παθῶν οὐκ ἀφίσταντο· διὰ τοῦτο καὶ ἑτέρων τινῶν εἰκόνας συμπεριέφερον. Αἰσχυνέσθωσαν τοιγαροῦν τῶν εἰκονομάχων οἱ πρόμαχοι, ὅτι καὶ τῶν δεισιδαιμονεστάτων ἐκείνων καὶ δόξῃ καὶ βίῳ πεπλανημένων ἀγνωμονέστεροι ἀπελέγχονται.[5]

ΕΠΙΣΤΟΛΗ ΝΗ'.—58.

Τῷ αὐτῷ περὶ τοῦ αὐτοῦ.

Ἐρωτᾷς, διὰ τί τὴν αἰσχύνην τοῖς αἱρετικοῖς ἐνηρμόσαμεν·[6] ἐγὼ δέ, εἰ μή σε λυπεῖν

---

[1] Παρερμηνεύοντες δῆλον ὅτι τὸ τοῦ Δαβίδ, "ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ" (Ψαλμ. ΙΗ', 5). Ἴδε τὴν ἑρμην. τῶν Ψαλμῶν ὑπὸ Ἀνθίμου τοῦ Πατριάρχου. Τόμ. Α', ἐν Ἱεροσολ. 1855.

[2] Παρ' Οἰκον.—καὶ διαλύουσιν.

[3] Πράξ. Η', 9—13. Ἴδε καὶ Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 143—7.

[4] Καὶ περὶ τούτου ἴδε Μελέτιον (αὐτ. σελ. 194—6).

[5] Τούτοις παρατίθει τὰ ἐν τῇ ΣΤ' Ἐπιστ. (§ ιζ' καὶ ιή) εἰρημένα, καὶ τὰ ἐν τῇ ΟΣΤ' "Στεφάνῳ ὀρθοδοξήσαντι." Σημειωτέον δέ, ὅτι Μοντακούτιος οὐ πάνυ τι φαίνεται ἀρεσκόμενος οἷς Φώτιος λέγει περὶ εἰκόνων, τὸ ἴδιον περιέπων, ὡς εἰκός, δόγμα, καὶ θαυμάζων, ὅτι τούτου γε ἕνεκα οὐχ εὗρε χάριν παρὰ τῷ Βαρωνίῳ Φώτιος. Ἀλλὰ πρὸς τὰ Μοντακουτίου ταῦτα ὀρθῶς ὁ Καρδινάλιος Μάϊος ἀπεκρίνατο, ἐν οἷς εἶπε μηδὲν προσήκειν Μοντακουτίῳ περὶ τούτου κρίνειν Φώτιον, μηδὲ τοῖς εἰκονομάχοις συνηγορεῖν.

[6] Ἔοικε τὸν Χρυσοχέρην τὴν πρὸ ταύτης ἐπιστολὴν λαβόντα, ἐν ᾗ Φώτιος ἔλεγεν, "αἰσχυνέσθωσαν τῶν εἰκονομάχων οἱ πρόμαχοι," ἀντιγράψαι ἐπερωτῶντα, διὰ τί τοῦτο περὶ τῶν αἱρετικῶν εἶπεν; Πρὸς ταύτην οὖν Φώτιος τὴν ἐρώτησιν ἀπαντῶν, δριμύτερόν πως καὶ αὐτοῦ τοῦ ἐπερωτῶντος καθάπτεται. Ἦν γάρ, ὡς ἔοικε, καὶ οὗτος τῶν τὴν εἰκονομαχίαν περιεπόντων, ὡς ἐκ τῆς ἀμέσως ἑπομένης ἐπιστολῆς καταφαίνεται, ἐν ᾗ λέγει πρὸς αὐτόν, θαυμάζοντα ἐπὶ τοῖς γραφομένοις· "Οὐκ ἐγράψαμεν, ἵνα θαυμάζῃς, ἀλλ' ἵνα στηριχθῇς ἐν οἷς τὸν σάλον ὑπέμεινας."

Digitized by Google

ἔμελλον, ἀνοήτων ἂν ἀπέδειξα τὸ ἐρώτημα, καὶ τοσοῦτον, ὅτι καὶ τὸ ἀναίσθητον αὐτούς, ἂν ἄρα βούλῃ, μετὰ τοῦ ἀσεβοῦς ἐπιδείξω περιέποντας. Δι' ὧν γὰρ δυσφημίαν περιάπτειν τῇ ὀρθοδοξίᾳ ἐμελέτησαν, διὰ τούτων μάλιστα τῆς εἰκονουργίας τὴν ἀρχαιότητα μαρτυροῦντες οὐ συνῆσθοντο, σύγχρονον αὐτὴν τῷ χριστιανισμῷ καὶ τῷ βαπτίσματι καὶ ἄκοντες ἀνομολογήσαντες· δι' ὧν δὲ μηδὲ τοὺς περὶ Σίμωνα ταύτην ἐννυβρίσαι βαπτισθέντας παρεισάγουσιν, ἐκείνων πλέον ἑαυτοὺς νοσήσαντας τὴν ἀγνωμοσύνην παριστῶντες ἐπελάθοντο.

ΕΠΙΣΤΟΛΗ ΝΘ'.—59.

Τῷ αὐτῷ περὶ τοῦ αὐτοῦ.

Οὐκ ἐγράψαμεν, ἵνα θαυμάζῃς, ἀλλ' ἵνα στηριχθῇς, ἐν οἷς τὸν σάλον ὑπέμεινας. Εἰ δ' ἀῤῥαβῶνα τοῦ στηριχθῆναι τὸ θαῦμα παρέχεις, ἡδέως ἀποδεχόμεθα· οὐδὲ γὰρ ἐξ ἑαυτῶν προφέρομεν ἅπερ λέγομεν, ἀλλ' ἐξ ὧν τῆς ζωηφόρου πηγῆς ἀπηντλήσαμεν· ἥτις μετὰ τῆς ἐν πίστει δίψης τοῖς προσιοῦσιν ἄφθονα προχέειν τὰ τῆς σωτηρίας ἐπηγγείλατο νάματα.

ΕΠΙΣΤΟΛΗ Ξ'.—60.

Ἰωάννῃ Πρωτοσπαθαρίῳ καὶ Πρωτονοταρίῳ τοῦ δρόμου, τὸ ἐπίκλην Χρυσοχέρῃ.[1]

(Περὶ τοῦ αὐτοῦ.)

Οὐδὲν λυμαίνεται τῇ εἰκόνι Χριστοῦ τὸ λέγεσθαι τὸν Υἱὸν ἀληθινὴν εἰκόνα τοῦ Πατρός, ἢ τὸν ἄνθρωπον ἀληθῶς κατ' εἰκόνα γεγενῆσθαι Θεοῦ· οὐ μὴν οὐδ' ἐπειδὰν λέγωμεν τοὺς κατ' ἀρετὴν βεβιωκότας τὴν ἀληθῆ μορφοῦσθαι εἰκόνα Χριστοῦ·[2] *οὐ γὰρ*

---

[1] *Σπαθάριον ἁπλῶς τὸν Ἰωάννην τοῦτον ἐν ταῖς προτέραις ἐπιγράψας ἐπιστολαῖς, ἐν ταύτῃ Πρωτοσπαθάριον καὶ Πρωτονοτάριον τοῦ δρόμου ἐπέγραψεν αὐτόν, προβιβασθέντα, ὡς ἔοικεν. Καὶ Μοντακ. μέν, ὡς εἴωθε, Ἀσπαθάριον καὶ Ἀνοτάριον γράφει· ἐγὼ δέ, καθ' ἃ ἐν Ἐπιστολαῖς Ζ' καὶ Ν' ἔφθην σημειωσάμενος, Πρωτοσπαθάριος ἔγραψα καὶ Πρωτονοτάριος. Ἦν δὲ τὸ τελευταῖον τοῦτο οὐ μόνον τῆς Ἐκκλησίας, ἀλλὰ καὶ τῆς Βυζαντινῆς αὐλῆς ἀξίωμα, περὶ οὗ ἴδε Κουρουπαλάτην, σελ. 11 καὶ 41. Τοῦ δρόμου δὲ Πρωτονοτάριον λέγει, ὡς ἐπιστάτην τῶν δημοσίων ὁδῶν, ὅπερ, ὡς ἔοικεν, ἀξίωμα ἦν, μᾶλλον δὲ τῶν ἀπείρων ἀξιωμάτων τῆς Βυζαντινῆς αὐλῆς ἕν, οἷον καὶ ἐν Θήβαις τὸ πάλαι ἡ Τελεαρχία, καὶ τὸ παρὰ Ῥωμαίοις* aedilitas.—*Ἴδε Πλουτάρχου πολιτ. παραγγέλμ. (σελ. 74—75) καὶ τὰ περὶ τούτου τῷ Κοραῇ σεσημειωμένα (σελ. 148). Εὕρηται δὲ καὶ ἐν Ἀμφιλοχίοις ἡ παροῦσα ἐπιστολή, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΙΔ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΙΖ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΛΔ'.*

[2] *Πρὸς Γαλάτ. Δ', 19.*

Digitized by Google

ἐπὶ διαβολῇ τῆς τεχνητῆς εἰκόνος[1] ταῦτα λέγεται, οὐδ' ἵνα ψεῦδος αὐτῇ ἐπιγράφοιτο, ἀλλ' ὡς ἂν αὐτῶν ἡ πρὸς ἄλληλα διαφορὰ ἐπιγινώσκοιτο. Οὐδὲ γὰρ οὐδ' ὅταν τὸν Υἱὸν ἀληθινὴν σοφίαν προσαγορεύωμεν, τὴν ἐκ τῶν θείων Γραφῶν σοφίαν τῆς ἀληθείας ἐξορίζομεν· οὐδ' ἐπειδὰν φῶς αὐτὸν ἀληθινόν, ἢ ζωὴν ἀληθινήν, ὀνομάζωμεν, τὸ ἡλιακὸν φῶς, ἢ τὴν ἡμετέραν ἐνταῦθα ζωήν (ἵνα μὴ λέγω τὴν ἐκεῖθεν) ψευδοϋπόστατον ἀποφαίνομεν.[2] Οὕτως οὐδ' ὁπηνίκα φαμὲν ἀληθινὴν εἰκόνα τὸν Υἱόν,[3] οὐχὶ τὰς εἰκόνας, αἳ τὴν γένεσίν εἰσι λαχοῦσαι διὰ μιμήσεως, εἰς ψεῦδος ἐλαύνομεν, ἀλλὰ τὸ πρὸς αὐτὰς ἐκείνης καθ' ὑπεροχὴν δηλοῦμεν διάφορον. Ἄκουσον τοίνυν τὸν υἱὸν τῆς βροντῆς, ὅπως ἡμῖν ἄνωθεν βροντῶν τὴν τοιαύτην χρῆσιν τῶν λόγων ἐννοεῖν δίδωσιν· ἄμφω γὰρ ἐν τῷ εἰπεῖν, "καὶ χάριν ἀντὶ χάριτος," τήν τε Παλαιὰν καὶ τὴν Νέαν τῷ τῆς χάριτος ἐξονομάσας προσρήματι, εἶτα τὸ ὑπερανεστηκὸς θατέρας[4] πρὸς τὴν ἑτέραν παριστῶν, "Ὁ νόμος, φησί, διὰ Μωσέως ἐδόθη, ἡ χάρις δὲ καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο."[5] Δῆλον γάρ, ὡς ταῦτα λέγων, οὐχὶ τὴν ἀλήθειαν ἢ τὴν χάριν τοῦ Μωσαϊκοῦ νόμου περιέκοψεν (αὐτὸς γὰρ ἦν ὁ μικρῷ πρόσθεν τῷ τῆς χάριτος αὐτὸν ἀποσεμνύνας ὀνόματι)· οὐ μὴν οὐδὲ ψεῦδος αὐτοῦ κατηγόρησεν (οὐδὲ γὰρ ἐφ' ὕβρει καὶ διαβολῇ τοῦ νόμου τὸ "Ἡ χάρις δὲ καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο"[6] τοῖς Εὐαγγελικοῖς θεσμοῖς περιήρμοσεν· Ἡρακλέων γὰρ ἂν οὕτως εἴποι καὶ οἱ παῖδες Ἡρακλέωνος[7])· ἀλλ' ἐπισημοτέραν δῆλον ὅτι καὶ τελειοτέραν τὴν τοῦ Δεσπότου φιλοτιμίαν τῆς Μωσαϊκῆς νομοθεσίας παραστῆσαι βουλόμενος, τῆς χάριτος αὐτὴν καὶ ἀληθείας τῇ κοινῇ προσηγορίᾳ περιέλαβεν. Ἀλλὰ καὶ Παῦλος ὁ θεῖος, "Σκιὰν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν,"[8] οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων ἀποφαινόμενος, οὐ τὸ εἶναι τὸν νόμον τύπον καὶ εἰκόνα τῶν μελλόντων ἀγαθῶν ἀπεκήρυξεν, ἀλλὰ διὰ τῶν ῥημάτων τούτων ἐνεδείξατο μᾶλλον τὴν χάριν ἢ τὸν νόμον τῶν μελλόντων ἀγαθῶν εἰκονίζειν τὴν ἀπόλαυσιν.

Ναὶ δὴ καὶ ὁ πολὺς ἐν τῇ τῶν θείων Γραφῶν ἀναπτύξει καὶ διδασκαλίᾳ, Ἰωάννης ὁ Χρυσόστομος, πολλαχοῦ κεχρημένος τῷ τοιούτῳ σχήματι τῶν λόγων δείκνυται. Τοὺς γὰρ θείους ὑπομνηματίζων χρησμούς, καὶ εἰς τὰ πρὸς τὸν Νικόδημον εἰρημένα τῷ Δεσπότῃ τὴν τῆς ἑρμηνείας γλῶτταν ἐπαφείς, καὶ περὶ τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως, καὶ τῆς ἀχρόνως ἐκ Πατρὸς τοῦ Υἱοῦ γεννήσεως τὸν λόγον κινῶν, "Εἰ γὰρ καὶ αὐτή, φησίν, ἡ γέννησις ἐπουράνιος, ἀλλὰ πρὸς ἐκείνην παραβαλλομένη τὴν ἀληθῆ καὶ ἐκ τῆς τοῦ Πατρὸς

---

[1] *Παρ' Οἰκον.—τῆς τέχνης τῆς εἰκόνος.*

[2] *Ἰωάν. Η', 12.*

[3] *Παρ' Οἰκον.—τὸν Χριστόν.*

[4] *Ἴδε τὰ περὶ τούτου μοι σεσημειωμένα ἐν Ἐπιστολῇ Γ', σελ. 147.*

[5] *Ἰωάν. Α', 16 καὶ 17.*

[6] *Ἐλλείπουσι παρ' Οἰκον. αἱ λέξεις "διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο."*

[7] *Ἐπιφάν. περὶ Αἱρέσ. ΛΣΤ'.*

[8] *Πρὸς Ἑβρ. Ι', 1.*

Digitized by Google

οὐσίας, ἐπίγειος."[1] Ἀκούεις, ὅπως πρὸς ἐκείνην φησὶ τὴν ἀληθῆ; Τί οὖν; ἡ διὰ τοῦ βαπτίσματος οὐκ ἔστιν ἀληθής; καὶ τίς ἄν, εἰ μὴ τῶν σφόδρα μαινομένων εἴη, τοῦτο φάναι τολμήσειεν; Πῶς οὖν ἐκεῖνος ἔφη, "πρὸς ἐκείνην τὴν ἀληθῆ;" τὸ ὑψηλότερον ἐκείνης καὶ θαυμασιώτερον ἐξυμνῶν, οὐ ταύτην τῆς ἀληθείας ἀποστερῶν. Καὶ τί δὲ τοῦτο φημί; ἄκουε μᾶλλον αὐτὸν τὰ αὐτὰ ἐμοί, οὐ τοῖς νοήμασι μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ῥήμασι συμφθεγγόμενον, καὶ τὴν τοιαύτην τῶν λόγων χρῆσιν ἡμῖν κἀν τοῖς τοῦ Δεσπότου ῥήμασιν ἐγκειμένην ὑποδεικνύοντα. Τοῦ γὰρ Σωτῆρος τοῖς Ἰουδαίοις εἰπόντος περὶ τοῦ μάννα, "ὡς οὐχὶ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον, ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἀληθινὸν ἄρτον,"[2] αὐτὸς τὸν νοῦν ἀναπτύσσων τὸν Δεσποτικόν, οὕτω φησίν· "Ἄρτον δὲ ἀληθινὸν καλεῖ, οὐκ ἐπειδὴ ψευδὲς ἦν τὸ θαῦμα, τὸ ἐπὶ τοῦ μάννα, ἀλλ' ὅτι τύπος ἦν, οὐκ αὐτοαλήθεια·"[3] καὶ μυρία ἄλλα. Ἀλλὰ τί τὸν δεῖνα μάρτυρα, ἢ τὸν δεῖνα καλῶ; κοινῶς ἅπαντες καὶ τῆς Ἐκκλησίας οἱ τρόφιμοι, καὶ τῶν θύραθεν οἱ λογιώτατοι, πλὴν τῶν εἰκονομαχούντων, ὡς ἔοικε, ταύτην τοῦ λόγου τὴν χρῆσιν συνεπίστανται, καὶ γέμουσιν αἱ βίβλοι τὸ τοιοῦτον τῶν λόγων ἰδίωμα·[4] ὡς, ἐπὰν ὦσι δύο τινά, ἢ καὶ πλείονα, καθ' ὁμωνυμίαν, ἢ καθ' ἕτερόν τινα τρόπον τὴν αὐτὴν κλῆσιν ἐφελκόμενα, ἢ καὶ ἄλλως ἔν τισι κοινωνίαις ἰδιωμάτων τυγχάνοντα, ἡνίκα τις περὶ τοῦ ἐν αὐτοῖς ὑπερέχοντος τὸν λόγον ποιήσασθαι βουληθῇ, τὰ κοινῇ προσόντα πᾶσι κατ' ἐξαίρετον ἐκείνῳ φέρων δίδωσιν, οὐχὶ τῶν ἄλλων αὐτὰ παντελῶς ἀφαιρούμενος, ἀλλὰ διὰ τούτου τὴν τοῦ προκειμένου ὑποροχὴν πρὸς τὰ λοιπὰ ἐνδεικνύμενος. Καὶ τοῦ λόγου ἀρκέσει παραδείγματα,[5] οἶμαι, ἃ προείρηται· εἰ δὲ καὶ ἑτέρων βούλει παράθεσιν, αὐτὸς κατὰ σεαυτὸν τὰ βιβλία διερχόμενος, ὅλην ἀπαρτίσεις βίβλον, τῶν τοιούτων χρήσεων τὰ παραδείγματα ἐγγραφόμενος.

---

[1] Χρυσόστ. εἰς Ἰωάννην Ὁμιλ. ΚΖ'.

[2] Ἰωάν. ΣΤ', 32.

[3] Χρυσόστ. εἰς Ἰωάννην Ὁμιλ. ΜΕ'.

[4] Οἰκον. παραινεῖ γράφειν "τοῦ τοιούτου τῶν λόγων ἰδιώματος," ὅπερ ἐστὶ κανονικὸν καὶ ὀρθόν· ἴσως μέντοι ἔκπτωσις καὶ τοῦτο ἦν ἐξ ἐκείνου, καθ' ἣν καὶ ἡμεῖς κοινῶς λέγομεν "βιβλία γεμάτα [ἀπὸ] ψεύματα"—"ἐγέμισεν ὁ δρόμος νερά"—καὶ τὰ ὅμοια. Εὐκολίαν γὰρ καὶ σαφήνειαν, ὡς ὁ σοφὸς εἶπεν Ἀσώπιος, ἡ κοινὴ ἡμῶν γλῶσσα διώκουσα, πάντα σχεδὸν τὰ μεταβατικά, ἢ ἄλλως πλαγίαν πτῶσιν ἀπαιτοῦντα, ῥήματα Αἰτιατικῇ φιλεῖ συντάσσειν, οὐδὲν τῆς διαιρέσεως αὐτῶν εἰς Γενικοσύντακτα καὶ Δοτικοσύντακτα φροντίζουσα.

[5] Οἰκον. μὲν ἐνικῶς γράφει "παράδειγμα·" Μοντακ. δὲ καὶ Μίγνιος "παράδειγμα τά·" ἐγὼ δὲ διορθωτέον εἶναι φήθην "παραδείγματα," ὡς περὶ πολλῶν ὄντος τοῦ λόγου· ὅθεν δὴ καὶ ἡ ἀμέσως ἑπομένη Ἀναφορ. πληθυντ. τέθειται—ἄ.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΞΑ'. — 61.

Γρηγορίῳ Σπαθαροκανδιδάτῳ,[1] αἰτησαμένῳ λύσιν ἀπορίας.[2]

(Καὶ οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον.—Ματθ. Α', 25.)

Ὁ ἀσπασμὸς ἄνωθεν· ἡ σύλληψις ἄσπορος· ἡ κύησις ἄφραστος· ὠδῖνες ἀλόχευτοι· σφραγὶς τῆς παρθενίας ἡ τῶν ὠδίνων διάλυσις· (ὁ γὰρ τόκος ἄφθορος, καὶ ἡ τεκοῦσα Παρθένος καὶ μετὰ γέννησιν·) Θεὸς ἐν σαρκὶ τὸ τικτόμενον· χοροὶ Ἀγγέλων, ἆσμα τὸ θαῦμα ποιούμενοι. Ἔνθα τοσούτων καὶ τηλικούτων συνδρομή, πῶς ἄν τις διαμφισβητήσειε, κἂν πάντα ἀσεβεῖν ἔθετο μελέτην, ὅτι μὴ οὐχὶ παρθένος ἡ Παρθένος καὶ μέχρι τέλους διέμεινεν; Εἰ δὲ τὸ "οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον" ὑπόθεσιν βλασφημίας ἑαυτοῖς τινες ἀνευρίσκουσιν, ἴστωσαν, ὡς ἡ τῶν ἀχράντων λογίων ἀλήθεια τὸ μὲν παράδοξον καὶ ὑπερφυὲς καὶ ὑπὲρ κατάληψιν ἠβουλήθη παραστῆσαι, ὅπερ ἐστὶ τόκος ἄνευ ἀνδρὸς ἐπιγνώσεως, τὸ δὲ μετὰ ταῦτα νοεῖν κατέλιπεν ὡς ἀκόλουθον· τὸ γὰρ τὴν ἐν τόκῳ παρθενεύουσαν καὶ τὸ λοιπὸν διὰ βίου παρθενεύειν οὔτε καινὸν ὅλως ἦ παράδοξον, ἀλλὰ καὶ τοῖς προηγησαμένοις ἐξ ἀναγκαίου μᾶλλον ἑπόμενον. Ἄλλως τε δέ, καὶ τῶν Ἰουδαίων τέως ἐπιστομίζειν ἔγνω τὸ βλάσφημον, οἳ ἐκ πορνείας τὸν ἄσπορον τόκον διέσυρον· δι' ὃ καὶ πρὸς τὴν ἐκείνων ἴσταται κακόνοιαν, δι' ὧν τρανοῖ καὶ ἀνακηρύττει τῆς τεκούσης τὸ ἀνέπαφον.

Κἀκεῖνο δὲ συνιέτωσαν, ὅτι μηδ' αὐτὰς τὰς λεξεις, ἐξ ὧν οἱ θεῖοι χρησμοί, συνιέναι ἠβουλήθησαν· ᾗ[3] γὰρ ἂν τὸ Ἕως κατέμαθον ἐνίοτε μὲν πρὸς ἀντιδιαστολὴν τοῦ ἐφεξῆς χρόνου παραλαμβανόμενον, ἐνίοτε δ' οὖν ἐπὶ δηλώσει μεγάλων μὲν ἔργων καὶ θεοπρεπῶν, καθάπερ καὶ νῦν, οὐ μὴν πρὸς ἀντιδιαστολὴν ἑτέρου χρόνου τινός, ἀλλὰ καὶ τοὐναντίον εἰς ὑποδήλωσιν ἀπεράντου διαστήματος·[4] καὶ ἀνὰ χεῖρας τὰ παραδείγματα. "Ἀνατε-

---

[1] Ἄλλοι μὲν μονολεκτικῶς, ὡς ἐνταῦθα, ἄλλοι δὲ διεσταλμένως τοῦτο γράφουσι "Σπαθαρίῳ κανδιδάτῳ." Ἔοικε δὲ τὸ ἀξίωμα τοῦτο ταυτὸν εἶναι τῷ "Πρωτοσπαθάριος" ὃς· καὶ Σπαθαροκουβικουλάριος ἐλέγετο. (Ἴδε τὰς εἰς Κουρουπαλ. σημ. τοῦ Γρετσέρου καὶ Γοαρίου, σελ. 251.) Ἐπειδὴ δὲ τὸ κανδιδάτος ἐκ τοῦ Λατιν. candidatus (=λευκοφόρος, λευχείμων) εἴληπται, οὐδὲν ἀπίθανον Σπαθαροκανδιδάτους ὡς ἐκ τῆς στολῆς ἀποκαλεῖσθαι τοὺς Πρωτοσπαθαρίους.

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΟ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΟΑ' καὶ ἐν τῇ Μοντ. συλλογῇ Ἐπιστ. Λ'. Λέγει δὲ Μοντακούτιος, πολλοὺς μὲν μετὰ τὸν Ἱερώνυμον περὶ τούτου γράψαι τοῦ ζητήματος, "περὶ τοῦ ἀειπαρθένου τῆς Θεοτόκου," οὐδένα μέντοι οὕτω καθαρῶς, ὡς ἐν τῇ παρούσῃ Φώτιος ἐπιστολῇ περὶ τούτου πραγματεύεται.

[3] ᾗ=οὕτως (ἐν ταύτῃ τῇ ὁδῷ, ἐν τούτῳ τῷ τρόπῳ)· κακῶς ἄρα γέγραπται παρὰ Μοντακ. καὶ Μιγν.—ἤ.

[4] Περὶ τούτου καὶ ἐν Ἀμφιλοχ. (Ζήτ. ΚΑ', § ά) λέγει· "Καὶ αὐτὸ δέ γε τὸ ἕως ποτὲ μὲν ὡρισμένον χρόνον περιγράφει, ποτὲ δὲ τὴν περιγραφὴν ἀπαρνούμενον, ἐᾷ τὸ χρόνον πρὸς τὸ ἀόριστον παρατείνεσθαι." Καὶ περὶ ἄλλων δὲ πολυσήμων καὶ πολλάκις τῶν αὐτῶν κατ' ἐναντίαν λαμβανομένων ἔννοιαν λέξεων, ἐν

Digitized by Google

λεῖ γὰρ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη·"[1] καί, "Κάθου ἐκ δεξιῶν μου (ἀνάγραπτός ἐστιν ὁ Πατὴρ λέγων τῷ Υἱῷ), ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·"[2] καί· "Ἰδοὺ ἐγὼ μεθ' ἡμῶν εἰμι (πάλιν ὁ Σωτὴρ τοῖς Μαθηταῖς φησιν) ἕως τῆς συντελείας τοῦ αἰῶνος·"[3] καὶ δῆλον, ὡς ἐνταῦθα τὸ Ἕως οὐ χρονικόν τι μεθόριον καὶ πέρας παρεισάγει, μέγεθος δὲ θείων πραγμάτων ἡ λέξις συμπαραδηλοῦσα, εἰς ἀπεριόριστον παράτασιν τὸν νοῦν τῶν ἐντυγχανόντων ἀναπέμπει.

Οὐ μόνον δέ, ἀλλὰ καὶ τρίτον ἔστιν ἰδεῖν αὐτοῦ σημαινόμενον, δι' οὗ μέγα μὲν καὶ ὑπέρογκον οὐδὲν ὑποδηλοῦται, ἁπλῶς δὲ τὸ ἐναντίον τοῦ προτέρου Ἕως διασημαίνεται· ὡς τό, "Οὐκ ἀνέστρεψε πρὸς τὸν Νῶε ἡ περιστερά, ἕως τοῦ καταξηρανθῆναι τὴν γῆν·"[4] καί, "Ἕως ἂν καταγηράσητε (ἀλλαχοῦ φησιν), ἐγώ εἰμι ὁ Θεός·"[5] καὶ ἄλλα μυρία, δι' ὧν εὔδηλον καὶ τοῖς λίαν ἐθελοκωφοῦσι καθίσταται, ὡς ἀντὶ τοῦ διηνεκῶς καὶ εἰς τὸν αἰῶνα ἡ λέξις παραλαμβάνεται.

Ὅταν οὖν δείξωσιν οἱ πάντα θρασεῖς μετὰ τὴν τῆς σελήνης ἀνταναίρεσιν τὴν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν δικαιοσύνην εἰς τὸ μὴ ὂν καταδύουσαν, καὶ τὸ πλῆθος αὐτοῦ τῆς εἰρήνης ἐκμειούμενον[6] καὶ εἰς ἔχθραν διαχεόμενον, καὶ μετά γε τὸ ὑποτεθῆναι τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ τῆς ἐκ δεξιῶν καθέδρας τοῦ Πατρὸς παρακινούμενον (τρέποιτο δὲ τὸ[7] βλάσφημον εἰς τὰς τῶν ἀναισχυντούντων κεφαλάς), εἶτα δὲ καὶ μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος (ὅτε μᾶλλον αὐτοῖς ἡ οἰκείωσις) τῶν Μαθητῶν ἀφιστάμενον,

---

τῷ αὐτῷ πραγματεύεται Ζητήματι οὕτως ἀκριβῶς καὶ χαριέντως, ὥστε ἀδύνατον εἶναι τὸν ἀναγινώσκοντα μὴ οὐχὶ τὸν ἄνδρα τῆς πολυμαθείας θαυμάσαι, καὶ ἔνθουν περὶ αὐτοῦ τὸ τοῦ τραγικοῦ ἀναφωνῆσαι·

Ὦ φίλαι Χάριτες! τίς ἆρα Κύπρις, ἢ τίς Ἵμερος
Ξυνήψατ' ἀνδρὸς τοῦδε;

Οὐδὲν γὰρ οὐδαμοῦ κατέλιπεν ἀνεξέταστον τῶν τε ὑπὸ τῶν θύραθεν σοφῶν εἰρημένων τῶν τε ἐν ταῖς θείαις Γραφαῖς καὶ ἐν τοῖς τῶν Πατέρων συγγράμμασι θεοπρεπῶς ἱερολογημένων· ἀλλὰ μετὰ πόνου πολλοῦ καὶ κρίσεως βαθυτάτης

. . . . . Πάσας ἰδέας
Ἐξήτασεν· πάντα δ' ἐβάστασεν φρενί·
Πυκνῶς τε ποικίλους λόγους
Ἀνεῦρεν εὖ διεζητημένους.

Ἴδε Προλεγόμ. εἰς τὴν Ποιητ. Οἰκονόμου (σελ. ν'), ἔνθα ταῦτα περὶ τοῦ ἀοιδίμου Κοραῆ ὁ οὐχ ἧττον ἐκείνου ἀοίδιμος Οἰκονόμος ὀρθῶς πάνυ καὶ προσηκόντως ἐπιφωνεῖ.

[1] Ψαλμ. ΟΑ', 7.

[2] Ψαλμ. ΡΘ', 1.

[3] Ματθ. ΚΗ', 20.

[4] Γενέσ. Η', 8.

[5] Ἡσαΐας, ΜΣΤ', 4.

[6] Παρὰ Μοντακ.—ἐμειούμενον—ὅπερ ὁ αὐτὸς διορθοῦται "ἀμαυρούμενον" ἢ "μειούμενον·" ἀλλ' ἄμεινον ὡς παρ' Οἰκον. καὶ Μιγν. γέγραπται—ἐκμειούμενον.

[7] Οὕτως ἐξ Οἰκον. ἀντὶ—τρέποιτο τὸ δὲ τὸ βλάσφημον—παρὰ τοῖς ἄλλοις.

Digitized by Google

καὶ ἐπειδὰν καταγηράσωσιν οἱ τότε ἄνθρωποι, μηκέτι ὄντα τὸν[1] Θεόν, εἰ βούλει δέ, καὶ τὴν περιστερὰν μετὰ τὸ ξηρανθῆναι τὴν γῆν πρὸς τόν Νῶε ἀναστρέψασαν, τότε διαπορείτωσαν, καὶ εἰ μετὰ τὸν ἄῤῥητον καὶ παρθένιον[2] τόκον ἀνδρὸς ὁμιλίαν ἡ Παρθένος ἐμελέτησεν. Εἰ δὲ μὴ κατ' ἐπιστολὴν ἔγραφον, πλείους ἄν, Θεοῦ διδόντος, τὰς ἀποδείξεις σοι παρεθέμεθα· ἀλλ' ἱκανὰ καὶ ταῦτα οἷς μὴ μετὰ τῆς ἀγνοίας[3] καὶ ἡ διάνοια προσαπώλετο. Τὰ δ' ἄλλα ψυχῇ καὶ σώματι ἔῤῥωσο.

ΕΠΙΣΤΟΛΗ ΞΒ'.—62.

Μιχαὴλ Σπαθαροκανδιδάτῳ.[4]

(Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ.—Λουκ. Γ', 16 καὶ Ματθ. Γ', 11· καὶ Μάρκ. Α', 7.)

Τὴν τοῦ κήρυκος φωνήν, καθ' ἣν ἐκεῖνος ἐκήρυττεν, "Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ," ὅπερ αὐτὸς διηρώτησας, κατὰ διαφόρους θεωρίας ὑπειλημμένην εὑρίσκομεν. Οἱ μὲν γὰρ οὐ μόνον ἐγγύτερον, οἶμαι, τοῦ σκοποῦ, ἀλλὰ καὶ οἰκείως τῆς λέξεως, ὑπόδημα καὶ ἱμάντα οὐχ ἕτερόν τι παρ' ὃ κατὰ κοινὴν χρῆσιν ἅπαντες ἴσασιν, ἀλλ' αὐτὰ ἐκεῖνα νενομίκασι, καὶ τὸν Βαπτιστὴν διὰ τούτων ἀποφαίνεσθαι τὸ καθ' ὑπεροχὴν τοῦ βαπτιζομένου ἀσύγκριτον· τοσοῦτον γὰρ ἐκεῖνον, φησί, συνεπίσταμαι ἐν ὑπεροχῇ μεγέθους καὶ ἀξιώματος, οὐχ ὅσον ἐστὶ τὸ μέσον δούλου καὶ δεσπότου, ἀλλὰ καὶ εἴ τις ἄλλη διαφορὰ καὶ διάστασις, μηδενὶ ἑτέρῳ ὑπερβολὴν ἀπολείπουσα· οὐδὲ γὰρ οὐδ' εἰς τὴν ἁπασῶν ἐσχάτην δουλείαν ἄξιον ἐμαυτὸν ἐτάζεσθαι τίθημι· τοιοῦτον γὰρ τὸ λύειν ἱμάντα τοῦ ὑποδήματος.

Οἱ δὲ, ἀναγωγικώτερον ἴσως, ὑπόδημα μὲν τὸν Κόσμον ὑποτίθενται, ἱμάντα δὲ τῶν ἐν αὐτῷ θεωρημάτων ὅσα δυσεύρετον ἔχει τὴν κατάληψιν, καὶ τὸν τῆς ἀγνοίας δεσμὸν ἄλυτον, ὃν ὑπόδημα ποιοῦσι τοῦ Ἰησοῦ· ὅτι διὰ παντὸς αὐτοῦ, φασίν, ἡ πρόνοια διαπεφοίτηκε, καὶ ὅλον αὐτὸν ἔχει περιλαβὼν καὶ συνέχων, μᾶλλον δὲ ποδὶ τῷ οἰκείῳ διϊθύνει καὶ φέρει πανσόφως· τοῦτ' ἔστιν οὐδὲ πολλῆς δεῖται τῆς ἐπ' αὐτῷ βουλῆς καὶ προνοίας, ἀλλὰ διὰ τῆς ἐσχάτης καὶ τελευταίας ἐπισκοπῆς τὸ τηλικοῦτον καὶ τοσοῦτον συντηρεῖ τε καὶ διακοσμεῖ φιλοτέχνημα· αὕτη δὲ ὅσον κομψείᾳ τινὶ διεσχηματίσθη ἡ περίνοια, ἐπὶ τοσοῦτον, οἶμαι, τῆς ἀληθοῦς ἐννοίας διέστηκεν.

---

[1] Παρ' Οἰκον. ἀνάρθρως—Θεόν.

[2] Παρ' Οἰκον.—παρθένον.

[3] Τοῦτο Κατήφορος διορθοῦται "ἀγνείας" τὴν δὲ διόρθωσιν ταύτην καὶ Οἰκον. ἐπιδοκιμάζει (Ἀμφιλοχ. σελ. 377), εἰ καί φησιν ἐν ἅπασι τοῖς χειρογράφοις "ἀγνοίας" γεγράφθαι· ἀλλ' οὐκ ἂν δόξειεν ἄτοπος ἡ γραφὴ τοῖς βουλομένοις νοεῖν, ὡς οἱ ταῦτ' ἀγνοοῦντες οὐ μόνον ἄγνοιαν, ἀλλὰ καὶ ἄνοιαν ὀφλισκάνουσιν.

[4] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΙΓ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΙΣΤ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΛΓ'.

Digitized by Google

Ἕτεροι δέ τινες ὑπόδημα μὲν τὴν σάρκα σημαίνεσθαι (ταύτην γὰρ ὁ Λόγος ὑπέδυ) φασίν, ἱμάντα δὲ τὴν [1] γεγενημένην τῶν φύσεων πρὸς ἀλλήλας συνάφειαν, ἣν ὁ Πρόδρομος οὐκ ἀποτολμᾷ λύειν, οὐδ' ὅσοι τῆς ἐκείνου διδασκαλίας κατήκοοι· οὐδὲ γὰρ οὐδὲ θεμιτὸν ἀτόποις ἐννοίαις κατ' ἰδίαν σχίζειν ὑπόστασιν ἀπὸ τοῦ Λόγου τὸ πρόσλημμα.

Ἄλλοι δὲ παρὰ τούτους οὐχ ἁπλῶς τὴν σάρκα, ἀλλ' αὐτὴν τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν [2] ὑπόδημα νενοήκασιν· ἱμάντα δέ, οὐ συνάφειαν φύσεων, ἀλλὰ τῶν περὶ τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ἀπόρων καὶ λογισμοὺς ἀνθρωπίνους ὑπερβεβηκότων τὸν σύνδεσμον· ὧν τὴν ἐπίλυσιν καὶ σαφήνειαν, οὐχ ὅτι τινὰς τῶν πολλῶν ἑαυτοῖς ἐπιτρέπειν χρὴ καὶ περιεργάζεσθαι, ἀλλ' ἀκριβῶς κἀκεῖνο συνεπίστασθαι, ὡς οὐδὲ τοῖς κατὰ Ἰωάννην ἔν τε [3] πράξει καὶ θεωρίᾳ τὸ ὑψηλὸν καὶ μετέωρον ἔχουσιν, οὔμενουν, οὐδὲ τούτοις τῶν ἀπορρήτων ἐκείνων τὸ κρύφιον καὶ δυσκατάληπτον εἰς γνῶσιν ἀφίκοιτο. Αὐτὸς γάρ, ὁ μείζων ἐν γεννητοῖς γυναικῶν, δι' ὧν μὴ δύνασθαι λύειν τὸν ἱμάντα ὡμολόγησε, μηδ' αὐτὸν ἱκανὸν ἂν γενέσθαι παρίστησι τὰ τοιαῦτα τῶν ἀπορημάτων ἐπιλύσασθαι. Τίνα δέ ἐστι ταῦτα; Τίς ἡ τοῦ Λόγου κένωσις; Πῶς ὁ πλάστης ἐνοῦται τῷ πλάσματι; Παρθένος δὲ πῶς ἂν τέκοι, καὶ τὴν τῶν ὠδίνων λύσιν σφραγίδα τῆς παρθενίας ποιήσαιτο; Πῶς ὄγκον ἔχων ὁ Σωτὴρ καὶ σῶμα, θαλάσσης νῶτα διέτρεχε; Πῶς δὲ τάφῳ καὶ κλείθροις καὶ σφραγίσι περιέχεται, τούτων δὲ πάλιν ἀκινήτων φυλαττομένων, ἐκεῖθεν προέρχεται, εἶτα δὲ καί, τῶν θυρῶν κεκλεισμένων, εἰς μέσους τοὺς Μαθητὰς [4] μετὰ τοῦ αὐτοῦ σώματος ἐπιφαίνεται, καὶ πληγὰς καὶ τρώσεις τοῦ ἀπαθοῦς καὶ ἀφθάρτου ὄψεις ἐξερευνῶσι καὶ δάκτυλοι, βρῶσις δὲ καὶ πόσις τῷ ἀπροσδεεῖ καὶ ἀῤῥεύστῳ (πῶς ἄν τις ἐξείποι;) διαπράττεται σώματι; Τούτων οὖν καὶ τῶν τοιούτων δεσμῶν οὐκ ἔστιν ὅστις, οὐχ ὅτι τῶν πολλῶν καὶ τυχόντων, ἀλλ' οὐδ' εἴ τις εἰς τὴν τοῦ Προδρόμου διέβη τελείωσιν, οὐδὲν σαφῶς καὶ καθαρῶς ἐπιλύσεται· ἀλλ' ἕτερος μὲν ἴσως ἑτέρου τοῖς ἀκροαταῖς ἐρεῖ τι ψυχαγωγικώτερον, καὶ τῆς πολλῆς ἀπορίας παραμύθιον· ἡ δὲ χωρὶς ἐσόπτρων καὶ αἰνιγμάτων ἐν τούτοις ἀλήθεια τῶν ἐν βίῳ πάντων ὁμοίως ἀποκεχώρηκεν.

Ἀλλὰ ταῦτα μέν σοι τῶν κατὰ μνήμην σωζομένων, οἶμαι, τὰ ἀξιολογώτερα ἔγραψα· [5] σὺ δ' ἐπικρίνας στέργοις τὸ ἄμεινον· εἰ δ' ἐρυθριᾷς τὴν κρίσιν, ἐγώ σοι τὸ πρῶτον καὶ τὸ τελευταῖον τῶν ἐν μέσῳ προτίθημι· τὸ μὲν γὰρ καὶ τῆς ὑποθέσεως καὶ τῶν ῥημάτων ἐστὶν οἰκειότατον, τὸ δὲ τελευταῖον τῶν κατὰ θεωρίαν εὑρήσεις ἀναλογώτερον.— Ἐῤῥωσο.

---

[1] Προσέθηκα τὸ ἄρθρον ἐξ Οἰκονόμου, ἐλλεῖπον παρὰ τοῖς ἄλλοις.

[2] Παράδοξον τὸ Μοντακουτίου, Ὁμηρικώτερόν πως γράψαντος—ἐν ἀνθρώποισιν.

[3] Παρ' Οἰκον. ἄνευ τοῦ—τε.

[4] Παρ' Οἰκον.—εἰς μέσον τοῖς Μαθηταῖς.

[5] Ἔγραφε γὰρ ταῦτα ἀπὸ τοῦ δεσμωτηρίου ὁ θεῖος ἀνήρ, καὶ ἐν μέσῳ διωγμῶν καὶ ἀῤῥήτων κακώσεων ἀπαύστως τὸ ἑαυτοῦ πράττων, καὶ ἐν διδασκαλίᾳ τῇ κατὰ Χριστὸν ἐκτρέφων καὶ ποτίζων, ὡς καλὸς ποιμήν, τὸ τοῦ Χριστοῦ ποίμνιον.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΞΓ'.—63.

Θεοδότῳ Σπαθαροκανδιδάτῳ κατὰ τοὺς Λαλάκωνας[1]

(Πῶς νοητέον τὴν Γ' ἐντολήν· "Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ.")

Λαμβάνουσι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ αὐτῶν ἐπὶ ματαίῳ, οἱ μὲν τῆς Παλαιᾶς εἰδώλοις αὐτὸ περιάπτοντες καὶ περιτιθέντες, καὶ οἱ ἐπιόρκῳ καθυβρίζοντες ὅρκῳ, καὶ δὴ καὶ οἱ[2] εὐτραπελίαις, ἤ τισιν ἄλλαις συνεφέλκοντες αὐτὸ ἀργολογίαις· τούτων γὰρ ἕκαστος ὡς ματαίᾳ κέχρηται τῇ τοῦ Θεοῦ προσηγορίᾳ. Οἱ δὲ τῆς Νέας, ἐπειδὰν παρὰ τὸν τεθέντα νόμον[3] ὅρκῳ τὴν αὐτοῦ καθυποβάλλουσι κλῆσιν· δεῖ γάρ τι τελειότερον τοὺς ἐν τῇ χάριτι τῶν πρὸ ταύτης ἔχειν. Ἔπειτα δὲ καὶ οἱ τὸν Υἱὸν ἀλλοτριοῦντες τῆς Πατρικῆς οὐσίας, καὶ μετὰ τῶν κτισμάτων τιθέντες, εἶτα πάλιν, ὥσπερ ἐκ μεταμελείας, εἰς τὴν τῆς θεότητος αὐτὸν εἰσποιοῦντες κλῆσιν· κτίσματι γὰρ οὗτοι τὸ θεῖον ὄνομα περιτιθέντες, ἐκτόπως αὐτὸ ματαιοποιοῦσιν. Καὶ δὴ καὶ οἱ ταῖς ἐριστικαῖς ἀμίλλαις, ὥσπερ τι τῶν τυχόντων, αὐτὸ ὧδε κἀκεῖσε, οἷα δὴ κύβοις παίζοντες, περιστρέφοντες, καὶ διακωδωνῶντες·[4] ὅπερ[5] μάλιστα ποιοῦσιν οἱ ταῖς αἱρετικαῖς ἐμματαΐζοντες[6] λέσχαις. Ἔτι δὲ λαμβάνουσι καὶ νῦν ἐπὶ ματαίῳ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν οἱ ἀδιάφορον τολμῶντες λέγειν τὴν τοῦ Χριστοῦ εἰκόνα καὶ τὴν τοῦ ἀντιχρίστου, ἤτοι τὰ εἴδωλα τῶν Ἑλληνικῶν σεβασμάτων. Πάντες γὰρ οἱ τοιοῦτοι ματαίαν καὶ ἀνωφελῆ τὴν Δεσποτικὴν προσηγορίαν, τό γε

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΠΑ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΠΒ', καὶ ἐν τῇ Μοντακουτίου συλλογῇ Ἐπιστ. ΡΜΖ'. Τίνες δὲ οἱ Λαλάκωνες, καθ' οὓς ἦν ὁ Σπαθαροκανδιδάτος Θεόδοτος, οὐδεὶς οὐδὲν λέγει τῶν ἐκδοτῶν· ἔμοιγε μέντοι δοκεῖ τὸ "Λαλάκων" γένους ἐπώνυμον εἶναι. Κωνσταντῖνος μὲν γὰρ ὁ Πορφυρογέννητος ἐν τῷ "περὶ θεμάτων τῆς βασιλείας Ῥωμαίων" (σελ. 199) λέγει· "ἀπέστειλε τὸν πατρίκιον καὶ στρατηγὸν τῶν Ἀρμενιακῶν τὸν Λαλάκωνα, κ.τ.λ." Λέων δὲ ὁ Διάκονος (Ἱστορ. κεφ. Θ', β'. ἔκδ. Βόννης) τοὺς κατὰ τῶν Ῥώσσων ἢ Ταυροσκυθῶν πολέμους τοῦ Αὐτοκράτ. Ἰωάννου τοῦ Τσιμισκῆ (969—975) ἐξιστορῶν, Θεοδώρου τινὸς μέμνηται Λαλάκωνος ἐπονομαζομένου· "Τηνικαῦτα καὶ Θεόδωρος ὁ τὴν κατεπωνυμίαν Λαλάκων, ἀνὴρ κατά τε ἀλκὴν καὶ σώματος ῥώμην δυσάντητος καὶ ἀκαταγώνιστος, πλείστους . . . ἀπέκτεινεν." Ἀλλὰ καὶ Γ. Κεδρηνὸς ἐν τῇ τῶν ἱστοριῶν συνόψει (σελ. 163—4) τόπον εἶναί λέγει ἐν Καπαδοκίᾳ Λαλακαίωνα καλούμενον· ὁ δὲ τὴν συνέχειαν τῆς Θεοφ. Χρονογρ. συγγράψας ποταμὸν τοῦτον λέγει Λαλακάωνα (σελ. 181), ὃν καὶ Συμεὼν ὁ Μάγιστρος (σελ. 666) Λαλακαῶνα λέγει. Ἤτοι οὖν γένους ἐπώνυμον εἰκάζω εἶναι τὸ "Λαλάκωνες," ἢ τοπικὸν ὄνομα, τοὺς παρὰ τὸν ποταμὸν ἐκεῖνον ἢ τὸν τόπον οἰκοῦντας σημαῖνον.

[2] Προσέθηκα τὸ ἄρθρον ἐξ Οἰκον. ἐλλεῖπον παρὰ τοῖς ἄλλοις.

[3] "Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως.—Ματθ. Ε', 34.

[4] Οὕτω παρ' Οἰκον. ἀντὶ—διακωδωνιῶντες—παρὰ τοῖς ἄλλοις· ἀμφότερα δὲ οὐχ εὕρηται, καὶ διὰ τοῦτο Οἰκον. εἰκάζει γραπτέον εἶναι—διακωδωνίζοντες.

[5] Παρ' Οἰκον.—ὥσπερ.

[6] Ματαΐζω καὶ ματαιάζω καὶ ματάζω=λαλῶ ἢ πράττω μάταια, ματαιοφρονῶ, ἀνοηταίνω· ἐντεῦθεν τὸ σύνθετον ἐμματαΐζω=ἐμμένω τῷ ματαιοφρονεῖν καὶ ἀνοηταίνειν· ὡς δὲ παρ' Οἰκον. γέγραπται "ἐμματαΐζοντες" οὐχ εὕρηται.

Digitized by Google

ἦκον εἰς τὴν αὐτῶν, ἀποφαίνουσι, τόλμαν· δεῖ γὰρ παντὶ τρόπῳ τὴν θείαν κλῆσιν φρικτήν τε καὶ σεβασμίαν ἡγεῖσθαι, καὶ μήτε ὅρκοις ὅλως χαίρειν,[1] μήτε καθυβρίζειν ἐπιορκίᾳ, ἀλλὰ μηδὲ περιάπτειν εἰδώλοις, μήτε κατὰ τὴν Ἀρείου νόσον θεοποιεῖν τὴν κτίσιν κατὰ τοῦ κτίσαντος, μήτε μὴν ἀδιάφορον ἡγεῖσθαι τὸ ταύτης ἠξιωμένον τῆς κλήσεως, καὶ τὸ κληρωσάμενον τὴν ἐναντίαν, μηδ' αἱρετικαῖς πεττεύειν[2] αὐτὸ λογομαχίαις, ἀλλὰ μηδὲ περιτταῖς τισι συνανακιρνᾶν καὶ συναναφύρειν ματαιολογίαις· ἐν μόναις δὲ ταῖς ἱεραῖς ἡμῶν εὐχαῖς τε καὶ τελεταῖς καὶ ταῖς προσηκούσαις διδασκαλίαις τὸ σωτήριον ἐκεῖνο καὶ θαυμαστὸν ὄνομα εἰς κοινὴν ὠφέλειαν παραλαμβάνειν. [a]Α σὺ παραφυλαττόμενος, φυλάξεις τε ἅμα, καὶ καλῶς νοήσεις τὴν θείαν ἐκείνην νομοθεσίαν, τὴν λέγουσαν, "Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ."

ΕΠΙΣΤΟΛΗ ΞΔ'.—64.

Τῷ αὐτῷ.[3]

(Τί ἐστι πνεῦμα Πύθωνος.—Πράξ. ΙΣΤ', 16—19.)

Τὸ ἐμφωλεῦον τῇ ἀνθρωπείᾳ γαστρὶ πονηρὸν καὶ ἄξιον τὴν κοπροδόχον οἰκεῖν ἀκάθαρτον πνεῦμα, οἱ μὲν τῆς εὐσεβείας λίαν ἐμφερῶς προσωνομάκασιν ἐγγαστρίμυθον· τῶν δὲ παρ' Ἕλλησιν οἱ μὲν πλεῖστοι ἐντερόμαντιν, ἕτεροι δὲ ἐγγαστρίμαντιν[4] ὀνομάζουσιν. Σοφοκλῆς δὲ ἄρα καὶ Πλάτων ὑπὲρ τοῦ δαιμονίου τῆς γαστρὸς τὴν οἴκησιν αἰσχυνόμενοι, ὁ μέν (ἅτε ποιητικός τις ὤν, καὶ πολὺ τὸ ἄφετον ἐπὶ τῆς γλώσσης ἔχων καὶ αὐτόνομον), ἀντὶ γαστρὸς αὐτῷ τὰ στέρνα χαρισάμενος, στερνόμαντιν μετωνόμασεν·[5] ὁ δὲ τὸ ἐμφανὲς ἴσως τοῦ ψεύδους ἐκκλίνων, ἑτέρᾳ δὲ μεθόδῳ κλέπτων τὴν ὕβριν, Εὐρυκλέα[6] καλεῖ τὸ γαστρίοικον,[7] οὕτω, φασί, κληθέντος πάλαι τινός, ἐπὶ τῷ πάθει διαβοηθέντος, ἀφ' οὗ καὶ τοῖς ἐφεξῆς τὴν προσηγορίαν νέμουσιν. Ἔοικε γὰρ τὸ δαιμόνιον τοῦτο φῦλον οὐ γυναίων μόνον, ἀλλὰ καὶ ἀνδρῶν, τῇ κόπρῳ φιλεῖν

---

[1] Παρ Οἰκον.—χραίνειν (=μολύνειν).

[2] Πεσσεύω καὶ πεττεύω=παίζω τοὺς πεσσούς (κοιν. δάμαν) μετακινῶν τὰς ψήφους· ἐπομ.=μετακινῶ, μεταβάλλω τι.

[3] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΠΒ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΠΓ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΝΑ'. εὕρηται δὲ καὶ παρ' Οἰσχελίῳ ἐν τῇ Μυριοβίβλῳ (σελ. 909).

[4] Ἴδε Σουΐδαν καὶ Ἡσύχιον ἐν λ. ἐγγαστρίμυθος.

[5] Ἐν δράματι οὐ σωζομένῳ. Ἴδε Πολυδ. Ὀνομ. Β', λγ'.

[6] Πλάτ. Σοφιστ. σελ. 182 ἔκδ. Stallbaum, ἔνθα ἴδε καὶ τὰς σημειώσεις τοῦ αὐτοῦ. Τούτοις δὲ παρατίθει καὶ τὰ Φωτίῳ ἐν Μυριοβίβλῳ (κ. 94) εἰρημένα ἐξ Ἰαμβλίχου· ἔτι δὲ καὶ τὰ ὑπὸ τοῦ Σχολιαστοῦ τοῦ Ἀριστοφάνους ἐν Σφηξί, στίχ. 1019.

[7] Τὸ γαστρίοικον, ἀστείως ὑπ' αὐτοῦ Φωτίου πλασθέν, οὐ κεῖται ἐν τοῖς Λεξικοῖς (σημ. Οἰκον.).

Digitized by Google

ἐγγαστρίζεσθαι· λαοπλάνον δὲ τοῦτο καὶ τῆς ἐσχάτης ἀπωλείας τοῖς προσέχειν αὐτῷ ἀναπεπεισμένοις πρόξενον. Καλοῦσι δ' αὐτὸ πολλοὶ τῶν Ἑλλήνων καὶ Πύθωνα·[1] ὅπερ οἶμαι καὶ τῇ τῶν Φιλιππησίων παιδίσκῃ ἐγγαστριζόμενον, τὸν ἐκ τῆς πλάνης ἔρανον τοῖς κυρίοις αὐτῆς, οἷα δὴ καὶ αὐτοῦ δι' ἐκείνης δεσπόζουσι, κατατίθεσθαι. Ὁ δὴ κακομηχάνῳ γνώμῃ καὶ τὸν θεσπέσιον Παῦλον ἐπαίνων ἐγκωμίοις μελετῆσαν ὑπέρχεσθαι, μισθὸν τῆς κολακείας τὴν ὑπερορίαν εὗρε τῆς ἀδίκου καὶ φίλης οἰκήσεως.[2]

ΕΠΙΣΤΟΛΗ ΞΕ'. — 65.

Χριστοφόρῳ Πρωτοσπαθαρίῳ καὶ Ἀσηκρῆτις.[3]

(Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι.—Ματθ. ΣΤ', 17.)

Ἐπειδὴ τὸ ἀλείφεσθαι τὴν κεφαλὴν καὶ τὸ πρόσωπον νίπτεσθαι τοῖς εὐφραινομένοις καὶ χαίρουσι κατά τι παλαιὸν ἐπετηδεύετο ἔθος, καὶ σύμβολα ταῦτα χαρᾶς ἐνομίζετο καὶ εὐφροσύνης, ὁ Δεσπότης τὸν περὶ νηστείας νόμον εἰσάγων, καὶ βουλόμενος ἡμᾶς μετὰ χαρᾶς καὶ εὐφροσύνης ταύτην ἐπιτελεῖν, "Ἄλειψαί σου, φησί, τὴν κεφαλήν, καὶ νίψαι τὸ πρόσωπον·" οὐ τοῦτο λέγων, ἐλαίῳ λιπαίνειν τὴν κεφαλήν, ἢ τὸ πρόσωπον ἐκπλύνειν ὕδατι (οὐδὲ γὰρ αὐτὸς νηστεύσας ἐφ' ὅλας ἡμέρας τεσσαράκοντα τούτοις ἐχρήσατο, οὐδέ τι κέρδος ἐκ τούτων, εἴ τις αὐτοῖς χρῷτο, ὁρᾶν ἐστι παρεπόμενον)· οὔκουν ἀλείφεσθαι καὶ νίπτεσθαι ἡμᾶς διὰ τούτων ἐγκελεύεται· ἀλλ' ἀπ' αὐτῶν τῶν συμβόλων τῆς χαρᾶς καὶ τῆς εὐφροσύνης χαίρειν ἡμᾶς καὶ εὐφραίνεσθαι ἐν τῷ νηστεύειν νομοθετῶν, ταῦτα ἔφησεν. Οὕτω γὰρ ἑαυτοὺς διατιθέντες[4] καὶ διακοσμήσαντες, τούς τε ἄλλους, ἐν οἷς πράττομεν, λαθεῖν δυνησόμεθα, καὶ ἑαυτοῖς ἀνεπαχθῆ τὸν τῆς νηστείας ἀγῶνα ἀπεργασόμεθα· ἔνθα γὰρ προθυμία καὶ χαρά, ἐκεῖ κοῦφον καὶ τὸ ἐπίπονον, ὥσπερ ἔνθα τὸ ῥᾴθυμον καὶ τὸ ἀηδές, ἐκεῖ καὶ τὸ ῥᾷστον δυσχερέστατον.[5] Ἄλειψαι τοίνυν καὶ αὐτὸς τὴν κεφαλήν,[6] καὶ τὸ πρόσωπον νίψαι (ὅπερ μαθεῖν ἐπηρώτησας), φαιδρὸν σεαυτὸν καὶ ἱλαρὸν ἀπὸ τῆς ἐν τῇ καρδίᾳ[7] εὐθυμίας καὶ ἀγαλλιάσεως ἐν τῷ νηστεύειν παρασκευάζων, καὶ παντὶ τρόπῳ λαθεῖν

---

[1] Πλούταρχος ἐν τῷ "περὶ τῶν ἐκλελοιπότων χρηστηρίων" (§ θ') λέγει· "ὥσπερ τοὺς ἐγγαστριμύθους, Εὐρυκλέας πάλαι, νυνὶ Πύθωνας προσαγορευομένους." (σημ. Οἰκον.)

[2] Ἴδε καὶ τὰς Οἰκουμενίου ἐξηγήσεις ἐν τῇ ἐκδόσει τῆς Κ. Διαθ. ὑπὸ Θ. Φαρμακίδου. (Τόμ. Γ', σελ. 152).

[3] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΙΑ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΙΔ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΚΘ'.

[4] Οὕτως ἐξ Οἰκον. ἀντὶ—διατεθέντες—παρὰ τοῖς ἄλλοις· ἔμοιγε μέντοι δοκεῖ ἄμεινον ἂν γεγράφθαι "διαθέντες" κατὰ τὸ πρὸς ὃ συνδέεται "διακοσμήσαντες."

[5] Ταῦτα καὶ Ζιγαβηνὸς ἀντέγραψεν ἐκ Φωτίου ἐν τῇ τοῦ κατὰ Ματθ. Εὐαγγελίου ἑρμηνείᾳ (Τόμ. Α', σελ. 115—6. ἔκδ. Φαρμακίδου.)

[6] Παρ' Οἰκον.—τὴν σὴν κεφαλήν.

[7] Παρ' Οἰκον. ἄνευ τοῦ ἄρθρου—τῇ.

Digitized by Google

ἐπιτηδεύων τοῖς ἀνθρώποις[1] τὸ κατόρθωμα, ἵνα μισθαποδότην ἔξῃς[2] τὸν ἔφορον τῶν κρυφίων Θεόν. Εἰ δὲ καὶ νηστεύων, ἐλαίῳ εὐποιΐας τὸ ἐν τῇ κεφαλῇ δαψιλῶς πιάνας ἡγεμονικόν, ἐκεῖθέν τε, ὥσπερ ἀπό τινος πηγῆς νοερᾶς, ὅλον σεαυτὸν καὶ τὸ πρόσωπον ἐκπλύνας, φαιδρὸν ἀπεργάσῃ καὶ καθαρόν (" ἐλεημοσύναις γάρ, φησίν, ἀποκαθαίρονται ἁμαρτίαι "[3]), εἰς τὸ χρησιμώτατόν σοι δείξεις τῶν θείων λογίων τὴν ἀνάπτυξιν προελληλυθέναι.[4]

ΕΠΙΣΤΟΛΗ ΞΣΤ'.—66.

Τῷ αὐτῷ.[5]

(Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς.—Ματθ. ΙΘ', 21· καὶ " Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα."—Λουκ. ΙΒ', 33.)

Τὴν σὴν ἀπορίαν καὶ πικρότερον καὶ δριμύτερον οἶδά ποτε Ἰουλιανῷ τῷ παραβάτῃ διεσκευασμένην· ἃ γοῦν ἐν τοῖς πρὸς ἐκεῖνον εἶπον,[6] καὶ ὧν ἡ μνήμη τὴν σωτηρίαν ἔχει, ταῦτα δή σοι ἄρα γράφων, ἀποχρῶσαν οἶμαι τὴν λύσιν παρεσχηκέναι. Ἔλεγεν οὖν ἐκεῖνος, ὥσπερ ἐμπανηγυρίζων ταῖς κατὰ τῆς ἀληθείας ὕβρεσι, τοιαῦτα. " Ἀκούσατε καλοῦ καὶ πολιτικοῦ παραγγέλματος· Πωλήσατε τὰ ὑπάρχοντα καὶ δότε πτωχοῖς· ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα. Ταύτης τίς εἰπεῖν ἔχει πολιτικωτέραν τῆς ἐντολῆς; Εἰ γὰρ πάντες σοι πεισθεῖεν, τίς ὁ ὠνησόμενος; ἐπαινεῖ τίς[7] ταύτην τὴν διδασκαλίαν, ἧς κρατυνθείσης, οὐ πόλις, οὐκ ἔθνος, οὐκ οἰκία μία συστήσεται; πῶς γάρ, πραθέντων ἁπάντων, οἶκος ἔντιμος δύναταί τι,[8] ἢ οἰκία; τὸ δὲ ὅτι, πάντων ὁμοῦ τῶν ἐν τῇ πόλει πιπρασκομένων, οὐκ ἂν εὑρεθεῖεν οἱ ἀγοράζοντες, φανερόν ἐστι καὶ σιωπόμενον.[9]

---

[1] Οἰκον. εἰκάζει γραπτέον εἶναι " τοὺς ἀνθρώπους."

[2] Σημειωτέον καὶ ἐνταῦθα τὸν Ἀόριστον τῆς Ὑποτακτ. ἔξῃς, ἀντὶ σχῇς, οὗ καὶ παρ' ἡμῖν πολλὴ ἡ χρῆσις, ἀλλὰ συνθέτου μετὰ προθ.—παρέξῃς—καθέξῃς—ἀνθέξῃς, κ.τ.λ. Οὕτω καὶ ἐν Ἐπιστ. ΣΤ' (§ οή) εἶπεν " ἀνταποδώσῃ " ἀντὶ " ἀνταποδῷ " καὶ (§ πστ') " ὑφέξῃ " ἀντὶ " ὑπόσχῃ· " ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (Ἐπιστ. ΡΙΕ') " ἀφήσῃ " ἀντὶ " ἀφῇ," ὥσπερ καὶ παρ' ἡμῖν συνηθέστατα λέγεται.

[3] Δανιήλ. Δ', 24, καὶ Λουκ. ΙΑ', 41. Παρ' Οἰκον. δὲ ἐνάρθρως—αἱ ἁμαρτίαι.

[4] Οὕτως ἐξ Οἰκον. ἀντὶ—προσεληλυθέναι—παρὰ τοῖς ἄλλοις.

[5] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. Ρ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΑ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΠΖ'.

[6] Ἐν τῷ κατὰ Ἰουλιανοῦ τοῦ παραβάτου συγγράμματι, ὅπερ ἐν τοῖς μηκέτι περιοῦσι τῶν Φωτίου συγγραμμάτων καταριθμεῖται. Ἴδε Προλεγ. σελ. 96.

[7] Παρ' Οἰκον. ἀορίστως—ἐπαινεῖ τις.

[8] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—δύναταί τε·—τὸ δὲ " δύναταί τι "=ἔχει τιμήν τινα, ἤ, ὡς κοινῶς λέγομεν, ἀξίζει τίποτε. (σημ. Οἰκον.)

[9] Ἑπτὰ λόγους κατὰ Χριστιανῶν συνέγραψεν ὁ Ἰουλιανός, ὧν τρεῖς ἐπεγράφοντο " Ἀνατροπὴ τῶν Εὐαγγελίων." Πρὸς τούτους ἀπήντησεν ὁ φωστὴρ τῆς Ἐκκλησίας Κύριλλος

Digitized by Google

Διὰ τοιούτων μὲν οὖν[1] λογισμῶν ὁ παραβάτης τῆς θείας ἐντολῆς κατασκεδάζων τὴν χλεύην, οἴεταί τι σοφὸν καὶ γενναῖον ποιεῖν. Ὁ δὲ τῆς ἀληθείας λόγος, ὧδέ πως ἐπιῤῥαπίζων τὸ μειρακιῶδες αὐτοῦ καὶ σαθρὸν τῶν λόγων, πρῶτον μέν φησιν, ὡς οὐδὲν θαυμαστόν, εἰ, δι' ἧς ἐντολῆς τῷ σωφρονοῦντι μέγα ὄφελος περιγίνεται, καὶ θαῦμα γλυκύ, πρὸς ὕμνους διεγεῖρον τοῦ νομοθέτου, διὰ τῆς αὐτῆς ὁ παραβάτης, ἀντὶ μὲν σωτηρίας βλάβην, ἀντὶ δὲ κέρδους ζημίαν, καὶ ἀντὶ τοῦ χάριν εἰδέναι, τὰ βλάσφημα λέγειν ἑαυτῷ προσεπορίσατο. Ἔστι μὲν γάρ, ἔστιν ὁρᾷν τὸ ἀγαθὸν ὑπὸ τῆς περὶ αὐτὸ τῶν ἀνθρώπων διαθέσεως δυσὶ τούτοις περιστοιχιζόμενον, αἱρέσει λέγω καὶ φυγῇ· ὧν ἡ μέν, τοὺς αἱρουμένους ἐπὶ τὴν ἀμείνω τάξιν ἀνάγουσα, θεατὰς τοῦ κάλλους ἔτι μᾶλλον καὶ γνησίους ἐραστὰς ἀπεργάζεται, τῇ προσθήκῃ τῆς ἐν θεωρίᾳ καταλήψεως προσθήκην ἐντιθεῖσα τοῦ ἔρωτος· ἡ δέ, τοὺς οἰκείους ὡς πορῥωτάτω συμφυγαδεύουσα, καὶ κατὰ κρημνῶν καὶ σκοπέλων καὶ μυρίας πλάνης φέρουσα, ἅτε δὴ ἐφάπαξ τῆς πρὸς τὸ ἀγαθὸν νεύσεως διαστήσασα, καὶ λήθην βαθεῖαν τοῦ καλοῦ θεάματος ἐμποιήσασα, μόνῳ δὴ χαίρειν τῷ τῆς κακίας ἐνεθίζει ζόφῳ, καὶ τυφλοὺς οὐχ ἧττον, ἢ πολεμίους τῆς σφῶν σωτηρίας περιΐστησιν.

Ταύτῃ τοι καὶ Ἰουλιανός, τῷ τῆς ἀποστασίας γνόφῳ ὅλην τὴν ψυχὴν τεθολωμένος, καὶ τὰς ὄψεις, δι' ὧν ἡ κατάληψις τοῦ κυρίως Ὄντος, ἀφῃρημένος, ἐχθρὸς καὶ πολέμιος ταῖς εἰς τὸ ἄριστον ἀναγούσαις ἐντολαῖς[2] ἐπιδείκνυται· ὃς οὐδὲ τηλικαύτης ἐφείσατο καθυλακτεῖν παραινέσεως, ἀλλ' εἰς μώμους ἀπάγειν ἐφιλονείκησε τὴν παντὸς ἀξίαν ἐπαίνου καὶ θαύματος. Τὸ γὰρ "πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην," τίνα συμπαθείας, τίνα δὲ τῆς πρὸς ἀλλήλους ἀληθοῦς εὐνοίας ἀφορμὴν ἐλλείπει; ἀλλ' ἐγκράτειαν; ἀλλὰ σωφροσύνην; τίς δὲ μᾶλλον τῆς ἐντολῆς ταύτης φιλοσοφίας διδάσκαλος; οὐχὶ δὲ πάντων τῶν παθῶν, ὅσα τίκτειν οἶδε τὸ φιλάργυρον, ἐλευθερίαν χαρίζεται; ποῦ γὰρ κλοπή, φιλαργυρίας ἀνῃρημένης; ποῦ δ' ἁρπαγή; ποῦ δὲ λῃστεία, ἐν οἷς καὶ τῶν ἰδίων ἡ διανομὴ περισπούδαστον[3] ὁρᾶται; ἔρεις δὲ καὶ μάχαι καὶ φιλονεικίαι οὐ τῇ τῶν χρημάτων ἀφειδίᾳ αὐτίκα συναφανίζονται; ὁ δ' ἀκόλαστος καὶ ἄσωτος βίος ἆρα παρείσδυσιν ἕξει, τῆς ἐλεημοσύνης ἐπικρατούσης, καὶ τὸ περισσὸν ἅπαν εἰς τὴν τῶν ἐνδεῶν καταναλισκούσης χρείαν, καὶ οὐκ ἐώσης εἰς κόρον τρυφῆς ἢ τῆς ἄλλης ἡδυπαθείας τὸν ἄνθρωπον ἐξυβρίζειν, δι' ὧν εἴωθε καὶ τὰ περὶ ἀφὴν αἰσχρότερα πάθη παραφύεσθαι; πῶς

ὁ Ἀλεξανδρείας, ἀνατρέπων πρόῤῥιζα τὰ τοῦ παραβάτου (βλ. Κυρίλλου Ἀλεξανδρείας τὰ ἅπαντα, Τόμ. Δ' ἔκδ. 1636). Ἀλλ' ἐν τούτοις τὸ παρὰ Φωτίῳ τοῦτο χωρίον οὐχ εὑρίσκεται, οὐδ' ἐν αὐτοῖς τοῖς ἀποσωθεῖσι συγγράμμασι τοῦ Ἰουλιανοῦ (βλ. ἔκδ. Σπαγχεμίου, 1696). Καὶ φαίνεται ἄρα, ὅτι τὰ μηκέτι σωζόμενα κατὰ Χριστιανῶν Ἰουλιάνεια ματαιοπονήματα ἔτι ἐπὶ Φωτίου διετηροῦντο, ἐξ ὧν λαθὼν ἀνεσκεύασε τοῦτο τὸ τεμάχιον ὁ τῆς Κυρίλλου θεηγορίας φωταυγὴς διάδοχος (σημ. Οἰκονόμου).—Οἱ κατὰ Ἰουλιανοῦ δέκα λόγοι τοῦ Κυρίλλου εὕρηνται καὶ ἐν Τόμῳ Θ' τῶν ἁπάντων αὐτοῦ κατὰ τὴν Μιγνίου Πατρολογίαν (Series Graeca. Tom. 76).

[1] Οὕτως ἐξ Οἰκον. ἀντὶ—μὲν—παρὰ τοῖς ἄλλοις, ἄνευ τοῦ "οὖν."

[2] Παρ' Οἰκον.—τῆς εἰς τὸ ἄριστον ἀναγούσης ἐντολῆς.

[3] Παρ' Οἰκον.—περισπούδαστος.

Digitized by Google

οὖν τὸ φιλάνθρωπον καὶ κοινωνικόν, τὸ πρὸς τὸν ἔλεον τῶν ἠπορημένων ἕτοιμον, ἀναστρέψει[1] τὰς πόλεις καὶ τὰ ἔθνη καὶ τὰς οἰκίας; πῶς δὲ ἡ τῆς ἁρπαγῆς,[2] ἡ τῆς λῃστείας, ἡ πάσης ἁπλῶς ἀδικίας καὶ τυραννίδος ἀναίρεσις τῆς ἀνθρωπίνης ἔσται καταστροφὴ πολιτείας; ὁ γάρ τοι καὶ τῶν ἑαυτοῦ κτημάτων ὑπὲρ τοῦ κοινῇ λυσιτελοῦντος ἡφειδηκώς, καὶ τοῖς πλησίον ἐξιστάμενος τῆς ἰδίας ὠφελείας, καὶ ὅλον ἑαυτὸν ὑψηλότερον φέρων τῆς περὶ τὴν ὕλην προσπαθείας, πῶς ἂν ἑνί τινι τῶν εἰρημένων ἀλοίη[3] παθῶν; μᾶλλον δέ, πῶς οὐχὶ τούτων ἁπάντων καθαρεύων, ἑαυτῷ τε διαφερόντως καταπράττοιτο τὰ ὄντως ὄντα ἀγαθά, καὶ τοῖς πολίταις οὐ μόνον δι' ὧν ἐπεκούρησεν ἀπορουμένοις, ἀλλὰ καὶ διὰ τοῦ[4] καθ' ἑαυτὸν πολιτεύματος μέγα ἂν εἴη ὄφελος, καὶ ὑπόδειγμα φιλοσόφου καὶ ὑψηλοῦ βίου προτεθειμένος; ἐκ δὲ τοιούτων ἀνδρῶν, κοινὰ μὲν τὰ ὄντα προτιθέντων, ἐλέους δὲ πλήρεις τὰς δεξιὰς προτεινόντων, καὶ βίαν μὲν πᾶσαν ἐλαυνόντων, τὸ δίκαιον δὲ τιμώντων, καί, συντόμως εἰπεῖν, ἐν ἴσῳ ἑαυτοῖς τοὺς πλησίον ποιουμένων, ἡ ἐκ τοιούτων ἀνδρῶν πόλις οἰκιζομένη, ἆρα φθορᾶς ἐκ γειτόνων ἔσται, ἢ μακρῷ, καὶ ὅσαι πώποτε συχνοῖς ἔτεσι τὴν εὐδαιμονίαν ἔσχον παραμετρουμένην, καὶ τούτων ἁπασῶν ἀμείνω τε καὶ διαιωνίζουσαν μᾶλλον τὴν διαμονήν τε καὶ τὸ κλέος ἕξει;

Ἀλλ' ὁ σοφός, ὡς ἔοικεν, Ἰουλιανὸς οὐ βούλεται τοῦτο· ἐθέλει δὲ τοὺς αὐτοῦ πολίτας χεῖρα μὲν βαρεῖαν προβεβλῆσθαι, ἐκ τῶν ἀλλοτρίων πόνων αὐτοῖς τὴν περιουσίαν συλλέγουσαν, μὴ φείδεσθαι δὲ μήτε λῃστηρίου[5] τόλμης, μήτε λαθραίας μήτ' ἐμφανοῦς ἐπιβουλῆς· ἀλλὰ κἂν τυραννίδι ἐπιθέσθαι δέοι, κἂν Φαλάριδος ὠμότερον πρᾶξαι τε καὶ δόξαι,[6] κἂν πάντας ἀποκρύψασθαι τοὺς ἐπὶ πάσῃ κακίᾳ βεβοημένους, ὑπὲρ τοῦ πλείω τὰ ὑπάρχοντα ποιῆσαι μηδὲν μηδαμῶς παραιτεῖσθαι, ὡς ἂν ἁπάσης ἡδονῆς καὶ ἐπιθυμίας ὕλην ἄφθονον ἑαυτοῖς παρεσκευακότες καὶ ἀποθέμενοι, ἀδεῶς τοῦ λοιποῦ τρυφῶσί τε καὶ κατασπαταλῶσι, γαστρὶ καὶ αἰδοίοις ζῶντες, καὶ τὸν εὐκλεᾶ καὶ ἀξιοζήλωτον βίον, καὶ εἰς μήκιστον παρατεινόμενον χρόνον, οὐκ ἄλλον, ἀλλ' οἷς οὗτοι βιοῦσι, περιορίζοντες. Οὐ γὰρ καλή γε ἡ συμβουλὴ τοῦ τὰς πόλεις, δι' ὧν φροντίζει, πολίζοντος, καὶ οὗ ἡ βαθεῖα καὶ μεγάλη πρόνοια τὰ ἔθνη συνέχει καὶ τὰς οἰκίας συνίστησιν; ὃς ἐξ ὧν ἔδοξε λέγειν, ἀντὶ μὲν φιλανθρώπων φιλαργύρους, ἀντὶ δὲ φιλαλλήλων ἐπιβούλους, καὶ ἀντὶ ἐλεημόνων ἀνελεήμονας, καί, συντόμως εἰπεῖν, ἀντὶ τοῦ διὰ πάντων ἀρίστους ἐν πᾶσι κακίστους εἶναι εἰσηγούμενος (δῆλον γάρ, ὅτι καθ' ὃν τρόπον τὸ ἀφιλάργυρον ἦθος συνεφέλκεται τὰς ἄλλας ἀρετάς, οὕτως ἡ φιλάργυρος νόσος συνεπισύρεται πᾶσαν τὴν συγγενῆ κακίαν)· ἀλλ' οὖν, ὅπερ ἔλεγον, ὁ καλὸς οὗτος σύμβουλος καὶ τῆς Δεσποτικῆς ἐντολῆς χλευαστής,

---

[1] Παρ' Οἰκον.—ἀνατρέψει.

[2] Παρ' Οἰκον.—πῶς δ' ἡ τῆς κλοπῆς, ἡ τῆς ἁρπαγῆς, κ.τ.λ.

[3] Παρ' Οἰκον.—ἁλῴη·—ἀλλ' ἀμφότερον λέγεται.

[4] Οὕτως ἄμεινον ἐξ Οἰκον. ἀντὶ—δι' αὐτοῦ—παρὰ τοῖς ἄλλοις.

[5] Ὁμοίως, ἀντὶ—λῃστρικοῦ—παρὰ τοῖς ἄλλοις.

[6] Οἰκον. εἰκάζει γραπτέον εἶναι—κἂν Φαλάριδος ὠμότερα πρᾶξαί τε καὶ διδάξαι.

Digitized by Google

ἀντὶ τοῦ βελτίστου τὰ χείριστα τοὺς ἀνθρώπους αἱρεῖσθαι κατὰ τὸ ἀκόλουθον ὑποτιθέμενος, μηδ' ἂν ἄλλως εὐδαιμόνως βιώσειν,[1] μήτε πόλιν, μήτε ἔθνος, μηδ' οἰκίαν, κατεπαγγέλλεται· ἀλλὰ μηδὲ προελθεῖν ἐπὶ μακρότατον, εἰ μὴ ἕλοιντο μᾶλλον, ἀντὶ τοῦ τὰ πάντα εἶναι χρηστοί, τὰ πάντα εἶναι φαυλότατοι. Εἰς τοιοῦτον αὐτῷ καὶ βουλῆς καὶ πολιτείας καταστρέφει τέλος τὸ κατὰ τῆς θείας ἐντολῆς θράσος, καὶ ἡ εἴρων γλῶσσα, καὶ τὰ τῆς ἀνατροπῆς σοφὰ ἐνθυμήματα. Καίτοι γε, εἰ μή τι ἄλλο, τοὺς σοὺς κύνας, οὓς ἐθαύμαζες, ἔδει σε μεμνῆσθαι καὶ αἰσχύνεσθαι, τὸν Διογένη, τὸν Ἀντισθένη, τὸν Κράτητα, τὸν ἄλλον χορὸν τῶν θαυμασίων σου κυνῶν· οἵ, εἰ καὶ τῷ ἐπιδεικτικῷ τοῦ ἤθους τὸν τῆς ἀληθοῦς ἀκτημοσύνης χαρακτῆρα ἐκιβδήλευον, ἀλλ' οὖν μεμισηκότες ἐφαίνοντο τὸ φιλόπλουτον, καὶ τὸν λιτὸν δοκεῖν ἀσπάζεσθαι καὶ ἀφιλάργυρον βίον μέγα ἐποιοῦντο· ἐκείνοις ἐχρῆν σε μᾶλλον λέγειν, ἀντὶ τοῦ θειάζειν, ὡς, εἰ πάντες ὑμῖν πεισθεῖεν, οὐκ ἔθνος,[2] οὐ πόλις, οὐκ οἰκία μία συστήσεται. Πῶς γὰρ ἔτι, μιμησαμένων ὑμᾶς ἁπάντων ἀνθρώπων, οἶκος ἔντιμος δύναταί τι, καὶ οἰκία; τὸ σοφόν σου τοῦτο καὶ πάσης ναυτίας γέμον κατὰ τῆς ἐντολῆς ἐπαπόρημα· "πῶς οἶκος ἔντιμος δύναταί τι καὶ οἰκία;"

Ἀλλὰ γὰρ πῶς, ἀντὶ τοῦ ταῦτα τοῖς σοῖς ἐπιτιμᾷν σε κυσί, τούτους μὲν ὑπερθαυμάζεις, ἃ δὲ τὴν ἀμείνω πολλῷ τούτων καὶ ἀμιγῆ πάσης μοχθηρίας εἰσηγεῖται πολιτείαν, ταῦτα δὲ τὰ λόγια διασύρεις; Τί δὲ καὶ ἐπὶ μόνης τῆς διδασκαλίας ταύτης τὸ δριμύ σου τῶν ἐνθυμημάτων καὶ τῆς ἰθυβόλου φύσεως τὸ βαθὺ καὶ ἔντονον ἐπεδείξω; ἡδύνω γὰρ τὰ αὐτὰ ματαιολογεῖν καὶ ἐπὶ πλειόνων ἄλλων· "Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς." Ἀλλ' εἰ πάντες ἐκλάμψουσι, τίνες οἱ ὀψόμενοι, καὶ τὸν Θεόν, ἐφ' οἷς εἶδον, διὰ δόξης θεραπεύσοντες; "Δίδοτε, καὶ δοθήσεται ὑμῖν." Εἰ πάντες ἕλοιντο διδόναι, τίς ὁ ληψόμενος; "Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν." Εἰ πάντες ἀφῶσι, τίνες, οἷς ἀφήσουσιν; "Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν." Εἰ πάντες ἀγαπήσουσι, ποῦ οἱ ἐχθρῶς ἔχοντες; Εἰ πάντες τοῖς τὴν σιαγόνα παίουσι τὴν δεξιὰν καὶ τὴν ἄλλην εἰς ὕβριν ἴσην ἐκδώσουσι, ποῦ οἱ τυπτήσοντες; καὶ μυρία ἄλλα, μᾶλλον δὲ οὐκ ἔστιν, ὡς ἔπος εἰπεῖν, οὐδεμία θεία παραίνεσις, ἐν τῇ πρὸς ἕτερον ἀφ' ἑτέρου πράξει κατορθουμένη, καθ' ἣς οὐκ ἔστιν ἰδεῖν τὴν ἄλογον ταύτην καὶ μωρὰν ἐπήρειαν διαβαίνουσαν. Τῆς γὰρ ἐχούσης ἐντολῆς ἐν συζυγίᾳ προσώπων τὴν ὕπαρξιν, ὁ διασχίζων ταῦτα τῆς πρὸς ἄλληλα συναφείας καὶ σχέσεως, εἶτα πάντας ἀξιῶν εἰς θατέραν[3] συνωθεῖν μοῖραν τοῦ τμήματος, οἷον ἐξ ἧς[4] προβάλλεται ἡ ἐνέργεια, οὗτός γε τὴν ὑπόλοιπον πάντως εὐχερῶς εἰς καταστροφὴν τῆς ἐντολῆς παραλήψεται,[5] ψευδεῖ καὶ ἀτόπῳ τῇ παρ' αὐτοῦ συμπλασθείσῃ θέσει ἀκόλουθον ἔχων τὸ περαινόμενον· καὶ διερωτήσει γε μάλα σεμνῶς σὺν εἰρωνείᾳ καὶ διακένῳ φυσή-

[1] Οὕτως ἐξ Οἰκον. ἀντὶ—βιῶσιν—παρὰ τοῖς ἄλλοις· ἴσως δὲ καὶ τὸ "μηδ' ἂν ἄλλως" γραπτέον "μὴ ἂν ἄλλως," ἢ "μηδαμῶς ἂν ἄλλως."

[2] Οὕτως ἐξ Οἰκον. ἀντὶ—οὐκ ἂν ἔθνος—παρὰ τοῖς ἄλλοις.

[3] Ἴδε τὰ περὶ τούτου σημειωθέντα ἐν Ἐπιστ. Γ', σελ. 147.

[4] Παρ' Οἰκον.—ἐξῆς.

[5] Παρ' Οἰκον.—παραλείψεται.

Digitized by Google

ματι· εἰ πάντες ἐνεργήσουσι, τίνες, ἐν οἷς ἡ ἐνέργεια; Οὕτω τοιγαροῦν ῥᾳδίας οὔσης φέρεσθαι κατὰ πάσης σχεδὸν τῆς διδασκαλίας τοῦ Πνεύματος τῆς ὑψηλῆς σου ταύτης καὶ δραστηρίου καταδρομῆς, πῶς, εἰ καὶ μὴ ἐπὶ πασῶν, ἀλλά γε τῶν πλείστων, οὐκ ἀφῆκας[1] τὴν τηλικαύτην σου βάσανον, μιᾷ δὲ μόνῃ τῶν ἐντολῶν ὑπὸ πολλῆς εὐλαβείας συγκατέκλεισας; οὕτω γὰρ ἄν σου τῶν ἐπιχειρημάτων τὸ εὔπορον καὶ βαθὺ μᾶλλον ἀπεθαυμάζομεν.

Ἀλλ' ἦν καὶ τοῦτο κακουργίας μᾶλλον ἢ ἀνοίας ἐπιτέχνασμα· ᾔδει γάρ, ᾔδει, κατὰ πάντων μὲν τῶν Δεσποτικῶν προσταγμάτων τὴν αὐτὴν κατάῤῥησιν προβαλλόμενος, εὐφώρατον ἕξειν τὸ ῥαδιούργημα, ἅτε δυναμένου καὶ τοῦ τυχόντος συνορᾷν, ὡς οὐκ ἂν οὕτω γε πάντα τὰ σωτήρια παραγγέλματα τὴν αὐτὴν παρεῖχεν αἰτίαν τοῦ δι' ἑαυτῶν περιτρέπεσθαι· ἐπὶ μιᾶς δέ, μᾶλλον ἤλπισε λαθεῖν, εἰ περιγράψοι τὸ συκοφάντημα, καὶ τὸ οἰκεῖον κακούργημα παρείσδυσιν οὕτω πλέον εὑρεῖν εἰς ψόγον τῶν ἀμωμήτων ἀντιπεριενεχθήσεσθαι. Ὥστε καὶ δι' ὧν λαθεῖν ἐμελέτησε, τὸ φιλοκάκουργον καὶ σαθρὸν τῶν λόγων τῶν αὐτὸς αὐτοῦ ἐθριάμβευσεν. Ἐχρῆν δέ, τοιαύταις αὐτὸν ἐκδεδωκότα λέσχαις καὶ κακοσχόλοις σοφίσμασι, μηδὲ τὴν διὰ τῆς ἑτέρας μοίρας τῶν προσώπων ἐπήρειαν παρελθεῖν, ἀλλ' ἐξ ὁμοίου τάχους διανοίας καὶ ἀγχιστρόφου φρονήματος ἐπαπορεῖν, καὶ λέγειν· εἰ δὲ πάντες ἀντὶ τοῦ πιπράσκειν ἕλοιντο ὠνεῖσθαι, τίνες ἂν οἱ πωλοῦντες εἶεν; τί γὰρ διαφέρει, πάντας εἰς τὴν τῶν πωλούντων[2] μοῖραν συνελαύνοντα, τοὺς ὠνησομένους ἐπιζητεῖν, ἢ ἀνάπαλιν, εἰς ἀγοράζοντας ἀναφέροντα, τοὺς πωλεῖν ἐθέλοντας διερευνᾶσθαι καὶ περιεργάζεσθαι; Ἀλλ' ἐάσθω τοῦτο. Τί δαί;[3] σὺ ἆρα βούλει πάντας ἀνθρώπους καλοὺς καὶ ἀγαθοὺς εἶναι καὶ πταισμάτων κρείττους, ἢ ἀπαρέσκει σοι; Ἀλλ' εἰ πάντες καλοὶ καὶ ἀγαθοί, ποῦ ἡ τῶν νόμων χρεία; ποῦ δὲ τῶν νομοθετῶν ὁ πόνος καὶ ἡ σπουδὴ καὶ ἡ πρόνοια; καίτοι γε αὐτὸ τοῦτο, καλοὺς καὶ ἀγαθοὺς εἶναι τοὺς ἀνθρώπους προνοούμενοι, τοὺς νόμους ἐτίθεσαν. Ἡ δικαιοσύνη δὲ ἆρ' οὐκ εἰς τραγελάφους σοι καὶ σκινδαψοὺς[4] περιστήσεται; ποῦ γὰρ δικαιοσύνη, δίκης οὐκ οὔσης;

---

[1] *Οἰκον. εἰκάζει γραπτέον εἶναι—ἐφῆκας.*

[2] *Ἐκ διορθ. Οἰκον. ἀντὶ—ἀγοραζόντων—ὅπερ πλάνῃ τῶν ἀντιγραφέων ἐκ τοῦ ἑπομένου "ἀγοράζοντας" οὕτως ἔοικε γεγράφθαι.*

[3] *Ταύτην προειλόμην τὴν γραφὴν ἐξ Οἰκονόμου, ἀντὶ—τί δὲ σύ; ἆρα βούλει, κ.τ.λ.—παρὰ τοῖς ἄλλοις. Ἐν τούτῳ γὰρ ἡ χρῆσις τοῦ δαί, ἐπὶ ἐμφαντικῆς δῆλον ὅτι ἐρωτήσεως, εἰς ἄλλα ἢ τὰ προηγούμενα τρεπομένης.*

[4] *Σκινδαψός=ὄργανον μουσικόν, οὕτως ὀνομασθὲν ἐκ τοῦ εὑρόντος αὐτὸ Σκινδαψοῦ τοῦ Ἐρετριέως, ὥς φησι Φώτιος ἐν Μυριοβίβλῳ. Λέγεται δὲ καὶ ἕτερον γενέσθαι Σκινδαψόν, Ὁμήρου θεράποντα, ὃν Χῖοι χιλίας ἐζημίωσαν δραχμάς, διὰ τὸ μὴ καῦσαι τελευτήσαντα τὸν δεσπότην (Ἴδε Μυριοβ. κώδ. 190). Ἐν δὲ τῷ Μ. Ἐτυμολ. (λ. γαληψός) τάδε περὶ σκινδαψοῦ προστέθειται· "τὰ δὲ εἰς ΨΟΣ ὑπὲρ δύο συλλαβὰς ὀξύνεται, σκινδαψός (ὀργάνου ὄνομα, καὶ κύριον· τίθεται δὲ καὶ κατ' οὐδενός, ὡς τὸ τραγέλαφος)." Λέγεται δὲ σκινδαψός καὶ φυτόν τι ὅμοιον κισσῷ, τὸ κοινῶς λεγόμενον ἀφάνα ἢ ἀφάννα, περὶ οὗ ἴδε Κοραῆ Ἄτακτα (Τόμ. Δ', σελ. 711). Ἔοικε δὲ εἰς παροιμίαν ἐκπεσεῖν, ὡς φάρμακον θεωρούμενον· ὅθεν ἐν τῷ Μ. Ἐτυμολ. (λ. βλίτυρι καὶ κινδαψός) σημειοῦται περὶ τούτου· "γέγονε*

Digitized by Google

ποῦ δὲ δίκη, μηδενὸς ἀδικοῦντος; ἀδικῶν δὲ τίς, πάντων εἰς ἀμείνους μεταξαμένων; Οὐχὶ δὲ καὶ ἡ πραότης συνοιχήσεται; τίνι γὰρ πρᾶος, οὐκ ὄντος τοῦ παροργίζοντος; ποῦ δ' ὁ παροργίζων, καὶ τίνα, καὶ ἡ αἰτία ποία; ἀγαθῷ γὰρ ἀγαθὸς οὐκ ἔστιν ἐφ' ὅτῳ, κἂν βουληθῇ, παροργίσειε· δῆλον δέ, ὡς οὐδὲ βουλήσεται.

Οὐκοῦν, κατὰ τοῦτό γε τὸ περιπόνηρόν σου λήρημα, πολλῆς καὶ μεγάλης ἔνοχος αἰτίας ὁ τοὺς ἀνθρώπους καλοὺς καὶ ἀγαθοὺς βουλόμενος εἶναι· κρατυνθείσης γὰρ τῆς διδασκαλίας,[1] οἰχήσεται τὰ κράτιστα τῶν κατορθωμάτων, καὶ αὐτοὶ οἱ νόμοι μάταιόν τι καὶ περιττὸς ὄχλος ἔσονται· καὶ οὔπω λέγω, ὅτι διὰ τοῦ ἀγαθοῦ ἡ τοῦ ἀγαθοῦ ἀναίρεσις καταπράττεται,[2] οὐδ' ὅτι ἡ τοῦ ἀρίστου αἵρεσις εἰσαγωγὴ τῶν χειρόνων ἐπιδείκνυται. Οὐ γὰρ σοφά σου καὶ πολιτικῆς θεωρίας ἔμπλεα τὰ ἐνθυμήματα; ὁ τὰ πολιτικὰ ἡμῖν ἐπισείων, καὶ λέγων· "ταύτης ἔχει τις εἰπεῖν πολιτικωτέραν τῆς ἐντολῆς;" Καίτοι τὸν τὰς Πλάτωνος πολιτείας μονονουχὶ προσκυνοῦντα, μυρίας μὲν γεμούσας ἀσελγείας, μυρίας δὲ πρὸς ἑαυτὰς μάχης, καὶ πολεμιωτάτας μὲν πάσῃ ἀνθρωπίνῃ πολιτείᾳ, τὸ ἀνύπαρκτον δὲ καὶ ἀνούσιον[3] παρ' ὅλον τὸν αἰῶνα πολιτευομένας, τὸν ἐκείνας ἐν μνήμῃ λαμβάνοντα, καὶ ταύταις ἐνσεμνυνόμενον, ἆρ' οὐκ ἐχρῆν ὅλως αἰσχύνεσθαι καὶ αὐτὸ τὸ τῆς πολιτείας ὄνομα ψιλὸν διὰ χειλέων προάγειν; Σὺ δὲ καὶ ἐπειρωνεύειν ἡμῖν ταύτην ἐθρασύνθης, καὶ τοσοῦτόν σοι τὸ δραστήριον, ὅτι[4] ἃ μὲν ψέγειν σπουδάζεις, ἐπαινεῖς λανθάνων, οἷς δὲ τὸν ἔπαινον φέρειν ἀγωνίζῃ, ταῦτα ψέγων οὐκ αἰσθάνῃ. Ἀλλ' ἐῶ μὲν[5] τοῦτο τέως.

Ἐνόμισας δὲ ἄρα ὑπὸ πολλῆς σοφίας σύ, ὡς καὶ προηγούμενον ἔσχε σκοπὸν ὁ Σωτὴρ πολιτικὴν παραδοῦναι τέχνην; πῶς οὖν οὐκ αἰτίαις ὑπάγεις, καίτοι φιλαιτιώτατος ὢν καὶ πνέων τὴν ὕβριν, ὅτι μηδὲν περὶ στρατηγῶν, μηδὲ στρατοπέδων, μηδὲ στρατιωτῶν ὥρισεν; οὐδ' ὅπως δεῖ πολεμίοις διὰ μάχης ἰέναι, οὐδ' ὅτε σπένδεσθαι, ἀλλ' οὐδ' ὅπου[6] δέοι τὸν σῖτον ἢ τὰ ἄλλα πιπράσκεσθαι; ἀγορανόμους δὲ καὶ δικαστὰς καὶ νομοθέτας, ὁποῖοί τε ἔσονται, καὶ ὅσοι, οὐ δυσχεραίνεις, ὅτι μηδὲν εἰσηγήσατο; Τυφλὲ καὶ μωρέ, οὕτω βαθὺν ὕπνον ἐκάθευδες, καὶ ταῦτα τὰς νύκτας ἄϋπνος[7] τελῶν ἐπὶ τῇ κατὰ τῶν θείων λογίων μα-

---

δ' ἤδη παροιμιώδες, ὡς καταριθμεῖσθαι ἐν καταλόγῳ φαρμάκων." Ἴδε τὰς περὶ τούτου σημειώσεις τοῦ Θ. Γαισφόρδου ἐν τῇ ὑπ' αὐτοῦ γενομένῃ ἀρίστῃ ἐκδόσει τοῦ Μ. Ἐτυμολ. (σελ. 200—1 καὶ 219· ἐν Ὀξωνίᾳ 1847)· ἔτι δὲ καὶ τοὺς Παροιμιογρ. Ἕλληνας ὑπὸ τοῦ αὐτοῦ, σελ. 23· ἐν Ὀξωνίᾳ 1836. Ἡ δὲ παροιμία ἔοικεν ὁμοία τις εἶναι τῇ "καὶ κόρκορος ἐν λαχάνοις," ἣν ἴδε αὐτ. σελ. 66, 196 καὶ 323.

[1] *Μοντακ. προσθετέαν εἶναι εἰκάζει τὴν Ἀντωνυμ.—ταύτης.*

[2] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—ὅτι δι' αὐτοῦ ἀγαθοῦ ἀναίρεσις καταπράττεται—παρὰ τοῖς ἄλλοις.*

[3] *Παρ' Οἰκον.—ἀνόσιον—ἀλλὰ μᾶλλον ἔοικεν εἶναι ἀνάλογον πρὸς τὸ μεθ' οὗ συνδέεται "ἀνύπαρκτον" τὸ παρὰ Μοντακ. "ἀνούσιον."*

[4] *Οἰκον. τοῦτο διωρθώσατο "ὥστε·" ἀλλὰ συνηθέστατον Φωτίῳ τῷ "ὅτι" χρῆσθαι ἐν τοῖς τοιούτοις ἀντὶ τοῦ "ὥστε." Ἴδε Ἐπιστ. ΡΘ', καὶ τὰ ἐκεῖ περὶ τούτου σημειωθέντα.*

[5] *Οἰκον. εἰκάζει γραπτέον εἶναι—ἀλλ' ἐῶμεν. (Ἀμφιλ. σελ. 375.)*

[6] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—ἀλλ' οὐδ' ὅσου.*

[7] *Παρ' Οἰκον.—ἀΰπνους.*

Digitized by Google

ταιοπονίᾳ, ὥστε μηδὲ τούτου συναίσθησιν δέξασθαι, ὅτι περ ὁ Σωτὴρ ἡμῶν καὶ Θεὸς τῶν μὲν πολιτικῶν τύπων καὶ τῆς περὶ αὐτὰ τάξεως, οὐκ ἔσχε προηγούμενον τὸν σκοπόν (ᾔδει γάρ, ᾔδει τοὺς ἀνθρώπους ἱκανὴν τῇ πείρᾳ παρασκευὴν πρὸς ταῦτα λαβεῖν, τῆς χρείας καὶ τῆς ἀνάγκης τὴν μάθησιν αὐτοῖς ὁσημέραι ῥᾳδίαν παρεχομένης, καὶ τῶν προλαβόντων τὰ πταίσματα ἀποχρῶσαν τοῖς ἐσομένοις ἐπὶ τῶν ὁμοίων ἀντεισάγειν τὴν διόρθωσιν· εἴ τι δὲ καὶ ταύτης ἡμάρτητο, καὶ τοῦτο μὲν[1] πρὸς τὸ εὖ ἔχον καὶ καθεστηκὸς ἐπανορθούμενος μετερρύθμιζεν·), προηγουμένη δὲ τῷ Σωτῆρι φροντὶς ἡ τῶν ψυχῶν ὑπῆρχε σωτηρία, καὶ εἰσαγωγὴ βίου φιλοσόφου καὶ ζωῆς ὑψηλοτέρας; διὰ ταύτης γὰρ ἡ τῶν παθῶν ἐλευθερία, καὶ ἡ πρὸς τὸ πρῶτον ἀγαθὸν ἐπιστροφὴ καὶ συνάφεια, ἀλλ' οὐ πολιτικῆς διαγωγῆς ἢ σωματικῆς εὐδαιμονίας ἡ ἐπιμέλεια κατεβέβλητο. Ταύτῃ τοι καὶ τοῖς φιλοσάρκοις καὶ φιλοσωμάτοις ἡ Δεσποτικὴ παραίνεσις, ὥσπερ δὴ καὶ σοί, δύσοιστός τε καὶ δυσάρεστος· ἐχρῆν δὲ ἄρα, εἴπερ τις ἦν λογισμός, κἂν γοῦν ἐν ταῖς συκοφαντίαις μελετῶν, φυλάττειν τὸ ἀκόλουθον, μὴ ὅτι οὐκ ἔστι πολιτικὴ ἡ Δεσποτικὴ ἐντολή, ἐν εἴρωνι λόγῳ διαθρύπτεσθαι, ἀλλ' ὅτι οὐ φιλόσοφος, οὐδὲ φιλοσόφου βίου κρηπίς. Σὺ δέ, ἐξ ὧν μὲν ἐκείνη ψόγον οὐ δέχεται, τοῦτο αἰτιασάμενος (καίτοι κἂν τούτῳ ματαιολογεῖν προελεγμένος[2]), δι' ὧν δ' ἂν ἐντολὴ τοιαύτη ψεχθείη, μηδὲ μεμνῆσθαι θαῤῥήσας, καὶ τὸ τῆς σῆς γνώμης φιλαίτιον καὶ φιλοκάκουργον καὶ σαθρὸν ἀμάχῳ λόγῳ διήλεγξας, καὶ τὸ τῆς ἐντολῆς κρεῖττον μώμου καὶ διαβολῆς ἁπάσης καὶ ἄκων προσεμαρτύρησας.

Ὅρα δὲ λοιπόν, ὅπως αὐτὸς ἑαυτῷ ὑποθέμενος τὸ ἀδύνατον, καθ' ἑτέρου δοκεῖ συνάγειν τὸ ἑπόμενον ἄτοπον. Λέγων γάρ, ὅτι "πωλούντων ἁπάντων, τίς ὁ ὠνησόμενος;" ἀδυνάτῳ μὲν αὐτὸς θέσει τὴν ἀτοπίαν ἐφέλκεται, οἴεται δὲ οὐ τῆς αὐτοῦ ῥαδιουργίας εἶναι τὸ ἔγκλημα, τὴν ἐπηρεαζομένην δ' ἐντολὴν παρέχειν τὸ αἴτιον· οὐ γὰρ ἔστιν, οὐκ ἔστι, κἂν πολλάκις τοῦτο Χριστὸς παραινέσειε, κἂν μυρίαις ἀπειλαῖς καταδήσειε, κἂν ἀστραπὰς καὶ βροντὰς καὶ κεραυνοὺς καὶ γῆς χάσματα τοῖς λόγοις συνεπαφήσειεν, οὐκ ἔστι δυνατὸν ἅπαντας μὲν ὑφ' ἕνα καιρὸν ἐλέσθαι πωλεῖν, οὐδένα δὲ ὑπολελεῖφθαι τὸν φιλόκερδῆ καὶ φιλόπλουτον· εἰσὶ γάρ, εἰσὶ κατὰ πάντα καιρὸν οὗτοί τε κἀκεῖνοι· βάσιμος δὲ οὐδέποτε πᾶσιν ἅμα ἡ ἀρετή· ἀγαπητὸν δέ, κἂν οἱ πλείους[3] καὶ ἀνὰ μέρος· ἀλλ' οὐδὲ τοῦτο ῥᾳον,

---

[1] Οὕτως ἐν τῷ χειρογράφῳ τῶν Ἀμφιλοχίων· παρὰ δὲ Μοντακ.—καὶ τοῦ μέν·—ἀλλ' ἀμφότερα οὐκ ἔῤῥωται· ὅθεν Οἰκον. μὲν εἰκάζει γραπτέον εἶναι "καὶ τοῦτο μέν τις·" ἐγὼ δὲ καὶ τὸν μ έ ν, οὐδὲν ἐνταῦθα χρήσιμον ὄντα, εἴποιμι ἂν ἀντικαταστατέον εἶναι διὰ τοῦ δυνητικοῦ ἂ ν "καὶ τοῦτο ἄν τις . . . . μετερρύθμιζεν·" τοῦτ' ἔστιν, ἠδύνατό τις (καὶ ἄνθρωπος ὤν) μεταῤῥυθμίζειν, ἅτε τοῦ ἔργου ἀνθρωπίνην ἀπαιτοῦντος ἐνέργειαν· ἡ δὲ τῶν ψυχῶν σωτηρία, θεῖον ἔργον οὖσα, πρὸ παντὸς ἄλλου τῷ Θεῷ καὶ Σωτῆρι ἡμῶν ἐσπουδάζετο. Καὶ ταῦτα μὲν ταύτῃ κατ' ἐμέ, ἴσως μὲν ὀρθῶς, ἴσως δὲ καὶ ἡμαρτημένως ἔχειν τοῖς περὶ τούτων ἄμεινον κρίνειν δυναμένοις δόξοντα· τὴν δὲ παρένθεσιν ἐξ Οἰκον. προσέθηκα, μὴ ὑπάρχουσαν παρὰ τοῖς ἄλλοις, ἀναγκαίαν δὲ σαφηνείας ἕνεκεν οὖσαν.

[2] Οὐκ οἶδ' ἀνθ' ὅτου "προελειλεγμένος" διωρθώσατο, ὅστις ποτ' ἂν ᾖ ὁ τὰ τυπογραφικὰ παροράματα ἐν τῇ Οἰκονόμου τῶν Ἀμφιλοχίων ἐκδόσει σημειώσας· ὀρθὸν γὰρ πάντως τὸ ἐν τῷ κειμένῳ—προελελεγμένος.

[3] Οἰκον. εἰκάζει γραπτέον εἶναι—ἀγαπητὸν δ' ἄν, εἰ τοῖς πλείοσι καὶ ἀνὰ μέρος.—Καὶ τοῦτο μὲν μᾶλλον

Digitized by Google

οὐδ' ἐπί τινος ἔστιν ἰδεῖν ἀρετῆς· ἐλάττους γὰρ ἀεὶ ταύτης, ἢ οἱ τῆς κακίας ἐρασταί· οὐ μὴν διὰ τοῦτο προσήκει τοῦ ἀνθρωπίνου γένους τῷ προνοητῇ[1] τοὺς νουθετηρίους λόγους ἀφαιρεῖν, καὶ τὴν διδασκαλίαν περιελεῖν,[2] διότι μὴ πάντας πειθομένους ἔχει· ἀλλ' ὅτι πολλοῖς ἐγγίνεται δι' αὐτῶν φυγὴ μὲν τοῦ χείρονος, αἵρεσις δὲ τοῦ βελτίονος, διὰ τοῦτο δεῖ πάντας ἐπ' ἀρετὴν παρακαλεῖν.

Κἀκεῖνο δὲ σκοπεῖν ἔξεστιν, ὅπως μηδὲν προορώμενος ὁ συνετὸς οὗτος καὶ ταχὺς ἐν θεωρίᾳ τὸ ἐπιὸν λέγει, "πῶς γὰρ πάντες πωλήσουσιν;" ἆρα πάντες πλούσιοι, καὶ πένης οὐδείς; οὐδεὶς δὲ οὐδὲ τῶν ἐν αὐταρκείᾳ μόνῃ βιούντων; καίτοι τὸ πλεῖστον τῶν ἀνθρώπων ἐν τοιούτοις[3] ὁρῶμεν ἐξεταζόμενον, πλούσιοι δὲ παρὰ πολὺ τῶν ἄλλων ἐλάττους. Πόθεν οὖν πάντας ἀνθρώπους πλουσίους εὗρες, καὶ πωλεῖν αὐτοὺς τὰ ὑπάρχοντα πειθηνίους ἔσχες; Ἀλλ', ὡς ἔοικεν, ἐκ τῆς Πλάτωνος τούτους συνελέξω πολιτείας, ἐκ τῆς μηδαμῇ μηδαμῶς ὑφεστώσης τοὺς οὐδαμοῦ εὑρισκομένους.

Εἰ δέ τις τὴν καλήν σου ταύτην καὶ περίεργον βάσανον καὶ τὸν ἀκριβῆ τῆς ἀνοίας νόμον ἐπὶ τὰς σὰς ἐπαφήσει νομοθεσίας, καὶ τὰ θαυμαζόμενά σοι τῶν διδασκάλων καὶ πατέρων ἀποφθέγματα, ἆρ' ἔστιν ὃ μὴ γέλωτος καὶ χλεύης ὑπόθεσις εὐρεθείη; Καίτοι καθ' ἡμῶν προβαλλομένη σου ἡ βάσανος, ἐχθροῦ διαβολὴν καὶ φιλαιτίου δόξαν ἀνδρός, καὶ ἕτερον ὑγιὲς οὐδὲν μηνύει· κατὰ δὲ τῶν ἰδίων ἐπαφιεμένη, φιλοῦντος νόμος, καὶ κρίσις ἔχθρας κεχωρισμένη, καὶ ἀληθὴς ἔλεγχος καὶ μάλα δικαίως ἂν νομισθείη. Ὥστε τὰ μὲν σὰ διὰ τῶν σῶν ἀνατέτραπται καὶ διαπέπαικται· τῶν δ' ἡμετέρων οὐ μόνον οὐδενὸς καθάπτεται, ἀλλὰ καὶ ἀνοίας καὶ θράσους, δι' ὧν ἔφθασε συκοφαντεῖν, ἔλεγχον ὑπέχει.

"Ἀλλ' εἰ πάντες πωλήσειαν, ποῖος οἶκος ἔντιμος εἶναι δύναται;" ὦ διαλεκτικῆς ἀκριβείας καὶ δεινότητος! βαβαὶ τῆς ῥητορικῆς σου πιθανότητος καὶ δριμύτητος! ὁ πολὺς ὁρᾷν καὶ πόῤῥωθεν τὸ ἐπόμενον! ὁ τοῖς ῥήμασι σοβαρὸς καὶ ταῖς ἀνατροπαῖς ἀνυπόστατος! ὁ τὰ ἐκ τριόδου κατονειδίζων ἡμῖν! ἆρα γραῦς ἐν τριόδῳ,[4] ἐκ παννυχίδων ἥκουσα τῶν σῶν Θεῶν, καὶ οἴνῳ διάβροχος, οὐχὶ τούτων ἐντρεχέστερά τε καὶ ἀστειότερα φθέγξαιτο; "Ποῖος οἶκος ἔντιμος εἶναι δύναται;" Καὶ τί τῆς ἰσότητος, εἰπέ μοι, τοῖς ἰσότιμον λαχοῦσι φύσιν τιμιώτερον; τί δ' εἰς αἵρεσιν ἄμεινον, οἷς τὴν αὐτὴν πόλιν γέγονεν οἰκεῖν, ὑπὲρ τοῦ[5] κοινῆς ἀπολαύειν καὶ ὁμοίας πολιτείας;[6] Ἀλλ' ἡ πλεονεξία,

---

ἂν εἴη πρὸς τὸ ἡγούμενον ὁμοιόμορφον· ὡς δὲ νῦν ἔχει, ἐξυπονοητέον τὸ "ταύτην ἔχωσιν (ἢ ἔχοιεν)"—ἢ τὸ "τοιοῦτοι ὦσιν (ἢ εἶεν)."

[1] *Προσέθηκα τὸ ἄρθρον ἐξ Οἰκον. ἐλλεῖπον παρὰ τοῖς ἄλλοις.*

[2] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—προελεῖν.*

[3] *Παρ' Οἰκον.—ἐν τούτοις.*

[4] *Παρ' Οἰκον.—ἐκ τριόδου.*

[5] *Οἰκον. εἰκάζει γραπτέον εἶναι—ὑπὲρ τὸ ἀπολαύειν.*

[6] *Παρ' Οἰκον. ἐνάρθρως—τῆς πολιτείας.*

Digitized by Google

ἡ[1] τυραννίς σοι τὰ ἔντιμα; ἢ οἱ δόλοι καὶ τὰ τῶν παλιγκαπήλων καὶ μεταβολέων ἐπάρατα κατὰ τῶν πλησίον μηχανήματα καὶ τεχνάσματα; πᾶς γὰρ ὡς ἐπίπαν πλοῦτος ἢ προσφάτους ἢ παλαιτέρας[2] ταύτας ἔχει τὰς πηγὰς τῆς γενέσεως, δι' ὧν ὁ παραβάτης ἀποσεμνύνειν ἔγνω τὸ ἔντιμον· ἀλλ' ὅλως ἠγνόηκεν, ὥσπερ ἅπαντα, τί μὲν τὸ ἀληθῶς καὶ παρὰ Θεῷ τίμιον, τί δὲ τὸ μὴ οὕτως ἔχον. Ἄνθρωποι μὲν γάρ, καὶ τότε οἱ ἐξ ἀγέλης (οὐ γὰρ ἂν οἵ γε φιλοσοφίας καθαρὸν τὸν ἔρωτα συντηρήσαντες) πρὸς ἓν μόνον, τὸν πλοῦτον, καὶ τὴν ἐξ αὐτοῦ τρυφὴν καὶ δόξαν κεχηνότες, κἂν μυρίοις ὁ κεκτημένος βρύῃ κακοῖς, τίμιον αὐτὸν καὶ μακάριον ἡγοῦνται· Θεὸς δὲ τὸν εὐσεβῆ τιμᾷ, καὶ τοῖς φιλαρέτοις τὸ εὐκλεὲς ἀπονέμει, κἂν ὁ τῶν χρημάτων αὐτοὺς ὄγκος οὐ φλεγμαίνει, οὐδ' ὁ ἐκεῖθεν τύφος καὶ ἡ τρυφὴ περιβλέπτους ποιεῖ· μᾶλλον δ' οἷς[3] ἡ δόξα διὰ τούτων, οὐδ' ὁ τῆς ἀρετῆς ἐθέλει πόθος, οὐδ' ὁ τῆς εὐσεβείας ζῆλος περιεῖναι. Ἔδει τοιγαροῦν, ἔδει Θεὸν ὄντα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἐπὶ σωτηρίᾳ τοῦ γένους κενώσαντα ἑαυτόν, καὶ παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος κοινωνήσαντα, μὴ πρὸς τὸ ἡδὺ καὶ κεχαρισμένον τοῖς τὰ ἐπίγεια φρονοῦσιν ἰδεῖν, μηδ' ὅσα κακίαν φύει, τούτων εἰς ῥίζας περιορᾷν καὶ καρπὸν τὰ σπέρματα διαδίδοσθαι,[4] ἐκεῖνα δὲ νόμον καὶ παράγγελμα ποιεῖν, δι' ὧν πρόῤῥιζα μὲν τέμνεται τὰ πάθη, ἀρετῆς δὲ πάσης καὶ θεωρίας εἰλικρινοῦς κατορθοῦται ἡ τελείωσις· ὧν οὐδαμῶς οὐδενὸς ἐνδεῖ,[5] μᾶλλον δὲ πλειόνων, ἐξ ὧν εἴρηται, τὸ κράτος ἐπέχει καὶ ἡ προκειμένη παραίνεσις.

Ἀλλ' ἆρα μήποτε ῥηθῆναι μὲν ἡ ἐντολὴ ἅπαν διαφεύγει παράλογον, καὶ τῆς ἐκ λόγων λαβῆς ἔστηκεν ὑψηλοτέρα, πραχθῆναι δὲ οὐχ ὁμοίαν ἔλαχε φύσιν, ἐνδεῖ δὲ τῆς ἐν ῥήμασιν ἀκολουθίας ἡ ἐν ταῖς πράξεσιν ὕπαρξις; Καὶ τίς οὕτως ἔσχε δι' αὐτῶν τῶν ἔργων ἐναργεστάτην παρασχεῖν τὴν ὑπόστασιν,[6] καὶ τὸ ἐν λόγοις ἀκόλουθον ὁμόλογον τῇ πρακτικῇ οὐσιώσει ἐπιδείξασθαι; Ἐπεὶ γὰρ ἡ σωτήριος αὕτη παραίνεσις διὰ τῶν Δεσποτικῶν καὶ ἀχράντων χειλέων προελήλυθεν, ἐξ ἐκείνου μέχρι νῦν οὐκ ἔστι χρόνον εὑρεῖν, ἐν ᾧ οὐκ ἔστι ταύτην ἰδεῖν ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς διαῤῥιζουμένην καὶ ἐμβαθύνουσαν, καὶ εἰς πλάτος καὶ μῆκος αὐξάνουσαν, συναύξουσάν τε τὰς ἄλλας ἀρετάς, καὶ συναπαρτίζουσαν. Τότε μὲν γὰρ τρισχίλιοι καὶ πεντακισχίλιοι, εἶτα καὶ πλῆθος ἐκφεῦγον τὴν ἀπαρίθμησιν, συνιόντες ἀλλήλοις, καὶ τῶν ἰδίων ἐξιστάμενοι, κοινὰ τὰ ὄντα προὐτίθεσαν, καὶ πένης ἦν οὐδεὶς ἐν αὐτοῖς (ὦ θαυμασίας ἰσομοιρίας, καὶ πρὶν πραχθῆναι μηδ' ἐλπιζομένης!) οὐδὲ πλούσιος· "Ὅσοι γάρ, φησί, κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες,

---

[1] *Μοντακ. εἰκάζει γραπτέον εἶναι—ἢ—ἀλλ' ἄμεινον ὡς ἄρθρον, ὡς ἐν ἀσυνδέτῳ τῷ σχήματι γινομένης τῆς ἐρωτήσεως.*

[2] *Παρ' Οἰκον.—παλαιοτέρας.*

[3] *Οἰκονόμος τοῦτο διωρθώσατο—οἷς δὲ μᾶλλον κ.τ.λ.*

[4] *Καὶ τοῦτο Οἰκον. γραπτέον εἶναι εἰκάζει—τούτων τὰς ῥίζας περιορᾷν καὶ εἰς καρπόν κ.τ.λ.*

[5] *Καὶ τοῦτο ἐκ διορθ. Οἰκον. ἀντὶ—ὧν οὐδεμιᾶς ἐνδεῖ—παρὰ τοῖς ἄλλοις.*

[6] *Παρ' Οἰκον.—ὑπόσχεσιν·—ἀλλ' ἄμεινον ὡς παρὰ Μοντακ. "ὑπόστασιν."*

Digitized by Google

ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων· διεδίδοτο δὲ ἑκάστῳ καθ' ὅ,τι ἄν τις χρείαν εἶχεν."[1] Ἀκούεις, Ἰουλιανέ; ὅσοι κτήτορες, οὗτοι ἐπώλουν, οὐχὶ ἅπαντες.[2] Ἀλλὰ τότε μὲν ἐξ αὐτῆς ἀρχῆς οὕτως εἰς πλῆθος ἡ ἐντολὴ τελεσιουργουμένη, λαμπρῶς ἐπεδίδου καὶ ὑφειστήκει, ταῖς ἐνεργείαις ἐνακμάζουσα· ἐφεξῆς[3] δὲ μέχρι νῦν οὐκ ἀμάραντον μόνον τὸ τῆς ἀκμῆς ἄνθος διεσώσατο, δι' οὗ τὰς ἀνθρωπίνας ψυχὰς περιανθίζουσα, ἀπὸ τῆς τῶν παθῶν σηπεδόνος, πολὺ τὸ δυσῶδες ἐναποπνεούσης, ἐπὶ τὴν τῶν ἀρετῶν σωτήριον καὶ ζωοποιὸν εὐωδίαν συνεφέλκεται, ἀλλά γε δὴ καὶ πάντα τῆς οἰκουμένης τὰ πέρατα ταῖς ἐνεργείαις περιλαβοῦσα καὶ διατρέχουσα, οὐ κατ' ἄνδρα μόνον, ἤδη δὲ καὶ κατὰ δήμους ὅλους καὶ ἀριθμοῦ κρείττω συστήματα, τὸν ὡς ἀληθῶς μονάδα βίον καὶ οὐράνιον πολίζουσά τε τοῖς ἐπὶ γῆς καὶ πλατύνουσα, δι' αὐτῶν τῶν ἔργων, ὅσον ἐστὶν αὐτῆς τὸ ἐν λόγοις ἀκόλουθον, μᾶλλον, ἢ διὰ τῆς κατὰ τὸν λόγον ἀκολουθίας, τὸ ὑφεστὼς αὐτῆς ἐν τοῖς ἔργοις καὶ περισύσιον λαμπρῶς ἐπιδείκνυσιν.

Οὐ μὴν ἀλλά γε καὶ τῶν Δεσποτικῶν ῥημάτων τὸ ἐνεργὸν καὶ τὴν δύναμιν οὐδὲν ἧττον δι' ἑαυτῆς παρέχει θαυμάζεσθαι· τὰς γὰρ ἀνθρωπίνας ψυχάς, ὅσαι ἄξιαι, πρὸς ἑαυτὴν ἐπιστρέφουσα, καὶ τὸν τοῦ λόγου σπόρον ἐνιεῖσά τε καὶ ἐμβαθύνουσα, ἀπὸ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκεσθαι, καὶ δι' αὐτῶν τοῦ φυτοκόμου πάλιν τὴν ἰσχὺν καὶ σοφίαν ἐξυμνεῖσθαι, παρασκευὴν πολλὴν συνεξεύρατο· καὶ οὔπω γε διὰ τούτων, καίπερ τηλικούτων ὄντων, ἐφ' ὅσον ἥκει τὸ μεγαλεῖον τῆς φύσεως αὐτῆς ἐμφανίζεται, ἀλλ' ὅτι καὶ τῶν ἄλλων ἀρετῶν καὶ κατορθωμάτων ὑπερείδει τε καὶ συνέχει τὴν ὕπαρξιν. Πῶς, εἰ μή τις Ἰουλιανῷ τὴν ἴσην δίκην ὑπέχων τυφλὸς τῷ φωτὶ περιπλανώμενος διελέγχοιτο, οὐκ ἂν ὑπεραγασθείη τὸ ἐν τῇ φύσει κράτος αὐτῆς καὶ ὑψηλὸν καὶ σωτήριον; καὶ γὰρ ὅσοι τὴν οὐράνιον πολιτείαν, δι' ὧν βιοῦσιν ἐπὶ γῆς, ὑπογράφουσι, τούτους δή, τούτους ἔνεστιν ὁρᾷν αὐτὸ τοῦτο πρῶτον, θεμέλιον οἷον καὶ ὑπόβαθρον,[4] τὸ "πωλήσατε τὰ ὑπάρχοντα καὶ δότε ἐλεημοσύνην" ὑποβαλλομένους, καὶ οὕτω τὰς ἄλλας ἀρετὰς ἐποικοδομοῦντας, ὡς ἄνευ ταύτης μηδεμιᾶς ἄλλης ὑφεστάναι καθαρῶς δύναμιν ἐχούσης. Δι' ὃ πωλοῦντες πρότερον τὰ ὑπάρχοντα, καὶ τοῖς δεομένοις διανέμοντες (πῶν ἄν τις ἀξίως ἐξυμνήσειε[5] τὸ θεῖον καὶ θεουργικὸν καὶ φιλάνθρωπον τῆς παραινέσεως;), οὕτω γυμνοὶ λοιπὸν καὶ χρημάτων καὶ προσπαθείας ἄλλης γηΐνης τοὺς ἀσκητικοὺς ἄθλους ὑποδύονται, πρὸς ἓν μόνον τὸν νοῦν ἀνατεινόμενοι, καὶ τὴν ἔφεσιν ἔχοντες, εἰς τό, κατὰ Παῦλον,[6] "ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι·"[7] δι' οὗ τοῦ Πατρὸς ἐν ἁγίῳ Πνεύματι (ὦ μακαρίου θεά-

---

[1] Πράξ. Δ', 33—36.

[2] Παρ' Οἰκον.—οὐχὶ ἅπαντες, οὐδ' οἱ πένητες.

[3] Μοντακ. εἰκάζει γραπτέον εἶναι—ἐξ ἐκείνης—ἀντὶ τοῦ "ἐφεξῆς·" ἀλλὰ περιττὴ πάντως ἡ τοιαύτη διόρθωσις.

[4] Παρ' Οἰκον.—ὑποβάθραν·—ἀλλ' ἀμφότερον λέγεται.

[5] Ἡμ. διόρθ. ἀντὶ—ἐξυμνήσῃ—παρὰ Μοντακ. καὶ "ἐξυμνήσει" παρ' Οἰκονόμῳ.

[6] Παρ' Οἰκον.—κατὰ Παῦλον τὸν θεῖον Ἀπόστολον.

[7] Πρὸς Φιλιππησ. Α', 23.

Digitized by Google

ματος!) ἡ τελειοτέρα καὶ χωρὶς τῶν ἐσόπτρων γνῶσις συναναπαλαπτομένη τε καὶ συναπιστρέπτουσα, τὸ πρῶτον ἀγαθὸν εἰς ἀπόλαυσιν τοῖς θεραπαῖς καὶ τῶν ἐφετῶν χαρίζεται τὸ ἀκρότατον. Οὕτω δή, οὕτως ἡ σωτήριος αὕτη καὶ Δεσποτικὴ ἐντολή, οὐ ῥηθῆναι μόνον τὸ εὔλογόν τε καὶ ἀκόλουθον πολλῇ δυνάμει συνδιεσώσατο, ἅπαν μαχόμενον καὶ πολεμεῖν ἠργμένον τρεψαμένη τε κατὰ κράτος καὶ καταισχύνασα,[1] ἀλλὰ καὶ πολύ γε πλέον τὸν εἱρμὸν τῶν λόγων καὶ τῆς γνώμης τὸ ἀνεπίληπτον διὰ τῆς κατὰ τὰς ἐνεργείας τεροφανείας τε καὶ ὑπάρξεως τῆς ἀνὰ πᾶσαν τὴν ὑφ' ἥλιῳ ἐντελέστερόν τε καὶ θαυμασιώτερον ἐπεδείξατο, καὶ κρεῖττον ἢ κατ' ἰσχύν τε καὶ φύσιν ἐπιχειρημάτων τοὺς τετολμηκότας αὐτὴν ἐξυβρίζειν τῆς ἀμηχανούσης αἰσχύνης τὸ σκυθρωπὸν ὑπελθεῖν ἐρύθημα κατεπράξατο.

Ἀλλὰ τοσαῦτα μὲν ἐξ ὧν ἡ λήθη μὴ προκατέλαβε πρὸς Ἰουλιανὸν τὸν ἀποστάτην, κακουργοῦντά τε καὶ κατὰ τῆς εὐσεβείας ἡμῶν θρασυνόμενον, εἴρηται. Σοὶ δὲ φιλομαθοῦντι, καὶ τὸ θεῖον θεοπρεπῶς ὀργιάζοντι, καὶ ὀλίγα τῶν εἰρημένων ἐξαρκέσειν οἶμαι πρὸς τὴν τῆς ἀπορίας ἐπίλυσιν.

ΕΠΙΣΤΟΛΗ ΞΖ'.—67.

Κωνσταντίνῳ Σπαθαρίῳ.[2]

(Πῶς οὐ μάχεται τὸ "Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής" πρὸς τὸ "Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθὴς ἐστιν ἡ μαρτυρία μου."—Ἰωάν. Ε', 31· καὶ Η', 14.)

Σύντομόν σοι τῆς ἀπορίας τὴν λύσιν ἐρῶ. Τὸ μὲν "Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής" ἀνάγνως[3] κατ' ἐρώτησιν, δι' ἧς προαπαντῶν[4] ὁ Σωτὴρ τὴν τῶν Ἰουδαίων ὑπόληψιν ἐλέγχει καὶ διακρούεται· τὸ δὲ "κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι" τὴν ἰδίαν τιθέντα ψῆφον καὶ ἀποφαινόμενον εἰπεῖν τὸν Δεσπότην νόμιζε, καὶ παρείσδυσιν οὐχ ἕξει τῆς ἀπορίας ἡ πρόφασις. Ἤ, εἰ βούλει (οὐκ ἄπορον γὰρ εἰς ἐπιλύσεις τῆς ἀληθείας ἡ δύναμις), ἐπεὶ διπλοῦς[5] ἦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐκ θεότητος καὶ ἀνθρωπότητος, τὸ μὲν "ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής" νόμῳ φύσεως τῆς ἀνθρωπίνης, ὥσπερ καὶ πολλὰ ἕτερα, εἰρῆσθαι διαληψόμεθα (οὐδεὶς γὰρ ἀνθρώπων εἰς τὴν αὐτὸς αὐτοῦ μαρτυρίαν ἀξιόπιστος)· τὸ δὲ "ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν" ἀξιώματι καὶ

---

[1] Παρ' Οἰκον.—νικήσασα.

[2] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΝΖ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΝΗ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΠ'. Εὕρηται δὲ καὶ ἐν Μυριοβίβλῳ (ἔκδ. Οἰσχελίου, σελ. 918).

[3] Ἐκ διορθ. Οἰκον. ἀντὶ—ἀνάγνωσον.

[4] Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—πρὸ ἁπάντων—παρὰ τοῖς ἄλλοις.

[5] Οὕτως ἄμεινον παρ' Οἰσχελίῳ καὶ Οἰκον. ἡ παρὰ τοῖς ἄλλοις—ἐπιδιπλοῦς.

Digitized by Google

ἐξουσίᾳ[1] τῆς θεότητος· ἀπροσδεὴς γὰρ ἡ πασῶν ἀνωτάτω φύσις καὶ πάντων δεσπότις τῆς ἑτέρωθεν μαρτυρίας καὶ βεβαιώσεως, οὐκ οἴκοθεν μόνον προβαλλομένη τὸ αὐτόπιστον, ἀλλὰ γὰρ καὶ τοῖς ἄλλοις ἅπασιν, οἷς τὸ πιστὸν περιγίνεται, ὥσπερ πηγὴ οὐσιώσεως καὶ ὑπάρξεως, οὕτω δὴ καὶ ἀξιοπιστίας ὑπάρχουσα. Ἀλλὰ ταῦτα μὲν ὡς κατ' ἐπιτομὴν ἱκανῶς ἔχειν οἶμαι. Εἰσὶ δὲ καὶ τῶν εἰρημένων εἰς πλάτος μᾶλλον ἀποτεινόμεναι τοῦ προκειμένου λύσεις οὐκ ὀλίγαι· αἷς ὅτι σοι[2] ταῖς Πατρικαῖς ἐνομιλοῦντι βίβλοις ῥᾴδιόν ἐστιν ἐντυχεῖν, καὶ οὐδεμίαν ἀνάγκην ὁρῶ[3] ταῖς ἑτέρων φροντίσιν ἐμαυτῷ συναπαρτίζειν τὸ ῥᾷστον, ἐκὼν νῦν ἀφίημι. Εἰδέναι μέντοι χρή, ὅτι[4] καὶ τὸ "ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν"[5] ἢ διὰ τῆς κατ' ἐρώτησιν ἀναγνώσεως, ἢ κατὰ τοὺς προσήκοντας νόμους τῇ ἀνθρωπίνῃ φύσει τὸ ῥητὸν εἰρῆσθαι ἐξακούοντες, εἰς οὐδεμίαν ἂν συζήτησιν περιενεχθείημεν.

ΕΠΙΣΤΟΛΗ ΞΗ'.—68.

Κωνσταντίνῳ Σπαθαρίῳ καὶ Ἀσηκρῆτις.[6]

(Πῶς ἐννοητέον τὸ "Οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον."—Γενέσ. Δ', 7.)

Τοῖς φιλομαθοῦσιν ἔγωγε (πῶς ἀνεπιφθονώτερον εἴπω;) χαρίεις εἰμί· δι' ὃ τῶν ἠπορημένων σοι τὴν λύσιν μετὰ τοῦ ῥᾳδίου σύντομον εὑρήσεις. Τὸ τοίνυν πρὸς τὸν ἀρχηγὸν τῆς ἀδελφοκτονίας εἰρημένον "Οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον" διαφόρους ἴσθι δυνάμενον δέξασθαι τὰς ἀναπτύξεις. Ὁ μὲν γὰρ ἀποφαντικῶς αὐτὸ εἰρῆσθαι ὑπειληφώς, τοιοῦτόν τινα τὸν ἐν αὐτῷ θεωρήσειε νοῦν· "οὐκ ἂν ὀρθῶς προσενέγκοις,[7] ὅτι περ μηδὲ διεῖλες ὀρθῶς·" τοῦτ' ἔστιν, ἐπεὶ μὴ διεῖλες ὀρθῶς, οὐδὲ προσήνεγκες ὀρθῶς (ἡ γὰρ ὀρθὴ προσένεξις τῆς ὀρθῆς ἤρτηται διαιρέσεως)· δι' ὃ ἥμαρτες, ἡσύχασον. Εἰ δέ τις οὐκ ἀποφαινόμενον, ἀλλ' ἐν τύπῳ προενηνεγμένον ἐρωτήσεως τὸν λόγον ἐκλάβοι (καὶ γὰρ καὶ τοῦτο μάλιστα ἐγχωρεῖ), τοιοῦτον εὑρήσει τὸν νοῦν. Οὐχί, φησί, κἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δ' ὅμως μὴ διέλῃς, ἥμαρτες; οἷον·

---

[1] Παρ' Οἰκον. ἐνάρθρως—τῇ ἐξουσίᾳ.

[2] Προσέθηκα τὴν Ἀντωνυμ. ἐξ Οἰκον. ἐλλείπουσαν παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον.—ὁρῶν.

[4] Παρ' Οἰσχελίῳ καὶ Οἰκον.—ὡς.

[5] Ἰωάν. Η', 54.

[6] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚ', κατὰ δὲ τὴν Μιγν. Ἑρ. ΡΘ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΙΑ'· ἀλλὰ καὶ ἐν Ζητήματι ΟΑ' τῶν Ἀμφιλοχίων ἡ αὐτὴ ἑρμηνεύεται ῥῆσις. Περὶ δὲ τοῦ ἀξιώματος "Ἀσηκρῆτις" ἴδε τὴν ἐν τοῖς προλεγομένοις σημείωσιν (σελ. 27).

[7] Παρ' Οἰκον.—προσενέγκῃς·—ἀλλ' ἄμεινον, οἶμαι, τὸ παρὰ Μοντακ. "προσενέγκοις," ὡς οὐχ ὑποθετικῶς, ἀλλὰ δυνητικῶς ἐνταῦθα κειμένου τοῦ ἄν.

Digitized by Google

ἆρα γάρ, διότι ὀρθῶς προσήνεγκας, ὀρθῶς δὲ μὴ διεῖλες, οὐ δοκεῖς ἁμαρτεῖν; οὐδὲν γὰρ ἴσως κωλύει ὀρθῶς μὲν προσενεγκεῖν τὸν μὴ ἑτέρῳ τινί, μόνῳ δὲ θυσιάζοντα τῷ πάντων Θεῷ, μὴ μέντοι διελεῖν ὀρθῶς τὸν μὴ τηροῦντα τὸν πρέποντα τῇ διαιρέσει θεσμόν· δεῖ δὲ τὸν ἀνεπιμώμως τοῖς θείοις ὑπηρετούμενον ὀρθῶς τε προδιελεῖν καὶ ὀρθῶς ὁμοίως προσενεγκεῖν. Ἀλλ' εἰ μὲν κατὰ μίαν περίοδον εἴη τὸ χωρίον τεθεωρημένον, τοιαύταις ἂν ὑπάγοιτο[1] θεωρίαις. Εἰ δέ τις οὐχ ἁπλῆν καὶ μίαν, ἀλλ' οἷον ἐκ δύο τινῶν βραχυτέρων συγκειμένην ὑπολάβοι, τὸ τοῦ ἀποφαινομένου σχῆμα καὶ οὕτω φυλάττουσαν τὴν περίοδον, καὶ τὸ μὲν αὐτῆς κατ' ἔλλειψιν, τὸ δὲ αὐτοτελῶς εἰρῆσθαι, οὐδ' οὕτω τῇ φύσει τῆς ἀληθείας λυμανεῖται· οἷον· οὐχί, ἂν ὀρθῶς μὲν[2] προσενέγκῃς εὐδοκίμησας, ἂν δὲ μὴ ὀρθῶς διελῃς, ἥμαρτες; Καὶ γὰρ ὥσπερ τὸ ὀρθῶς προσενεγκεῖν εὐσεβές, οὕτω τὸ μὴ ὀρθῶς διελεῖν ἀσεβείας ὑπεύθυνον. Καὶ ὁ μὲν τῆς τοῦ ῥητοῦ συντάξεως λόγος, καὶ ἡ ἀπ' αὐτῆς ἀναφαινομένη διάνοια, ἐν τούτοις.

Ἀλλὰ γὰρ τὸ μὲν προσενεγκεῖν ὀρθῶς αὐτόθεν δῆλον· τὸ δὲ μὴ διελεῖν ὀρθῶς ἴσως δεῖται σαφηνείας. Ἐκεῖνος τοιγαροῦν ὀρθῶς διαιρεῖ, ὁ μὴ τὰ τυχόντα δῶρα φέρων Θεῷ, ἀλλ' ὀρθῇ κρίσει διαιρούμενός τε καὶ διακρίνων, καὶ δωροφορούμενος αὐτῷ τὰ πολλῷ τῶν ἄλλων προφερέστερα· πῶς γὰρ οὐχὶ τὰ πάντων[3] ἐν ὑπεροχῇ τιμιώτερα τῷ γενεσιουργῷ καὶ δοτῆρι καὶ πάντων αἰτίῳ τῶν καλῶν Θεῷ μὴ[4] προσῆκεν ἐξαίρειν[5] καὶ ἱεροθυτεῖν; Τοιοῦτος δέδεικται καὶ Ἄβελ, εὐγνωμονῶν τε καὶ τὸ θεῖον καθαρῶς φιλῶν· καὶ γὰρ εἴρηται περὶ αὐτοῦ, ὡς ἀπὸ τῶν πρωτοτόκων καὶ ἀπὸ τῶν στεάτων προσήνεγκε· τοῦτ' ἔστιν, ἃ τῶν ἄλλων ἔν τε τῷ πρωτότοκα εἶναι, καὶ ἐν τῷ, ὡς ἂν εἴποι τις, ἐστεατῶσθαι καὶ καταλελιπάνθαι, διέφερε, ταῦτα προσέφερε· τὸ γὰρ "ἀπὸ τῶν στεάτων" τῶν εὐτραφῶν καὶ ἐστεατωμένων, φησί, καὶ τῇ πολλῇ ἐπιμελεία[6] παρεχομένων[7] τὸ ἐξῃρημένον καὶ ἄριστον. Ἀλλὰ τοῦ μὲν προσενεγκεῖν ἀμφοῖν ἐγεγόνει ἡ φροντίς, τοῦ δὲ διελεῖν καὶ ἐκλέξασθαι τὰ ἀμείνω οὐκέτι ὁμοίως ἀμφοῖν· ἀλλ' ὁ μὲν Ἄβελ, ὥσπερ διεῖλεν ὀρθῶς, οὕτω καὶ προσενήνοχεν· ὁ δὲ Κάϊν, ἢ οὐδὲ προσήνεγκεν ὀρθῶς, ὅτι μηδὲ διεῖλεν, ἤ, εἰ καὶ δοίη τις ὀρθῶς προσενεγκεῖν, ἀλλὰ περί γε τὴν ἐξαίρεσιν καὶ ἐκλογὴν πλεῖστον ὅσον διήμαρτεν· οὐδὲ γὰρ τὰ κρείσσω, τὰ δὲ μὴ τοιαῦτα προσήνεγκε· καὶ δῆλον, ἐξ ὧν τε Θεὸς ταῖς αὐτοῦ θυσίαις μὴ ἐπέβλεψε, μηδὲ πυρὶ θείῳ, ὥσπερ τὰ τοῦ Ἄβελ, ὡλοκαύτωσε (τοῦτο γάρ

---

[1] Παρ' Οἰκον.—ἐπάγοιτο, ὅπερ διορθοῦται ἐν τοῖς παροράμασιν—ὑπάγοιτο.

[2] Παρ' Οἰκον. ἄνευ τοῦ—μέν.

[3] Παρ' Οἰκον—πάντα.

[4] Παρ' Οἰκον. ἄνευ τοῦ—μή.

[5] Γραπτέον ἴσως—ἐξαιρεῖν—λέγει γὰρ εὐθὺς παρακατιών "τὸ ἐξῃρημένον καὶ ἄριστον" καὶ "περὶ τὴν ἐξαίρεσιν καὶ ἐκλογήν."

[6] Παρ' Οἰκον.—πιμελῇ (=παχύτητι)· ὅπερ ἀνάλογόν ἐστι πρὸς τὰ ἐστεατῶθαι καὶ καταλελιπάνθαι καὶ εὐτραφῇ κ.τ.λ.

[7] Οἰκον. εἰκάζει γραπτέον εἶναι—περιεχομένων—ἀλλ' οὐδὲν ἧττον, οἶμαι, καὶ διὰ τοῦ "παρεχομένων" (=δεικνυόντων, παριστάντων) εὐοδοῦται ἡ ἔννοια.

Digitized by Google

τινες ἐκδεδώκασι[1]), καὶ ἐξ ὧν τὸν ἔλεγχον τῆς οὐκ ὀρθῆς ἀπέτισε διαιρέσεως. Ἀλλὰ τὸ μὲν "οὐκ, ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες;" τοιοῦτον.

Τὸ δὲ "ἡσύχασον", ἵνα εἴπῃς[2] πρὸς ἡμαρτηκότα· ἠρέμησον κατὰ σεαυτόν, καὶ διασκόπησον ἀκριβῶς τοῦ πεπραγμένου τὸ ἄτοπον, καὶ μετανοίᾳ τὸ ἁμαρτηθὲν ἐξιλέωσαι· ἐν ἡσυχίᾳ γὰρ καὶ τῷ ἀταράχῳ τῶν λογισμῶν μᾶλλον συνορᾶται καὶ κρίνεται τὸ παροραθέν. Τάχα δὲ καὶ προαναστέλλοντος ἦν τὴν ὁρμήν, τὴν ἐφ' ὅπερ[3] αὐτὸς ἀθλίως ἐκβέβηκεν· "ἥμαρτες, φησίν, ἡσύχασον· μὴ προσθῇς ἕτερον τῷ ἀδικήματι· μέχρι τῆς εἰς ἐμὲ πλημμελείας περίγραψον τὴν ἀπόνοιαν· ἀδελφικῶν αἱμάτων μὴ τὰς χεῖρας μόνον, ἀλλὰ καὶ τὴν γνώμην καθαρὰν διαφύλαξον." Τὸ δὲ "πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις," ἢ περὶ αὐτοῦ τοῦ προσενεχθέντος εἴρηται (οἷον, ἀνάξιον, φησί, τῆς ἐμῆς ἐστι προσφορᾶς· δι' ὃ ἀποστρέφεταί σοι, καὶ αὐτὸς αὐτοῦ, ὥσπερ καὶ πρὶν ἢ προσενεχθῆναι, κύριος ἔσῃ·), ἢ οὐχὶ τὸ προσενεχθέν, ἀλλ' αὐτὸ τὸ διαμαρτηθὲν περὶ τὴν προσένεξιν, ὁ λόγος δηλοῖ· τοῦτ' ἔστι, σὺ τοῦ ἁμαρτήματος, οὐκ ἄλλος, γέγονας αἴτιος· δι' ὃ ἡ ἀποστροφὴ αὐτοῦ καὶ ἡ ἀναφορὰ πρὸς σὲ ἐπανήξει, καὶ σὺ αὐτοῦ ἄρξεις, ἀρχηγὸς ὀφθεὶς τῆς περὶ τὸ θεῖον ὀλιγωρίας, ἐξ οὗ καὶ τὰ λοιπὰ τῶν ἁμαρτημάτων προέρχεται. Εἰ δέ τις εἴποι, καὶ ὡς παραψυχῆς ἕνεκα τοῦτο εἴρηται (ἐλελύπητο γὰρ ὁ Κάϊν, εἰ καὶ μὴ διότι ἡμάρτηκεν, ἀλλ' ὅτι τὸ ἧττον ἔσχεν ἐπὶ ταῖς θυσίαις παρὰ τὸν ἀδελφόν), οὐδὲ τοῦτο μακρὰν τῆς ἀπείρου καὶ ἀνεξιχνιάστου φιλανθρωπίας τοῦ Θεοῦ· ὡς ἂν εἴποι φιλόστοργος πατὴρ πρὸς ἡμαρτηκότα παῖδα· μὴ συμπέσῃς, μηδὲ καταποθῇς τῇ λύπῃ, τοῖς δώροις σε παρευδοκιμήσαντος τοῦ ἀδελφοῦ· εἰ γὰρ καὶ ἐξ ὧν αὐτὸς ὁσίως ἔπραξε δικαιοπρεπῶς προτετίμηται, ἀλλ' οὖν ἀποστραφήσεταί σοι πάλιν, καὶ ὑπὸ σὲ ἔσται, καὶ τῷ προνομίῳ τῶν πρωτοτοκίων αὐτὸς πάλιν τὸ πρεσβεῖον ἕξεις, ἂν μεταμελείᾳ[4] σαυτὸν τοῦ πταίσματος ἀνορθώσῃς· ἀναφαίρετον γὰρ ἔσται σοι τὸ κατ' αὐτοῦ κῦρος, ὅπερ εἴληφας, ἐξ ὧν πρῶτος τὰς μητρικὰς ἔλυσας ὠδῖνας. Ἀλλὰ κατ' ἐπιστολὴν ἱκανὰ καὶ ταῦτα, οἶμαι.

Οἶδα δέ τινάς ποτε τῶν παλαιοτάτων[5] Ἰουδαίων γεγραφότας, οἳ τὸ ἐλλόγιμον τῶν ἄλλων ἔχειν ἐδόκουν,[6] διὰ τοῦτο εἰρῆσθαι τὸν Κάϊν μὴ διελεῖν ὀρθῶς, διότι ἀπὸ τῶν ἀψύχων, ἀλλ' οὐκ ἀπὸ τῶν ἐμψύχων, ὥσπερ ὁ Ἄβελ, τὰ δῶρα προσέφερε· καθυστερεῖν γὰρ

---

[1] Ἡμ. διόρθ. ἡ τῆς παρενθέσεως προσθήκη, πρὸς σαφεστέραν ἀπόδοσιν τοῦ συμπλεκτικοῦ λόγου "ἐξ ὧν τε Θεός . . . . καὶ ἐξ ὧν τὸν ἔλεγχον κ.τ.λ." Οἱ δ' ἄλλοι πάντες τελείαν γράψαντες στιγμὴν μετὰ τὸ "ὁλοκαύτωσε," καὶ ἄνευ παρενθέσεως ἐξενεγκόντες τὸ "τοῦτο γάρ τινες ἐκδεδώκασι," διέστησαν ἀπ' ἀλλήλων τὰ δύο τοῦ συμπλεκτικοῦ λόγου κῶλα, καὶ ἅμα τῆς ἐννοίας τὸ ἀσαφὲς οὐ διέφυγον.

[2] Παρ' Οἰκον.—εἴπῃ.

[3] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἐφ' ᾧπερ—παρὰ τοῖς ἄλλοις.

[4] Παρ' Οἰκον.—καὶ μεταμελείᾳ.

[5] Παρ' Οἰκον.—τῶν πάλαι τὰ τῶν Ἰουδαίων κ.τ.λ.

[6] Ἐννοεῖ τὸν Φίλωνα (Τόμ. Α', σελ. 319 καὶ 603) καὶ τὸν Ἰώσηπον (Ἀρχαιολ. Β', 1). Βλέπε καὶ "περὶ τῶν Ο' ἑρμηνευτῶν τῆς παλαίας θείας Γραφῆς" Τόμ. Β', σελ. 725. (σημ. Οἰκονόμου.)

Digitized by Google

καὶ ἐλαττοῦσθαι πολλῷ τῶν ἐμψύχων τὰ ἄψυχα· δι' ὃ καὶ τὸν τῶν ὅλων Θεὸν τοῦ μὲν ἐφησθῆναι τοῖς δώροις, ὡς ἐμψύχοις, τοῦ δὲ τὴν θυσίαν ὑπεριδεῖν, ὡς ἐκ τῶν ἀψύχων εἰσκεκομισμένην. Ἀλλ' εἴπερ οὕτως εἶχεν, οὐκ ἂν ὁ Κάϊν τὴν διαίρεσιν, ἀλλ' αὐτὴν ἂν τήν θυσίαν ὠνειδίζετο, ὅτι περ ἀντὶ τῶν καρπῶν μὴ ζῶα προσήνεγκεν· ἀλλ' οὐδαμοῦ φαίνεται τοῦτο ἡ θεία καταμεμψαμένη φωνή· ἀλλὰ τῶν μὲν δώρων οὐδὲν ἠτιάσατο, ὑπὲρ δὲ τῆς διαιρέσεως τὴν μέμψιν ἐπήνεγκεν. Ἄλλως τε δέ,[1] εἰ ὁ μὲν ἀπ' ἀρχῆς[2] βίον τὸ γηπονεῖν, ὁ δὲ τὸ ποιμαίνειν ἐτίθετο, πῶς οὐκ ἄλογον ὑπολαμβάνειν ὑπ' αἰτίαν γενέσθαι τὸν Κάϊν, διότι μὴ ἀπὸ τῶν ἀλλοτρίων, ἀλλ' ἀπὸ τῶν οἰκείων προσήνεγκεν;

Κἀκεῖνο δέ τις προσθείη, ὡς οὐκ ἐν τῇ προσενέξει τῆς θυσίας μᾶλλον, ἀλλ' ἀπ' ἀρχῆς τῆς τῶν βίων αἱρέσεως ἔδει τὸν μὲν φαυλίζειν, ὅτι γηπονεῖν εἵλετο, τὸν δὲ ποιμαίνοντα ἀποδέχεσθαι· τὸ γὰρ τῶν ἐπιτηδευμάτων διάφορον ἀρχὴ καὶ αἰτία καθέστηκε τοῦ τὸν μέν,[3] ὡς ἐνόμισαν, ἁμαρτεῖν καρποῖς θυσιάζοντα, τὸν δὲ παρευδοκιμῆσαι, ζῶα τὰ δῶρα ποιούμενον. Πῶς δὲ κἂν ταῖς νομοθεσίαις ὕστερον σεμίδαλίς τε καὶ στάχυες καὶ ἄρτοι προθέσεως εἰς προσφορὰν Θεῷ ἐλογίζοντο; Εἰ δὲ καὶ καλὰ λίαν οὐχί τινα τῶν δημιουργημάτων, ἀλλὰ πάντα τῷ γενεσιουργῷ λόγῳ εἴρηται[4] καὶ πεποίηται, τίνα λόγον ἔχει, τοὺς ἀπὸ γῆς καρποὺς, καὶ ἃ μᾶλλόν ἐστιν ἀνθρώπῳ τροφή, ἐν ἀτίμῳ μοίρᾳ καὶ βδελύγματι τὸν δημιουργήσαντα παραπέμπεσθαι; Δι' ὃ τῆς τοιαύτης ἐπιβολῆς τὴν προτεθεωρημένην ἐξήγησιν μᾶλλον ἐγκριτέον· αὕτη γὰρ καὶ οἷς ὁ τῆς καθαρᾶς ἡμῶν καὶ ἀναιμάκτου θυσίας λόγος ἠγνόηται δοκεῖ πως ἆδειν ὁμόφωνα. Ἐξ ὧν καὶ[5] ὁ τῆς ἀποστασίας Ἰουλιανὸς κατὰ τῆς εὐσεβείας γράφων ἀλλόκοτα μὲν καὶ μωρά, ὅμως ἔδοξέ τι σοφὸν καὶ δυσεπιτίμητον αἰτιᾶσθαι Χριστιανούς, ὅτι μὴ ζωοθυσίαις τό θεῖον γεραίρουσιν.[6]

---

[1] Οὕτως ἄμεινον ἐξ Οἰκον. ἀντὶ—ἀλλ' ὥστε δὲ—παρὰ Μοντακ. καὶ ἀλλαχοῦ δὲ πολλάκις ἡμαρτημένως τοῦτο γράφει, καὶ Μιγνίῳ τὸ ἁμάρτημα μεταδίδωσι, πανταχοῦ σχεδὸν γράφοντι "ἀλλ' ὥστε δέ" ἀντὶ "ἄλλως τε δέ."

[2] Καὶ τοῦτο ἐξ Οἰκον. ἀντὶ—ἀπαρχῆς—παρὰ τοῖς ἄλλοις· τὸ αὐτὸ δὲ καὶ ἐν ἀρχῇ τῆς ἀμέσως ἑπομένης παραγράφου.

[3] Παρ' Οἰκον.—τοῦτον μέν—ἀλλ' ἄμεινον ὡς παρὰ Μοντακ. "τοῦ τὸν μέν," ὡς δῆλον ἐκ τοῦ πρὸς ἀπόδοσιν ἑπομένου "τὸν δέ." εἰ γὰρ ἐγέγραπτο "τοῦτον μέν," ἔδει πάντως ἔχειν ἐπιφερόμενον "ἐκεῖνον δέ."

[4] Παρ' Οἰκον.—καὶ εἴρηται.

[5] Παρ' Οἰκον. ἄνευ τοῦ καί.

[6] Ἴδε Κυρίλλου Ἀλεξανδρείας κατὰ Ἰουλιανοῦ Λόγον Γ'. (σημ. Οἰκονόμου.)

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΞΘ'.—69.

Γαλάτωνι Πρωτοσπαθαρίῳ καὶ Ἀσηκρῆτις.[1]

(Τί σημαίνει τὸ "Ἐφούδ," καὶ πόσα τούτου τὰ σημαινόμενα.—Παραλειπομ. ΙΕ', 27.)

Τὸ Ἐφούδ, περὶ οὗ μαθεῖν περιεζήτησας,[2] τρία σημαίνειν, ἐξ ὧν ἀνέγνωμεν, εὕρομεν· ἓν μὲν τὴν ἱερατικὴν καὶ ἁγίαν στολήν, ἣ κεχρῆσθαι θεμιτὸν οὐκ ἦν, ἀλλ' ἢ τοῖς ἱερεῦσι μόνοις. Ἐδηλοῦτο δὲ δι' αὐτῆς τὸ πρακτέον, ἐφ' ὧν ἀνθρωπίνη κρίσις τὸ συμφέρον ἰδεῖν ἐξησθένει, οἷον, ἐκεχειρίαν θέσθαι πολεμίοις, ἢ τῷ δόρατι τὴν τοῦ πολέμου κρίσιν ἐπιτρέψαι, καὶ εἴ τι ἄλλο παραπλήσιον. Ἀλλὰ πρῶτον μὲν σημαινόμενον τοῦ Ἐφοὺδ τοῦτο· ἕτερον δέ, σχήματί πως τῷ εἰρημένῳ παρεοικός, κοινὸν δὲ καὶ οὐχ ἱερατικόν, ὃ φαίνεται καὶ Δαβὶδ ἀμπισχόμενος· ἐπὶ γὰρ Δαβίδ, φησίν, Ἐφοὺδ μόνον, ὃ ἔνιοι (βύσσου γάρ ἐπεποίητο· φυτὸν δὲ ἡ βύσσος) στολὴν ἐκ τῆς ὕλης ὠνόμασαν βυσσίνην·[3] οἱ δέ, τῷ τρόπῳ τῆς χρήσεως τὴν γένεσιν διδόντες τοῦ ὀνόματος, ἐπωμίδα τε καὶ ἐπένδυμα.[4] Παρὰ δὲ ταῦτα ἔστι καὶ τρίτον ἰδεῖν σημαινόμενον· οἱ γὰρ τῶν εἰδώλων θεραπευταί, κατὰ μίμησιν τῶν ἱερέων τοῦ Θεοῦ, τοῖς σφῶν ἱερεῦσι στολὰς ἀφωρισμένας ἐτίθεντο, εἰς σχῆμα τοῦ Ἐφοὺδ τὸ ὕφασμα περιγράφοντες· καὶ τὴν κλῆσιν ἐκεῖθεν μεθέλκοντες, Ἐφοὺδ καὶ αὐτὸ προσηγόρευον· ἐκέχρηντό τε[5] τῷ μιμήματι, δι' αὐτοῦ τὰ δαιμόνια καὶ αὐτοὶ ἐπερωτῶντες[6] εἰς τὴν τῶν πρακτέων κατάληψιν.[7] Καὶ καινὸν οὐδέν· ὥσπερ γὰρ τὸ Θεὸς ὄνομα καὶ τὸν ἀληθῶς ὄντα σημαίνει, ἐφέρετο δὲ καὶ κατὰ τῶν ψευδωνύμων δαιμονίων, οὕτω καὶ τὸ Ἐφοὺδ εἰς διάφορα διαιρεῖται σημαινόμενα. Οὐ τὸ Θεὸς δὲ μόνον ὄνομα πρὸς τἀναντία μερίζεται, ἀλλὰ καὶ τὸ Ὢν καὶ τὸ Καδδησίμ·[8] τούτων γὰρ ἑκάτερον καὶ τὸν κυρίως ὄντα καὶ κυρίως ἅγιον δηλοῖ, καὶ τοῖς λατρευταῖς τῶν δαιμονίων ἐπὶ τιμῇ τῶν οἰκείων σεβασμάτων, καθ' ὃν δὴ τρόπον καὶ τὸ Ἐφούδ, μετενήνεκται. Σὺ δέ μοι ψυχῇ καὶ σώματι ἔρρωσο.

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΑ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΒ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΨΒ'. Εὕρηται δὲ καὶ ἐν τῇ τῆς Μυριοβίβλου ἐκδόσει τοῦ Οἰσχιλίου, σελ. 945.

[2] Παρ' Οἰσχελίῳ—παρεζήτησας—καὶ παρ' Οἰκον. "ἐπεζήτησας."

[3] Α' Παραλειπομ. ΙΕ', 27. Παράβαλε καὶ Δ' Βασιλ. ΣΤ', 14. (σημ. Οἰκονόμου.)

[4] Ἐξόδ. ΚΗ', 6. Βλέπε καὶ Θεοδώρ. καὶ Κύριλλον αὐτόθι ἐν Ὀκτατ. Τόμ. Α', σελ. 868. (σημ. Οἰκον.)

[5] Παρ' Οἰκον.—δέ.

[6] Οἰκον. εἰκάζει μεταθετέον εἶναι εἰς τὸ "καὶ αὐτοὶ δι' αὐτοῦ τὰ δαιμόνια ἐπερωτῶντες εἰς τὴν κ.τ.λ."

[7] Ἴδε Κριτ. Η', 27. Θεοδώρ, ἀπόρ. αὐτόθι. ἐρώτ. ιζ'. (σημ. Οἰκονόμου.)

[8] Παρ' Οἰκον. Καδησίμ· τὸ δὲ "Ὢν" ἄμεινον παρ' Οἰκονόμῳ ἢ παρὰ τοῖς ἄλλοις—Ὄν.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ Ο'.—70.

Λέοντι καὶ Γαλάτωνι ἀδελφοῖς Ἀσηκρῆτις.[1]

(Διὰ τί τὴν σκηνὴν τοῦ μαρτυρίου κιβδήλοις ἐπιβλήμασιν ὁ νομοθέτης προσέταξε καλύπτεσθαι.—Ἐξόδ. ΚΣΤ'—ΛΑ'.)

Τί δήποτε, πυνθάνῃ,[2] τὸ ἐκ διαφόρων χρωμάτων ὕφασμα κίβδηλόν τε καλῶν,[3] καὶ ἀποτρέπων ὁ νομοθέτης τοὺς ὑπ' αὐτοῦ παιδαγωγουμένους ἀμφιέννυσθαι, τὴν τοῦ μαρτυρίου σκηνὴν τοιούτοις ἐπιβλήμασι προστάσσει καλύπτεσθαι,[4] ἐν ᾗ Θεός τε ὠπτάνετο, καὶ τὰ τῶν ἁγίων ἀπέκειτο ἅγια; Ἀκούοις δ' ἂν κοινὸν ἐπ' αὐτοῦ τε καὶ τῶν ὁμοίων λόγον ἀποδιδόμενον, ὡς τὰ τοιαῦτα νομοθετῶν ὁ θεῖος Μωσῆς, ἀκριβῶς ἐδήλου μὴ χρῆναι γυμνῇ προσεδρεύειν τῇ λέξει τοῦ γράμματος, μηδὲ τῷ προχείρῳ προσανέχειν τῆς καταλήψεως· τοῖς γὰρ διαφιλονεικοῦσι ταύτῃ τὸν νοῦν τῶν προστατ̣τομένων[5] λαβεῖν οὐκ ἄν ποτε θηράσιμος γένοιτο. Τοιοῦτον γὰρ καὶ τὸ ἐν Σαββάτῳ κελεύειν μηδὲν ὅλως ἐργάζεσθαι,[6] τοὺς δὲ ἱερεῖς ἐπιτρέπειν ἐπὶ ταῖς θυσίαις καὶ ξυλοκοπεῖν καὶ σφαγιάζειν·[7] οὓς ἔδει μᾶλλον τῶν ἄλλων, γνώμονας ὥσπερ καὶ ἀρχέτυπον τοῦ πλήθους ὄντας, τὸ τῆς νομοθεσίας φυλάττειν ἀκήρατον.[8] Ἔτι δὲ καὶ τὸ προστάσσειν ἐκ λίθων τμητῶν μὴ κατασκευάζειν θυσιαστήρια, ὅτι μεμίανται, καὶ τοῦ μεμιάνθαι τὴν αἰτίαν ἐπάγειν τὸ ἐγχειρίδιον, ὅτι περ αὐτοῖς τοῦτο ξυομένοις ἐπιβέβληται·[9] τῷ ἐγχειριδίῳ δὲ καὶ αὐτὸ τὸ τιμιώτατον καὶ μέγιστον παρ' Ἑβραίοις, τὴν περιτομὴν ἀπεργάζεσθαι, καὶ μὴν καὶ πάσας ἱερουργίας ἐγχειριδίοις τελεσιουργεῖσθαι καὶ καταρτίζεσθαι. Καὶ δὴ κἀκεῖνο, τὸν μὲν ἁπτόμενον νεκροῦ ἀκάθαρτον εἶναι, εἶτα καθαίρεσθαι παρὰ τοῦ ἱερέως· τὸν δὲ μὴ δύνασθαι καθαίρειν ἄλλως, εἰ μὴ διὰ θυμάτων, ἃ δὴ αὐτός τε νεκροποιεῖ πρῶτος καὶ ἅπτεται, καὶ ἀπὸ τῶν νεκρῶν αἱμάτων, ἢ τῆς σποδοῦ, περιῤῥαίνει τόν, ὅτι νεκροῦ ἥψατο, προσιόντα καθαρθήσεσθαι.[10]

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΔ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΙΓ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΙΘ'.

[2] Παρ' Οἰκον.—διαπυνθάνῃ.

[3] "Τὸν νόμον μου φυλάξεσθε· τὰ κτήνη σου οὐ κατοχεύσεις ἑτεροζύγῳ, καὶ τὸν ἀμπελῶνά σου οὐ κατασπερεῖς διάφορον, καὶ ἱμάτιον ἐκ δύο ὑφασμένον κίβδηλον οὐκ ἐπιβαλεῖς σεαυτῷ." (Λευϊτ. ΙΘ', 19.)

[4] Ἐξόδ. ΚΣΤ', 1 κ. ἑξ.

[5] Παρ' Οἰκον.—πραττομένων·—ἀλλ' ἄμεινον πάντως τὸ παρὰ Μοντακ. "προσταττομένων," ὡς ἀνάλογον πρὸς τὸ ἡγούμενον "προστάσσει καλύπτεσθαι." Ἔοικε δὲ παρ' Οἰκονόμῳ ἐκ τυπογραφικοῦ παροράματος γεγράφθαι "πραττομένων," τριῶν γραμμάτων (οστ) ἐκχυθέντων τῆς λέξεως, ὅτι μὴ καὶ τὴν τῆς γραφῆς διαφορὰν ἐσημειώσατο, ὅπερ πανταχοῦ μετὰ πολλῆς ἀκριβείας φαίνεται ποιούμενος.

[6] Ἐξόδ. Κ', 8—12.

[7] Παρ' Οἰκον.—καὶ ξυλοκοπεῖν, καὶ κρεανομεῖν, καὶ σφαγιάζειν.

[8] Λευϊτ. κεφ. Α'.

[9] Ἐξόδ. Κ', 25.

[10] Λευϊτ. ἔνθ. ἀνωτ.

Digitized by Google

Αἰνίγματι γὰρ τοῦτο παντελῶς, εἴ τις ἐναπομένοι τῷ γράμματι, ἔοικεν. Τοιοῦτόν ἐστι καὶ τὸ παντὸς[1] ὁμοίωμα ποιεῖν ἀπείργειν[2] τὸν Ἰσραήλ, αὐτὸν δὲ ταῦτα νομοθετοῦντα, πρῶτον μὲν καὶ αὐτὴν τὴν κιβωτὸν κατὰ τύπον καὶ μίμημα ποιήσασθαι τῶν δειχθέντων αὐτῷ ἐν τῷ ὄρει, ἔπειτα τὰς εἰκόνας καὶ τὰ ὁμοιώματα τῶν Χερουβεὶμ διαγλύψαι τε καὶ τορεῦσαι, καὶ τοῖς παραπετάσμασι προσεξυφάναί τε καὶ ῥαφιδεῦσαι,[3] ῥοΐσκων τε ὁμοιώματα τοῖς ἱεροῖς σκεύεσιν ἐντυπῶσαι·[4] καὶ μυρία ἄλλα.

Ἐκεῖνο δὲ πῶς οὐ θαυμάσειέ τις, τοῖς τοῦ γράμματος[5] προθύροις μόνον ἀναστρεφόμενος, καὶ τοῖς ἔνδον κεκρυμμένοις τὸν νοῦν οὐκ ἔχων ἐνατενίζοντα; Ὅτι τὸν μὲν ἀρτιγενεῖ λέπρᾳ τὸ σῶμα στιζόμενον,[6] οὔπω δὲ τὴν ὅλην ἐπιφάνειαν διαφθαρέντα τῷ νοσήματι, ἀκάθαρτον καὶ μιαρὸν ἀποφαίνει· τὸν δ' ὅλον τὸ σῶμα περισχεθέντα τῷ κακῷ, καὶ βδελυγματίαν[7] γενόμενον, καὶ εἰδεχθῆ[8] μὲν ὁραθῆναι, ἐγγὺς δὲ γεγονότα καὶ τοὺς φυσικοὺς συνδέσμους λύεσθαι, τοῦτον δὲ ἄρα καθαρὸν καὶ τῆς συναγωγῆς ἄξιον κρίνεσθαι. Εἰ βούλει δέ, κἀκεῖνο τῶν ἐν νόμῳ βιούντων ἰδεῖν, ὡς οὐκ ἐξῆν μέν τινα παρὰ τὴν σκηνὴν ἀλλαχοῦ τολμᾷν θυσιάζειν (ἡ γὰρ εἰς αἷμα δίκη[9] ἀπήντα τῷ παραβάντι), οὐ μὴν οὐδὲ ἔξω τοῦ ναοῦ μετὰ τὴν τούτου οἰκοδομὴν τὰς ἱερουργίας ποιεῖσθαι, τὸν δὲ θαυμάσιον Σαμουὴλ καὶ θυσιαστήριον, τῆς σκηνῆς ἑστώσης, πῆξαι, κἀκείνην μὲν λιπεῖν, ἐκεῖσε δὲ τὰς θυσίας ἀνενεγκεῖν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ τὸν ἱερὸν Ἠλίαν, τοῦ ἐν Ἱεροσολύμοις ναοῦ λαμπρῶς ἑστηκότος, ἐπὶ τοῦ Καρμήλου βωμούς τε ἐγεῖραι, καὶ προσενεγκεῖν θυσίας· καὶ τούτων οὐδένα οὐχ ὅτι μὴ ἐγκληθῆναι, ἀλλὰ καὶ πρὸς Θεοῦ, τοῦ διὰ Μωσέως μηδὲν τούτων τολμᾶσθαι νομοθετοῦντος, εὖ μάλα τε προσδεχθῆναι, καὶ οὐρανίῳ πυρὶ τὴν τῶν θυμάτων ὁλοκαύτωσιν περιφανεστέραν τε καὶ παραδοξοτέραν, ἢ συμπάσας τὰς ἄλλας, αἳ τὸν νόμον εἶχον τῆς τελετῆς αὐτῶν καθηγούμενον, ἀποφανθῆναι.[10] Εἶτα τὸν Σαμουὴλ πάλιν, Ἀρχιερωσύνης ὕψει[11] καὶ Προφητείας ἀνηγμένον, χερσὶν ἱεραῖς τὸν Ἀγαγ

---

[1] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—πάντως—παρὰ τοῖς ἄλλοις.*

[2] *Ὁμοίως, ἀντὶ—ἀπάρχειν—παρὰ τοῖς ἄλλοις.*

[3] *Παρ' Οἰκον.—ῥοφιδεῦσαι—ὅπερ διώρθωται ἐν τοῖς παροράμασι "ῥαφιδεῦσαι·" τοιοῦτον δὲ πάντως καὶ τὸ ἀμέσως ἑπόμενον "ῥωΐσκων" ἀντὶ "ῥοΐσκων"=μικρῶν ῥοιῶν· ῥοιὰ γὰρ τό τε δένδρον λέγεται (κοινῶς ῥωδιά ἢ ῥουδιά) καὶ ὁ ἐξ αὐτῆς καρπὸς (τὸ κοινῶς λεγόμενον ῥῶδι, ἢ ῥοῦδι, ἢ ῥόϊδι)· ῥοΐσκος δὲ καὶ ῥοΐδιον καὶ ῥοδάριον ὑποκοριστικῶς.*

[4] *Ἐξόδ. ΚΗ', 33.*

[5] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—θαύματος—παρὰ τοῖς ἄλλοις.*

[6] *Παρ' Οἰκον.—μαστιζόμενον—ὅπερ, ὡς ἔοικεν, ἐξ ἀβλεψίας προὔκυψε τοῦ ἀντιγραφέως, τὴν τῆς προηγουμένης λέξεως λήγουσαν (μα) ἐν τῇ ἀρχῇ τῆς ἀμέσως ἑπομένης "στιζόμενον" προσκολλήσαντος.*

[7] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—βδελύγματι ἄν—ἡ δὲ Μοντακ. διόρθωσις "βδελυγματιαῖον" οὐκ ἐῤῥωται.*

[8] *Ἐκ διορθ. Οἰκον. ἀντὶ—εἰδεχθείς—παρὰ τοῖς ἄλλοις.*

[9] *Παρ' Οἰκον.—ἡ γὰρ δίκη εἰς αἷμα.*

[10] *Γ'. Βασιλ. ΙΗ', 38.*

[11] *Παρ' Οἰκον.—θειότητος ὕψει·—ἄπορον δέ, ὅτι οὐδὲν περὶ τῆς διαφορᾶς ταύτης σημειοῦται.*

Digitized by Google

ἀποσφάττειν·[1] καὶ πρό γε αὐτοῦ τὸν Φινεὲς διπλῆς σφαγῆς, ἐμφυλίου τε καὶ ἀλλοφύλου, τὴν ἱερωσύνην δῶρον αἰώνιον ἀποφέρειν. Οὐ μὴν ἀλλά γε καὶ πρόσθεν ἔτι λαμπρᾶς εὐλογίας καὶ τιμῆς μείζονος ἠξιῶσθαι τοὺς ὅσοι συγγενικῶν αἱμάτων τὰς χεῖρας ἐπλήρωσαν, καίτοι κοινῆς οὔσης τῆς αἰτίας τῶν τε δίκην[2] εἰσπραττομένων καὶ τῶν ἀπαιτούντων· τούτους μὲν τοιούτοις ἄθλοις ἐπὶ τῇ τῶν αἱμάτων χύσει τιμηθῆναι, τὸν δέ γε βασιλέα Δαβίδ, ἀνάγκην ἔχοντα πολέμοις τοὺς ἀνθεστηκότας ἐπεξιέναι, διὰ τοῦτο, τὸν ἐν Ἱεροσολύμοις νεὼν ἀναστῆσαι προθυμούμενον, κεκωλύσθαι.[3] Καὶ τὸν μὲν Σαοὺλ καὶ τὸν Ἀχαάβ, ὅτι φιλανθρώποις ὄμμασιν εἶδον τοὺς ἑαλωκότας τῶν πολεμίων, ἐκπτώσει τε τῆς βασιλείας ζημιωθῆναι, καὶ τὸν διὰ μαχαίρας θάνατον ἀπαιτηθῆναι· τὸν δὲ Δαβίδ, ὅτι δικαιοτέρᾳ κρίσει τοὺς παραπλησίως ἁλόντας[4] ὑπῆγεν, ἀνάξιον κριθῆναι τῆς τοῦ ναοῦ ἀνεγέρσεως. Εἰ βούλει δέ, καὶ ἄξιον μὲν πάλιν αὐτὸν τοῦτον[5] ἐπιδειχθῆναι θυσιαστήριον ἐν[6] τῇ τοῦ Ὀρνᾶ ἅλῳ ἀναστῆσαι, καὶ θῦσαι παράδοξον θυσίαν, οὐρανίου πυρὸς τὴν ὁλοκαύτωσιν συγκαλλιεροῦντος, καὶ θυμὸν ἄσχετον, ἐκ θείας ὀργῆς καὶ δικαίας ἅπαντα τὸν Ἰσραὴλ ἐπινεμόμενον, ἐξιλεωσάμενον στῆσαι·[7] τὸν αὐτὸν δὲ τοῦτον, οὐδὲν πλέον εἰς αἷμα[8] πολεμίων ἀδυσώπητον γεγονότα, ἐξείργεσθαι τοῦ[9] ναὸν Θεῷ ἀνοικοδομῆσαι.

Πῶς γὰρ ταῦτα καὶ τὰ τοιαῦτα ἡ τοῦ γράμματος κατὰ τὸ γράμμα ἀνάγνωσις αἰτίας τε καὶ ἐναντιώσεως ἀπαλλάξει, καὶ τὸν πρέποντα εἰρμὸν ἐν αὐτοῖς θεωρούμενον ἐπιδείξει, ἀλλὰ μὴ καὶ πολλῆς ἐμπλήσει ταραχῆς τε καὶ ἀμηχανίας; Ἐπὶ τούτοις πῶς ἂν ἔχοι λόγον τὸν μὲν γάμον Θεὸν ἐπιτρέψαι,[10] εὐλογίας τε τῆς παρ' αὐτοῦ ἀξιῶσαι,[11] ἀκάθαρτον δὲ τὸν ὠμιληκότα κατὰ τοὺς θείους θεσμοὺς τοῖς τῆς φύσεως μυστηρίοις ἀποκαλέσαι,[12] καὶ τοῖς ἱεροῖς μὴ προσιέναι, εἰ μὴ καθαρθείη, ἀποθεσπίσαι; Πάλιν δέ, τὸ μὲν ὀστράκινον ἄγγος, ἐπὰν ἀκαθάρτου τινὸς ψαύσῃ, συντρίβεσθαι, ὡς μηκέτι δυνατὸν εἶναι τῆς ἀκαθαρσίας τὸ μεμολυσμένον ἀπολύεσθαι,[13] ἂν δὲ χαλκοῦν ἢ ξύλινον ᾖ, ῥαδίως τῆς ἀκαθαρσίας διὰ τοῦ

---

[1] *Α'. Βασιλ. ΙΕ', 33—34· ἔνθα καὶ Ἀγάγ γράφεται.*

[2] *Παρ' Οἰκον. ἐνάρθρως—τὴν δίκην.*

[3] *Β'. Βασιλειῶν, κεφ. Ζ', καὶ Γ'. Βασιλ. Η', 17.*

[4] *Προσέθηκα ἐξ Οἰκον. τὴν Μετοχὴν "ἁλόντας" ἐλλείπουσαν παρὰ τοῖς ἄλλοις.*

[5] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—αὐτὸν μὲν πάλιν τοῦτον—παρὰ τοῖς ἄλλοις.*

[6] *Παρ' Οἰκον.—ἐπί.*

[7] *Β'. Βασιλειῶν ΚΔ', 16 κ. ἑξ.*

[8] *Παρ' Οἰκον.—αἵματα.*

[9] *Παρ' Οἰκον.—τόν.*

[10] *Γενέσ. Β', 23 καὶ 24.*

[11] *Αὐτόθι, Θ', 1.*

[12] *Μοντακ. εἰκάζει γραπτέον εἶναι—ἀποκλεῖσαι·—ἀλλ' οὐδὲν δεῖ, ἔμοιγε δοκεῖν, τῆς τοιαύτης διορθώσεως.*

[13] *Καὶ τοῦτο Μοντακ. εἰκάζει γραπτέον εἶναι—ἀπολούεσθαι—ὅπερ προσφυέστερον ἂν εἴη τοῦ "ἀπολύεσθαι" διὰ τὸ ἀμέσως ἑπόμενον "διὰ τοῦ ὕδατος ἀπαλλάττεσθαι."*

Digitized by Google

ὕδατος ἀπαλλάττεσθαι;[1] Καὶ τὰ μὲν Ἐλισσαίου ὀστᾶ τῷ κοινῷ τῶν νεκρῶν νόμῳ εἰς ἀκαθαρσίαν ἄγειν, τοὺς δὲ πεπλησιακότας αὐτοῖς νεκροὺς καθαρὰς ἐκεῖθεν τῆς ζωῆς δέχεσθαι τὰς ἀκτῖνας, καὶ πρὸς τὸ τοῦ βίου φῶς ἐκ τῶν ζοφερῶν πυλῶν ἐπανάγεσθαι τοῦ θανάτου;[2] Τί οὖν[3] ἐρεῖς, ἀκαθάρτους, ὅτι πλησιάσαντες ὀστέοις νεκροῦ τῆς ἀκαθαρσίας τοῦ θανάτου ἐκαθάρθησαν, ἢ καὶ προσοίσεις ὑπὲρ αὐτῶν οὐκ εὐχαριστήριον τῆς ἐγέρσεως, ἀλλὰ καθάρσιον τῆς ἁφῆς, ἐξ ἧς ἀνέστησαν; Καὶ πῶς οὐκ ἂν εἴη τοῦτο, κατά γε τῶν γεγραμμένων τὸ φαινόμενον, πολλὴ ἀμαθία καὶ ἄνοια; Ἡ δὲ τῆς ὄνου σιαγών, τριπλῆς ἀκαθαρσίας αἰτίαν πηγάζουσα, πῶς καθαροῦ καὶ ποτίμου ναματος διψῶντι τῷ Ναζαραίῳ[4] ἀνέδωκε ῥύακας, ἴσοις τῆς ἀκαθαρσίας διαβοηθεῖσα θαύμασιν;[5] ὄνου μὲν γὰρ ἦν καὶ νεκροῦ ὀστᾶ, καὶ τρίτον φόνων ὄργανα· οὐκ ἐν γῇ δὲ πλησίον ὕδατος, οὐδέ τινες νοτίδες ἀφανῶς ὑπαρδόμεναι τοῦ ὀστοῦ κατελείβοντο, ἀλλ' ἀνδρὸς χειρὶ μαχητοῦ ὅπλον[6] κατὰ πολεμίων ἐφέρετο, καὶ τοσαύτην πηγὴν ὑδάτων ἀνέβλυσεν, ὥστε τὸν ἐν τοσούτῳ κόπῳ καὶ καμάτῳ καὶ τοσαύτῃ καιροῦ παρατάσει δεδιψηκότα ἀφθόνου καὶ δαψιλοῦς καὶ πέρα τῆς χρείας εὐμοιρῆσαι πόματος. Ἀλλὰ τοιούτῳ μὲν τὰ τοῦ ἀκαθάρτου ζώου καὶ νεκρὰ καὶ φονικὰ ὀστᾶ ὑπηρετήσατο θαύματι· τοῖς γὰρ ὄνομα πηγῆς τὴν ὄνου σιαγόνα ποιοῦσι, κἀκεῖθεν τῷ δεδιψηκότι φέρουσι τὸ νάμα, καίτοι τὸν προκείμενον λόγον κατ' οὐδὲν λυμαινομένοις (δῆλον γάρ, ὡς καὶ αὐτοὶ τοῦτο λέγοντες πόῤῥω τοῦ γράμματος ἰχνηλατοῦσιν), ἕως ἂν ἡ τῶν παραδόξων ἔργων πίστις ἐνισχύῃ, οὐκ ἂν ἡδέως συμφήσαιμι. Καὶ τί ἄν τις ἀπαριθμοίη τὰ τοιαῦτα; σχεδὸν γὰρ δι' ὅλου τοῦ νομικοῦ γράμματος ἡ τοιαύτη τῶν αἰνιγματωδῶν θεωριῶν κατακέχυται θύελλα. Ἀλλ', ὅπερ καὶ ἀρχόμενος εἶπον, διὰ τούτων τε καὶ τῶν τοιούτων ἁπάντων ὁ σοφὸς νομοθέτης ἐναργῶς παρίστησιν, ὡς ἄλλη μὲν ἡ κατὰ τὸ γράμμα καὶ τὸ πρόχειρον τῆς ἐπιβολῆς ἀπαγγελία, ὡς παραπέτασμα διηπλωμένη κρυφίων θεωρημάτων, ἑτέρα δὲ ἡ τοῦ πνεύματος καὶ ἐν τῷ βάθει κρυπτομένη θεοσοφία, ἧς ἡ τῶν Ἰουδαίων καὶ τῶν Ἰουδαϊζόντων αἱρεσιωτῶν πληθὺς ἐκπεσοῦσα, μακρὰν καὶ χαλεπὴν οὐ παύεται πλάνην πλανωμένη.

---

[1] *Λευϊτ. ΣΤ', 28.*

[2] *Δ'. Βασιλειῶν ΙΓ', 20—23.*

[3] *Ἴσως ὀρθότερον ἂν ἐγέγραπτο—Τί οὖν; ἐρεῖς ἀκαθάρτους, ὅτι κ.τ.λ.*

[4] *Παρ' Οἰκον.—Ναζηραίῳ—ἐν δὲ τῷ κειμένῳ τῆς Γραφῆς (ἔκδ. ἐν Ἀθήναις 1843) Ναζειραῖος γέγραπται (ὁ Σαμψὼν δῆλον ὅτι).*

[5] *Κριτ. ΙΕ', 14—20.*

[6] *Παρ' Οἰκον. ἐνάρθρως—τὸ ὅπλον.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΟΑ'.—71.

Ἀρσαβὴρ Πρωτοσπαθαρίῳ.[1]

(Πῶς οὐ μάχεται τὸ "Ὁ Πατὴρ ἐν τῷ Υἱῷ καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί" (Ἰωάν. ΙΔ', 20) πρὸς τὸ "Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ Ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατήρ μου μόνος."—Ματθ. ΚΔ', 36.)

Οὐ πολλήν μοι δοκεῖ τὴν δυσχέρειαν ἔχειν, ὅπερ σοι πολλήν, ὡς γράφεις, ἐμποιεῖ τὴν ἀπορίαν. Πρῶτον μὲν γὰρ ἐν ἀνθρώπου φύσει καὶ μορφῇ πεφηνὼς ὁ ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὑπάρχων Υἱός,[2] ὡς ἄνθρωπος τὰ πολλὰ τοῖς μαθηταῖς συνὼν διελέγετο, τὴν καθ' ἡμᾶς φύσιν ἀναλαβεῖν[3] ἐνδεικνύμενος. Καὶ τί γὰρ ἄπορον τὸν κοπιῶντα, καὶ ἱδροῦντα, καὶ ὕπνῳ διαναπαυόμενον, βρώσει τε καὶ πόσει τὴν τοῦ σώματος φύσιν, τὸ ὅλον εἰπεῖν, συνέχοντα ῥέουσαν, τοῦτον δή, τοῦτον καὶ ἄγνοιαν τῆς μελλούσης ἡμέρας ἀναδέχεσθαι, καὶ τὸ μέτρον, ὥσπερ δὴ τῶν ἄλλων, οὕτω δὲ καὶ τῆς ἀνθρωπίνης γνώσεως, ἐξυβρίζειν οὐκ ἀνέχεσθαι; Ὡς μὲν γὰρ δημιουργὸς ἁπάντων καὶ Θεός, ἅπαντα τῷ Πατρὶ συνήδει· ὡς ἄνθρωπος δέ, οὐδὲ τὴν ἀνθρώποις πρέπουσαν ἄγνοιαν, οὗμενουν, οὐκ ἠθέτει· ὃς γὰρ δὴ τὸ ὅλον εἵλετο λαβεῖν, πῶς ἔν τι τῶν περὶ ἐκεῖνο παρῃτήσατο μὴ λαβεῖν, ἢ μὴ πιστοῦσθαι, ὅτι περ ἔχει λαβών;

Δεύτερον δέ, κἂν εἰς ἀναβολὴν τὸν νοῦν τῶν εἰρημένων ἐρεῖ τις ἀφορᾷν, καὶ τὸ μὴ βούλεσθαι τοῖς μαθηταῖς εἰπεῖν, ἅπερ αὐτοῖς οὐκ ἦν τέως συμφέρον μαθεῖν, οὐδὲ τοῦτο τῆς φιλανθρώπου προνοίας ἡ μέθοδος παραιτεῖται· μεθοδεύοιτο δ' ἄν, ἐξ οἰκονομίας σχηματιζομένη τὴν ἄγνοιαν, καὶ τὸ μᾶλλον δόξαι μὴ εἰδέναι ὑπὲρ τοῦ μὴ λυπεῖν τοὺς Μαθητάς, τὸ ἐγνωσμένον μαθεῖν ζητοῦντας οὐκ ἐκδιδάσκοντα. Ἐπεὶ πῶς ἄλλως ἂν ἔχοι λόγον, τὰ μὲν πρὸ τῆς ὥρας εἰδέναι τε, καὶ σὺν πολλῇ διδάσκειν τῇ ἀκριβείᾳ, αὐτὴν δὲ τὴν ὥραν, ἐκείνων ἐχομένην, καὶ τὸ βραχύτατον μέρος οὖσαν, οὐκ ἐπιγινώσκειν; Πῶς δ' ἄν τι τῶν ὄντων τὸν ἀλάθητον καὶ θεῖον διαλάθοι νοῦν; ἢ τίνα λόγον ἔχοι τῶν μὲν παραγομένων αὐτὸν καὶ τῆς παραγωγῆς καὶ τῆς συνοχῆς τὴν αἰτίαν ἔχειν καὶ τὴν γνῶσιν, τὸν δὲ καιρὸν μόνον κρείττω τῆς ἐκείνου καταλήψεως ὑπάρχειν; καὶ τῆς μὲν κρίσεως αὐτὸν ἀνῃρτῆσθαι τὸ κράτος ("ὁ Πατὴρ γὰρ οὐδένα κρίνει, τὴν δὲ κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ"[4]), τῆς ὥρας δὲ τὴν διάγνωσιν καὶ κρίσιν τὴν αὐτοῦ σοφίαν καὶ κυριότητα διαφεύγειν; Καὶ τί

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΕ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΙΔ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΚΗ'. Τὸν δὲ Ἀρσαβήρ, πρὸς ὃν ἡ ἐπιστολή, Σκύθην εἶναί φησι Μοντακούτιος, ἐκ τοῦ ὀνόματος. ὡς ἔοικε, τεκμαιρόμενος. Θαυμάζει δὲ καὶ τήνδε τὴν ἐπιστολήν, ἥν, ὥσπερ δὴ καὶ τὴν πρὸ ταύτης, πολυμαθείας εὑρίσκει ἀνάπλεων, καὶ μᾶλλον συγγραμμάτιον (libellus) ἢ ἐπιστολὴν ἀξίαν οὖσαν κεκλῆσθαι.

[2] Πρὸς Φιλιππησ. Β', 6—9.

[3] Παρ' Οἰκον.—ἀληθῶς ἀναλαβεῖν.

[4] Ἰωάν. Ε', 22.

Digitized by Google

ταῦτα λέγω; Ἆρ' ὁ τὸν Πατέρα εἰδώς, ὥσπερ ὁ Πατὴρ τὸν Υἱόν,[1] ἡμέραν καὶ ὥραν, μικρά τινα καὶ εὐπεριόριστα διαστήματα, ἀγνοήσει; ἢ δῆλον, ὡς οὐκ αὐτὸς ὁ πάντα εἰδὼς καὶ πρὶν ὑποστῆναι, ἡ ἐννυπόστατος τοῦ Πατρὸς σοφία, ὁ πάντα τὰ τοῦ Πατρὸς ἔχων πλὴν τῆς ἀγεννησίας, οὔμενουν, οὐδὲ τῶν τοιούτων τὴν ἄγνοιαν εἶχεν, ἀλλὰ τοῖς Μαθηταῖς ἀσύμφορον οὖσαν ὑπερτιθέμενος τὴν γνῶσιν, κοινὴν ἐκ φιλανθρωπίας τὴν ἄγνοιαν ἐποιεῖτο, καὶ πρὸς τὸ ἄλυπον αὐτοῖς συνδιετίθετο τὴν ἀπολογίαν;

Τρίτον δ' ἂν ἴδοι τις κἀκεῖνο, ὡς τῷ Πατρὶ διδοὺς ὁ Υἱός, ὡς αἰτίῳ, τὰ πρεσβεῖα (πρέπει γὰρ Υἱῷ φιλοπάτορι, πάσης τε φύσεως καὶ εὐταξίας δημιουργῷ καὶ νομοθέτῃ, καὶ τοῖς τῆς αἰτίας προνομίοις τιμᾷν τὸν Πατέρα), καὶ τὴν τῆς ἡμέρας ἐκείνης καὶ ὥρας γνῶσιν, ὥσπερ δὴ καὶ ἄλλα πολλά, ἐκείνῳ προσανατίθησιν, οὐχ ἑαυτόν, ἄπαγε, ταύτης ἀποστερῶν, ὅτι μηδ' ἄλλου τινὸς τῶν τιμίων τε καὶ καλῶν, ἀλλ' ἐκεῖνον κἀν ταύτῃ προτιμῶν. Καὶ οὐ δήπου τις τὸ εὔγνωμον τοῦ Υἱοῦ ὑπόθεσιν ἀγνωμοσύνης ποιούμενος, εἶτα τὴν ἄγνοιαν περιάπτων αὐτῷ, καὶ πρὸς τὰς τῆς λέξεως καταφεύγων συλλαβάς, τῆς βλασφημίας ἀπολυθήσεται· οὐδὲ γὰρ οὐδ' ἡ τῆς λέξεως ἀκρίβεια, ὡς ὕστερον ἐπιδειχθήσεται, ἀφορμή τισιν εἰς τὸ μὴ βούλεσθαι τὰ ὀρθὰ φρονεῖν πορισθήσεται· εἰ γὰρ καὶ συγκεχωρημένον νῦν τὰς λέξεις δηλοῦν ἀγνοεῖν τὸν Υἱόν, ὅμως οὐδὲν τῶν ἀτόπων παρεπόμενον, εὐσεβῶς τὸν νοῦν θεωρήσαντες, παρεστήσαμεν· ἀλλ' οὖν οὐδ' αἱ λέξεις τι χαριοῦνται τοῖς ἐπὶ καθαιρέσει τῆς δόξης τοῦ Μονογενοῦς τὴν ἄγνοιαν περιχαίνουσιν. Ἐγὼ δὲ οἶδα πάλαι ποτέ, γέροντι σοφῷ τὰ θεῖα ἐνωμληκώς, ὃς καίτοι τῶν ἔξω θεωρημάτων πολλὴν ἔχων τὴν ὀλιγωρίαν, ὅμως τοιαύτην τινὰ περὶ τοῦ προκειμένου διέγραφε θεωρίαν. Τὸ εἰδέναι διττὸν ἔλεγεν εἶναι, τὸ μὲν ἐπιστήμῃ, τὸ δὲ τῇ πείρᾳ· κατὰ μὲν οὖν ἐπιστήμην ὁμοίως εἰδέναι τῷ Πατρὶ τὸν Υἱὸν τὴν ἡμέραν ἐκείνην καὶ ὥραν, κατὰ πεῖραν δὲ οὐκέτι· τὸν μὲν γὰρ Πατέρα καὶ εἰς πεῖραν ἐλθεῖν καὶ προλαβεῖν[2] τὴν τοιαύτην γνῶσιν, ἡνίκα πᾶσαν ἐδεδώκει τῷ Υἱῷ τὴν κρίσιν· ἐκεκρίκει γὰρ τότε ὁ Πατὴρ τὴν κρίσιν[3] ἅπασαν ἐγχειρίσαι τῷ Υἱῷ, καί, ὅσον ἦκεν εἰς ψήφους τὰς αὐτοῦ, ἐνεργῆσαι τὴν ἰδίαν κρίσιν, καὶ συμπεράνασθαι·[4] ὁ δέ γε Υἱὸς δῆλον, ὡς οὔπω κέκρικεν, οὐδ' εἰς ἔργον τὴν πρᾶξιν, ἣς αὐτὸν ὁ Πατὴρ ἀνεῖπε κύριον, ἤγαγεν. Οὐκοῦν ὁ μὲν Πατὴρ καὶ πείρᾳ τὴν ὥραν οἶδεν, ὁ δὲ Υἱός, εἰ καὶ κατ' ἐπιστήμην ὥσπερ ὁ Πατήρ, ἀλλ' οὖν οὔπω δὴ[5] καὶ πείρᾳ· εἴσεται δέ, ἐπειδὰν δῆλον ὅτι τὴν κρίσιν οἴσῃ,[6] τῆς κατ' ἐπιστήμην εἰδήσεως εἰς τὴν κατὰ πεῖραν γνῶσιν προελθούσης. Ἀλλὰ ταύτην μὲν ἐξεθέμην σοι τὴν ἑρμηνείαν, οὐ τὴν ἐν αὐτῇ θειάζων ἀλήθειαν, ἀλλ'

---

[1] Ἰωάν. Ι', 15.

[2] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—προσλαβεῖν.

[3] Παρ' Οἰκον.—τὸ τὴν κρίσιν . . . ἐγχειρίσαι.

[4] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—συμπεραίνεσθαι.

[5] Καὶ τοῦτο κατ' Οἰκον. ἀντὶ—δέ.

[6] Σημειωτέον καὶ ἐνταῦθα τὸ—οἴσῃ—ἀντὶ τοῦ "ἐνέγκῃ." Ἴδε τὰ περὶ τούτου σημειωθέντα ἐν ἀρχῇ τῆς Α' Ἐπιστολῆς.

Digitized by Google

ὅπως ἀνδρὸς ἁπλότης τοσαύτη[1] ποικίλην οὕτω καὶ περινενοημένην ὑπελθεῖν ἐφρόντισεν ἔννοιαν.

Ὅτι δὲ οὐδ' αἱ λέξεις αὐταὶ καταφυγῆς εἶεν τόπος τοῖς δυσφημίαν ποιουμένοις τὴν ἄγνοιαν, ἐκ τῶνδε ῥᾴδιον μαθεῖν. Ὁ μὲν οὖν ἱερὸς Ματθαῖος τὴν Δεσποτικὴν φωνὴν ἀναγράφων, "Οὐδεὶς οἶδε, φησί, τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, οὐδὲ οἱ Ἄγγελοι, εἰ μὴ ὁ Πατήρ μου μόνος." Σκόπει γὰρ λοιπόν, πρῶτον μέν, ὅπως εἰπὼν "οὐδ οἱ Ἄγγελοι," οὐκέτι προστίθησιν "οὐδὲ ὁ Υἱός·" οὕτω γὰρ ἦν ἡ λέξις ἴσως ἀναχώρησις τοῦ δυσσεβήματος, εἰ καὶ τὸν Υἱὸν τοῖς Ἀγγέλοις προσθεὶς ἐπήγαγεν "εἰ μὴ ὁ Πατήρ μου μόνος·" νῦν δὲ οὐχ οὕτω φησί· πόθεν; ἀλλὰ μέχρι τῶν Ἀγγελων παρατείνας τὴν ἄγνοιαν, οὐκέτι ταύτῃ τὸν Υἱὸν ὑπάγει, ὡς ἂν μὴ χώραν ἔχοι κατ' αὐτοὺς τὸ "εἰ μὴ μόνος[2] ὁ Πατὴρ" ἐπιφερόμενον τὴν πρὸς τὸν Υἱὸν ὑπαγορεύειν[3] διαστολήν· ἀλλὰ γὰρ κάτωθεν ἀπὸ τῶν ἀνθρώπων ἀνιών, καὶ τοὺς Ἀγγέλους φθάσας, οὐκέτι πρόεισι περαιτέρω· ἐκεῖσε δὲ συγκατακλείσας τὴν ἄγνοιαν, τὴν ὑπερούσιον καὶ δημιουργὸν οὐσίαν μακρὰν ἀπάγει ταύτης καὶ ὑπερτίθησιν. Ἀνθρώπων μὲν γὰρ ἦν ἡ τῶν μαθητῶν ἐρώτησις, ἧς ἀπόκρισις, "οὐδεὶς οἶδεν" (ἀνθρώπων δῆλον ὅτι)· εἶτα, "οὐδ' οἱ Ἄγγελοι" (βαθμὸς οὗτος μετά γε τὸ ἀνθρώπινον ἡ τῶν ἀσωμάτων φύσις δεύτερος). Τί οὖν ὁ Υἱός; εἰ μέν, ὥσπερ δὴ καὶ νόμος υἱῶν, τῆς Πατρικῆς δόξης κληρονόμος καὶ φύσεως, μάτην περιχαίνεις τὴν ἄγνοιαν· εἰ δ' οὐκ ἀνέχῃ,[4] τρίτην σοι τῶν κτισμάτων ἀναπληρώσει τάξιν. Καὶ πῶς ὁ λόγος αὐτὸν ὑπεραλλόμενος ἐπὶ τὸν Πατέρα διέβη; ἔδει γὰρ αὐτόν, εἰ μὴ ἡ τοῦ Πατρός, ἀλλὰ τρίτη τάξις εἶχε τὸν Μονογενῆ, πρότερον εἰπεῖν, "οὐδὲ ὁ Υἱός," εἶθ' οὕτω τὴν γνῶσιν ἀναθεῖναι τῷ Πατρί. Νῦν δὲ ἀνθρώπων φύσιν[5] καὶ ἀσωμάτων νόων διελθών, οὐκέτι διαβιβάζει τὴν ἄγνοιαν ἐπὶ τὸν Υἱόν, ἀλλ' εὐθὺς τῇ Πατρικῇ φύσει, ἧς κληρονόμος γνήσιος ὁ Υἱός,[6] τὴν γνῶσιν μαρτυρεῖ. Πόθεν οὖν σὺ τὴν ἄγνοιαν λαβών, ἐφ' ὕβρει κατασκεδάζεις[7] τοῦ Υἱοῦ; εἰ μὴ ἄρα σοι τοῖς Ἀγγέλοις καὶ δούλοις ὁ Μονογενὴς καὶ Δεσπότης συντετάξεται, ὃ μέχρι νῦν οὐδεμία ὤφθη δυσσέβεια μελετήσασα. Εἰ δὲ μὴ τοῦτο τολμᾷς, ὑπεξαίρεις δὲ τὸν Υἱὸν τῆς Ἀγγελικῆς οὐσίας, κἂν τῆς Πατρικῆς οὐδέπω ἴσον ἀνέχῃ,[8] οὐχ ἕξεις δήπουθεν, λαμπρῶς οὕτω τῶν λέξεων ἐπὶ τῶν Ἀγγέλων ἀπαγγελλόντων[9] τὴν ἄγνοιαν, οὐδαμόθεν

---

[1] *Παρ' Οἰκον.—τοσαύτην·—ἀλλ' ἄμειον, οἶμαι, τὸ παρὰ Μοντακ.* "τοσαύτη" *πρὸς τὸ* "ἁπλότης" *τὴν συμφωνίαν ἔχον.*

[2] *Ἐλλειπούσας παρὰ Μοντακ. καὶ Μιγνίῳ τὰς τέσσαρας λέξεις—τὸ* "εἰ μὴ μόνος"*—προσέθηκα ἐξ Οἰκονόμου.*

[3] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἀντὶ—ἀπαγορεύειν—παρὰ τοῖς ἄλλοις.*

[4] *Ὁμοίως, ἀντὶ—ἂν ἔχῃ.*

[5] *Ὁμοίως, ἀντὶ—φησίν.*

[6] *Ὁμοίως, ἀντὶ—Υἱός (ἀνάρθρως).*

[7] *Ὁμοίως, ἀντὶ—κατασκευάζεις.*

[8] *Ὁμοίως, ἀντὶ—ἂν ἔχῃ.*

[9] *Ἀντὶ—ἀπαγγελλουσῶν·—ὅπερ Οἰκονόμος φησίν, εἰ μὴ τῶν ἀντιγραφέων εἴη παρόραμα, κατὰ τὸ*

Digitized by Google

αὐτῷ ταύτην περιάπτειν, κἂν μυριάκις εἰς ἄλλην τάξιν ἀπάγειν παρὰ τὸν Πατρῷον κλῆρον ἐκβιάσῃ· καὶ οὕτω πάλιν, κἂν μὴ βούλῃ, τῇ κατὰ σὲ ὑπερφυεῖ καὶ ὑπερτάτῃ καὶ Πατρικῇ γνώσει ὁ Μονογενὴς τῷ Πατρὶ συναπτόμενος, τὴν σὴν ὑπερόριον ἐκμυκτηριεῖ καὶ τρίτην διάταξιν. Ποῦ τοίνυν ἐνταῦθα φαίνεται κατὰ λέξιν ἢ διάνοιαν (ὡς ἡ τῶν αἱρετιζόντων παράνοια) τῷ Υἱῷ ἡ ἄγνοια ἐπιπηδῶσα; Ναί, φησίν· ἀλλ' ἐπήγαγεν, "εἰ μὴ ὁ Πατήρ μου μόνος." Καλῶς γε λίαν καὶ σοφῶς· ἵνα μὴ νομίσῃς, ὡς καὶ τοὺς ἀσωμάτους νόας διαδραμοῦσα, χώραν ἔχοι καὶ μέχρις αὐτῆς τῆς πρώτης φύσεως προϊέναι. Ταύτης γὰρ δή, ταύτης μόνης τῆς δημιουργοῦ καὶ κυρίας τῶν ὅλων, ὥσπερ τὰ ἄλλα πάντα, ἐν οἷς ἡ κτίσις γνωρίζεται, οὕτω δὴ[1] καὶ τὸ τῆς ἀγνοίας διέῤῥιπται ὡς ποῤῥωτάτω.

Εἰ δὲ τὸ "μόνος" ἔτι τάραχον κινεῖ, συνείτω μᾶλλον, ὅτι ὢν τὴν ἄγνοιαν εἰπὼν διέστειλε τὸν Πατέρα, πρὸς ἐκείνους διώρισε καὶ τὸ "μόνος·" ἐπεὶ τίνα λόγον ὅλως ἔχοι, Ἀγγέλοις μὲν ἐπιφέρειν τὴν ἄγνοιαν συνειδέναι, εἶτα τούτους ἀφέντα, εἰς διαστολήν, οὗ μηδὲν κατεῖπεν, Υἱοῦ, τὸ "εἰ μὴ ὁ Πατήρ μου μόνος" νομίζειν εἰρῆσθαι; Ἔτι δέ, εἴπερ τὸ "μόνος" θορυβεῖ, διὰ τοῦ "ὁ Πατήρ μου" τὸ θορυβοῦν διαλυέσθω· δῆλον γάρ, ὡς οὐκ ἂν πρὸς ἑαυτόν, οὗ τὴν φυσικὴν οἰκείωσιν ἀνεκήρυξεν εἰπὼν "ὁ Πατήρ μου," ἀλλὰ πρὸς ἐκείνους, ὧν τὴν ἄγνοιαν ἔφη,[2] συναπεφήνατο καὶ τὸ "μόνος." Πῶς δ' ἂν ἐν τῷ λέγειν "εἰ μὴ ὁ Πατήρ μου μόνος" ἑαυτὸν νομισθείη διαστέλλειν, ὁ καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις ἐπίσης[3] βοῶν, "Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμέν·"[4] καί, "Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι;" δῆλον γάρ, ὡς καὶ ἡ γνῶσις ἕν τι, καὶ τὸ βραχύτατον, ὧν ὁ γεγεννηκὼς ἔχει, καὶ μυρία ἄλλα. Χωρὶς δὲ τῶν εἰρημένων, εἰ αὐτὸς ἦν ὁ Μονογενής, ὁ τοῖς μὲν τὴν ἄγνοιαν, τῷ Πατρὶ δὲ διαιτῶν τὴν γνῶσιν, τίς ἡ περιττὴ σοφία αὕτη, ἑαυτὸν ἀξιοῦντα τῶν μειζόνων, καὶ ἃ μόνῳ Θεῷ ἀεὶ διαπρέπει,[5] πράγματος, εἰς πάντας ὕστερον καὶ σπουδαίους καὶ φαύλους ὁμοίως ἐκκαλυφθησομένου, τῆς γνώσεως ἀνάξιον ἀποφαίνειν; Ἆρ' οὐ πανταχόθεν γνώριμον, ὡς οὐδαμόθεν ἡ ἄγνοια τοῖς αἱρετίζουσι συνδραμεῖται; Ὁ μὲν γὰρ κοινὸς Διδάσκαλος καὶ τοῦ γένους [τοῦ] ἡμετέρου[6] Σωτήρ, οὓς ἀφώρισε Μαθητὰς παιδεύων τὰ οἰκεῖα συνιέναι μέτρα, καὶ ζητημάτων ἀναχωρεῖν, ἃ βίον μὲν οὐδένα βελτίω ποιεῖ, ὄγκου δὲ καὶ κενοῦ φυσήματος ἔσθ' ὅτε πολλοῖς ὑπόθεσις γίγνοιτ' ἄν, ἀλύπως τε αὐτοῖς τὰ τῆς ὠφελείας εἰσηγεῖσθαι διοικονομούμενος, καὶ τῇ πειθοῖ μᾶλλον, ἢ διὰ τῆς βίας, τοὺς Ἀγγέλους αὐτοῖς προκομίζει εἰς παράδειγμα· ἵνα, ὧν περ αἱ ἀσώματοι καὶ ὑπὲρ

"κατὰ συνωνυμίαν" σχῆμα ἐσχηματίσθη, πρὸς τὸ συνώνυμον "λογίων" συμφωνούσης τῆς Μετοχῆς "ἀπαγγελλόντων." Ἴδε τὰ περὶ τούτου ἐν τοῖς ἔμπροσθεν (Ἐπιστ. Β', σημ. 3) σημειωθέντα.

[1] Καὶ τοῦτο ἐξ Οἰκον. ἀντὶ—δέ—παρὰ τοῖς ἄλλοις.

[2] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἐφ' ᾧ—παρὰ τοῖς ἄλλοις.

[3] Ὁμοίως, ἀντὶ—ἐφ' ἴσης.

[4] Ἰωάν. Ι', 30.

[5] Οὕτως ἐξ Οἰκον. ἀντὶ—αἴδια πρέπει—παρὰ τοῖς ἄλλοις.

[6] Ἡμετ. διόρθ. ἡ τοῦ ἄρθρου προσθήκη· παρ' Οἰκον. δὲ ἄνευ τῆς Ἀντων.—τοῦ γένους Σωτήρ.

Digitized by Google

ἡμᾶς οὐσίαι τὴν γνῶσιν οὐκ ἔχοιεν, τούτων μηδ' αὐτοὶ λαβόντες, μήτε ἀνιᾶσθαι, μήτε τῷ Διδασκάλῳ μηδὲν ἐπικαλεῖν ἔχοιεν, μὴ βουληθέντι διδάξαι, ἃ μηδ' ἡ τῶν ἀσωμάτων καὶ ὑπὲρ αὐτοὺς φύσις ἐγίνωσκεν. Τί οὖν; οὐκ ἤρκει τοῦτο τοῖς μαθηταῖς εἴς τε τὸ ἀλυπώτατον αὐτοῖς τὴν τῆς αἰτήσεως ἀποτυχίαν διαθέσθαι, καὶ τὰς γνώμας εἰς τὸ μηδὲν τῶν ὑπὲρ αὐτοὺς ἐρευνᾷν καταῤῥυθμίσαι; ἀλλ' ἔδει ἄρα καὶ τὴν ἐνυπόστατον σοφίαν, τὸν Υἱόν, εἰς τὴν ἐκείνων, ὡς ἔοικε, περιενεχθῆναι ἄγνοιαν; Καὶ τί παραμύθιον, ἢ παράκλησις ποία, Θεοῦ ἄγνοια τοῖς λατρευταῖς, προνοίας τε τῆς ἐκεῖθεν καὶ σοφίας δεομένοις; μᾶλλον δέ, πῶς οὐχὶ βάθος ἀπογνώσεως, καὶ δυσσεβὲς ἄλλως καὶ σκότος βαθύ, καὶ ἀθυμία ἐσχάτη, καὶ πλάνη μηδ' ἔλεον ἔχουσα, Θεὸν ἔχειν ἀγνοίας ἥττονα, καὶ τοῦτον ἀνομολογεῖν τοῦ σοφίσοντος δεῖσθαι καὶ τῆς ἑτέρου προνοίας, ἵν' ἔχοι μαθεῖν, ἃ μηδέπω τέως, ὥσπερ οὐδ' ἡ λοιπὴ κτίσις, οἶδεν; Εἰ μὲν γὰρ κατὰ τὸ ἀνθρώπινον παραδέχοιτό τις τὴν ἄγνοιαν, εἴρηται καὶ πρόσθεν, ὡς οὐδὲν δυσχερὲς[1] τὴν τῆς σοφίας πηγήν, τόν, ὅσα ὁ Πατήρ, καὶ εἰδότα καὶ ἔχοντα, ὥσπερ τὰ ἄλλα ἀνθρώπινα, οὕτω καὶ τὴν ἄγνοιαν ὑποδύεσθαι· εἰ δ' εἰς τὴν θείαν αὐτοῦ καὶ ἄχραντον φύσιν τὴν ἀπὸ τῆς ἀγνοίας ὕβριν ἀναφέροι, πῶς οὐ παντα-χόθεν χαλεπόν τε καὶ μεῖζον συγγνώμης τὸ δυσσέβημα;

Σὺ δέ μοι κἀκεῖνο συνεπισκόπει. Ἔφη που ὁ Σωτήρ· "Οὐδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός."[2] Τί οὖν; ἆρα τὸν Πατέρα διὰ τὸ "οὐδεὶς οἶδε," καὶ διὰ τὸ "εἰ μὴ ὁ Υἱός," τῆς ἑαυτοῦ ὑπερορίσεις γνώσεως; καὶ πῶς οὐχὶ τοῦτο μανία λαμπρά; Ἀλλὰ ταῦτα μὲν πρὸς ἀντιδιαστολην τῶν, ὅσα μετὰ τὴν πρώτην ἐστὶ φύσιν, νοήσεις, οὐδαμῶς δὲ κατὰ τοῦ Πατρός, συνεπινοούμενον δὲ μᾶλλον αὐτὸν καὶ συνεισαγόμενον τῇ μνήμῃ τοῦ Υἱοῦ. Καὶ πῶς, κἂν πειδὰν ἀκούοις, "οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ Πατήρ," οὐχὶ τὸν αὐτὸν θεσμὸν συντηρεῖς, καὶ τῇ μὲν τοῦ Πατρὸς μνήμῃ συνεπινοεῖς τὸν Υἱόν, τὸ δὲ "οὐδεὶς οἶδε" τῇ κτίσει νέμοις τῇ λογικῇ; Καίτοι ἐνταῦθα μὲν καὶ κτισμάτων φύσιν κατ' εἶδος ἀπηριθμήσατο, καὶ ἐγγύτερον ἦν τὸ "οὐδεὶς οἶδεν" ἐπ' ἐκείνων ἐκλαβεῖν· ἐν δὲ τῷ[3] "οὐδεὶς οἶδε τὸν Πατέρα" ἀπόλυτον φέρει τὴν φωνήν, καὶ οὐκ ἔχουσαν, ὅσον ἐκ τῶν προειρημένων, ἐφ' ὧν μερισθῇ. Εἰ οὖν ἐν τῷ "οὐδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός"

---

[1] Ἐλλείπει παρ' Οἰκον. ἡ λέξις—δυσχερές·—ἀλλ' ἐκ τυπογραφ. παροράματος, ὅπερ διώρθωται ὑπὸ τοῦ ἐκδότου.

[2] Ματθ. ΙΑ', 27. Ἐνταῦθα καὶ τάδε Οἰκονόμος ἐσημειώσατο·—Ἀντὶ τοῦ ἐν Εὐαγγελίοις "ἐπίσταται" (γρ. ἐπιγινώσκει) Φώτιος κέχρηται τῷ συνωνύμῳ "οἶδεν·" ὁ δὲ Κατήφορος, οὐδὲν δέον, ἐλλείπειν φησὶ τὸ χωρίον μετενεχθὲν ἐκ τοῦ Ἰωάννου (ΣΤ', 46 καὶ Α', 10)· ὅθεν συνάγει, ὅτι ἐν πολλοῖς Φώτιος περιπίπτει εἰς μνημονικὰ περὶ τὰ ῥητὰ παραπτώματα· τοῦτο δὲ καὶ Οὐόλφιος πολλαχοῦ ἐσημειώσατο (παρ' οὗ φαίνεται καὶ Κατήφορος δανεισθεὶς τὴν γνώμην ταύτην), καὶ ἡμεῖς δ' ἔστιν ὅπου (βλ. Ἀμφιλοχ. σελ. 208 σημ.). Περιέπεσε δ' εἰς μνημονικὰ λάθη ὁ Φώτιος, οὐχ ὅτι πολὺ κῦρος ἐτίθει τῇ ἑαυτοῦ μνήμῃ, ὡς ἀποφαίνεται Οὐόλφιος (Curae Philolog. et critic. T. 5, p. 715), ἀλλ' ὅτι ἡ ἐξορία, ἐν ᾗ διετέλει γράφων αὐτά, προανήρπασεν αὐτοῦ καὶ τὰ βιβλία καὶ τοὺς ὑπογραφεῖς (βλ. Ἀμφιλοχ. Ζήτ. ΡΜΕ', ΟΖ' καὶ ΡΟΘ', κ.τ.λ.).

[3] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἐν δὲ τὸ—παρὰ τοῖς ἄλλοις· ὅπερ Μοντακ. οὐκ ὀρθῶς εἴκασε διορθωτέον εἶναι "εἰ δὲ τό."

Digitized by Google

φεύγεις τὸν γεννήτορα βλασφημεῖν, μηδὲ ἐν τῷ "οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ Πατήρ" εἰς ὕβριν τοῦ γεννήματος περιτραπῇς. Εἰ δὲ τὸ δεύτερον τολμᾷς, περιτετόλμηταί σοι πολλῷ μᾶλλον καὶ τὸ πρῶτον· ἀμαθέστερον γὰρ ἑαυτὸν ἀγνοεῖν, ἢ ἕτερόν τι μὴ εἰδέναι, καὶ φοβερώτερον εἰς ὕβριν τοῦ δευτέρου τὸ πρότερον. Εἰ δ' ἐκεῖνο μανίας καὶ δυσσεβείας οὐδενὶ καταλείπει ὑπερβολήν, τί ἄν τις ἐρεῖ περὶ τούτου; Πάλιν φησίν, "οὐδεὶς οἶδε τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ·"[1] καὶ οὐκ ἄν τις ἑαυτὸν ἀγνοεῖν καταψηφιεῖται τὸν Υἱόν, εἰ μὴ μετὰ τῆς ἄλλης ἀτοπίας ἐλάττονα θείη καὶ τὴν γνῶσιν τὴν περὶ τοῦ Πατρός, εἴ γε αὕτη μὲν τῷ Υἱῷ κατείληπται, τῆς δὲ ἰδίας οὔπω ἐφίκετο. Εἰ τοίνυν ἐν τῷ "οὐδεὶς οἶδε τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ" οὐδαμῶς τῆς περὶ αὐτὸν εἰδήσεως ἐξωθοῦσι τὸν Υἱόν, οὐδ' ἐν τῷ "οὐδεὶς οἶδε τὴν ὥραν, εἰ μὴ ὁ Πατήρ" τῆς περὶ τὸν καιρὸν ἐκεῖνον προγνώσεως ἐξωθήσουσιν· εἰ δὲ ταύτης ἐλαύνουσι, προαπήλασαν κἀκείνης, κἂν οὔπω τεθαρρήκασι διδόναι τὰ χείλη τοῖς δυσσεβέσι λογισμοῖς ὑπηρετήσασθαι· τό τε γὰρ σχῆμα τοῦ λόγου, ἐφ' ᾧ μάλιστα τὴν ἀπάτην ἑαυτοῖς συγκατεσκεύαζον, καὶ τὰς τοῦ δυσσεβήσειν ἐλπίδας ἂν εἶχον[2] ὁμοιότατον,[3] καὶ[4] τὴν περὶ τὸν Υἱὸν γνῶσιν, οὐδ' ἂν πλέον ἐκμανεῖεν, οὐδ' αὐτοὶ ἂν ἀρνηθεῖεν, μὴ μακρῷ τῆς περὶ τὴν ὥραν ἐκείνην προγνώσεως θειοτέραν τε καὶ ὑψηλοτέραν εἶναι. Ἀλλ' ἡ μὲν[5] τοῦ ἱεροῦ Ματθαίου ῥῆσις ἐν τούτοις τε καὶ τοιαύτην ἔχουσα τὴν θεωρίαν.

Ὁ δέ γε μακάριος Μάρκος[6] πνεύματί τε τῷ αὐτῷ ἐμπνεόμενος, καὶ τὴν αὐτὴν πλουτῶν χάριν, καὶ τὸν αὐτὸν τοῦ κηρύγματος ἐμπεπιστευμένος λόγον, δῆλον μέν, ὅτι καὶ χωρὶς τῆς τοῦ ῥητοῦ διασκέψεως, οὐκ ἂν οὔτε τῷ συνιεροφάντῃ καὶ συμμυσταγωγῷ,[7] οὔτε τῇ παρ' αὐτῶν μὲν[8] μυσταγωγηθείσῃ, διὰ πολλῶν δὲ καὶ νῦν ἐπιδεδειγμένῃ λαμπρῶς ἀληθείᾳ, οὐδαμῶς ἂν μαχόμενα φθέγξαιτο· ὅμως δὲ καὶ ἡ τοῦ ῥητοῦ μεταχείρησις μᾶλλόν τε αὐτῶν τὴν συμφωνίαν καὶ τὸ πρὸς τὴν ἀλήθειαν ἐνάμιλλον παραστήσει. Καί μοι συνόρα λοιπόν, ὡς οὗτος ὁ θεῖος ἀνὴρ οὐδὲ πρόφασίν τινα λιπεῖν τοῖς αἱρετίζουσι προνοούμενος, πάντα δὲ κατασείων ἐκ βάθρων αὐτῶν τὰ μηχανήματα, οὐδὲ τὸ μόνος, ὅπερ ἂν ἦν ἐκείνοις ἐνταῦθα προσκείμενον, εἰ καὶ μάτην, καταφυγὴ δ' ὅμως τοῦ δυσσεβήματος, οὐδὲ τοῦτο τῇ οἰκείᾳ γραφῇ προσηρμόσατο· περιελὼν δὲ τὴν λέξιν, καὶ συνεξελὼν αὐτοῖς τῆς πονηρίας τὴν πρόφασιν, ἄνεισι μὲν καὶ αὐτός, ὥσπερ καὶ ὁ συνιεροφάντης ἐκ τῶν κατωτέρω, μέχρι δὲ τῶν Ἀγγέλων φθάσας, ἐκεῖσε[9] περιγράφει τὴν ἄγνοιαν, συναπαρτίζων

---

[1] Ματθ. αὐτόθι.

[2] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἀνεῖχον—παρὰ τοῖς ἄλλοις.

[3] Οἰκον. εἰκάζει γραπτέον εἶναι—ὁμοιότατα.

[4] Καὶ τοῦτο εἰκάζει γραπτέον εἶναι—καίτοι.

[5] Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἦν μεν—παρὰ τοῖς ἄλλοις.

[6] Μάρκ. ΙΓ', 32. "Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ Ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ."

[7] Παρ' Οἰκου.—μυσταγωγῷ.

[8] Ἐλλείποντα τὸν μὲν παρὰ Μοντακ. προσέθηκα ἐξ Οἰκονόμου.

[9] Οὕτως ἐξ Οἰκον. ἀντὶ—καὶ σὲ—παρὰ τοὶς ἄλλοις. Εἴη δ' ἂν καὶ τὸ χωρίον τοῦτο ἓν τῶν πολλῶν, ἐν

Digitized by Google

αὐτῇ καὶ τὴν τοῦ λόγου περίοδον. Ἀπ' ἄλλης δ' ἀρχῆς λοιπὸν ἀπαρχόμενος, οὐ μόνον οὐδεμίαν ἄγνοιαν ἐπιφημίζει τῷ Μονογενεῖ, ἀλλὰ καὶ πᾶν τοὐναντίον, καθαρῶς αὐτῷ τὴν πατρῴαν γνῶσιν ἐπιμαρτύρεται· καὶ οὐ τὴν γνῶσιν μόνον, ἀλλὰ καὶ τὸν τρόπον συναναπτύσσει τῆς γνώσεως, τὴν τῶν ἄλλων φυσικῶν τε καὶ θεοπρεπῶν ἀξιωμάτων πηγήν, τὸν Πατέρα, τοῦτον αἴτιον εἶναι τῷ Υἱῷ καὶ τῆς γνώσεως θεολογῶν. Τί γάρ φησιν; "οὐδὲ ὁ Υἱὸς ἂν ᾔδει, εἰ μὴ ὁ Πατήρ·" τοῦτ' ἔστιν, ἐκεῖθεν πηγάζεται τῷ Υἱῷ ἡ γνῶσις, ὅθεν αὐτῷ καὶ τῆς γεννήσεως ἡ αἰτία· οὐδὲ γὰρ ἄναρχος καὶ ἀναίτιος, ὥσπερ ὁ Πατήρ, ἀλλ' εἰς ἀρχὴν ἀναφέρεται καὶ συμφυὲς αἴτιον, τὸν γεγεννηκότα. "Οὐδὲ ὁ Υἱὸς ἂν ᾔδει, εἰ μὴ ὁ Πατήρ·" τί ταύτης τῆς μαρτυρίας λαμπρότερόν τε καὶ ἐμβριθέστερον; οἶδεν ὁ Πατήρ; οἶδε καὶ ὁ Υἱός· εἰ λέληθέ τι τὸν Υἱόν, ἐκ τοῦ Πατρὸς ἕλκει τὴν αἰτίαν· ἀλλ' οὐδὲν τὴν τοῦ Πατρὸς διαφεύγει γνῶσιν· οὐδ' ἄρα τοῦ Υἱοῦ. Κοινὸν ἡ φύσις, κοινὸν ἡ θεότης, κοινὸν ἡ οὐσία· τούτων δὲ ἡ κοινωνία καὶ τὰ ἄλλα θεοπρεπῆ ἀξιώματα κοινὰ ποιεῖται[1] καὶ ἀδιαίρετα. "Οὓς θέλει ζωοποιεῖ ὁ Πατήρ, καὶ οὓς θέλει πάλιν ὁ Υἱὸς ζωοποιεῖ·"[2] "οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ διὰ τοῦ Υἱοῦ· καὶ οὐδεὶς ἔρχεται πρὸς τὸν Υἱόν, εἰ μὴ διὰ τοῦ Πατρος."[3] Γινώσκει ὁ Πατὴρ τὸν Υἱόν· ἀλλὰ καθὼς γινώσκει αὐτόν, οὕτω καὶ ὁ Υἱὸς γινώσκει τὸν Πατέρα.[4] Ὅσα ἔχει ὁ Πατήρ, πλὴν τῆς ἀγεννησίας, πάντα ἔχει ὁ Υἱός·[5] ἀλλὰ καὶ ὅσα ἔχει ὁ Υἱός, πλὴν τῆς γεννήσεως, πάντα ἔχει ὁ Πατήρ· "τὰ γὰρ ἐμά, φησί, σά ἐστι, καὶ τὰ σὰ ἐμά·"[6] ὧν δὴ[7] μεμυσταγωγημένος καὶ μυσταγωγῶν ἡμᾶς ὁ θεῖος Μάρκος τὴν θεολογίαν, εἴς τε τὸ ἀκριβὲς ἅμα καὶ σύντομον ἀφοριζόμενος τὴν διδασκαλίαν, ὡς "οὐδὲ ὁ Υἱὸς ἂν ᾔδει, διαπρύσιον βοᾷ, εἰ μὴ ὁ Πατήρ·" καὶ τὸ συνημμένον εἰπὼν τοῦ

οἷς ἡ τῶν ἀντιγραφέων καὶ τυπωτῶν ἀβλεψία ὅλως ἠλλοίωσε τὴν ἔννοιαν τῷ πλήθει τῶν παροραμάτων· ἔχει γὰρ ὧδε ἐν τῇ ἐκδόσει τῆς Μοντακουτίου συλλογῆς· "ἄνεισι μὲν καὶ αὐτός, ὥσπερ ὁ συνιεροφάντης, ἐκ τῶν κατωτέρω μέχρι δὲ τῶν ἀγγέλων φθάσας, καὶ σὲ περιγράφει, τὴν ἄγνοιαν συναπαρτίζων αὐτῇ, καὶ τὴν τοῦ λόγου περίοδον." Καὶ τὸ μὲν πρὸ αἰώνων δύο οὕτως ἡμαρτημένως ὑπὸ Ῥογήρου ἐκδεδόσθαι τὰς Φωτίου ἐπιστολὰς οὐδὲν ἴσως θαυμαστόν· τὸ δὲ πρὸ ἐτῶν δύο ἀδιορθώτους ἐκδοθῆναι ἐν τῇ Μιγνίου Πατρολογίᾳ, πολλῶν καὶ προχείρων ὑπαρχόντων τῶν πρὸς διόρθωσιν τρόπων, τοῦτο καὶ θαυμαστὸν καὶ λύπης πολλῆς, μᾶλλον δὲ δακρύων ἄξιον· ὅτι τὸ μέγα καὶ κολοσσιαῖον ἀληθῶς ἐκεῖνο ἔργον, ὃ μετὰ πολλῶν ἄλλων μεγίστην ποιεῖται τὴν ἀπόδειξιν τοῦ μεγαλουργοῦ τῶν φιλοκάλων Γαλατῶν πνεύματος, τοσαύταις καὶ τηλικαύταις ἡμαύρωται κηλίσι, ῥᾴδιον ὂν ἐπιστασίᾳ καὶ διορθώσει τῶν τινος Ἑλληνιστῶν (πολλοὶ δ' οἱ τοιοῦτοι καὶ δεινοὶ ἐν τῇ τῶν σοφῶν Γαλατῶν μητροπόλει) τῶν κηλίδων τούτων ἀποκαθάραι τῶν τε Φωτίου συγγραμμάτων καὶ τῶν ἄλλων Πατέρων τῆς τοῦ Χριστοῦ Ἐκκλησίας τὸ κείμενον.

[1] Παρ' Οἰκον.—ποιεῖ.

[2] Ἰωάν. Ε', 21.

[3] Ἰωάν. ΣΤ', 44.—Ἐλλείπει παρ' Οἰκον. τὸ πρῶτον μέρος τῆς ῥήσεως ταύτης, καὶ μόνον ὑπάρχει τὸ δεύτερον, "οὐδεὶς ἔρχεται εἰς τὸν Υἱόν, εἰ μὴ διὰ τοῦ Πατρός."

[4] Ἰωάν. Γ', 15.

[5] Ἰωάν. ΙΣΤ', 15.

[6] Ἰωάν. ΙΖ', 10.

[7] Οὕτως ἐξ Οἰκον. ἀντὶ—δὲ—παρὰ τοῖς ἄλλοις,

Digitized by Google

λόγου, ὡς αὐτόθεν ἅπασι δήλην οὖσαν καὶ μηδ' ἀμφιδοξουμένην τινὶ τὴν μετάληψιν[1] παρῆκεν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, οὐδ' οὐ μὴ γένηται, οὐδ' ἂν αὐτὸς ὁ τῆς κακίας ἀρχιτέκτων πάλιν εἰς ἀκοάς τινων αὐτοῖς ἐρεύξοιτο χείλεσιν, ὃς οὐχὶ τῷ Πατρὶ τὴν γνῶσιν ἐκείνης τῆς ἡμέρας καὶ ὥρας προσαναθήσει· τοῦτο δὲ διδούς, κἂν[2] δυσχεραίνων οὐ λήξῃ, συγχωρήσει πάντως καὶ ἄκων τὴν αὐτὴν ἐνεῖναι γνῶσιν τῷ Υἱῷ· τὸ γὰρ "οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ" ἀπαραγράπτῳ λόγῳ, τοῦ Πατρὸς εἰδότος, εἰς τὴν αὐτὴν συνάγει γνῶσιν τὸν Υἱόν· ὥστε οὐδ' ἔστιν εἰπεῖν, ὅσον εἰς τὸ ἀκριβέστατόν τε καὶ θεοπρεπέστατον τὴν ἐν [τῷ] Πατρὶ[3] γνῶσιν κοινὴν ἀνακηρύττει καὶ τοῦ Υἱοῦ.

Σὺ δέ μοι λοιπὸν τὴν τοῦ παναγίου καὶ θείου Πνεύματος σοφὴν οἰκονομίαν καὶ πολυμερῆ συνεπιλογίζου, ὅπως ἐνεργοῦν ἐν ἑκατέρῳ τῶν Εὐαγγελιστῶν, δι' ἑτέρας καὶ ἑτέρας λόγου συμφράσεως, εἰς τὴν αὐτὴν αὐτοὺς τῆς εὐσεβείας ἔννοιαν συνάγει. Ὁ μὲν γὰρ ἱερὸς Ματθαῖος τὸ μόνος τοῖς λόγοις συνάπτων, οὐδαμῶς ἐντίθησι τὸ "οὐδὲ ὁ Υἱός," ἵνα μὴ δόξῃ τὸν Υἱὸν τοῖς αἱρετίζουσι τῆς μὲν Πατρικῆς δόξης διαιρεῖν, εἰς δὲ τὴν τῶν Ἀγγέλων τάξιν συνελαύνειν. Ὁ δὲ θεῖος Μάρκος προτάξας τὸ "οὐδὲ ὁ Υἱός," καὶ ἀρχὴν τοῦτο δευτέρας περιόδου ποιησάμενος, ἀφαιρεῖται τὸ μόνος, ἵνα μὴ τοῦτο πάλιν ἐνταῦθα προσκείμενον, ἅρπαγμα τοῖς δυσσεβέσι γένηται, καὶ οὐκ ἀρχὴ μᾶλλον ἑτέρας περιόδου τὸ "οὐδὲ ὁ Υἱὸς" νομισθῇ, τῆς προτεταγμένης δὲ πέρας καὶ συναπαρτισμὸς ῥαδιουργηθῇ· καὶ γὰρ ἐκείνως[4] μὲν ἡ Πατρικὴ γνῶσις τῷ Υἱῷ κοινὴ καθίστατο καὶ αὐτοτελής, διὰ δὲ τῆς κακουργίας ἡ ἄγνοια δέχεται καὶ ὁ τῶν Ἀγγέλων καὶ δούλων βαθμός (ὅπερ ἐστὶ τῶν θεομαχούντων σπούδασμα) τὸν Δεσπότην καὶ δημιουργόν· ὧν τὸ κακοῦργον ἐκτέμνων[5] ὁ Εὐαγγελιστής, τὴν τοῦ μόνος πρόφασιν προδιακόπτει καὶ προαναιρεῖ. Οὕτως οὖν δι' ἑκατέρου τῶν θεσπεσίων καὶ ἱερολόγων ἀνδρῶν τὰ τῶν αἱρετιζόντων ὀρῶν ἐμφραττόμενα στόματα, καὶ τὰς λύσεις, ὧν ἠπόρεις, δι' αὐτῶν ἐκείνων καταπλουτιζόμενος, τήν τε τῆς δυσσεβείας εἰς τὸ βεβαιότερον ἐκτρέπου κακόνοιαν,[6] καὶ τῆς εὐσεβείας θερμότερον σαυτὸν ἐραστὴν καὶ ὑπέρμαχον ἐπιδείκνυσο.

---

[1] Μετάληψιν λέγει τὴν κατ' ἄλλον τρόπον ἔκφρασιν, ἢ τὴν τοῦ ἤδει ἐπανάληψιν, ἵνα εἴπῃ "εἰ μὴ ἤδει ὁ Πατήρ." (σημ. Οἰκονόμου.)

[2] Καὶ τοῦτο ἐξ Οἰκον. ἀντὶ—καὶ—παρὰ τοῖς ἄλλοις.

[3] Ἡμ. διόρθωσις ἡ προσθήκη τοῦ ἄρθρου, ἐλλείποντος παρὰ πᾶσι τοῖς ἐκδόταις, ἀπαιτουμένου δὲ διὰ τὸ ὁμοιομόρφως ἑπόμενον "καὶ τοῦ Υἱοῦ" πανταχοῦ γὰρ παρατίθενται ἐνάρθρως ἀμφότερα.

[4] Παρ' Οἰκον.—ἐκείνῳ.

[5] Παρ' Οἰκον. ἁπλῶς—τέμνων.

[6] Μοντακ. εἰκάζει γραπτέον εἶναι—κοινωνίαν—ἀλλὰ περιττὴ πάντως ἡ τοιαύτη τῆς λέξεως μεταβολή. Πρὸς πλείονα δὲ τοῦ προκειμένου ἐξέτασιν ὅ τε Μοντακ. καὶ Οἰκον. παραπέμπουσιν εἰς τὴν τοῦ Μ. Βασιλείου ἐπιστολὴν πρὸς Ἀμφιλόχ. Τόμ. Β', σελ. 1167, καὶ εἰς Φωτίου Μυριόβ. (κώδ. 230)· ἔτι δὲ καὶ εἰς Ζιγαβ. ἐν τῇ ἑρμηνείᾳ τοῦ προκειμένου κατὰ Ματθαῖον χωρίου.

Digitized by Google

[illegible] τὴν ἔννοιαν [illegible] μᾶλλον τοῖς μύ- [illegible] ἰδίοις καὶ ἑταίροις [illegible]. Τοῦτο [illegible] ἑτεροζύγῳ,"[3] [illegible] μήτε εἰς [illegible] συνά- [illegible]. Πα- [illegible] τοὺς [illegible] συνουσίαν, καὶ [illegible] ἐργασίαν [illegible] συναυ- [illegible] κερδὸν [illegible] ἐκαυ- [illegible] ἡ δὲ δευτέρα [illegible]

[illegible] Μηνᾶν Ἐφήτ. ΠΕ', [illegible]

[illegible]

[illegible] συμπολίτας. Καὶ τούτων μὲν οὐ- [illegible] συγγενεῖς, ἀομογενής, [illegible]

[illegible] ἐν τῇ διαδοσίᾳ τὸν λά. (σημ. [illegible]

[illegible]

[illegible] Γαΐῳ ἀντὶ "συμπολίτας" ἐστὶ "συμμύστας" ἴσως ὅτι ἐν τῇ Γραφῇ διὰ τοῦ ε φέρεται γε- [illegible] τῶν συμμετεχόντων τῶν ἁγίων. Τὰς Οἰκουμενίου ἐξηγήσεις εἰς τὴν πρὸς Κορινθ. [illegible] Τοῦ Δ. καὶ Διδ τῆς Φιλαδελφείας ἐπίσκοπος.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΟΓ'.—73.

Κωνσταντίνῳ Πατρικίῳ.[1]

(Περὶ Εὐσεβίου τοῦ Παμφίλου, ὅτι αἱρετικὸς ἦν.)

Εὐσέβιος ὁ τοῦ Παμφίλου, εἴτε δοῦλος, εἴτε συνήθης, ὅτι μὲν Ἀρειανισμῷ ἐάλω, βοῶσι μὲν αὐτοῦ τὰ βιβλία, καὶ αὐτὸς δὲ μεταμελόμενος δῆθεν καὶ ἄκων τὴν νόσον ἀνομολογεῖ· κἂν τῇ μεταμελείᾳ δὲ μᾶλλον ἑαυτὸν δείκνυσιν ἀμεταμέλητον. Οὐ γὰρ ἑαυτὸν ἐκστῆναι τῆς προτέρας κακοδοξίας, δι' ὧν ἔδοξεν ἀπολογεῖσθαι, συνίστησιν, οὐδὲ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συμφρονῆσαι Συνόδῳ, ἀλλὰ τοὺς τοῦ ὁμοουσίου πρεσβευτὰς αὐτοῦ συνελθεῖν τῷ φρονήματι, καὶ συνδιατεθῆναι τῇ γνώμῃ τερατεύεται· καὶ τοῦτο σαφῶς ἄλλα τε πλείονα παριστῶσι, καὶ ἡ τοῖς Καισαρεῦσιν αὐτῷ γραφεῖσα ἐπιστολή.[2] Ἀλλ' ὅτι μὲν ἀπ' ἀρχῆς τὰς Ἀρειανικὰς δόξας ὑπέθαλπε, καὶ μέχρι τέλους οὐ διέλιπε περιέπων, πολλοί τε συνεπίστανται, καὶ ῥᾴδιόν ἐστι λαβεῖν πολλαχόθεν· ὅτι δὲ καὶ τῆς Ὠριγένους νόσου μετέσχεν, ἣν κατὰ τῆς κοινῆς ἡμῶν ἐκεῖνος ἐνόσησεν ἀναστάσεως, εἰ καὶ τοὺς πολλοὺς ὑπολανθάνει, ἀλλ' οὖν αὐτὸς σὺν ἐρεύνῃ τοὺς ἐκείνου λόγους ἀναλεγόμενος, οὐδὲν ἔλαττον αὐτὸν τῷ ὀλεθρίῳ τούτῳ ἀῤῥωστήματι, ἢ ταῖς Ἀρειανικαῖς μανίαις κεκρατημένον ὄψει.[3]

ΕΠΙΣΤΟΛΗ ΟΔ'.—74.

Λέοντι γεγονότι Λογοθέτῃ τῷ Μαδιάμ.[4]

(Τί σημαίνει τὸ "Πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς" πρὸς τὸ "Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου" ἀντιπαραβαλλόμενον.—Ματθ. ΙΘ', 21 καὶ ΚΕ', 34.)

"Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς," βαρὺ νομίζεις καὶ δυσβάστακτον τὸ ἐπίταγμα. Ἐγὼ δέ σε διὰ τούτου μᾶλλον ὁρᾷν ἀξιῶ τὸν ζυγὸν Κυρίου ὡς ἀληθῶς χρηστόν, καὶ τὸ φορτίον ἐλαφρόν· φόρτον γὰρ ἀποθέσθαι καὶ τῶν φροντίδων καὶ πει-

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΙΗ', κατὰ δὲ τὴν Μιγν. Ἑρ. ΣΚΑ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΜΔ'· Ἐκδέδοται δὲ καὶ ὑπὸ Οἰσχελίου ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 908) καὶ ὑπὸ Μοντεφαλκονίου ἐν τῇ Κοισλ. Βιβλιοθ. (σελ. 348).

[2] Ἴδε τὴν Ἐπιστολὴν ταύτην παρὰ Θεοδωρ. Ἐκκλ. Ἱστ. Α', ιβ'.

[3] Περὶ Εὐσεβίου, τῶν συγγραμμάτων αὐτοῦ, καὶ τῶν περὶ αὐτοῦ ζητημάτων, μάλιστα δὲ τοῦ πάντωι κυριωτάτου, ὅπερ ἐστὶ τὸ περὶ τῶν θρησκευτικῶν αὐτοῦ φρονημάτων, μακρὰ καὶ σοφὰ ὁ σεβάσμιος Κωνστ. Ἀσώπιος ἐπραγματεύσατο ἐν τῇ Ἱστορίᾳ τῶν Ἑλλήνων ποιητῶν καὶ συγγραφέων, ἔνθα ἴδε "Εὐσέβιος ὁ Καισαρείας" σελ. 635—676. Οὐχ ἧττον δὲ σοφὰ καὶ τὰ Κωνσταντίνῳ τῷ Κοντογόνῃ περὶ τούτου συγγεγραμμένα ἐν τῇ Φιλολ. καὶ Κριτ. Ἱστορίᾳ τῶν Πατέρων, ἧς ἴδε Τόμ. Β', σελ. 27—56, καὶ Τόμ. Α', σελ. 555—8, ἔνθα ὁ βίος Παμφίλου τοῦ μάρτυρος, οὗ μαθητὴς καὶ φίλος ἐγένετο ὁ Καισαρείας Εὐσέβιος, ὥστε καὶ ἐξ ἐκείνου τὴν ἐπίκλησιν ἔχειν.

[4] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΨΕ', κατὰ δὲ τὴν Μιγνίου Ἑρ. ΡΨΗ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΜΓ'.

Digitized by Google

ρασμῶν ὕλην ἀποτινάξασθαι, ἀλλ' οὐκ ἀναλαβεῖν, ἐγκελεύεται· κἀκεῖνα τοῖς χρῄζουσι νέμειν, καὶ ἀντὶ τούτων θησαυρὸν πλουτεῖν τὸν οὐράνιον ἐχαρίσατο· ἃ, καὶ μὴ διανεμόντων, ἀργὰ καὶ ἄχρηστα τῷ παρόντι βίῳ ἐναπόκειται, κἀκεῖσε μεθισταμένων, ἐνταῦθα καταλιμπάνεται. Δι' ὃ μοι σκόπει μᾶλλον τὴν Δεσποτικὴν φιλανθρωπίαν, καὶ τῆς ἀφάτου προνοίας τὸ ποικίλον καὶ πολύτροπον, ὅτι, ἅπερ ἐξ ἀνάγκης καὶ ἡμῶν ἀκόντων ἐπακολουθεῖν εἴωθε, ταῦτα, γνώμης προστεθείσης μόνης, ὡς οἰκείους πόνους καὶ καρποὺς ἀποδέχεται,[1] *καὶ ὡς τὸ πᾶν κατωρθωκότας τοὺς μόνην συνεισενεγκόντας*[2] *προαίρεσιν εἰς κλῆρον τῆς αὐτοῦ βασιλείας ὑποδέχεται· "Δεῦτε γάρ, φησίν, οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν."*

ΕΠΙΣΤΟΛΗ ΟΕ'.—75.

Τῷ αὐτῷ.[3]

(Περὶ Προνοίας.)

Ὑπέχουσί τινες τῶν ἀδικημάτων δίκας ἐν τῷ νῦν βίῳ;[4] *ἔχεις ἐναργεστάτην ἀπόδειξιν, ὅτι ἔστι πρόνοια, ἐφεστῶσα καὶ λογοθετοῦσα καὶ περιέπουσα τὰ ἐνταῦθα. Οὐκ ἔδωκαν πολλοὶ δίκας τῶν ἀδικώτερον πολιτευσαμένων; τοῦτο μείζων ἀπόδειξις, ὅτι πρὸς ἑτέραν τινὰ πικροτέραν καὶ χαλεπωτέραν συνετηρήθησαν κρίσιν. Εὐδαιμόνως ἐβίωσαν πολλοὶ τῶν δικαίων; δέχου πάλιν προοίμια καὶ σύμβολα τῆς ἐκεῖθεν μισθαποδοσίας. Ἀλλὰ καὶ πολλοὶ πολλαῖς ἐνήθλησαν ταλαιπωρίαις; τοῦτο καὶ τοὺς λίαν ἐπιστομίζει φιλονείκους, ὅτι πάντως ἄλλος ἡμᾶς ἀναμένει βίος, καὶ κριτήριον ἄλλο, ἐν ᾧ τῶν κατ' ἀξίαν ἕκαστος βεβιωμένων ἀπολήψεται τὴν ἀντιμισθίαν.*

ΕΠΙΣΤΟΛΗ ΟΣΤ'.—76.

Στεφάνῳ ὀρθοδοξήσαντι.[5]

(Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων.—Ψαλμ. ΡΛΔ', 15.)

"Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων·" τί δὲ τὰ

---

[1] *Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ τοῖς ἄλλοις—ἀποδέχεσθαι.*

[2] *Οὕτως ἄμεινον παρὰ τοῖς ἄλλοις ἢ παρ' Οἰκον.—συνενεγκόντας.*

[3] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΨΗ, κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΑ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΝΗ'. Περὶ Προνοίας δὲ καὶ ἐν Ἐπιστ. ΙΒ' "Ταρασίῳ ἀδελφῷ" διὰ μακρῶν ἐπραγματεύσατο.*

[4] *Ἐλλείπει παρ' Οἰκον. τὸ—νῦν—ἐξ αὐτοῦ δὲ τὸ ἐρωτηματικῶς ταύτην τε καὶ τὰς ἐφεξῆς δύο προτάσεις γεγράφθαι.*

[5] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΚΒ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΙΑ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΙΔ'.*

Digitized by Google

σπονδεῖα τῆς τῶν Χριστιανῶν θρησκείας, καὶ οἱ κρατῆρες, καὶ αἱ θυΐσκαι,[1] καὶ οἱ τοῦ Σταυροῦ τύποι, καὶ μυρία ἄλλα; (ἐῶ γὰρ εἰπεῖν τῆς Μωσαϊκῆς θυσίας τὰ σύμβολα)· οὐχὶ ἀργύριον καὶ χρυσίον καὶ ξύλα καὶ χρώματα καὶ ἔργα χειρῶν ἀνθρώπων; Μὴ γένοιτο· οὐ γὰρ ἀργύριόν εἰσιν, ἀλλ' ἐξ ἀργύρου· οὐδὲ χρυσίον, ἀλλὰ χρυσοῦ[2] πεποιημένα· οὐδὲ ξύλα ἢ χρώματα, ἀλλ' ὕλην μὲν ἔχει ταῦτα, ἕτερον δέ τί ἐστιν ἐκ τούτων θαυμάσιον οἷον συντετελεσμένον· οὐ μὴν οὐδ' ἔστι χειρῶν ἀνθρώπων παιζόντων περὶ τὴν ὕλην, χωρίς τε πάσης ἐνεργείας θείας τὸ παρεμπίπτον αὐτῶν ταῖς διανοίαις ἀναπλαττόντων. Διὰ τοῦτο τὰ μὲν οὐδὲν ἕτερόν ἐστι, πλὴν αὐτὴ ἡ ὕλη περιϋβρισμένη, καὶ ὁ τῶν ἀνθρωπίνων χειρῶν ἀνεπίσκεπτός τε καὶ ἀλόγιστος πόνος· τὰ δὲ μορφάζεται μὲν ἐπὶ τῇ ὕλῃ, καὶ τὴν χεῖρα ὑπηρετοῦσαν ἔχει, ἀλλ' ἄνωθεν κινουμένην· ὑπηρετεῖται γὰρ ταῖς ἄνωθεν ἐπιπνοίαις καὶ λογισμοῖς ἔμφροσι, καὶ πρὸς τὴν εὐσεβῆ κρίσιν ἀνηγμένοις. Πρόσχες, εἰκονομάχε, καὶ μὴ ἐπαισχυνθῇς μαθεῖν, δι' ὧν αἰσχύνης φρικτῆς ἀπαλλάττῃ, καὶ δίκην ἄφυκτον φυγεῖν ἐξευρήσεις. Ὥσπερ δὲ τὰ ἡμέτερα σπονδεῖα, καὶ οἱ κρατῆρες, καὶ αἱ θυΐσκαι, καὶ οἱ τοῦ Σταυροῦ τύποι καὶ τὰ παραπλήσια, οὐ χρυσός, οὐκ ἄργυρος, οὐδὲ ξύλων ἢ χρωμάτων ὕλη, οὐδ' ἔργα χειρῶν ἀνθρώπων, οὕτως οὐδὲ τὰ ἱερὰ ἡμῶν τῶν εἰκονισμάτων ἐκτυπώματα οὐκ ἔστιν ἀργύριον, οὐδὲ χρυσίον, οὐδὲ χαλκός, οὐ μὴν οὐδὲ χρώματα, οὐδ ἔργα (μή τι γένηται) χειρῶν ἀνθρωπίνων. Τῆς γὰρ ἀνέκαθεν Ἀποστολικῆς τε καὶ Πατρικῆς παραδόσεως τὸ θεῖον καὶ ἀδιάπτωτον κήρυγμα, οἷόν τις ἔμπνους σοφία, τὴν ὕλην ἀπολαμβάνουσα, καὶ κατὰ τοὺς ἰδίους καὶ ἱεροὺς θεσμοὺς ἐργαζομένη ταύτην καὶ τεχνιτεύουσα, εἰκονίζει τε καὶ μορφοποιεῖ, οὐδὲν τῆς ὑλικῆς ἀκοσμίας, ἢ τῆς ἀνθρωπίνης περιεργείας, ἐν αὐτοῖς ἐῶσα παῤῥησιάζεσθαι· ὅλον δὲ τὸ ἔργον ἑαυτῆς δεικνῦσα καὶ ἀποφαίνουσα, καθαρὰς ἡμῖν καὶ ἀκιβδήλους ἐν τοῖς σεπτοῖς εἰκονίσμασι τὰς τῶν πρωτοτύπων ἐμφάσεις ἱεροπρεπῶς τε καὶ ἱεροτύπως παρέχεται.

Ἔχεις οὖν ὡς ἐν βραχέσιν, οἶμαι, δι' ὧν τε σαυτὸν τὴν προγονικὴν εὐσέβειαν καρπο-

---

[1] Θυΐσκη=μικρὸν θυμιατήριον· ἐκ γὰρ τοῦ θυΐς—ίδος (=ἴγδη, καὶ κοινῶς ἰγδὶ καὶ γουδί) δύο σχηματίζονται ὑποκοριστικά, θυΐδιον καὶ θυΐσκη, τὴν μικρὰν ἴγδην (ἢ κοινῶς γουδάκι) σημαίνοντα, καὶ μεταφορ. τὸ μικρὸν θυμιατήριον. Ὀρθότερον δ' ἂν παράγοιτο ἐκ τοῦ θύα (ἡ) καὶ θύον ἡ θύος (τὸ) =δένδρον ἀρωματικόν, καὶ ἄρωμα (θυμίαμα) τοῖς θεοῖς προσφερόμενον, οἷον παρ' Ὁμήρῳ (Ὀδ. Ε', 60) λέγεται·

Πῦρ μὲν ἐπ' ἰσχαρόφιν μέγα καίετο, τηλόθι δ' ὀδμὴ
Κέδρου τ' εὐκεάτοιο θύου τ' ἀνὰ νῆσον ὀδώδει
Δαιομένων . . . . . .

ἐντεῦθεν καὶ το ῥῆμα θύω=καίω θυμίαμα (ἴδε τὴν λέξιν παρὰ Σ. Βυζαντίῳ)· ἐκ τοίνυν τοῦ θύα (ἡ) καὶ Θύος (τὸ) παρῆκται ἡ θυΐς—ίδος (=σκεῦος πρὸς τὸ θυμιᾶν χρήσιμον, θυμιατήριον), καὶ ἐκ ταύτης τὰ ὑποκορ. θυΐσκη καὶ θυΐδιον=μικρὸν θυμιατήριον. Ταῦτα δὲ τὰ ὀνόματα, σπονδεῖα, καὶ κρατῆρες, καὶ θυΐσκαι, ἐκ τῆς παλαιᾶς Γραφῆς εἴληπται· ἱστορεῖται γὰρ ἐν τῇ Α' Μακαβ. (Α', 20—24), ὅτι Ἀντίοχος τὴν Αἴγυπτον ὑποτάξας ἑαυτῷ, ἐκεῖθεν ἀνέβη εἰς Ἱεροσόλυμα, "καὶ εἰσῆλθεν εἰς τὸ ἁγίασμα ἐν ὑπερηφανείᾳ, καὶ ἔλαβε τὸ θυσιαστήριον τὸ χρυσοῦν . . . καὶ τὰ σπονδεῖα, καὶ τὰς φιάλας (ἃς Φώτιος καταλληλότερον πρὸς τὴν ἡμετέραν λατρείαν κ ρ α τ ῆ ρ α ς μετωνόμασε) καὶ τὰς θυΐσκας τὰς χρυσᾶς, καὶ τὸ καταπέτασμα, καὶ τοὺς στεφάνους, κ.τ.λ."

[2] Παρ' Οἰκον.—ἐκ χρυσοῦ—ἀλλ' ἀμφότερον λέγεται· τὸ δὲ ἀπροθέτως Ἀττικώτερον.

Digitized by Google

φοροῦντα μᾶλλον ἐπιδείξεις, καὶ τοὺς αἱρετίζοντας ἐπιστομίσεις. Τῷ μὲν γὰρ τῆς ὕλης λόγῳ καὶ τῷ ὑποκειμένῳ, ὥσπερ τράπεζα Θεοῦ καὶ τράπεζα δαιμονίων, θυσία τε θεία καὶ θυσία δαιμονώδης,[1] ὄργια τε ἐθνῶν καὶ χριστιανῶν μυσταγωγίαι, καὶ πολλὰ δὲ ἄλλα τῶν εἰς τὸ ἀκρότατον ἀντικειμένων παρ' ὀλίγον ἔχουσι τὸ παρηλλαγμένον, χρήσει δὲ καὶ κλήσει, ἐπιθειασμῷ τε καὶ τελεσιουργίᾳ, καὶ μυρίοις ἄλλοις, ἄφατον αὐτῶν ὑπάρχει τὸ διωρισμένον· οὕτω δή, οὕτω καὶ εἴδωλα ἐθνῶν, καὶ Χριστιανῶν εἰκόνες, ναός τε Θεοῦ, καὶ βωμὸς εἰδώλων, καὶ δὴ καὶ κνίσσης Ἑλληνίου[2] λειτουργικὰ σκεύη, καὶ τῆς καθαρᾶς καὶ ἀναιμάκτου θυσίας ἡμῶν ἱερουργικὰ δοχεῖα· καὶ γὰρ καὶ τούτων ἑκάτερον τῶν εἰς ἀντίθετον συστοιχίαν ἀποκεκριμένων ὕλην μὲν ἔχουσιν ἔστιν ὅτε μηδόλως ἔχουσαν τὸ διηλλαγμένον, κατὰ μέντοι τὰ μορφοῦντα, καὶ εἰδοποιοῦντα, καὶ τὴν ἑτερότητα ἐργάζεσθαι πεφυκότα, ἄπειρος ὁρᾶται καὶ λόγῳ μόλις ῥητὴ, ἡ ἐν αὐτοῖς ἀλλοτριότης. Δι' ὃ τὰ μέν, τῆς ὕλης οὐδὲν ἐπὶ τὸ ἄμεινον μετενηνεγμένα, ἀλλὰ καὶ πολὺ τοῦ χείρονος μετειληφότα, δικαίως ἂν ξύλα, καὶ λίθοι, καὶ χρυσός, καὶ ἄργυρος, ἢ ἔργα χειρῶν ἀνθρώπων ἐπονομάζοιντο, βέβηλά τε καὶ ἐναγῆ καὶ ἀκάθαρτα, τὸ μὲν ἐκ τῆς ὕλης, τὸ δὲ ἐκ τοῦ πλάττοντος, τὸ δὲ ἐξ ἐκείνων, οἷς δυσσεβῶς καὶ ἀθέως ἀνιερώθησαν, ἐξωνομασμένα. Διὰ τοῦτο, κἂν ἔχῃ στόμα,[3] τὴν ἀφωνίαν ὀνειδίζεται· κἂν πόδας, κἂν χεῖρας, τὴν ἀκινησίαν· κἂν ὦτα, κἂν ῥῖνας, κἂν εἶτι ἄλλο, τὴν ἀναισθησίαν καὶ ἀπραξίαν καὶ τὸ μάταιον· ὧν γὰρ ἡ οὐδέν, ἢ δύστηνα καὶ ἐναγῆ τὰ ἀρχέτυπα, καὶ ὁ τούτων πλάστης μετὰ τοῦ δυσσεβοῦς ἀθλιώτερος, καὶ τὸ τῆς λατρείας ὅλον θεοστυγέστερον, τούτοις πόθεν ὅλως χάριτός τινος, ἢ δόξης, ἢ ἐνεργείας, ἤ τινος σεμνοτέρας κλήσεως οἰκείωσις πορισθήσεται; Τὰ δέ γε ἅγια καὶ σεπτὰ τῶν Χριστιανῶν ἱερουργικά τε σκεύη καὶ τεμένη καὶ εἰκονίσματα, καὶ τὰ ἄλλα τῆς θείας ἡμῶν θρησκείας σύμβολα, ἐπεί, κἂν ὕλην οὐχ ἑτέραν ὑποβέβληται, ἀλλ' οὖν γε πρὸς τὸ πολλῷ ἄμεινον μετεσκεύασται (χρήσει γὰρ καὶ κλήσει καὶ μυσταγωγίᾳ καὶ τῇ τῶν παραδειγμάτων θειότητι, ὧν τοῖς χαρακτῆρσι διαμεμόρφωται, καὶ μυρίοις ἄλλοις καθαγιασθέντα τετελείωται), διὰ τοῦτο οὐκέτι ξύλα, οὐδὲ λίθος, οὐδὲ ἄργυρος, οὐδὲ χρυσός, οὐ μὴν οὐδὲ χρώματα γυμνὰ τῆς εἰδοποιούσης καὶ παρεδρευούσης δυνάμεώς τε καὶ χάριτος οὐτ' ἂν ἐννοηθείη ποτέ, οὔτε παρονομασθήσεται· ἅγια δὲ μᾶλλον, καὶ τίμια, καὶ δεδοξασμένα καὶ σεπτά. Τῆς γὰρ ἄνωθεν ἐνεργείας, καὶ οἷς ἀνατέθειται, ὧν τε τὴν κλῆσιν καὶ τὸ εἶδος φέρουσιν, ἐν μετουσίᾳ γενόμενα, καὶ τὸν ἡμέτερον νοῦν πρὸς ἐκεῖνα διαβιβάζοντα, διαπορθμεύοντά τε ἡμῖν τὴν ἐκεῖθεν ἀγαθοειδῆ καὶ θείαν εὐμένειαν, οὐκ ἐκ τῆς ὕλης ἂν εἰκότως κληθείη· οὐ μὴν οὐδ' ἀπό τινος ἀπεμφαινούσης ἄλλης καὶ τοῖς ἀντικειμένοις ἁρμοζούσης ἰδιότητος, ἀλλ' ὧν τε μετέσχε, καὶ πρὸς ἃ παρῆκται, οἷς τε ὑπηρετεῖται καὶ ἀφιέρωται, ἐκεῖθεν εὖ μάλα καὶ λίαν ἐνδίκως καὶ γινώσκεται τοῖς εὐσεβέσιν ὄντως, καὶ ὀνομάζεται.

---

[1] Παρ' Οἰκον.—δαιμονιώδης.

[2] Οὕτως ἐξ Οἰκον. ἀντὶ—Ἑλληνικοῦ—παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον.—στόματα.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΟΖ'.—77.

Λέοντι φιλοσόφῳ.[1]

(Περὶ τῆς τοῦ "εἰμὶ" παρολκῆς ἔν τισι τῆς θείας Γραφῆς φράσεσιν.)

Ἡ τοῦ εἰμὶ παρολκή, τῆς ἐγὼ ἀντωνυμίας κατὰ σύνθεσιν προηγησαμένης, σύνηθες μέν ἐστι τῇ θείᾳ Γραφῇ,[2] ἀλλ' οὐδεμίαν διὰ τοῦτο σολοίκου γλώσσης αἰτίαν παρέχεται. Εἰ δέ γε διαμφισβητεῖς, ἐννοήσας τὸ ἔνιοί τινες, καὶ τὸ σφᾶς αὐτούς, καὶ τὸ ἀπῆλθεν ἔχων, ἃ τοῖς Ἑλληνικοῖς πλεονάζει γράμμασι, στῆσον σαυτὸν τῆς ἀμφισβητήσεως. Δῆλον γάρ, ὡς τὸ τινὲς μετὰ τοῦ ἔνιοι, καὶ τὸ σφᾶς μετὰ τοῦ αὐτούς, οὐδὲν ἕτερον, ἀλλ' ὅπερ ἐδήλουν αὐτῶν αἱ προτεταγμέναι σημαίνουσι λέξεις. Τὸ δὲ τοιοῦτον εὔδηλον, ὡς μία τίς ἐστιν ἰδέα τῆς παρολκῆς, καὶ σχῆμα λόγου, ἀλλ' οὐ σόλοικος ἄγνοια.[3] Καὶ τὸ ἔχων δὲ πολλάκις μετὰ τοῦ ἀπῆλθες, ἢ τοῦ βαδίζεις, ἢ τοῦ σπεύδεις, καὶ μετὰ πλειόνων ἄλλων ἐν ὑποταγῇ συντιθέμενον, παρὰ τοῖς σοῖς σοφισταῖς οὐδὲν ὅλως σημαῖνον εὑρίσκεται, ἀλλ' αὐτὸ τοῦτο παρολκῆς ἐπέχον τόπον. Εἰ δὲ καὶ ἐγγυτέροις βούλει κατασιωπηθῆναι τοῖς παραδείγμασιν, οὐδὲ τοῦτο παρήσω. Αὐτοῦ γὰρ τοῦ εἰμὶ τὴν ἀπαρέμφατον ἔγκλισιν καὶ τὴν ἐκὼν μετοχὴν εἰς μνήμην ἀνειληφώς (καίπερ ὀλίγοι τῶν Ἀττικιστῶν, οἷς οὐκ ἔστι τὸ ἐκὼν εἶναι τῶν συγγραμμάτων ἐν μοίρᾳ λαμπροῦ καλλωπίσματος), εὖ οἶδ' ὅτι σαυτὸν αἰτιάσῃ, ὅτι τοῖς ἐκείνων πόνοις ἐνομιλῶν, καὶ τὸ εἶναι βλέπων παρέλκον αὐτοῖς[4] τρανῶς πολλαχοῦ, καὶ οὐδ' ἐννοῆσαι[5] τολμήσας ποτὲ ὀνειδισμὸν σολοίκου φωνῆς, ἢ ὑπόνοιαν αὐτοῖς τὸ τοιοῦτον ἐμποιεῖν, οὐκ ἐδυσωπήθης, διὰ τὴν τοῦ εἰμὶ παρολκήν, τὴν (εἴπερ ἦν ταῦτα γλώσσης Ἑλληνίδος ἁμάρτημα) ὁμοίως ἑκατέροις ἐφαρμόζουσαν τοῦ σολοικίζειν γραφήν, ὥσπερ ἐκ βαρβάρου ἐπιτάγματος, κατὰ μόνης τῆς θείας ἡμῶν καὶ ἱερωτάτης μὴ καταψηφίζεσθαι[6] Γραφῆς. Ἀλλ' οὖν εἰδώς σου τὸ τῆς γνώμης ἀδέκαστον, εὐέλπις εἰμὶ τοῦ

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΙΖ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΣΤ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΗ'. Ἐκδέδοται δὲ καὶ ὑπὸ Οἰσχελίου ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 908.)

[2] Οἷον—ἐγώ εἰμι ψαλῶ τῷ Θεῷ· (Κριτ. Ε', 3) καὶ—ἐγώ εἰμι ἀγχιστεύσω· (Ῥούθ. Δ', 4) καὶ—ἐγώ εἰμι ἐν γαστρὶ ἔχουσα· (Β' Βασιλ. ΙΑ', 5). Ἴδε περὶ τῶν Ο' ἑρμην. τῆς παλ. θείας Γραφῆς Τόμ. Β', σελ. 699 (σημ. Οἰκονόμου). Ἐν μέντοι τῇ ἐν Μόσχᾳ ἐκδόσει τῆς Γραφῆς, καὶ τῇ ἐν Ἀθήναις, τὸ μὲν πρῶτον παράδειγμα φέρεται "ἐγὼ τῷ Κυρίῳ ἄσομαι, ψαλῶ τῷ Θεῷ Ἰσραήλ·" τὸ δὲ δεύτερον, "ἐγώ εἰμι, ἀγχιστεύσω·" τὸ δὲ τρίτον, "ἐγώ εἰμι ἐν γαστρὶ ἔχω."

[3] Τούτῳ γὰρ διαφέρει σχῆμα σολοικισμοῦ, ὅτι τὸ μὲν ἑκούσιόν ἐστιν ἁμάρτημα τοῦ συγγραφέως, τέχνης ἢ καλλωπισμοῦ ἕνεκα γινόμενον, ὁ δὲ σολοικισμὸς ἀκούσιόν ἐστιν ἁμάρτημα, ἀμαθίας ἔργον. Ἴδε περὶ τούτου πλείω ἐν τῷ "περὶ Ἑλλην. σαντάξεως" τοῦ Κ. Ἀσωπίου (σελ. 797 κ. ἑξ.)

[4] Παρ' Οἰκον.—παρ' αὐτοῖς.

[5] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ Μοντακ. καὶ Μιγν.—οὐδὲν νοῆσαι·—παρ' Οἰσχελίῳ δὲ γέγραπται "οὐδὲ νοῆσαι."

[6] Οὕτως ἄμεινον παρὰ τοῖς ἄλλοις, ἢ παρ' Οἰκον. ἄνευ τοῦ—μή,—ὅπερ, διὰ τὸ ἐξ ἀποφατικοῦ ῥήματος

Digitized by Google

λοιποῦ, οὐ μόνον μηκέτι σε τὰ τοιαῦτα ὑπ' αἰτίαν ὁρᾷν, ἀλλὰ καί, εἴ τινες τολμῷεν παραπλησίως ἐξαμαρτάνειν, ῥᾳδίως αὐτοὺς μεθελκειν, καὶ ἀναδιδάσκειν, ὧν ἡ ἄγνοια· θράσους γὰρ ἀμαθία μήτηρ εἰς τὸ πλημμελεῖν αὐτοὺς ἀνεπτέρου καὶ ἀνηρέθιζεν.

ΕΠΙΣΤΟΛΗ ΟΗ'.—78.

Ἰωάννῃ φιλοσοφοῦντι.[1]

(Τί δήποτε ὁ θεσπέσιος Παῦλος τοῖς Ἀθηναίοις ἀπὸ τῶν ἐν τοῖς βωμοῖς αὐτῶν ἐπιγραμμάτων διελέγετο.—Πράξ. ΙΖ', 16—34.)

Τοὺς μὲν ἄλλους εἰκός ἐστιν ἀπορεῖν, τί δήποτε ὁ θεσπέσιος Παῦλος, ὁ πνευματικοῖς πνευματικὰ συγκρίνειν διδάσκων, ὁ καὶ αὐτὴν τὴν Μωσαϊκὴν φιλοσοφίαν πρὸς τὴν ὑπερέχουσαν τοῦ Χριστοῦ σοφίαν σκύβαλα ἡγούμενος,[2] τί δήποτ' οὖν ὁ τοιαῦτα καὶ λέγων καὶ διδάσκων, ἀπὸ τῶν ἐπιγραμμάτων τοῖς Ἀθηναίοις, ἃ τῷ παρ' αὐτοῖς ἐπεγέγραπτο βωμῷ, διελέγετο· ἀνάξιον γὰρ τῆς ἐν Παύλῳ θείας ἐπιπνοίας ἐκ μύθων συγκροτεῖν τὴν ἀλήθειαν. Ἀλλὰ τοὺς μὲν ἄλλους, τοῦτο διαποροῦντας, οὐ λίαν ἴσως ἂν μεμφοίμην·[3] σὲ δὲ ἐκ μυρίων Γραφῶν τε καὶ λογισμῶν ἔχων εὐθύνειν, τὸν διάπυρον τῆς διαλεκτικῆς ἐραστήν, μάλιστα ἂν ἐξ ἑνὸς τῶν σῶν δικαιότατα ἂν μεμψοίμην,[4] ὡς κἀκεῖνο ἐπιλελησμένον δήπουθεν, τὸ σοφώτατον αὐτῆς καὶ χρησιμώτατον νομοθέτημα· τὸ ποῖον; ὡς,[5] ἐφ' ὧν ἡ τῶν ἀκροατῶν αἴσθησις ἐξ οἰκείων καὶ ἀληθῶν ἐπιδεικνυμένην οὐ προσδέχεται τὴν ἀλήθειαν, ἀλλ' ἀποτυφλώττει πρὸς τὴν αἴγλην αὐτῆς καὶ τὸ καθαρὸν τοῦ νοήματος, ἐπὶ τούτων, ἐξ ὧν πεφύκασιν οὐκ ἀδύνατοι, ἐκ τούτων ὅσα ἐνδέχεται, προσῆκε χειραγωγεῖν, καὶ κατασκευάζειν αὐτοῖς τὴν ἀλήθειαν, καὶ ταῖς αὐτῶν διανοίαις ὑπαυγάζειν αὐτῆς τὴν λαμπρότητα.[6]

τὴν ἀπαρέμφατον ἐξαρτᾶσθαι, ἀναγκαίως πρόκειται αὐτῆς. Ἴδε Ἀσωπίου "περὶ Ἑλλην. συντάξεως" (σελ. 539).

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. Σ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΙ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΞΒ'.

[2] "Ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου· δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω" (πρὸς Φιλιππησ. Γ', 8).

[3] Παρ' Οἰκον.—μεμψοίμην·—ὅπερ ὀρθότερον ἄν, οἶμαι, ἐγέγραπτο κατ' Ἀόριστον "μεμψαίμην," ὥσπερ δὴ τυγχάνει ὂν γεγραμμένον τὸ ἀμέσως ἑπόμενον.

[4] Τοῦτο παρ' Οἰκον. γέγραπται—μεμψαίμην.

[5] Ἐλλεῖπον τὸ—ὡς—παρὰ Μοντακ. προσέθηκα ἐξ Οἰκονόμου.

[6] Περὶ τοῦ ἐκ τῶν ἐπιγραμμάτων πρὸς τοὺς Ἀθηναίους διαλόγου τοῦ τῶν ἐθνῶν διδασκάλου Παύλου μετὰ πολλῆς εὐφραδείας λόγον ποιεῖται ὁ ἱερώτατος Φώτιος κἀν τῷ "περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας" λόγῳ αὐτοῦ· ἔκδ. Hergenroether, σελ. 73—74. (σημ. Οἰκονόμου.)

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΟΘ'.—79.

Τῷ αὐτῷ.[1]

(Διὰ τί ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται.)

Πυθομένῳ σοι, τί δήποτε ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται, διὰ βραχέων ἀμείβομαι. Διότι οὐκ ἔστιν ἱστορία ἡ προφητεία· ἱστορίας μὲν γάρ,[2] εἴπερ τι ἄλλο, ἀρετὴ σαφῶς τε εἰπεῖν καὶ μηδὲν περινενοημένον ἐξεργάσασθαι· τὰ γὰρ ἐν τῷ μέσῳ γεγενημένα διδάσκει, καὶ ἃ πάντες ὁμοίως καὶ σπουδαῖοι καὶ φαῦλοι κατ' ἐκεῖνο καιροῦ συνηπίσταντο,[3] καὶ νῦν εἰδέναι οὐκ ἀπείργονται· προφητεία δέ, ἧς ἔργον τοῖς ἀξίοις ἀποκαλύπτειν τὰ ἄδηλα, τοῖς δὲ βεβήλοις ἄβατα ποιεῖν, τὸ συνεσκιασμένον καὶ αἰνιγματῶδες, καὶ τὸ[4] διὰ παραπετασμάτων, πρεπωδέστατον. Ἐξ ὧν οἶμαι λελῦσθαί σου καὶ τὸ ἄπορον, ὡς, εἰ μὴ ἔδει μαθεῖν, οὐδ' ὅλως ἐχρῆν εἰπεῖν· εἰ δ' ἐκρίθη μαθεῖν, οὐκ ἀσαφῶς ἔχειν τὴν προφητείαν, καὶ ἐν ἴσῳ[5] σχεδὸν τοῦ μηδὲ εἰρῆσθαι, ἐχρῆν· διητήθη γὰρ ἐκ τῶν εἰρημένων, ὅτι καὶ μαθεῖν προσῆκον ἦν, καὶ ἀναγκαῖον μὴ βεβήλως, καὶ κοινῶς εἰπεῖν· ἀλλὰ τοῖς μὲν μύσταις εἰρῆσθαι σαφῆ, ἄδυτα δὲ τοῖς ἀμυήτοις διατηρηθῆναι καὶ οὐκ ἐφικτά.

ΕΠΙΣΤΟΛΗ Π'.—80.

Ἀνεπίγραφος.[6]

(Διαφόρων κανονικῶν ζητημάτων λύσις.)

Πάντα τῆς ὑμῶν Ἀρχιερατικῆς τελειότητος καὶ πνευματικῆς σοφίας γέμει, καὶ τῆς πολιτικῆς εὐνομίας τῇ ἀκριβείᾳ συγκέκραται. Τό τε γὰρ εἰς Συνοδικὴν κρίσιν ἀγαγεῖν

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΔ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΔ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΞΓ'. Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 912, ἔκδ. Οἰσχελίου).

[2] Παρ' Οἰκον. μετὰ τοῦ—ἐστι· "ἱστορίας μὲν γάρ ἐστι κ.τ.λ."

[3] Οὕτως ἐξ Οἰκον. ἀντὶ—κατ' ἐκεῖνο καιροὺς ἐπίσταντο—παρὰ Μοντακ. καὶ Μιγνίῳ· παρ' Οἰσχελίῳ δέ, "κατ' ἐκεῖνο καιροῦ ἐπίσταντο."

[4] Ἐλλείπει τὸ ἄρθρον παρά τε Οἰσχελίῳ καὶ Οἰκονόμῳ· ἄμεινον δὲ ἐνάρθρως, ἐννοουμένου τοῦ λέγειν ἢ τοῦ εἰπεῖν.

[5] Οὕτως ἄμεινον ἐξ Οἰκον. ἀντὶ—ἐνίσως—παρὰ Μοντακ. καὶ Μιγνίῳ· παρὰ δὲ Οἰσχελίῳ "ἓν ἴσως" γέγραπται. Καὶ Μοντακ. δὲ ἐν ταῖς σημειώσεσι ταύτην εἰκάζει τὴν γραφὴν "ἐν ἴσῳ" αἱρετωτέραν εἶναι.

[6] Αὕτη καὶ αἱ ἀμέσως ἑπόμεναι τέσσαρες ἐν τέλει τῆς τῶν Φωτίου ἐπιστολῶν συλλογῆς ὑπὸ τὴν ἐπιγραφὴν "Auctarium V Epistolarum Photii ex veteri codice Orientali" ὑπὸ τοῦ ἐκδότου Δανιὴλ Ῥογήρου προστέθεινται, Ῥαβίου ταύτας ἐξ Ἀνατολῆς (ὁπόθεν δὲ τῆς Ἀνατολῆς οὐ λέγεται) κομίσαντος, ὡς καὶ ἐν

Digitized by Google

φοροῦντα μᾶλλον ἐπιδείξεις, καὶ τοὺς αἱρετίζοντας ἐπιστομίσεις. Τῷ μὲν γὰρ τῆς ὕλης λόγῳ καὶ τῷ ὑποκειμένῳ, ὥσπερ τράπεζα Θεοῦ καὶ τράπεζα δαιμονίων, θυσία τε θεία καὶ θυσία δαιμονώδης,[1] ὄργια τε ἐθνῶν καὶ χριστιανῶν μυσταγωγίαι, καὶ πολλὰ δὲ ἄλλα τῶν εἰς τὸ ἀκρότατον ἀντικειμένων παρ' ὀλίγον ἔχουσι τὸ παρηλλαγμένον, χρήσει δὲ καὶ κλήσει, ἐπιθειασμῷ τε καὶ τελεσιουργίᾳ, καὶ μυρίοις ἄλλοις, ἄφατον αὐτῶν ὑπάρχει τὸ διωρισμένον· οὕτω δή, οὕτω καὶ εἴδωλα ἐθνῶν, καὶ Χριστιανῶν εἰκόνες, ναός τε Θεοῦ, καὶ βωμὸς εἰδώλων, καὶ δὴ καὶ κνίσσης Ἑλληνίου[2] λειτουργικὰ σκεύη, καὶ τῆς καθαρᾶς καὶ ἀναιμάκτου θυσίας ἡμῶν ἱερουργικὰ δοχεῖα· καὶ γὰρ καὶ τούτων ἑκάτερον τῶν εἰς ἀντίθετον συστοιχίαν ἀποκεκριμένων ὕλην μὲν ἔχουσιν ἔστιν ὅτε μηδόλως ἔχουσαν τὸ διηλλαγμένον, κατὰ μέντοι τὰ μορφοῦντα, καὶ εἰδοποιοῦντα, καὶ τὴν ἑτερότητα ἐργάζεσθαι πεφυκότα, ἄπειρος ὁρᾶται καὶ λόγῳ μόλις ῥητὴ, ἡ ἐν αὐτοῖς ἀλλοτριότης. Δι' ὃ τὰ μέν, τῆς ὕλης οὐδὲν ἐπὶ τὸ ἄμεινον μετενηνεγμένα, ἀλλὰ καὶ πολὺ τοῦ χείρονος μετειληφότα, δικαίως ἂν ξύλα, καὶ λίθοι, καὶ χρυσός, καὶ ἄργυρος, ἢ ἔργα χειρῶν ἀνθρώπων ἐπονομάζοιντο, βέβηλά τε καὶ ἐναγῆ καὶ ἀκάθαρτα, τὸ μὲν ἐκ τῆς ὕλης, τὸ δὲ ἐκ τοῦ πλάττοντος, τὸ δὲ ἐξ ἐκείνων, οἷς δυσσεβῶς καὶ ἀθέως ἀνιερώθησαν, ἐξωνομασμένα. Διὰ τοῦτο, κἂν ἔχῃ στόμα,[3] τὴν ἀφωνίαν ὀνειδίζεται· κἂν πόδας, κἂν χεῖρας, τὴν ἀκινησίαν· κἂν ὦτα, κἂν ῥῖνας, κἂν εἶτι ἄλλο, τὴν ἀναισθησίαν καὶ ἀπραξίαν καὶ τὸ μάταιον· ὧν γὰρ ἡ οὐδέν, ἡ δύστηνα καὶ ἐναγῆ τὰ ἀρχέτυπα, καὶ ὁ τούτων πλάστης μετὰ τοῦ δυσσεβοῦς ἀθλιώτερος, καὶ τὸ τῆς λατρείας ὅλον θεοστυγέστερον, τούτοις πόθεν ὅλως χάριτός τινος, ἢ δόξης, ἢ ἐνεργείας, ἤ τινος σεμνοτέρας κλήσεως οἰκείωσις πορισθήσεται; Τὰ δέ γε ἅγια καὶ σεπτὰ τῶν Χριστιανῶν ἱερουργικά τε σκεύη καὶ τεμένη καὶ εἰκονίσματα, καὶ τὰ ἄλλα τῆς θείας ἡμῶν θρησκείας σύμβολα, ἐπεί, κἂν ὕλην οὐχ ἑτέραν ὑποβέβληται, ἀλλ' οὖν γε πρὸς τὸ πολλῷ ἄμεινον μετεσκεύασται (χρήσει γὰρ καὶ κλήσει καὶ μυσταγωγίᾳ καὶ τῇ τῶν παραδειγμάτων θειότητι, ὧν τοῖς χαρακτῆρσι διαμεμόρφωται, καὶ μυρίοις ἄλλοις καθαγιασθέντα τετελείωται), διὰ τοῦτο οὐκέτι ξύλα, οὐδὲ λίθος, οὐδὲ ἄργυρος, οὐδὲ χρυσός, οὐ μὴν οὐδὲ χρώματα γυμνὰ τῆς εἰδοποιούσης καὶ παρεδρευούσης δυνάμεώς τε καὶ χάριτος οὐτ' ἂν ἐννοηθείη ποτέ, οὔτε παρονομασθήσεται· ἅγια δὲ μᾶλλον, καὶ τίμια, καὶ δεδοξασμένα καὶ σεπτά. Τῆς γὰρ ἄνωθεν ἐνεργείας, καὶ οἷς ἀνατέθειται, ὧν τε τὴν κλῆσιν καὶ τὸ εἶδος φέρουσιν, ἐν μετουσίᾳ γενόμενα, καὶ τὸν ἡμέτερον νοῦν πρὸς ἐκεῖνα διαβιβάζοντα, διαπορθμεύοντά τε ἡμῖν τὴν ἐκεῖθεν ἀγαθοειδῆ καὶ θείαν εὐμένειαν, οὐκ ἐκ τῆς ὕλης ἂν εἰκότως κληθείη· οὐ μὴν οὐδ' ἀπό τινος ἀπεμφαινούσης ἄλλης καὶ τοῖς ἀντικειμένοις ἁρμοζούσης ἰδιότητος, ἀλλ' ὧν τε μετέσχε, καὶ πρὸς ἃ παρῆκται, οἷς τε ὑπηρετεῖται καὶ ἀφιέρωται, ἐκεῖθεν εὖ μάλα καὶ λίαν ἐνδίκως καὶ γινώσκεται τοῖς εὐσεβέσιν ὄντως, καὶ ὀνομάζεται.

---

[1] Παρ' Οἰκον.—δαιμονιώδης.

[2] Οὕτως ἐξ Οἰκον. ἀντὶ—Ἑλληνικοῦ—παρὰ τοῖς ἄλλοις.

[3] Παρ' Οἰκον.—στόματα.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΟΖ'.—77.

Λέοντι φιλοσόφῳ.[1]

(Περὶ τῆς τοῦ "εἰμὶ" παρολκῆς ἔν τισι τῆς θείας Γραφῆς φράσεσιν.)

Ἡ τοῦ εἰμὶ παρολκή, τῆς ἐγὼ ἀντωνυμίας κατὰ σύνθεσιν προηγησαμένης, σύνηθες μέν ἐστι τῇ θείᾳ Γραφῇ,[2] ἀλλ' οὐδεμίαν διὰ τοῦτο σολοίκου γλώσσης αἰτίαν παρέχεται. Εἰ δέ γε διαμφισβητεῖς, ἐννοήσας τὸ ἔνιοί τινες, καὶ τὸ σφᾶς αὐτούς, καὶ τὸ ἀπῆλθεν ἔχων, ἃ τοῖς Ἑλληνικοῖς πλεονάζει γράμμασι, στῆσον σαυτὸν τῆς ἀμφισβητήσεως. Δῆλον γάρ, ὡς τὸ τινὲς μετὰ τοῦ ἔνιοι, καὶ τὸ σφᾶς μετὰ τοῦ αὐτούς, οὐδὲν ἕτερον, ἀλλ' ὅπερ ἐδήλουν αὐτῶν αἱ προτεταγμέναι σημαίνουσι λέξεις. Τὸ δὲ τοιοῦτον εὔδηλον, ὡς μία τίς ἐστιν ἰδέα τῆς παρολκῆς, καὶ σχῆμα λόγου, ἀλλ' οὐ σόλοικος ἄγνοια.[3] Καὶ τὸ ἔχων δὲ πολλάκις μετὰ τοῦ ἀπῆλθες, ἢ τοῦ βαδίζεις, ἢ τοῦ σπεύδεις, καὶ μετὰ πλειόνων ἄλλων ἐν ὑποταγῇ συντιθέμενον, παρὰ τοῖς σοῖς σοφισταῖς οὐδὲν ὅλως σημαῖνον εὑρίσκεται, ἀλλ' αὐτὸ τοῦτο παρολκῆς ἐπέχον τόπον. Εἰ δὲ καὶ ἐγγυτέροις βούλει κατασιωπηθῆναι τοῖς παραδείγμασιν, οὐδὲ τοῦτο παρήσω. Αὐτοῦ γὰρ τοῦ εἰμὶ τὴν ἀπαρέμφατον ἔγκλισιν καὶ τὴν ἑκὼν μετοχὴν εἰς μνήμην ἀνειληφώς (καίπερ ὀλίγοι τῶν Ἀττικιστῶν, οἷς οὐκ ἔστι τὸ ἑκὼν εἶναι τῶν συγγραμμάτων ἐν μοίρᾳ λαμπροῦ καλλωπίσματος), εὐ οἶδ' ὅτι σαυτὸν αἰτιάσῃ, ὅτι τοῖς ἐκείνων πόνοις ἐνομιλῶν, καὶ τὸ εἶναι βλέπων παρέλκον αὐτοῖς[4] τρανῶς πολλαχοῦ, καὶ οὐδ' ἐννοῆσαι[5] τολμήσας ποτὲ ὀνειδισμὸν σολοίκου φωνῆς, ἢ ὑπόνοιαν αὐτοῖς τὸ τοιοῦτον ἐμποιεῖν, οὐκ ἐδυσωπήθης, διὰ τὴν τοῦ εἰμὶ παρολκήν, τὴν (εἴπερ ἦν ταῦτα γλώσσης Ἑλληνίδος ἁμάρτημα) ὁμοίως ἑκατέροις ἐφαρμόζουσαν τοῦ σολοικίζειν γραφήν, ὥσπερ ἐκ βαρβάρου ἐπιτάγματος, κατὰ μόνης τῆς θείας ἡμῶν καὶ ἱερωτάτης μὴ καταψηφίζεσθαι[6] Γραφῆς. Ἀλλ' οὖν εἰδώς σου τὸ τῆς γνώμης ἀδέκαστον, εὐέλπις εἰμὶ τοῦ

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΙΖ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΣΤ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΗ'. Ἐκδέδοται δὲ καὶ ὑπὸ Οἰσχελίου ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 908.)

[2] Οἷον—ἐγώ εἰμι ψαλῶ τῷ Θεῷ· (Κριτ. Ε', 3) καὶ—ἐγώ εἰμι ἀγχιστεύσω· (Ῥούθ. Δ', 4) καὶ—ἐγώ εἰμι ἐν γαστρὶ ἔχουσα· (Β' Βασιλ. ΙΑ', 5). Ἴδε περὶ τῶν Ο' ἑρμην. τῆς παλ. θείας Γραφῆς Τόμ. Β', σελ. 699 (σημ. Οἰκονόμου). Ἐν μέντοι τῇ ἐν Μόσχᾳ ἐκδόσει τῆς Γραφῆς, καὶ τῇ ἐν Ἀθήναις, τὸ μὲν πρῶτον παράδειγμα φέρεται "ἐγὼ τῷ Κυρίῳ ἄσομαι, ψαλῶ τῷ Θεῷ Ἰσραήλ·" τὸ δὲ δεύτερον, "ἐγώ εἰμι, ἀγχιστεύσω·" τὸ δὲ τρίτον, "ἐγώ εἰμι ἐν γαστρὶ ἔχω."

[3] Τούτῳ γὰρ διαφέρει σχῆμα σολοικισμοῦ, ὅτι τὸ μὲν ἑκούσιόν ἐστιν ἁμάρτημα τοῦ συγγραφέως, τέχνης ἢ καλλωπισμοῦ ἕνεκα γινόμενον, ὁ δὲ σολοικισμὸς ἀκούσιόν ἐστιν ἁμάρτημα, ἀμαθίας ἔργον. Ἴδε περὶ τούτου πλείω ἐν τῷ "περὶ Ἑλλην. σαντάξεως" τοῦ Κ. Ἀσωπίου (σελ. 797 κ. ἑξ.)

[4] Παρ' Οἰκον.—παρ' αὐτοῖς.

[5] Οὕτως ἄμεινον παρ' Οἰκον. ἢ παρὰ Μοντακ. καὶ Μιγν.—οὐδὲν νοῆσαι·—παρ' Οἰσχελίῳ δὲ γέγραπται "οὐδὲ νοῆσαι."

[6] Οὕτως ἄμεινον παρὰ τοῖς ἄλλοις, ἢ παρ' Οἰκον. ἄνευ τοῦ—μή,—ὅπερ, διὰ τὸ ἐξ ἀποφατικοῦ ῥήματος

Digitized by Google

λοιποῦ, οὐ μόνον μηκέτι σε τὰ τοιαῦτα ὑπ' αἰτίαν ὁρᾷν, ἀλλὰ καί, εἴ τινες τολμῷεν παραπλησίως ἐξαμαρτάνειν, ῥᾳδίως αὐτοὺς μεθελκειν, καὶ ἀναδιδάσκειν, ὧν ἡ ἄγνοια· θράσους γὰρ ἀμαθία μήτηρ εἰς τὸ πλημμελεῖν αὐτοὺς ἀνεπτέρου καὶ ἀνηρέθιζεν.

ΕΠΙΣΤΟΛΗ ΟΗ'.—78.

Ἰωάννῃ φιλοσοφοῦντι.[1]

(Τί δήποτε ὁ θεσπέσιος Παῦλος τοῖς Ἀθηναίοις ἀπὸ τῶν ἐν τοῖς βωμοῖς αὐτῶν ἐπιγραμμάτων διελέγετο.—Πράξ. ΙΖ', 16—34.)

Τοὺς μὲν ἄλλους εἰκός ἐστιν ἀπορεῖν, τί δήποτε ὁ θεσπέσιος Παῦλος, ὁ πνευματικοῖς πνευματικὰ συγκρίνειν διδάσκων, ὁ καὶ αὐτὴν τὴν Μωσαϊκὴν φιλοσοφίαν πρὸς τὴν ὑπερέχουσαν τοῦ Χριστοῦ σοφίαν σκύβαλα ἡγούμενος,[2] τί δήποτ' οὖν ὁ τοιαῦτα καὶ λέγων καὶ διδάσκων, ἀπὸ τῶν ἐπιγραμμάτων τοῖς Ἀθηναίοις, ἃ τῷ παρ' αὐτοῖς ἐπεγέγραπτο βωμῷ, διελέγετο· ἀνάξιον γὰρ τῆς ἐν Παύλῳ θείας ἐπιπνοίας ἐκ μύθων συγκροτεῖν τὴν ἀλήθειαν. Ἀλλὰ τοὺς μὲν ἄλλους, τοῦτο διαποροῦντας, οὐ λίαν ἴσως ἂν μεμφοίμην·[3] σὲ δὲ ἐκ μυρίων Γραφῶν τε καὶ λογισμῶν ἔχων εὐθύνειν, τὸν διάπυρον τῆς διαλεκτικῆς ἐραστήν, μάλιστα ἂν ἐξ ἑνὸς τῶν σῶν δικαιότατα ἂν μεμψοίμην,[4] ὡς κἀκεῖνο ἐπιλελησμένον δήπουθεν, τὸ σοφώτατον αὐτῆς καὶ χρησιμώτατον νομοθέτημα· τὸ ποῖον; ὡς,[5] ἐφ' ὧν ἡ τῶν ἀκροατῶν αἴσθησις ἐξ οἰκείων καὶ ἀληθῶν ἐπιδεικνυμένην οὐ προσδέχεται τὴν ἀλήθειαν, ἀλλ' ἀποτυφλώττει πρὸς τὴν αἴγλην αὐτῆς καὶ τὸ καθαρὸν τοῦ νοήματος, ἐπὶ τούτων, ἐξ ὧν πεφύκασιν οὐκ ἀδύνατοι, ἐκ τούτων ὅσα ἐνδέχεται, προσῆκε χειραγωγεῖν, καὶ κατασκευάζειν αὐτοῖς τὴν ἀλήθειαν, καὶ ταῖς αὐτῶν διανοίαις ὑπαυγάζειν αὐτῆς τὴν λαμπρότητα.[6]

τὴν ἀπαρέμφατον ἐξαρτᾶσθαι, ἀναγκαίως πρόκειται αὐτῆς. Ἴδε Ἀσωπίου "περὶ Ἑλλην. συντάξεως" (σελ. 539).

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. Σ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΓ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΞΒ'.

[2] "Ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου· δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω" (πρὸς Φιλιππησ. Γ', 8).

[3] Παρ' Οἰκον.—μεμψοίμην·—ὅπερ ὀρθότερον ἄν, οἶμαι, ἐγέγραπτο κατ' Ἀόριστον "μεμψαίμην," ὥσπερ δὴ τυγχάνει ὂν γεγραμμένον τὸ ἀμέσως ἑπόμενον.

[4] Τοῦτο παρ' Οἰκον. γέγραπται—μεμψαίμην.

[5] Ἐλλεῖπον τὸ—ὡς—παρὰ Μοντακ. προσέθηκα ἐξ Οἰκονόμου.

[6] Περὶ τοῦ ἐκ τῶν ἐπιγραμμάτων πρὸς τοὺς Ἀθηναίους διαλόγου τοῦ τῶν ἐθνῶν διδασκάλου Παύλου μετὰ πολλῆς εὐφραδείας λόγον ποιεῖται ὁ ἱερώτατος Φώτιος κἀν τῷ "περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας" λόγῳ αὐτοῦ· ἔκδ. Hergenroether, σελ. 73—74. (σημ. Οἰκονόμου.)

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΟΘ'.—79.

Τῷ αὐτῷ.[1]

(Διὰ τί ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται.)

Πυθομένῳ σοι, τί δήποτε ἡ προφητεία τοῖς τῆς ἀσαφείας τρόποις συνεσκίασται, διὰ βραχέων ἀμείβομαι. Διότι οὐκ ἔστιν ἱστορία ἡ προφητεία· ἱστορίας μὲν γάρ,[2] εἴπερ τι ἄλλο, ἀρετὴ σαφῶς τε εἰπεῖν καὶ μηδὲν περινενοημένον ἐξεργάσασθαι· τὰ γὰρ ἐν τῷ μέσῳ γεγενημένα διδάσκει, καὶ ἃ πάντες ὁμοίως καὶ σπουδαῖοι καὶ φαῦλοι κατ' ἐκεῖνο καιροῦ συνηπίσταντο,[3] καὶ νῦν εἰδέναι οὐκ ἀπείργονται· προφητεία δέ, ἧς ἔργον τοῖς ἀξίοις ἀποκαλύπτειν τὰ ἄδηλα, τοῖς δὲ βεβήλοις ἄβατα ποιεῖν, τὸ συνεσκιασμένον καὶ αἰνιγματῶδες, καὶ τὸ[4] διὰ παραπετασμάτων, πρεπωδέστατον. Ἐξ ὧν οἶμαι λελῦσθαί σου καὶ τὸ ἄπορον, ὡς, εἰ μὴ ἔδει μαθεῖν, οὐδ' ὅλως ἐχρῆν εἰπεῖν· εἰ δ' ἐκρίθη μαθεῖν, οὐκ ἀσαφῶς ἔχειν τὴν προφητείαν, καὶ ἐν ἴσῳ[5] σχεδὸν τοῦ μηδὲ εἰρῆσθαι, ἐχρῆν· διῃτήθη γὰρ ἐκ τῶν εἰρημένων, ὅτι καὶ μαθεῖν προσῆκον ἦν, καὶ ἀναγκαῖον μὴ βεβήλως, καὶ κοινῶς εἰπεῖν· ἀλλὰ τοῖς μὲν μύσταις εἰρῆσθαι σαφῆ, ἄδυτα δὲ τοῖς ἀμυήτοις διατηρηθῆναι καὶ οὐκ ἐφικτά.

ΕΠΙΣΤΟΛΗ Π'.—80.

Ἀνεπίγραφος.[6]

(Διαφόρων κανονικῶν ζητημάτων λύσις.)

Πάντα τῆς ὑμῶν Ἀρχιερατικῆς τελειότητος καὶ πνευματικῆς σοφίας γέμει, καὶ τῆς πολιτικῆς εὐνομίας τῇ ἀκριβείᾳ συγκέκραται. Τό τε γὰρ εἰς Συνοδικὴν κρίσιν ἀγαγεῖν

---

[1] Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΣΑ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΣΔ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΞΓ'. Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 912, ἔκδ. Οἰσχελίου).

[2] Παρ' Οἰκον. μετὰ τοῦ—ἐστι· "ἱστορίας μὲν γάρ ἐστι κ.τ.λ."

[3] Οὕτως ἐξ Οἰκον. ἀντὶ—κατ' ἐκεῖνο καιροὺς ἐπίσταντο—παρὰ Μοντακ. καὶ Μιγνίῳ· παρ' Οἰσχελίῳ δέ, "κατ' ἐκεῖνο καιροῦ ἐπίσταντο."

[4] Ἐλλείπει τὸ ἄρθρον παρά τε Οἰσχελίῳ καὶ Οἰκονόμῳ· ἄμεινον δὲ ἐνάρθρως, ἐννοουμένου τοῦ λέγειν ἢ τοῦ εἰπεῖν.

[5] Οὕτως ἄμεινον ἐξ Οἰκον. ἀντὶ—ἐνίσως—παρὰ Μοντακ. καὶ Μιγνίῳ· παρὰ δὲ Οἰσχελίῳ "ἓν ἴσως" γέγραπται. Καὶ Μοντακ. δὲ ἐν ταῖς σημειώσεσι ταύτην εἰκάζει τὴν γραφὴν "ἐν ἴσῳ" αἱρετωτέραν εἶναι.

[6] Αὕτη καὶ αἱ ἀμέσως ἑπόμεναι τέσσαρες ἐν τέλει τῆς τῶν Φωτίου ἐπιστολῶν συλλογῆς ὑπὸ τὴν ἐπιγραφὴν "Auctarium V Epistolarum Photii ex veteri codice Orientali" ὑπὸ τοῦ ἐκδότου Δανιὴλ Ῥογήρου προστέθεινται, Ῥαβίου ταύτας ἐξ Ἀνατολῆς (ὁπόθεν δὲ τῆς Ἀνατολῆς οὐ λέγεται) κομίσαντος, ὡς καὶ ἐν

Digitized by Google

ἃ προὐβάλετο τὴν ἀμφισβήτησιν,[1] καὶ τὸ μὴ οἰκείᾳ ῥώμῃ τῆς συνέσεως,[2] καίπερ ἱκανῶς ἐχούσῃ καὶ πολυπλάσιον βάρος ἀνέχειν ὀχλήσεων, καὶ τὸ πρότερον τὰς ἐγκολπίους φιλονεικίας διαλυσάμενον, οὕτω χωρεῖν ἐπὶ τὴν κρίσιν τῶν ἔξωθεν, πῶς οὐκ ἔστι μὲν[3] θείας σοφίας ἀπευθυνομένου γνώμονι; Οἱ μὲν οὖν εἰς ἐξέτασιν κατ' ἀρχὰς προτεθέντες τέσσαρες Πρεσβύτεροι καλῶς εὐθὺς τῆς ἀλόγου καὶ πολὺ τὸ ἄδικον ἐχούσης ἐπιτιμίας ἀθωωθῆναι δικαίαν ψῆφον ἀπέλαβον· καὶ[4] ἄνοιά τις ἀλόγιστος τῇ δικαίᾳ ψήφῳ ἀντέκρουσεν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἐκ κατηγορίας μόνης, κἂν μικρόν, κἂν μέγα, κἂν τῶν μεγίστων εἴη τὸ αἰτίαμα, μηδεμιᾶς ἀποδείξεως τῇ αἰτίᾳ περιτεθείσης, οὔμενουν, οὔτε ἱερέα τοῦ οἰκείου βαθμοῦ παρενεχθῆναι, οὔτε τινὰ ἐπιτιμίαν ἄλλην εἰσπραχθῆναι· οὕτω γὰρ εἴη ἂν μέγα κέρδος τοῖς συκοφάνταις, ὅτι καὶ μὴ λαβόντες οἷς ᾐτιῶντο τοὺς ἀναιτίους, ὡς ἑαλωκότας εἶδον τὴν δίκην ἀπαιτηθέντας· καὶ τίς ἂν εὑρεθείη πόρος, τῆς παραλόγου ταύτης φορᾶς κυρωθείσης, δι' οὗ τὸ μάτην κατηγορούμενον τὰς λαβὰς τῶν συκοφαντησάντων διαφεύξεται; Τοὺς οὖν ἐφ' οἷς κατηγορήθησαν μὴ ἐλεγχθέντας, ἀθώους τέως ἡ ἡμῶν μετριότης, ὡς καὶ ἡ κατ' ἀρχὰς ὑμῶν προελθοῦσα ψῆφος, πάσης καταδίκης ἀφίησιν. Ὅσοι δὲ τοῖς ἐγκλήμασιν ἑαλωκότες κατάδηλοι καθεστήκασι, τούς τε κοσμικούς φημι, καὶ τοὺς σὺν αὐτοῖς ἐταζομένους Πρεσβυτέρους, τούτους φυλάττειν τὸ πρόσκαιρον ἐπιτίμιον, ἄν, ὡς ἔφημεν, γνωστὸν κατέστη τὸ αἰτίαμα, καὶ ἡμεῖς ἀποφαινόμεθα. Περὶ δὲ ὧν οὐδεμία συγγνώμη[5] προέβη, οὐδὲν ἡμῖν παρίσταται φάναι, ἀδήλου ἡμῖν καθεστηκότος τοῦ ἀδικήματος. Καὶ περὶ Ἐπισκόπου δὲ τοῦδε ἀξιολόγως μὲν καὶ κανονικῶς καὶ ἡ ζήτησις καὶ τὸ πέρας προῆλθε τῆς ἐξετάσεως· ἡμᾶς δὲ ἐκπλήξεως παρέπεμψε θαύματι, ὅπως παντελῶς ἀλλότρια τῆς παρούσης διηγήσεως τὸ τοῦ Ἀμασείας γράμμα καὶ ἀπήγγειλε[6] καὶ ὑπετίθετο. Τὸ γὰρ μετὰ μαρτύρων χειροτονῆσαί τινα, κἂν ὕστερον ὁ χειροτονηθεὶς ἀνάξιος ἀπελεγχθῇ, οὐδὲν πρόκριμα τῷ χειροτονήσαντι γίνεται· ὧν οὐδὲν τὸ

τοῖς Προλεγομένοις (σελ. 90) εἴπομεν. Ἐκδέδονται δ' ἐπ' ἐσχάτων καὶ ὑπὸ Μινγίου μετὰ τῶν ἄλλων Φωτίου Ἐπιστολῶν (σελ. 782—794) ἰδίαν φέρουσαι τὴν ἐπιγραφὴν "Epistolae canonicae ad Episcopos." Ὡς δὲ ὁ τόπος, ἐν ᾧ ταύτας εὗρε Ῥάβιος, οὕτω καὶ οἱ Ἐπίσκοποι, πρὸς οὓς ἐγράφησαν, οὐ κατονομάζονται· διὰ δὴ τοῦτο καὶ ἡμεῖς ὑπὸ τὴν ἐπιγραφὴν "Ἀνεπίγραφοι" ταύτας ταῖς ἑρμηνευτικαῖς Φωτίου ἐπιστολαῖς παραρτῶμεν τελευταίας.

[1] Ῥόγηρος, ἤ ὅστις ποτ' ἂν ᾖ ὁ τὰς πέντε ταύτας ἐπιστολὰς ἐπιθεωρήσας καὶ διορθώσας, γραπτέον εἶναι εἰκάζει ἐμπροθέτως—εἰς τὴν ἀμφισβήτησιν.

[2] Ὀρθῶς εἰκάζει Ῥόγηρος ἐκπεσεῖν ἐνταῦθα τοῦ κειμένου τὸ "πιστεύειν," ἢ ἄλλο τι τοιοῦτον.

[3] Δοκεῖ μοι περιαιρετέον εἶναι τὸν μέν, οὐκ ἔχοντα πρὸς ὃ ἀποδοθείη, πλὴν εἰ μή τις εἴποι ἐκπεσεῖν τοῦ κειμένου τὴν ἀπόδοσιν· τὸ γὰρ ἐν ἀρχῇ τῆς ἐπιστολῆς εἰρημένον "καὶ τῆς πολιτικῆς εὐνομίας τῇ ἀκριβείᾳ συγκέκραται" ὑποδείκνυσιν, ὅτι κἀνταῦθα εἰπεῖν ὤφειλε, "πῶς οὐκ ἔστι μὲν θείας σοφίας ἀπευθυνομένου γνώμονι, τῇ δὲ ἀκριβείᾳ τῆς πολιτικῆς εὐνομίας προσέχοντος τὸν νοῦν"—ἢ ἄλλο τι τοιοῦτον.

[4] Ἴσ. γραπτέον—εἰ καί.

[5] Ὀρθῶς εἰκάζει Ῥόγηρος γραπτέον εἶναι—γνώμη.

[6] Ἴσως γραπτέον—ἀπήγγελλε—κατὰ τὸ πρὸς ὃ συνδέεται "ὑπετίθετο."

Digitized by Google

γράμμα ὑπεδήλου, ἀλλὰ καὶ τἀναντία διήγγειλε·[1] καλὸν δὲ παρουσιάσαι καὶ αὐτοὺς τοὺς τὴν μαρτυρίαν ὑποσχόντας, ὅτε τὴν χειροτονίαν ὁ ὑπαίτιος ἀνεδέχετο, ὡς ἂν πανταχόθεν τὸ καθαρὸν καὶ ἀνεπίληπτον καὶ τοῖς ἀγνωμονέστερον περὶ τὴν ἀθώωσιν τῶν ἀδελφῶν διακειμένοις παντελῶς καὶ μισοῦσιν ἀποκαλυφθῇ, καὶ ὁ τοῦ Θεοῦ Ἀρχιερεὺς εἰς μηδὲν[2] τῶν ἀνηκόντων Ἀρχιερεῦσι τὴν καινοτομίαν[3] εἴη ὑποστάς. Τὸ δὲ Συνοδικὸν τῆς οἰκονομίας γράμμα, ὃ τὸν Ἀρχιεπίσκοπον ἔχει τῆς Καισαρείας προταττόμενον, γνώμῃ τε ἡμετέρᾳ ἐγράφη, καὶ δι' ἐπιτροπῆς ἀπεστάλη· καὶ οὐδέν, οἶμαι, οὔτε παρὰ συνείδησιν ἔχει, οὔτε τοῖς ἱεροῖς μαχόμενον τοῦ πνεύματος [νόμοις[4]]· πολλὴ γὰρ ἡ διαφορὰ τῶν ἐξ ἀγνοίας ἁμαρτημάτων πρὸς τὰς ἐν γνώσει καὶ μετὰ καταφρονήσεως προϊούσας ἀθεμίτους πράξεις· καὶ ἱερέων δὲ καὶ Χριστιανῶν ἀποιχομένων οὐδεμία φροντὶς, οὐδ' ὑμνολογίας ὀφειλομένης ἱερὰ τελετή, πῶς οὐκ ἂν ἐκβιάσαιτο ἐπ' οἰκονομίαν ἀπὸ τῆς ἀκριβείας τῶν θείων μυστηρίων ἀποκλῖναι; Ἀλλ' ἴσως ταῦτα περιττὸν πρὸς εἰδότα λέγειν.

Περὶ δὲ τῶν κεφαλαίων, ἐκεῖνα τέως ὡς ἐν καιρῷ κατεπείγοντι τυπωθῆναι διέγνωμεν. Ὅσοι μὲν πρὸ τῆς διαμαρτυρίας τοὺς διγάμους ηὐλόγησαν, διά τε τὴν ἄγνοιαν καὶ διὰ τὸ μηδὲν παρὰ τῶν Ἐπισκόπων περὶ τῆς τοιαύτης ἐξασφαλισθῆναι πράξεως, μήτε μὴν τῶν κανόνων ἀλλαχόθεν ἀκρίβειαν μαθεῖν, *καὶ* διὰ ταῦτα τῷ τοιούτῳ ὠλίσθησαν πτώματι, οἱ τοιοῦτοι πάντως, εἰ μή τι ἄλλο, ἀλλ' ἐν ὅσῳ γε χρόνῳ τὸν δίγαμον τῆς κοινωνίας τῶν φρικτῶν μυστηρίων οἱ νόμοι τοῦ πνεύματος ἀποκωλύουσιν, ἐν τοσούτῳ καὶ ὁ παραλόγως τὴν εὐλογίαν τοῖς συναπτομένοις ἐπιτιθεὶς τῆς ἱερουργίας ἐπισχεθήσεται· εἰ μή τις ἄρα κατεπείγει χρεία ἀπαραίτητος ἄλλη, καὶ παντελῶς ἀπραγμοσύνη, καὶ βίος ἄλλος ἐπίσημος τοῦ ἀνδρός· ἃ πολλάκις παρὰ τοῖς Πατράσιν ἡμῶν δι' οἰκονομίαν τῆς ἀκριβείας ὤφθη περιγεγονότα, καὶ τὸν χρόνον τῆς ἐπιτιμίας συνάγοντα πρὸς τὸ ἔλαττον.—Γυναῖκα δὲ παρὰ μὲν τοῦ θεσπεσίου Παύλου μεμαθήκαμεν, ἀποβαλοῦσαν τὸν ἄνδρα, δευτέροις γάμοις ὁμιλῆσαι συγγνώμην λαβοῦσαν· πολλὰ γὰρ τὰ γυναικεῖα ἀῤῥωστήματα, καὶ δυσωπεῖν ἱκανά, μὴ πρὸς τὴν φύσιν τῶν ἀνδρῶν τὴν ἐκείνων ἀσθένειαν ἐκβιάζεσθαι. Ἄνδρα δὲ οὐκ ἴσμεν τῆς αὐτῆς συγγνώμης παρὰ τῶν Ἀποστολικῶν ἀξιωθέντα σπλάγχνων· δι' ὃ καὶ τὸ ἐπιτίμιον τοῦ μὲν γυναῖκα δίγαμον εὐλογήσαντος, ἢ οὐδόλως, ἢ πολὺ κουφότερον ἔσται τοῦ δίγαμον ἄνδρα εὐλογήσαντος. Οἱ δὲ ἀπολελυμένως ἁρμοζόμενοι γυναιξίν, ἐπείπερ ἡ πρᾶξις οὐχ ἁπλῆ, οὔτε τὸ ἐν αὐτοῖς ἐπιτίμιον πρόεισι μονοειδές· οὐ μὴν οὐδ' οἱ τούτους εὐλογοῦντες ὑπὸ μίαν τελοῦσι δίκην. Ὅσαι μὲν γυναῖκες ἀπελύθησαν τοῦ ἀνδρός, ἐκείνου τὴν αἰτίαν παρασχομένου, ἐφ' ᾧ τῆς φυσικῆς ὁμιλίας ἡ ἀσθένεια κατεκράτησεν, αὗται δή, αὗται,[5] εἰ μὲν σωφρονεῖν ἔλοιντο, τοῦτο ἄμεινον· εἰ δὲ καὶ ἀνδρὶ συνάπτεσθαι

---

[1] Καὶ τοῦτο ἴσως γραπτ.—διήγγελλε—κατὰ τὸ "ὑπεδήλου."

[2] Οὕτω διώρθωσα τὸ ἐν τῷ κειμένῳ—εἰ μηδέν.—Ῥόγηρος δὲ γραπτέον εἶναι εἰκάζει "ἐν μηδενί."

[3] Ἡμ. διώρθ. ᾗ συνᾴδει καὶ ἡ Λατιν. μετάφρασις (innovationem sustineat) ἀντὶ—καινοτιμίαν.

[4] Ἐκ διορθ. Ῥογήρου ἡ προσθήκη τῆς λέξεως—νόμοις.

[5] Οὐ περιττή, ὡς ἔδοξε Ῥογήρῳ, ἡ τῆς ἀντωνυμ. ἐπανάληψις, οὐδὲ περιαιρετέα διὰ τοῦτο ἡ δευτερα

βούλοιντο, καὶ τοῦτο ἀκατάγνωστον αὐταῖς τε, καὶ εἴ τινες εὑρεθεῖεν τῶν ἱερέων διὰ τῆς εὐλογίας τὸν γάμον σεμνύνοντες· καὶ τῆς γυναικὸς τὴν αὐτὴν παρεχομένης αἰτίαν, ἧς καὶ ὁ διαλυθεὶς ἀνὴρ τῆς αὐτῆς ἐλευθερίας ἠξίωτο, καὶ ἡ μικρῷ πρόσθεν εἰρημένη γυνὴ ἀπολαύσει.[1]—Κἂν παρὰ τὴν ἡλικίαν δέ τινες εἰς μνηστείαν ἔλθωσιν, εἶτα τούτους ὁ νόμος διὰ τὸ παράνομον ἀπ' ἀλλήλων διαστήσῃ, οὐδὲ τότε οὐδέτερον τῶν διϊσταμένων προσώπων, ἐν λαϊκῷ δῆλον ὅτι ἐξεταζόμενον τάγματι, πρὸς ἕτερον νόμιμον ἐρχόμενον γάμον εὐθύνας ὑφέξει.—Ὁ δὲ τὴν ἐκβεβλημένην ἐπὶ μοιχείᾳ γυναῖκα θέμενος, εἴτε γεγαμηκὼς εἴη, εἴτε καὶ γάμων ἄγευστος, μοιχός τέ ἐστι, καὶ τῷ τῶν μοιχῶν ἐπιτιμίῳ ὑπόκειται· εἰ δὲ διὰ μόνον ἄλογον μῖσος ὑπὸ τοῦ ἀνδρὸς καὶ ἄκουσα ἐξωσθεῖσα,[2] ἄμεινον μέν, εἰ πάλιν πρὸς τὸν ἴδιον ἐπαναστρέψῃ ἄνδρα· εἰ δὲ μή, ἐκείνου πρὸς ἑτέραν γυναῖκα χωρήσαντος ἤδη, μοιχείας μὲν αὕτη, συνερχομένη ἀνδρὶ ἑτέρῳ, οὐκ ἂν ἐγκλήματι περιενεχθείη· οὐ μέντοι γε ὁ ἱερεύς, τὰ νενομισμένα ἐπιτελῶν ἐν αὐτῇ, τὸ ἀκατάγνωστον ἕξει, ἀλλὰ τὴν τοὺς δι γάμους εὐλογήσαντος ἀπαιτηθήσεται δίκην. Τὸ δὲ ἐξ ἀλόγου συμφωνίας διαλύεσθαι, ἐπεὶ νόμῳ κεκωλυμένη ἡ τοιαύτη τόλμα καθέστηκεν, οὔτε τὸν ἄνδρα, πρὸς ἕτερον συνερχόμενον συνοικέσιον, ἐᾷ ἀνεύθυνον, οὔτε τὴν γυναῖκα, διαπραττομένην τὸ ἴσον· μᾶλλον μὲν οὖν καὶ ποιναὶ βαρεῖαι κεῖνται τοῖς νόμοις, εἰ τοιαύτη πρᾶξις εἰς τόλμαν ἀχθήσεται· καὶ δῆλον, ὡς ἐπὶ τοῖς τοιούτοις συνοικεσίοις εὑρισκόμενος ὁ ἱερεύς, καὶ τὰ νενομισμένα τοῖς γάμοις τελῶν, παντελῶς τῆς ἰδίας τιμῆς κατὰ τὴν τῶν κανόνων ἐκπεσεῖται ἀκρίβειαν.

Ἀλλὰ ταῦτα μὲν τὸ τάχος εἶπε, καὶ τὸ ἀμελέτητόν τε καὶ ἀπροσδόκητον τῶν προτεθέντων εἰς ζήτησιν· εἰ δέ τι ἄλλο ἐπιμελέστερον ἡ ὑμετέρα σύνεσις ἐπισκοποῦσα κατίδοι, νικάτω τὸ ἄμεινον· καὶ ἡμεῖς δὲ ἴσως ἐν πλατυτέρῳ καιρῷ ἀκριβέστερόν τι ἄλλο ἐπιθεωρήσομεν.

ὀνομαστ.—αὗται·—συνηθέστατον γὰρ Φωτίῳ τὸ σχῆμα τοῦτο τοῦ λόγου, ὡς πολλάκις ἐν ταῖς προλαβούσαις Ἐπιστολαῖς καταφαίνεται.

[1] Ῥόγηρος μὲν εἰκάζει μετατόπισίν τινα γενέσθαι τῆς Γεν. "τῆς αὐτῆς" ἐν τῇδε τῇ περιόδῳ, καὶ διὰ τοῦτο γράφειν παραινεῖ "ἧς καὶ ὁ διαλυθεὶς ἀνὴρ ἐλευθερίας ἠξίωτο, τῆς αὐτῆς καὶ ἡ μικρῷ πρόσθεν εἰρημένη γυνὴ ἀπολαύσει." Ἀλλ' οὐδ' οὕτως (ἔμοιγε δοκεῖν) ὀρθῶς ἔξει τὰ τῆς γραφῆς, ἅτε καὶ οὕτω τῆς ἐννοίας ἡμαρτημένως προϊούσης, καὶ τὴν ἐλευθερίαν τῇ γυναικὶ χαριζομένης, δέον ταύτην τῷ ἀνδρὶ χαρίσασθαι, ὡς τῆς γυναικὸς τὴν αἰτίαν τῆς ἀπολύσεως παρασχούσης, ἀντιθέτως δῆλον ὅτι πρὸς τὴν προηγουμένην πρότασιν, ἐν ᾗ, τοῦ ἀνδρὸς τὴν αἰτίαν παρασχόντος, ἡ ἐλευθερία τῇ γυναικὶ ἀποδέδοται. Ἡγοῦμαι τοίνυν ἔγωγε ὀρθῶς ἂν τὴν περίοδον ταύτην ἔξειν, οὑτωσὶ γραφομένην· "καὶ τῆς γυναικὸς τὴν αὐτὴν παρεχομένης αἰτίαν (τῆς ἀπολύσεως δῆλον ὅτι), καὶ ὁ διαλυθεὶς ἀνὴρ τῆς αὐτῆς ἐλευθερίας, ἧς ἠξίωτο καὶ ἡ μικρῷ πρόσθεν εἰρημένη γυνή, ἀπολαύσει." Ὥστε κατὰ ταύτην τὴν ἔννοιαν, ἥπερ ἐστὶν ἡ προσήκουσα, οὐχ ἡ Γεν. "τῆς αὐτῆς," ὡς Ῥόγηρος εἰκάζει, ἀλλ' ἡ Γεν. "ἧς," ὡς ἔγωγε, τὴν μετατόπισιν ὑποστήσεται.

[2] Γραπτέον, οἶμαι,—ἐξωσθείη—ἢ—ἐξωσθεῖσα εἴη.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΠΑ'.—81.

Ἀνεπίγραφος.

(Περὶ τινων μιαροφαγησάντων.)

Ἔγραψέ σου ἡ Ὁσιότης περί τινων μιαροφαγησάντων· ἡ δὲ αἰτία τῆς μιαροφαγίας ἐστὶ τοιαύτη. Τύμβον Ἑλληνικὸν ἀπῆλθον διορύξαι πρὸς ἀνεύρεσιν χρημάτων· ματαιοπονοῦντες δέ, καὶ μηδὲν εὑρίσκοντες, εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ὅτι, ἐὰν μὴ σφάξωμεν κύνα, καὶ ἐκ τῶν κρεῶν αὐτοῦ ἀψώμεθα, οὐ μὴ ἐπιδώσει ἡμῖν ἡ γῆ τὸ ζητούμενον. Αὐτίκα γοῦν ὁ λόγος εἰς ἔργον προέβη. Ἐλθόντες[1] οὖν εἰς αἴσθησιν τῆς ἀπηγορευμένης βρώσεως, τοῖς ποσὶ προσέπεσον τοῦ Ἐπισκόπου, αἰτούμενοι ἰατρείαν καὶ λύσιν τοῦ παραπτώματος. Ταῦτα διήγγειλε τὸ γράμμα τῆς σῆς εὐλαβείας· καὶ περὶ τούτου τύπος μέν ἐστιν Ἐκκλησιαστικός, διὰ τεσσαρακονθημέρου ἐπιτιμίου καί τινων εὐχῶν διαλύεσθαι τοὺς ἐαλωκότας τῷ ἐγκλήματι·[2] ἡ δὲ παροῦσα μιαροφαγία ἔχει καὶ ἑτέρας τινὸς ἀσεβείας ἐπιμιξίαν. Τὸ γὰρ ἕνεκα τούτου μιαροφαγῆσαι, ὥστε τὴν γῆν ἐκμειλίξασθαι, κατὰ τὴν ἐκείνων τῆς ἀπονοίας ὑπόνοιαν, αὔξει πλέον τὸ ἔγκλημα, κἂν ἄνευ λογισμῶν τινων δυσσεβεστέρων πρὸς τὴν τοιαύτην ὑπόληψιν κατηνέχθησαν· πλήν γε καὶ τῶν ἀνδρῶν τὸ ἦθος, καὶ ἡ ἄλλη τοῦ βίου διαγωγὴ καὶ κατάστασις, καὶ ἡ τῆς διανοίας ἁπλότης ἢ δεινότης, δύναται πολυπλασιάζειν καὶ συντέμνειν, εἴτε[3] καὶ μετὰ τεσσαράκοντα ἡμέρας ἐπιτεθῇ αὐτοῖς, [τὸ] ἐπιτίμιον.[4] Εἰ δὲ δεῖ τι καὶ κεφάλαιον δεύτερον εἰπεῖν, ἄνευ τῶν ἐπιτεμνόντων ἢ μηκυνόντων τὸ πρᾶγμα περιστατικῶν αἰτιῶν,[5] εἰς τρεῖς τεσσαρακοστὰς ἡ ἐπιτιμία τοὺς ἐπὶ τῇ εἰρημένῃ μιαροφαγίᾳ ἐαλωκότας περιστήσει, ἅμα τῇ ἄλλῃ κατὰ τὴν δίαιταν σκληραγωγίᾳ καὶ τῇ τῶν φρικτῶν μυστηρίων ἀποκωλύσει.

---

[1] Ἡμ. διόρθ. ἀντὶ—ἐλθόντων.

[2] Ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ Συνόδου Ζ' κανὼν διετίαν τοὺς μιαροφαγήσαντας τῆς θείας ἀπείργει κοινωνίας· καὶ ὁ τοῦ Μ. Βασιλείου ΠΑ' κανὼν τοὺς μὲν ἀκουσίως μιαροφαγήσαντας ἐπὶ διετίαν, τοὺς δὲ ἑκουσίως ἐπὶ δεκαετίαν.—Ἴδε τοὺς κανόνας τούτους ἐν τῷ Συντάγματι τῶν θείων κανόνων ὑπὸ Γ. Α. Ῥάλλη καὶ Μ. Ποτλῆ. Τόμ. Γ', σελ. 35· καὶ Τόμ. Δ', σελ. 245.

[3] Ἴσως ἐγέγραπτο—εἴπερ—ἢ προηγούμενον εἶχε τὸ "εἴτε πλείους."

[4] Οὐκ οἶδ' ἀνθ' ὅτου Ῥόγηρος οὔτε ὀρθὴν οὔτε πρὸς τὰ ἑπόμενα συμφωνοῦσαν εὑρίσκει τὴν γραφὴν ταύτην· κατ' ἀμφότερα γὰρ ἔμοιγε δοκεῖ ὀρθῶς ἔχειν, καὶ μόνον ἴσως προσθετέον ἂν εἴη τὸ ἄρθρον (τὸ) πρὸ τοῦ ὀνόματος "ἐπιτίμιον." Ὁ δὲ νοῦς τοιοῦτός τίς ἐστι κατ' ἐμέ. Τεσσαρακονθήμερον μὲν ἐπιτίμιον ὁ Ἐκκλησιαστικὸς ἐπιβάλλει τύπος τοῖς μιαροφαγήσασιν· ἡ δὲ παροῦσα μιαροφαγία, ὡς ἀσεβεστέρα, αὐστηροτέραν ἕξει τὴν ποινήν, καὶ τοιαύτην παραινεῖ ἐπιβληθῆναι· πλὴν ἡ τῶν ἀνδρῶν τούτων διαγωγὴ καὶ τὸ ἦθος, καὶ ἡ τῆς διανοίας ἁπλότης ἢ δεινότης, δύνανται καὶ πολυπλασιάζειν τὸ ἐπιτίμιον, καὶ συντέμνειν αὐτό, εἴπερ ἐπιτεθείη αὐτοῖς ὑπὲρ τὰς τεσσαράκοντα ἡμέρας. Σαφέστερον δὲ μετὰ ταῦτα τὴν τῆς ποινῆς αὔξησιν δηλῶσαι βουλόμενος, εἰς τρεῖς τεσσαρακοστὰς ταύτην ὁρίζεται, συντέμνειν ἐπιτρέπων, ἢ πολυπλασιάζειν κατὰ τὰ προειρημένα.

[5] Ἴδε τὴν σημ. 9 ἐν σελ. 392.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΠΒ'.—82.

Ἀνεπίγραφος.

(Περὶ Ἐπισκόπου μοιχὸν ἱερέα χειροτονήσαντος).

Οὐχ οὕτως ἐμηνύσαμεν τῷ Προέδρῳ, ἵνα μάθωμεν, εἰ μετὰ γνώσεως παρεχώρησε τὸν μοιχὸν ἱερατεύειν ὁ Ἐπίσκοπος (ἄτοπον γὰρ καὶ τοῦτο)· ἀλλ' εἰ ἐγίνωσκε μοιχὸν αὐτὸν εἶναι, καὶ οὕτως αὐτὸν ἐχειροτόνησε (χαλεπώτερον γὰρ τοῦτο). Ὃ δέ, ὃ μὲν ἐμηνύθη διδάξαι, οὐκ ἐδίδαξεν, ὃ δὲ οὐδεὶς ἐζήτησε, τοῦτο ἀνήγγειλεν. Πλήν, εἰ μὲν εἰδὼς αὐτὸν μοιχὸν ὄντα ἐχειροτόνησε, παντελῶς ἐστι καθῃρημένος τῆς Ἀρχιερωσύνης τε καὶ Ἱερωσύνης· εἰ δὲ ἀγνοῶν αὐτὸν μοιχὸν ὄντα ἐχειροτόνησεν, εἶτα μαθών, ἐπέσχε μὲν ἐπὶ χρόνον, ἀπέλυσε δὲ ἱερατεύειν, παυθήσεται μὲν καὶ αὐτὸς τοῦ ἱερουργεῖν ἐπὶ χρόνους τινάς (ἄλλο γὰρ τὸ καταφρονῆσαι[1] Θεοῦ, καὶ ἄλλο τὸ ἀπατηθῆναι[2] καὶ δόξαι φυλάξαι, κἂν οὐκ ἐφύλαξεν)· ἐπὶ χρόνους δέ τινας ἔφημεν ἐπισχεθῆναι αὐτόν, ἐάν περ τ' ἄλλα αὐτοῦ προτερήματα καὶ ἡ τῆς ἄλλης [ἀρετῆς[3]] περιουσία δύναται ἀντιταλαντευθῆναι τῷ τοιούτῳ αὐτοῦ παραπτώματι· εἰ δὲ μή, διηνεκὲς τὸ ἐπιτίμιον ἕξει. Ταῦτα δὲ λέγομεν, οὐκ ἐὰν ὁ Πρόεδρος αὐτοῦ λέγῃ, ὅτι γινώσκων αὐτὸν μοιχὸν ἐχειροτόνησεν, ἢ ὅτι μετὰ τὸ χειροτονηθῆναι αὐτὸν μαθὼν μοιχὸν εἶναι, καὶ ἐπί τινα χρόνον ἐπισχών, εἶτα ἱερουργεῖν αὐτὸν ἀφῆκεν· ἀλλ' ἐὰν αὐτὸς διὰ μαρτύρων πιστῶν καὶ ἀδιαβλήτων ἠλέγχθη, ἢ καὶ μὴ ἐλεγχθεὶς οἰκείῳ κατέθετο καὶ ὡμολόγησε στόματι. Ταῦτα μὲν οὖν ἡ ἡμετέρα ἁρμόζειν ἔκρινε μετριότης· καὶ περὶ αὐτοῦ, ὡς κελεύει, διοικήσει ἡ ὑμῶν ἁγιότης. Σὺ δέ μοι ἐν Κυρίῳ ἔρρωσο.

ΕΠΙΣΤΟΛΗ ΠΓ'.—83.

Ἀνεπίγραφος.

(Περὶ ἀπολύσεως ἀδίκως καθαιρεθέντων ἱερέων.)

Θαῦμα μὲν ἡμᾶς κατέσχε καὶ ἔκπληξις ἐπὶ τῇ τοσαύτῃ παροινίᾳ καὶ ἀπονοίᾳ καὶ ἀναισθησίᾳ καὶ παρανομίᾳ τοῦ Προέδρου, καίτοι γε τῶν τοιούτων παθῶν παλαιά τινα ἴχνη ἐν τῇ μνήμῃ φέροντας· ἀλλ' ἡ ἐπιμονὴ καὶ αὔξησις τῶν προλαβόντων, ὡς ἐπὶ παραδόξοις τοῖς νῦν πεπραγμένοις παρέσχε ταράττεσθαι. Πλὴν οὐκ ἔστιν ἀνενόχλητον τοῖς καθ' ἕκαστον τῶν κατὰ μέρος λόγων ἐπιστῆναι,[4] ὃ πολλάκις ἔφαμεν, καὶ νῦν φαμέν· ὡς, ἐπείπερ

---

[1] Ἐκ διορθ. Ῥογήρου, συναδούσης καὶ τῇ Λατιν. μεταφράσει (Deum contemnere) ἀντὶ—φρονῆσαι.

[2] Ἐκ διορθ. τοῦ αὐτοῦ, ἀντὶ—ἀπαιτηθῆναι.

[3] Ἐκ διορθ. τοῦ αὐτοῦ ἡ προσθήκη τῆς λέξεως—ἀρετῆς.

[4] Οὕτω μὲν Ῥόγηρος διορθοῖ τὸ ἐν τῷ χειρογράφῳ "ἐπιθῆναι," καὶ τῇ διορθώσει ταύτῃ καὶ ἡ Λατιν.

Digitized by Google

καὶ ἡμεῖς ἁμαρτωλοὶ τὰς ἁμαρτωλὰς ἡμῶν χεῖρας ἐπὶ τὴν σὴν ἐθέμεθα κεφαλήν, τὴν τελεταρχικὴν τοῦ παναγίου Πνεύματος ἐπικαλούμενοι χάριν (καὶ πεπιστεύκαμεν οὐ ταῖς ἡμῶν χειροθεσίαις, ἀλλὰ τῇ τε ἄνωθεν εὐμενείᾳ καὶ τῇ σῇ ἀρετῇ τὴν ἐπιφοίτησιν αὐτοῦ πλουτίσαι ὑμᾶς [1]), οὐ μόνον ὅσα ἐν τῇ Ἐκκλησίᾳ παρανόμως τε καὶ ἀκανονίστως παρὰ τοῦ ταύτης Προέδρου πρόεισι, ἀλλὰ καὶ ὅσα παρ' ἑτέρου τὴν ὁμοίαν ἐπιδεικνυμένου γνώμην, ταῦτα πάντα τὴν σὴν Ἀρχιερατικὴν παρεγγυώμεθα τελειότητα, ὡς ἡμῶν τῶν ταπεινῶν συμπαρόντων καὶ συνεφαπτομένων τοῖς νόμοις τοῦ Πνεύματος, ἀνακόπτειν τε καὶ ἀναχαιτίζειν, καὶ ἐπὶ τὸ βέλτιστον καὶ ἄριστον μεταῤῥυθμίζειν· οὐχ ἡμῶν νυνὶ τὴν τοιαύτην πνευματικὴν ἐξουσίαν χαριζομένων, ἀλλὰ τοῦ Πνεύματος τοῦ παναγίου, ἡνίκα καὶ τὴν Ἀρχιερατικὴν ἐδίδου δωρεάν. Ἀπολυέσθωσαν γοῦν οἱ παραλόγως δεσμῷ ὑποβληθέντες τῆς ἀλόγου καταδίκης, καὶ πρὸς τὴν δικαίαν μεθαρμοζέσθωσαν θεραπείαν· καὶ οἱ τὴν παράνομον καθαίρεσιν ὑποστάντες, τῆς ἀνόμου ψήφου πεπαυμένης, ἐχέτωσαν τῆς Ἱερωσύνης· [2] καὶ ὁ ταῦτα πράξας ἀφρόνως, μάλιστά γε, ὅτι τὰ τοῦ σώματος πάθη καὶ τὴν τῆς ψυχῆς συνάφειαν ὑπογράφει, μανθανέτω, εἰ μὴ δύναται παραινέσεως λόγῳ, ἀλλ' οὖν αὐστηρότερον, μὴ παραφέρεσθαι τοῦ δικαίου. Διὰ τοῦτο καὶ ἡ πρὸς αὐτὸν ἐπιστολὴ καλὴ καὶ δικαία· καὶ εἰ μηδὲ μετὰ ταύτην σωφρονισθείη, ἱερουργεῖν μὲν καὶ τῶν ἀψύχων τὴν διοίκησιν ἔχειν τέως μὴ κωλυέσθω· ἐπιτιμᾷν δὲ καὶ κανονίζειν τοὺς ἐμψύχους, ἄψυχος αὐτὸς ὤν, διὰ τῆς ἐν Πνεύματι ἁγίῳ ἡμῖν δεδομένης ἐξουσίας μὴ παραχωρείσθω.

ΕΠΙΣΤΟΛΗ ΠΔ'. — 84.

Ἀνεπίγραφος.

(Περὶ Πρεσβυτέρου παρὰ γνώμην τῶν γονέων τὰ τέκνα αὐτῶν στεφανώσαντος.)

Ἀφίκετο ἡμῖν γράμματα τῆς σῆς θεοφιλείας, ἐπιζητοῦντα παρὰ τῆς ἡμῶν μετριότητος ψῆφον ἐπενεχθῆναι περὶ τοῦ Πρεσβυτέρου τοῦ στεφανώσαντος παρὰ γνώμην τῶν γονέων τὰ τούτων τέκνα, καὶ τὴν τούτων συναίνεσιν μὴ προσδεξαμένου· εἶτα ὑπ' αὐτῶν διαζευχθέντα, καὶ πάλιν ἑτέροις προσώποις κοινωνήσαντα, καὶ πρὸς γάμον ἐλθόντα, συνεργείᾳ τῶν πατέρων ὑφ' ἑτέρου Πρεσβυτέρου εὐλογηθέντα.

συνάδει μετάφρασις (singulorum causis particulatim *insistere*)· ἀλλ' οὐδ' οὕτως, ἔμοιγε δοκεῖν, ἀσαφείας ἀπήλλακται τὸ χωρίον· ἀπαλλαγείη δ' ἄν, οὑτωσί πως γραφόμενον· "πλήν, ὡς οὐκ ἔστιν ἀνενόχλητον . . . ἐπιστῆναι, ὃ πολλάκις ἔφαμεν, καὶ νῦν φαμέν." Εἰ δέ τις τὴν τοῦ μορίου ὡς προσθήκην ἀπαναίνεται, τοῦτο μὲν μὴ προστιθέτω· τὸν ἀλλὰ δὲ τοῦ ἀναφορικοῦ λόγου προτάξας, οὕτως ἀναγινωσκέτω· "πλὴν οὐκ ἔστιν ἀνενόχλητον . . . ἐπιστῆναι· ἀλλ' ὃ πολλάκις ἔφαμεν, καὶ νῦν φαμέν." Εἰ δὲ καὶ ἀμφότερα εἰς ταυτὸ φέρει, ἀλλ' οὖν γε τὸ πρῶτον εἴη ἂν αἱρετώτερον, ἢ καὶ οὐδέτερον τούτων, εἴ τις ἔχει λέγειν κρεῖττονα.

[1] Ἡμ. διόρθ. ἀντὶ—ἡμᾶς.

[2] Γραπτ.—ἱερωσύνην—ἢ προσθετέον τὴν Δίτιατ. "τὸ ἀξίωμα, τὸν βαθμόν, τὴν χάριν, ἢ ἄλλην τινὰ τοιαύτην."

Digitized by Google

Καὶ περὶ μὲν τοῦ πρώτου Πρεσβυτέρου οὕτω διοριζόμεθα. Εἰ μὲν ἠγνόει τῶν τεκόντων τὸ ἀβούλητον, εἶτα ἐξ ἀγνοίας περιεπάρη[1] ἐν τῷ στεφανώματι τῶν συνελθόντων προσώπων, ὁ τοιοῦτος μὲν οὐ παντελῶς ἐστιν ὑπεύθυνος, οὐδὲ ἑκουσίῳ[2] ἀλώσιμος ἁμαρτήματι· οὐκ ἀνεύθυνος δὲ παντελῶς ἀπολύεται, ὅτι περ ἔδει τοῦτον ἐξερευνῆσαι, καὶ ἀκριβολογησάμενον ἀναμαθεῖν, εἰ ἄρα τῇ βουλήσει τῶν τεκόντων οἱ πρὸς γάμον συναπτόμενοι συνιστῶσι τὸ συνοικέσιον. Διὰ τοῦτο καθαιρέσει μὲν ὁ τοιοῦτος οὐχ ὑποβάλλεται, ἐπὶ χρόνον δέ τινα ῥητὸν τῆς ἱερουργίας ἐπισχεθήσεται, καὶ τὴν ἐν τοῖς ἄλλοις ταλαιπωρίαν, νηστείαις τε φημὶ καὶ προσευχαῖς, ὑποστήσεται· ὁ δὲ χρόνος τῆς ἐπιτιμήσεως ἢ ἐν τεσσαράκοντα ἡμέραις, ἢ δὶς τοσαύταις παραταθήσεται, πρὸς τὴν ἀναλογίαν τῆς ἐν τῇ μετανοίᾳ θερμότητος· ὡς ἂν ἐξ ἀμελοῦς καὶ ῥᾳθύμου γνώμης μηδέποτε μηδενὶ τοιούτῳ περιπέσῃ. Ἀλλ' οὕτω μέν, εἰ πρὸς τὴν ἄγνοιαν μεταφέρει τὸ ἁμάρτημα. Εἰ δὲ τὴν βούλησιν τῶν πατέρων ἐξηπίστατο, καὶ ὡς ἀπηρέσκοντο τῇ συναφείᾳ τε καὶ συμφωνίᾳ, καὶ ταῦτα εἰδώς, ὑπερεῖδε μὲν τὸν φυσικὸν νόμον, ὑπερεῖδε δὲ καὶ τὸν πνευματικόν (ἑκάτερος γὰρ ἄκυρον ἀποφαίνει τὴν συνάφειαν, τῶν τεκόντων οὐ φερόντων τὴν ἐπιτρέπουσαν ψῆφον), ὁ τοιοῦτος ὑπόδικος ἔστω. Εἰ δὲ ἄρα μακρῷ χρόνῳ, τῆς γάμου νομικῆς ἡλικίας τῶν παίδων ἐπιτηδείας οὔσης, ὑπερετίθεντο οἱ γονεῖς, καὶ τὴν ἀνάγκην αὐτοὶ παρέσχον, καὶ μὴ βουλομένων αὐτῶν, ἐλθεῖν τοὺς παῖδας εἰς συνάφειαν, τηνικαῦτα καὶ τὸν τοιοῦτον γάμον ὁ νόμος οὐκ ἄκυρον τίθησι, καὶ ὁ ἱερεὺς παρὼν καὶ ἁγιάζων τὸν γάμον οὐδεμιᾶς αἰτίας ἐστὶν ἔνοχος· λαμβάνει δὲ ὁ τοιοῦτος γάμος τὸ κῦρος, κριτοῦ τὴν ὑπόθεσιν ἐπιτηροῦντος, καὶ τῆς τῶν τεκόντων κακουργίας τῶν παίδων τὴν φύλαξίν τε καὶ ἔννομον θέλησιν ἐπίπροσθεν ποιουμένου.

Ἀλλὰ περὶ μὲν τοῦ πρώτου[3] Πρεσβυτέρου ταῦτα τὸ δίκαιον ὑπαγορεύει. Οὐδ' ὁ δεύτερος δὲ τὴν σκέψιν ἁπλῆν ἐπιδέξεται· ἀλλ' εἰ μὲν ἠγνόει τὸ πρότερον συνοικέσιον, οὐδεμίαν ἔνοχός ἐστι δίκην ὑπέχειν· τῶν γὰρ τεκόντων παρόντων τοῖς συναπτομένοις, πολλὴ ῥοπὴ ἀθωώσεως βραβεύεται τούτῳ, τοῦ μὴ πρὸς ἔρευναν τῶν προγεγονότων καταστῆναι, καὶ λογοθετεῖν ἃ ἡ παρουσία τῶν τεκόντων λογοθετεῖν οὐκ ἐδίδου. Εἰ δὲ ᾔδει μὲν τὴν προγεγενημένην συνάφειαν, καὶ ὅτι σαρκικῶς ὡμίλησαν ἀλλήλοις, ἐπεὶ οὐχ οἷόν τέ ἐστι διαστάντας τῆς προτέρας συζυγίας, ἐξ ἀνάγκης τινὸς ἀγάμους κατέχειν, ἀλλ' ἢ πορνείαις ἐκδιαιτηθήσονται, ἢ νομίμῳ γάμῳ δοθήσονται,[4] τελείως μὲν ὁ ἁγιάσας τὸν γάμον οὐ πεπαύσεται τῆς ἱεραρχίας,[5] ἐπιτιμίοις δέ τισι μετριωτέροις ὑποβληθήσεται· ὅτι δὴ τῆς προγεγενημένης συναφείας περιφανεστάτης γενομένης, τὸ δὲ τῆς πορνείας ἔγκλημα μὴ

---

[1] Τοῦτ' ἔστιν, ἠπατήθη, ἐκ μεταφορᾶς ἀπὸ τῶν ἀπάτῃ τῷ ἀγγίστρῳ περιπειρομένων ἰχθύων.

[2] Ἡμ. διόρθ. ἀντὶ—ἑκουσίως.

[3] Ἐκ διορθ. Ῥογήρου ἡ προσθήκη τῆς λέξεως "πρώτου."

[4] Ῥόγηρος εἰκάζει γραπτέον εἶναι—δεθήσονται—ὅπερ ἄμεινον.

[5] Γραπτέον ἴσως "τῆς Ἱερωσύνης·" οὐ γὰρ περὶ Ἐπισκόπου, ἀλλὰ περὶ Πρεσβυτέρου ὁ λόγος· ἐρεῖ δὲ καὶ εὐθὺς παρακατιών, "ὁ δεύτερος δὲ (Πρεσβύτερος) ζημιωθήσεται τὴν Ἱερωσύνην."

Digitized by Google

διαφευγούσης, ἐτόλμησεν οὗτος τοὺς ἐπὶ προδήλῳ τῆς ἁμαρτίας ἐγκλήματι ἁλόντας, ὡς καθαροὺς καὶ ἀμέμπτους, τῆς ἱερατικῆς ἀξιῶσαι εὐλογίας, καὶ τοῖς τῶν παρθένων στεφάνοις τοὺς ταύτην κακῶς ἀποθεμένους κοσμῆσαι. Εἰ μέντοι εὐδοκίᾳ τῶν γονέων ὁ πρῶτος γάμος ἐγένετο, εἶτα διέστησαν παραλόγως, ὁ μὲν πρῶτος Πρεσβύτερος παντελῶς τὸ ἠθωωμένον ἕξει· ὁ δεύτερος δέ,[1] εἴτε παρῆσαν οἱ γονεῖς, εἴτε μή, ζημιωθήσεται τὴν Ἱερωσύνην· ἔκθεσμον γὰρ καὶ παράνομον συνάφειαν οὔτε σύννευσις καὶ παρουσία πατέρων [νόμιμον ποιεῖ[2]], οὔτε ἀνάνευσις καὶ ἀπουσία οὔμενουν ἀθώωσιν τῆς βεβηλώσεως οὐκ ἂν μεταστήσῃ.

---

[1] Ἡμ. διόρθ. ἡ προσθήκη τοῦ—δέ.

[2] Ῥόγηρος μὲν εἰκάζει ἐκπεσεῖν ἐνταῦθα τοῦ κειμένου τὸ ῥῆμα "ποιεῖ·" ἐγὼ δὲ μετὰ τούτου καὶ τὸ ἐπίθετον "νόμιμον," ὅπως ἔχῃ τὸ ἑξῆς· "οὔτε ἡ σύννευσις καὶ παρουσία τῶν γονέων νόμιμον ποιεῖ τὸν ἔκθεσμον καὶ παράνομον γάμον, οὔτε ἡ ἀνάνευσις καὶ ἀπουσία μεταστῆσαι δύναται τὴν ἀθώωσιν τῆς βεβηλώσεως." Καὶ ταῦτα μέν, ὡς ἄν τις ἐκ τοῦ Ἑλληνικοῦ κειμένου νοεῖν ἔχοι· ἡ δὲ Λατινικὴ μετάφρασις τὰς ἀντιθέτους ἀνταλλάξασα ὀνομαστικάς, ἀμφοτέρας εἰς τὸ ῥῆμα "ποιεῖ" ἀπέδωκε, καὶ πάλιν ἀμφοτέρας εἰς τὸ δεύτερον ῥῆμα "μεταστήσῃ" δίδωσιν ἐννοεῖσθαι· ἔχει γὰρ οὑτωσί· "Nam alienum a legibus sacris conjugium, nec absentia et dissensus parentum facit, nec praesentia et assensus, aut quod profanatum est sanctitati restituit·" ἀλλ' ἡ τοιαύτη αἰτιολογία οὐδαμῶς, οἶμαι, συνᾴδει τῷ αἰτιολογουμένῳ "εἴτε παρῆσαν οἱ γονεῖς, εἴτε μή."

Digitized by Google

ΦΩΤΙΟΥ ΕΠΙΣΤΟΛΑΙ.

ΜΕΡΟΣ Β'.

ΠΑΡΑΙΝΕΤΙΚΑΙ.

ΕΠΙΣΤΟΛΗ ΠΕ'.—85.

Σεργίῳ Πρωτοσπαθαρίῳ ἀδελφῷ.[1]

Ἔλεγχος ἄκρατος εἰς δύο περιΐσταται ταῦτα· ὃ μὲν βούλεται ποιεῖν, οὐ περαίνει, καὶ οἷς μὴ βούλεται, περιπίπτει· βούλεται μὲν γὰρ εἰς μετάνοιαν τὸν ἐλεγχόμενον ἄγειν· ἀλλὰ τοῦτο μὲν οὐκ ἐξανύει· περιΐσταται δὲ αὐτῷ τὰ τῆς σπουδῆς εἰς τοὐναντίον· ἐκτραχύνει γὰρ μᾶλλον καὶ εἰς ἀπόνοιαν περιτρέπει, ἑαυτόν τε δίδωσι νομισθῆναι, ὡς οὐχὶ φιλανθρώπῳ γνώμῃ καὶ συμπαθεῖ διαθέσει, ἐπιχαιρεκακοῦντα δὲ τῷ πταίσματι τοῦ πλησίον τοῖς ὀνείδεσιν ἐπεμβαίνειν. Δι' ὃ συνετῶς ἄγαν καὶ σοφῶς, καὶ Νάθαν ὁ προφήτης τῷ Δαβίδ,[2] καὶ Μιχαίας τῷ Ἀχαάβ,[3] ὑπὸ προσωπείῳ τοὺς ἐλέγχους προσενηνόχασιν, ἅμα μὲν πραοτέροις ὑπολεαίνοντες λόγοις, ἅμα δὲ καὶ διὰ τοῦ ἀγνοεῖν, εἰς ὃ τείνει καὶ ἀφορᾷ τὸ τοῦ δράματος, αὐτοὺς ἐκείνους κριτὰς ἀδεκάστους τῶν παρὰ σφίσιν αὐτοῖς ἡμαρτημένων λαμβάνοντες. Διὰ τοῦτο γὰρ καὶ ὁ μὲν ἤνυσε τὸ πᾶν (ἄνδρα γὰρ ἀρετῆς ἐραστήν, εἰ καὶ παρωλισθηκότα, ἐν νουθεσίᾳ διήλεγξεν), ὁ δέ, ὡς πρὸς τηλικοῦτον θηρίον, εἰ καὶ μὴ ὁμοίως, ἀλλ' οὖν μεγάλα ἐξήνυσεν· εἰς ἄλγος γὰρ καὶ δάκρυα παραυτίκα, εἰ καὶ πρὸς τὰ τῆς δυσσεβείας μετ' ὀλίγον ἐπαλινδρόμησε, συνέστειλεν αὐτοῦ τῆς γνώμης τὸ ἀπονενοημένον καὶ φυσώμενον. Καὶ σὺ τοίνυν, ἐν οἷς ἡ χρεία καλεῖ, ἐπιεικείᾳ κιρνῶν τοὺς ἐλέγχους, καὶ ὑπὸ προσφόρῳ παραπετάσματι τοῖς νουθετουμένοις προσφερόμενος, μᾶλλον ἐξανύσεις τὸ σπουδαζόμενον.

---

[1] *Ἡ αὐτὴ καὶ ἐν τῇ Μιγνίου ἐκδόσει τῶν Φωτίου ἐπιστολῶν (στήλῃ 965)· ἐν δὲ τῇ Μοντακ. συλλογῇ Ἐπιστ. Σ'.*

[2] *Β'. Βασιλειῶν, κεφ. ΚΒ'.*

[3] *Οὐ Μιχαίας, ἀλλ' Ἠλίας ἦν ὁ τὸν Ἀχαὰβ ἐλέγξας (Γ'. Βασιλ. κεφ. ΚΑ'). Περὶ δὲ τῶν διαφορῶν τούτων, ἃς καὶ ἀλλαχοῦ τῶν Φωτίου ἐπιστολῶν ἔστιν ἰδεῖν, ὅρα τὰ ἐν Ἐπιστολῇ ΟΑ' (σελίδ. 394) σημειωθέντα.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΠΣΤ'.—86.

Θεοδώρῳ Μητροπολίτῃ Λαοδικείας.[1]

Εἰ στάδιόν ἐστιν ὁ παρὼν βίος, ἐπάθλων δὲ ἡ ἐκεῖθεν πολιτεία, μὴ θαύμαζε, εἰ τῶν δικαίων τινὲς ἐνταῦθα ταλαιπωρίαις παλαίουσιν, ἀλλὰ μᾶλλον, εἴ τινες τῶν ἀγώνων καὶ ἄθλων τὸν καιρὸν καὶ τόπον στεφάνων ἡμέραν καὶ ἀναῤῥήσεως βῆμα νομίζουσιν.

ΕΠΙΣΤΟΛΗ ΠΖ'.—87.

Τῷ αὐτῷ.[2]

Νῦν καιρός, ὦ φίλε, εἰ βούλει δέ, καὶ τέκνον ἡμέτερον, ἢ τὰς ἐξ ἀνθρώπων ἀπειλὰς οὐ δεδιότα, στερῤῥὸν ὀφθῆναι τῆς ἀληθείας ὑπέρμαχον, καὶ λαμπρᾶς τυχεῖν τῆς ἐκεῖθεν εὐφημίας καὶ ἀναῤῥήσεως, ἢ προσκαίρῳ καὶ ῥεούσῃ ἡδονῇ καὶ δόξῃ προδότην τῆς ἀϊδίου καὶ εἶναι καὶ ὀνομάζεσθαι.

ΕΠΙΣΤΟΛΗ ΠΗ'.—88.

Τῷ αὐτῷ.[3]

Ἅπερ ἀκούομεν περὶ σοῦ, εἰ μὲν ἀληθῆ εἰσιν, ὀψὲ καὶ μόλις γινώσκομεν, ὅστις εἶ· εἰ δὲ ψευδῆ, ἀπ' ἀρχῆς ἔγνωμεν ἄρα, ὅστις εἶ. Ὅσῳ οὖν διαφέρει καλὸν καὶ ἀγαθὸν εἶναι τοῦ φαῦλον καὶ μοχθηρὸν γενέσθαι, κἀμὲ χαίρειν ἀντὶ τοῦ δυσφορεῖν, ἐφ' ᾧ σε φίλον ἐποιησάμην, τοσοῦτον δεῖ σε φυγεῖν ἃ σέ φασι ποιεῖν. Εἴη δὲ πάντων ἕνεκα τῆς ἀληθείας ἔρημος[4] ἡ φήμη.

ΕΠΙΣΤΟΛΗ ΠΘ'.—89.

Τῷ αὐτῷ.[5]

Οἶδα πολλοὺς τῶν πιστῶν ἀνδρῶν καιρὸν ζητοῦντας, ἐφ' ὃν τῆς οἰκείας ἀρετῆς τὸ

---

[1] *Ἡ αὐτὴ καὶ ἐν τῇ Μιγνίου ἐκδόσει* (στλ. 825)· *ἐν δὲ τῇ Μοντακ. συλλογῇ Ἐπιστ. Μ'.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 828)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. Ο'.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 828)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΖ'.*

[4] *Ἡμ. διόρθ. ἀντὶ—ἤρεμος—παρ' ἀμφοτέροις τοῖς ἐκδόταις, καὶ τῆς Λατινικῆς μεταφράσεως οὐκ ἀπαδούσης* "veritate destituta."

[5] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 836)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΜ'.*

Digitized by Google

μέγεθος ἐπιδείξαιντο, καὶ τοὺς μάρτυρας μακαρίζοντας, ὅτι τυράννων ἔσχον ὠμότητα τὴν ἀνδρίαν αὐτῶν εἰς αἰῶνα στηλιτεύουσαν. Ἐφέστηκεν οὗτος ὁ καιρός, εἰ καὶ πλέον, ἢ ὅσον ἂν καὶ ὁ γενναιότατος ἤλπισεν· πείθομαι δέ, ὡς τελευταῖον καὶ μέγιστον τῆς ἰδίας ἀσθενείας καὶ τοῦ θράσους ὁ τῇ σῇ γενναιότητι ἐπαρθεὶς προσενεχθῆναι ἀείμνηστον τὸν ἔλεγχον δώσει· καὶ τὴν σὴν στερρότητα καταπλαγείς, καὶ τῶν λοιπῶν ἐκτραπήσεται τὴν πεῖραν· ὡς ἅμα δύο τὰ μέγιστά σε δι' ἑνὸς ἀγῶνος κατορθῶσαι, νικηφόρον τε ἀναρρηθῆναι, καὶ τοῖς ἀδελφοῖς τῶν ἐπικρεμαμένων κακῶν τὴν ὑπερβολὴν καὶ τοὺς πολλοὺς πόνους ἰδίοις ἄθλοις κουφίσαι.

ΕΠΙΣΤΟΛΗ Ϟ'.—90.

Τῷ αὐτῷ.[1]

Γενναίων ὄντως ἀνδρῶν τὸ στάδιον δεῖται· μηδεὶς εἰσίτω θηλυδρίας· ἂν δ' εἰσεπήδησε, θᾶττον ἀποστήτω ἢ τῆς γνώμης ἢ τῶν παλαισμάτων· οὐ γὰρ τῶν τοιούτων οἱ πόνοι. Ἀλλὰ μηδ' ὁ χρυσῷ τὸν βίον βεβαρημένος, μηδ' ὁ πρὸς κενὰς δόξας ἀνεπτερωμένος· τὸν γὰρ πρὸς τὰς τοῦ σώματος ἡδονὰς ἐπτοημένον οὐδ' ἀποδύσασθαι πρὸς τὸν ἀγῶνα νομίζω· ἀλλὰ καὶ εὔχομαι πόρρω καθεστάναι, εἰ μὴ προλαβὼν ἐπλήρωσεν ἡμῶν ἐκεῖνος τὴν εὐχήν.

ΕΠΙΣΤΟΛΗ Ϟ Α'.—91.

Τῷ αὐτῷ.[2]

Μελέτη μὲν μήτηρ εὐπραξίας, ὁρμὴ δ' ἀπερίσκεπτος ἐγγὺς ἁμαρτίας. Οὐ χρὴ τοιγαροῦν ἀφέντας τὸ βουλεύεσθαι ἐπ' ἐκεῖνο δραμεῖν, δι' οὗ μετὰ τοῦ μηδέν, ὧν σπουδάζομεν, ἀνύειν καὶ ἀνοίας ἔλεγχον ἁλισκόμεθα διδόντες.

ΕΠΙΣΤΟΛΗ Ϟ Β'.—92.

Ζαχαρίᾳ Μητροπολίτῃ Χαλκηδόνος.[3]

Εἰ μὲν ἐγὼ τὸν ἐμὸν Ζαχαρίαν ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι· ἀλλ' ἡμῶν, ὡς

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 836)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΜΑ'.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 845)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡϞΔ'.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 829)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΣΤ.*

Digitized by Google

ἔοικεν, ἐκεῖνος (οὐ γὰρ ἔχω, τί μετριώτερον εἴπω[1]) ἐπιλέλησται. Οὐ γὰρ ἂν ἡμᾶς ὑπετόπαζεν ἀνθρώπων λόγοις τῆς περὶ αὐτὸν δόξης, ἣν ἐκ παλαιοῦ φυλάττομεν, παρασύρεσθαι· ὁ δὲ καὶ φοβεῖται διὰ ταῦτα φόβον, ἐν οἷς οὐ μόνον οὐκ ἔστι φόβος, ἀλλ' οὐδέ τις φόβου τοῖς ἡμᾶς ἐγνωκόσιν ὑπόνοια. Εἰ γὰρ ἡμᾶς ὁ μακρός, ὃν ἐκ παιδὸς σχεδὸν ἔγνωμέν σε, χρόνος, καὶ ὁ πολύς, καὶ οὗ μέγα κλέος, ὑπὲρ ἡμῶν, μᾶλλον δὲ Χριστοῦ καὶ τῶν αὐτοῦ θεσπισμάτων, ἀγὼν καὶ δρόμος οὔπω πεῖραν ἔχειν τῆς σῆς ἐνεγύμνασεν ἀρετῆς, οὐκ οἶδ' ὅπως ἡμεῖς τε οὐχὶ κακοὶ μετὰ τοῦ ἀνοήτου δόξαιμεν ἄν, καὶ οἱ δεδιότες, μή τι πάθοιμεν τοιοῦτον, τὸ μὴ ἀγνοεῖν ἡμᾶς οὐ φυγόντες, ἄλλο τι[2] πλὴν τοῦ χειρίστους εἰπεῖν εὑπορήσουσιν. Ἀλλὰ τούτων τε ἕνεκα θάῤῥει, καὶ ἡμᾶς, ὥσπερ τοῖς ἄλλοις, οὕτω καὶ τῷ μὴ παρασύρεσθαι τοὺς λογισμοὺς ὑφ' ἑτέρων, ἐπιγίνωσκε· ἵνα μὴ διὰ μιᾶς οὐ προσηκούσης ὑπολήψεως ἡμᾶς τε, καὶ σαυτὸν μᾶλλον, ἐν αἰτίᾳ ποιήσῃς μεγάλῃ· καὶ τοὺς ἀδελφούς, εἴ τι ἄρα καὶ ἀνθρώπινον αὐτοῖς ὑποτρέχει πάθος, τοῖς σοῖς ἀνερεθιζομένους προτερήμασιν, ἀδελφικῶς φέρε καὶ διαβάσταζε· οὐ γὰρ ἐφ' οἷς ἡμᾶς εὐχαριστεῖν δεῖ, ἄλλοις ἀπεχθάνεσθαι χρή· οὐδ' ἐξ ὧν ἔστι λαβεῖν ἀπόδειξιν λαμπρὰν τοῦ πρωτεύειν ἡμᾶς, διὰ τούτων ὀφείλομεν πρὸς τοὺς αἰτίους δυσανασχετεῖν, καὶ τὸ ἄλογον πάθος εἰς εὔλογον αὐτοῖς ἀπολογίαν μεταποιεῖν. Ἀλλὰ καὶ τῶν εἰρημένων ἄλλο[3] ἴσθι τοῦτο· "ὅτι ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν·"[4] καὶ πάντων δὲ μάλιστα ἐκεῖνο διὰ βίου μελέτην ποιοῦ· τὸ ποῖον; ὅτι "ἡ ἀγάπη οὐκ ἀσχημονεῖ." Ἐρεύνα καλῶς, τί ποτέ ἐστι τὸ "οὐκ ἀσχημονεῖ·" βάθος γὰρ ἄφατον εὑρήσεις ὠφελείας· εἶτα, διὰ τί οὐκ ἀσχημονεῖ; ὅτι "οὐ ζητεῖ, φησί, τὰ ἑαυτῆς, ἀλλὰ καὶ πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει." Ὑψηλὰ μὲν καὶ ταῦτα ἀνέχεσθαι βάρη, καὶ βελτίωσιν ἀεὶ καὶ μεταβολὴν ἐπὶ τὸ κρεῖττον ἐλπίζειν τοῦ πλησίον· τί δὲ ἄλλο ἡ[5] Παύλου σοφία, πλοῦτος, καὶ χάρις; "ἡ ἀγάπη, φησίν, οὐδέποτε ἐκπίπτει."[6] Ὦ μακαρίας φωνῆς καὶ μακαριωτέρου στόματος, καὶ κρείσσων ἐγκωμίων καὶ θαύματος γνώμη! οὐδέποτε, φησίν, ἐκπίπτει. Κἂν στασιάζωσιν ἄλλοι, κἂν χαίρωσι μάχαις, κἂν τὰ πρῶτα ζητῶσι, κἂν φθόνος αὐτοὺς ἀνερεθίζῃ, κἂν χειρῶν ἄρχωσιν ἀδίκων, κἂν τὰ ἄνω στρέφωσι κάτω, οὐδέποτε ἡ ἀγάπη τῆς οἰκείας ἕδρας καὶ ἀρετῆς ἐκπίπτει, οὐδ' ἀπογινώσκει, οὐδ' ἀποστρέφεται τοὺς λελυπηκότας· ἀλλ' ἀεὶ προφάσεις ἐπιζητεῖ, καὶ πάντα κινεῖ καὶ μεθοδεύει, δι' ὧν αὐτοὺς καὶ ἀποσκιρτῶντας εἰς τὸν οἰκεῖον τῆς συναφείας καὶ ἑνώσεως συναγελάζει λειμῶνα. Ταῦτα, τέκνον ἡμέτερον ἐν Κυρίῳ, μελέτα,

---

[1] *Περιττὴ πάντως ἡ Μοντακ. διόρθωσις "εἰπεῖν."*

[2] *Ἐκ διορθ. Μοντακ. ἀντὶ—ἀλλ' ὅτι.*

[3] *Ἡμ. διόρθ. ἀντὶ—ἄλλον—ὃ δὲ Μοντακ. εἰκάζει, προσθετέαν εἶναι τὴν πρόθεσιν ἐκ πρὸ τῆς Γεν. "τῶν εἰρημένων" περιττὸν ἔμοιγε δοκεῖ.*

[4] *Παῦλος πρὸς Ῥωμ. ΙΕ', 1.*

[5] *Ἡμ. διόρθ. ἀντὶ—ὦ.*

[6] *Α' πρὸς Κορινθ. ΙΓ', 4—8.*

Digitized by Google

καὶ τούτοις ἑαυτὸν ῥύθμιζε κατεπάδων· οὐδὲν γάρ, εὖ ἴσθι, τῶν παναρίων[1] *τούτων εὑρήσεις ὠφελιμώτερον. Τὰ δ' ἄλλα ἔρρωσο, ἱερώτατε, τῆς ἡμῶν ὑπερευχόμενος μετριότητος.*

ΕΠΙΣΤΟΛΗ ΡΓ'.—93.

Τῷ αὐτῷ.[2]

Χάρις Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ ἐπὶ πᾶσι παρακαλοῦντι ἡμᾶς, τῷ καὶ τὰς γενναίας τῶν φύσεων, ἐπειδὰν τῆς οἰκείας ἀρετῆς μικρὸν ἀποκλίνωσι, θᾶττόν τε συνορᾷν δυναμοῦντι[3] *τὸ ὀλίσθημα, καὶ πρὸς τὸ οἰκεῖον καὶ εὐγενὲς ἐπανατρέχειν ἀξίωμα.* [4]*Ος καὶ νῦν οὐ τῇ τῶν ἡμετέρων λόγων, ὡς ἂν αὐτὸς φαίης, δυνάμει καὶ παραινέσει, ἀλλὰ τῆς οἴκοθεν καὶ ἐξ αὐτοῦ σοι παρασχεθείσης μεγαλονοίας τῇ ῥώμῃ, τὸ χυδαῖον μὲν καὶ ταπεινὸν τῶν λογισμῶν ἐχαρίτωσέ σε διαπτύσασθαι, εἰς*[4] *δὲ τὸ προσφυὲς καὶ κατάλληλον μέγεθος τῆς ἀρίστης προαιρέσεως καὶ τῆς ἄλλης πολιτείας ἐκ τοῦ ῥᾴστου ἐπανήγαγεν· ἐν οἷς εἴης μοι, κἂν μυρίους κύβους ἡ τῶν πραγμάτων ἀναῤῥίπτοι περιπέτεια, αὐτὸς διὰ παντὸς ἐν ἀκλονήτῳ τῆς ἀγάπης ἑστηριγμένος φρονήματι. Ἔρρωσο, τέκνον ἡμέτερον ἱερώτατον.*

ΕΠΙΣΤΟΛΗ ΡΔ'.—94.

Τῷ αὐτῷ.[5]

Γράφεις ἡμᾶς γραφήν, ἣν κἂν ἑτέρου γράφοντος, δίκαιος αὐτὸς ἦσθα τοῦτον διώκειν ἀδίκου γραφῆς· καὶ γράφεις ἀπολογίαν, μηδενός σε διώξαντος δίκην· καίτοι συγγνώμη πᾶσα καὶ ἀπολογία μακρῷ τῷ μέτρῳ τῆς κατηγορίας διέστηκεν· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἔλεον αἰτεῖν, καὶ λόγον ἀδικημάτων ἀπαιτεῖν· ὥστε μὴ πρότερον αἰτίαν ἔχων, εὗρες ἀπολογούμενος, δι' ὧν σεαυτὸν μακροτάτων λόγων ἔδειξας χρεώστην.[6] *Οὐκ ἐπεκαλεσάμην*[7]

---

[1] *Ἐκ τοῦ Λατιν.* panarium=*ἀρτοθήκη, ὅθεν τὸ κοινῶς λεγόμενον παναίριον. Ἴδε τὴν λέξιν ἔν τε τῷ Ἕλλην. Λεξικῷ Σκ. Βυζαντίου καὶ ἐν τῷ Λατινικῷ Στεφ. Κουμανούδη.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 832)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΖ'.*

[3] *Μοντακ. διορθοῖ "καὶ ἐνδυναμοῦντι·" ἀλλὰ περιττὴ πάντως ἡ διόρθωσις.*

[4] *Ἡμετ. διόρθ. ἀντὶ—ἐχαρίτωσέ σε διαπτύσασθαι. Εἰ δὲ τὸ προσφυὲς καὶ κατάλληλον κ.τ.λ.*

[5] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 853)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚΑ'.*

[6] *Οὕτω διώρθωσα τὸ ἐξ ἡμαρτημένης. οἶμαι, τῆς ὑποστίξεως ἀκατάληπτον τοῦτο χωρίον· ἐγέγραπτο γάρ· "οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἔλεον αἰτεῖν, καὶ λόγον ἀδικημάτων ἀπαιτεῖν, ὥστε μὴ πρότερον αἰτίαν ἔχων· εὗρες ἀπολογούμενος, δι' ὧν σεαυτὸν μακροτάτων λόγων ἔδειξας χρεώστην."*

[7] *Ἴσως γραπτ. ὀρθότ.—ἐνεκαλεσάμην,*

Digitized by Google

ὅλως· καὶ τῶν Αἰσώπου λόγων οὐδὲν μετριωτέραν ὁρῶ τὴν ἀπολογίαν· οὐχ ἥμαρτον, οἶμαι· καὶ τῶν εἰς Σωκράτην ἐμπαροινησάντων ἀναισχυντοτέραν ὁρῶ τὴν κατηγορίαν. Καὶ ὑπὲρ μὲν σεαυτοῦ εἰς ἀέρα δέρων ἐπύκτευσας·[1] καθ' ἡμῶν δὲ ὀξὺν μὲν καὶ σφοδρὸν τὸν δρόμον, ἀλλ' ἐπισφαλῆ καὶ ἀναίτιον διηγώνισαι· ἡ γὰρ τῶν ἐπαίνων αὔξησις οὐ μόνον οὐδὲν παραιτεῖται,[2] ὧν ὑβρίσμεθα, ἀλλὰ καὶ ἐπὶ τὸ μεῖζον ἄγει τὰ ἐγκλήματα. Πίπτουσι μὲν γὰρ γεωργοί, καὶ ναῦται καὶ στρατιῶται, καὶ παλιγκάπηλοι· ἀλλ' ἐάν τις τὸ ἐκείνων πτῶμα φίλῳ ἀληθείας περιάπτοι, ἢ στρατηγῷ, ἢ Ἀρχιερεῖ Θεοῦ, ἢ ἁπλῶς ἀνδρὶ τῶν πολλῶν ταῖς ἀρεταῖς τὸ ἐξαίρετον ἔχοντι, βαβαί, ἡλίκον οὗτος διὰ μηχανῆς κατασκευάζων ἀποφαίνει τὸ ἀτόπημα. Οὕτω τοῖς ἐπαίνοις ὡς ἀνωτάτω φέρων ἡμᾶς, εἰς τὸ βαθύταερρίψας, ἄνδρας ἐπηρεάζειν ἡμᾶς καὶ κακῶς ποιεῖν αἰτιώμενος, οἷς οὐδὲν αἰτίας[3] διαπέπρακται, καὶ τότε[4] συμφοραῖς μυρίαις, καὶ, τὸ βαρύτατον, ὑπὲρ ἀληθείας περιαντλουμένους, καὶ πάντας τῶν παθῶν τῷ μεγέθει, καὶ αὐτοὺς τοὺς ἐπιτιθεμένους, εἰς ἔλεον ἕλκοντας. Τίς γὰρ ὁ τοῖς τηλικούτοις οὐ λέγω θλίψεις ἐπινοῶν, ἀλλὰ μὴ καὶ σφόδρα καμπτόμενος, οὐκ ἄδικος, οὐκ ὠμός, οὐ τὸν νοῦν καὶ τὴν φύσιν βάρβαρος, οὐ πᾶσαν περιῃρημένος λογικήν τε καὶ ἀνθρωπίνην μετὰ τῆς δυνάμεως αἴσθησιν;

Εἶεν· ἀλλ' ἔδει σε, φησί, μετακαλεσάμενόν με ψυχαγωγῆσαι· ἤ, εἰ μὴ τοῦτο, τὸ γοῦν δεύτερον, ὠρμημένον ἐπιτρέψαι παραγενέσθαι· τὸ δὲ μηδέτερον προβῆναι τούτων πῶς οὐ τοῖς ἐσχάτοις με περιβάλλει κακοῖς, καὶ πρὸς μῖσος ἀπάγει καὶ αὐτοῦ τοῦ ζῆν; Ἀλλ', ὦ καλὲ καὶ ἀγαθέ, εἰ μὲν ἠγνόεις, ὅση καθ' ἡμῶν ἡ κοινὴ τῶν διωκόντων κέχυται λύσσα, καὶ οἵας πανταχοῦ γῆς σχεδὸν καὶ θαλάσσης τὰς ἐπιβουλὰς ἱστῶσι καὶ τὰ ἔνεδρα,[5] τάχ' ἂν εἰς ἄλλας προφάσεις ἔσχες λόγον ἀναφέρειν, ὧν ἐβούλου, τὴν ἀποτυχίαν, καὶ ἐπαιτιᾶσθαι,[6] ὅτι μὴ στέργω στεργόμενος· τὸ δὲ καὶ γινώσκειν αὐτῇ πείρᾳ ταῦτα, καὶ ἐκτραγῳδεῖν κἀν τοῖς γράμμασιν, εἶτα ζητεῖν αἰτίαν ἄλλην, διὰ τί μὴ μετάπεμπτόν

---

[1] Τὸ μὲν "ἀέρα δέρειν" παροιμία ἐστί, ἐπὶ τῶν ματαιοπονούντων, καὶ ἄλλως λεγομένη—κατὰ πετρῶν σπείρειν — εἰς οὐρανὸν τοξεύειν — εἰς πῦρ ξαίνειν — εἰς τετρημένον ἀντλεῖν πίθον — καθ' ὕδατος γράφειν — εἰς ὕδωρ σπείρειν — δικτύῳ ἄνεμον θηρᾶν — ἀνέμῳ διαλέγεσθαι κ.τ.λ. Ἡ δὲ φράσις δηλ "εἰς ἀέρα δέρων ἐπύκτευσας" ἐκ Παύλου εἴληπται λέγοντος· "ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων." (Α' πρὸς Κορινθ. Θ', 26.)

[2] Ἡμ. διόρθ. ἀντὶ—παραιτεῖσθαι.

[3] Γραπτ. ἴσως—αἰτίας ἄξιον.

[4] Καὶ ἐνταῦθα τὸ—καὶ τότε—ἀντὶ τοῦ "καὶ ταῦτα"=καὶ μάλιστα, ὡς καὶ ἀλλαχοῦ ἡμῖν σεσημείωται. (σελ. 160, σημ. 2.)

[5] Κυρίως μὲν ἔνεδρον (τὸ) οὐδέτερόν ἐστι τοῦ ἐπιθέτου ἔνεδρος (=ὁ ἔν τινι τόπῳ ἑδρεύων ἢ κατοικῶν)· ὡς οὐσιαστικὸν δὲ ἀντὶ τοῦ ἐνέδρα (ἡ) μόνον ἐν ταῖς Γραφαῖς εὕρηται. "Καὶ ἔγνω Ἰωνάθαν, ὅτι ἔστιν ἔνεδρον κατόπισθεν αὐτοῦ·" (Α', Μακαβ. Γ', 80)—"καὶ ἐξανέστησαν ἐπ' αὐτοὺς ἀπὸ τοῦ ἐνέδρου" (αὐτ. Θ', 40)—"ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον." (Πράξ. ΚΓ', 16.)

[6] Ἡ Μοντακ. διόρθωσις "μὴ ἐπαιτιᾶσθαι" οὐκ ἔῤῥωται πάντως· ἀλλ' ἴσως ἐκεῖνος ἐγεγράφει "μοι ἐπαιτιᾶσθαι·" τοῦτο γὰρ οὐκ ἄτοπον· ἡ δὲ τοῦ ἀντιγραφέως ἢ τοῦ τυπωτοῦ ἀβλεψία τὴν ἀντωνυμ. μοι εἰς τὸ ἐπίῤῥημα μὴ μετέβαλεν.

Digitized by Google

σε πεποιήμεθα, μηδ' ἐλθεῖν ἐξητηκότι κατενεύσαμεν, οὐ ζητοῦντός ἐστιν αἰτίαν, ἀλλὰ τὴν ἀληθεστάτην καὶ πρὸ ὀφθαλμῶν παρορῶντος, καὶ προφάσεις ἐκμηχανωμένου, δι' ὧν, οὗμενουν, οὐκ ἔχοντας αἰτίαν, δόξαις οὐκ ἂν[1] ἀναισχύντως λίαν κακῶς εἰπεῖν.

Ἀλλ' ἡ μὲν περὶ ἡμᾶς σκηνὴ καὶ τὸ θέατρον τοιαύτην ἔλαχε τὴν ὑποβάθραν· τὰ δ' ἄλλα σπουδὴν ὁρῶ παιδιᾷ[2] σπενδομένην, καὶ κατήφειαν γέλωτι, καὶ κωμικὸν χορὸν ᾄδοντα δάκρυα. Τὸ μὲν γὰρ ὀδύρεσθαι τὰ συμβεβηκότα, καὶ πρὸς πάθη καὶ νόσους καὶ τύχας καταφεύγειν, ψυχῆς ἐστιν ὀλοφυρομένης, καὶ σπουδαζούσης ἀληθῶς, εἴ τι καὶ προσείληφε τῶν κηλίδων ἀπονίψασθαι· τὸ δ' ἄλλον μὲν λέγειν τὸν ἡμαρτηκότα, ἕτερον δὲ τὸν ὑπὲρ ἐκείνου λέγοντα, ἵνα μὴ λέγω τέως—τί οὖν ὑπὲρ ἑτέρου κόπτεις σεαυτόν; τί δέ σοι μέλει τοῦ κατὰ μηδέν σοι προσήκοντος;[3] ἔα τοῦτον ἐν αἰτίαις εἶναι, καὶ, εἰ δέοι,[4] στρεβλοῦσθαι, καὶ μαστιγοῦσθαι, καὶ πάσχειν, ἃ πάσχειν ἄξιος, κακὸν περὶ σὲ φανέντα, καὶ μικροῦ τὴν ἀρετὴν ἐνυβρίσαντα—ἵνα οὖν μηδὲν τῶν τοιούτων λέγω (ἴσως γὰρ οὐδὲ δεῖ σπουδάζειν ἐν παικτοῖς), ἀλλ' ἐκεῖνο πάντως εἰπεῖν πρεπωδέστατον, ὡς ἐκείνης ἐστὶ τῆς σοφίας τοιαύτας φέρειν τὰς ἀπολογίας, ἧς Ἀριστοφάνης ὁ καλὸς κορυφαῖος καθέστηκεν.[5] Ἀλλ' οὔπω τοῦτο χάριεν, καίτοι νὴ τὴν χάριν Φιλιστιώνιον ὄν·[6] ἀλλ' ἐκεῖνο χαριέστατον, τὸ παίξαντα τὴν ἀπολογίαν, ὡς ἐπὶ λίαν ἐσπουδασμένοις, καὶ τὸ δίκαιον λαμπρὸν ἐπιδεδειγμένοις, ὅρκον τε ἐπάγειν, καὶ διαπυνθάνεσθαι ὡς, ἆρ' ἔστι τις ἀνθρώπων, ἄλλου πταίσαντος, ἕτερον τὴν δίκην ἀξιῶν πράττεσθαι; οὐ γὰρ τὴν Ἀριστοφάνους μόνον σοφίαν, ἀλλὰ καὶ παντὸς ἐκείνου τοῦ γένους τέχνας πάσας καὶ πάσας μεθόδους τῇ καινοπρεπείᾳ τοῦτο δὴ τὸ σὸν ἀποκρύπτεται φιλοσόφημα. Ἀλλ' εἰ μὲν ἦν μὴ προτεθειμένος ὅρκος, μέχρι τοῦ θαυμάζειν τὴν κωμικὴν παιδιὰν ἐμαυτὸν ἐδίδουν ἂν καὶ τὰ δράματα· ἐπεὶ δὲ καὶ Θεός, οὐ δέον, μέσῳ παιδιᾶς συμπροτέθειται, ἀνάγκη καὶ μὴ βουλόμενον λέγειν τἀληθῆ.

Ἔνοχον μὲν οὖν προηγησαμένης αἰτίας οὐκ ἄν σε φαίην· οὐδ' ἂν πάλιν παντελῶς ἀνυπαίτιον, ἕως ἂν τὴν σὴν διάνοιαν διὰ τῶν σῶν φωνῶν λευκότερον ἀναμάθωμεν· ὅτι δὲ οὐδένα ποτὲ τῶν πώποτε ἀνθρώπων ἡ τοιαύτη παιδιὰ δίκης ἐῤῥύσατο, καὶ μάλιστ' ἂν διαβεβαιωσαίμην· καὶ ὡς οὐκ ἔστιν οὐδεὶς τῶν ἡμαρτηκότων, ἐκ τοῦ παίζειν, ὡς ἄλλος μὲν

---

[1] Ἴσως γραπτέον—δόξαις ἂν οὐκ ἀναισχύντως.

[2] Ἡμ. διόρθ. ἀντὶ—παιδία.

[3] Ἐκ διορθ. Μιγνίου ἀντὶ—προσέκοντος.

[4] Ἡμ. διόρθ. ἀντὶ—καὶ εἰ δέ σοι στρεβλοῦσθαι.

[5] Τῆς κωμικῆς δῆλον ὅτι.

[6] Φιλιστίων ὁ Νικαεὺς μιμογράφος σύγχρονος μὲν ἐγένετο Σωκράτει· λέγεται δ' ἐκ γέλωτος ἀποθανεῖν σφοδροῦ, ὡς καὶ τὸ εἰς αὐτὸν ἐπίγραμμα δηλοῖ·

Ὁ τὸν πυλυστένακτον ἀνθρώπων βίον
Γέλωτι κεράσας Νικαεὺς Φιλιστίων,
Ἐνταῦθα κεῖμαι λείψανον παντὸς βίου,
Πολλάκις ἀποθανών, ὧδε δ' οὐδὲ πώποτε.

Ἴδε Φαβρικ. Ἑλλην. Βιβλιοθ. Τόμ. Β', σελ. 480· ἔκδ. Harles, καὶ Analecta Vet. poet. Graec. ed. R. F. Ph. Rrunck (Tom. III, p. 263,)

Digitized by Google

ἥμαρτεν, ἄλλος δὲ τὰς ποινὰς οὐκ ἔστι δίκαιος ὑπέχειν, μὴ δεδωκὼς ἃς ὤφλεν εὐθύνας· οὐ μὴν ἀλλ' οὐδὲ τῶν κρινόντων εἴη ἄν τις ὅλως, ὃς ἀφῆκε τὸν τοιαύτην σκηνὴν ἀντὶ τοῦ στένειν ἐφ' οἷς ἥμαρτε προβεβληκότα. Καί μοι, πρὸς αὐτῆς δίκης καὶ ἱερῶν ἀληθείας ὀργίων, ῥίψας τὴν σκηνήν, καὶ τὰ ὄντα λέγων (ἐμοὶ γὰρ μᾶλλον οἰκειότερον ἢπερ ἄλλοις τοιαῦτα προτείνειν), ἆρα φήσαις ἂν ἐνοχῆς εἶναι δικαίας ἐκτὸς[1] τόν, εἴ τις, ὑπὲρ ὧν ἐξυβρίσοι,[2] ταύτην τὴν σὴν προβαλλόμενον δικαιολογίαν; ἀλλ' οὐκ ἂν φαίης, οὐδ' ἂν φαίης. Ἀλλὰ ταῦτα μέν, ἵνα τε μὴ δόξωμεν ὁρκωθέντες σιγᾷν, καὶ τὰ ψεύδη πρὸ τῆς ἀληθείας τιμᾷν, καὶ ἵνα μᾶλλον ἐπιγνῷς, ὡς ἡδέως τε καὶ οὐ παρέργως τὴν σὴν ἀνελεξάμην ἐπιστολήν.

Δι' ὃ καὶ τὴν σὴν γραμματικὴν ἀκρίβειαν παραινῶ μηκέτι τὸ ῥῆμα τοῦτο[3] Δοτικῇ συντάσσειν, πλὴν εἰ μήπω περιπεποιημένην ἡ ἔννοια σύνταξιν ἀπαιτοίη· τότε γὰρ ἔξεστι καὶ πρὸς Δοτικὴν ἀποδιδόναι, δηλοῦντα τῷ λόγῳ, ὡς οὐχὶ σὲ παραινεῖν, ἕτερον δὲ διὰ τῆς παραινέσεως, τό σοι ποιῶν κεχαρισμένον, προῆγμαι βελτιοῦν. Καὶ δὴ καὶ τὸ δίκην ὑφ' ἑτέρου εἰσπράττεται ἀντὶ τοῦ παρ' ἑτέρου[4] παραφυλακτέον· βάρβαρα μὲν γὰρ οὐ λέγω τὰ τοιαῦτα, βαρβαρικὰ δέ· καὶ αὐτὸς συνήσεις ἐπιστήσας· ἃ καὶ τὴν ἐπιστολήν, κεκαλλιεπημένην οὖσαν, ὑπενόθευεν. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν ταῦτα.

Ἐγὼ δὲ Ζαχαρίαν τὸν ἐμόν, οὐκ ἀρχόμενος νῦν (ἄπαγε·) φείδεσθαι, οὐδὲ τοῦ κολάζειν πεπαυμένος, οὐδὲ δυσωπηθεὶς νόσους καὶ πάθη καὶ τύχας καὶ περιστάσεις, οὐδ' ἐπιβουλάς τε καὶ κακώσεις, μικροῦ τὰς Φαλάριδος ἀνεκτοτέρας δεικνύσας, ἀλλὰ τὴν ἔμφυτον ἐμοὶ καὶ ἀρχαίαν διασώζων γνώμην, καὶ τὸ καθαρὸν καὶ ἀκήρατον περὶ τοὺς ἐμοὺς οὐκ ἐπιλελησμένος φίλτρον, καὶ περιπτύσσομαι πατρικῶς, καὶ ἐναγκαλίζομαι ἱεροπρεπῶς, οὔτε τῷ πάλαι σφαλέντι, ὡς σὺ γράφεις, ἐπεμβαίνων, καὶ τὸν ἄσειστον διαμεμενηκότα στέργων καὶ καταspaζόμενος ἐν σπλάγχνοις Χριστοῦ. Καὶ δέχομαι προσιόντα χαίρων, καὶ πάντας κινδύνους ὑπερορῶν, οὐ τραγικῶν ἡμῖν διηγημάτων ἄγοντα φόρτον, ἀλλὰ τὸν οἰκεῖον νοῦν, καὶ τὴν ἑαυτοῦ ψυχὴν προσύλου πάσης ἀχλύος φέροντα καθαράν· ἐν ᾗ τὸ βέβαιόν τε καὶ ἀμετακίνητον διὰ βίου ἔχοντά τε καὶ ἱδρυσάμενον τοῖς ἐκεῖθεν στεφάνοις λαμπρὸν λαμπρῶς εὔχομαι παραπεμφθῆναι.

---

[1] Ἡμ. διόρθ. ἀντὶ—ἐνοχῆς εἶπε δικαίας αὐτὸς—ὅπερ Μοντακ. διορθωτέον εἶναι εἴκασεν "ἐνοχῆς εἶναι δικαίας αὐτόν."

[2] Γραπτέον ἴσως—ἐξυβρίσειεν—ἀλλ', ὡς πολλάκις εἴπομεν, συνηθέστατον τοῖς τότε τῷ Μέλλοντι χρῆσθαι ἀντὶ Ἀορίστου.

[3] Τὸ "παραινῶ" δῆλον ὅτι· καὶ ὅμως ἡ μετὰ Αἰτιατικῆς καὶ Δοτικῆς σύνταξις τῶν παραινετικῶν ῥημάτων πολλῷ τῆς μετὰ διπλῆς Αἰτιατικῆς ἦν συνηθεστέρα (Ἴδε Ἀσωπίου "περὶ Ἑλλην. συντάξεως" σελ. 189 καὶ 192).

[4] Ἴδε καὶ περὶ τούτου αὐτ. σελ. 589.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ϞΕ'.—95.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας.[1]

Εἰ δῆλόν ἐστιν, ὡς, εἴ τις νουθετεῖ δόξης θήραν πραγματευόμενος, ἄξιός ἐστι μεγάλης μέμψεως, οὐδὲν καινὸν οὐδ' ἀνέλπιστον, εἴ τις νουθετῶν κακῶς ἀκούει καὶ διασύρεται. Διὰ τοῦτο μηδ' αὐτὸς θαυμάσῃς, εἰ Πετρώνιος νουθετούμενος τραχυτέρους λόγους κατὰ τῆς σῆς ἀφίησι τελειότητος· μηδὲ διὰ τοῦτο[2] *μήτε τῆς εἰς ἐκεῖνον μήτε τῆς εἰς ἄλλους ὀφειλομένης ὑπερόρα παραινέσεως· ἐπεὶ δόξοιμεν ἂν*[3] *πρὸ ἐκείνων αὐτοὶ ἑαυτοὺς ἀξίους ἀποφαίνειν ἐπιτιμήσεως, καὶ τὴν ἄλογον αὐτῶν μομφὴν εἰς αἰτίαν μεταποιεῖν ἀξιόλογον.*

ΕΠΙΣΤΟΛΗ ϞΣΤ'.—96.

Εὐθυμίῳ Μητροπολίτῃ Κατάνης.[4]

Γενέσθαι μὲν ἐμοὶ σχολήν, ὥστε τὰ σὰ διηγεῖσθαι, ἐπεύχομαι· γενέσθαι δέ, ὥστε μηδ' ἀκοῦσαι, προέλαβες. Τί οὖν αἰτιᾷ,[5] *ὅτι μηδ' ἅπερ ἤλπισα, ἤκουσα, καὶ ὅτι σιγὴν ἐθέμην, οἷς μηδὲ τὴν ἀκοὴν ἡδέως ἠνέῳξα; ἀλλ' εἰ, διότι ὅλως τὴν ἀκοὴν τῶν τοιούτων ὑπέμεινα, τῆς περὶ φίλους ὀλιγωρίας γραφὴν ἔνοχος γράφεσθαι, τί ἂν δράσειαν οἱ τοιαῦτα δεδρακότες, δι' ὧν καὶ τοὺς φίλους τῆς ὑπὲρ αὐτῶν ἐν τῷ λέγειν παῤῥησίας ἀπεστέρησαν, καὶ τῶν δυσμενῶς ἐχόντων τὰς γλώσσας, οὐ καθ' ἑαυτῶν μόνον, ἀλλὰ καὶ κατ' ἐκείνων, οἵ ποτε τῶν πεπλησιακότων ἦσαν, ἠκόνησαν; Τί οὖν δεῖ ποιεῖν; Σόν ἐστιν (ὦ—πῶς σε προσείπω;) καὶ ἡμῖν ὑπὲρ σοῦ (εἴθ' ὄφελες!) τὴν παῤῥησίαν, ἣν εἴχομεν, ἀποδοῦναι, καὶ μηδὲν ἀκούειν ἀηδὲς περὶ σοῦ, ἀλλὰ καὶ τοὺς κακῶς σε λέγοντας νῦν ἐπιστομίσαι, εἰς τὴν ἀρχαίαν ἐπαναδραμόντα κατάστασιν.*

ΕΠΙΣΤΟΛΗ ϞΖ'.—97.

Γρηγορίῳ Ἀρχιεπισκόπῳ Συρακούσης.[6]

Ὅσα πρὸς καταρτισμὸν τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἡ Ἀρχιερατικὴ ὑμῶν διαπράττεται

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 845)· *παρὰ δὲ Μοντακ.* Ἐπιστ. ΡϞΘ'.

[2] *Ἡμ. διόρθ. ἀντὶ—τούτου.*

[3] *Ἡμ. διόρθ. ἀντὶ—δόξομεν ἄν.*

[4] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 837)· *παρὰ δὲ Μοντακ.* Ἐπιστ. ΡΜΗ'.

[5] *Ἡμ. διόρθ. ἀντὶ—αἰτιᾷς·—ἀποθετικὸν γὰρ ὂν τὸ ῥῆμα τοῦτο οὐδαμοῦ ἐν τύπῳ ἐνεργητικῷ εὕρηται. ἢ καὶ παρὰ Μιγνίῳ* (στλ. 832)· *παρὰ δὲ Μοντακ.* Ἐπιστ. ΡΙΑ'. Ὁ δὲ Γρηγόριος, *πρὸς ὃν ἡ*

Digitized by Google

Ὁσιότης ἄνωθεν καὶ ἐξ ἀρχῆς τὴν ἡμετέραν ἔχει[1] συμφωνοῦσαν μετριότητα· δι' ὅπερ οὐ δεῖται συνεχοῦς ἐπὶ τούτοις ὑπομνήσεως, μάλιστά γε νῦν, ὅτε φωνῆς ἁπάσης λαμπρότερόν τε καὶ τελειότερον ἀναδιδάσκουσιν ἡμᾶς τὰ ἀλλήλων, καὶ εἰς μίαν γνώμην καὶ τὸ αὐτὸ συνάπτουσι φρόνημα ὅ τε κοινὸς ὑπὲρ Χριστοῦ διωγμός, καὶ τὰ κοινὰ πάθη καὶ ἀνιστόρητα, οἷς ἐναθλεῖν διὰ τὴν συντήρησιν τῶν Δεσποτικῶν ἐντολῶν καὶ παραφυλακὴν ἀξιούμεθα. Ἔντεινε τοίνυν καὶ κατευοδοῦ, χειροθετῶν τε καὶ ἱεροτελῶν, καὶ τὸ ποίμνιον αὔξων καὶ πληθύνων Χριστοῦ, ναούς τε σεπτοὺς ἐγείρων καὶ τελεσιουργῶν· ἄλλως τε[2] καὶ καιροῖς τοιούτοις, ἐν οἷς ἱερεῖς τε καὶ ἱερωσύνη, τὸ μέρος ἐκείνων τῶν τρισαθλίων, σεσίγηται, καὶ ἐξ ἀνθρώπων ἠφάνισται, ναῶν τε ἐρημία καὶ πόρθησις ἀντὶ τῆς πρὶν εὐκοσμίας τὸ Ῥωμαϊκὸν κατέχει πολίτευμα, καὶ μονονουχὶ τὰ Χριστιανῶν ἐκ βάθρων αὐτῶν ἀνατέτραπται· οἷς τίς ἀξίως ἄλλος ἢ Ἱερεμίας ἐπιστενάξειε, δυνατὸς ὢν οἰκείοις θρήνοις τηλικαύτης ἐρημίας ἐκτραγῳδῆσαι καὶ παραστῆσαι μέγεθος; Ἀλλὰ ταῦτα μὲν καὶ σιωπώμενα κέκραγεν· Σὺ δέ μοι τά τε ἄλλα ἔῤῥωσο, καὶ τῆς ἡμῶν ὑπερεύχου μετριότητος.

ΕΠΙΣΤΟΛΗ ϞΗ'.—98.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας.[3]

Οὐδὲν θαυμαστόν, εἰ μὴ τοῖς δικαίοις ἅπαντες χαίρουσιν· ἀλλ' ἐκεῖνο θαυμαστὸν ἂν ἦν, καὶ λίαν ἐνδίκως, εἰ πάντες ὑπ' ὀφθαλμοῖς τῆς δίκης ἐπολιτεύοντο· ἀγαπητὸν δ' ἐμοί, κἂν οἱ πλείους εἶησαν (ὅπερ οὐκ ἔστι) φίλοι τοῦ δικαίου· μερίδα μὲν γὰρ ὀλίγην ὁρῶ ῥέπουσαν εἰς δικαιοσύνην, τὸ δὲ πλῆθος ἐπισύρεται ἡ ἀδικία. Ὅτε τοίνυν οὕτως ἔχει ταῦτα, τί δήποτε ἀλύεις σὺ καὶ ἀσχάλλεις, ὅτι τὸ δίκαιον, οἷς ἐστιν οἰκεῖον, ἀπονέμων, ὑπὸ τῶν τὰ δίκαια μισούντων τὴν ἴσην ὕβριν ὑπομένεις; τοὐναντίον γὰρ ἐχρῆν σε σκυθρωπάζειν, καὶ ζητεῖν λύσιν εὑρεῖν τοῦ λυποῦντος, εἰ οἱ τῆς δίκης ἐχθροὶ σοὶ φίλην ἐχαρίζοντο γλῶσσαν.

παροῦσα ἐπιστολή, ἐκεῖνος δή ἐστιν, ὃς πολλὴν μὲν ἡμῖν λόγου παρέσχεν ἀφορμήν (ἴδε Προλεγ. § κδ' καὶ κζ'), πολλὰ δὲ μετὰ Φωτίου συνήθλησεν, ὑπὲρ τῆς ἀληθείας καὶ τοῦ δικαίου συναγωνιζόμενος ἐκείνῳ, καὶ τούτου ἕνεκεν οὐχ ἧττον ἢ Φώτιος αὐτὸς ὑπὸ τῶν ἐν Ῥώμῃ Παπῶν τότε καταδιωκόμενος, καὶ ὑπὸ τῶν Παπιστῶν ἔτι καὶ νῦν Φωτίῳ συνεξυβριζόμενος.

[1] Ἡμ. διόρθ. ἀντὶ—ἔχεις.

[2] Ἐκ διορθ. Μοντακ. ἀντὶ—ἀλλ' ὥστε.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 837)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΟΓ'.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ϟΘ'.—99.

Θεοκτίστῳ Ἡγουμένῳ.[1]

Ἐπαίνει τὰς ἀρετάς· μὴ θαύμαζε δὲ κατὰ πρόσωπον τοὺς σοὺς μαθητὰς μετιόντας αὐτάς· τὸ μὲν γὰρ προτροπὴ καὶ παράκλησις ἀγαθοεργίας ἐστί, τὸ δὲ καὶ σὲ κολακείας οὐχ ἵστησι μακράν, καὶ πρὸς οἴησιν τοὺς θαυμασθέντας, ἢ μαλακίαν τοῦ τόνου τῆς ἀρετῆς, εἴωθεν ὑποχαλᾷν· δι' ὧν τὸ γλυκὺ τῶν κατὰ Θεὸν πόνων πέφυκεν ἐπικαταῤῥεῖν, καὶ αἱ τῆς σαρκὸς ἀναζωπυροῦνται ἡδοναί.

ΕΠΙΣΤΟΛΗ Ρ'. —100.

Θεοδώρῳ Ἡγουμένῳ.[2]

Οὐχ ὁ τὸ ῥεῦμα τῶν λόγων ἐν γλώσσῃ πηγάζων ἤδη καὶ χεῖρα δραστήριος, ὥσπερ οὐδ' ὁ πράξει κρατῶν καὶ τὴν τῶν ῥημάτων πειθὼ σοβαρευομένην ἔχει τοῖς χείλεσιν. Καὶ πολλὰ μὲν ἄλλοις εἰπεῖν ἔχω καὶ παντοδαπὰ παραδείγματα· πρὸς σὲ δὲ γράφων τὸν Ὁμηρίζοντα, ἓν ὑποδείξας ἀρκεῖν ἡγοῦμαι. Λιμὸς ἐπόνει τὸ στρατιωτικόν, οἳ τὴν σὴν Τροίαν[3] πολιορκοῦντες περιεκάθηντο· καὶ ὁ μὲν Ὀδυσσεὺς σῖτον αἰτήσων πρὸς Ἄνιον[4] ἀπεστέλλετο· ἐθάῤῥει γὰρ αὐτοῦ τῇ γλώσσῃ τὸ Ἀχαϊκόν· ὁ δὲ παραγεγονώς,

. . . ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσι[5]

πλεῖστα ἐπομβρήσας, καὶ τούτοις κατακλύσας τὸν ἄνθρωπον, οὐ μόνον, ὧν ἤλπισεν, οὐδὲν ἐγεώργησεν, ἀλλὰ καὶ ὀχληρὸς εἶναι δόξας ὑπέστρεψεν, ἄπορον[6] τὴν ζωὴν τοῖς εἰς αὐτὸν κεχηνόσι ποιησάμενος. Παλαμήδης δὲ ἐκεῖνος (οἶδας τὸν ἄνθρωπον, ὅσον Ὀδυσσέως ἀφωνότερος) τὴν πρεσβείανμετὰ τὸν λιγὺν ἐκεῖνον ἀγορητὴν[7] ἐθάῤῥησεν ὑποδύσασθαι· καὶ καταλαβὼν τὸν Ἄνιον ἐργαζόμενον, εἶπε μὲν οὐδέν· ἀποβαλὼν δὲ τὸ ἱμάτιον, κοινωνὸς τοῦ ἔργου ἐγίνετο. Ἐπεὶ δὲ μετὰ τοὺς πόνους τὸ δεῖπνον ἐκάλει, τῷ ἀνθρώπῳ

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 864)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΛΒ'.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 865)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΜΒ'.

[3] Δῆλον ἐντεῦθεν, ὅτι πατρὶς ἦν τῷ Θεοδώρῳ ἡ Τροία.

[4] Ὁ Ἄνιος οὗτος, υἱὸς ὢν τοῦ Ἀπόλλωνος καὶ τῆς Κρεούσης, μάντις ἦν ἐν Δήλῳ καὶ βασιλεύς. Ἴδε Diction. of Gr. and Rom. Mythol. by Smith.

[5] Ἰλιάδ. Γ, στ. 222. Περὶ δὲ τῆς πρεσβεύσεως ταύτης τοῦ Ὀδυσσέως ἴδε Οὐϊργιλ. Γ', 80 κ. ἑξ.

[6] Οὐκ οἶδ' ἀνθ' ὅτου Μοντακ. διορθοῖ τοῦτο—ἄσπορον—ἴσως δὲ ἀναγκαίαν ἐνόμισεν εἶναι τὴν διόρθωσιν διὰ τὸ προηγούμενον " ἐγεώργησεν."

[7] Ὁμηρικὸν καὶ τοῦτο. Ἰλιάδ. Α, 248· Β, 246· καὶ Τ, 82.

Digitized by Google

συνηρίστησε· καὶ τότε βραχὺ ῥῆμα προήνεγκεν,[1] *ὡς ἦκε σῖτον αἰτήσων στρατῷ φίλῳ καὶ λιμώττοντι· καὶ τυχὼν ἀπῆει χαίρων, καὶ φέρων τοῖς ὁμοφύλοις ἀντὶ λόγων τὴν ὠφέλειαν. Καὶ σὺ τοίνυν μὴ πάντα θάῤῥει τοῖς λόγοις· βραχὺ γὰρ ἔργον σιγῶντος μετὰ συνέσεως μακροὺς ἐπιστομίζει λόγους πολλάκις, καὶ οὐδὲν τῶν ψόφων καὶ τῶν ἀσήμων φωνῶν πλέον ἔχειν ἐπιδείκνυσιν.*

ΕΠΙΣΤΟΛΗ ΡΑ'.—101.

Τῷ αὐτῷ.[2]

Τὴν Αἰσώπου γνώμην,[3] *ἣν ἀπέδωκε, διερωτήσαντος τοῦ Λακεδαιμονίου Χίλωνος (ἐξ ὧν γὰρ ποθεῖς ναμάτων τὸν τῆς παραινέσεώς σοι κιρνῶ κρατῆρα), μὴ μόνον εὐστόχως καὶ σοφῶς εἰρημένην, ἀλλὰ καὶ χρησιμωτάτην λίαν νόμιζε. Ἔστι γάρ, ἔστιν ἐπ' αὐτῶν τῶν πραγμάτων ἰδεῖν ἐναργῶς, ὡς ὁ ἄῤῥητος*[4] *καὶ ἀναλλοίωτος νοῦς ἐπαίρει μὲν συνεχῶς (ὅπερ ἐκεῖνος ἔφησεν) εἰς ὕψος τὰ ταπεινά, κατάγει δὲ εἰς ταπεινότητα τὰ ὑψηλά. Καὶ τοῦτο συνεχῶς διαμελετῶν, κἂν ἄνω δοκῇς ἑστάναι, σκόπει τὰ κάτω καὶ ταπεινά, ἵνα μὴ ἀθρόον καὶ παρ' ἐλπίδας πεσὼν εἰς ἀμηχανίαν ὅλως καταστῇς, καὶ ἰλιγγιῶντι καὶ περιδινουμένῳ ἐοικώς, γέλωτα μὲν κινήσῃς (ὦ φύσις ἀνθρώπων τάλαινα!) τοῖς σὲ νῦν ἐν κολακείᾳ μακαρίζουσιν, ὥσπερ λύπην ἡμῖν, τοῖς ἐν παῤῥησίᾳ συμβουλεύουσι τὰ χρηστά· πολλὰ δὲ καταγινώσκων ἑαυτοῦ*[5] *τῆς προτέρας τῶν παραινούντων ὑπεροψίας, οὐδὲν πλέον ἀνύσεις, πλὴν τοῦ τῶν καιρῶν ὀπίσω μεταγινώσκειν καὶ δυσφορεῖν.*

ΕΠΙΣΤΟΛΗ ΡΒ'.—102.

Βαρνάβᾳ μονάζοντι.[6]

Τί θρηνεῖς πενίαν; δίκαιος οὐκ ἐγκαταλιμπάνεται. Ἀλλ' Ἰὼβ ἐγκατελείφθη· ἀλλ'

---

[1] *Καὶ τοῦτο Μοντακ. διορθοῦται—προσήνεγκεν· ἀλλ' ἄμεινον τὸ τοῦ χειρογράφου "προήνεγκεν" ἐκ τοῦ προφέρω.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 865)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΜΓ'.*

[3] *Ταύτην ἱστορεῖ Διογένης ὁ Λαέρτιος (Βιβλ. Α', 69)· ὅτι ἐρωτηθεὶς ὁ Αἴσωπος, τί οἱ Θεοὶ ποιεῖν οἴδασιν, ἀπεκρίνατο, "τὰ μὲν ὑψηλὰ ταπεινοῦν, τὰ δὲ ταπεινὰ ὑψοῦν·" παρὰ δὲ Στοβαίῳ (ΡΕ', 61) ἄλλως πως ἱστορεῖται· "Αἴσωπος ἐρωτηθεὶς ὑπό τινος τῶν ἐν ἐξουσίᾳ, τί οἱ Θεοὶ πράττουσι, τὰ μὲν οἰκοδομεῖν, ἔφη, τὰ δὲ πάλιν καταβάλλειν." Ἴδε καὶ Κοραῆ Προλεγ. εἰς τοὺς Αἰσωπ. μύθους (σελ. έ—στ).*

[4] *Ἄῤῥηκτος—τοῦτο διορθοῦται Μοντακ., οὐδὲν δέον.*

[5] *Ἡμ. διόρθ. ἀντὶ—ἑαυτόν.*

[6] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 884)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΜΑ'.*

Digitized by Google

ἵνα καὶ τὸν πονηρὸν εἰς κράτος νικήσῃ, εὐπαθείᾳ καὶ βίου εὐροίᾳ τὴν αὐτοῦ καθαρὰν εὐσέβειαν καπηλεύειν ἀναισχυντήσαντα, καὶ ἵνα πλέον ὢν ἐγυμνώθη ὀφθείη περιβαλλόμενος. Ἀλλὰ καὶ Παῦλος, φησίν, ἐν λιμῷ καὶ δίψει διεβίω, καὶ ψύχει καὶ γυμνότητι·[1] *ἀλλ' ἐκών. Ἀλλ' ἀρκεῖ σοι Παῦλον ἔχειν ἀντὶ παντὸς πλούτου καὶ πάσης εὐδαιμονίας εἰς παράδειγμα.*

ΕΠΙΣΤΟΛΗ ΡΓ'.—103.

Σωφρονίῳ μονάζοντι.[2]

Ὥσπερ αἱ ἀπὸ τῶν τραυμάτων οὐλαὶ τοὺς τόπους ἐκείνους, καθ' οὓς ἐνεσκιῤῥώθησαν,[3] *καὶ μετὰ τὴν ὑγείαν εὐπαθεῖς καὶ νοσώδεις παρασκευάζουσιν, οὕτω καὶ οἱ ἐν τῇ ψυχῇ τῶν ἁμαρτημάτων μώλωπες καὶ μετὰ τὴν θεραπείαν εὐπαράδεκτον αὐτὴν καὶ ἑτοίμην πρὸς τὴν καταστίξασαν ἁμαρτίαν ἀπεργάζονται. Φεῦγε τοίνυν ἐν νεότητι κατὰ πᾶσαν σπουδὴν τὰ ἁμαρτήματα· ὅτι συμβάν σοι τούτοις περιπαρῆναι,*[4] *κἂν τῆς πληγῆς σὺν πόνῳ πολλῷ ἀπαλλαγείης;*[5] *ἀλλ' οὖν οἱ τύποι τῶν στιγμάτων καὶ οἱ χαρακτῆρες οὐδὲ μέχρι γήρως*[6] *σχολάσουσιν ἐρεθίζοντες· καὶ τῶν οἰκείων καὶ συγγενῶν παθῶν ἐπιδεικνύντες τὸ εἴδωλον, οὐ χαλεπῶς σε πρὸς τοῦτο διαμορφώσουσιν.*

ΕΠΙΣΤΟΛΗ ΡΔ'.—104.

Ἀρσενίῳ Μοναχῷ.[7]

Πολλοὶ καὶ τῶν παρ' Ἕλλησιν εὐδοκιμησάντων καὶ τῶν παρ' ἡμῖν ἀριστευσάντων ἐμαρτύρησαν δι' ὧν ἔδρασαν ἄμαχον εἶναι καὶ χρησιμώτατον τὴν ἀρετήν. Εἰ δ' ὁ παρὼν

---

[1] *Β' πρὸς Κορινθ. ΙΑ', 27.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 885)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΜΒ'.*

[3] *Ἐνεσκιῤῥώθησαν=ἐνεξηράνθησαν, ὡς ὁ σκίῤῥος ἐν τῷ ξύλῳ ἢ ἐν τῷ σώματι· σκίῤῥωμα γὰρ κατὰ Κοραῆν (Ἀτάκτ. Τόμ. Α', σελ. 138 καὶ Τόμ. Δ', σελ. 523—4)="ὄγκος σκληρός, ὅστις εἰς μὲν τὰ φυτὰ ὀνομάζεται ὄζος (κοιν. ῥόζος), εἰς δὲ τὸ σῶμα τοῦ ἀνθρώπου λέγεται ἀπὸ τοὺς ἰατροὺς καὶ σκίῤῥος καὶ σκίῤῥωμα καὶ πῶρος." Ἴδε καὶ Λεξ. Σκ. Βυζαντίου ἐν λ. ἐνσκιῤῥόω καὶ σκίῤῥος.*

[4] *Ἴδε τὰ περὶ τούτου σημειωθέντα ἐν Ἐπιστ. ΠΔ'.*

[5] *Ἐκ διόρθ. Μοντακ. ἀντὶ—ἀπαλλαγείς·—ἄμεινον μέντοι ἐγέγραπτο ἂν "ἀπαλλαγῇς·" ἀλλ' εἴρηται πολλάκις ἡμῖν ἐν τοῖς ἔμπροσθεν, ὡς ἡ τῶν Ἐγκλίσεων χρῆσις πρὸς τὴν τῆς ἐννοίας χρείαν, ἀλλ' οὐ πρὸς τὴν τοῦ μορίου κανονικὴν σύνταξιν ἐξ ἐκείνου ἐγίνετο, ὥσπερ δὴ καὶ παρ' ἡμῖν γίνεται. Δι' ὃ καὶ ἡ Εὐκτικὴ ἐνταῦθα, ὡς περὶ δυνατοῦ ὄντος τοῦ λόγου.*

[6] *Ἡμετ. διόρθ. ἀντὶ—γήρους.*

[7] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 941)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΝΘ'.*

Digitized by Google

καιρὸς μονονουχὶ βοᾷ, ὡς οὐδὲν ἀσθενέστερον καὶ ἐπικινδυνότερον αὐτῆς (ἐλαύνεται μὲν γὰρ καὶ προπηλακίζεται πᾶσα ἀρετή, θαυμάζεται δὲ καὶ περιπτύσσεται πᾶσα κακία), μηδὲν θαυμάσῃς. Ἀρετὴ γὰρ ὡς ἀληθῶς, καὶ ἀρετῆς τῆς πρώτης μάλιστα ἄνθος, τὸ μετὰ κινδύνων καὶ θλίψεων καὶ παρευδοκιμουμένην ὑπὸ τῆς κακίας ἀσπάζεσθαι τὴν ἀρετήν· ὁ δὲ καιρὸς βοῶν τἀναντία, τῆς μὲν ἰδίας μοχθηρίας τὴν ὑπερβολὴν καὶ ἀπόνοιαν λαμπρῶς ἐλέγχει, τῶν δὲ σπουδαίων μᾶλλον τὸ ἀξιοθαύμαστον καὶ ἀήττητον παντὸς λόγου ἐναργέστερον ἀνακηρύττει.

ΕΠΙΣΤΟΛΗ ΡΕ'.—105.

Ἀρσενίῳ Μοναχῷ, Πρεσβυτέρῳ καὶ Ἡσυχαστῇ.[1]

Ἦν καιρὸς τοῦ γράφειν, ὥσπερ νῦν τοῦ σιγᾷν, ὅτε πᾶσα μὲν γαλήνη διὰ πάσης ἐκέχυτο πολιτείας, ἀρετῆς δέ, τῆς νῦν γελωμένης, ἐθαυμάζετο τὸ χρῆμα· καὶ εὐσέβεια μὲν τὸ κράτος εἶχεν, ἀλήθεια δέ (ποῦ νῦν ἀπῆρες;) καὶ γλώσσῃ καὶ ἀκοαῖς ἐπαῤῥησιάζετο· ὅτε τὸ πολιτικὸν ἐν εὐθυμίαις ἐπανηγύριζε σωφρονούσαις, καὶ ὁ φιλόσοφος βίος, πρὸς τὴν τῶν ἁγίων ἀνδρῶν ἀνατεινόμενος μίμησιν, ἀξιοζήλωτος ἐνομίζετο· τὸ δὲ[2] ἱερατικὸν καὶ Ἀρχιερατικὸν οὐχ οὕτω διὰ τῶν τελεστικῶν συμβόλων, ὥσπερ ἀπὸ τῶν κατορθωμάτων, οἷς περιέλαμπον τοὺς μυουμένους,[3] ἐγνωρίζοντο. Νῦν δὲ τί γράφω; θρήνους; ἀλλ' ὁ συμπαθέστατος Ἱερεμίας προλαβὼν ἡμᾶς τοὺς θρήνους ἀπέδωκεν· οὐ γὰρ ἐκείνων τὰ νῦν ἀνεκτότερα. Ἀλλὰ στεναγμούς; καὶ τίνες, ἢ ποῖοι, τηλικαύτῃ φορᾷ δυσχερῶν ἐπαρκέσουσιν; τῶν δακρύων ἄλλο ἐπ' ἄλλο πάθος προκαλούμενον τὸ ῥεῖθρον, τὰς πηγὰς ἀνεξήρανεν. Τὰ ἅγια βεβηλοῦται· τὰ ἱερὰ συμπεπάτηται· τὸ πανάγιον Πνεῦμα (ὦ χειλέων δυσσεβῶν καὶ διανοίας δυσσεβεστέρας!), ὥσπερ τι τῶν ἐκ τριόδου, δυσφημεῖται καὶ διασύρεται· ἐρημία, καὶ ὄρη, καὶ σπήλαια, καὶ τῆς γῆς ἐσχατιαὶ τοὺς ἱερεῖς Θεοῦ καὶ Ἀρχιερεῖς, ὅσους μὴ προκατελάβοντο πικραὶ φυλακαὶ καὶ ὑπερόριοι φυγαδεῖαι, μόλις διασώζουσιν. Καὶ οὕπω λέγω τὰ ἄλλα· οὐδὲ γὰρ οὐδ' ἀποδύρεσθαι τὰ συνέχοντα πάντα (ὃ μόνον ἦν, ὡς ἐν τηλικούτοις κακοῖς, τῶν συμφορῶν παραμύθιον) ὁ ἐπηρτημένος τῶν ἀπειλῶν φόβος ἐνδίδωσιν. Ταῦτα

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 897)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΠΓ'. Ἔστι δὲ καὶ αὕτη τῶν ῥητορικωτάτων Φωτίου ἐπιστολῶν, τά τε δεινὰ καὶ τοὺς διωγμούς, οὓς μετὰ τῶν φίλων αὐτῷ Ἀρχιερέων καὶ τῶν ἄλλων Κληρικῶν ὑφίστατο, περιπαθῶς ἐκτραγῳδοῦσα, καὶ εὐσεβείας καὶ πάσης ἀρετῆς ἔμψυχον εἰκόνα τὸν γράφοντα καταδεικνῦσα· οὔτε γὰρ καταρᾶται τῶν διωκόντων αὐτούς, οὐδ' ἄλλως ἀσχημονεῖ, οὐδ' ἀθυροστομεῖ ἀδικούμενος· ἀλλὰ τῶν καιρῶν δείξας τὸ χαλεπόν, καὶ τὴν τῆς Ἐκκλησίας μάλιστα κατοδυρόμενος ἔκπτωσιν, τὴν εἰς Θεὸν πίστιν καὶ ἐλπίδα μόνην προβάλλεται τῶν κακῶν ἀπαλλαγήν· καὶ τῷ εὐσεβεστάτῳ Μοναχῷ παραινεῖ διὰ προσευχῶν ἐξευμενίσαι τὸν πλάστην τῷ πλάσματι, αὐτοῦ τε τοῦ ὑπὲρ ἡμῶν παθόντος δεόμενον, καὶ τὴν ἀειπάρθενον αὐτοῦ μητέρα μετὰ τοῦ χοροῦ τῶν μαρτύρων εἰς μεσιτείαν συμπροβαλλόμενον.

[2] Ἡμ. διόρθ. ἡ προσθήκη τοῦ—δέ.

[3] Ἡμ. διόρθ. ἀντὶ—μυομένους·—γνωστὸν δέ, ὅσον διαφέρουσιν ἀλλήλων τὰ ῥήματα—μύω καὶ μυέω· οἷς δ' ἀγνοεῖται τοῦτο, τὰ Λεξικὰ διδασκέτωσαν.

Digitized by Google

γράφω· ἀλλ' ἔχεις τὴν τούτων γνῶσιν, ὥσπερ ὄψει, καὶ ἀκοῇ. Οὕτω δὲ συμπάσχων Χριστῷ καὶ αὐτῇ τῇ πείρᾳ ἔχω τί γράψω. Στῆθι πρὸς Θεόν, ἐξευμενίζων τὸν πλάστην τῷ πλάσματι· ἔκτεινον ὁσίας σου χεῖρας, τὰς ἐκταθείσας αὐτοῦ παλάμας ἐν τῷ σταυρῷ ὡς ἱκετηρίαν προτείνων· τοὺς ἥλους, τὴν λόγχην, τὸ αἷμα, τὸν θάνατον, τὸν τάφον, δι' ὧν σεσώσμεθα. Ἔχεις δι' ὧν δυσωπήσεις τὸν εὐίλατον· τὴν βαρύτητα τῶν διωγμῶν, τῶν διωκομένων τὸ ὑπὲρ εὐσεβείας ἀνένδοτον, τὰ ποίμνια σπαρασσόμενα, τοὺς ποιμένας, ἔστιν οὓς, οὐδ' ὅποι γῆς εἰσι γινωσκομένους, τὴν Ἐκκλησίαν Θεοῦ κατατεμνομένην (οἴμοι!) καὶ μεριζομένην· μερίζεται γὰρ αὐτὴν φόβος Θεοῦ καὶ φόβος ἀνθρώπινος· οὐδὲ γὰρ οὐδ' ἔστι τὸν θεῖον διαψεύδεσθαι χρησμόν, "τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής."[1] Ταῦτα προβαλοῦ· μᾶλλον δὲ αὐτός, δι' ὧν δυσωπήσεις, οἶδας· οἷς γὰρ ἡ καρδία καθαρά, ἅτε δὴ Θεόν, ὡς ἐστιν ἀνθρώπῳ δυνατὸν ἰδεῖν, ἐνορῶσιν, οὗτοι μᾶλλον τῶν ἄλλων συνίσασι καὶ οἷς ἐκμειλίσσεται. Κίνησον μεσίτην τῆς πρεσβείας τὴν τοῦ Λόγου μητέρα καὶ παρθένον· βόησον πρὸς αὐτὴν τῆς φύσεως τὴν ἀσθένειαν, τὴν μακρὰν ἡμῶν καὶ ἀνιστόρητον πᾶσιν[2] τραγῳδίαν· οἶδε γὰρ[3] συμπαθῆσαι τῷ ὁμοφυεῖ. Τῶν μαρτύρων τὸν χορὸν συμπαράλαβε· ἔχουσι γὰρ παῤῥησίαν, οἷς ἔπαθον ὑπὲρ Χριστοῦ, ἐπαμῦναι τοῖς δι' αὐτὸν πάσχουσι· καὶ τῶν παθῶν ἡ κοινωνία παράκλησίς ἐστιν αὐτὴ καθ' αὐτὴν πρὸς τὴν τῶν πασχόντων ἐπικουρίαν. Πανταχόθεν ῥᾴδια τὰ τῆς πρεσβείας· εὔελπις ἡ ἱκεσία· ἑνὸς μόνου δεῖται, τῆς σῆς ἐκτενοῦς προσευχῆς καὶ ἐπιμόνου δεήσεως.

ΕΠΙΣΤΟΛΗ ΡΣΤ'.—106.

Ἀκακίῳ Μοναχῷ καὶ ἰατρῷ.[4]

Εἰ μὲν μηδέποτε γέγονας καθαρὸς λογισμῶν ἀκαθάρτων, καινόν τι λέγεις, καὶ οὗ μὴ ἔστιν εὑρεῖν δάκρυον ἐξισῶσαι· εἰ δὲ γέγονας (γέγονας δὲ πάντως· οὐ γὰρ οὐράνιον τὸ μηδέποτε καθαρεῦσαι, καὶ οὐκ ἂν οὐδ' εἰς ἔρωτα νῦν τῆς καθαρότητος, εἰ μὴ ταύτης πεῖραν ἔλαβες, ἦλθες, οὐδ' ἄν, εἰ μὴ ἀπηλλάγης, κἂν ἐπὶ ποσόν, ἐκείνου τοῦ ῥύπου, διέβλεψας ἂν ἐπιζητῆσαι μαθεῖν,[5] δι' ὅτου ἄν τις καθαρὸν ἑαυτὸν συντηρήσῃ)· ἐπεὶ δέ ποτε γέγονας, ᾧ τρόπῳ γεγένησαι, τῷ αὐτῷ τούτῳ καὶ διατηρεῖν σεαυτὸν ἐν τῇ καθαρότητι διανάστηθι. Προσευχή σοι τούτου πρόξενος; κἂν ἐπ' ὀλίγον κατέστη, παράτεινον ταύτην·[6] Παῦλος ὁ

---

[1] *Ματθ. ΙΔ', 38.*

[2] *Ἴσως ἐγέγραπτο—πᾶσαν—τοῦτο γὰρ ἥ τε ἔννοια δείκνυσιν αἱρετώτερον, καὶ τὸ ληκτικὸν ν, ὅπερ οὐκ ἔδει προσεῖναι, εἴπερ κατὰ Δοτικὴν ἐβούλετο τὴν λέξιν ἐξενεγκεῖν, τεκμαίρεσθαι δίδωσιν.*

[3] *Ἡμ. διόρθωσις ἡ προσθήκη τοῦ γάρ, ὡς καὶ ἐν τῷ ἀμέσως ἑπομένῳ—ἔχουσι γάρ.*

[4] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 896)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΙΘ'.*

[5] *Ἐκ διορθ. Μοντακ. ἡ προσθήκη τοῦ—μαθεῖν.*

[6] *Οὕτω διώρθωσα τὸ παρὰ τοῖς ἄλλοις κακῶς γεγραμμένον· "Προσευχή σοι τούτου πρόξενος, κἂν ἐπ' ὀλίγον κατέστη, παρατείνων ταύτην." Καὶ ἐν τοῖς ἑφεξῆς δὲ τὸ ἐρωτηματικὸν ἐξ ἡμετ. προστέθειται διορθώσεως.*

Digitized by Google

θεῖος πρὸ ἡμῶν σοι τὴν παραίνεσιν εἰσηγεῖται, "ἀδιαλείπτως, λέγων, προσεύχεσθε."[1] Ἀλλ' ἐγκρατείας τὸ δῶρον; ἔχου ταύτης ἐπιμελέστερον· φύσει γὰρ αὐτῇ καὶ κράτος ἄμαχον πρόσεστι πρὸς τὰ τοιαῦτα τῶν παθημάτων. Ἀλλ' ἐπ' ἐλέῳ πενομένων ἀφίκετο;[2] μὴ ἀφίστασο τῆς ἐλεημοσύνης· μεγάλην γὰρ ἀνάπτει λαμπάδα τὸ ἱερὸν ἔλαιον τοῦτο, καὶ μερίζει τὰς ἐνεργείας, καὶ ταῖς μὲν φλέγει τὰ πάθη, ταῖς δὲ φωτίζει καὶ κατευθύνει πρὸς τὸν τῆς ἀρετῆς δρόμον τὰ διαβήματα. Ἀλλ' ὅτι ἀφῆκας τοῖς δόξασιν εἰς σὲ πεπλημμεληκέναι; εἰ μὲν δυνατόν, μηδ' ὀργίζου· εἰ δ' ἐξέπεσας, ἀλλ' οὖν ἀεὶ πρὸ δυσμῶν ἡλίου εἰς σεαυτὸν ἐπανιὼν ὅλος γίνου τῆς συγγνώμης· καὶ ἁπλῶς εἰπεῖν, δι' οὗ σοι ἐν βραχεῖ καθαρεῦσαι προσεγένετο, διὰ τούτου θηρεύειν ἀεὶ μὴ ἀποστῇς καὶ τὴν διὰ βίου καθαρότητα· ἄλλως γάρ, ἄλλως οὐκ ἔστιν ὅλως ἄνεσιν εὑρεῖν τῶν ἐνοχλούντων, ἀλλ' ἢ διά τινος τῶν εἰρημένων, ἤ τινων, ἢ καὶ διὰ πάντων ἅμα.

ΕΠΙΣΤΟΛΗ ΡΖ'.—107.

Τῷ αὐτῷ.[3]

Μέγα κακὸν ἡ δόκησις· ἄφρονα τὸν ἄνθρωπον ποιεῖ, οὐδ' ἀπαλλαγῆναι τοῦ πάθους ἐᾷ, οὐδὲ μεταμαθεῖν τὸ συνοῖσον· ἐχθροὺς ὁρᾷν ἀναπείθει τοὺς μεθέλκειν τῆς πλάνης καὶ βοηθεῖν ἐπιχειροῦντας· τοὺς δὲ φλεγμαίνοντας τὴν νόσον κολακείαις[4] καὶ ἀνίατον ποιοῦντας πλέον εἰσοικίζει. Φεῦγε πάσῃ δυνάμει τὴν οἴησιν· κρημνός ἐστι βαθύς, πᾶσαν σωτηρίας ἄνοδον περιῃρημένος.

ΕΠΙΣΤΟΛΗ ΡΗ'.—108.

Θεοφάνει μονάζοντι.[5]

Εἴ σοι φίλον τὸ πρὸς ἡμῶν τῶν εὐτελῶν γράμμα, δέχοιο[6] καὶ αὖθις, ὦ τριπόθητε,

---

[1] *Α' προς Θεσσαλ. Ε', 17.*

Τὸ καθαρόν σε γενέσθαι δῆλον ὅτι λογισμῶν ἀκαθάρτων.

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 897)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΚΒ'. Εὕρηται δὲ καὶ ἐν τῇ Μυριοβίβλῳ* (σελ. 910· *ἔκδ Οἰσχελίου*).

[4] *Οὕτω μὲν ὀρθῶς Οἰσχέλιος καὶ Μίγνιος ἔγραψαν· Μοντακ. δὲ—κολακείας.*

[5] *Ταύτην, οὐχ ὑπάρχουσαν ἐν τῇ Μοντακ. συλλογῇ, ἐκ τῶν τοῦ Φραγκίσκου Σκόρσου προλεγομένων εἰς τὴν ἔκδοσιν τῶν ὁμιλιῶν Θεοφάνους τοῦ Κεραμέως, Ἀρχιεπισκόπου Ταυρομενιτῶν ἐν Σικελίᾳ* (Theophanis Ceramei Archiepiscopi Tauromenitani etc. a Francisco Scorso Panormitano.—Lutetiae Parisiorum 1644) *ἀντέγραψα. Ἐκδέδοται δὲ καὶ ὑπὸ Μιγνίου ἐν ταῖς Φωτίου ἐπιστολαῖς* (στλ. 924—5), *ἐκ τοῦ αὐτοῦ Σκόρσου εἰλημμένη.*

[6] *Γραπτέον ἴσως—δέχου, ἤ, δέχοιο ἄν.*

Digitized by Google

οὐδὲν μὲν ἔχον εὐπρεπές τε καὶ εὐφραδές, ὡς χάριτι φής, τὸ δ' οὖν τῆς ἀγάπης σύμβολον ὁμολογουμένως· καί γε ὅσον ἡ ἀντίδοσις τῶν γραμμάτων γένοιτο, τοσοῦτον ἡ τῆς ἀγάπης διάθεσις αὔξοιτο· οὗ τί ἂν εἴη σπουδαιότερον; Ἀλλὰ τοῦτο νῦν κείσθω ἐνταῦθα· πρὸς δὲ τὸ ἑξῆς βαδιστέον ὁ λόγος.[1]

Τί τὸ νῦν καινοτομηθὲν ἐν τοῖς αὐτόθι; καὶ τίνες οἱ νεοφανεῖς[2] δράκοντες, Χαρυβδηδὸν καταπίνοντες ψυχὰς μὴ ἐστηριγμένας τῷ λόγῳ τῆς ἀληθείας; Αὐτὸς μὲν οὖν οὐκ ἐξωνομάτισας· ἡμεῖς δὲ καὶ πρὸ τῆς δηλώσεως τῶν γραμμάτων κατεστενάξαμεν ὅτι μάλιστα ἐφ' ἑνὶ ἀνδρὶ αἱρετικῷ, μᾶλλον δὲ βλασφήμῳ τῷ ὄντι εἰς Θεόν, λαχόντι ἐν τοῖς αὐτόθι παρὰ τοῦ κράτους χαρτουλαρεύειν,[3] ἐκεῖνο εἰπόντες, ὅτι γε τῆς περιβοήτου Σικελίας ἔφθασεν ὄλεθρος. Τόδε τὸ πῆμα οὐκ ἐκ δογματικῆς πείρας τετεχνωμένον (ἄπειρον γὰρ τὸ ἀνδριαντάριον[4]), ἀλλ' ἐξ ἀσεβοῦς γνώμης πεπληρωμένον, καί, ἵνα τἀληθέστερον ῥηθείη, πρόσθεν ἐπὶ τὸ ἀσεβεῖν[5] ἡγμένον, καί γε σὺν δυσὶν[6] ἄλλοις ὁμαίμοσιν. Ἀλλὰ τούτους μὲν ἡ Τριὰς ἐνθέοις στόμασιν οἶδ' ὅτι ἀποῤῥαπίσειεν,[7] ὑμῶν τε καὶ τῶν ἐνταῦθα ὑπερμαχούντων τῆς ἀληθείας. Σὲ δέ, καὶ τὸν οἷος σύ, μηδὲν ξενιζέτω ἡ ἔτι λυττοῦσα[8] αἵρεσις. Οὔπω γὰρ ἐκτέτριπται τὸ κακόν, οὔτε δεδοκίμασται ἱκανῶς τῶν πιστῶν τὸ φιλόθεον· καὶ τρίτον, οὐχ οἷοί τέ ἐσμεν ἐμβατεύειν εἰς ἄβυσσον κριμάτων Θεοῦ, καθ' οὓς τρόπους ἀνέχεται ἀκμὴν κλυδωνίζεσθαι τῷ σάλῳ τῆς ἀπιστίας τὸν λαὸν αὐτοῦ· πλὴν συμπέρασμα[9] τοῦ λόγου, ἵνα οἱ δόκιμοι γίγνοιντο φανεροί, ὡς ὁ τῆς σοφίας ταμίας Παῦλος λέλεχεν.[10]

Δι' ὃ παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν μὴ ἐκκακεῖν διακατελέγχειν σε τοὺς ὑπεναντίους,[11] ἐκ τῶν ἀδύτων ταμείων τῆς καρδίας σου προφέροντα τὰ θεῖα διδάγματα, καὶ ὑποδεικνύ-

---

[1] Γραπτέον κανονικῶς—τῷ λόγῳ, ἤ, τὸν λόγον—ὥσπερ ἴσως ἐγέγραπτο τὴν ἀρχήν.

[2] Ἡμ. διόρθ. ἀντὶ—νεοφανῶς.

[3] Ἐκ τοῦ ὀνόματος Χαρτουλάριος, ὅπερ ἀξίωμα ἦν Ἐκκλησιαστικόν τε καὶ αὐλικόν (ἴδε Κ. Κουρουπαλ. σελ. 6 καὶ 10· ἔκδ. Βόννης), τὸ ῥῆμα ἐσχημάτισε χαρτουλαρεύω=ἐκπληρῶ τὰ τοῦ Χαρτουλαρίου.

[4] Ὑποκοριστικὸν τοῦ ἀνδριάς, ὅπερ οὐχ εὕρηται, εἰ μὴ παρά τισι τῶν σχολιαστῶν. Οὕτως ὁ σχολιαστὴς Δίωνος τοῦ Χρυσοστ. (ἐν Λόγῳ ΛΑ') λέγει, "τὰ παρὰ τῶν κοροπλάθων γύψινα πλαττόμενα ἀνδριαντάρια" κ.τ.λ. ἐχρήσατο δὲ τούτῳ Φώτιος ἀντὶ τοῦ "ἀνδράριον" εἰς πλείονα τοῦ αἱρετίζοντος Χαρτουλαρίου καταφρόνησιν.

[5] Κακῶς παρὰ Μιγνίῳ γέγραπται—ἀσεβοῦν.

[6] Ἡμ. διόρθ. ἀντὶ—σὺν δοσίν—παρὰ Σκόρσῳ· Μίγνιος δὲ "συνδόσιν" διωρθώσατο.

[7] Οὕτω μὲν παρὰ Σκόρσῳ· παρὰ δὲ Μιγνίῳ—ἀλλὰ τούτοις . . . ἐνθέους . . . ἀποῤῥαπίσει.

[8] Ἄμεινον—λυττῶσα, ἤ, λυσσῶσα.—Ἴδε ἐν τοῖς Λεξικοῖς τὴν διαφορὰν τοῦ λυσσάω καὶ λυσσόω.

[9] Οὕτω διώρθωσα τὸ παρὰ Σκόρσῳ—συμπέρασμοι—ἐξυπονουμένου δῆλον ὅτι τοῦ ἐστί. Μίγνιος δὲ τοῦτο "συμπερασμοῦ" διωρθώσατο, καὶ ἅμα εἰς ἰδίαν ἐχώρισε ταῦτα παράγραφον, οὐκ οἶδ' ἀνθ' ὅτου.

[10] "Δεῖ γάρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν." (Α' πρὸς Κορινθ. ΙΑ', 19.)

[11] Παρὰ Μιγνίῳ—τοῖς ὑπεναντίοις·—ἀλλ' οὐκ ὀρθῶς.

Digitized by Google

οντα ἐντεῦθεν ἀριδήλως, ὅτι Χριστὸς οὐ Χριστός, εἰ μὴ περιγράψοιτο[1] *τῇ καθ' ἡμᾶς ἰδέᾳ· εἴπερ γὰρ σὰρξ ἐγεγόνει, πάντως καὶ ὡς σὰρξ περιγράφοιτο· ὃ δὲ μὴ περιγράφοιτο, τοῦτο οὐκ εἴσω ἀνθρωπότητος, ἀλλ' ἔξω δῆλον ὅτι καὶ τόπου καὶ χρόνου, Θεὸς γυμνός,*[2] *τῇ ἀπεριληψίᾳ τε καὶ ἀοριστίᾳ καὶ λεγόμενος καὶ νοούμενος·* [[3] *καὶ τοῦτο ἀραρότως εἰς ἀναμφίλεκτον ἀπόδειξιν τῆς ἀληθείας φυσικῆς ἀκολουθίας ἀναγκαζόμενον περιγράφεσθαι Χριστὸν κἂν τῇ εἰκόνι προσκυνούμενον, ἐπείπερ ἐν αὐτῇ τὸ ἀρχέτυπον ἐκπέφανται, ὥσπερ φησὶν ὁ θεόφαντος Διονύσιος, καὶ ἀλλαχοῦ, ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον*]. *Ὥστε ὁ ἀπαναινόμενος ἐγγράφεσθαι Χριστὸν ἤρνηται ἄνθρωπον γεγονέναι· καὶ ὁ μὴ προσκυνῶν αὐτοῦ τὴν εἰκόνα οὐ δήπου*[4] *προσκυνεῖ αὐτὸν τὸ καθόλου, κἂν νομίζῃ προσκυνεῖν. Ἐπεί φησιν ὁ ἱερὸς λόγος, "οἱ ἄπιστοι ὁμολογοῦσι Θεὸν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται."*[5]

Ταῦτα οὐχ ὡς ἀγνοούσῃ τῇ τιμιότητί σου ὑπεδήλωσα, ἀλλ' ὡς συνομογνωμονούσῃ, καὶ ὥσπερ ῥανίδα ἐκ πελάγους δογμάτων ἀνελκύσας, πρὸς τὸ καὶ ἄπειρον ἐσμὸν εἶναι Πατρικῶν,[6] *μετὰ καὶ τῆς ἀρχαιολόγου ἱστορίας, ἀπ' αὐτῆς βαλβίδος τοῦ κηρύγματος εἰς σύστασιν τῆς ἀμωμήτου ἡμῶν τῶν Χριστιανῶν πίστεως.*

---

[1] *Παρὰ Μιγνίῳ—περιγράφοιτο,—ὅπερ ἴσως ἄμεινον τοῦ παρὰ Σκόρσῳ "περιγράψοιτο."*

[2] *Ἐκ διορθ. Μιγνίου, ἀντὶ—ὡς γυμνός.*

[3] *Τὸ ἐν ταῖς ἀγκύλαις περιεχόμενον χωρίον, οὕτωσὶ γεγραμμένον παρά τε Σκόρσῳ καὶ Μιγνίῳ, οὐδὲν δίδωσι νοεῖν ὑγιές, ὡς ἡμαρτημένον πάντως. Ἴσως δέ (οὐ γὰρ ἔχω τι λέγειν βέβαιον, ὡς ἐξ ἁπλῆς εἰκασίας τὴν διόρθωσιν προβαλλόμενος) οὕτως ἄν τις διορθώσαιτο· "διὰ τοῦτο ἀραρότως εἰς ἀναμφίλεκτον ἀπόδειξιν τῆς ἀληθοῦς φυσικῆς ἀκολουθίας (νόει μοι δὲ "φυσικὴν ἀκολουθίαν" τὸ προειρημένον "εἴπερ γὰρ σὰρξ ἐγεγόνει, πάντως καὶ ὡς σὰρξ περιγράφοιτο. κ.τ.λ.") ἀναγκαζόμεθα (ἤ, εἰ βούλει, ἀναγκαῖόν ἐστι, ὡς καὶ ἡ Λατιν. φέρει μετάφρασις "necesse est") περιγράφεσθαι Χριστόν, κἂν τῇ εἰκόνι προσκυνοῦμεν, ἐπείπερ ἐν αὐτῇ τὸ ἀρχέτυπον ἐκπέφανται, ὥσπερ φησὶν ὁ θεόφαντος Διονύσιος, ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον." Ἐξήλειψα δὲ τὰς δύο λέξεις "καὶ ἀλλαχοῦ," νομίζων αὐτὰς μέρος εἶναι φράσεως ἐκπεσούσης τοῦ κειμένου, καὶ καθ' ἑαυτὰς ἀχρήστους. Καὶ τὸ μὲν τὴν ἐμὴν ταύτην διόρθωσιν τέλεον τὴν τοῦ χωρίου νόσον ἰάσασθαι οὐκ ἂν διϊσχυρισαίμην· ἱκανὴν μέντοι εἶναι πρόχειρόν τινα τῷ νοσοῦντι χωρίῳ παρασχεῖν θεραπείαν, ἕως ἄν τις παρὰ κρείττονος ἄλλου κρείττων ἐπιγένηται.*

[4] *Ἡμ. διόρθ. ἀντὶ—τύπου·—Μίγνιος δὲ "τύπον" διωρθώσατο.*

[5] *Παῦλος ἐν τῇ πρὸς Τίτον ἐπιστολῇ (Α', 15 καὶ 16).*

[6] *Γραπτέον ἴσως—Πατρικόν—ἤ—Πατέρων.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΘ'.—109.

Θεοφάνει Διακόνῳ καὶ Πρωτονοταρίῳ.[1]

Ἀλγεῖς, ὅτι ἄκων[2] εἰς ἡμᾶς ἥμαρτες, μᾶλλον δὲ ὅτι τυραννούμενος καὶ πληγὰς πεῖραν προκείμενος, μέχρι γλώσσης μόνον τὴν ἰσχὺν αὐτῶν τῆς βίας ἐπέδειξας, ἀνέλαττον ταῖς βασάνοις συντηρήσας τὴν διάνοιαν. Καὶ τί ἂν ἄλλο ταύτης γένοιτο τῆς παραψυχῆς[3] παραμύθιον, ὅτι τοσούτῳ πλήθει φοβερῶν βασάνων τὴν τοῦ συνειδότος κρίσιν οὐκ ἐπηλωσας, οὐδὲ τῆς κακίας τῶν βιαζομένων ὄργανον ἐγένου, καίτοι πολυειδέσι καὶ πολυτρόποις αἰκίαις, ἀλλ' οὐ δακτύλοις, κρουόμενος; Πῶς δὲ ἡμεῖς οὐκ ἂν συγγνώμης, καὶ εἴ τι ταπεινὸν ὑψηλότερον, οὐχὶ καὶ σὺν προθυμίᾳ σε ἄξιον ψηφιούμεθα, ὅτι ῥύματι[4] καὶ βίᾳ παραστρεφόμενος ὡς εἰς τὸ πᾶν καὶ ἑκὼν ἐξημαρτηκώς, οὕτως ἑαυτὸν ἐταπείνωσας; Καὶ τῶν ἡμετέρων ῥημάτων οὐκ ἔχεις, οἶμαι, χρείαν μανθάνειν τὸ βέβαιον· ἡμεῖς γὰρ τοσοῦτον ἀπέχομεν τῶν ἀηδῶν περὶ σοῦ διανοηθῆναι, ὅτι[5] καὶ πολλοὺς ἄλλους ἀφορᾷν εἰς σὲ προτρεπόμεθα. Σὺ δὲ ἔρρωσο, καὶ ἀρετῆς ἐπιμελοῦ, δι' ἧς τελειούμεθα, καὶ δι' ἣν σε τῶν φίλων καὶ τῶν γνησίων θεραπόντων πάλαι τῷ χορῷ συγκατελέξαμεν.

ΕΠΙΣΤΟΛΗ ΡΙ'.—110.

Γεωργίῳ Διακόνῳ καὶ Ξενοδόχῳ.[6]

Μελάνθιόν φασι τὸν τραγῳδίας ὑποκριτὴν οὕτω τῆς ὀψοφαγίας ἥττω γενέσθαι, ὥστε

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 869)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΓ'. Δῆλον δ' ἐκ ταύτης γίνεται τῆς ἐπιστολῆς, ὡς καὶ Μοντακούτιος ὀρθῶς ἐσημειώσατο, ὅτι πολλαῖς καὶ βαρείαις ἐχρῶντο ταῖς βασάνοις οἱ περὶ Ἰγνάτιον κατά τε Φωτίου καὶ τῶν φίλων αὐτοῦ. Τοῦτον δὴ οὖν τὸν Θεοφάνην βασάνοις ὑπέβαλον παντοίαις, ὅπως μαρτυρήσῃ κατὰ Φωτίου, ὅτι τὸ περίφημον ἐκεῖνο περὶ τοῦ ΒΕΚΛΑΣ γράψας βιβλίον, δι' αὐτοῦ ἐν τῇ Βασιλικῇ ἀπέκρυψε βιβλιοθήκῃ, ὅπως Βασίλειον ἐξαπατήσας τὸν Αὐτοκράτορα τὴν εὔνοιαν αὐτοῦ ἀνακτήσηται. (Ἴδε Προλεγ. § μζ, καὶ τὰ ἐκεῖ περὶ τούτου σημειωθέντα.) Ἔτι δὲ πᾶσι Βαρώνιον ἐλέγχων ὁ τῆς ἀληθείας εἰλικρινὴς φίλος Μοντακούτιος, προθύμως αὐτόν φησι τὴν συκοφαντίαν ταύτην ἐκ Νικήτα ἀπαρύσασθαι, ὃν ῥαψῳδὸν ψεύδους ἀποκαλεῖ, ὥσπερ ἐν ἀρχῇ τῶν Προλεγ. (§ β') ἐσημειωσάμεθα.

[2] Ἐκ διορθ. Μοντακ. ἀντὶ—ἀκούων.

[3] Ἡμ. διόρθ. ἀντὶ—παραψυχίας—ὅπερ οὐχ εὕρηται.

[4] Ἐκ διορθ. Μοντακ. ἀντὶ—ῥήματι.

[5] Πολλαχοῦ ἴδοι τις ἂν Φώτιον τῷ ὅτι ἀντὶ τοῦ ὥστε ἐπὶ συμπερασματικῶν λόγων χρώμενον. Οὕτω καὶ ἐν Ἐπιστ. ΡΙΔ' λέγει· "ὅρα εἰς ὅσον σοι τεθαῤῥήκαμεν, ὅτι καὶ δειλιῶντος οὐ φειδόμεθα." καὶ ἐν Ἐπιστ. ΡΚΔ'· "ἐπὶ τοσοῦτον χαίρω . . . . ὅτι πρὶν μὲν ἐσκοπούμην·" καὶ "οὕτως ἀνεπτέρωμαι . . . . ὅτι δέδοικα·" καὶ ἀλλαχοῦ πολλάκις. Τοιοῦτον καὶ τὸ ἐν Ἐπιστ. ΞΣΤ', "τοσοῦτόν σοι ἡ δραστήριον, ὅτι . . . . ἐπαινεῖς·" ὅπερ Οἰκον. διωρθώσατο "ὥστε." Ἴδε τὰ ἐκεῖ σημειωθέντα.

[6] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 872)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΗ'.

Digitized by Google

καὶ ἀθυμεῖν, ἐπεὶ μὴ κύκνου τὸν τράχηλον εἶχεν, ἵνα ὡς πλεῖστον χρόνον τῶν διὰ τοῦ λαιμοῦ ῥεόντων καὶ τῆς ἐκεῖθεν ἡδονῆς ἀπολαύῃ.[1] Εἰ δέ σου τῶν δείπνων ἐγεγόνει κοινωνός, οἶμαι ἂν αὐτὸν καὶ τῆς ἀθυμίας μέγα φάρμακον ἐξευρεῖν, καὶ ἀπεύχεσθαι μηδὲ εἰς τὸ ἀρχαῖον μῆκος τὸν αὐχένα διαμένειν, ἵνα μὴ συχνὸν ἀναλίσκῃ χρόνον τῆς σῆς τραπέζης καὶ τῶν σῶν ἐδεσμάτων ἀνεχόμενος. Τί οὖν δεῖ ποιεῖν; πανταχοῦ τὸ μηδὲν ἄγαν ὑπολαμβάνειν κράτιστον.

ΕΠΙΣΤΟΛΗ ΡΙΑ'.—111.

Γρηγορίῳ Διακόνῳ καὶ Χαρτουλαρίῳ τῷ Ἀμασειανῷ.[2]

Ἐγὼ μὲν οὐκ ἂν φαίην δίκας τίνουσαν τὴν πόλιν τῶν εἰς ἡμᾶς ἀδικημάτων ἀντὶ πόλεως πολυάνδριον γενέσθαι· παραινῶ δὲ μηδὲ τὴν ὑμῶν Ὁσιότητα ταῦτα ἐννοεῖν. Τίνες γὰρ ἡμεῖς, εἰ καὶ πεπόνθαμεν ἀδιήγητα, ἵνα τηλικαύτην ὀργὴν ἐκκαλεσώμεθα Θεοῦ; ἄλλως τε δέ, καὶ τότε πλέον πάσχοντες νῦν ἐν οἷς ἐκεῖνοι πάσχουσι, τῷ κοινῷ νόμῳ τῆς συμπαθείας καὶ φύσεως, ἢ ἐν οἷς αὐτῶν δεδρακότων ἐπάσχομεν. Εἰ δ' ὅτι τῶν ἀνὰ τὴν Ῥωμαϊκὴν ἀρχὴν Ἐκκλησιῶν τὴν δόξαν ἀπέκειραν, καὶ εἰς τὰ τῶν Χριστιανῶν μυστήρια ἐξωρχή-

---

[1] Τοῦτο Ἀθήναιος ἱστορῶν (Βιβλ. Α', 10) οὐ κύκνου, ἀλλὰ τῆς μακραύχενος ὄρνιθος τὸν τράχηλον ἔχειν εὔξασθαί φησι τὸν Μελάνθιον. Ὁ δ' αὐτὸς καὶ περὶ Φιλοξένου τοῦ Κυθηρίου ἱστορεῖ, ὅτι τὴν φύσιν ἐπιμεμφόμενος, εἰς τὴν ἀπόλαυσιν ηὔξατό ποτε γεράνου τὴν φάρυγγα σχεῖν. (αὐτ.)

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 873)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΑ'. Τὸ δὲ παρὰ τοῖς ἄλλοις "Ἀμασιάνῳ" διώρθωσα "Ἀμασειανῷ," εἰκάζων ἐθνικὸν εἶναι τὸ ὄνομα, τὸν τῆς Ποντικῆς πόλεως Ἀμασείας κάτοικον δηλοῦν, εἰ καὶ κατὰ Στέφανον τὸν Βυζάντιον οὐκ Ἀμασειανός, ἀλλ' Ἀμασεὺς ἢ Ἀμασεώτης λέγεται· "Ἀμάσεια, πόλις Ποντική, ἀφ' ἧς Στράβων ὁ Στωϊκὸς φιλόσοφος· ὁ πολίτης Ἀμασεύς, ὡς αὐτὸς Στράβων· κατὰ δὲ Καπίτωνα Ἀμασεώτης· πειστέον δὲ μᾶλλον Στράβωνι, ὡς πολίτῃ." Περὶ δὲ τῆς ἐπιστολῆς ταύτης καὶ τῆς ἀμέσως ἑπομένης σημειωτέον, ὅτι ἐν ἔτει 870 ἐγράφησαν, ὅτε, τοῦ μεγάλου καὶ φοβεροῦ ἐκείνου σεισμοῦ γενομένου, πολλοὶ τῶν ἐν Κωνσταντινουπόλει ἐκ θεομηνίας ἔλεγον τοῦτον γενέσθαι διὰ τὴν ἄδικον τοῦ ἱεροῦ Πατριάρχου καταδίωξιν, ἐν τῇ Σκέπῃ τότε ὑπὸ Βασιλείου τοῦ Αὐτοκράτορος καθειργμένου, ὡς ἐν τοῖς Προλεγομένοις (§ μστ') ἱστόρηται. Τῶν τοίνυν ταῦτα λεγόντων καὶ Γρηγόριος οὗτοσὶ ἐτύγχανεν ὤν· καὶ Φωτίῳ γράφων, ὡς ἔοικεν, ἔλεγε τὴν πόλιν δίκας τίνειν τῶν εἰς αὐτὸν ἀδικημάτων. Ἀλλ' ὁ εὐσεβέστατος Πατριάρχης παραινεῖ αὐτῷ μὴ τοιαῦτα ἐννοεῖν, ἀλλὰ τῆς θείας ὀργῆς αἰτίαν εἶναι τὴν τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ἀδοξίαν, τὴν τῶν μυστηρίων βεβήλωσιν, καὶ τὸν τῶν Ἀρχιερέων καὶ ἱερέων ἄδικον διωγμόν· εὐχαριστεῖ δὲ τῷ Θεῷ, ὅτι ἐν τῷ δεσμωτηρίῳ κατακεκλεισμένος οὐκ ἐπεῖδεν ἰδίοις ὀφθαλμοῖς τὸ μέγα καὶ ἀπαράκλητον ἐκεῖνο πάθος τῆς πόλεως. Ἀλλ' ὅμως, οὕτως εὐσεβῶς Φωτίου καὶ νοοῦντος καὶ γράφοντος, οὐκ ὤκνησαν οἱ Φωτιομάχοι καὶ ἐντεῦθεν ὕβρεις κατ' αὐτοῦ ἀπαρύσασθαι. Ὁ μὲν γὰρ Καρδινάλιος Βαρώνιος ἀσεβείας αὐτὸν γράφεται, ὡς εὐχαριστοῦντα Θεῷ ἐπὶ τῇ τῆς πόλεως καταστροφῇ· πρὸς ὃν Μοντακ. ἀπήντησε τὰ προσήκοντα, ἐλέγχων αὐτοῦ τὴν μωρίαν καὶ κακόνοιαν (Ἴδε τὴν σημ. ἐν σελ. 143 τῶν Ἐπιστολῶν κατὰ τὴν ἐκείνου ἔκδοσιν). Ὁ δὲ Ἀββᾶς Ἰάγερος τὰς δύο ταύτας ἐπιστολὰς μεταφράσας ἐν τῇ Ἱστορίᾳ αὐτοῦ (σελ. 245—6), ἄλλα τε καταφλυαρεῖ Φωτίου, καὶ δὴ καὶ τὴν τοῦ σεισμοῦ αἰτίαν ἐν τῷ τῆς Κωνσταντινουπόλεως ἐδάφει ἀνευρίσκει, ὥσπερ ἡμῖν διὰ μακρῶν ἐν τοῖς Προλεγομένοις (ἔνθ. ἀνωτ.) σεσημείωται, τάς τε Ἰαγέρου φλυαρίας καὶ τὰ Νικήτα τοῦ Παφλαγόνος μυθεύματα ἐξελέγχουσιν.

Digitized by Google

σαντο, καὶ Ἀρχιερεῖς καὶ ἱερεῖς Θεοῦ θρόνων καὶ Ἐκκλησιῶν πάσῃ μηχανῇ καὶ πάσῃ βίᾳ ἐξήλασαν, καὶ ἐν καιρῷ Χριστιανισμοῦ τὰς Ἑλλήνων πράξεις παῤῥησιάσασθαι παρεσκεύασαν, σιγῇ βαθείᾳ, μᾶλλον δὲ καταστροφῇ τελείᾳ τὰς θείας τελετὰς καὶ τὰ φρικτὰ παραδεδωκότες ὄργια· ἂν οὖν διὰ ταῦτα δίκας εἰσπράττωνται τοῦ τολμήματος, πρὸς τοῦτο οὐκ ἂν δυναίμην ἄλλως ἔχειν διϊσχυρίσασθαι, μέχρις ἂν τὸ ἐκεῖ δικαιωτήριον ἄλλα τινὰ μείζονα τῆς τηλικαύτης τόλμης ἐξημαρτηκότας παραστήσειεν.

ΕΠΙΣΤΟΛΗ ΡΙΒ'.—112.

Τῷ αὐτῷ.[1]

Εἴ τις δοξολογία, εἴ τις εὐχαριστία, ταύτην ἐξ ὅλης ψυχῆς Θεῷ ἀνατίθημι, ὅτι με τοιαύταις ἡμέραις ἄρχειν ἀνθρώπων οὐ συνεχώρησεν, οὐδ' ὀφθαλμοῖς ἐπιδεῖν πάθος ἀπαράκλητον· ἐν αἷς τάφος μὲν ἀντὶ πόλεως ἡ Κωνσταντίνου, θρῆνος δὲ ἀντὶ ψαλμῳδίας οὐ τὰς οἰκίας μόνον, ἀλλὰ καὶ τὰς Ἐκκλησίας ἔχει, τῶν μὲν ὁλοκλήρων εἰς ἔδαφος κειμένων (θέαμα, φασίν, ἐλεεινὸν καὶ διηγεῖσθαι μεῖζον πίστεως), τῶν δὲ τῷ μεγίστῳ μέρει κατενηνεγμένων, καὶ μηδενὸς τοῦ πάθους κρείττονος γενομένου, ἀλλὰ καὶ αὐτῆς τῆς γῆς τῷ ἀφορήτῳ σάλῳ καὶ κλόνῳ εἰς μέρη πολλὰ συγκαταῤῥαγείσης, καὶ τὰ ἐξ αἰῶνος τῆς πόλεως πάθη τῷ μεγέθει τῶν κακῶν ἀποκρυψάσης. Νῦν μὲν γὰρ τὰ ἐμαυτοῦ μόνον σκοπῶ, καὶ εἰς ἐκεῖνά μοι τὰ τῆς φροντίδος καὶ τῆς ἀγωνίας ἀποτείνεται· τότε δὲ ἀνάγκη τρέμειν ἦν καὶ ὑπὲρ τῶν ἑτέροις ἁμαρτανομένων, καὶ τοῖς ἐκείνων παθήμασι πικρότερον ἀποδύρεσθαι, καὶ μήποτε τῷ κοινῷ τῶν ἀδικημάτων δεδιέναι[2] κοινὴν τῷ πλήθει τὴν τιμωρίαν, καὶ αὐτοὶ δοκοῦντες προεστάναι, συνδιενεγκεῖν καταδικασθῶμεν· ὧν ἁπάντων ἀνθρώπινοι μέν, ὡς ἐνόμισαν, ἐπιβουλαί, Θεὸς δὲ τῇ οἰκείᾳ χάριτι καὶ φιλανθρωπίᾳ ἐῤῥύσατο.

ΕΠΙΣΤΟΛΗ ΡΙΓ'.—103.

Τῷ αὐτῷ.[3]

Ἀκούω τινὰς τῶν ἐναντίων εἰρήνην περιαγγέλλειν, καὶ τοὺς ἁπλουστέρους ἐπιχειρεῖν ταύτῃ δελεάζειν τῇ προσηγορίᾳ. Ἀλλ' εἰ μὲν ἣν ὁ Κύριος δίδωσιν,[4] οὐκ ἐκείνους δεῖ

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 873)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Ρ'.

[2] Μοντακ. εἰκάζει γραπτέον εἶναι—καὶ δεδιέναι, μήποτε τῷ κοινῷ τῶν ἀδικημάτων κοινὴν τῷ πλήθει κ.τ.λ.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 872)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΨΘ'.

[4] "Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν." (Ἰωάν. ΙΔ', 27.)

Digitized by Google

περιαγγέλλειν, ἀλλὰ παρ' ἡμῶν ταύτην ὀφείλουσιν ἐκμανθάνειν· εἰ δὲ ἦν καθελεῖν αὐτὸς ἐλήλυθεν ("οὐ γὰρ ἦλθον, φησί, βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν"[1]), ἴστωσαν, ὅτι Χριστομαχοῦσιν, ὑπὸ τῷ τῆς εἰρήνης ὀνόματι τὴν κατ' αὐτοῦ πολιορκίαν ἀνιστῶντες.

ΕΠΙΣΤΟΛΗ ΡΙΔ'.—104.

Νικηφόρῳ φιλοσόφῳ μονάζοντι.[2]

Δειλὸς μὲν εἰς[3] τὴν φιλίαν, δειλότερος δὲ περὶ τὴν ἡμετέραν διάθεσιν. Ἀλλ' ὅρα ἡμᾶς εἰς ὅσον σοι τεθαρρήκαμεν, ὅτι[4] καὶ δειλιῶντος οὐ φειδόμεθα, ἀλλ' ἑτέρας πάλιν δειλίας ἴσως καταβαλλόμεθα σπέρματα, τὸ δειλὸν ἐπιτιμῶντες καὶ ἐξονειδίζοντες. Ἀλλ' ἀνδρίζου, καὶ ἔρρωσο, καὶ γίνωσκε ἡμᾶς οὐχ οἵους νομίζεις, ἀλλ' (ἐπεὶ ὁ παρὼν καιρὸς οὐκ ἀποχρῶν ἐστί σοι πρὸς βεβαίωσιν) οἵους ὁ προσέχων (σὺν Θεῷ δὲ φάναι) δείξει τὴν σὴν δειλίαν ἔργοις ἐλέγχοντας. Τὸ δὲ εἰς τὴν μάρτυρα τῆς ὑμῶν εὐφυΐας φιλοπόνημα κατὰ τὴν σὴν ἀξίωσιν ἐπελθόντες, τῆς μὲν Ἀσιανῆς σποράς (ὡς ἄν τις εἴποι μηδὲ τῷ Μουσῶν ὀνόματι χρώμενος, ἅμα δὲ καὶ Ἀσιανίζων) γνησίαν γονὴν κατειλήφαμεν· σφαλμάτων δὲ οὐδέν, πλὴν εἴ πού τι περὶ σύνταξιν, καὶ τοῦτο σπάνιον, ἐπεσημηνάμεθα. Εἰ δέ τι πρὸς τὴν ἄλλην καλλονὴν τῶν ῥημάτων, καλὸν ὄν, ὅμως ὑστερεῖν ἐδόκει, καὶ τοῦτο πρὸς τὴν συγγενῆ μορφὴν τὸ λόγου κάλλος μεθηρμόσατο.

ΕΠΙΣΤΟΛΗ ΡΙΕ'.—105.

Τῷ αὐτῷ.[5]

Ὡς μὲν οὐκ ἔχεις ἐξαρνεῖσθαι τὴν δειλίαν, οὐδ' ἂν ἀρνηθείης, καὶ πρὸ ταύτης σου τῆς γλυκείας ἐπιστολῆς σαφῶς ἐπεπείσμην· τοῦ πάθους γὰρ τὸ περιφανὲς οὐδὲ λαθεῖν δυνηθῆναι συγχωρεῖ βουληθέντι. Ὅπως δέ σε τὸ περὶ τὴν φιλίαν δειλόν, ἅμα μὲν εἰς δυστυχημά-

[1] Ματθ. Ι', 34. Τοῦτο δὲ τὸ χωρίον ἐξηγούμενος ὁ Θεολόγος Γρηγόριος ἐν τῷ "εἰς τὰ Ἐπιφάνεια" Λόγῳ αὐτοῦ, τάδε λέγει· "Τί δὲ ἡ μάχαιρα; ἡ τομὴ τοῦ λόγου, ἡ διαιροῦσα τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος, "καὶ διχοτομοῦσα τὸν πιστὸν καὶ τὸν ἄπιστον, καὶ ἐπεγείρουσα τὸν υἱόν, καὶ τὴν θυγατέρα, καὶ τὴν νύμφην, "τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τῇ πενθερᾷ, τὰ νέα καὶ πρόσφατα τοῖς παλαιοῖς καὶ σκιώδεσι." (Ἴδε Θ. Φαρμακίδου ἔκδοσιν τῆς Καινῆς Διαθήκης, Τόμ. Α', σελ. 208· ἔνθα καὶ τὴν τοῦ Ζιγαβηνοῦ ἑρμηνείαν εἰς τὸ προκείμενον τοῦ Ματθαίου χωρίον.)

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 908)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΜΒ'.

[3] Γραπτ. ἴσ.—εἰς ἢ εἰ.

[4] Καὶ ἐνταῦθα τὸ ὅτι ἀντὶ ὥστε. Ἴδε τὰ περὶ τούτου ἐν Ἐπιστ. ΡΘ' σημειωθέντα.

[5] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (ἔνθ. ἀνωτ.)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΜΓ'.

Digitized by Google

των κλῆρον, ἅμα δὲ εἰς ἁγίαν[1] μίμησιν ἀναφέρει, τοῦτο συμβαλεῖν οὐκέτι δυνατὸς ἐγενόμην. Οἴμοι! δυστυχὴς ἐγώ· δι' ὃ καὶ περὶ φιλίαν δειλός· ἀλλὰ καὶ τῶν ἁγίων σύμπας ὁ χορὸς κατεδειλία. Ἆρ' οὐ γλυκείας ταῦτα ἡδονῆς στάζει,[2] καὶ οὐδενός, ὅσα πέφυκε τῷ ἀνακολούθῳ τέρπειν, εἰς χάριν ἐλάττω; Εἰ μὲν γὰρ δυστυχεῖς, πόθεν σοι τῶν Ἁγίων ἡ μίμησις; Εἰ δ' ἐφ' οἷς δειλιᾷς καὶ τρέμεις Ἁγίων σε χορὸς ἔχει, ποῦ σου τὰ ἐν ἔθει δυστυχήματα; καὶ εἰ τοῦτο δυστυχήματος, τί ἂν εἴη τὸ εὐτύχημα; Παῦλος, φησίν, ὁ πτηνὸς καὶ μετάρσιος ἄνθρωπος, Πέτρος, ἐφ' ᾧ τὰ τῆς πίστεως κεῖται θεμέλια, τῶν ἄλλων ἁπάντων Ἁγίων ἡ πληθὺς παράδειγμά μοι τῆς δειλίας καθεστήκασιν. Ἀλλὰ φεῦ τῶν ἐμῶν κακῶν! τοσούτους ἔχων εἰκονίζειν εἰς ὅσον δυστυχῶ! διὰ τοῦτο γὰρ καὶ περὶ ὧν οὐκ ἴσασιν ἄλλοι τὴν δειλίαν ἐγὼ δειλιῶ.

Ἆρ', εἴ τις γρίφους, ἢ τὰ Σφιγγὸς αἰνίγματα, βίον εἶχεν ἐκμιμεῖσθαι, ἄμεινον ἄν, ἢ ὁ ταῦτα λέγων, ἀπηλλάγη τῆς ἐπιδείξεως; Παῦλον, ὦ βέλτιστε, καὶ τοὺς κατ' αὐτὸν ὁ ἱερὸς φόβος, ὃς ἀρετῆς ἁπάσης, ὡς καὶ σὺ γράφεις,[3] κρηπὶς ὑπεβέβλητο, εἰς τοὺς ἀμαραντίνους ἀπάγει στεφάνους· σὺ δέ (οὐκ οἶδα· δ' ὅπως), ὡς μὲν Παῦλος, φοβῇ, ὡς δ' Ὀδυσσεύς, ἢ εἴ τις ἄλλος δυστυχέστερος, εἰς τὰ συνήθη δυστυχήματα τὸν φόβον ἀνάπτεις· καί, δέον μὲν μὴ παράδειγμα νομίζειν τὸν θεῖον Παῦλον τῆς τοιαύτης διδασκαλίας, νομίζεις· δέον δέ, εἴπερ ἐκείνου μιμητὴς ἦσθα, χαίρειν καὶ πρὸς τοὺς στεφάνους ἐπιστρέφεσθαι, θρηνεῖς καὶ ὀδύρῃ τὴν δυστυχίαν. Δειλία σε στροβεῖ προσλαβοῦσα; τί σοι καὶ Παύλῳ κοινόν; μέμφου σεαυτόν· ἔκστηθι τοῦ πάθους. Ἀλλὰ Παῦλός σοι διδάσκαλος ταύτης; χαῖρε τῇ μιμήσει· τῶν ἄθλων εὐφραίνου· ἀλλὰ μὴ ἀκκιζόμενος[4] καὶ ὑποκορίζων τὴν δυστυχίαν, φύρῃς[5] πάντα καὶ συγχέῃς, καὶ τῇ τῶν ῥημάτων κοινωνίᾳ τὰ πλείστων ἀλλήλων διεστῶτα εἰς τὴν αὐτὴν φύσιν βιάζῃ συνάπτειν, ὡς ἂν καλλωπίζοιτό σου, καὶ εὐπρόσωπος ἡ δειλία δόξῃ. Τί γὰρ ἔχει κοινὸν φόβος ἔνθεος, καὶ δειλία ὑβρίζουσα εἰς φιλίαν; ἢ δυστυχημάτων ὄγκος, καὶ λόγος κατορθωμάτων;

---

[1] *Γραπτ. ἴσ.—ἀγίων.*

[2] *Οὕτω διώρθωσα τὸ παρὰ Μοντακ. καὶ Μιγνίῳ κακῶς τε καὶ ἀκατανοήτως γεγραμμένον τοῦτο χωρίον· γέγραπται γὰρ παρ' ἀμφοτέροις· "ἀλλὰ καὶ τῶν ἁγίων σύμπας ὁ χορός, καὶ δειλία ἄρ' οὐ γλυκεῖα ταῦτα ἡδονῆς στάζει, καὶ οὐδενὸς . . . εἰς χάριν ἐλάττω." Ἀπορίᾳ δὲ χειρογράφου, ἢ ἄλλου τινὸς πρὸς διόρθωσιν βοηθήματος (καὶ αὐτὴ γὰρ ἡ Λατινικὴ μετάφρασις, κατὰ λέξιν ἐκ τοῦ ἡμαρτημένου Ἑλληνικοῦ κειμένου γενομένη, οὐδὲν δίδωσι νοεῖν ὑγιές), τοιαύτην ἐποιησάμην τὴν διόρθωσιν, τὸ μὲν "καὶ δειλία" εἰς τὸ "κατεδειλία" μεταβαλών, τὰ δ' ἄλλα εἰς ἐρωτηματικὸν χωρίσας λόγον, καὶ τὴν ὀνομαστ. "γλυκεῖα" εἰς γενικὴν σχηματίσας, τοῦ οὐσιαστ. "ἡδονῆς" προσδιοριστικήν. Ἐγὼ μὲν οὖν ταύτην νομίζω τὴν διόρθωσιν, εἰ μὴ τ' ἀκριβές, ἀλλ' οὖν γε τὸ τοῦ ἀκριβοῦς ἐγγυτάτω δεικνῦναι· εἰ δέ τις ἄλλην ταύτης ἔχει λέγειν κρείττω, νικάτω τὰ κρείττονα.*

[3] *Ἡμετ. διόρθ. ἀντὶ—ὡς καὶ συγγράφεις—παρά τοῖς ἄλλοις, κατὰ τὸ ἐν τῇ ἀρχῇ τῆς ἑφεξῆς Ἐπιστολῆς.*

[4] *Ἀκκιζόμενος=προσποιούμενος· ἐντεῦθεν ἴσως καὶ τὸ κοινῶς λεγόμενον "κάμνει τσακίσματα" (ἀκκίζεται), ὅταν τις δ θέλει προσποιῆται μὴ θέλειν.*

[5] *Ἐκ παραλλήλου ἐνταῦθα τὰ δύο ῥήματα "φύρῃς καὶ συγχέῃς." Σημειωτέον δέ, ὅτι καὶ ἐν τῇ κοινῇ γλώσσῃ, καὶ μάλιστα ἐν τῇ Χιακῇ διαλέκτῳ, ἀπαράλλακτος ἡ χρῆσις τοῦ φύρω τετήρηται· λέγουσι γὰρ "πύσεχε, μὴ τὰ φύρῃς" καὶ "τά 'φυρε" καὶ "φυρμένος"=ὁ συγκεχυμένον ἔχων τὸν νοῦν.*

Digitized by Google

Ναί, φησίν· ἀλλὰ Παῦλος βοᾷ· "φοβοῦμαι, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι."[1] Καὶ τί τοῦτο; "χωρίς, φασί, τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα·"[2] οὐδὲ γὰρ οὐδὲ περὶ τὰς Δεσποτικὰς ὑποσχέσεις, ὥσπερ ὁ ἡμέτερος Παῦλος,[3] ἄπαγε, δειλιῶν ἐφοβεῖτο, οὐδ' ἀγωνιῶν τὴν φιλίαν, οὐδ' εὐλαβούμενος, μή τις αὐτοῦ τὸν ὑπέρτιμον μάργαρον[4] ἐκ πειρατικῆς τριβῆς καὶ μελέτης ἀφαρπάσας, ἔρημον παντὸς ἀφήσῃ.[5] Τὰ σοφὰ ταῦτα καὶ σεμνὰ τῆς δειλίας προσχήματα ἐν οὐδενὶ τούτων ἐκεῖνος ἐδεδίει· τοὐναντίον δέ, πεποιθὼς μὲν ἦν καὶ θαῤῥῶν, εἴ τις πώποτε, περὶ τὰς θαυμασίους ἐκείνας ἐπαγγελίας, βέβαιος δ' ἦν ὅλος καὶ ἀδόνητος τὴν Δεσποτικὴν φιλίαν, κοινὸν δ' ἐβούλετο τὸ ἀγαθὸν πᾶσι προκεῖσθαι. Ἰουδαίους πρὸς κοινωνίαν τοῦ θησαυρίσματος συνεκάλει· Ἕλληνας ἐκάλει, βαρβάρους ἅπαντας, ἄρχοντας, ἀρχομένους· εἰ βούλει δέ, καὶ λῃστὰς καὶ πειρατάς, καὶ πᾶσαν ἁπλῶς τὴν ἀνθρωπίνην συνήγειρε φύσιν εἰς ἀπόλαυσιν τοῦ μαργαρίτου. Καὶ οὐχ ἁπλῶς οὕτως· ἀλλὰ καὶ σπεύδων, καὶ τρέχων, καὶ πάντα πάσχων, ἵνα πάντως τινὰ τοῦ ἐκεῖθεν κάλλους καὶ τῆς θέας ἀξιώσῃ. Δι' ὃ καὶ σφόδρα θαῤῥῶν ἔλεγε· "Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι· τὸν δρόμον τετέλεκα· τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος."[6] Ἀλλ' ἐν μὲν τούτοις τοιοῦτος ἦν, ἀπτόητος καὶ στερῤῥός· ἐφοβεῖτο δὲ τί; μή τι αὐτὸς ἐλλείπων ὀφθείη τοῦ δέοντος συνεισενεχθῆναι τοῖς ἐπαγγέλμασι· διὰ τοῦτο γὰρ ἀγωνιῶν ἔλεγεν· "Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι."[7] Οὔμενουν, οὐκ ἐδίσταζε τὴν ὑπόσχεσιν· οὐκ ἠγωνία τὸν πόθον· οὐ τὴν ἁρπαγὴν ἐδειλία τοῦ μαργαρίτου, ἀλλὰ μή τι αὐτὸς ἀνάξιον τούτου διαπράξηται, μή τι ἐνδέον, μή τι σαλευομένης γνώμης ἀκόλουθον. Ἄλλος οὗτος δειλίας τρόπος, καὶ ἄλλος ὁ περὶ τὰς ἀμοιβάς· ἐκεῖνος ἐπαινετός, οὗτος ψεκτός· ἐκεῖνος σαλευομένων, οὗτος ἡδρασμένων· ἐκεῖνος ἀπάγει τῶν βραβείων, οὗτος συγκατασκευάζει τὰ ἔπαθλα· οὗτος Παύλου, ἐκεῖνος ἡμέτερος.

Ἀλλὰ γὰρ φιλῶ, φησίν, ἵνα μὴ ὡς οὐδεὶς εἴπω πλέον, ὡς εἴ τις ἄλλος· δέδοικα δὲ τοὺς ἐν βίῳ πειρατάς, μή με συλήσωσι τῆς φιλίας ἀπόνασθαι, μὴ τὸν ἐμὸν μαργαρίτην λοχήσωσιν. Τί λαλεῖς, ἄνθρωπε; μαργάρους τοὺς φιλους ποιεῖς, οὐκ ἐκ τοῦ βελτίονος, ἵνα τὸ κάλλος θαυμάζῃς, καὶ ταῖς μαρμαρυγαῖς τῆς ἐν τῇ φιλίᾳ λαμπρότητος περιαστραπτόμενος χαίρῃς, καὶ τρυφᾷς ταῖς ἀμείνοσιν ἐλπίσιν, ἀλλ' ἵνα ἐξῇ σοι, τοῦτο μέν, ὡς περὶ

---

[1] *Α' πρὸς Κορινθ. Θ', 27.*

[2] *Παροιμία, ἐπὶ προσώπων ἢ πραγμάτων πολλῷ διαφερόντων ἀλλήλων λεγομένη.—Πλούτ. ἐν ὑγ. παραγ. καὶ Σουΐδας ἐν λ. χωρίς.*

[3] *Σύ, δῆλον ὅτι.*

[4] *Μάργαρος μέν (ἀρσ. καὶ θηλ.)=ἡ τὸν μαργαρίτην περιέχουσα κόχλος· μάργαρον δὲ (οὐδετ.)=μαργαρίτης, κοιν. μαργαριτάρι· ἐνίοτε δὲ καὶ ἀντὶ τοῦ "μαργαρίτης" ἡ μάργαρος λέγεται.*

[5] *Ἴδε τὰ περὶ τούτου ἐν Ἐπιστ. ΞΕ' σημειωθέντα.*

[6] *Β' πρὸς Τιμόθ. Δ', 7—8.*

[7] *Α' πρὸς Κορινθ. Θ', 26—27.*

Digitized by Google

ἀψύχων, προδοσίαν πλάττειν, καὶ λῃστῶν ἐφόδους καὶ ἁρπαγήν, τοῦτο δέ, ὡς ἂν δυνηθείης τὸν προπηλακισμὸν κρύπτειν τῷ τεχνάσματι, καὶ τῷ ἐσχηματισμένῳ τῆς[1] ὕβρεως ἅμα μὲν εὐλαβείας δόξαν θηρᾶσαι, ἅμα δὲ βαθύτερόν τε καὶ πικρότερον τῶν φίλων καθάπτεσθαι· ὅτι καθ' ὃν τρόπον οὐχ οἱ μάργαροι, λέγω, οὕτως οὐδ' οἱ φίλοι τῆς δειλίας εἰσί μοι παραίτιοι· ἀλλ' ὅτι ὁρῶ τὴν περὶ αὐτοὺς ἐξουσίαν καὶ τὸ κράτος τοῦ βουλήματος ὅλον εἰς τοὺς καταποντιστὰς μεταχωρῆσαν καὶ τούς λοχῶντας καὶ τὰ ναυάγια. Ἀλλ' ὕβρις, ὦ καλὲ καὶ ἀγαθέ, σὺν τέχνῃ προϊοῦσα, λανθάνουσα μέν, τάχα τι καὶ συνοίσει,[2] τῆς ψυχῆς τὸ οἰδαῖνον ἔξω ῥηγνῦσα, παρηγοροῦσά τε καὶ διαπραΰνουσα· ἐπειδὰν δὲ κατάφωρος γένηται, εἰς ταὐτὸν ἄτοπα πολλὰ συνάγει, ἦθος βαρύ, ψόγον ἐπαίνους ὑποκρινόμενον, αἰσχύνην, ἐφ' οἷς ὁ κρύπτων οὐκ ἔλαθεν· καὶ παρατρέχω τὰ πλείονα. Καίτοι, εἰ μὲν ὑβρίζειν ἔδει, τίς ἡ μηχανὴ τοῦ κρύπτειν; εἰ δὲ λαθεῖν ἐχρῆν, ἄμεινον ἦν μηδὲ τὴν ἀρχὴν εἰς ὕβρεις ἐλθεῖν· ὁ δὲ κρύπτων μὲν ἐν τῷ μαργάρῳ τὴν ὕβριν, λαθεῖν δὲ οὐκ ἔχων τὴν τέχνην, οὐκ οἶδ' ὅπως, ὧν βούλεται, οὐ διαπεσεῖται· οὔτε γὰρ ἔλαθεν ὑβρίσας, καὶ τὴν σκηνήν (ἵνα μηδὲν εἴπω πλέον) ἐλέγχεται μάτην διαπλώσας. Βούλει μαργαρίτας τοὺς σοὺς ἐξονομάζειν φίλους; μὴ σαυτὸν δισταγμῷ περιτρέπῃς, ὡς τὸ λευκὸν τῆς ἀγάπης καὶ λαμπρὸν εἰς τὴν μέλαιναν διαχύσουσιν ἔχθραν· μηδὲ δειλιᾷς τὸ τῆς διαθέσεως ἔντονον,[3] καὶ πανταχόθεν ἴσον καὶ καθαρόν, ὡς εἰς ἀνίσους γωνίας πλαστῆς περιθραυσθήσεται γνώμης. Ἀλλὰ δειλιᾷς, μὴ ἁρπαγῇ σου τὸ τιμιώτατον; οὐκ ἔστιν ἄψυχος, οὐδὲ ἀκίνητος, ὁ φίλος τὴν φύσιν· ἐκ τοῦ χείρονος ἡ τοιαύτη χρῆσις τοῦ παραδείγματος· καὶ ὁ τὴν ἁρπαγὴν λέγων δεδιέναι, τῆς εἰκόνος ἐπιβουλεύει τὸ χρήσιμον. Ἀλλὰ φοβῇ, μὴ ἅρπαγμα τοῖς λοχῶσι γένηται; καὶ τί μὴ λέγεις ἁπλῶς; ἀλλὰ φοβοῦμαι, μὴ αὐτὸς ἀποστὰς ἡμῶν μετὰ τῶν λοχώντων γένηται· μὴ ἐπιλήσηται φιλίας, πόνων, ἄθλων, οὓς διὰ Χριστὸν καὶ τὴν αὐτοῦ Ἐκκλησίαν ἠνέγκαμεν. Οὕτως ὁ λέγων καὶ ἀποκαλύπτων τῆς ἀγωνίας τὸ αἴτιον, καὶ τὰ ἑαυτοῦ χωρὶς μηχανῆς πράττει, καὶ τὸν αἴτιον ῥᾷστα διορθοῦται, καὶ δεικνύει θαῤῥεῖν ἑαυτόν, οἷς ἐπικαλεῖ· ὁ δὲ σκηνὴν πηγνύς, εἶτα δραματουργῶν ἐν αὐτῇ μετὰ προσωπείου τὸ βλάσφημον, ἀντὶ τοῦ σκηνὴν ἑτέροις προβαλεῖν λαβύρινθον ἑαυτῷ λανθάνει περιτιθείς, οὗπερ,[4] ὡς καὶ νῦν ὁρᾷς, οὐκ ἔστιν ἐξελθεῖν· ἀλλ' ὅθεν ἄν τις προκῦψαι πειραθείη, ἀπαντῶσαν ἔχει πανταχόθεν τοῦ λαβυρίνθου τὴν κατασκευήν.

Χωρὶς γὰρ τῶν εἰρημένων, εἰ μὲν νῦν δειλιᾷς τὴν φιλίαν, τί μὴ ῥίπτεις, ἤ σε διὰ βίου σαλεύουσα παίζει; εἰ δὲ τεθάῤῥηκας,[5] πῶς ἐκ τοῦ παρόντος καὶ περὶ τῶν μελλόντων οὐ λαμβάνεις τὴν ἀσφάλειαν; ἀλλ' οἷς μὲν ἔχεις, οὐ χαίρεις· ἃ δ' ὑπονοεῖς, ὡς ὑπ' αὐτῶν

---

[1] Ἡμ. διόρθ. ἡ προσθήκη τοῦ ἄρθρου.

[2] Ἡμ. διόρθ. ἀντὶ—συνήσει.

[3] Ἡμ. διόρθ. ἀντὶ—ἔντορον.

[4] Ἡμ. διόρθ. ἡ προσθήκη τῆς ἀναφορ. ἀντωνυμίας, ἐλλειπούσης παρά τε Μοντακ. καὶ Μιγνίῳ.

[5] Ἡμ. διόρθ. ἀντὶ—ἐθάῤῥηκας,—ὅπερ καὶ "ἐθάῤῥησας" οἷον τ' ἐστὶ γράψαι· ἀλλ' ἄμεινον κατὰ Παρακείμενον.

Digitized by Google

κατειλημμένος, στένεις· μᾶλλον δ' ἄν τις ἕτερος αἰτιάσοιτο[1] (οὐ γὰρ ἔγωγε ἂν φαίην), ὡς ἐξ ὧν περὶ τῶν μελλόντων τεθορύβησαι, ἔργῳ, κἂν μὴ λόγῳ, διομολογεῖς, ὡς οὐδὲ τὰ παρόντα σοι πέπηγεν.

Ἀλλ' ἡμεῖς, ὦ φίλος, οἷα λέγομεν ἁπλᾶ καὶ σαφῆ, συνεπισκόπει. Οὐκ ἐπιτρέπω μέν σοι προδοῦναι τὸν μαργαρίτην· ἀλλὰ μηδ' εὐπρόδοτον λογίζου· τοῦτο γὰρ πρὸ ἐκείνου πικροτέρα μᾶλλον καὶ βαθυτέρα προδοσία. Μὴ προδῷς τὸν σὸν μαργαρίτην· ἀλλὰ μηδ' ἀναίσθητον καὶ ἀκίνητον ὑπονόει, μηδὲ τοῖς ἐχθροῖς εἰς ἅλωσιν πρόχειρον. Μὴ δειλία τὴν φιλίαν· ὕβρις ἐστὶ πάντως ἢ τοῦ δειλιῶντος, ἢ περὶ ὧν δειλαινόμεθα· τὸν μὲν γὰρ μαργαρίτην ἐξαίρει τῆς αἰτίας τὸ ἄψυχον· τὸν ἄνθρωπον δὲ οὐδέν, ἕως ἂν ἄνθρωπος μένῃ, καὶ τῆς ἐπ' ἄμφω ῥοπῆς κύριος. Τί ἄλλο; Μὴ νόμιζε τοὺς Ἁγίους ταύτην τὴν δειλίαν νοῆσαι·[2] μὴ σύ γε, ὦ βέλτιστε, μηδ' ἐπὶ ταύτῃ καθαρὸς ἀπιέναι μώμων, μὴ ὅτι γε στεφάνων σὺν αὐτοῖς τεύξεσθαι. Οὕτως ἡμεῖς σοι προσφερόμεθα· οὕτω καὶ σὲ πρέπον ἡμῖν προσφέρεσθαι. Ἐπιτιμηθῆναι δεῖ; καθαρῶς ἐπιτίμησον· οὐδὲν ἀπαίτει,[3] μηδὲ μετὰ τέχνης ἐπίβαλλε. Ἀφορμὰς δεδώκαμεν δειλίας; ταύτας ἐπίδειξον. Οὐκ ἔχεις εἰπεῖν; μηδὲ ἐν ἐχθρῶν προσώπῳ καθ' ἡμῶν ῥίπτε[4] τὸν ὄνειδον. Καὶ μυρία δ' ἂν κατόψοιτ'[5] ἄν τις, ἀπὸ τῶν ὑμετέρων γραμμάτων προκύπτοντα· ἀλλ' ἴσως καὶ ταῦτα πλέον ἢ κατ' ἐπιστολῆς νόμους. Τὸ λοιπόν, ἀνδρίζου τὴν φιλίαν, καὶ ἔντεινε, καὶ κατευοδοῦ, τοὺς πειρατὰς καὶ λοχῶντας, καὶ εἴ τι ἄλλο κακοῦργον γένος, εἰς τὴν τῆς αἰσχύνης ἀπωθῶν καὶ βυθίζων θάλασσαν, σαυτὸν δ' ἐκεῖθεν ἀνάγων, τὸν λαμπρότατόν σου λαμπρῶς περιφέρων μαργαρίτην· κἂν πᾶς ὀφθαλμὸς πρὸς αὐτὸν ἐπιστρέψηται, ἢ ἐποφθαλμιῶν, ἢ ἀπολαύων τοῦ κάλλους, ὅλον ἔχειν παρὰ σοὶ κείμενον νόμιζε.

Ταῦτα παίζων ἅμα καὶ σπουδάζων ἔγραψα· παίζων[6] μέν, ἵνα γνῷς, ὡς ἔστι καὶ ἡμῖν καταῤῥητορευομένοις ὑπὸ τῶν σφριγώντων τὴν ῥητορείαν ἀμύνης ἀκμή, καὶ λόγος λύων σοφίσματα· σπουδάζων δέ, ἵνα μηκέτι δειλὸς ᾖς, περὶ ὧν προσῆκεν ἀνδρίζεσθαι· ἡ δὲ παρακαταθήκη (μὴ δὲ πάλιν δειλία[7]) καὶ σώζεται, καὶ σωθήσεται.

---

[1] Ἡμ. διόρθ. ἀντὶ—αἰτιάσοι τὸ—παρά τε Μοντακ. καὶ Μιγνίῳ.

[2] Γραπτ. ἴσως—νοσῆσαι.

[3] Οὕτω διωρθώσατο Μίγνιος τὸ παρὰ Μοντακ.—οὐδὲν ἀπαιτεῖ·—ἀλλ' ἔμοιγε δοκεῖ γραπτέον εἶναι κανονικώτερον—μηδὲν ἀπαίτει—κατὰ τὸ πρὸς ὃ συνδέδεται "μηδὲ . . . ἐπίβαλλε."

[4] Ἡμ. διόρθ. ἀντὶ—ῥίπτῃ—παρὰ τοῖς ἄλλοις.

[5] Ἡμ. διόρθ. ἀντὶ—κατόψαιτο—παρὰ τοῖς ἄλλοις.

[6] Ἡμ. διόρθ. ἀντὶ—παίζω—κατὰ τὸ ἀντιθέτως ἑπόμενον, "σπουδάζων δέ."

[7] Ἡμ. διόρθ. ἀντὶ—σὺ δὲ πάλιν δειλία—οὕτω δὲ καὶ ἐν τῇ Λατινικῇ φέρεται μεταφράσει "et noli metuere," ἤ, καὶ τηρουμένης τῆς ἀντωνυμίας; "σὺ δὲ πάλιν μὴ δειλία."

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΙΣΤ'.—116.

Τῷ αὐτῷ.[1]

Οὔτε σκηνὴν καὶ θέατρον ὑπὸ μάλης φέροντες ἐτερατευσάμεθα, δικαίᾳ δὲ λόγων ἐλευθερίᾳ τῆς ἀληθείας προέστημεν· οὔτε κατὰ φίλων, ἀλλ' οὐδὲ κατ' ἐχθρῶν, ὡπλισάμεθα, βέλη καὶ τόξα καὶ παρατάξεις καὶ πολεμίους καὶ ἀσπίδας ὀνειρώττοντες, ὥσπερ οἱ πρὸς ἀέρα πυκτεύοντες· ἀλλ' ὑπὲρ φίλων ἐπαῤῥησιασάμεθα· εἰ βούλει δέ, καὶ ἵνα ὁ Λάζαρος ἀπαλλαγῇ τοῦ παραλυποῦντος ἔλκους, καὶ ἀνώτερος τοῦ διοχλοῦντος γένηται, πᾶσαν κυμάτων ἐπιφορὰν εἰς τὰς τῶν πειρατῶν κεφαλὰς ἐπαναστρέφων, καὶ λοιπὸν ἀδεῶς διαπλέῃ τοῦ βίου τὴν θάλασσαν. Καὶ ὅρα, ὡς οὐχ ἐπιβουλεύω τῷ παραδείγματι, οὐδὲ περιτρέπω τοῦ κεχρημένου[2] τὸ βούλημα, τὸν πλούσιον ἐπιστένων καὶ τὴν ἄστεκτον[3] δίψαν, καὶ τὸ χάσμα, καὶ τὸ πῦρ, καὶ τὴν βάσανον·[4] οὐ γὰρ ἐκ τοῦ χείρονος, ἀλλ' εὖγέ σοι μεταχειριζομένῳ, κατὰ τὸ βέλτιον εἴληπται. Οἶμαι δ' ὡς οὐδὲ μάτην ἡ παῤῥησία καὶ τὸ ἐλεύθερον τῆς γλώττης μοι διεσπούδασται· εἴ γε τὸν φίλτατον ἔχομεν (ὡς καὶ σὺ γράφεις, χαρᾶς ἡμᾶς καὶ εὐφροσύνης πληρῶν) παρωσάμενον μὲν τὴν οὐδαμόθεν αὐτῷ προσήκουσαν δειλίαν, ἀνθελόμενον δὲ τὴν συγγενῆ τῶν ἄλλων τρόπων καὶ κατορθωμάτων ἀνδρίαν, καὶ βυθῷ μὲν τοὺς πειρατὰς αὐταῖς μηχαναῖς καὶ τέχναις τῆς σφῶν βδελυρίας ἐπικλύσαντα, αὐτὸν δὲ πάσης τρικυμίας πονηρῶν ὑπερανασχόντα πνευμάτων, καὶ ταῖς καλαῖς ἐλπίσι γεγενημένον μετάρσιον. Τὰ μέντοι παραδείγματα, οὔμενουν, οὐ κεκακούργηται παρ' ἡμῶν, ἀλλ', ἵνα μὴ κακουργῆται, λόγον ἀπείληφεν. Τί δὲ[5] λέγω; ἵνα μή τις πηγὴν καὶ ποταμὸν ἐπὶ τῆς ἀκηράτου φύσεως ὑπόδειγμα λαβὼν (ὃ καὶ τὸ σὸν ἀνέχειν ὑπείληφας παρολίσθημα), ἔπειτα τὸ μὴ διαῤῥυῆναι αὐτῷ τὸ σέβας δειλιᾷ· μηδ' ὡς ὑφ' ἑτέρου παροχετούμενον κατοδύρηται· μηδ' ἔχῃ φόβον, ὡς τοῖς ἐνεδρεύουσί ποτε δοίη κροτῆσαι τὴν ἅλωσιν, ἢ τοὺς λοχῶντας περιόψεται, ἀποστερεῖν ἐπιχειροῦντας τοὺς ἐραστὰς αὐτοῦ τῆς δικαίας ἀπολαύσεως. Οὕτως ἡμεῖς πρεσβυτικῶς τε καὶ φιλαλήθως, ἀλλ' οὐκ ἐπιδεικτικῶς, οὐδὲ κατὰ νεανίσκους, περὶ ὧν ἐχρῆν, διεξήλθομεν· δι' ὅπερ οὐδὲ τὴν φιλίαν ῥίψαι προὐτρέψαμεν (μή μοι γένοιτο! μὴ οὕτω τῆς πολλῆς ἡμῶν ἁπλότητος τὸ δεινὸν τῆς ῥητορείας κατεντρυφάτω!)· ἀλλ' ἥτις ἐστὶ τοὺς φίλους παίζουσα, ἥτις σαλεύουσα, ἐκείνην ἀποσείσασθαι, ἐκείνην ῥίψαι, ἢ τό γε ἑαυτῆς μέρος προαπέστη καὶ καταλέλοιπεν· ἐκείνην μὴ φέρειν ἄχθος μάταιον, τὴν λόγοις μόνον ἐπιμειδιῶσαν, ἔργῳ δὲ τὸ σκυθρωπὸν καὶ τὴν κατήφειαν μετὰ τῶν ἐχθρῶν συσκευάζουσαν. Τὰ δ' ἄλλα, ὥσπερ ᾔτησας, πτέρυγες

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 916)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΜΔ'.

[2] Τοῦτ' ἔστι, τοῦ χρείαν ἔχοντος, τοῦ πένητος.

[3] Ἡμ. διόρθ. ἀντὶ—ἄστηκτον—ὅπερ οὐχ εὕρηται· ἄστεκτος δὲ (ἐκ τοῦ α στερ. καὶ στέγω)=ἀφόρητος.

[4] Τὴν παρὰ Ματθαίῳ (ΙΣΤ'. 19—31) παραβολὴν τοῦ πλουσίου καὶ τοῦ πένητος Λαζάρου αἰνίττεται.

[5] Ἡμ. διόρθ. ἀντὶ—γε.

Digitized by Google

φιλίας ἥρπασαν, καὶ προνοίας περιέπουσι θάλαμοι· καὶ οἰκειοῦμαι τὰ ἐμά· καὶ οὐκέτι δέομαι φαρμάκων, οὐδὲ θεραπείας, μηδ' ἱλεοῦντος, αὐτός γε, μηδὲ πρεσβεύοντος. Ἔχω γὰρ τὸν ποθούμενον πάσης ἀῤῥωστίας ἀνώτερον, καὶ τὸ ἴχνος αὐτὸ τοῦ νυσήματος, τὴν μικρὰν δειλίαν, εὐγενῶς τε καὶ ὥσπερ ηὐχόμην ἀποῤῥίψαντα.

ΕΠΙΣΤΟΛΗ ΡΙΖ'.—117.

Βάρδᾳ Πατρικίῳ καὶ στρατηγῷ Μακεδονίας.[1]

Ἄρχε ποθούμενος μᾶλλον ἢ σὺν φόβῳ· τὸ μὲν[2] γὰρ οὐκ ἔστι μὴ οὐχὶ εἰς μῖσος ἀποκριθῆναι, τὸ δὲ τὴν τῶν ἀρχομένων εὔνοιαν εἴωθε θηρεύειν· δῆλον δὲ τὸ ἐν πάσῃ καὶ πράξει καὶ χρείᾳ διάφορον ἑκατέρου. Εἰ δέ τι ταπεινὸν καὶ εὐκαταφρόνητον, ὡς ἂν ἐκεῖθεν ἐπιφύεσθαί σοι μέλλον, ὑποτρέχει τοὺς λογισμούς, καὶ πρὸς τὴν συμβουλὴν ὀκνηρότερον παρασκευάζει, ἀλλὰ σύ γε τὸ βεβηκὸς τῶν τρόπων, καὶ τὸ ἐστηριγμένον τῆς γνώμης, καὶ τὸ μὴ προσανεῖσθαι κόλαξι καὶ βωμολόχοις τούτοις ἀντιτάξας, σεμνότητα φίλην, εὖ ἴσθι, παρὰ τοῖς ἀρχομένοις, καὶ γλυκεῖαν αἰδὼ τῆς στρατηγικῆς χλανίδος λαμπρότερον ὀφθήσῃ περιβεβλημένος· καὶ τῶν ἐπὶ σοβαρότητι καὶ ἠθῶν τραχύτητι μέγα φρονούντων εὐσταθέστερον κατὰ πολὺ καὶ βεβαιότερον ἐπιδειχθήσῃ τὸ ὑπήκοον περιάγων.

ΕΠΙΣΤΟΛΗ ΡΙΗ'.—118.

Ἰωάννῃ Πατρικίῳ καὶ στρατηγῷ Ἑλλάδος.[3]

Εὔνομος ᾄδων ἐσεμνύνετο, φασίν, ὁ Λοκρός· καὶ ᾔδε γὰρ θέλγων καὶ κηλούμενος τοὺς ἀκροατάς.[4] Μιᾶς δέ ποτε ῥαγείσης αὐτῷ τῶν[5] χορδῶν, τέττιξ ἐπὶ τὸν πῆχυν καθίσας, τὸν φθόγγον ἀνεπλήρου τῆς ῥαγείσης χορδῆς, καὶ ἦν Εὐνόμῳ πάλιν ᾄδειν, ὡς τὸ πρότερον, ἐμμελῶς.[6] Εἰ δέ γε ἡμῖν ἀντὶ τέττιγος καὶ ξένης ᾠδῆς, τῆς σῆς φιλίας, οὐκ οἶδ' ὅθεν, περιῤῥαγείσης, ἀποκαταστήσας πάλιν ἐντείνεις τὴν νευράν, ἴσως ἂν εἰς τὴν προτέραν ἡμῶν ὁλοκληρίαν ὁ βίος ἐπανελθών,[7] καὶ συμφωνίαν ἀρίστην ἀναλαβών, ᾄσεταί

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 943)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΞΖ'.

[2] Σχῆμα χιαστόν· τοῦτ' ἔστι, τὸ μὲν (ἄρχειν σὺν φόβῳ), τὸ δὲ (ἄρχειν ποθούμενον).

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 949)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΨΓ'.

[4] Μοντακ. διορθωτέον εἶναι νομίζει—καὶ ᾄδων ἔθελγε κηλούμενος τοὺς ἀκροατάς·—ἔμοιγε μέντοι δοκεῖ ὀρθῶς κεῖσθαι τὸν αἰτιολογικὸν λόγον πρὸς αἰτιολογίαν τοῦ—ἐσεμνύνετο.

[5] Ἡμ. διόρθ. ἡ προσθήκη τοῦ ἄρθρου.

[6] Ἴδε τὰ περὶ Εὐνόμου καὶ τῶν ἐν Λοκροῖς τοῖς ἐν Ἰταλίᾳ τεττίγων ἱστορούμενα ὑπὸ Στράβ. (Τόμ. Α', σελ. 350, ἔκδ. Κοραῆ) καὶ Αἰλιανοῦ περὶ φύσ. ζώων (Ε', 9) καὶ Φωτίου Μυριόβ. (κ. 186).

[7] Μοντακ. παραινεῖ γράφειν—ἐπανέλθοι—διὰ τὸ προηγούμενον "ἴσως ἄν" ἀλλὰ σύνηθες ἦν τότε, ὡς

Digitized by Google

τι μέλος εὐδαιμονίας, ἀντὶ τῆς νῦν τραγῳδίας, ἡδὺ καὶ τερπνόν· καὶ τοῖς ἔπειτα τῶν ἀνθρώπων, οὐχὶ Εὔνομος καὶ [1] κιθαρῳδός, καὶ τέττιξ μουσουργός, μύθου πλάσμα παλαιοῦ, ἀλλ' Ἀρχιερεὺς Θεοῦ, καὶ φίλος ἔνθεος καὶ καλός, εἰς παράδειγμα καὶ παροιμίαν ἐξαρκέσει ἀληθινήν.

ΕΠΙΣΤΟΛΗ ΡΙΘ'.—119.

Θεοφυλάκτῳ Πατρικίῳ καὶ στρατηγῷ Ἀρμενιανῶν. [2]

Τρία μισεῖν οἶδα, καὶ τοὺς ἄλλους μισεῖν παραινῶ, ψεῦδος, καὶ δόλους, καὶ ἀγάπης διαφθοράν· ἀλοίην δ' [3] ἂν τοῖς τρισίν, εἴ τί μοι παρ' ἃ διεπράχθη, καὶ κατὰ νοῦν ἔχω, ἄλλως ἐρεῖν μελετήσω. Ἐγώ σε φίλον ἐποιησάμην, φίλον μὲν ὄντα Θεοῦ, ὅσα γε εἰς εὐσεβεῖς ἦκε λογισμούς, φίλον δὲ πιστὸν τοῖς φιλοχρίστοις βασιλεῦσιν ἡμῶν· οὐδὲ τὰ πρὸς ἡμᾶς δὲ παρὰ ταῦτα (ὥς γ' ἑαυτοὺς [4] ἤγομεν εἰς πειθώ), ἀλλὰ τὸν ὅμοιον τρόπον διακείμενον. Ἀλλὰ τότε μὲν οὕτως εἴχομέν τε καὶ ἐπεπείσμεθα· [5] ἔχομεν δὲ ὡσαύτως καὶ νῦν. Πῶς οὖν ἡδύς εἰμι τοῖς σοῖς συκοφάνταις; αἰσχύνομαι γὰρ εἰπεῖν, ὡς [6] ἦλθον ἐπὶ σὰς διαβολάς· οὐδὲ γὰρ τὸ ἀπολύειν ἐμαυτὸν ὑπολήψεως τοιαύτης ἀνεκτὸν ἐμοί· ἀλλ' ἐκεῖνος ἐχθρός, ἐκεῖνος συκοφάντης, ἐκεῖνος πάντα κακός, ὁ τηλικαύτην πλάσας συσκευήν, καὶ σὲ φίλων, καὶ τῶν ὅτι μάλιστα, σπουδάσας ἔρημον ποιεῖν, καὶ ἡμᾶς εἰς τὸν ἔσχατον τῶν κακουργῶν χῶρον [7] τάττειν οἰηθείς, ἄρχειν ἀδίκων, οὐ χειρῶν, ἀλλὰ γνώμης (ὃ πλειόνων αἰτία κακῶν, ἢ χερσὶν ὑβρίζειν), μῖσος δὲ πρὸ τῆς ἀγάπης τιμᾷν, καὶ τὸν δόλον ἔχειν εἰς ἀποφυγήν· ἅμα πάντα φέρων καθ' ἡμῶν (συντρέχει γὰρ ταῦτα εἰς αὐτὸ τὸ [8] κακόν τι τοῖς φίλοις ἐθέλειν ποιεῖν, ἃ λέγει ἐκεῖνος), καίτοι γέλωτα ὀφλισκάνων τοῖς ἡμᾶς εἰδόσι καὶ τὸν ἡμέτερον τρόπον, ὅμως οὐκ ἐνάρκησε τολμᾷν. Δήλου τοῦτον, ὅστις ἂν ᾖ· ἀπαλλαγείης γὰρ ἂν οὕτω θηρίου κακοῦ, καὶ σὲ καὶ τοὺς φίλους λάθρα λυμαινομένου καὶ δάκνοντος, καὶ ἐν

πολλάκις εἴδομεν, καὶ Ὁριστικῆς Ἐνεστῶτι καὶ Μέλλοντι συνάπτειν τὸν δυνητικὸν ἂν εἰς ἔκφρασιν ἐνδεχομένης ἐννοίας. Οὕτω τοίνυν κἀνταῦθα πρὸς τὸν Μέλλοντα "ἄσεται" συνάπτει τὸ "ἴσως ἄν" καὶ διὰ τοῦτο καλῶς, οἶμαι, κεῖται ἡ Μετοχὴ "ἐπανελθών." Εἰ δὲ πάντως πρὸς Εὐκτικὴν βούλοιτό τις συνάπτειν τὸν ἄν, μᾶλλον ἂν τρέψειε τὸ "ἄσεται" εἰς τὸ "ἄσοιτο," ἢ τὴν Μετοχ. "ἐπανελθὼν" εἰς τὸ "ἐπανέλθοι."

[1] Ὀρθῶς ἐσημειώσατο Μοντακ. διαγραπτέον εἶναι τὸν—καί.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 929)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΚΑ'.

[3] Ἡμ. διόρθ. ἡ προσθήκη τοῦ—δέ.

[4] Ἡμ. διόρθ. ἀντὶ—ὥς γε αὐτούς.

[5] Ἡμ. διόρθ. ἀντὶ—πεπείσμεθα.

[6] Ἡμ. διόρθ. ἀντὶ—πῶς.

[7] Ἡμ. διόρθ. ἀντὶ—χώραν·—ἢ καὶ ἄλλως γραπτέον "εἰς τὴν ἐσχάτην . . . . χώραν."

[8] Ἡμ διόρθ. ἀντὶ—τῷ·—πλὴν εἴ τις τὸ "αὐτὸ" εἰς τὸ "ταὐτὸ" μεταβάλοι.

Digitized by Google

προσποιήσει εὐνοίας πολλὴν ἐκκενοῦντος[1] τὴν δυσμένειαν. Εἰ δὲ κρύψεις τοῦτον, ἡμεῖς μέν, ὡς ἐπὶ Κυρίου, ἀπολελογήμεθα, καὶ φίλον σε[2] καὶ Θεοῦ ἡμῶν καὶ τῶν εὐσεβεστάτων βασιλέων πάλαι τε καὶ νῦν καὶ πιστεύομεν καὶ κηρύσσομεν. Ὁ δὲ κακὸς ἐκεῖνος ἀνήρ, εὖ ἴσθι, ὡς οὐκ ἀπορήσει κακίας, δι' ὧν τὰ σὰ χείρω διαθήσει. Ἐγὼ δέ σοι ἔτι συμβουλεύσαιμι ἂν μὴ κρύπτειν τὸν κοινὸν ἐχθρόν· καὶ εἰ μὲν ἀπιστεῖς, ὧν[3] ἔγραψα, εὖ οἶδ' ὅτι κρύψεις· φίλον γὰρ νομίσεις, ἐμὲ δὲ μακρὰ ληρεῖν καὶ φλυαρεῖν μάτην· εἰ δὲ θριαμβεύσεις, ἐπίστευσας· ὅπερ εὔχομαί τε, καὶ ἀμφοῖν λυσιτελήσει.

ΕΠΙΣΤΟΛΗ ΡΚ'.—120.

Ἰωάννῃ Πατρικίῳ καὶ Σακελλαρίῳ.[4]

Λαμπρῶν ἐπαίνων, δι' ὧν πράττεις, παρὰ τοῖς σπουδαίοις τυγχάνων, δίκαιος ἂν εἴης μηδὲ τούτου ἐν ἀγνοίᾳ εἶναι, ὅτι ὅσον ὑψηλὸν καὶ θαυμάσιον τὸ ἐν τούτοις κλέος, τοσαύτης καὶ τῆς ἀσφαλείας καὶ ἐπιμελείας δεῖται. Πολλὰ μὲν γὰρ κατὰ τῶν εὐδοκιμούντων ἀπὸ τῆς τῶν δαιμόνων ἐπιβουλῆς ἐφίεται βέλη, οὐδὲν δ' ἔλαττον καὶ ὁ ἐξ ἀνθρώπων ἀνερεθιζόμενος φθόνος τὸν ἰὸν ἐκχέει. Ἀλλὰ σύ γε τὸν τῆς ἀρετῆς οὐκ ἐνδιδοὺς τόνον, καὶ εἰς τὸν αὐτὸν δὲ τοῖς προτέροις ἀγῶνα σὺν μετρίῳ καὶ ταπεινῷ ἐναποδυόμενος τῷ φρονήματι, τῶν μὲν κωφὰ θᾶττον διελέγξας τὰ βέλη εἰς ἐσχάτην αἰσχύνην καὶ ἀπορίαν μᾶλλον αὐτοὺς περιστήσεις, τὸν δὲ εἰς τοὺς τεκόντας μετὰ πλείονος πικρίας ἐπαναστρέψαι παρασκευάσεις· καὶ τὸν τῆς ἐχίδνης μῦθον ἐν αὐτοῖς ἐνεργούμενον ἐπιδείξεις,[5] δείξας οὐχ ἑτέρους, ἀλλ' αὐτούς γε τοὺς γεννησαμένους κατεσθιομένους μᾶλλον καὶ διαφθειρομένους ὑπὸ τοῦ καλοῦ γεννήματος αὐτοῖς, τοῦ φθόνου· δι' ὧν σεαυτὸν λαμπροτέρας εὐφημίας καὶ ἀναῤῥήσεως μάλιστα ἀξιώσεις.

ΕΠΙΣΤΟΛΗ ΡΚΑ'.—121.

Μιχαὴλ Πατρικίῳ καὶ Σακελλαρίῳ.[6]

Εἰ μὲν φιλεῖς, ἀδικεῖς· εἰ δὲ μὴ φιλεῖς, πλέον ἀδικεῖς· τὸ μέν, ὅτι τῶν φιλουμένων

---

[1] Οὐκ οἶδ' ἀνθ' ὅτου Μοντακ. "ἐκκεντοῦντος" τοῦτο διορθοῦται.

[2] Προσθετέον ἴσως "ἡμῶν" ἢ "ἡμέτερον" μᾶλλον δὲ μεταθετέον τὴν Γεν. "ἡμῶν."

[3] Γραπτέον ἴσως "οἷς ἔγραψα" διὰ τὸ "ἀπιστεῖς" οὐ γὰρ ἄν τις εἴποι τὴν τοῦ στερητικοῦ ἔννοιαν ὑπερισχύειν ἐνταῦθα τῆς τοῦ ῥήματος σημασίας.

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 936)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΜΗ'.

[5] Ἱστορεῖται γὰρ τὰ τῆς ἐχίδνης τέκνα εἰς φῶς προϊέναι, τὴν μητρῴαν διεσθίοντα νηδύν. Ἴδε Αἰλιανοῦ περὶ φύσ. ζώων. βιβλ. Α', § 24.

[6] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 941)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΝΖ'.

Digitized by Google

ἐν ταῖς συμφοραῖς ὀλιγωρεῖς, τὸ δέ, ὅτι οὐδὲ τοὺς φιλοῦντας φιλεῖς. Ταῦτά σοι ὁ πάλαι μὲν σός, νῦν δὲ καὶ κοινὸς φίλος, τοῦτο μὲν φιλικῶς ἐλέγχων, τοῦτο δὲ δυσωπῶν, δι' ἡμῶν χρηματίζει καὶ διαμαρτύρεται.

ΕΠΙΣΤΟΛΗ ΡΚΒ'.—122.

Βαάνει Πραιποσίτῳ καὶ Πατρικίῳ.[1]

Ἦν ποτε κρύφιος φίλος ὁ Ἰωσήφ, καὶ νυκτερινὸς μαθητὴς τοῦ ἐμοῦ Δεσπότου καὶ Θεοῦ·[2] ἀλλ' ὕστερον τοὺς δεσμοὺς ἀπορρίψας[3] τῆς δειλίας, τῶν εἰς τὸ φανερὸν φιλούντων θερμότερος καὶ θαῤῥαλεώτερος γέγονε· καὶ τὸ Δεσποτικὸν ἐφ' ὕβρει κρεμάμενον σῶμα τοῦ ξύλου καθελών, τῆς δυνατῆς θεραπείας οὐκ ἠμέλησεν. Μέχρι τίνος τοίνυν καὶ αὐτὸς διὰ νυκτὸς ἡμᾶς ἀγαπήσας, ἀλλὰ μὴ φωτὸς καὶ ἡμέρας υἱὸς γεγονώς, ῥήξεις ἀξίαν φωνὴν τῆς Ἰωσὴφ παῤῥησίας, καὶ καθελεῖς οὐκ ἀπὸ ξύλου τὸ σῶμα, ἀλλὰ μυρίων πειρασμῶν καὶ θλίψεων καὶ ταλαιπωρίας καὶ πικροῦ ῥυόμενος καὶ καθημερινοῦ θανάτου;[4] *Εἰ δέ σε ἡ τοῦ Κόσμου φιλία καὶ ἡ πρὸς αὐτὸν συμπάθεια οὐκ ἐᾷ, μάτην εἰς καταφυγὴν καὶ παράδειγμα ὁ Ἰωσὴφ ἐπενοήθη καὶ προκομίζεται.*

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 949)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΨΑ'. Καὶ Ἰάγερος δὲ ταύτην Γαλλιστὶ μεθερμηνεύσας ἐν τῇ Ἱστορίᾳ αὐτοῦ περιέλαβεν* (σελ. 260—1), *οὐ τὴν Φωτίου θαυμάζων παῤῥησίαν, οὐδὲ τοῦ λόγου τὸ κάλλος, οὐδ' ἄλλο τι τῶν τοιούτων* (πολλοῦ γε καὶ δεῖ)· *ἀλλὰ καὶ ἐνταῦθα τὸ ἑαυτοῦ ποιῶν, ὥσπερ δὴ καὶ ἀλλαχοῦ πολλάκις. Ἔστι δὲ ἡ ἐπιστολὴ αὕτη δευτέρα πρὸς Βαάνην τὸν Πατρίκιον ἀποστελλομένη, πρώτης ἀποσταλείσης αὐτῷ τῆς ἐπιτιμητικῆς ἐκείνης* (ἴδε ἐπιστ. ΡΨΘ'), *ἐν ᾗ πικρῶς ἐξελέγχει Φώτιος τὴν τῶν διωκόντων αὐτὸν ὠμότητα, Ἑλλήνων τε καὶ βαρβάρων καὶ τῶν θηρίων αὐτῶν ὠμοτέρους ἀποκαλῶν, ὅτι καὶ ἰατρῷ οὐ συνεχώρουν προσελθεῖν αὐτῷ ἀσθενοῦντι. Ἔοικε τοίνυν τὸν Βαάνην τὴν ἐπιστολὴν ἐκείνην λαβόντα ἀντιγράψαι Φωτίῳ, ὡς αὐτὸς οὐκ ἔστι τῶν διωκόντων, ἀλλὰ καὶ τῶν φιλούντων αὐτόν, κρύπτει δὲ τὴν φιλίαν φόβῳ τοῦ Αὐτοκράτορος, ὥσπερ ὁ κρύφιος τοῦ Χριστοῦ φίλος καὶ μαθητής, Ἰωσὴφ ὁ ἀπὸ Ἁριμαθαίας. Πρὸς ταῦτα δὲ Φώτιος, οὐκέτι ἐπιτιμῶν, ἀλλὰ νουθετῶν, τὰ ἐν τῇ παρούσῃ ἀποκρίνεται ἐπιστολῇ, μάτην λέγων ἐπινενοῆσθαι Βαάνει τὸ τοῦ Ἰωσὴφ παράδειγμα, ἣν μὴ καὶ τὰ τοῦ Ἰωσὴφ πράξῃ, κ.τ.λ. Διὰ ταῦτα τὴν μὲν πρώτην τῶν δύο τούτων ἐπιστολῶν ἐν ταῖς ἐπιτιμητικαῖς ἐτάξαμεν, ταύτην δὲ ἐν ταῖς παραινετικαῖς· ἀναγνωστέον μέντοι ταύτας ἐπαλλήλους. Τὸ δὲ Πραιπόσιτος ἐκ τοῦ Λατιν.* praipositus=*ἐπιστάτης, ἔφορος.*

[2] *"Ἰωσὴφ ὁ ἀπὸ Ἁριμαθαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, κ.τ.λ."* (*Ἰωάν. ΙΘ', 38*)· *οἱ δὲ ἄλλοι Εὐαγγελισταὶ καὶ βουλευτὴν προσονομάζουσι τὸν Ἰωσὴφ τουτονί, καὶ ἄνδρα ἀγαθὸν καὶ δίκαιον.* (*Ματθ. ΚΖ', 57. Μάρκ. ΙΕ', 43—44· καὶ Λουκ. ΚΓ', 50—51.*)

[3] *Παρὰ Μοντακ.—ἀπορρήξας—ὅπερ ἄμεινον διὰ τὸ ἑπόμενον "ῥήξεις φωνήν."*

[4] *Μοντακ. εἰκάζει προσθετέον εἶναι—τὴν ψυχήν·—ἄμεινον μέντοι "τὸ σῶμα" ἀπὸ κοινοῦ καὶ ἐνταῦθα νοεῖσθαι· οὐ γὰρ θνητὴ ἡ ψυχή.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΚΓ'.—123.

Μαριανῷ Πατρικίῳ καὶ Δομεστίκῳ τῶν σχολῶν.[1]

Εἴ τις ηὔχετο διὰ βίου τοιαύτῃ περιτυχεῖν ὑποθέσει, δι' ἧς ἅμα καὶ φιλίας καὶ δικαιοσύνης ἐργάτης δόκιμος ἀναφανείη, οὐκ ἂν ἀμείνω τῆς νῦν σοι παρ' ἡμῶν προτεινομένης ὀφθείη εὑράμενος. Ὁ μὲν ἀδικούμενος, ὑπὲρ οὗ πρεσβεύω, τῶν μήπω μέν σοι ἐγνωσμένων ἐστί, λαμπρὸν δὲ τὸ δίκαιον ἔχει· ὁ δὲ πρὸς ὃν ἡ δίκη, φίλος τέ ἐστι καὶ πένης, καὶ οὐδ' ἀπὸ κακίας ἴσως, ἀλλ' ἐξ ἀπορίας ὁρᾷ πρὸς τὸ[2] ἄδικον. Σὺ δὲ καὶ κριτής, καὶ τρόπους χρηστός, καὶ ὃ μηδετέρου ἔλαττον, ἑκατέραν τῶν ἀρετῶν λαμπρὸς[3] ἐπιδείξασθαι· τὸν Θεὸν ἔχεις ἐν ἀφθονίᾳ πλούτου τὸν βίον συνέχοντα· οὐ συνέχοντα δὲ μόνον, ἀλλά (καὶ οὐκ ἂν σφαλείην τῆς ἀληθείας) διὰ τὰς ἐπ' ἐλέῳ σου πράξεις ἴσῃ προσθήκῃ τοῦτον ἤδη πλεονάζοντα. Πῶς ἄν τις καὶ τῷ φίλῳ κινδυνεύοντι κατὰ τοὺς νόμους τῆς ὡς ἀληθῶς ἀγάπης βοηθήσοι, καὶ τῷ ἀδικουμένῳ, δίκης ἄλλος ὀφθαλμὸς γενόμενος, χεῖρα ἐπίκουρον προτείνοι, ἢ[4] εἰ, ὥσπερ σὺ διαπραξάμενος καὶ κατορθώσας, ὅπερ ἀξιοῦμεν (ἐλπὶς γάρ με, τὸ μέλλον ὡς παρὸν ὁρῶσα, οὕτω λέγειν ἀναπείθει), τῷ μὲν ἀδικηθέντι τὸ ἀδίκημα ἀποκαταστήσει, τὸν δὲ φίλον, οἴκοθεν κατατιθεὶς τὸ ὀφείλημα, τῆς εἰσπράξεως ἐλευθερώσει; Καὶ ὅρα, ὡς ἡ πρᾶξις, ἐφ' ἣν σε παρακαλοῦμεν, μία οὖσα, καὶ δύο ταῦτά σοι περιποιοῦσα, προσμαρτυρεῖ ἀγάπης πλοῦτον καὶ δικαιοσύνης ἄμαχον ἰσχύν· καὶ καλὸν τῷ βίῳ διήγημα ἐγκαινίζουσα, ἀρχέτυπόν σε τοῖς φιλαρέτοις καὶ ἀξιοζήλωτον ἐπεισάγει παράδειγμα· καὶ τὸ μέγιστον, καὶ τῶν ἄλλων ἁπάντων, ὅσα τις ἀγαθὰ καὶ εἴποι καὶ ἐπινοήσοιτο, κεφάλαιον, ὅτι τὰς οὐρανίους πύλας αὕτη ὑπανοίγει σοι, πρὸς τὸν καθαρὸν ἐκεῖνον καὶ μακάριον θάλαμον τῆς θείας καὶ ἀϊδίου ἀπολαύσεως μετὰ πολλῆς προπέμπουσα (ἧς πῶς ἂν ἀξιωθείην[5] ἔγωγε;) φαιδρότητος.

ΕΠΙΣΤΟΛΗ ΡΚΔ'. —124.

Τῷ αὐτῷ.[6]

Ἔδειξας εἰς ὅσον ἥκει καὶ φιλίας καὶ δικαιοσύνης ἡ σὴ τελειότης, καὶ τότε γενεαῖς

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 964)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΠΘ'. Τὸ δὲ ἀξίωμα Δομέστικος (ἐκ τοῦ Λατινικοῦ domesticus=οἰκεῖος, ἴδιος) ποικίλον ἦν ἐν τῇ Βυζαντινῇ αὐλῇ. Ἦν γὰρ πρώτιστος μὲν ὁ καλούμενος μέγας δομέστικος τρίτος ὢν μετὰ τὸν Αὐτοκράτορα, ἔπειτα δὲ καὶ δομέστικος τῆς τραπέζης, καὶ δομέστικος τῶν σχολῶν, καὶ δομέστικος τῶν τειχῶν, καὶ δομέστικος τῶν ἀνατολικῶν θεμάτων καὶ δομέστικος τῶν δυτικῶν θεμάτων, ὅπερ ἐστὶν ἐπιστάτης. (Ἴδε Κ. Κουρουπαλ. περὶ ὀφφικίων, σελ. 7—13 καὶ σελ. 176· ἔκδ. Βόννης.)

[2] Ἡμ. διόρθ. ἀντὶ—τόν.

[3] Ἡμ. διόρθ, ἀντὶ—λαμπρῶς.

[4] Ἡμ. διόρθ. ἡ προσθήκη τοῦ—ἤ.

[5] Ἐκ διορθ. Μιγνίου, ἀντὶ—ἀναξιωθείην—παρὰ Μοντακ.

[6] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (ἔνθ. ἀνωτ.)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΨ'. Ἔοικε δὲ τὸν Μαριανὸν τὴν

Ἀριστοφάνην, ἀλλ' ἐκεῖνο παγχάλεπον, εἰ καὶ αὐτὴ κάθηται τυφλὴ ἡ δίκη, μὴ ἔχουσα δι' οὗ τοῖς ἀδικουμένοις ἐπιβλέψει. Ἀλλὰ νῦν διὰ τῆς σῆς ἀρχῆς εἰς τὸ ὁρᾶν ἐπανελθοῦσα, δειξάτω τὸν πλοῦτον μὴ τυφλὸν μόνον, ἀλλὰ καὶ ἄφωνον· ὑπερηχείτω[1] *δὲ τὰ δίκαια, κἂν πένητος εἴη, τῶν χρυσῷ παντὸς δικαίου φωνὴν ἐθισθέντων ἀπελαύνειν τοῦ σεμνοῦ ταύτης*[2] *καὶ περιβλέπτου βήματος.*

ΕΠΙΣΤΟΛΗ ΡΚΗ'.—128.

Ἠλίᾳ Πρωτοσπαθαρίῳ καὶ Δρουγγαρίῳ τοῦ πλοίμου.[3]

Εἶπεν ἄν[4] *τις τῶν παρ' Ἕλλησι σοφῶν,* **Τὸ τάχος μόνης τύχης**· *ἐγὼ δ' ἂν φαίην, ὡς, εἰ μὴ θείας ἐστὶν ὁρμῆς, ἢ καιρῶν ἀνάγκης, μόνης ἀβουλίας.* **Σκέψασθαι** *δεῖ τοιγαροῦν περὶ ὧν ἐπείγῃ, καὶ μὴ τῷ προπετεῖ τὴν πρᾶξιν πιστεῦσαι.* **Καὶ γάρ,** *ἂν μὲν εἰς συμφέρον ἀποβαίη, ὥσπερ τὰς ἐκ τοῦ τέλους ὠφελείας, οὕτω δὴ καὶ τοῦ βουλεύσασθαι κερδανεῖς τοὺς ἐπαίνους· ἂν δὲ τοὐναντίον, τοῦ μὲν βεβουλεῦσθαι οὐδ' οὕτω τὴν κρίσιν ἐζημιώθης, τοῦ δέ γε μὴ ὠφελῆσθαι,*[5] *ὃ*[6] *μέγιστόν ἐστιν ἐν πᾶσι τοῖς τοιούτοις παραμύθιον, οὐ σαυτὸν αἰτιάσῃ.*

ΕΠΙΣΤΟΛΗ ΡΚΘ'.—129.

Λέοντι Πρωτοσπαθαρίῳ.[7]

Ἴσθι, ὡς οὐ μόνον τῷ τληπαθεῖ Ἡρακλεῖ, ἀλλὰ καὶ τῷ λογίῳ Ἑρμῇ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσιν. **Μὴ τοίνυν στρατείαις καὶ πόνοις σωματικοῖς ὅλον σεαυτὸν διδούς, τῶν καλῶν μαθημάτων ἀφίστασο, ἐκεῖθέν σοι ῥεῦσαι μόνον τὴν εὐδαιμονίαν τοῦ βίου οἰόμενος·** *ἀλλὰ καὶ ταῖς ἡμετέραις εὐγενέσι* **Μούσαις** *(αἳ τῶν Ἑλληνίδων τοσοῦτον διαφέρουσιν, ὅσον ἐλεύθεροι φύσεις δούλων ἠθῶν,*

---

[1] *Ἐκ διορθ. Μοντακ. ἀντὶ—ὑπερηχεῖ τῷ.*

[2] *Μοντακ. διορθοῦται—τούτου—ἀλλ' ἄμεινον, οἶμαι, τὸ τοῦ χειρογράφου "ταύτης," τῆς δίκης δῆλον ὅτι.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 965)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΫΖ'.*

[4] *Γραπτέον ἴσως—μέν.*

[5] *Ἡμετ. διόρθ. ἀντὶ—ὠφελεῖσθαι.*

[6] *Πρὸς τὸ ἑπόμενον "οὐ σαυτὸν αἰτιάσῃ" ἀλλὰ μὴ πρὸς τὸ ἡγούμενον "ὠφελῆσθαι" τὴν ἀντωνυμίαν νόει ἀναφερομένην.*

[7] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΡΙΗ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΡΖ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΣΘ'. Προεκδέδοται δὲ ὑπό τε Οἰσχελίου ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 910) καὶ ὑπὸ Μοντεφολκονίου ἐν τῇ Κοισλιαν. Βιβλιοθ. (σελ. 347).*

Digitized by Google

καὶ κολακείας ἀλήθεια) δίδου κἂν ἐν μέρει τὰ σεμνὰ καὶ ἡδέα τῶν ἀσμάτων κατεπάδειν σοι. Τὸ μὲν γὰρ Ἀμαλθείας κέρας καὶ τῷ Ἀχελώῳ ποταμῷ, ὅτι τὴν ὑποκειμένην περιῤῥέων χώραν πάμφορον ἐργάζεται, τὸ ποιητῶν αὐτόνομον ἔθνος ἑτοίμως χαρίζονται·[1] καὶ οὐδὲν ἀνθρώπῳ μέγα τυχεῖν ὧν ἐκ φύσεως ἔχει καὶ τὰ ἄψυχα· τὴν δ' ἀληθῆ καὶ θείαν εὐδαιμονίαν, καὶ ἀνθρώπῳ πρέπουσαν, καὶ πρὸς ἣν ἡ Ἀμάλθεια παρατιθεμένη, νόσος καὶ πενία εὑρίσκεται, ἐκ μόνων ἐστὶ τῶν θείων λογίων καὶ τῆς ἐκεῖθεν γεωργίας ἀμήσασθαι.

ΕΠΙΣΤΟΛΗ ΡΛ'.—130.

Νικήτᾳ Πρωτοσπαθαρίῳ καὶ ἐπὶ τοῦ ἰδικοῦ ὑπὲρ τῶν Μητροπολιτῶν τοῦ Κυζίκου καὶ τοῦ Λαοδικείας.[2]

Οἶδα μὲν τὴν φιλόθεόν σου ψυχὴν αὐτοπαράκλητον οὖσαν πρὸς τὸ ἀγαθόν, καὶ συμπάσχουσαν ἐμφύτῳ διαθέσει τοῖς ὑπὲρ Χριστοῦ τὰ ἔσχατα πάσχουσι· πλήν, ἐπεὶ καὶ ἡμεῖς ἐγκαυχᾶσθαί σου ταῖς ἀρεταῖς ποιούμεθα μέγα, καὶ συναλγεῖν τοῖς μέλεσιν ἡμῶν καὶ ἀδελφοῖς χρέος ἀπαραίτητον[3] ὁρῶμεν, διὰ ταῦτα τὴν διάνοιαν πρὸ τῶν λόγων, καὶ πρὸ τῆς χειρὸς τοὺς λόγους, καὶ σὺν αὐτοῖς τὴν χεῖρα πρὸς ἱκεσίαν κινοῦμεν. Ἀρκεῖ ταῦτα πρὸς σέ, οἶδα, καὶ δυσχεραίνεις ἴσως, ὅτι βραδύνω τὴν αἴτησιν, καὶ ἀγωνίας τὴν παράκλησιν, καὶ μήπου ἄρα τῆς σῆς ἐπιλελήσμεθα τελειότητος, καὶ ὅτι πολλαχοῦ προφθάνων ὤφθης τὴν δέησιν,[4] οὐκ ἀναμείνας παραίνεσιν. Πείθομαι ταῦτα· ἀλλὰ τὸ περὶ τοὺς συναθλητὰς καὶ συναιχμαλώτους ἄλγημα οὕτω με ποιεῖ διατίθεσθαι, καὶ μακρότερον τῆς ἱκεσίας ἐφάπτεσθαι. Ἐρῶ δὴ ἤδη. Οἱ τοῦ Θεοῦ τῷ ὄντι Ἀρχιερεῖς, καὶ ἡμῶν τῶν ταπεινῶν συναρχιερεῖς, χειμῶνι καὶ ἡλίῳδιατηκόμενοι (λογίζου μοι χρόνος ὅσος), ἠναγκάσθησαν ἐξ ἐράνου καὶ χρεῶν βαρυτόκων, εἰ μή τι ἄλλο, ἀλλ' οὖν ὥσπερ τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἑαυτοῖς περινοήσασθαι κατασκηνώσεις, καὶ ζωῆς τινος μικρὰν παραμυθίαν. Οὐκέτι λέγω πολλά. Δεῖξον σεαυτὸν ἀπαράλλακτον σεαυτοῦ, καὶ τὸν ἔνδοθέν σου περὶ τὸ θεῖον πόθον προχεόμενον ἔξω, διὰ τῆς εἰς αὐτοὺς συμπαθείας· πράϋνον ἡμῶν τὸ πολὺ τοῦ ἄλγους, τὴν αὐτῶν παραμυθούμενος ἀπορίαν· ψυχῆς ἐστιν ἄφεσις καὶ λύτρον τὸ ψυχαῖς ἐπικουρῆσαι, διὰ Χριστὸν ταλαιπωρουμέναις. Τί ἄλλο γράφω; ἢ ὡς τὴν αἴτησιν ἔχων λοιπὸν πληρουμένην, εὐχὴν καὶ εὐχαριστίαν, ἀνθ' ὧν τά τε ἄλλα μνήμην ἡμῶν ἀγαθὴν ἔχεις, καὶ πρὸς τὴν παροῦ-

[1] Σοφ. ἐν Τραχ. στ. 9—13. Στράβ. Τόμ. Β', σελ. 250—2· ἔκδ. Κοραῆ. Ἴδε καὶ Εὐσταθίου ὑπομν. εἰς Διον. τὸν Περιηγ. στ. 431. Ἐπειδὴ δέ φησιν Εὐστάθιος, ὡς ἱστοροῦσι τὴν Ἀμάλθειαν κερδαλέαν γενέσθαι, ἐμπορικὴν κ.τ.λ. ἐντεῦθεν ἴσως καὶ Φώτιος εἶπεν, ὅτι καὶ τῷ λογίῳ Ἑρμῇ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσιν, ὡς ἐμπολαίῳ. (σημ. Οἰκονόμου.)

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγιΐῳ (στλ. 981)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΜ'. Τὸ δὲ "ἐπὶ τοῦ ἰδικοῦ" ἴσον δύναται τῷ παρ' ἡμῖν "ἀντιπρόσωπος, πληρεξούσιος," οἵους καὶ νῦν, οἶμαι, ἔχουσιν ἐν Κωνσταντινουπόλει οἱ ἐκτὸς αὐτῆς Ἀρχιερεῖς, πρὸς ἐνέργειαν τῶν ἑαυτοῖς καὶ τῇ Ἐπαρχίᾳ, ἣν ποιμαίνουσι, συμφερόντων.

[3] Ἐκ διορθ. Μιγνίου ἀντὶ—ἀπαίτητον.

[4] Παρὰ Μιγνίῳ γέγραπται—τὴν δέουσαν (παραίνεσιν δῆλον ὅτι).

Digitized by Google

σαν αἴτησιν ἀπροφάσιστος καὶ θερμὸς (πῶς εἴπω;) γέγονας πληρωτής, ἡ γίνῃ. Εἴη σοι Χριστός, ὁ τοῦ ἐλέους καὶ πάσης παρακλήσεως Κύριος, ἐπὶ πάσῃ μὲν δεήσει τὸ οὖς εὐήκοον παρέχων, καὶ τὸν ἄλλον δὲ βίον παντοδαποῖς ἀγαθοῖς συναύξων, τῆς ἀδιαδόχου καὶ μακαρίας ἐκείνης μέτοχον ἀναδεικνὺς βασιλείας.

ΕΠΙΣΤΟΛΗ ΡΛΑ'.—131.

Θεοφυλάκτῳ Πρωτοσπαθαρίῳ[1]

Εὐξαίμην ἄν, εἴπερ ἐνῆν, μηδέποτέ σε περιπεσεῖν νόσῳ, μηδ' ἀκεστορίης ἐπιδεᾶ γενέσθαι τέχνης· εἰ δ' ἄνθρωπον ὄντα καὶ νοσεῖν ἀνάγκη, ἀλλ' οὕτω τε ῥᾳδίου τυγχάνειν τῆς θεραπείας, καὶ τοιούτοις ἡμᾶς ἀμείβεσθαι δώροις, Θεῷ μὲν μεγάλας ἀναφέροντα τὰς εὐχαριστίας, πένησι δὲ βοηθοῦντα, λύοντα δὲ καὶ τοῖς χρεωστοῦσι δίκας τὰς ὀφειλάς· ταῖς γὰρ τοιαύταις οὐδὲ κόρον ἴσμεν ἡδόμενοι μεγαλοδωρεαῖς.

ΕΠΙΣΤΟΛΗ ΡΛΒ'.—132.

Ἰωάννῃ Σπαθαρίῳ.[2]

Ἄριστον μὲν κρείττονα φαύλης ὑπονοίας νομίζεσθαι· εἰ δὲ μή, ὑπονοηθέντα καὶ κριθέντα μὴ ἁλίσκεσθαι· ὁ δὲ καὶ κριθεὶς καὶ ἁλούς, κἂν δίκην οὕπω δίδωσιν ἑτέραν, ἀλλ' οὖν τὴν χαλεπωτάτην, τὸ κακὸς ὀφθῆναι καὶ δίκην ὀφείλειν, δέδωκεν. Πράττε τοίνυν αὐτός, ἐπεὶ μηκέτι σοι ῥᾷστον ἀποσκευάσασθαι τὴν ὑπόνοιαν, οὐχ ὅπως μὴ δίκην δῷς, ἀλλ' ὅπως μὴ τῶν δίκην ὀφειλόντων ἐλεγχθῇς.

ΕΠΙΣΤΟΛΗ ΡΛΓ'.—133.

Κωνσταντίνῳ Σπαθαρίῳ, γένους ὄντι Τυρρηνῶν, καὶ δυστροπευομένῳ[3]

Τὰ Τυρρηνῶν δημόσια ἔργα,[4] καὶ ἐφ' οἷς σεμνύνονται (ἀρχαῖος ὁ λόγος), οὐδὲ τοῖς

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 968)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚΔ'.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 941)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΝΣΤ'.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 945)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Π'.

[4] Τὴν πολυτέλειαν αὐτῶν καὶ ἀκολασίαν λέγει· εἰώθεσαν γὰρ ὑπὸ γυμνῶν ἐν ταῖς τραπέζαις ὑπηρετεῖ-

Digitized by Google

ἀσελγεστάτοις τῶν ἄλλων ἀνθρώπων, οὐδὲ χωρὶς αἰσχύνης ὄργια γίνεται. Ὅρα οὖν, ὅπως αὐτὸς νῦν πόλιν Κωνσταντίνου μετοικῶν, ἄριστα βιώσεις. Ἂν γάρ τί σε καὶ μικρὸν τῆς ὀρθῆς παρατραπέντα συναίσθωνται πολιτείας, καπνὸν Τυρρηνικὸν ἰδόντες, καὶ τὸ πῦρ, κἂν οὐκ ἀνάπτῃς, εἰς μέγα φλογὸς ὑποτοπήσουσιν αἴρεσθαι· Ἃ χρὴ διευλαβούμενον, ἀπρόσκοπον πᾶσιν, ὡς οἱ θεῖοι θεσμοὶ διακελεύονται, καὶ εἶναι καὶ φαίνεσθαι.

ΕΠΙΣΤΟΛΗ ΡΛΔ'. —134.

Γαλάτωνι Ἀσηκρῆτις.[1]

Ἀρχέτυπον, οἶμαι, καὶ οὐ πρὸς μίμησιν ἑτέρων μεμηχανημένον τοῦ καλοῦ σου φίλου[2] τυγχάνει τὸ ψεῦδος· ποιηταῖς μὲν γάρ, καὶ τοι φιλομυθοῦσιν (οὐ λέγω κωμικοῖς, ἀλλ' οὐδὲ τραγικοῖς), οὐκ ἂν πεισθείη συγκρίνεσθαι, πολλῷ δὲ μᾶλλον οὐδ' οἷς τὰ ἡρώων παρωνύμῳ μέτρῳ ἐξῄρηται. Ὅπου δὲ ποιητῶν ἁπάντων ἐν τῷ σχεδιάζειν ὑπερωφρύωται, τίς ἱστορικῶν ἢ συγγραφέων εἰς μνήμην χρεία καὶ παράθεσις; πρὸς ἕνα τινὰ λοιπὸν γενναῖον,[3] οἶμαι, τὰ ψεύδη μέγας αὐτῷ καὶ ἀμφήριστος ὑπολείπεται ὁ ἀγών. Τίς οὖν ἐστιν οὗτος; Οὐκ ἐν Ἕλλησιν, οὐδ' ἐν βαρβάροις ἀξιοῖ πολιτεύεσθαι· γῆν δὲ ἄγνωστον ἀνθρώποις, μᾶλλον δ' ἀνύπαρκτον ὅλως, καὶ γένος ἀκατονόμαστον ἐπιζητήσας, κἀκεῖθεν ἐπιδημῶν τοῖς μύθοις τῶν ἀπορρήτων ὑφηγητὴς μετὰ φοβερᾶς τῆς ὀφρύος προκάθηται. Τιμοκλέα ποτέ, μᾶλλον δὲ Χλονθάχοθλον τὸν Ὀφιοκανόν[4] (δεῖ γάρ, ὡς ἔοικε, καὶ τὰ ὀνόματα τερατεύεσθαι),

---

σθαι παρθένων, αἴπερ καὶ ἐν τοῖς γυμνασίοις οὕτως ἔχουσαι παρῆσαν· τὰς δὲ γυναῖκας κοινὰς εἶχον, ὥσπερ Τίμαιος καὶ Θεόπομπος ἱστορήκασι· καὶ δὴ καὶ λῃστείᾳ κατά τε γῆν καὶ κατὰ θάλασσαν ἐχρῶντο· ἀλλὰ περὶ τὰς τέχνας δεξιῶς εἶχον φύσεως. (σημ. Μοντακουτίου.)

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 940)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΝΕ'.*

[2] *Ὁ καλὸς οὗτος φίλος ἐστίν, ὃν ἐν Ἐπιστολῇ ΣΝΘ' Ἀνατόλιον ὀνομάζει. Τίς δὲ ὁ Ἀνατόλιος οὗτος, ἄδηλον ἔμοιγε.*

[3] *Ἡμ. διόρθ. ἀντὶ—γενναίων.*

[4] *Τίς ὁ Τιμοκλῆς οὗτος, ὁ Χλονθάχοθλος ἐπικαλούμενος, ἄδηλον· οὐδεὶς γὰρ αὐτοῦ μέμνηται, οὐδὲ Λουκιανὸς αὐτός, τοσούτους ἄλλους ἐν τοῖς "περὶ ἀληθοῦς Ἱστορίας" Λόγοις αὐτοῦ παρατιθείς (σημ. Μοντακ). Τὰ δ' αὐτὰ καὶ ἐν τῷ Σμιθίου βιογραφ. Λεξικῷ (λ. Τιμοκλῆς. 4), ἔνθα καὶ ἀσαφὲς ἀποκαλεῖται τὸ χωρίον τοῦτο τῆς Φωτίου ἐπιστολῆς. Ἀλλὰ τὴν τοιαύτην ἀσάφειαν οὐ μόνον ἐν ταῖς Φωτίου, ἀλλὰ καὶ ἐν ταῖς παντὸς ἄλλου ἐπιστολαῖς εἰκός ἐστιν ἐννυπάρχειν. Ὅπου μὲν γὰρ τῆς ἐπιστολῆς ὁ σκοπὸς δῆλός ἐστι, καὶ προκειμένη ἡ ὑπόθεσις (ὡς ἐν πάσαις ταῖς δογματικαῖς καὶ ἑρμηνευτικαῖς εἴδομεν), ἐκεῖ σαφῆ τὰ λεγόμενα· ὅπου δὲ τῆς ἐπιστολῆς ἡ ὑπόθεσις οὐ καταφαίνεται, εἴτε τοῦ γράφοντος, ὡς ἐγνωσμένην τῷ πρὸς ὃν γράφει, ταύτην ἀποσιωπῶντος, εἴτε ὡς ἐν ἄλλῃ προτέρᾳ ἐπιστολῇ, πρὸς ἣν ἅπαντᾷ, ταύτης περιεχομένης, ἐκεῖ καὶ τὴν ἀσάφειαν εἰκός ἐστι πολλαχοῦ ἐνορᾶσθαι, καὶ ἐξ ἀναλογίας ἢ ἐξ εἰκασίας τινὸς τὴν τῶν λεγομένων ἔννοιαν συγκομίζεσθαι τὸν ἀναγινώσκοντα, πολλαχοῦ δ' ἐσθ' ὅτε καὶ διαμαρτάνειν παντελῶς τῆς ἀληθοῦς ἐννοίας. Τοιοῦτόν τι συμβαίνει καὶ ἐν τῇ ἀμέσως ἑπομένῃ Ἐπιστολῇ, ἐν ᾗ ὁ λόγος περὶ ἐσφαλμένου τινὸς βιβλίου, καὶ παρακοῆς τῶν δύο ἀδελφῶν, πρὸς οὓς ἡ ἐπιστολή, κ.τ.λ. Ἀλλὰ καὶ ἐν ἄλλαις, καὶ μάλιστα τῶν ἐπιτιμητικῶν τισι, πολλάκις ἡ τοιαύτη ἀπαντήσει ἀσάφεια.*

Digitized by Google

κουρίζων[1] ἴσως ἢ μειρακίζων τοῖς μαθήμασιν ἤκουσας· Ὀφιοκανῶν ἐκείνων, οὓς αὐτὸς ὑπεστήσατο,[2] γένος, καὶ φύσιν, καὶ πολιτείαν, καὶ μάχας, καὶ νίκας, καὶ βίων αἰῶνας,[3] καὶ ἡλικίας, καὶ εὐδαιμονίας, οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ φυτῶν, καὶ ζώων, καὶ γῆς, καὶ θαλάσσης, καὶ ἀέρος, καὶ ὑπερβολὴν ψευσμάτων τερατευσάμενον. Ἀλλὰ καὶ πρὸς τοῦτον εἰς τοὺς περὶ τοῦ ψεύδους ἀγῶνας ὁ καλός σου φίλος εἰ ἀποδύσαιτο, εἰς μεγίστην ἂν ἀπορίαν τοὺς ἀθλοθέτας καὶ κριτὰς τῶν τοιούτων ἀγωνισμάτων περιστήσειεν, ὁποτέρῳ τῶν δύο τὴν νικῶσαν ἐπιψηφίσονται. Ἔα τοίνυν τὸν ἀνεῳγμένον τάφον τῶν ψευσμάτων[4] (ἄμεινον γὰρ ἐκ τῆς ἀληθοῦς σοφίας ἐξεικονίσαι ἅμα καὶ στηλιτεῦσαι τὸν ἄθλιον), καὶ τῆς ἐκεῖθεν δυσωδίας σαυτὸν ἀπόστησον. Εἰ γὰρ οὐδὲ δεξιοῦ ὀφθαλμοῦ, οὐδὲ χειρός (ἅπερ δύναται φίλων δεξιότης, τῶν μὲν ὁρᾶν τὸ συμφέρον, τῶν δὲ μεταχειρίζεσθαι συνεργούντων καὶ συμπροθυμουμένων, καὶ ἁπλῶς πρὸς ἅπαντα μὲν τὰ τοῦ βίου χρησιμευόντων, ἄλλως δὲ πρὸς κακίαν ὑποσυρόντων), οὐδὲ τούτων φείδεσθαι παρακελευόμεθα, ἀλλὰ διασχίζεσθαι θᾶττον αὐτῶν καὶ διατέμνεσθαι προσταττόμεθα,[5] τί χρὴ ποιεῖν περὶ τοῦ σεσηπότος, καὶ οὐ νῦν, ἀλλὰ διὰ παντός καὶ ἀχρήστου καὶ πάλαι διαιρεθέντος, καὶ οὐ μέλους ποτὲ γεγονότος, ἀλλὰ πολλὰ τῶν μελῶν ἀπ' ἀρχῆς τραυματίσαντος;

ΕΠΙΣΤΟΛΗ ΡΛΕ'.—135.

Λέοντι καὶ Γαλάτωνι ἀδελφοῖς καὶ Ἀσηκρῆτις.[6]

Εἰ τὰς[7] πρὸς ἔριν παρασκευὰς ἐξελύσατε, τὰς ἡμετέρας ἐντολάς, κἂν νῦν γοῦν, ἐπεὶ μὴ πρότερον, ἐκπληρώσατε, καὶ τὸ βιβλίον διορθώσασθε· σφαλμάτων γὰρ αὐτὸ μᾶλλον ἢ γραμμάτων ὁρᾶν ἐστι τοῖς ἐντυγχάνουσι γέμον.[8] Οὕτω δέ, οἶμαι, κατὰ σπουδὴν πράξασι, καὶ ἡ ἐπὶ τῇ προτέρᾳ παρακοῇ συγγνώμη, μὴ πλέον οὖσα συγγνώμης, ἀλλὰ τὸν ὀρθὸν φυλάττουσα λόγον, ἐπακολουθήσει.

---

[1] Κουρίζων=νεανίας ὤν.

[2] Ὑπεστήσατο=ἐδημιούργησεν, ἔπλασε μὴ ὑπάρχοντας.

[3] Μοντακ. εἰκάζει γραπτέον εἶναι—ἀγωγάς.

[4] Ἐκ τοῦ Δαβίδ· "Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν." (Ψαλμ. Ε', 10.)

[5] Ματθ. Ε', 29—30.

[6] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 949)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΕ'.

[7] Ἐκ διορθ. Μιγνίου ἀντὶ—εἶτα—παρὰ Μοντακουτίῳ.

[8] Ἡμ. διόρθ. ἡ προσθήκη τῆς λέξεως "γέμον," ἐλλειπούσης ἐν τῷ κειμένῳ· ταύτην δὲ Μοντακ. καὶ Μίγνιος ἀναπληροῦσι διὰ τῆς λέξεως "βιβλίον" ἀλλ' οἶμαι ἔγωγε οὐ καλῶς οὕτως ἀναπληροῦσθαι.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΛΣΤ'.—136.

Λέοντι γεγονότι Λογοθέτῃ τῷ Μαδιάμ.[1]

Εὐτύχημα μὲν καὶ τὸ φίλους ἔχειν, ἐν καιρῷ πειρασμῶν καὶ χρείας[2] τὸ τῆς φιλίας παρέχοντας χρήσιμον· οἱ δὲ μὴ τοιοῦτοι φανέντες, οὐδὲ οὗτοι τῷ ἀγαπήσαντι ἄχρηστοι· ἀλλ' ὅσον αὐτοὶ τῆς φιλίας ἀπελείφθησαν, τοσοῦτον τὴν ἀρετὴν τοῦ ἠγαπηκότος παριστῶσιν ὑπερθαύμαστον, ὅτι καὶ τοιούτους ὄντας, ὅμως ἐφίλησε, καὶ οὐ πάντα χάριν ἀμοιβῆς ἔπραττεν, ἀλλ' ἤδει καὶ προῖκα φιλεῖν, καὶ τὸν ἐν οὐρανοῖς μιμεῖσθαι Πατέρα, ὃς[3] οὐδὲ τοὺς ἐχθροὺς ἀπεστρέφετο. Οὐκ ἂν οὖν λύσαις[4] αὐτὸς τὸν ἡμέτερον τῆς ἀγάπης νόμον, κἂν ἀγνώμων, ὡς φημίζουσι, φανῇς, καὶ τὴν φιλίαν ψευδόμενος· καὶ γὰρ καὶ δι' ὧν ἀγνωμονήσεις, ἀφορμάς, ὡς ὁρᾷς, ἡμεῖς[5] ἑαυτοῖς πεπορίσμεθα, δι' ἃς οὐδὲ οὕτω σε μισεῖν ὑπαχθησόμεθα. Σὺ δὲ τὴν περὶ σὲ τῶν ἀνθρώπων δόξαν ἐπισκόπει· μᾶλλον δὲ πρὸ ταύτης τὸ σὸν συνειδὸς καὶ τὸ ἐκεῖθεν κριτήριον.

ΕΠΙΣΤΟΛΗ ΡΛΖ'.—137.

Βασιλείῳ Κυαίστορι.[6]

Οἶδά ποτε τὸ δίκαιον καὶ τὸν χρυσὸν ἐν τῇ σῇ διαμφισβητήσαντα[7] ψυχῇ· ἀλλ' οὐκ

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 933)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΜΔ'. Ὁ δὲ Λέων οὗτος ὁ Μαδιὰμ φίλος ἦν, ὡς ἔοικε, Φωτίῳ πρότερον, ὡς ἐκ τῶν δύο πρὸς αὐτὸν ἑρμηνευτικῶν ἐπιστολῶν (ΟΔ' καὶ ΟΕ') καταφαίνεται· ἀπαρνηθέντα δ' αὐτὸν ἐν τοῖς διωγμοῖς, καὶ τῆς προτέρας ἐπιλαθόμενον φιλίας, παραινεῖ καὶ τὴν τῶν ἀνθρώπων δόξαν ἐπισκοπεῖν, μᾶλλον δὲ τὸ ἴδιον αὐτοῦ συνειδὸς καὶ τὸ ἐκεῖθεν κριτήριον.

[2] Μοντακ. τοῦτο διορθοῦται "χρέος," συνάπτον αὐτὸ πρὸς τὸ "τὸ τῆς φιλίας"=φιλικὸν χρέος· ἀλλ' ἄμεινον ἔμοιγε δοκεῖ τὸ τοῦ χρειρογράφου "χρείας" πρὸς τὸ "πειρασμῶν" συνδεόμενον· τουτ' ἔστι, φίλους ἴσχειν, τὸ τῆς φιλίας (χρῆμα=τὴν φιλίαν) παρέχοντας χρήσιμον ἐν καιρῷ πειρασμῶν καὶ χρείας· τότε γὰρ μόνον οἱ φίλοι χρήσιμοι γίνονται, ὡς κάλλιστα καὶ τοῦτο ὁ ἀπὸ σκηνῆς εἶπε φιλόσοφος·

ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν·
ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;
ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων—

(Εὐριπ. Ὀρέστ. 658—681.)

[3] Ἐκ διορθ. Μοντακ. ἀντὶ—οἷς.

[4] Ἡμ. διόρθ. ἀντὶ—λύσῃς.

[5] Ἡμ. διόρθ. ἀντὶ—ἡμῖν.

[6] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 957)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΝΔ'. Τὸ δὲ κυαίστωρ ἐκ τοῦ Λατιν. quaestor=ταμίας· τοιοῦτος γὰρ ἦν ὁ Βασίλειος, ὃν ἐν ἑτέρᾳ ἐπιστολῇ (ΡΨΣΤ') Ἑλληνιστὶ ἐπιγράφει "Πράκτορα." Ἔοικε δὲ τὸν Βασίλειον τοῦτον, χρηστὸν δοκοῦντα πρότερον, πολλοὺς ἔπειτα διὰ φιλαργυρίαν καταθλίβειν, ταμίας γενόμενος. Διὰ δὴ τοῦτο παραινεῖ μὴ πάντα πράττειν χρυσῷ, καί τινα τῶν πενήτων συνιστᾷ πρὸς αὐτόν, οἷον ἀποπειρώμενος αὐτοῦ τῆς προαιρέσεως· ἐπεὶ δ', ὡς ἔοικεν, οὐδὲν βελτίων ἐγεγόνει ὁ ἄνθρωπος, δύο πρὸς αὐτὸν ὁ ἀγαθὸς καὶ ἐνάρετος Φώτιος ἔγραψεν ἐπιτιμητικὰς ἐπιστολὰς (ΡΨΕ' καὶ ΡΨΣΤ'), ἐν αἷς πικρῶς αὐτοῦ τὴν κακίαν ἐξελέγχει.

[7] Ἡμ. διόρθ. ἀντὶ—διαμφισβητήσαντας·—περὶ ἀψύχων γὰρ ὁ λόγος.

Digitized by Google

οἶδα, εἴτε καταιδεσάμενος ἡμᾶς ὁ χρυσός, εἴτε σοῦ τὴν ἀρχὴν ἐν ἀρχαῖς τῷ ἀδωροδοκήτῳ[1] τιμῶντος· πολλοὺς γὰρ ὁρῶ ταύτην τὴν μέθοδον θηράματι[2] κερδῶν μειζόνων μετερχομένους· ὅμως ὁ χρυσὸς ἀπῆλθεν ἔχων τὸ ἔλαττον, καὶ τὸ δίκαιον λαμπρὰν ἀνεδήσατο τὴν νίκην. Νῦν δὲ πάντα σέ φασι χρυσῷ πράττειν· καὶ οὐ πείθομαι. Χρυσός σοι, φασίν, αἱ χεῖρες, ἡ γλῶσσα, τὸ δίκαιον. Ἀλλ' ὥσπερ οὐ πείθομαι, οὕτως εἶναι καὶ ψευδῆ τὴν φήμην εὔχομαι· δείξει δ' ὁ τὴν ἐπιστολὴν κομίζων πένης ἢ ψευδῆ ταύτην, ἢ (ὅπερ ἀπηυξάμην) ὑπάρχουσαν.

ΕΠΙΣΤΟΛΗ ΡΛΗ'.—138.

Ἀναστασίῳ φορολόγῳ.[3]

Οὔκ ἔστι σοι πάροδος εἰς τὴν τῆς βασιλείας πύλην, διότι σοι ταύτην ἀπετείχισεν ὁ τῆς φιλαργυρίας ἔρως. Εἰ δὲ τὸ μεσότοιχον διὰ φιλοπτωχίας λύσεις, θᾶττον ἡ τῆς ἐλεημοσύνης ὑποδέξεταί σε κατοικία.

ΕΠΙΣΤΟΛΗ ΡΛΘ'.—139.

Τῷ αὐτῷ.[4]

Οὐκ οἶδε σύνοδον ἀλλήλων πλεονεξία καὶ φιλανθρωπία· μακρὰν ἀπέχει ἀνὴρ ἐλεήμων τῆς τῶν πλουτούντων μισαδελφίας· διὰ τοῦτο καὶ μέγα χάσμα ἐστήρικται μεταξὺ γεέννης καὶ βασιλείας.

ΕΠΙΣΤΟΛΗ ΡΜ'.—140.

Τῷ αὐτῷ.[5]

Κενοῖς τὸν πλοῦτον· καὶ μέγα χαίρω, ὅτι σοι βασιλείαν οὐρανῶν ὁρῶ οἰκοδομουμένην.

---

[1] Μοντακ. διορθοῦται κατ' αἰτιατ. "τὸ ἀδωροδόκητον," ὡς ἀντικείμενον δῆλον ὅτι τῆς Μετοχ. "τιμῶντος·" ἀλλ' οὐδὲν δεῖ τοιαύτης διορθώσεως· ἔστι γὰρ ἡ τοῦ λόγου σύνταξις τοιάδε, "τιμῶντος τὴν σὴν ἀρχὴν ἐν ἀρχαῖς (κατ' ἀρχάς) τῷ ἀδωροδοκήτῳ (ἤθει δῆλον ὅτι).

[2] =ἐπὶ θηράματι, τοῦτ' ἔστιν, ὅπως μείζονα κέρδη ἑαυτοῖς περιποιήσωνται.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 937)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΝΑ'. Καὶ ὁ Ἀναστάσιος οὗτος ταμίας ἦν, ὡς ἔοικε, ταὐτὰ τῷ προειρημένῳ Βασιλείῳ ἐργαζόμενος· ἀλλὰ τοῦτον αἱ τοῦ ἱεροῦ Πατριάρχου παραινέσεις ἀνανῆψαι τῆς κακίας ἐποίησαν, καὶ ἐλεήμονα γενέσθαι, ὡς ἐκ τῶν ἐφεξῆς δῆλον γίνεται. (ἴδε Ἐπιστ. ΡΜ'.)

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 940)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΝΒ'.

[5] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (αὐτ.)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΝΓ'.

Digitized by Google

Ἀλλὰ κενούσθω σοι καὶ ἃ προκατεῖχε τὸν πλοῦτον πάθη, ἵνα μὴ μόνον ἡ παστὰς ὑπάρχῃ βασιλική, ἀλλὰ καὶ ὁ νυμφίος ἐξωραϊσμένος.

ΕΠΙΣΤΟΛΗ ΡΜΑ'.—141.

Ἀνεπίγραφος.[1]

(Περὶ τοῦ μὴ δεῖν πρὸς τὰ ἐν τῷ βίῳ λυπηρὰ ἐπιστρέφεσθαι.)

Ἀγαθὸν ἀνθρώπῳ βίος ἄλυπος, χαλεπὸν δὲ τυχεῖν, μᾶλλον δὲ τοῖς γε τὴν κρίσιν μὴ ἔχουσιν ἀπ' ὀρθῆς διαίτης προϊοῦσαν ἀδύνατον. Οἷς μὲν οὖν ἡδόμεθα, τῷ πλάσαντι καὶ χορηγοῦντι τὴν ἀνεύθυνον ἡδονὴν χάρις· ἃ δὲ ἀνιώμεθα, ἐν ἑαυτοῖς ἔστιν εὑρεῖν, ὥσπερ τούτων τὸ αἴτιον, οὕτω καὶ τὸ φάρμακον τῆς ἰάσεως· τὰ γὰρ πλεῖστα τῶν λυπηρῶν οὐκ ἐξ ἑαυτῶν τὴν πληγὴν ἐπάγει, ἀπὸ δὲ τῆς ἡμετέρας κρίσεως λαμβάνει τὸ πλήττειν. Ἐστερήθη τις πλούτου; τί δύναται ἡ στέρησις λυπῆσαι; ἀλλ' ἐγὼ τὴν στέρησιν βαρὺ νομίζω· δῆλον, ὡς αὐτὸς ἐγὼ καὶ τὴν οὐδὲν κατ' ἐμοῦ κινοῦσαν ὀπλίζω πικρὸν ἀφεῖναί μοι βέλος. Ὁ μὲν γὰρ φθόνος, ἢ κοινόν τι πόλεως ἢ πατρίδος πάθος, ἢ ἄλλο τῶν ἔξωθεν, ἴσχυσέ με καὶ μὴ βουλόμενον πένητα ποιῆσαι· λυπῆσαι δὲ οὐδὲν τούτων οὐδαμῶς οὐκ ἂν δυνηθείη, εἰ μὴ ἐγὼ βουλοίμην. Ἀλλὰ φίλτατοι παῖδες ἀπέστησάν μοι τῶν κόλπων, καὶ οὓς ὁρῶν ἡδόμην, καὶ τὰς ἐλπίδας πάσας ἀνῆπτον τοῦ βίου, οὗτοι τὸ χρεὼν ἀθρόον ὑπῆλθον; οὐδ' ἐκεῖνοι πλήττειν οἴδασιν ὅλως, μάλιστά γε φύσεως, ὥσπερ ἐν τῇ γενέσει, οὕτω κἀν τῇ ἐξόδῳ λειτουργήσαντες νόμοις· ἀλλ' ἐγὼ τοὺς τὰ ἔσχατα ἠρεμοῦντας, ὡς ἐν μεγάλῳ κλύδωνι καὶ σάλῳ ταλαιπωρουμένους, τοὺς ἐμοὺς ποιῶν λογισμούς, καὶ τὴν μηδὲν αὐτοῖς συνεισάγουσαν συμπάθειαν ἀνακινῶν, ἐμαυτῷ τὴν πληγὴν μηδὲν ὠφελῶν ἐπιφέρω. Οἰκία δέ μοι συνέπεσεν; τί οὖν; εἰ μὲν καταλαβοῦσα κἀμέ, οὐδὲν πρὸς ἐμέ· οὐδὲ γὰρ αἰσθάνομαι· εἰ δὲ πολλῶν πεσόντων, ἐγὼ τοῦ πτώματος κρείττων ἐγενόμην, πῶς ἀντὶ τοῦ χάριν ἔχειν οἷς ἐρρύσθην, ὑπὲρ ὧν ἄψυχα κεῖται δυσφορῶν, οὐκ ἐμαυτῷ προξενῶ τὴν λύπην; Οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων· ἃ γὰρ ὡς ἐπὶ παραδειγμάτων τούτων εἴρηται, κοινὰ πάντων ἐστίν, ὅσα καθ' ἑκάστην ὁ βίος, τὰ μὲν ἄνω φέρων, τὰ δὲ κάτω, τὸν ἑαυτοῦ πολύστροφον ἑλίσσεται κύκλον. Ἓν οὖν ἐστι μόνον τῶν ἐν τῷ βίῳ πάντων, περὶ οὗ χρὴ καὶ τὴν ἀλγηδόνα βαρεῖαν δέχεσθαι, καὶ σπουδὴν εἰσάγειν ταύτης ἀπαλλάττεσθαι· τὰ δ' ἄλλα μικροῦ πάντα ὅσα ἂν συμβῇ, ἂν μὲν ἐγὼ κρίνω φαῦλα ταῦτα εἶναι, ὡς λυπηρά μοι ἐπιτίθεται· ἂν δ' οὐκ ἐπιστρέφωμαι πρὸς αὐτά, οὐδέν αὐτῶν ἰσχύει προσάψασθαι οὐδεμίαν μοι θλῖψιν. Τί οὖν ἐστι, περὶ οὗ με δεῖ φροντίζειν, καὶ οὐ πρὸς τὴν ἀλγηδόνα ἐπιστρέφεσθαι; τὸ ταῖς ἀκίσι τῶν ἁμαρτημάτων ἀπαθῆ τὴν ψυχὴν καὶ ἀνάλωτον συντηρεῖν· κἄν τι προ-

---

[1] *Αὕτη ἐν μὲν τῇ Μοντακ. συλλογῇ οὐ περιέχεται· ἐκδέδοται δὲ ὑπὸ Βαπτιστοῦ Κοτελερίου ἐν τῷ* "Ecclesiae Graecae monumenta" (*Τόμ. Β', σελ.* 106· *ἐν Παρισίοις* 1681), *καὶ ἐξ ἐκείνου μοι ἀντιγέγραπται, ὥσπερ δὴ καὶ Μιγνίῳ* (στλ. 985). *Ἴδε περὶ ταύτης τῆς ἐπιστολῆς καὶ Προλεγομ.* § *ξά, σελ.* 89.

Digitized by Google

σάψηται ταύτης, καὶ πρὸς μώλωπα τὴν πληγὴν ἐκτείνῃ, διανίστασθαι τὸ τραῦμα θεραπεύειν, καὶ πρὸς ὑγείαν ἀνακαλέσασθαι. Τὰ δ' ἄλλα πάντα, *δόξα καὶ πλοῦτος, κάλλος καὶ ἰσχύς, δυναστεία καὶ ῥώμη σώματος, καὶ κράτος λόγων τιμιώτερον, παῖδές εἰσιν ἐν βίῳ παίζοντες· μᾶλλον δὲ οὐδὲ παῖδες, σκηνὴ δὲ παίδων ὑποκρινομένη δράμα, καὶ εἴ τι τούτων ἀπατηλότερον.*

Digitized by Google

ΦΩΤΙΟΥ ΕΠΙΣΤΟΛΑΙ.

ΜΕΡΟΣ Γ'.

ΠΑΡΑΜΥΘΗΤΙΚΑΙ.[1]

ΕΠΙΣΤΟΛΗ ΡΜΒ'.—142.

Ταρασίῳ Πατρικίῳ ἀδελφῷ
παραμυθητικὴ ἐπὶ θυγατρὶ τεθνηκυίᾳ.[2]

Ὦ! ποῦ νῦν Ἠλίας;[3] *ποῦ δὲ Ἐλισσαῖος;*[4] *ποῦ δὲ Πέτρος,*[5] *ἢ Παῦλος,*[6] *ἤ τινες τῶν κατ' ἐκείνους ἱερῶν καὶ ἁγίων ἀνδρῶν; οὐ γὰρ ἂν ἐπιστολῆς ἐδεήθην· αὐτῶν δέ τινος λαβόμενος τῶν ποδῶν (ἐπεὶ τὴν χάριν οὐκ ἔχω τῶν χειρῶν), οὐκ ἂν ἀπέστην ἅπαντα ποι-*

---

[1] *Πολλά τις ἔχων εἰπεῖν περὶ τῶν Φωτίου τούτων ἐπιστολῶν, ἐν αἷς ἡ θαυμαστὴ τοῦ ἀνδρὸς εὐσέβεια καὶ ἡ ῥητορικὴ δεινότης μάλιστα διαλάμπει, αὐτὸς μὲν μηδὲν λεγέτω· Ἰάγερον δ' αὐτόν, τὸν ἀμείλικτον Φωτίου πολέμιον καὶ ἀκριτόμυθον ὑβριστήν, παραγέτω μαρτυροῦντα, καὶ τὸν ἀσεβῶς ὑπ' αὐτοῦ ὑβριζόμενον θαυμάζοντα, καὶ ταὐτὰ πάσχοντα τοῖς Ἰουδαίοις, ὅτε τὴν Παύλου σοφίαν θαυμάζοντες, ἄκοντες ὑπὲρ τοῦ σφοδρῶς ὑπ' αὐτῶν καταδιωκομένου προσεμαρτύρουν. Σὺ δέ μοι τὰ Ἰαγέρου ταῦτα διεξιών, ἀναγνῶστα, ἐκείνων ἀναμιμνήσκου τῶν ῥημάτων, ἃ περὶ τῶν Ἰουδαίων ἐν Ἐπιστολῇ ΚΘ' Φώτιος εἶπεν· "Ὁρᾷς, ὅπως τοὺς ἐχθίστους καὶ ἄκοντας ἡ τῶν τοῦ ἀριστέως λόγων δύναμις εἰς μαρτυρίαν ἐξεβιάσατο;" Λέγει τοίνυν Ἰάγερος ἐν σελίδι* 411 *τῆς Ἱστορίας αὐτοῦ·* "Parmi ses lettres nous en trouvons plusieurs de condoléance. Une est adressée au même évêque de Nicomédie sur la mort d'un jeune clerc dont la perte lui causait une grande douleur; une autre, à une réligieuse, Eusébie, supérieure d'un couvent, sur la mort de sa soeur; une troisième est écrite à son frère Taraise, sur la mort de sa fille. Ces deux dernières méritent d'être citées, comme faisant partie des plus beaux morceaux que l'antiquité chrétienne nous offre dans le genre consolatoire. Elles sont d'un usage trop fréquent dans la vie pour que nous ne les tirions pas de l'obscurité, où elles sont restées jusqu'à present." *Ἰδίᾳ δὲ τὴν πρὸς Ταράσιον ἐπιστολὴν ἀναλύων, καὶ μᾶλλον τῶν ἄλλων θαυμάζων, ἐπιφωνεῖ μετὰ κατανύξεως—"Les Pères de l'Eglise n'ont jamais tenu un langage plus chrétien!"*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 969)· *παρὰ δὲ Μοντακουτίῳ Ἐπιστ. ΣΛΔ', καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ σελ.* 417—427.

[3] *Ὁ τὸν τῆς χήρας υἱὸν ἀναστήσας.* (*Γ' Βασιλ. ΙΖ*, 17—24.)

[4] *Ὁ τὸ παιδάριον τῆς Σουναμίτιδος ἀναστήσας.* (*Δ' Βασιλ. Δ'*, 18—38.)

[5] *Ὁ ἐν Ἰόππῃ τὴν Ταβιθὰ ἀναστήσας.* (*Πράξ. Θ'*, 36—43.)

[6] *Ὁ τὸν νεανίαν Εὔτυχον ἐν Τρῳάδι ἀναστήσας.* (*Πράξ. Κ'*, 7—12.) *Καὶ ὅρα, ὅπως δύο παραλαβὼν ἐκ τῆς Παλαιᾶς, ἀνάστασιν νεκρῶν θαυματουργήσαντας, ἰσαρίθμους καὶ ἐκ τῆς Νέας παρέλαβεν.*

Digitized by Google

ὧν, ἕως ἂν ζῶσαν τοῖς γεννησαμένοις παρέθεντο τὴν παῖδα. Νῦν δὲ τί; οὐδὲ γὰρ οὐδὲ ταῖς τηλικαύταις συμφοραῖς τοῦ γένους ἡ καθ' ἡμῶν ὑπερόριος φυγὴ δυσωπεῖται.[1] Ἐπιστολῆς δέομαι, ἐπιστολῆς (οἴμοι!), θρῆνον ἀδελφοῦ ἐπὶ θυγατρὶ κειμένῃ διαπραϋνούσης, ὅτε τέκνων παρῆσαν ἐλπίδες, καὶ τὸν γάμον εἶχε δυσφημία, ὅτι μὴ θᾶττον τὴν παῖδα μητέρα ἐδείκνυ, μηδὲ παιδὸς παῖς χερσὶ προπατόρων ἐναθύρει τε καὶ ἐνάλλεται, περιλαλῶν τοῖς ψελίσμασιν· ἀλλ' ὅτε τὰ μείζω ἠλπίζετο, τότε καὶ ἃ κατείχομεν ἀνηρπάζετο. Οἴμοι τῶν παλαιῶν προπατόρων ἀπάτη, καὶ παράβασις, καὶ δίκη! πῶς εἰς τὸν παράδεισον εἵρπυσεν ὁ πονηρὸς ἐκεῖνος καὶ σκολιὸς ὄφις; πῶς ἔπεισεν; ἢ πῶς ἐκεῖθεν μέχρι τοῦ νῦν τὸ πικρὸν τοῦ θανάτου παρατείνεται κέντρον; Ἔφθασεν αὕτη καὶ καθ' ἡμῶν ἡ πληγή, βέλους ὀξύτερον, σκηπτοῦ φοβερώτερον· καὶ κεῖται παῖς, ἄρτι τὴν ὥραν ἀνθοῦσα, δεινὸν καὶ σκυθρωπὸν ὀφθαλμοῖς τεκόντων θέαμα. Ὅτε τὸ ἄνθος ἐφύετο τῆς παιδοποιΐας, τότε αὐτὸ τὸ φυτὸν συναπεμαραίνετο ταῖς ῥίζαις· ἡ φύσις πρὸς βλάστην εἰστήκει, καὶ τὸ τοῦ θανάτου δρέπανον ἐμβαθυνόμενον τοῖς σπλάγχνοις, καὶ αὐτὴν ζωὴν ἐξεθέριζε τοῦ βίου. Ποῖον δάκρυον ἀρκέσει τῷ πάθει; τίς στεναγμός; ὀδυρμὸς δὲ ποῖος; Σιγᾷ στόμα τὴν μακρὰν ἐκείνην καὶ φευκτὴν σιωπήν, καὶ χείλη μέμυκεν, οὐ σεμνότητα διηγούμενα, οὐδὲ τὸ τοῦ ἤθους κόσμιον ἀπαγγέλλοντα, πρὸς δὲ λύσιν συστελλόμενα· ὀφθαλμοὶ δὲ τί; φεῦ πάθους, καὶ σιγὴν νικῶντος, καὶ λόγων οὐκ ἀνεχομένου! ὀφθαλμοί (πῶς εἴπω;), πᾶσαν ζωτικὴν λιβάδα κενώσαντες, νεκραῖς ταῖς βλεφαρίσι τὰ λείψανα περιστέλλουσι· τὰς παρειάς, ἀντὶ ἐρυθήματος καὶ βαφῆς ἐμφύτου, σκοτεινὸν καὶ νεκρὸν ὑπαλείφει χρῶμα, μορφῆς ἀπάσης ἐξαφανίζον εὐπρέπειαν· τὸ πρόσωπον ὅλον, ὡς ἐκ τοιούτων, φρικτὴν καὶ φοβερὰν τοῖς ὁρῶσι τὴν θέαν παρέχεται. Τίς βασκανία, τίς ἐπήρεια τοιαῦτα καθ' ἡμῶν ἀκοντίζει τὰ βέλη; οὔπω παρῆλθε τὸ πρότερον πένθος, καὶ πάλιν ἕτερον ἐπέπεσε μεῖζον· τὸ μὲν εἶχεν ὑπομάζιον παῖδα· τοῦτο δὲ καὶ μητέρα, εἰ μὴ[2] θᾶττον τὸ κακὸν ἐπέστη. Πόθεν αἱ τηλικαῦται καὶ τοσαῦται πληγαί; πληγαὶ ἐξ ἀνθρώπων· πληγαὶ ἐξ ἀδήλων μηνιμάτων· πανταχόθεν ἕστηκε τὰ δεινά· τὰ βέλη φέρεται εἰς ἡμᾶς αὐτούς, εἰς παῖδας· γεγόναμεν σκηνὴ τραγῳδίας, καὶ χορεύουσιν ἐν ἡμῖν θρῆνος καὶ πένθος καὶ λύπη καὶ κατήφεια, καὶ πᾶσα κακῶν ἐριννύς· συνάγει δ' ἄρα, ὡς ἔοικε, τὸν καθ' ἡμῶν χορὸν Κλωθώ τις καὶ ἄτρακτοι[3] καὶ τὰ δυστυχῆ ταύτης νήματα, τόν τε ἡμέτερον βίον τοῖς δράμασι διαπλέκουσα, καὶ χορηγοῦσα τὰς ὑποθέσεις τῶν τραγικῶν ἀσμάτων τοῖς πικροῖς χορευταῖς.

---

[1] Δῆλον ἐντεῦθεν, καὶ ἐκ τῶν μετ' ὀλίγον ῥηθησομένων, ὡς ἀπὸ τοῦ δεσμωτηρίου ταῦτα γράφει τῷ ἀδελφῷ.

[2] Ἡμ. διόρθ. ἀντὶ—ἐπὶ ἄν.

[3] Μοντακούτιος τοῦτο διορθοῦται—Ἄτροπος—τὴν δευτέραν τῶν τριῶν Μοιρῶν ἐννοῶν, τὴν τὸ νῆμα κόπτουσαν τοῦ βίου· ἀλλ' οὐ δοκεῖ μοι ταύτην ὀνομάσαι βούλεσθαι Φώτιον ἐνταῦθα· μόνην δὲ λέγει τὴν Κλωθὼ μετὰ τῶν ἀτράκτων, ἃς ἔφερε, καὶ τῶν νημάτων, ἅπερ ἑκάστῳ τῶν ἀνθρώπων ἐπέκλωθεν. Ὅρα δὲ τὰς λέξεις ταύτας ἀμφοτέρας καὶ ἐν τῇ κοινῇ ἡμῶν γλώσσῃ διατηρουμένας, τό τε νῆμα καὶ τὴν ἄτρακτον, τὸ μὲν ἀμεταβλήτως, τὴν δὲ μικρᾷ τῇ μεταβολῇ· λέγεται γὰρ κοινῶς ἀ δ ρ ά κ τ ι (τό), ἐνιαχοῦ δὲ καὶ διὰ μεταθέσεως τῶν γραμμάτων ἀ ρ δ ά κ τ ι.

Digitized by Google

Ἀλλὰ τί ἔπαθον;[1] ποῖ φέρομαι; γράφειν ἀρξάμενος παραμύθιον, αὐτός, οὐκ οἶδ' ὅπως, τῷ πένθει συναρπασθείς, οὐκ ἀντισχόντων τῶν λογισμῶν πρὸς τὴν φορὰν τοῦ δεινοῦ, εἰς τοὐναντίον, ὧν ἐσκόπουν, παρεσύρην· καὶ παραψυχῆς εἰσηγούμενος λόγον, εἰς τὰ τῶν ὀδυρομένων ἀπηνέχθην δάκρυα. Ἀλλὰ γενώμεθα ἡμῶν αὐτῶν, μηδὲ τῷ βυθῷ τῆς λύπης βαπτιζώμεθα· πολλοὺς ἀπώλεσε λύπη, οὐ σῶμα μόνον διαφθείρασα, ἀλλὰ καὶ ψυχῆς αὐτῆς λυμηναμένη τὰ καίρια. Μηδὲ τοῖς ἐχθροῖς χαριζώμεθα· μέγα γὰρ ἐχθροῖς εἰς θυμηδίαν ἡ κατήφεια τῶν ἐπηρεαζομένων. Μηδ' εἰς τοὺς πατρικοὺς τῆς καρτερίας ἐξυβρίζωμεν ἄθλους. Εἶδον ἐκεῖνοι θανάτους παίδων, θανάτους, οὐχ οἷοι παρ' ἡμῖν· μηδὲ γένοιτο· τούτων τὰ ἔκγονα πῦρ καὶ ὕδωρ καὶ λάκκος ἐμερίζετο, καὶ τότε πικρᾶς καὶ βαρείας τῆς ὑπερορίας ἐπικειμένης, καὶ πάσης ἐρημίας φίλων [καὶ] συγγενῶν περιεστηκυίας, καὶ πάντων ἁπλῶς, ὅσα ψυχαγωγίαν τινὰ φέρει περιῃρημένων. Ἀλλ' εὐχαρίστως ἤνεγκαν· ἀλλ' ἐδόξασαν τὸν κρεῖττον[2] ἢ κατὰ λογισμοὺς ἀνθρώπων τὰ ἀνθρώπινα διακυβερνῶντα.

Ἐννοήσωμεν, τίνες ἐσμέν. Πόθεν γεγόναμεν; οὐκ ἐκ θνητῶν θνητοί; οὐχὶ ἐξ οὐκ ὄντων μετ' ὀλίγον οὐκ ἐσόμενοι; Ποῦ μοι πατήρ; ποῦ δέ μοι μήτηρ; οὐχὶ μικρὰ τῷ βίῳ προσπαίξαντες, πλὴν ὅσα μαρτυρικὸς αὐτοὺς καὶ τῆς ὑπομονῆς διεκόσμει στέφανος, θᾶττον λιπόντες τὸ θέατρον ᾤχοντο; Οἱ δὲ βασιλεῖς καὶ τύραννοι, οἱ τῷ φρυάγματι καὶ ταῖς ὀφρῦσιν ἀθάνατοι, οὐχὶ τῷ θανάτῳ δυναστείαις αὐταῖς καταδύονται; Πᾶσα φύσις ἀνθρώπων, κἂν ἐξουσιάζουσα ᾖ, κἂν ἰδιῶτις, κἂν γερόντων, κἂν νέων, κἂν ἀνδρῶν, κἂν γυναικῶν, θανάτῳ πάντως τέμνεται τοῦ βίου· καὶ οὐδὲν οὐ μὴ διαφύγῃ τὸ ἐκείνου δρέπανον. Οὐδὲν καινόν, οὐδὲ παράδοξον, οὐδὲ τῆς φύσεως ὑπέστημεν ὑπερόριον· θνητὴ προελήλυθεν ἐκ σπλάγχνων θνητῶν, καὶ τῷ θνητῷ βίῳ νόμῳ φύσεως λειτουργήσασα, τῷ αὐτῷ τῆς φύσεως νόμῳ πρὸς τὴν ἀθάνατον πολιτείαν ἀπεδήμησεν. Οὐκ ἔλιπε παῖδας ὀδυρομένους ὀρφανίαν· οὐκ ἀπῆλθε τὸν περὶ τὰ ἔκγονα πόνον πικρότερον τοῦ θανάτου συνεπιφέρουσα κέντρον· οὐκ ἔλαβε πολλὴν πεῖραν τῶν ἀνιαρῶν· οὐκ ἐζήτησε θάνατον, οὗ πολλοὶ πολλάκις, συμφοραῖς ἀφύκτοις περιστοιχηθέντες,[3] ἐπεθύμησαν· γονεῦσι προσομιλοῦσα τῆς ζάλης ἐξῆλθε τῶν προσκαίρων· χερσὶ μητρικαῖς ἀπῆλθεν ὑπηρετουμένη· χερσὶ τεκόντων ἐναπέθετο τὸ πνεῦμα· ἐκηδεύθη τὸ σῶμα, παρεδύθη τάφῳ, καλοῖς ἐνταφίοις, εὐσεβείᾳ καὶ σωφροσύνῃ καὶ πολλῶν εὐχαῖς ἠλεημένων προπεμπομένη· ἀπῆλθεν εἰς χῶρον, ἐξ οὗ πᾶσα λύπη καὶ στεναγμὸς ἀπελήλαται. Τί πλέον ἔδει; εἰς τοὐναντίον μοι τρέπει τὸ ἄλγος τὰ περὶ τὸ μακάριον ἐκεῖνο θυγάτριον οἰκονομηθέντα· καὶ μακαρίζω ταύτην τῆς ἀποδημίας· καὶ τὸν θρῆνον

---

[1] Ἐκτραγῳδήσας μέχρι τοῦδε τὸ δεινόν, καὶ πολλῇ τῇ τέχνῃ τὸ μέγεθος αὐτοῦ περιγράψας, νῦν, οἷον αὐτὸς ἑαυτοῦ καταγινώσκων, ὡς δῆθεν ἀσεβῶς εἰς θρήνους παρεκτραπέντος, ἐπὶ τὸν ὀρθὸν καὶ εὐσεβῆ τρέπεται λόγον, λογικώτατα καὶ θεολογικώτατα τὸν ἀδελφὸν συμπαραμυθούμενος.

[2] Ἡμ. διόρθ. ἀντὶ—κρείττονα·—Μοντακ. δὲ εἰκάζει γραπτέον εἶναι—τὸν Θεὸν κρείττονα·—ἀλλὰ δῆλον, ὅτι περὶ Θεοῦ ὁ λόγος.

[3] Οὐκ οἶδ' ἀνθ' ὅτου Μοντακ. διωρθώσατο—περιτυχόντες.

Digitized by Google

εἰς δόξαν Θεοῦ μεταβάλλω, καὶ τὴν ἀμηχανίαν εἰς εὐχαριστίαν, οὕτως αἰσίως, καὶ ὡς ἄν τις μόλις εὔξαιτο, ἀπηλλαγμένην ὁρῶν τῶν παρόντων.

Ἀλλ' οὐ πολὺν ἐπεβίω χρόνον. Καὶ τί διαφέρει, ἄν τε πλείους, ἄν τε ἐλάττους, τὴν ζωὴν ἡμῶν διαμερίσωσιν ἡμέραι, ὅτε καὶ τὸ πλεῖον καὶ τὸ ἔλαττον εἰς τὰς αὐτὰς τοῦ θανάτου πύλας διαβιβάζει; οὐδεὶς ἥδεται τοῖς παρελθοῦσι· τὸ μέλλον οὐκ ἔστι· τὸ παρόν, ἐν ᾧ ἄν τις καὶ τὸ ἥδεσθαι θείη, παντελῶς ἀκαριαῖον· ὥστε καὶ ὁ μακρὸς καὶ βραχὺς τοῦ βίου χρόνος, τῷ παρόντι μόνον τὴν αἴσθησιν τῶν ἡδέων περικλείων, εἰς ἴσην καὶ ὁμοίαν ἀπόλαυσιν τόν τε εἰς γῆρας βαθύνοντα καὶ τὸν ἐνακμάζοντα τῇ νεότητι συνάγει, ἑκατέρου μὲν τὴν αἴσθησιν τῇ παρούσῃ τέρψει διαπλανῶν, οὐδενὸς δέ, οὔτε τῶν παρελθότων, οὔτε τῶν μελλόντων, οὐδεμιᾶς ἡδονῆς οὐδετέρῳ μετέχειν ἐνδιδούς. Οὕτως ἀδιάφορον πολὺν ἢ ὀλίγον χρόνον ἐμβιῶναι· μᾶλλον δὲ οὐδ' ἀδιάφορον· εἰ γὰρ οὐδεὶς ἄνθρωπος ἀπὸ ῥύπου καθαρὸς εἴρηταί τε, καὶ τοῖς ἔργοις ὁρᾶται πιστούμενον, οὐδ' ἂν ᾖ[1] μία ἡμέρα ὁ βίος αὐτῷ, ὁ ἐν ἐλάττονι χρόνῳ τὸ πήλινον τοῦτο σκήνωμα καταλιπών, ἔλαττον ἔχων ἀπῆλθε καὶ κηλίδων τῶν σωματικῶν. Οὐκοῦν ὁ πενθῶν τὴν ἀπελθοῦσαν, ὅτι θᾶττον ἀπήλλαξε τῶν παρόντων, ὅτι ἔλαττον μετέσχε τῶν μολυνόντων, τοῦτο δάκρυον ποιεῖται, καὶ τὸ καθαρωτέραν αὐτὴν τῷ ἐκεῖθεν ὀφθῆναι νυμφίῳ νομίζει[2] συμφοράν.

Ἀλλὰ πρὸ ὥρας μετέστη. Μή μοι γένοιτο τοιαύτην φωνὴν ἀκοῦσαι· φωνὴν ῥηθῆναι μὲν τολμηράν, ἐννοηθῆναι δὲ τολμηροτέραν. Πρὸ ὥρας! καὶ πῶς, ὅτε τὰς μητρικὰς ἔλυσεν ὠδῖνας, οὐκ ἐνομίζετο λύειν πρὸ ὥρας; ἀλλ' ἐτέχθη μὲν νεύσει Θεοῦ καὶ καθ' ὥραν· ἀπελθεῖν δὲ πρὸς τὸν πλάστην ἡμᾶς αὐτοὺς καθίζομεν ὁροθέτας; καὶ προάγει μὲν ὁ δημιουργὸς καθ' ὥραν, λαμβάνει δὲ πρὸς ἑαυτὸν οὐκ εἰδὼς τὴν ὥραν; ἀπὸ σταγόνος ἔπηξεν εἰς σάρκα, διέπλασεν ἐν μήτρᾳ, προήνεγκεν εἰς φῶς, ἐκ βρέφους διετήρησε μέχρι παιδός, μέχρι παστάδος, μέχρι τελείας ἡλικίας. Τούτων οὐδὲν οὐ καθ' ὥραν· ὅτε δὲ πρὸς τὸν ἀθάνατον ἀμείβει βίον, τότε μόνον οὐ καθ' ὥραν; πόῤῥω γλώσσης εὐσέβειαν μελετώσης ἡ τοιαύτη δυσφημία. πόῤῥω φρονήματος σωφρονοῦντος· τοῦτο θρήνων μακρῶν, τοῦτο δακρύων πολλῶν, ἐγκαταχωσθῆναι τὸν ἄνθρωπον τηλικαύτῃ μοχθηρίᾳ λογισμῶν, ἀλλ' οὐχὶ τὸ διαμεῖψαι τὰ ἄφθαρτα τῶν φθαρτῶν. Οὐμενοῦν, οὐχὶ πενθεῖν τὴν διαφυγοῦσαν σῶμα θνητὸν δεῖ, ἀλλὰ τὸν νεκρώσαντα τὸν ἀθάνατον νοῦν· οὐδ' ἣν οὐράνιος παστὰς θαλαμεύει, ἀλλ' ὃς ἐνέθαψε τὴν ψυχὴν ἐλπίσι νεκραῖς.

Ναί, φησίν· ἀλλὰ τεκόντων προαπῆλθε. Τί δαὶ ἄρα; ἐβούλετο δέ τις αὐτὴν μητρὸς καὶ πατρὸς θανάτῳ προκατεργασθεῖσαν πρότερον, οὕτως ἀπελθεῖν, τηλικαύταις πληγαῖς μεμαστιγωμένην; πατρὸς οὔ μοι σπλάγχνα, μητρυιᾶς δὲ[3] διάθεσιν οὗτος, ἀλλ' οὐ πατρός, οὐδὲ μητρὸς φίλτρον ἀπαγγέλλει, καὶ ζητοῦντος τὸ οἰκεῖον ἡδύ, ἢ τὸ τῇ θυγατρὶ κεχαρισμένον, καὶ σοφιζομένου πόθῳ παιδὸς τὴν ἑαυτοῦ θεραπείαν. Τί γὰρ λυπηρόν, ἢ[4]

---

[1] Ἡμ. διόρθ. ἀν: ἰ—εἰ.

[2] Ἡμ. διόρθ. ἀντὶ—νομίζεις.

[3] Ἡμ. διόρθ. ἡ προσθήκη τοῦ—δὲ—ἐλλείποντος παρὰ τοῖς ἄλλοις.

[4] Ἡμ· διόρθ. ἡ προσθήκη τοῦ—ἢ—ἐλλείποντος παρὰ τοῖς ἄλλοις.

Digitized by Google

ἰδεῖν στεργομένων θάνατον; οὐκοῦν ἀπῆλθεν ἡ παῖς ἐλευθέρα τούτου. Ἀλλ' οὐ λυπηρόν· καὶ τί δαπανῶμεν ἑαυτοὺς τῇ λύπῃ; Εἰ δ' αὐτή[1] σοι παρῆν ἐκεῖθεν ἡ παῖς ἐπιστᾶσα, καὶ χειρὶ χεῖρα ἐμβαλοῦσα, ἱλαρῷ δὲ καὶ χαίροντι προσώπῳ κατεφίλει τε καὶ προσεφθέγγετο·—"Τί δὲ ἆρα κόπτεις σεαυτόν, ὦ πάτερ; τί δὲ θρηνεῖς, ὡς ἐπὶ κακοῖς ἀπελθοῦσαν; ἐμοὶ παράδεισος ἔλαχεν οἰκεῖν, γλυκὺ μέν τι θέαμα ὀφθαλμοῖς ἰδεῖν, γλυκύτερον δὲ ἐναπολαῦσαι, μείζων δὲ πίστεως ἀπάσης ἡ πεῖρα· παράδεισος ἐκεῖνος, ἡ πρώτη καὶ θαυμασία τοῦ γένους πατρίς, ἐν ᾧ πάλαι τῆς Δεσποτικῆς παλάμης τὸ φιλοτέχνημα, τῆς φύσεως οἱ προπάτορες, πρὶν ἢ τὸν ὄφιν ὑποψιθυρίσαι, τῆς εὐδαίμονος καὶ μακαρίας ἀπήλαυον ζωῆς. Ἀλλὰ νῦν οὐδὲ ὁ σκολιὸς ἐκεῖνος καὶ πονηρὸς ὄφις χώραν ἔχει ὑφερπῦσαι, οὐδέ τινας ψιθύρους λόγους ὑπομηχανᾶσθαι· ἀλλ' οὐδ' ἐν ἡμῖν ἔστι τις, οὗ μή ἐστιν ἡ γνώμη μηχανῆς ἀπάσης καὶ τέχνης ἀμείνων· οὐδ' ὀφθαλμοὺς δέ τις ἀνοιχθῆναι δεῖται, ἤ τινος μείζονος ἐπιθυμίας ἀπολαῦσαι· ἐσμὲν γὰρ ἅπαντες σοφοὶ μὲν τὴν θείαν καὶ οὐράνιον σοφίαν, ἐν ἀφθόνοις δὲ καὶ ἀνεκλαλήτοις ἀγαθοῖς· ὁ δὲ πᾶς βίος ἡμῖν ἑορτὴ καὶ πανήγυρις· λαμπροὶ δὲ λαμπρῶς ἐν ἀφθάρτοις καὶ καθαρωτάτοις πολιτευόμενοι σώμασι, Θεὸν ὁρῶμεν, ὥς ἐστιν ἀνθρώπῳ δυνατὸν ἰδεῖν, καὶ τούτου τῷ ἀφράστῳ καὶ ἀπερινοήτῳ κάλλει ἐντρυφῶντες, διὰ παντὸς ἀγαλλόμεθα, καὶ κόρος τούτων οὐδείς· ἀλλὰ τὸ ἄφθονον τοῦ τρυφᾶν ἀκμὴ γίνεται τοῦ ἐρᾶν, καὶ τῷ ἔρωτι συμπροϊοῦσα ἡ ἐξουσία τῆς ἀπολαύσεως, ἄφατόν τινα καὶ ἀνεκδιήγητον ὡς ἀληθῶς τὴν χαρὰν ἐκείνην καὶ ἀγαλλίασιν ἐργάζεται· ὡς καὶ νῦν ἔμοιγε ταῦτά σοι προσομιλούσῃ, δεινὸς καὶ ἀμήχανος πρὸς ἐκεῖνα ἔρως ἐπιστρέφει, καὶ οὐδὲ τὸ βραχύτατον αὐτῶν παραχωρεῖ διηγήσασθαι. Ἐλεύσῃ δέ ποτε καὶ αὐτὸς ἐκεῖσε ἅμα φίλῃ μητρί· καὶ τότε πολλὰ μὲν ἐμὲ τοῦ μικρὰ περὶ τηλικούτων εἰπεῖν, πολλὰ δὲ σαυτὸν τοῦ πένθους αἰτιάσῃ, οἵων καλῶν κἀγαθῶν ἡμῖν κατωδύρου. Ἀλλά με λοιπόν, ὦ φίλτατε πάτερ, χαίρων ἔα καὶ πρόπεμπε· μηδὲ πλέον κατέχῃς, ἵνα μὴ πλέον ζημιώσῃς, καὶ διὰ τοῦτο πικρῶς ἀνιάσῃς."—Εἰ ταῦτα δὴ[2] καὶ τοιαῦτα ἕτερα τὸ μακάριον ἐκεῖνο θυγάτριον διεξῇει, ἆρ' οὐκ ἂν δυσωπηθεὶς καὶ τὸν ὀδυρμὸν ἀπέθου, καί χαίρων χαίρουσαν ἀπιέναι προέπεμπες; Εἶτα, ἂν μὲν ἡ παῖς ταῦτα λέγῃ, βελτίους ἐσόμεθα, καὶ τοὺς θρήνους ἀπορρίψομεν· ἂν δ' ὁ κοινὸς πλάστης καὶ δεσπότης βοᾷ, "ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται,"[3] καὶ ὅτι[4] "ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη,"[5] ὡς ἀπιστοῦντες οὐδὲν ἄμεινον διακεισόμεθα, ἀλλ' ἐπὶ πλέον θρηνήσομεν; καὶ ποῦ τοῦτο καλόν; ποῦ δὲ δίκαιον; ποῦ δὲ λογισμῶν ἐγγὺς ἑστηκότων τοῦ πρέποντος ἢ συμφέροντος;

Εἶτα, οὐδὲ τὴν ἐμὴν αἰσχύνῃ κοσμιωτάτην νύμφην, εἰς τὰ τῶν θηλέων δάκρυα τὸ

---

[1] *Ημ. διόρθ. ἀντὶ—αὕτη.—Ὡραιοτάτη δὲ καὶ θαυμαστὴ ἡ τῆς παιδὸς τῷ πατρὶ συντυχία, καὶ ἡ τῆς οὐρανίου βασιλείας περιγραφή, ὡς ἀπὸ στόματος τῆς παιδὸς γινομένη.*

[2] *Ἡμ. διόρθ. ἀντὶ—δέ.*

[3] *Ἰωάν. ΙΑ'. 25.*

[4] *Ἡμ. διόρθ. ἀντὶ—ὅτε.*

[5] *Α' πρὸς Κορινθ. Β', 9.*

Digitized by Google

ἀρρενωπὸν διαχέων καὶ καταφερόμενος; οὐδὲ φείδῃ τῆς γυναικείας ἀσθενείας; οὐδ' ἡ περὶ αὐτὴν εὔλογος συμπάθεια καὶ ὠφέλιμος τὴν παράλογον διαλύει καὶ ἀσύμφορον; Εἰ γὰρ ἄνδρες, παρ' ὧν ταῖς γυναιξὶν ἡ ἀνάκτησις, ἴσα γυναίοις κόψονται, τί τὸ περὶ αὐτὰς ἔσται; πόθεν τὸ παραμύθιον ἕξουσι; τίνας δὲ παραινέσομεν εἰς καρτερίαν μιμεῖσθαι; πρὸς τίνας ἀφορᾷν; Ἀλλὰ μὴ σύγε· μηδὲ σεαυτοῦ ἀνάξιον πάθοις,[1] μηδὲ τοῦ γένους (ἵνα τι καὶ τοῦ καιροῦ φιλοτιμότερον εἴπω) νόθον καὶ ἀλλότριον. Μὴ δὴ τοῦ καλοῦ πλέον εἰς οἰμωγὰς ἐκφερώμεθα, μηδὲ γυναικιζώμεθα τῷ πάθει, ἄνδρες πολλαχοῦ ἐν πολλοῖς καὶ χαλεπωτάτοις πειρασμοῖς ἀναφανέντες. Ἔλαβε πρὸς ἑαυτὸν ὁ πλάστης τὸ πλάσμα· ἀλλ' ἔδωκε πλείους ὧν ἀφεῖλε (καὶ εἴησάν γε ἐπὶ μακρότατον εὖ βιοῦντες, καὶ τοὺς τεκόντας εὐφραίνοντες) υἱοὺς καὶ θυγατέρας. Λυπεῖ τὸ παρελθόν; εὐφραινέτωσαν οἱ παρόντες· εὐχαριστήσωμεν ὑπὲρ ὧν ἀφεῖλεν, ἵνα οἷς ἐχαρίσατο χαίρειν καὶ ἀγαλλιᾶσθαι βεβαίαν ἔχωμεν τὴν ἀπόλαυσιν. Καλὸν ἔχειν τῷ βίῳ γένους διαδόχους· ἔχομεν. Καλὸν παρέχειν ἀπαρχὰς τῷ κοινῷ πλάστῃ, καὶ τῶν ἀγαθῶν ἁπάντων δοτῆρι· προσηνέγκαμεν. Πρὶν μὲν ἄδηλον ἦν, τίνες τῶν παίδων εἰς ἀπαρχὰς Θεῷ, τίνες δὲ εἰς διαδοχὴν γένους λογισθήσονται· νῦν δέ, ἂν μόνον εὐχαρίστως τὴν ἀπαρχὴν οἴσωμεν,[2] οὐκέτι ἐν ἀδήλοις τὰς ἐλπίδας σαλεύσομεν, ἀλλ' ἐν τῷ βεβαίῳ πεπηγότες ἐσόμεθα. Οὐδέποτε λαβὼν οὐ παρέσχε φιλοτιμότερον· ἀεὶ δὲ μεγίστοις καὶ ἀνελπίστοις ἀγαθοῖς τὰ ἐλάχιστα διαμείβεται. Εἰ δὲ θρήνοις, ὡς ἀδικούμενοι, τὰς ἀπαρχὰς καθυβρίσωμεν[3] . . . . ἀλλ' ἐγὼ μὲν οὐδὲν ἐρῶ δυσχερές, ἐπεὶ μηδ' ὑμᾶς ἐλπίζω τοῦ λοιποῦ θρήνους καὶ λύπας καὶ τοιαῦτα πάθη, ἃ τοῦ δυσχεροῦς ἐστιν αἴτια, περιβάλλεσθαι· εἴη δέ μοι καὶ τὸ θεῖον τῇ τε ψήφῳ καὶ τῇ ἐλπίδι συνεφαπτόμενον· καὶ ἔστι γε· αὐτός μοι τὴν παῤῥησίαν χορηγεῖ, ὑμῶν, ὅπερ ἔφην, ἀπὸ τῆς ἀθυμίας εἰς εὐχαριστίαν ἀνενεγκόντων.[5]

Πολλὰ δὲ καὶ νέα καὶ παλαιὰ τοῦ συνενεχθέντος εἰς ψυχαγωγίαν ὑποδείγματα· μᾶλλον δ' ἀληθέστερον εἰπεῖν, ὅλος ὁ βίος τούτου παράδειγμα· ὃν τοῖς λογισμοῖς ἐπιδιελθόντα, πᾶσάν ἐστι ῥᾳον ἀποθέσθαι τὴν κατήφειαν. Εἴπω τὸ μεῖζον, μᾶλλον δὲ τὸ φρίκης γέμον, τίνων ἐστὶ τὸ λυπεῖσθαι τοῦς ἀποιχομένους; μᾶλλον δὲ οὐδ' αὐτὸς ἐρῶ, τὸν κήρυκα δὲ τῆς οἰκουμένης καλῶ, διὰ τῆς οἰκείας φωνῆς ἀπαγγεῖλαι τὸ ἐπουράνιον ψήφισμα· "Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καὶ ὑμεῖς, καθὼς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα."[6] Παῦλός ἐστιν ὁ σαλπίζων ταῦτα, ὁ τῷ οὐρανίῳ παιδευ-

---

[1] Γραπτ. ἴσως—πάθῃς· ἄμεινον γὰρ ὡς νουθεσίαν ("ὅρα μὴ παθῃς"), ἢ ὡς εὐχὴν νοῆσαι τὸ λεγόμενον.

[2] Σημειοῦ καὶ πάλιν τὸν Δόρ.—οἴσωμεν—ἀντὶ "ἐνέγκωμεν."

[3] Καὶ τὸ σχῆμα τοῦτο τῆς ἀποσιωπήσεως ὡραῖον καὶ Δημοσθένειον· οὕτω γὰρ κἀκεῖνος ἐν τῷ περὶ στεφάνου (§ β') λέγει· "ἀλλ' ἐμοὶ μέν . . . . οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου."

[4] Ἐκ διορθ. Μιγνίου, ἀντὶ—μετὰ—παρὰ Μοντακ.

[5] Οὕτω διώρθωσα τὸ παρὰ τοῖς ἄλλοις κακῶς γεγραμμένον· "αὐτός μοι τὴν παῤῥησίαν χορηγεῖ ὑμῶν, ὅπερ ἔφην, ἀπὸ τῆς ἀθυμίας εἰς εὐχαριστίαν ἀνενεγκόντων, πολλὰ δὲ καὶ νέα καὶ παλαιὰ τοῦ συνενεχθέντος εἰς ψυχαγωγίαν ὑποδείγματα."

[6] Α' πρὸς Θεσσαλον. Δ', 13.

Digitized by Google

θεὶς διδασκαλείῳ, ὁ τὴν οἰκουμένην πᾶσαν περιλαβὼν τῷ κηρύγματι· τὸ τοῦ Χριστοῦ στόμα ἀπίστων εἶναι βοᾷ τὴν ἐπὶ τοῖς τελευτῶσι λύπην, σβεννύντων τῆς ἀναστάσεως τὴν ἐλπίδα, ἀπιστούντων τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν. Ἀλλ' ἀποθώμεθα τὴν λύπην, ἵνα μὴ τηλικούτοις κακοῖς ἔνοχοι φανῶμεν, ἵνα μὴ ὡς ἀληθῶς τότε τὴν παῖδα ζημιωθῶμεν. Νῦν μὲν γὰρ κόλποι θάλπουσιν αὐτὴν Ἀβραμιαῖοι, κἀκεῖ ταύτην εὐφραινομένην καὶ χαίρουσαν μετ' ὀλίγον θεασόμεθα· ἐὰν δὲ παρὰ τοὺς Δεσποτικοὺς θεσμοὺς ἐγὼ τὴν παῖδα θρηνῶ, ἐλαύνομαι τοῦ καλοῦ θεάματος ἐκείνου. Ποθεῖς τὴν παῖδα θεάσασθαι; ῥίψον ἀπὸ σοῦ τὴν λύπην· δεῖξον σεαυτόν, δι' ὧν εὐχαριστεῖς, ἄξιον τῆς ἐκεῖθεν εὐφροσύνης· ἀλλ' εἰ ἔτι στέργομεν τοὺς θρήνους, ἑαυτοὺς στερίσκομεν τοῦ ποθουμένου. Οὐκ οἶδε θρήνους ἡ ἐκεῖθεν εὐφροσύνη· οὐδ' ὁ τῆς ἀγαλλιάσεως καὶ χαρᾶς νυμφὼν ἀνέχεται γενέσθαι χωρίον πενθούντων· οὐδ' ἐθέλει παραδέχεσθαι τοὺς ὑπὸ δάκρυσι τιθέντας, οὓς αὐτὸς ἀνεκλαλήτου χαρᾶς ἔχει κληρονόμους. Ἔκρινεν ὁ πλάστης τὸ πλάσμα πρὸς ἀθανασίαν μεταπλάσαι· μὴ βασκαίνωμεν τῆς εὐδαιμονίας τὴν παῖδα, μηδὲ τῆς κρίσεως, ἣν ἔδει θαυμάζειν, καταγογγύζωμεν, μηδὲ τὴν Δεσποτικὴν φιλοτιμίαν εἰς ὑπόθεσιν ἀγνωμοσύνης βιαζώμεθα.

Ἐνόσει ποτὲ παιδίον τοῦ μεγάλου βασιλέως Δαβίδ, καὶ ἡ νόσος τὸν τάφον ἐδείκνυ· ὁ δὲ συμφορὰν τὴν νόσον ποιούμενος, πρηνὴς ἔκειτο, καὶ δάκρυσιν ἐξεμειλίσσετο τὸ θεῖον, τροφῆς τε αὐτῆς ἀπεχόμενος καὶ τῆς ἄλλης ἐπιμελείας τοῦ σώματος· ἀλλ' ὅτε τὸ παιδίον ἀπῆλθεν, αὐτίκα συναπέθετο καὶ τὴν λύπην· πρὶν μὲν γὰρ ἱκέτευε παραμένειν τὸ φυὲν τῶν σπλάγχνων· ἐπεὶ δὲ κρίναντα τὴν ἀναχώρησιν τὸν πλάστην εἶδεν, οὐκ ἐτόλμησε τοῦ κριτοῦ τὴν ψῆφον ἐγκαθυβρίσαι τῷ πένθει, ἀλλ' ἀνώτερον ἑαυτὸν πάσης παρασκευσάμενος κατηφείας, εὐχαριστηρίους ἠφίει φωνάς, καὶ τῆς συνήθους εἶχετο διαίτης.[1] Οὕτω χρὴ διατίθεσθαι καὶ ἡμᾶς. Ἀσθενεῖ παιδίον, συγγενὴς ἄλλος, ἢ τῶν φίλων τις, καὶ ἡ νόσος θάνατον ὠδίνει; δέομαι Θεοῦ παρελθεῖν τὴν νόσον, δοῦναι παρεῖναι τὸ ποθούμενον τοῖς ποθοῦσιν. Ἀλλ' ἄμεινον αὐτὸς τὴν μετάστασιν ἡγεῖται; εὐχαριστεῖν λοιπὸν οἷς ᾠκονόμησε προσήκει, στέργειν τὸ πραχθέν, καὶ μὴ τῷ θρήνῳ καὶ τοῖς ὀδυρμοῖς ἐγκαθυβρίζειν τὴν κρίσιν τοῦ κτίσαντος. Εἰ δέ τις καὶ ἡμᾶς ἐνεδρεύει δαίμων, καὶ τὸν Ἰὼβ πάλιν ἐξαιτεῖ, καὶ Θεὸς ἀφίησι τῷ θεράποντι βάσανον[2] συμπλακῆναι, καὶ δοκιμάζει τὴν ὑπομονὴν ἐπ' ἐλέγχῳ τοῦ ἀντικειμένου, καὶ ἀγώνων στάδιον ἀνοίγει, καταισχῦναι μὲν τὸν ἀνταγωνιστήν, στεφανῶσαι δὲ τὸν ἀθλητήν, οὐδ' οὕτω χρὴ ἀνίας ὑπόθεσιν τῆς ἀρετῆς τὴν ἀνακήρυξιν, οὔμενουν, οὐδαμῶς ποιεῖσθαι, οὐδὲ καιρὸν θρήνων ἀποφαίνειν τὸν καιρὸν τῶν τροπαίων, οὐδὲ ἡμέραν δακρύων τῆς ἀθλήσεως τὴν ἡμέραν. Οὐ μὰ τοὺς δι' ὑπομονῆς στεφανωθέντας, καὶ τοὺς ἀμαραντίνους αὐτοὺς καὶ λαμπροὺς στεφάνους· οὐκ ἔστιν ἄξια ταῦτα τῆς σῆς γενναίας ψυχῆς, οὐδὲ τοῦ εὐσταθοῦς φρονήματος, οὐδὲ τῆς ἄλλης ἀρετῆς.[3]

---

[1] Β' Βασιλ. ΙΒ', 15—24

[2] Ὀρθῶς, οἶμαι. τοῦτο διορθοῦται Μοντακ.—βάσκανον· ἀλλ' ἄμεινον ἔσται μετὰ τοῦ ἄρθρου "τὸν βάσκανον"=τὸν φθονερὸν Διάβολον.

[3] Καὶ τοῦτο Δημοσθένειον, ὅτε οἷον ὑπὸ θείας τινὸς δυνάμεως ἐμπνευσθεὶς τὸν ὡραῖον ἐκεῖνον ἐβροντοφώνησεν ὅρκον· "Οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμαρτήκατε, ὦ ἄνδρες Ἀθηναῖοι . . . οὐ μὰ τοὺς ἐν Μαρα-

Digitized by Google

Τοιγαροῦν πόσοι πόνοι στῦλοι εὐδοκιμεῖ ἐν τῷ ἀρκίῳ στρατιῶται βασιλεῖ τὸ ἐχθρὸν τροπαιοῦχοι μὲν ἐκπεσόντες τὴν μαρτυρίαν τοῦ ἀγωνοθέτου· μετὰ τῶν ἐντεῦθεν τὸ δόκιμον ἐν τῷ δοκιμείῳ συγγραμμένων μηδ', εἴ τι πρότερον ἡμῖν τρόπαιον ἐστησάμεθα, τοῖς ἐντεῦθεν ἐπιβουλεύσωμεν μηδὲ κινῆσαι μὲν φθόνον ἐχθροῦ γνώμῃσι ἐκείνῃ· κτίσαι δὲ μὴ δυνάμενοι εἰς τέλος ἐλεγχθῶμεν ἀσπροί. Ἕτοιμος εἰς πόνον ὁ πόλεμος· ἵππος δὲ μεσούσῃ θέρους τοὺς πειρασμοὺς θᾶττον ἀφίσταται τῆς τέλους· κόνις τοῦ ἐφόδου ἐπὶ πεδίου τῆς καρτερίας ἐφιζάνουσιν ἐγγὺς ὁ στεφανίτης· λαμπρούς τοὺς πόνους ἐπὶ τῶν ἄθλων δεξόμενοι τὸν ἀγωνιστὴν καὶ οὐκέτι σπουδὴν τοσαύτην τοῦ ἔργου τοιοῦτο δὲ τοῦτο ἐλαύνει, κἂν ἔτι δόξῃ ἀναισχυντεῖν, ὅτου τοῦτο ἔσονται τέχνης ἐπιβουλῆς· ἐμοὶ δὲ καὶ τὰ ἐλεεινὰ πολλαπλασίονι τῇ εὐδαιμονίᾳ ἐστὶ χρῆσαι. Ἴσμεν τοῦτον ἐκεῖνον ἀκαταπαυστότατον μάρτυς αὐτὸς πάλιν Ἰώβ· οὗ πάντες τοὺς πλησίον ἐπιτιμήσαντες. πῶς καὶ τῆς εὐφροσύνης καὶ τῆς δόξης καὶ τῆς λαμπρότητος ἐπολέσαμεν; νῦν τε ἐπὶ τοὺς ἀτελευτήτους αἰῶνας, πρεσβευούσης τῆς ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

ΕΠΙΣΤΟΛΗ ΡΜΓ.—143.

Τῷ αὐτῷ.[1]

Τέθνηκεν ὁ δεῖνος· τὸ γοῦν ἐπὶ νοῦ ἐν τοῖς ἐμοῖς ἤθεσιν, ὡς οὐχὶ ἀθάνατον ἀφῆκε σπέρμα ἐπὶ τῷ ἴσῳ τὴν ἑαυτοῦ μίμησιν. Ἄμεινον οὖν εὐδαιμονίσωμεν ὅλως τίνα, ἢ τοῦτον θρηνεῖν μελετήσωμεν;

ΕΠΙΣΤΟΛΗ ΡΜΔ.—144.

Εὐσεβίᾳ μανεζουσῃ καὶ Ἡγουμένῃ παραμυθητικὴ ἐπὶ ἀδελφῇ τελευτησάσῃ.[2]

Εἰ μὲν ἀφ' ἡμῶν ὁ θάνατος ἤρξατο καὶ πρώτοις διὰ τοῦ γένους εἰς πεῖραν αὐτοῦ

θῶνι προκινδυνεύσαντας τῶν τροπαίων, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας, καὶ τοὺς ἐν Ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, κτλ." (περὶ στεφ. § ξ'.)

[1] Ἐκ διορθ. Μιγνίου, ἀντὶ—κατορθωθῇ—παρὰ Μοντακουτίῳ· οὗτος δὲ τὴν γεν. "ανδρείας" γραπτέον εἶναι εἰκάζει "ὀνδρείων" ἀλλ' ἀμφότερον ἔστιν εἰπεῖν.

[2] Γραπτέον, οἶμαι, κατ' Εὐστιείῳ—ἀπολαύσωμεν—ἢ ἀπολαύσαιμεν.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 956)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΛΑ'.

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 917)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΜΕ'. Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου. (σελ. 916· ἔκδ. Οἰσχελίου.)

Digitized by Google

καθιστάμεθα, εἰκότως ἄν, ὡς ἀπροσδοκήτῳ καὶ καινῷ περιπεσόντες, ἐθορυβούμεθα τῷ συμπτώματι. Ἐπεὶ δέ, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, ζωῇ καὶ θανάτῳ μεριζόμεθα, καὶ προγονικὸν ὑπάρχει τὸ ἐπιτίμιον, καὶ οὐκ ἔστιν ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον, τί τὸ κοινὸν χρέος ἰδίαν ζημίαν λογιζόμεθα, καὶ ὡς καινὴν ἀπαιτηθέντες εἰσπραξιν ἀπολοφυρόμεθα; καὶ ὃ οὐκ[1] ἔστιν ἄλλως γενέσθαι, οὐδ' ἡ φύσις ἄλλον νόμον ἐπίσταται, ὥς τι τῶν παραδόξων ὑπερεκπληττόμεθα; καὶ διδόαμεν ἑαυτοὺς οὐκ εὐαγῶς, οὐδὲ κατὰ τοὺς νόμους τοῦ Πνεύματος, ὅλους τῇ λύπῃ βαπτίζεσθαι; καὶ λανθάνομεν, θάνατον συγγενῶν ὀδυρόμενοι, ἑαυτοῖς τῷ θρήνῳ τὸν θάνατον συγκατασκευάζοντες; Καίτοι, εἰ μὲν χαλεπὸν ὁ θάνατος, τί τοῦτον ἑαυτοῖς ἐπιταχύνομεν, καὶ τὸν ὅρον τοῦ πλάστου φθάσαι διανιστάμεθα; εἰ δ' ἀγαθὸν καὶ σωτήριον, τί τοὺς ἀποιχομένους,[2] καὶ τότε κρίσει τοῦ Δεσπότου, πέρα τοῦ μετρίου κοπτόμεθα;

Ἀδελφή με, φησίν, ἐγκατέλιπεν, ἡ μόνη μετὰ Θεόν παραψυχή, τῶν λυπηρῶν ἡ παράκλησις, τῶν ἀλγεινῶν ἡ διάλυσις, ἡ πρώτη τῶν εὐφραινόντων ὑπόθεσις. Καὶ τί τοῦτο; καὶ πατήρ σε καὶ μήτηρ προλέλοιπε, καὶ συγγενεῖς ἄλλοι, καὶ τὸ μέχρις Ἀδὰμ γένος ἀναφερόμενον· σὺ δὲ πάλιν ἄλλους καταλείψεις· καὶ οὐκ ἔστιν εὑρεῖν, ὃν οὐ πλεῖστοι καταλιμπάνουσιν. Ἀδελφὴ κατέλιπεν ἀδελφήν· ἀλλ' εὗρε τοὺς προλαβόντας γεννήτορας· κατέλιπεν ἀδελφήν· ἀλλ' εἰς τὸν κοινὸν Δεσπότην καὶ πατέρα ἀπεδήμησεν· ἀλλὰ πρὸς ἐκείνην τὴν πολιτείαν, πρὸς ἣν καὶ ἡμεῖς πορευόμεθα. Εἶτα, ὅτι μέν σε κατέλιπε λογίζῃ· οἵους δὲ κατέλαβεν οὐκ ἐννοεῖς; καὶ τὸ μὲν σῶμα στένεις ὅτι οὐχ ὁρᾷς· ἡ δὲ ψυχὴ ὅτι μᾶλλον ἀκώλυτον εὗρε τὴν πρὸς σὲ συνάφειαν οὐ χαίρεις συνορᾷν; καὶ ὅτι μὲν φθαρτῶν ἀπηλλάγη, δεινὰ ποιεῖς· ὅτι δὲ τῶν ἀφθάρτων ἀπολαύει, οὐ μέγα ἡγῇ; Πῶς δὲ καὶ κατέλιπεν; εἰ μὲν εἰς τὸ μὴ ὂν ὑπεχώρησεν, ἢ[3] ὑπ' ἄλλην ἐξουσίαν καὶ κυριότητα γέγονε, τότε ἂν ἡμᾶς ὡς ἀληθῶς ἐγκατέλιπεν· εἰ δὲ τῇ αὐτῇ παλάμῃ φρουρεῖται τοῦ πλάσαντος, καὶ τὸν αὐτὸν Κύριον δεσπόζοντά τε καὶ προνοούμενον ἔχομεν, καὶ ἡ αὐτὴ ἑκατέροις διατριβή τε καὶ κατασκήνωσις ἑτοιμάζεται, κἂν τὴν μὲν ἤδη θορύβων ἔχῃ βίος ἐλεύθερος, ἡμεῖς δὲ ἔτι τῷ κυμαίνοντι περιφερώμεθα, πῶς ἡμᾶς ἐγκατέλιπεν; Εἰ μὴ πρὸς τὸν αὐτὸν καὶ ἡμεῖς κυβερνώμεθα τῆς καταπαύσεως λιμένα, εἰ μὴ τὴν αὐτὴν ὁδὸν διανύομεν, εἰ μὴ τὸ αὐτὸ ἡμᾶς ἐκδέχεται τέλος, ἔδει τότε λογίζεσθαι τὴν ἐγκατάλειψιν, ἔδει τότε πενθεῖν τὴν διάστασιν. Εἰ δέ, ὅσα ἄν τις καὶ βουλεύσηται[4] καὶ πράξῃ, πάντα πρὸς ἐκείνην τὴν μονὴν ἀπάγει, τί μάτην κοπτόμεθα; τί δὲ κατὰ τοῦ νόμου τῆς φύσεως χαλεπαίνομεν; ὅτι θνητὸς ὢν τὴν φύσιν ἄνθρωπος τῷ θανάτῳ ἐλειτούργησεν; ὅτι τὰ ἴσα καὶ ὅμοια πατρὶ καὶ μητρὶ καὶ τῷ λοιπῷ γένει τὸν παρόντα βίον διεπέρασεν; Τί δέ;[5] ἐχρῆν ἐφ' ἡμῶν μόνων ἀνατραπῆναι τὴν φύσιν, καὶ συγχυθῆναι τοὺς ὅρους τῆς κτίσεως; τί γὰρ προκύψαν διὰ γενέ-

[1] Ἐκ διορθ. Μιγνίου ἡ προσθήκη τοῦ—οὐκ—ἐλλείποντος παρὰ Μοντακ.

[2] Ἡμ. διόρθ. ἀντὶ—ἀποικουμένους.

[3] Ἡμ. διόρθ. ἀντὶ—εἰ.

[4] Ἡμ. διόρθ. ἀντὶ—βουλεύσῃ τε.

[5] Ἡμ. διόρθ. ἀντὶ—τί δ' ἐχρῆν κ.τ.λ.

Digitized by Google

σεως, οὐ διὰ λύσεως πάλιν καὶ θανάτου καταδύεται; παραλείπω βοτανῶν ἄνθη καὶ κάλλη, οὐ τὴν ὄψιν μόνον, ἀλλὰ καὶ τὰς ἄλλας αἰσθήσεις τέρποντα· παρατρέχω φυτῶν ὡραιότητας, ἀγέλας τε παντοδαπῶν ζώων, ἃ πάντα[1] τῷ χρόνῳ παρέρχεται, καὶ τήν γένεσιν εὑρίσκει προοιμιάζουσαν τὴν διάλυσιν. Ἀλλ' ἐννόει μοι τὸν εὔτακτον χορὸν τῶν ἀστέρων, ὅπως τε ποικίλλουσι τὸ στερέωμα, βαφαῖς λαμπροτέραις περιανθίζοντες τὰ οὐράνια, καὶ ὅπως δαδουχοῦσι τὴν νύκτα, τὸ στυγνὸν αὐτῆς ἀπαυγάζοντες, καὶ τὴν θέαν ἄλυπον τοῖς ὁρῶσι παρεχόμενοι· τὴν σελήνην πάλιν ἐπισκόπει, ὅπως ἐκ τοῦ ἡλίου δανειζομένη τὸ φῶς, προῖκα τὸν ἀέρα πυρσεύει, καὶ φιλοτιμεῖται τὸ δῶρον, καὶ πρὸ ἡμέρας ἄλλην ἡμέραν φιλονεικεῖ ἀπεργάζεσθαι. Ἀλλὰ καὶ ταῦτα πάντα πρὸς τέλος ὁρᾷ, καὶ τὸ χρέος οἶδε, καὶ τρέχει πρὸς τὴν ἀπότισιν.[2] Αὐτὸς ὁ ἥλιος οὐ λαμπρὸς μὲν ἰδεῖν, θαυμάσιος δὲ τὸ κάλλος; καὶ τί γὰρ ἄλλο εἰπεῖν, ἢ ὅτι ὡς γίγας ἀγαλλιώμενος, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ,[3] ἐκεῖνον τὸν ὑπερφυῆ δρόμον καὶ εὔτακτον ἐν αὐτῷ μέσῳ τῷ κόσμῳ ἀνελίττων, θεατρίζει τε καὶ ἐπιδείκνυται, καὶ τὰ σύμπαντα ταῖς ἀκτῖσι βάλλων, καὶ τοῦτο μὲν ζωογονῶν, τοῦτο δὲ θάλπων, καὶ συνέχων τὰ περίγεια λόγῳ καὶ νόμῳ τοῦ κτίσαντος, οὐχὶ τοσούτῳ μακροῖς ταῦτα πράττων οὐ γηράσκει χρόνοις,[4] οὐδ' ἀλλοιοῦται τὸ κάλλος, οὐδὲ τὸν δρόμον ὀκλάζει, οὐδ' ἔχει πρᾶξιν, δι' οὗ τὴν λύσιν ἀπαιτηθήσεται; Ἀλλὰ καὶ οὗτος ὁ τοσοῦτος καὶ τηλικοῦτος οὐ διαφεύγει τὸ τέλος, ἀλλ' ὑποκύπτει τοῖς νόμοις τῆς φύσεως· πάντα γὰρ μεταβάλλεται, καὶ οὐδέν, ὃ διὰ γενέσεως οὐσιώθη, ἐπιζητεῖ πρὸ τοῦ θανάτου μαθεῖν τὸ ἀθάνατον. Τί οὖν; ταῦτα πάντα μεταπλάττεται καὶ μεταβάλλεται,[5] καὶ πρὸς τὸν ὅρον οὐκ ἀγανακτεῖ τῆς πλάσεως, ἀλλ' εὐπειθῶς φέρει τοῦ τεχνίτου τὸ βούλημα· ἡμεῖς δέ, δι' ὧν μάτην κοπτόμεθα, καθ' ἡμῶν τὸ θεῖον παροργίζειν οὐκ ὀκνήσομεν; καὶ τοσαῦτα πρὸ ὀφθαλμῶν ἔχοντες παραδείγματα, ὑπό τούτων μὲν οὐδενὸς ἀνανήψομεν, ὅσα δὲ τὸ πάθος καὶ ὁ πονηρὸς ὑπαγορεύει, τούτοις ἑαυτοὺς παραδώσομεν; Ἔλαβεν ὁ πλάστης πρὸς ἑαυτὸν τὸ πλαστούργημα· καὶ σὺ οὐκ ἀνέχῃ; ἵνα λύσῃ πόνων καὶ φροντίδων, ἃ τῷ βίῳ πάντως συνανακύπτουσι· καὶ σὺ δυσχεραίνεις; ἵνα ἀναστήσῃ· καὶ σὺ τὴν τοσαύτην χάριν ὀλοφύρῃ; αὐτὸς ἀπαθανατίζει· καὶ σύ, ὡς μηκέτι οὖσης, εἰς ὀδυρμοὺς καταπίπτεις; καὶ ποῦ ταῦτα τῆς σῆς ἀρετῆς ἄξια;

Ἀλλ' ἀναλάβωμεν ἑαυτούς· ἐπιγνῶμεν ἡμῶν τὴν φύσιν· ἐπιγνῶμεν τὸν πλάστην· ἐννοήσωμεν τὴν ἄβυσσον τῆς Δεσποτικῆς φιλανθρωπίας. Ἔδωκεν εἰς ἐπιτιμίου λόγον τὸν θάνατον· ἀλλ' ἀθανασίας αὐτὸν πύλην δι' ἰδίου μετεσκεύασε θανάτου. Ὀργῆς καὶ ἀγανακτήσεως ἀπόφασις ἦν· ἀλλὰ τὴν ἄκραν ἀγαθότητα τοῦ κριτοῦ μηνύει· ἀλλ' ὑπερβαίνει λογισμῶν μεθόδους τὸ ἐννόημα. Λύει μὲν γὰρ θανάτῳ τὴν φύσιν, ἥτις διὰ τοῦ προγονικοῦ συνετρίβη παραπτώματος· ἀλλ' ἡ λύσις προοίμιον τῆς ἀναπλάσεως γίνεται.

---

[1] Ἡμ. διόρθ. ἀντὶ—ἅπαντα (μετὰ προτεθειμένης μεσοστιγμῆς).

[2] Ἡμ. διόρθ. ἀντὶ—ἀπαίτησιν·—ὅπερ οὐ συνᾴδει τῷ προειρημένῳ "καὶ τὸ χρέος οἶδε·" ἀλλὰ καὶ ἡ Λατιν. μετάφρασις "solutionem" φέρει, ὅπερ=χρέους ἀπότισις.

[3] Ψαλμ. ΙΗ', 5 καὶ 6.

[4] Ἐκ διορθ. Μιγνίου ἀντὶ—χρόνος—παρὰ Μοντακ.

[5] Ἡμ. διόρθ. ἀντὶ—μεταβάλλει.

Digitized by Google

Διαιρεῖ τοῦ σώματος τὴν ψυχήν· καὶ ἡ διαίρεσις ἀρχὴ συναφείας λαμπροτέρας τε καὶ θειοτέρας εὑρίσκεται· "σπείρεται γὰρ σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ·"[1] ἀναλαμβάνει τὸ φιλοτέχνημα τῶν οἰκείων χειρῶν ὁ δημιουργός, ἕλκει πρὸς ἑαυτόν· χωρίζει μὲν τῶν ἀνθρωπίνων ὀφθαλμῶν, ἀλλ' ὑπὸ ταῖς Ἀγγελικαῖς ἀστραπαῖς καὶ λαμπρότησιν ἐγκατοικίζει. Ποῦ ταῦτα θρήνων; ποῦ δὲ δακρύων; πόσον ἀπέχει τούτων τὸ πένθος;

Ταῦτα διανοουμένη καὶ μελέτην ἔχουσα, καὶ πρό γε τούτων ἁπάντων ἐκεῖνο λαβοῦσα τῆς μνήμης, ὅτι ἐκ βρέφους Θεῷ ἐκολλήθης, καὶ τῷ ἀφθάρτῳ καὶ ἀθανάτῳ Νυμφίῳ Χριστῷ συνηρμόσθης, γεννήτορας μὲν καὶ ἀδελφοὺς καὶ συγγένειαν πᾶσαν ἀρνησαμένη, αὐτῷ δὲ μόνῳ τὸν βίον ὅλον καὶ τὴν ζωὴν καθυποσχομένη, μὴ καθύβριζε τοῖς ὀδυρμοῖς τὴν ὁμολογίαν, μηδὲ τῷ πένθει τὴν χάριν ἐκείνην ἀμαυρώσῃς, μηδὲ τῇ νῦν σκυθρωπότητι τὴν τῶν Ἀγγέλων τότε χαρὰν ἀνταλλάξῃ. Ἂν γάρ, οἷς ἐκεῖνοι νυνὶ χαίρουσι, παρθένον ψυχὴν καὶ τῶν παθῶν ἀνωτέραν εἰς ἀναπλήρωσιν τῶν ἀπορρύεντων δαιμονίων εἰσδεξάμενοι,[2] σὺ ταῦτα πένθους κατασκευάζῃς ὑπόθεσιν, ὅρα ὅπως τοῖς δευτέροις πικρῶς ἐξυβρίζεις τὰ πρότερα. Οὐδεὶς ἀκμάζων τῷ πρὸς τὸν Νυμφίον ἔρωτι, λείπει μὲν τὸν πόθον, γίνεται δὲ τοῦ πένθους· καὶ ὅτι μὲν ἐκεῖνον ἔχει ἐπιλανθάνεται, θανάτους δὲ περισκοπεῖ καὶ περιεργάζεται, καὶ τούτοις περιοδυνᾶται,[3] τῷ πάθει τὸν πόθον βαπτίζων, καὶ τὴν χαρὰν προδιδοὺς τῇ λύπῃ αἰχμάλωτον. Εἰ μὲν οὖν ἡ τελευτήσασα,[4] μᾶλλον δὲ ἡμᾶς ἡ προλαβοῦσα, τῶν ἀμελῶς καὶ οὐκ εὐσεβῶς βεβιωκότων ἐτύγχανε, τάχ' ἂν συγγνώμην εἶχεν ὁ στεναγμὸς καὶ τὰ δάκρυα· καίτοι γε ὁ Κύριος ἡμῶν καὶ Σωτήρ, ἡ τῆς φιλανθρωπίας πηγή, οὐδὲ πρὸς τούτους ἐπιστρέφεσθαι τοῖς ἀκολουθεῖν αὐτῷ προαιρουμένοις νόμον ἔθετο· "Ἄφες γάρ, ἔφη, τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀκολούθει μοι."[5] Ἐπεὶ δὲ τῶν ὁσίως καὶ θεοφιλῶς διαζησάντων, καὶ Θεῷ τὴν πίστιν καθαρὰν τετηρηκότων, τὸ παρθενικὸν ἐκεῖνο καὶ μακάριον σκεῦος ἐτύγχανε, πῶς τὴν Δεσποτικὴν φωνὴν οὐ δυσωπούμεθα; πῶς οὐχ εὑρίσκομεν ἐν αὐτῇ πᾶσαν κατηφείας διάλυσιν; "Ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται·"[6] διὰ θανάτου ζωὴν ἀθάνατον εὗρατο· διὰ λύσεως τὴν ἀδιάλυτον κατασκήνωσιν ἐκληρώσατο. Ἔφη πάλιν ὁ κοινὸς ἀνθρώπων Σωτήρ, καὶ τῶν σωζομένων νυμφίος· "Οὐ δύνανται πενθεῖν οἱ υἱοὶ τοῦ νυμφῶνος ἐφ' ὅσον χρόνον μετ' αὐ-

---

[1] Α' πρὸς Κορονθ. ΙΕ', 44 καὶ 43.

[2] Ἐκ διορθ. Μιγνίου, ἀντὶ—εἰσδειξάμενοι.

[3] Ἡμ. διόρθ. ἀντὶ—περιοδυνεῖται,—ὅπερ οὐχ εὕρηται.

[4] Ἡμ. διόρθ. ἀντὶ—ὁ τελευτήσας·—καὶ εἴποι μὲν ἄν τις, ὅτι καὶ ἐπὶ γυναικὸς δυνατὸν εἰπεῖν "ὁ τελευτήσας" (ἄνθρωπος)· ἐνταῦθα μέντοι πρὸς τὴν ἀμέσως ἑπομένην μετοχὴν "ἡ προλαβοῦσα" συνδεόμενον, οὐκ ἂν ὀρθῶς κατ' ἀρσενικὸν γένος ῥηθείη.

[5] Ματθ. Η', 22.

[6] Ἰωάν. ΙΑ', 25.

Digitized by Google

τῶν ἐστιν ὁ νυμφίος."[1] Ἀκούεις, τί λέγει; μὴ καταδικάσῃς σεαυτῆς[2] διὰ τοῦ πένθους τοῦ τηλικούτου νυμφίου τὴν διάστασιν· μηδὲ ψῆφον κατὰ σεαυτῆς ἐξενέγκῃς, ὅ, καὶ ἄλλου τολμῶντος, οὐκ ἂν αὐτὴ τὴν ἐπήρειαν ἤνεγκας, ἀλλ' ἐχθρόν, ἀλλὰ πολέμιον, ἀλλὰ πάντα κακὸν ἀπεκήρυξας· μηδὲ τὴν δόξης ἀπολαύουσαν θρηνοῦσα σεαυτὴν ἔνοχον θρήνων ἀποδείξῃς. "Οὐ δύνανται πενθεῖν οἱ συνόντες τῷ νυμφίῳ·" τί ταύτης τῆς φωνῆς, μᾶλλον δὲ τῆς Δεσποτικῆς διαμαρτυρίας, φοβερώτερον; .πενθεῖς; ἀπέστης τοῦ νυμφίου· ὀδύρῃ; τὸν θάλαμον ὑβρίζεις· τὰ τῶν πολλῶν καὶ χυδαίων πράττεις; ἐκπίπτεις τῆς παστάδος· Ἀλλὰ μηκέτι τὴν ἐν Θεῷ ζῶσαν ὡς νεκρὰν θρηνῶμεν· μηδέ, δι' ὧν στέργειν αὐτὴν νομίζομεν, καὶ αὐτὴν ἐκείνην ἀτιμάζωμεν· ὕβρις ἐστὶ τοῖς τὸν οὐρανὸν θαλαμηπολοῦσιν ὁ ὀδυρμός· καὶ τὰ δάκρυα δυσφημούντων ἐστὶν αὐτῶν τὸ μακάριον, δισταζόντων τὴν ἀπόλαυσιν, ἀμφιβαλλόντων (ἵνα μὴ ἀπιστούντων λέγω) τὴν ἀνάστασιν. Ἃ πάντα λογισαμένη, καὶ νηφούσῃ κρίσει ἐπισκοπήσασα, ῥίψον τὸ πένθος, ἀπόθου τὸ πάθος, τοὺς στεναγμούς, καὶ τὰ δάκρυα· ἔσται δὲ τοῦτο τοῖς τε ἄλλοις, οἷς προείπομεν, καὶ ἐάν περ ἑαυτὴν πάντων τῶν λοιπῶν ἀποσπάσασα, μόνον τοῦ καθαροῦ καὶ ἀχράντου νυμφίου Χριστοῦ τὸν μακάριον καὶ ἀνώλεθρον ἔρωτα ὅλον καθ' ὅλην σεαυτὴν ἀναλαβοῦσα, πρὸς ἐκεῖνον οὐ λήγεις ἐπιστρεφομένη καὶ ἀτενίζουσα.

ΕΠΙΣΤΟΛΗ ΡΜΕ'.—145.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας, τελευτήσαντος αὐτῷ ἐν τῇ ὑπερορίᾳ Κληρικοῦ, μετὰ τὴν γενομένην ἐπ' αὐτῷ τοῦ Πρεσβυτέρου χειροτονίαν.[3]

Ἐβουλόμην μὲν[4] ἀπ' ἀρχῆς[5] τῆς σκυθρωπῆς ἀγγελίας (ὡς εἴθε μὴ ὤφελεν ἐμοῖς ὠσὶν ἐπελθεῖν) λόγοις παρακλήσεως τὸ ἐν σοὶ πραὺνειν ἄλγος, καὶ τὸ λυποῦν ἀφαιρεῖν αἷς ἐνῆν μοι παρηγορίαις. Ἐπεὶ δὲ ταῖς ἴσαις αὐτός (οὐ γάρ ἂν εἴποιμι πλέον, οὐ τὴν ἀλήθειαν, τὴν δ' ἀπιστίαν εὐλαβούμενος) κατετεινόμην ἀλγηδόσι, καὶ τὴν ψυχὴν χαλεπῶς ἔπασχον, ἀμβλύτερός πως κατέστην ἑτέρων λύπας ἀφαιρεῖν, ὧν αὐτὸς παραμύθιον οὐχ εὕρισκον. Ὀψὲ δὲ καὶ μόλις τοὺς λογισμοὺς ἀνενεγκών, κἀκεῖνο πρὸ τῶν ἄλλων ἐνθυμηθείς, ὡς ἔτι[6] περίεστιν ἡ Ἀρχιερατικὴ καὶ ἁγία χεὶρ ἐκείνη (καὶ περιείη γε ἐπὶ

---

[1] *Ματθ. Θ'*, 15.

[2] *Ἡμ. διόρθ. ἀντὶ—σεαυτῇ.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 845)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛ'.*

[4] *Ἡμ. διόρθωσις ἡ προσθήκη τοῦ—μέν.*

[5] *Ὁμοίως, ἀντὶ—ἀπαρχῆς.*

[6] *Ὁμοίως, ἀντὶ—ὅτι.*

Digitized by Google

πλέον, ἢ ὅσον διαγέγονεν, ἡ τοιούτους ἡμῖν διαπλάττουσα καὶ διαμορφοῦσα τοὺς τῆς ἱερᾶς ἡμῶν ὑπηρέτας ἁγιστείας), ἔτι μᾶλλον ἐγενόμην ἐμαυτοῦ, καὶ τοῦ δυσφορεῖν ὑπερανέσχον, καὶ πρὸς τὴν αὐτὴν λοιπὸν διάθεσιν τὴν ὑμετέραν μεθέλκειν ἐθάρρησα τελειότητα· καί, τί γάρ, ἐνενόουν, τῶν ἀτοπωτέρων, τί δὲ τῶν καινοτέρων πεπόνθαμεν;[1] Ἀφῃρέθη μέλος· ἀλλὰ Θεῷ ἀφιέρωται· ἀλλ' ἀπαρχὴν ἔδει δοθῆναι τῶν καλῶν, ὧν ἐκεῖθεν ἐπλουτήσαμεν· ἀρχαῖος οὗτος νόμος, ἀπαρχὰς τῶν τιμίων τῷ δοτῆρι καὶ κοινῷ προσφέρειν Δεσπότῃ. Κλάδος εὐθαλὴς καὶ καρπὸν ὡραῖον φέρων περιῄρηται· ἀλλ' ἡ ῥίζα μένει· οἴσει πάλιν οὐκ ἐλάττονα· εἰ δὲ πλέον ὁ περιῃρημένος λυπεῖ, βλαστανέτω καὶ πλείονας, ἵνα μὴ πάλιν ἔχοι χαλεπῶς ἀλγεῖν, τοῦ φυτοκόμου πρὸς ἑαυτόν τινα τῶν κλάδων λαμβάνοντος, ἀλλ' ἐν τῇ τῶν ὑπολειπομένων τέρψει τοῦ ἀφῃρημένου λανθάνειν ἔχοι τὴν συναίσθησιν. Ἀπῆλθεν ἡ καλὴ καὶ θαυμασία τῆς ἀρετῆς εἰκών· ἀλλ' ὁ γραφεὺς ἔτι τὴν χεῖρα κινεῖ, καὶ γράψει γε πάντως, ἐραστὴς ὢν τοῦ καλοῦ, οὐκέτι μίαν, ἀλλὰ καὶ πλείονας. Ἀλλ' ἐμοὶ μὲν τοῦτο τῆς ἀθυμίας φάρμακον· οἶμαι δ' ἂν αὐτὸ λαβεῖν προθύμως καὶ τῶν εὐσεβούντων ἕκαστον· τὸ δὲ κοινὸν τῆς Ἐκκλησίας, ἐφ' ᾧ γε παρακεκλήμεθα, οὐκ ἂν οὐχὶ δικαιώσαις καὶ αὐτὸς καὶ τῆς σῆς Ἀρχιερατικῆς συμπαθείας μὴ γενέσθαι παράκλησιν. Τί γάρ; πρὸ ὥρας ἀπῆρεν; καὶ τίς ἀκριβέστερος ὥρας συντηρεῖν καὶ κρίνειν τοῦ πάντα λόγῳ καὶ εἰρμῷ τάξαντος; ἀλλ' ἐν ἀκμῇ τῆς ἡλικίας οἱ τοιοῦτοι τοὺς ἄθλους γενναίως φέρουσι· τὸ δὲ εἰς γῆρας παραταθῆναι ἐγκοπὴ τὰ πολλὰ τῆς πολλῆς καθίσταται γενναιότητος. Σύνδρομος ἦν πρὸς ἀρετήν· οὐ χρὴ φθονεῖν, εἰ τὸ στάδιον προκατείληφεν. Ἀλλ' ἦν τῶν θλιβερῶν παραμύθιον· οὐ συναπῆρε τοὺς λόγους τῆς παρακλήσεως· καὶ πλέον δὲ ἔσται νῦν, οἷς τε διὰ βίου ἀνδρικῶς ἐνεκαρτέρησε, καὶ ταῖς πρὸς τὸ θεῖον ἐντεύξεσιν, ἅτε δὴ[2] πλησιαίτερον γεγονώς, καὶ τὴν ἐκεῖθεν ἕλκων μᾶλλον ῥοπὴν εἰς ἐπικουρίαν καὶ ἐκδίκησιν. Σιγᾷ τὰ χείλη, ἀλλὰ βοῶσιν αἱ πράξεις· ἡ γλῶσσα τέως ἠρεμεῖ, ἀλλ' οἱ κατὰ τῶν παρανομούντων ἔλεγχοι αὐτῶν τ' ἐκείνων τοὺς λογισμοὺς ἀθάνατα μαστιγοῦσι, καὶ τῶν εὐσεβούντων ἕκαστον εἰς θυμηδίαν καὶ ἀνδρίαν διανιστῶσιν. Τί λοιπόν; ἐν διωγμοῖς καὶ θλίψεσι καὶ ταλαιπωρίαις τὸν βίον ἀπέλιπε. Τὸ μέγιστόν μοι λέγεις παραμύθιον· οὐ γὰρ ἔδει τρυφᾷν τὸν τὴν βασιλείαν τῶν οὐρανῶν ἐπιζητοῦντα, καὶ τὸν ἐκεῖσε κλῆρον διώκοντα· οὐκ ἔδει τὸν ἀθλητὴν ἡσυχάζειν, οὐδὲ τὸν ἀγωνιστὴν ὑπὸ σκιαῖς καὶ δένδροις καὶ παραδείσοις ἀνακεκλίσθαι καὶ ἀναπαύεσθαι· ἀλλ' ἐν μέσοις ἔδει τοῖς ἀγῶσιν, ἐν αὐτοῖς τοῖς πειρασμοῖς, ἐν μέσῳ τῆς τῶν διωκόντων μιαιφονίας δοκιμάζεσθαι· καλὸν ἐμφανισθῆναι τῷ ἀγωνοθέτῃ ἱδρῶσιν ἀθλητικοῖς ἔτι περισταζόμενον· μακά-

---

[1] *Οὕτω διώρθωσα τὸ παρὰ Μοντακ. κακῶς, οἶμαι, ὑπεστιγμένον τοῦτο χωρίον, καὶ ἐντεῦθεν οὐδεμίαν παρέχον ἔννοιαν ὀρθήν. Προσέθηκα δὲ τὸ ἐρωτηματικόν, καὶ εἰς παρενθετικὴν ἐχώρισα πρότασιν τὸ ῥῆμα "ἐνενόουν," ὅπως ἔχῃ τὸ ἑξῆς· "πρὸς τὴν αὐτὴν λοιπὸν διάθεσιν ἐθάρρησα μεθέλκειν τὴν ὑμετέραν τελειότητα· καὶ ἐνενόουν τάδε· τί γὰρ τῶν ἀτοπωτέρων, ἢ τί τῶν καινοτέρων πεπόνθαμεν; κ.τ.λ." Μίγνιος δὲ ἄλλως τὸ χωρίον θεραπεύων, προσέθηκε τὰς λέξεις "οὐκ οἶδα," γράψας οὕτωσί· "καί τι γὰρ ἐνενόουν τῶν ἀτοπωτέρων· τί δὲ τῶν καινοτέρων πεπόνθαμεν, οὐκ οἶδα·" ἀλλά, τό γ' ἐπ' ἐμοί, οὐδεμίαν ἐντεῦθεν ὁρῶ προκύπτουσαν θεραπείαν, ἀλλὰ καὶ οὕτω τὴν ἀσάφειαν ἐμμένουσαν.*

[2] *Ἐκ διορθ. Μιγνίου, ἀντὶ—δὲ—παρὰ Μοντακ.*

Digitized by Google

ριον ὀφθῆναι τῶν δρόμων καὶ καμάτων ἀσθμαίνοντα· τοῦτο τῶν στεφάνων ἐγώ φημι μακαριώτερον· τὸ μὲν γάρ ἐστι τοῦ ἀθλοθέτου, τὸ δὲ τῆς τοῦ ἀγωνιζομένου σπουδῆς καὶ εὐδοκιμήσεως. Ἐν αὐτῇ μέσῃ τῇ τῶν διωγμῶν ἀκμῇ πρὸς τὸν στεφοδότην ἀπέδραμεν. Τί δέ; ἀπέραντα κάμνειν ἐβούλου τὸν ἀγωνιστήν, καὶ μὴ τάχιον τυχεῖν, ἐφ' ᾧ ταῦτα διεκαρτέρει καὶ ὑπέφερεν; ἐχθρῶν εὐχήν μοι λέγεις, ἀλλ' οὐχὶ πρόνοιαν φίλων, οὐδὲ πόνον, οὐδὲ ἔλεον. Ἐξῆλθε κοινῶν ὀμμάτων τὸ κοινὸν τῆς Ἐκκλησίας τέκνον, ὁ καλὸς ἐμοὶ καὶ τοῦ Θεοῦ ἄνθρωπος· ἀλλ' εἰς οὐρανόν, ἀλλ' εἰς τὸν κοινὸν Δεσπότην, ἀλλὰ μετ' Ἀγγέλων χορεύσων, ἀλλ' ἱερουργός. Ὦ! πόσην εὗρον ἐν τούτῳ παραψυχήν! ἔδει γάρ, ἔδει καὶ τὴν ἡμῶν ἀπαρχήν, τῶν ὑπὲρ ἱερᾶς δόξης καὶ νόμων ἱερῶν διωκομένων, ἱερουργὸν Θεῷ προσαχθῆναι· ἱερουργός, ἐμφράττων μετὰ πλείονος τῆς παῤῥησίας στόματα βεβήλων, καὶ χαλινῶν γλώσσας κενὰ μελετᾷν[1] ἐπισταμένας· ἱερουργός, κἂν μὴ τὸ ἀνίερον βούλοιτο. Τί ἔτι; Ἐπήνθει αὐτῷ τὰ τῆς ἀρετῆς ἅπαντα· διὰ τοῦτο γὰρ θᾶττον εἰς τὴν ἀμάραντον ἀπεφοίτησε τοῦ παραδείσου πολιτείαν, ἵνα μηδὲν αὐτῷ τῶν κατορθωθέντων ἀπομαρανθῇ· εἰ γὰρ οὐδεὶς ἀπὸ ῥύπου καθαρός, οὐδ' ἂν ἡμέρα μία ὁ βίος αὐτοῦ, ὁ θᾶττον τὸν δίαυλον τοῦ βίου ἐξελθὼν τὸ πλεῖστον ἔφθη τοῦ ῥύπου ἐκφυγών. Κοινὸν ἦν τῶν εὐσεβούντων στήριγμα· καλὸν αὐτοῖς ἀπολέλοιπε κανόνα καὶ τύπον, ἐν τοῖς ὑπὲρ εὐσεβείας πόνοις τὸ ζῆν ἐκλιπών. Οὐκ εἶδε τὴν τῆς Ἐκκλησίας, ὑπὲρ ἧς ἐνήθλει ἀποκατάστασιν· διὰ τοῦτο ἀκεραίους ἐκεῖθεν ἔχει τῶν πόνων τοὺς μισθούς· τὸ γάρ, ἀνθ' ὧν ἀγωνίζεταί τις, εὐφροσύνης ἐνταῦθα τυχεῖν ὑποτέμνεται τῆς ἐκεῖθεν μακαριότητος τὰς ἀμοιβάς. Οὐκ εἶδε τὴν ἀποκατάσαασιν αἰσθητοῖς ὀφθαλμοῖς· ἀλλ' ὁρᾷ νυνὶ τοῖς νοητοῖς· ἀλλ' ἴσως πλησιαίτερον γεγονὼς Θεοῦ, ταύτην τοῖς ἐν αἰσθήσει στρεφομένοις ἔτι, ἂν ἄρα συμφέρον, ἐπιταχυνεῖ. Ἔχει τάφος τὸ σῶμα, ἀλλ' οὐράνιοι θάλαμοι τὴν ψυχήν· ἡ γῆ τὴν κόνιν, ἀλλ' Ἀβραμιαῖοι κόλποι τὸ πνεῦμα· φίλων ἐστερήθη, ἀλλ' εὗρε τοὺς κρείττους· εὑρήσει δὲ καὶ οὓς ἔλιπε μετ' ὀλίγον, ἂν τῷ εἶναι μείνωσι φίλοι Θεοῦ. Ἐχθρῶν ἐξῆλθεν ἐπιβουλὰς αἰσθητῶν, νοητῶν, φανερὰς, ὑφάλους, ἔξωθεν, ἔνδον, ἀνέδην,[2] ὑπ' ἐνέδρᾳ. Εἶδεν, εἰ καὶ ὡς ἐν ἐσόπτρῳ (τοῦτο γὰρ ἔγωγε τὸ ἐν τοῖς θεοπέμπτοις ὀνείροις ὁρῶ), ἃ ἐπόθει, καὶ ὧν ἀδιαλείπτως ἐγλίχετο, οἷς τὴν ψυχὴν ἀνεπτέρωτο, καὶ πρὸς ἃ καὶ τῷ σκήνει βαρυνόμενος ἀνεφέρετο. Εἶδε τὸν καλοῦντα βασιλέα, τοὺς ὑπηρετουμένους φαιδροὺς Ἀγγέλους τῇ κλήσει, τὸν ἱερὸν ἐκεῖνον καὶ βεβήλοις ἄψαυστον καὶ ἀθέατον, ἐν ᾧ παρεπέμπετο, χορόν, τὴν ἄφραστον ἐκείνην καὶ ἀτελεύτητον δόξαν καὶ τρυφήν. Ὦ γλυκέων ἀπόλαυσις, καὶ πρὸ τῆς ἀπολαύσεως, θεαμάτων! ὦ μακαρίας ἀποδημίας! ὦ ἀξίας θαυμάζεσθαι, ἀλλ' οὐχὶ δάκρυα προκαλεῖσθαι· ζηλοῦσθαι, οὐχὶ πενθεῖσθαι! μετὰ λαμπρῶν ἐνταφίων τῶν οὐρανίων ἀνέβη πυλῶν· μετὰ λαμπρᾶς τῆς λαμπάδος, οὐκ ἐλαίῳ μόνῳ φαι-

---

[1] Ὀρθῶς Μοντακ. προσέθηκε τὸ "μελετᾷν," ἐλλεῖπον ἐν τῷ χειρογράφῳ.

[2] Ἡμ. διόρθ. ἀντὶ—ἀνεδεῖς—παρὰ Μοντακουτίῳ· οὐ γὰρ ἐπιθετικῶς, ἀλλ' ἐπιῤῥηματ. μόνον εὕρηται "ἀνέδην"=φανερῶς, ἀσυστόλως· κατ' ἀντίθεσιν δῆλον ὅτι πρὸς τὸ "ὑπ' ἐνέδρᾳ." Μίγνιος δὲ τοῦτο διωρθώσατο "ἀϊδεῖς" (=μὴ ὁρωμένας, ἀφανεῖς)· ἀλλὰ τοῦτο ταὐτόν ἐστι τῷ "ὑπ' ἐνέδρᾳ," καὶ ἡ ἀντίθεσις οὐχ ὑφίσταται, οἵαν ταύτην Φώτιος κατασκευάζει ἐκ τεσσάρων συζυγιῶν.

Digitized by Google

δρυνομένης, ἀλλὰ καὶ τοῖς ἀπὸ τῶν ἄθλων ἱδρῶσιν ἀρδευομένης· οὐ παρθενείᾳ μόνῃ λαμπρυνομένης, ἀλλὰ καὶ ἱερωσύνης ἀξιώματι κλεϊζομένης· οὐδὲ τούτοις μόνον, ἀλλὰ καὶ ταῖς ἄλλαις ἀρεταῖς, δι' ὧν τὸ δαψιλὲς καὶ ἀέννaον τῆς φωτοχυσίας κατεπλουτίσθη. Ταῦτά μοι γέγονε ψυχαγωγία, ταῦτα παραμύθιον, μᾶλλον δὲ ἀπὸ τῆς παραμυθίας ἀρξάμενα, εἰς πνευματικὴν μετέστησεν εὐφροσύνην καὶ ἀγαλλίασιν. Ταῦτα καὶ τῇ σῇ Ἀρχιερατικῇ τελειότητι γινέσθω καὶ παραμυθία, καὶ χαρᾶς καὶ θυμηδίας ὑπόθεσις, ὅσῳ καὶ μᾶλλον εἰς τὴν σὴν ἀνήκει διδασκαλίαν καὶ σπουδὴν τὰ τοῦ μεταστάντος κατορθώματα.

ΕΠΙΣΤΟΛΗ ΡΜΣΤ'.—146.

Ἀπὸ τῆς ὑπερορίας πρὸς τοὺς Ἐπισκόπους.[1]

Ἐγὼ θαυμάζω, πῶς οὕτω ταχέως, ὅστις ποτ' ἐστὶν ἐκεῖνος, τῆς ἡμῶν ἐπελάθετο φύσεως· οὐδὲ γὰρ οὐδ' ὀνόματι τὸν ἔλεγχον βουλοίμην ἂν προσενεγκεῖν, οὐδ' ἂν ἔτι προσ-

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 741)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΟΔ'.—Γέγραπται δὲ καὶ αὕτη ἀπὸ τοῦ δεσμωτηρίου ἐν ἔτει 870, ὡς φησι Βαρώνιος, ὃς καὶ Λατινιστὶ ἐν τοῖς Χρονικοῖς αὐτοῦ μεθηρμηνευμένην παρατίθεται. Δικαίως δὲ Μοντακ. καὶ ταύτην συγγραμμάτιον ἀποκαλεῖ, οὐ μόνον ὡς μακρὰν οὖσαν, ἀλλὰ καὶ ὡς συνοπτικήν τινα περιέχουσαν ἱστορίαν τῶν βασάνων, αἷς ὁ γράφων ὑπεβέβλητο, πάσης ἀνθρώπων κοινωνίας ἀπειργόμενος, καὶ δὴ καί, τὸ φρικωδέστατον, οὐδ' ἀναγνώσεως βιβλίων ἀπολαύειν συγχωρούμενος, ἐφ' ᾧ μάλιστα πικρῶς κατοδύρεται. Τὸ δὲ τῆς ἐπιστολῆς ταύτης ὕφος αὐστηρόν, ὡς εἰκός, ὄν, καὶ ἔστιν οὗ μακροσκελεῖς ἔχον τὰς περιόδους, καὶ μακραῖς διακοπτομένας μεταξυλογίαις, τοῦ μὲν γράφοντος τὴν πολλὴν καὶ δικαίαν δείκνυσιν ἀθυμίαν, τοῦ δὲ Καρδιναλίου Βαρωνίου πικρὰν προὐκαλέσατο τὴν κρίσιν, ἐν πολλῇ γεγράφθαι λέγοντος σοφιστείᾳ, καὶ ὑπόσκληρον (duriuscula dictio) ἔχειν τὸ λεκτικὸν καὶ συγκεχυμένον. Ἀλλ' ὀρθότατα καὶ χαριέστατα τὴν Βαρωνίου ταύτην κρίσιν ὁ σεβάσμιος κατασκώπτει Μοντακούτιος, τυφλῷ περὶ χρωμάτων γνωματεύοντι τὸν σοφὸν παραβάλλων Καρδινάλιον· ὅτι τῆς Ἑλληνικῆς γλώσσης ἄϊδρις ὤν, ὅμως τὸ Φωτίου λεκτικὸν ἐπικρίνειν ἐτόλμησεν· "ita coecus judicat de coloribus, Baronius scilicet de Graeca elegantia, cujus plane erat iguarus." Ἰάγερος δὲ ταύτην ἀναλύων τὴν ἐπιστολήν, οὕτως ἐπὶ τῇ σταθερότητι τῶν Φωτίου φίλων ἐκπλήττεται, ὅτι καὶ τοσαῦτα δι' ἐκεῖνον πάσχοντες οὐ μετεβάλλοντο, ἀλλὰ μᾶλλον τῶν Ἰγνατίου φίλων πολλοὶ πρὸς ἐκείνους μεθίσταντο, ὥστε τὰς χεῖρας ἐπὶ τοῦ στήθους διασταυρώσας ὁ ἄνθρωπος ἀνακράζει· "Mais on ne sait ce qu'on doit admirer le plus en lui, si c'est son infatigable activité, ou sa prodigieuse adresse pour retenir dans la fidélité tant d' évêques, que leur adhésion à son schisme avait privés de leur dignité et plongés dans toutes les disgrâces." Ὀλίγα δέ τινα πρὸς ὕβριν Φωτίου παρεντιθείς, ἵνα μή, ὡς ἔοικε, δόξῃ τοῖς ἀναγινώσκουσι τῆς ἰδίας ἐπιλαθέσθαι ἐπαγγελίας, πάλιν τῷ θαυμασμῷ παραδίδοται, καὶ αὖθις ἀναβοᾷ· "De tous les évêques ordonnés par lui et exilés avec lui, il n'y en eut pas UN SEUL qui lui devint infidèle, et, chose plus étonnante encore, pas UN SEUL qui élevât des plaintes contre lui. Ni la manifestation de ses crimes (ἀλλὰ τίνων ἐγκλημάτων; πότε καὶ ποῦ καταδειχθέντων; ὑπὸ τίνων κατηγόρων ἐκτεθέντων; ὑπὸ τίνων δὲ μαρτύρων βεβαιωθέντων;) ni les anathèmes dont il fut frappé, ni la prison dans la quelle il était détenu, ni les autres misères, dont il était accablé, n'ont pu refroidir un instant leur attachement pour lui. De ceux qui étaient ordonnés par Ignace ou par Methodius, son prédécesseur, et qui s'étaient jetés dans son schisme, une bonne partie lui resta également attachée, brisant pour lui l'unité de l'Eglise (!!!), et résistant également aux conseils des legats, aux promesses de l'Empereur et à l'espe-

Digitized by Google

ραγείη αὐθαδέστερον[1] ἐπεὶ καὶ ῥᾷον ὁρῶ τοὺς πολλοὺς τῷ τῶν ἐλέγχων ἀπροσώπῳ νουθετουμένους, ἢ τὴν ἐν προσηγορίᾳ παραίνεσιν φέροντας. Ἀλλὰ πῶς οὕτω θᾶττον ἡμᾶς ὀπίσω μνήμης ἀφῆκεν, ὥστε καὶ τοσαύτην ἡμῶν[2] ἄνοιαν, καὶ θείων νόμων ὀλιγωρίαν ἐπιβαλεῖν; πόθεν δὲ ἐπὶ τοσοῦτον τῆς ἡμῶν κατεξανίσταται μετριότητος; μᾶλλον δέ, τίς αὐτὸν εἰς τηλικαύτην ἀθρόον ἀνάβασιν ὕψωσεν, ὥστε, καὶ μηδὲν ἡμῶν φθεγγομένων, αὐτὸν ὅμως ἀκούειν, καὶ μηδ' ἐπὶ λογισμὸν τοιοῦτον ἡκόντων, ἐκεῖνον, ὥσπερ ἀπό τινος σκοπιᾶς, τῆς οἰκοθεν φαντασίας, ἀφορῶντα τὰς καρδίας, καὶ ἐμβατεύοντα αὐταῖς,[3] ἐκεῖνα συνιέναι καὶ κατανοεῖν, ἃ μηδ' ἑαυτοῖς τινες συνεγνώκεισαν; καὶ πλέον ἔδοξε τὰ τῶν

---

rance d'être rétablis dans leur siége. Tous étaient tenus comme sous un sceptre de fer. Cet homme avait donc un talent de séduction qui allait jusqu' au prodige, etc. etc." (Hist. de Photius, p. 266—8). Ἐφεξῆς δὲ τῆς τοσαύτης Φωτίου ἱκανότητος τὴν αἰτίαν ἀναζητῶν, ῥᾳδίως ταύτην ὁ σοφὸς καὶ Ἐκκλησιαστικὸς ἀνὴρ ἀνευρίσκει ἐν οἷς περὶ Φωτίου τῶν συγχρόνων τις αὐτῷ συκοφαντῶν ἐβλασφήμησεν, ὅτι συμμαχίαν τοῖς Δαίμοσιν ἐπεποίητο, μᾶλλον δέ, ὅτι Δαίμων αὐτὸς ἦν· τοῦτ' αὐτὸ τὸ τῶν Φαρισαίων, ὃ περὶ τοῦ Ἰησοῦ Χριστοῦ ἔλεγον, ὅτι "ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια" (Ἴδε τὰ περὶ τούτου σημειωθέντα ἐν ταῖς περὶ Φωτίου Μαρτυρίαις, σελ. 120 κ. ἑξ.). Ἀλλ' εἴπερ Ἰάγερος τὴν ἀληθῆ τῆς Φωτίου ὑπεροχῆς αἰτίαν ἐν αὐτῇ τῇ ἀληθείᾳ ἀνεζήτει, οὐκ ἂν εἰς τοιαῦτα ἐνέπεσεν ἀσεβῆ ληρήματα, ἀλλ' ἐντεῦθεν ἔσχε τὴν ζητουμένην αἰτίαν ἀνευρεῖν, ὅθεν αὐτῷ καὶ ἡ ἔκπληξις ἐπεγένετο. Θαυμαστὸν γὰρ ὡς ἀληθῶς τὸ ἐν Φωτίῳ ὁρώμενον, εἴπερ ὀρθῶς εἴρηται τὸ "Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι·" ἀλλὰ τοῦ θαυμαστοῦ τούτου μία μόνη ἐστὶν αἰτία, ὅτι Φώτιος ὑπὲρ τῆς ἀληθείας ἠγωνίζετο, καὶ πάντα ἐν ἀληθεῖ εὐσεβείᾳ καὶ ἐν πάσῃ ἀρετῇ ἔλεγέ τε καὶ ἔπραττε· καὶ διὰ τοῦτο οὐ μόνον πάντες ἕως ἑνὸς παρέμενον αὐτῷ πιστοὶ οἱ φίλοι, ἀλλὰ καὶ τῶν ὑπεναντίων πολλοὶ τῷ τῆς ἀληθείας φωτὶ δαδουχούμενοι προσήρχοντο αὐτῷ. Εἰ γὰρ τοῦ ψεύδους προΐστατο, καὶ δόλιος ἦν, καὶ ἄπιστος, καὶ συκοφάντης, καὶ πλαστογράφος, καὶ βίαιος, καὶ ὠμός, καὶ ἀνόσιος, καὶ τῶν τῆς Ἐκκλησίας μυστηρίων βεβηλωτής, οἷα δὴ ἐν πάσῃ ἀναιδείᾳ οἱ Παπισταὶ περὶ αὐτοῦ τερατολογοῦσιν (ἴδε τὴν σημ. 1 ἐν σελ. 4 τῶν Προλεγομ.), οὐκ ἂν καὶ διωκόμενον ἐφίλουν αὐτὸν τοσούτων καὶ τηλικούτων Ἀρχιερέων ἐσμός, πάσας τὰς ἐκ Ῥώμης καὶ τὰς Αὐτοκρατορικὰς ἀποστρεφόμενοι δωρεὰς καὶ ὑποσχέσεις, καὶ μᾶλλον ἐκείνῳ συμπάσχειν αἱρούμενοι, ἢ τοῖς ἐχθροῖς ἐκείνου συνδοξάζεσθαι· ἀλλ' ὅτι εὐσεβέστατον καὶ σοφώτατον καὶ πάντ' ἀγαθὸν λόγῳ τε καὶ ἔργῳ ἐγίνωσκον τὸν ἄνδρα, διὰ τοῦτο οὐ μόνον ἐπὶ τοῦ Πατριαρχικοῦ θρόνου καθήμενον, ἀλλὰ καὶ ἐν τῷ δεσμωτηρίῳ καθειργμένον ἐτίμων καὶ ἐθαύμαζον, καὶ τὰ φρικτὰ ἐκεῖνα καὶ τραγῳδίας ἀπάσης ἐπέκεινα παθήματα συνέπασχον καρτεροῦντες, καὶ πρὸς ἐκεῖνον μόνον ἀποβλέποντες. Οὔκουν χρὴ θαυμάζειν ἐπὶ τούτῳ καὶ ὑπερεκπλήττεσθαι τοὺς περὶ Βαρώνιον καὶ Ἰάγερον, ἀλλὰ μᾶλλον ἐντεῦθεν τὴν ἀλήθειαν καταλάμπουσαν ἐπιγνόντας καὶ κατανοήσαντας, μὴ ἀνέδην οὕτω καὶ ἀσεβῶς ταύτην καταπροδιδόναι, μηδ' ἀσεβέσι περὶ Δαιμόνων λόγοις κατασπιλοῦν, καὶ ταῦτα σοφοὺς ἐπαγγελλομένους εἶναι, καί, τὸ πάντων μέγιστον, Θεοῦ θεράποντας· "ἐὰν γὰρ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται;"

[1] Οὐδαμοῦ μὲν τῆς Ἐπιστολῆς ταύτης τὸν περὶ οὗ ὁ λόγος φίλον κατονομάζει· ἦν δ' οὗτος, ὡς ἔοικε, τῶν τις διὰ Φώτιον διωκομένων Ἐπισκόπων· ὅς, ἤτοι τὸ βάρος οὐ φέρων ἐπὶ πλέον τῶν διωγμῶν, ἢ καὶ ὑπὸ τῶν Φωτίου πολεμίων καταῤῥαδιουργούμενος, ἐκείνοις ὑπεφαίνετο βουλόμενος συντετάχθαι, καὶ προφάσεις εἰς τοῦτο παντοίας προὐβάλλετο. Ἐντεῦθεν λαβὼν ἀφορμὴν τὴν θαυμαστὴν ταύτην γράφει ἐπιστολήν, ἐκεῖνόν τε καὶ τοὺς ἄλλους ἅπαντας εἰς τὴν εὐσέβειαν καὶ τοὺς ὑπὲρ αὐτῆς ἀγῶνας στηρίζων, καὶ ἅμα τὰ ἴδια ἐκτραγῳδῶν παθήματα.

[2] Γραπτέον, οἶμαι—ἡμῖν—διὰ τὸ "ἐπιβαλεῖν," ὁ Μοντακ. διορθοῦται "ἐπικαλεῖν"=ἐγκαλεῖν· ἀλλ' ἀμφότερα Δοτικῆς χρῄζει.

[3] Ἡμ. διόρθ. ἀντὶ—αὐτούς.

Digitized by Google

ἀνθρώπων εἰδέναι, ἢ τὸ πνεῦμα τὸ ἐνοικοῦν ἐν αὐτοῖς, κἂν Παῦλος, οὐδ' ἐλπίσας ἀνδρῶν τηλικούτων ἔσεσθαι φοράν, οὐδὲ τὴν ἴσην γνῶσιν ἑτέροις κατέλιπεν;[1] Ἀλλὰ γὰρ πόθεν ἡμῶν ἡ πολλὴ κατασκεδάζεται ἄνοια, καὶ τῆς Ἐκκλησίας ὅλης ἡ προδοσία, καὶ τῶν κειμένων νόμων ἡ ὑπεροψία; τί πραξάντων; τί δὲ διανοηθέντων; πρὸς τίνα δὲ τί ἀπαγγειλάντων; μηδὲ γάρ, ὅτι τοῖς αὐτοῦ[2] ῥήμασι τὴν ὕβριν οὐκ ἔθετο, ἄμεινόν τι καθ' ἡμῶν εἰπεῖν, τῶν, εἴ τις ἡμῖν τὰ τοιαῦτα λοιδορεῖται, νομιζέτω καὶ λογίζοιτο·[3] οὐ γὰρ αἱ λέξεις βαρύνουσι τὰς ἐννοίας· τὰς δὲ λέξεις τραχείας[4] καὶ δυσφόρους τὸ πικρὸν τῆς διανοίας μᾶλλον ἐργάζεται. Ὅτε δὲ καὶ λέξεις ταῖς διανοίαις ὁμόλογοι, καὶ τὸ βαρὺ τῆς ἐννοίας τῷ τραχεῖ συντρέχει τῆς λέξεως, τί διαφέρει τὰ αὐτὰ τῶν ῥημάτων εἰπεῖν, ἢ διὰ τῶν ἴσων τὴν αὐτὴν παραστῆσαι διάνοιαν; Ἀλλ' εἰ μὲν πρὸς τὸν ἐπιχυθέντα ἡμῖν τῶν κακῶν ἀφορῶν χειμῶνα, καὶ τὴν πανταχόθεν ἡμᾶς περισχοῦσαν[5] καὶ συμπιέζουσαν τῶν δυσχερῶν φοράν, εἰς παραφορὰν πεσεῖν ἐδικαίωσεν, ἀνθρώπινον μέν τι διενοήθη καὶ ἐμελέτησεν· (τί γὰρ ἄν τις ἄλλο ὑπὲρ αὐτοῦ καὶ εἰπεῖν δυνηθείη;) αἱ γὰρ ὑπερβολαὶ τῶν κακώσεων παρατροπὴν καὶ ἀλλοίωσιν ὡς τὰ πολλὰ τοῖς κακουμένοις ἐνεργάζονται· εἰ καὶ μείζονα τὸν πονηρὸν τὴν ἐξουσίαν λαβεῖν καθ' ἡμῶν, ἢ[6] κατὰ τοῦ θεσπεσίου Ἰώβ, οἷς νομίζει, ἐψηφίσατο· εἴγε τοῦ μὲν τῆς ψυχῆς τὴν ἐξουσίαν οὐκ εἴληφεν, ὁ δὲ καθ' ἡμῶν καὶ ταύτης αὐτῷ τὴν κυριότητα ἐνεχείρισεν· ἐξ ὧν γὰρ ἡμῶν ἄκρατον μετὰ τοῦ παρανομεῖν καταχέει τὴν ἄνοιαν, σαφῶς ἑαυτὸν δεικνύει τοῦτο καὶ λογισάμενον καὶ κυριώσαντα. Πλήν, εἰ καὶ πρὸς ταύτην περὶ ἡμῶν ὑπεσύρη τὴν ὑπόνοιαν, καὶ τοῦτο πρὸς εὐλογίαν τῆς ἄλλης εὑρίσκει λοιδορίας. Ἵνα νῦν[7] ἐάσω τὸ σοφὸν τῆς ἀπολογίας καὶ εὔσχημον, ἐχρῆν οὐκ ἐπιτίθεσθαι, οὐδὲ βαρύτερον ποιεῖν τὸ πάθος οἰκείων ὕβρεων προσθήκῃ· ἀλλὰ παρακλήσει τινὶ μᾶλλον καὶ λόγοις ψυχαγωγίας[8] διαπραΰνειν τὸ ἄλγος, καὶ πειρᾶσθαι τὸν δυνατὸν τρόπον ἐπινοεῖν παραμύθιον· τὸ δὲ ἐκτραχύνειν καὶ ἐπεμβαίνειν καὶ κατονειδίζειν τὰς συμφορὰς ἐντρυφῶντός ἐστι τοῖς τοῦ πλησίον κακοῖς, ἀλλ' οὐ συναλγοῦντος, οὐδὲ συμπάσχοντος, καὶ οὐ τὰ τῶν φίλων διαπραττομένου, ἀλλ' ἅπερ ἂν οἱ ἐχθροὶ κακουργήσειαν.

Ἐγὼ δέ,[9]—ὅτι μὲν τὸν τρυγίαν πάσης αὐτῶν τῆς κακίας καθ' ἡμῶν ἐκένωσαν, φί-

---

[1] "Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;" (Α' πρὸς Κορινθ. Β', 10—16.)

[2] Ἐκ διορθ. Μοντακ. ἀντὶ—αὐτοῖς.

[3] Γραπτέον ἄμεινον—λογιζέσθω·—ἀλλὰ καὶ ἀλλαχοῦ εὕρηται συντάσσων Εὐκτικῇ τὸ ἀπαγορευτικὸν μή.

[4] Ἡμ. διόρθ. ἀντὶ—τραχεῖς.

[5] Μοντακ. διορθοῦται—συμπεριέχουσαν.

[6] Μοντακ. προσθετέον εἶναι νομίζει τὸν—καί.

[7] Γραπτέον ἴσως—τοίνυν.

[8] Μοντακ. διορθοῦται—ψυχαγωγοῖς·—ἀλλὰ περιττὴ ἡ διόρθωσις.

[9] Ἡ μετέωρος αὕτη Ὀνομαστικὴ ἐξυπονοούμενον ἔχειν ἔδοξε Μοντακουτίῳ τὸ ῥῆμα "εἶδα" ἢ ἄλλο τι τοιοῦτον· ἴσως δ' ἐντεῦθεν καὶ Βαρώνιος ἀφορμὴν ἔσχε συγκεχυμένον τὸ τῆς ἐπιστολῆς ταύτης ὕφος

Digitized by Google

λων ξενώσαντες, συγγενῶν διακόψαντες, ὑμῶν αὐτῶν (τῶν ἐμῶν παθῶν τὸ πικρότατον) προδιατέμνοντες καὶ ἀπομερίσαντες,[1] θεραπόντων καὶ ὑπηρετῶν ἐξερημώσαντες, αἰχμαλωτίσαντες, φρουροὺς καὶ φρουράρχους περιστήσαντες (ἵνα μηδὲ τὰ οἰκεῖα βουλομένοις κακὰ κλαίειν ἐξῇ καὶ ἀποδύρεσθαι, μηδέ τις ἔλεός ποθεν ἡμῖν παρεισδύῃ, μὴ λόγῳ, μὴ πράγματι), μυρίους θανάτους ἐπικρεμάσαντες, λογίων Θεοῦ καὶ παντὸς ἄλλου, οἴμοι, καθ' ἡμῶν λιμὸν ἐπιστήσαντες· καὶ ὅτι ὅλον μὲν ἅμα πολλοῖς κακοῖς οὐ διαλιμπάνουσι περιβάλλοντες, καὶ πάσας δὲ ἡμῶν ἀπομερισάμενοι τὰς αἰσθήσεις, καὶ πρὸς πάσας παραταξάμενοι, καινὰς μηχανὰς πρὸς ἑκάστην ἐπενόησαν (ὀξὺ γὰρ εἰς κακίαν Θεοῦ καὶ φιλανθρωπίας ἀλλοτρίωσις)· καὶ ὀφθαλμοὺς μὲν ἐνέφραξαν (τί γὰρ ἄν τις καὶ εἴποι, ἐπειδὰν ὅλως μήτε τινὰς ἀνθρώπων ὁρᾷν, μηδὲ βιβλίοις ἐνομιλεῖν ἔχοι, καὶ μάλιστα οἷς μέγα καὶ πρῶτον παραμύθιον ἡ ἀνάγνωσις; καὶ γὰρ καὶ ταύτην καθ' ἡμῶν ἁπάσαις ψήφοις ἐξήνεγκαν τὴν ἀπόφασιν), ἀκοὴν δὲ συναπέκλεισαν· οὔτε γὰρ φωνῆς φιλούντων, ἀλλ' οὐδὲ ἐχθρῶν (τί γὰρ δεῖ λέγειν;) ἀναγινωσκόντων συγχωροῦσιν ἐνωτίζεσθαι· ἀλλ' ὅσον γε εἰς αὐτῶν ἦκε σπουδήν, οὐδὲ ᾀδόντων Θεῷ, οὐδ' ὕμνοις εὐχαριστούντων ἀκούομεν· οὐδὲ γὰρ οὐδέ τινα, οὐδ' ἐπὶ βραχύ, οὐδὲ τῶν μετρίως πρὸς ᾠδὰς ἐχόντων (ὦ καὶ βαρβάρων γνώμας νικώσης ὠμότητος!) συνεῖναι κατέλιπον· ἀλλ' ἀντὶ κληρικῶν, ἀντὶ μοναζόντων, ἀντὶ ψαλλόντων, ἀντὶ ἀναγινωσκόντων καὶ ὑπογραφόντων, ἀντὶ φίλων καὶ συνήθων (οἷς ὡς τὰ πολλὰ φιλεῖ ἡ τῶν θλιβερῶν βαρύτης ἐπικουφίζεσθαι), ἀντὶ πάντων ἁπλῶς, στρατιωτῶν κουστωδίαις[2] καὶ στρατιωτικοῖς λόχοις ἐκδεδόμεθα. Καὶ τί δεῖ καθ' ἕκαστον λέγειν, καὶ ἐπιξαίνειν τῇ μνήμῃ τοὺς μώλωπας; ἀλλ' ὅτι μὲν πάσας ἡμῶν τὰς αἰσθήσεις μυρίων κακῶν ἐπινοίαις ἐπετείχισαν, μηδ' αὐτὴν ἡμῶν τὴν ψυχὴν (ὅσα γε εἰς αὐτῶν ἔργα κεχώρηκεν)

ἀποκαλέσαι, ὥσπερ προείρηται· ἀλλ' ὅμως, εἴ τις ἐν ὑπομονῇ τὴν μακρὰν τῶν τραγικῶν παθημάτων τοῦ γράφοντος ἐξιστόρησιν διεξέλθοι, ἥπερ, ὡς εἰκός, διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ δικαίαν ἀθυμίαν πρὸς τὸ τῶν βαρβαρικῶν κακώσεων δυσφόρητον πλῆθος εἰς μῆκος μέγα παρεξετάθη, εὑρήσει τὴν τῆς Ὀνομαστικῆς ταύτης ἀπόδοσιν ἐν τῷ—"ἀλλ' ὅτι μὲν ταῦτα . . . καθ' ἡμῶν ὁ Σατανᾶς ἐξηρτύσατο . . . οὐκ ἂν ἀρνηθείην"—τοῦτ' ἔστι, μετὰ στίχους ὅλους 40, ἐν οἷς ἡ μακρὰ μεταξυλογία, ἡ τὰ τοῦ γράφοντος δεινὰ διεκτραγῳδοῦσα, περιέχεται. Οὐ τοίνυν ἀσάφειαν, οὐδ' ἄλλο τι τῶν τοιούτων κατηγορητέον Φωτίου, ἀλλὰ μᾶλλον ἐκείνου μιμητέον τὴν ὑπομονήν· καὶ ὡς ἐκεῖνος τοσαύτας καὶ τηλικαύτας ὑπέμεινεν ἐν τῷ δεσμωτηρίῳ ἀδίκους καὶ ἀπανθρώπους κακώσεις, οὕτω καὶ ἡμεῖς μικρὸν καὶ φιλανθρώπως μέχρι τέλους τῆς παρεμπεσούσης ὑπομείνωμεν διηγήσεως, ὅπως τὴν μετέωρον δοκοῦσαν Ὀνομαστικὴν "ἐγὼ δέ" τῷ προσήκοντι ἐπαναπαύσωμεν ῥήματι "οὐκ ἂν ἀρνηθείην·" οὐδὲ κατὰ Θέωνα τὸν Γραμματικὸν κριτέον λέγοντα, "μηδὲ μεταξυλογίαις χρῆσθαι, καὶ ταύταις διὰ μακροῦ· τὰ γὰρ ἐγγὺς λαμβάνοντα τὴν ἀπόδοσιν οὐ λυπεῖ τοὺς ἀκροατάς·" ἀλλὰ μᾶλλον Δημητρίῳ τῷ Φαληρεῖ προσεκτέον ἐν τῷ περὶ ἑρμηνείας λέγοντι· "τὸ ἀφρόντιστον αὐτό, καὶ ὥσπερ αὐτοφυές, δεινότητα παραστήσει τινά, μάλιστα ἐπὰν ὀργιζομένους ἐμφαίνωμεν αὐτούς, ἢ ἠδικημένους." (Ἴδε τῆς Λ. Σπεγγέλου συλλογῆς Τόμ. Β', σελ. 82, καὶ Τόμ. Γ', σελ. 327.)

[1] Οὐκ οἶδ' ἀνθ' ὅτου Μοντακ. διορθοῦται—ἀτοιμετρήσαντες·—οὐδὲ γὰρ διορθώσεως ἡ λέξις δεῖται τινός, οὐδ' ἀτοιμετρῶ ῥῆμα εὕρηται· ἴσως δὲ γράφειν ἠβούλετο, ἢ καὶ ἔγραψεν "ἀπομετρήσαντες·" ἀλλὰ καὶ οὕτως οὐδὲν πρὸς ἔπος· τὸ γὰρ "ἀπομετρῶ" οὐδὲν ἄλλο σημαίνει, ἢ "μετρῶ ἀκριβῶς, διαιρῶ τι διὰ μέτρου," ὅπερ οὐδαμῶς ἂν εἴη αἱρετώτερον τοῦ ἐν τῷ κειμένῳ "ἀπομερίσαντες."

[2] Ἐκ τοῦ Λατιν. custodia=φυλακή, φύλακες, φρουροί.

Digitized by Google

ἀκάκωτον συγχωρήσαντες (ἔργον ἁπάντων, ὅσα Θεὸς ἐβδελύξατο, μιαρώτερόν τε καὶ ὠμότερον), οἴκους Θεοῦ καταλύοντες, οὓς ἡμεῖς ἱλαστήριον τῶν ἡμετέρων ἁμαρτημάτων προεστησάμεθα, πτωχούς, ἀναπήρους καὶ λελωβημένους, τῆς οἰκείας ἑστίας καὶ ἀναπαύσεως ἐξορίζοντες,[1] καὶ τὰς αὐτῶν ὑπάρξεις ὡς πολεμίων διαμεριζόμενοι λάφυρα· καὶ θεραπόντων σάρκας νεύροις κατέκοψαν, ὡς δι' ὅλου τοῦ σώματος τῇ πολλῇ τῶν μαστίγων ῥύμῃ χαράδρας ἐναπεργάσασθαι, ἵνα χρυσὸν καὶ ἄργυρον, ὃν ἐθησαυρίσαμεν, ὃν οὐδ' ὄναρ εἶδον οἱ ἄθλιοι, ἐκμηνύσωσι· καίτοι σαφέστερον αὐτοὶ τῶν ἄλλων οἱ κολάζοντες εἰδότες, ὡς ἡμεῖς ἀεὶ πρὸς χρήματα διεβεβλήμεθα, καὶ οὐχ οὕτως ἐκεῖνοι φιλάργυροι, ὡς ἡμᾶς ἡ τούτων ὑπεροψία οὐδὲν ἄλογον αὐτῶν ἕνεκα οὐδέποτε ποιεῖσθαι (μή τί γε θησαυρίζειν) παρεσκεύαζεν· ἀλλ' ὅπερ ἥλιος ἀνίσχων ἑώρα (ἡ τῶν ἐπηρεαζόντων δὲ πολλάκις ἀνάγκη καὶ τὸν τῆς ἀρετῆς διδάσκαλον Παῦλον εἰς τοιαῦτα ἐξεβιάζετο[2] ῥήματα), τοῦτο τῆς ἡμέρας καὶ μάλιστα τῆς νυκτὸς ὁ καιρὸς ἐξεφόρει τε καὶ ἀπεφορτίζετο· ἀλλ' ὅμως ταῦτα τῶν πάντων οὐδενὸς ἔλαττον εἰδότες, ἐκρεούργουν, ἐμάστιζον, οὐχ ἵνα τι ὧν ἐπλάττοντο ζητεῖν εὕρωσιν (εἰ μὴ καὶ τοῦτο προσεκμεμήνασι, ζητεῖν εὑρεῖν ἅπερ ἴσασιν οὐχ ὑπάρχοντα), ἀλλ' ἵνα κἀκεῖθεν ἡμᾶς ἀνιάσωσι, καὶ μηδένα τρόπον κακουργίας, ὃν ἡμῖν οὐ προσάξωσι, παραλείψωσιν· — Ἀλλ' ὅτι μὲν ταῦτα, καὶ τῶν εἰρημένων πολὺ πλείονα, καθ' ἡμῶν ὁ Σατανᾶς (ἢ οὐκ οἶδα ὅ,τι καὶ εἴπω) ἐξηρτύσατο,[3] καὶ τούτοις ἡμεῖς περιαντλούμεθα, οὐκ ἂν ἀρνηθείην. Ὅτι δὲ τῶν φρενῶν ἡμᾶς ἡ τοσαύτη κακία ἐξέστησε, καὶ θείων ἐντολῶν ὑπερόπτας ἀπετέλεσε, καὶ κοινοὺς προδότας εἰργάσατο, οὐκ' οἶδ' ἀνθ' ὅτου τις ἡμᾶς αἰτιώμενος ταῦτα, οὐ σφοδρότερον καθ' ἡμῶν πνεῖν, ἢ οἱ προφανεῖς

---

[1] Οὕτω μετέθηκα ἐπὶ τὸ βέλτιον τὸ παρὰ τοῖς ἄλλοις κακῶς, οἶμαι, γεγραμμένον καὶ περιτετραμμένον τοῦτο χωρίον· ἔχει γὰρ παρά τε Μοντακ. καὶ Μιγνίῳ οὑτωσί· "οἴκους Θεοῦ καταλύοντες, πτωχοὺς ἀναπήρους καὶ λελωβημένους, οὓς ἡμεῖς ἱλαστήριον τῶν ἡμετέρων ἁμαρτημάτων προεστησάμεθα, τῆς οἰκείας ἑστίας καὶ ἀναπαύσεως ἐξορίζοντες·" δῆλον γάρ, ὅτι τὸ "οὓς ἡμεῖς . . . ἑστησάμεθα" προσδιορισμός ἐστι τοῦ "οἴκους Θεοῦ," ἀλλ' οὐ τοῦ "πτωχοὺς ἀναπήρους·" καὶ ἔοικε τὴν τοῦ προσδιορισμοῦ μετατόπισιν ἀβλεψίᾳ γενέσθαι τοῦ ἀντιγράψαντος. Καὶ ἡ Λατινικὴ δὲ μετάφρασις ἐν τῇ ἀταξίᾳ ταύτῃ γενομένη, πολλὴν ἔχει τὴν ἀσάφειαν.

[2] Ἡμετ. διόρθ. ἀντὶ—ἐξεβιβάζετο.—Σκόπει δέ μοι τὸν ἀληθῆ τοῦ Παύλου μαθητὴν καὶ μιμητήν, ὅπως τὴν περιαυτολογίαν, εἰς ἣν ἄκων καὶ ἀνάγκῃ ἐνέπεσε, διὰ τοῦ τρόπου ἐκείνου εὐσεβέστατα καὶ ῥητορικώτατα δικαιολογεῖται. Δικαίως δ' ἄν τις τούτους ἀναγινώσκων τοῦ ἀοιδίμου Πατριάρχου τοὺς λόγους, καὶ τὰ νῦν γινόμενα ὁρῶν, βαρυθυμῶν καὶ σκυθρωπάζων ἔροιτο· "πόσοι δὲ τῶν νῦν καὶ ποῖοι τῶν πλουσίων ἐκείνου διαδόχων οὕτω καθαρῶς εἰπεῖν ἔχουσι καὶ καυχήσασθαι, καύχημα τοῦτο μάλιστα πρέπον Ἀρχιερεῦσι καὶ ἱερεῦσι Θεοῦ, ὅτι—οὐχ οὕτως οἱ ἄλλοι φιλάργυροι, ὡς ἡμᾶς ἡ τῶν χρημάτων ὑπεροψία οὐδὲν ἄλογον αὐτῶν ἕνεκα οὐδέποτε ποιεῖσθαι (μή τί γε θησαυρίζειν) παρασκευάζει· ἀλλ' ὅπερ ὁ ἥλιος ἀνίσχων ὁρᾷ, τοῦτο τῆς ἡμέρας καὶ μάλιστα τῆς νυκτὸς ὁ καιρὸς ἐκφορεῖ τε καὶ ἀποφορτίζεται;" Καὶ ὅτι μέν εἰσί τινες, οὐκ ἄν τις ἀρνήσαιτο, οὐδ' ἐγὼ πρὸ τῶν ἄλλων· ἀλλ' ὀλίγιστοι· εἶησαν δὲ ὅτι πλεῖστοι· εἶησαν ἅπαντες, ἐκείνου μεμνημένοι τοῦ θείου ῥήματος, ὅτι ἀδύνατον, ἀδύνατον Θεῷ δουλεύειν ἅμα καὶ μαμωνᾷ.

[3] Ἡμ. διόρθ. ἀντὶ—ἐξητήσατο· ἴσ. δὲ γραπτ. καί—ἐξηρτήσατο·—ἀλλ' αἱρετώτερόν μοι δοκεῖ τὸ ἐξηρτύσατο=παρεσκεύασεν, ἐπενόησεν, ἐμηχανήσατο, ὡς καὶ ἡ Λατιν. φέρει μετάφρασις "machinatus sit."

Digitized by Google

ἐχθροί, οὐκ ἂν συνομολογήσειεν. Εἰ δέ τις ταῦτα ἀκούων ἐρυθριᾷ, καὶ ἀνανεύει, καὶ ἀναδύεται, καὶ μήποτ' ἂν τοιοῦτον εἰπεῖν καθ' ἡμῶν, μηδ' ἐπὶ νοῦν λαβεῖν (πέφυκε γὰρ ἁμάρτημα, δικαίων λόγων ἐλέγχοις ἀπογυμνούμενον, ἀσχημονέστερον μᾶλλον ἢ πρότερον καταφαίνεσθαι, ὥστε μηδ' αὐτῷ τῷ τεκόντι δοκεῖν γνήσιον, ἀλλ' ὡς νόθον [1] καὶ ἀποτρόπαιον, μάλιστα τοῦ συνειδότος τῷ κέντρῳ, ὃ τῇ φύσει πανσόφως ὁ πλάστης ἐνέθηκεν, εἰς τὴν τῶν πρακτέων διεγειρομένου διάβλεψιν)· ἂν οὖν διὰ ταῦτα οὐδὲν ἐκείνων οὐδ' εἰς νοῦν ἐλθεῖν διατείνοιτο, ἀλλ', ὡς εἰκός, καὶ τοὺς πώποτε τοιαῦτα τετολμηκότας εἰς ἐκτόπους μοίρας καὶ εἰς ἀρὰς ἀπάγει φρικώδεις, πρὸς τῆς φιλίας αὐτῆς ἐρωτήσατε αὐτόν· τί διαφέρει περὶ ἡμῶν εἰπεῖν τὰ εἰρημένα, καὶ τὸ λέγειν, ὅτι μετὰ τῶν πολεμίων γινόμεθα, καὶ φίλων μεταξὺ καὶ ἐχθρῶν οὐ διαστέλλομεν; καὶ τότε τίνος; (ὦ τῆς καθ' ἡμῶν ἐπηρείας!) φίλων Χριστοῦ καὶ ἐχθρῶν Χριστοῦ· εἰς ταῦτα γὰρ ἀποτελευτᾷ τὸ βούλεσθαι καταλέγειν ἡμᾶς τῷ κλήρῳ τῶν ὑπὲρ Χριστοῦ πασχόντων, καὶ τοὺς ἅμα Χριστῷ πολεμοῦντας ἡμᾶς· οἳ τὸ αἷμα τῆς διαθήκης αὐτοῦ κοινὸν ἡγησάμενοι [2] (ἵνα νῦν τὰ ἄλλα ἐάσω), τὰ θυσιαστήρια Κυρίου ἐβεβήλωσαν, καὶ τὸ ἅγιον χρίσμα, μᾶλλον δέ τὸ πανάγιον πνεῦμα, δι' οὗ τὸ χρίσμα, ἐξεμυκτήρισαν. Ἐρωτήσατε οὖν, πάλιν ἀξιῶ· τί διαφέρει ταῦτα ἐκείνων πλὴν εἰς κακίας ὑπερβολήν; Κἂν μὲν ἐκείνων δείξῃ ταῦτα κουφότερα, ἐμὲ μὲν ληρεῖν ὡς ἀληθῶς νομίσατε, ἐκεῖνον δὲ μυρίων ἐγκωμίων ἀξιώσατε· καίτοι γε οὐχ ὅτι κουφότερον ἄλλων ὕβρισεν, ἠγωνίζετο, οὐδ' ὅτι καὶ ἑτέροις ὑπερβολὴν ὕβρεων καταλέλοιπεν, ἀλλ' ὅτι οὐδὲν εἰς μῶμον ἡμῶν διαβαῖνον ἐπαῤῥησιάσατο· ἀλλ' ὅμως ἂν ἐλάττω δείξῃ τὰ αὐτοῦ τῶν ἐγκωμίων, μὴ ἐκκηρύξητε. Εἰ δὲ μηδὲν δείξῃ, ὥσπερ οὐδὲ δείξει γε, ἐκεῖνον μὲν σιγᾷν σωφρονίσατε, τὰ ἐμὰ δὲ δυστυχήματα κἀντεῦθεν ἀναλογίζεσθε, ὅτι καὶ ἐχθρῶν ἐπιβουλὰς φίλων ἐπαναστάσεις καὶ βλασφημίαι διαδέχονται. Πῶς γὰρ ὁ τοιαῦτα λέγων ἢ ἐννοῶν, οἷα λέγειν ἡμᾶς καὶ φρονεῖν ὁ καλὸς ἐκεῖνος φίλος ἀνεπλάσατο, οὐκ εἰς ἔσχατον μὲν ἀνοίας ἐλαύνει, κοινὸς δὲ προδότης πάσης ἐστὶ τῆς Ἐκκλησίας, ὑπερόπτης δὲ καὶ ὑβριστὴς καὶ τῶν πατρικῶν παραδόσεων; καὶ μυρία ἄλλα ἐκείνοις ἐμπεριείληπται, ψευδολογία, ἀπάτη, δυσσεβεῖς καὶ ἄπιστοι λογισμοί, μάχαι πρὸς ἑαυτούς, καὶ ἄλλο πλῆθος κακίας ἄπειρον. Ἆρ' οὐκ ἐκ καλῶν χρωμάτων ὁ καλὸς ζωγράφος τὴν ἡμῶν διεμόρφωσεν εἰκόνα, ὁ μηδὲν τῶν φαύλων περὶ ἡμῶν εἰπεῖν ἀπισχυριζόμενος; Ἀλλ' εἰ μὲν ἁπλότητος ταῦτα, τῷ "Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί," [3] τοῦ Κυρίου βοῶντος, πειθώμεθα· εἰ δὲ κακουργίας, αὐτοῦ πάλιν διακεκραγότος, μεταβαλλώμεθα. "Ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·" [4] μάλιστα συνεπιστάμενοι, οἷα τῷ σκανδαλίζοντι ἕνα τῶν ἐλαχίστων ἀδελφῶν

---

[1] *Μοντακ. προσθετέον εἶναι νομίζει τὸ Ἀπαρέμφ.—ὁρᾶσθαι.*

[2] *Παῦλος πρὸς Ἑβρ. Γ', 29. "Πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας;"*

[3] *Ματθ. Ι', 16.*

[4] *Ὁ αὐτός· ΙΗ', 3.*

Digitized by Google

ἡ τιμωρία ἀπόκειται.[1] Εἰ δὲ ὁ σκανδαλίζων ἕνα τὴν δίκην ἀπαραιτήτως εἰσπράτεται, ὁ σείων ὅλην καὶ ἀνασκευάζων Ἐκκλησίαν, αὐτὸν ἐκεῖνον ἐννοεῖν καταλιμπάνω ἡλίκων ἑαυτὸν ὑπεύθυνον ἀποφαίνει κακῶν· ὧν εἴη, Χριστοῦ πάντων ἡμῶν χεῖρα ὑπερέχοντος, μηδεὶς ἔνοχος.

Ἀλλ' ἐκεῖνο πῶς ἀναλγήτως καὶ χωρὶς δακρύων οἴσω; εἰ μέν, οὓς (φησίν) οὐ δεῖ δέχεσθαι, δέχοιτο, τί μὴ μετ' ἐκείνων γενώμεθα; εἰ δὲ μὴ δέχοιτο, φόβῳ τῆς μελλούσης τιμωρίας καὶ ἄκοντες τὴν παροῦσαν εὐσέβειαν φυλαξόμεθα. Περὶ δὲ Θεοῦ, ὦ βέλτιστε; περὶ δὲ πίστεως; περὶ δὲ τῶν ἐκεῖ δικαιωτηρίων; περὶ συνειδήσεως δέ; ἀλλὰ περὶ ἀληθείας; περὶ δὲ γνώμης εὐσταθοῦς; περὶ δὲ τούτων οὐδέν; λήθῃ πάντα ἡ Χάρυβδις λαβοῦσα κατέπιεν.[2] Ἐγὼ δὲ τοὐναντίον ἂν αὐτὸν καὶ φρονεῖν καὶ λέγειν ἠξίουν· ὡς, εἴπερ οὓς οὐ δεῖ δέχεσθαι δέχοιτο, πάντες ἅμα τορόν τι καὶ διαπρύσιον ἐμβοήσομεν· μηδέ τις εἴη μηδενὸς φειδώ, μή Πατρικοῦ πόθου, ἐν ᾧ σεμνυνόμεθα, μὴ τῆς προσηκούσης εὐλαβείας, ἣν Πατράσι νέμειν ἀεὶ δεδιδάγμεθα, μηδέ τινος ἄλλης αἰδοῦς, ἣν περὶ αὐτὸν συνετηρήσαμεν· ἀλλὰ ταῦτα πάντα πόρρωθεν ἡμῶν ἀπελάσαντες, ὅπερ ἔφην, διωλύγιον ἐμβοησόμεθα. Τί ταῦτα ποιεῖς, ἄνθρωπε; ποῖ φέρῃ; τί δὲ σεαυτὸν ἐχθροῖς ἀγνοεῖς ἐγχειρίζων; τί τοὺς ἡμῶν ἄθλους εἰς ὕθλους ἐξήνεγκας; τί τῶν εὐσεβούντων αἰσχύνεις τὸ σύνταγμα; τί δὲ τῶν ἐχθρῶν ἐπαίρεις τὸ φρόνημα; Τοιαῦτα αὐτὸν ἔγωγε σπουδάζειν μᾶλλον ἂν ἤλπιζον, εἴ τί με παρολισθαίνειν ᾐσθάνετο, ἀλλ' οὐχ οἷα νῦν, παιζόντων γνώμας μιμούμενος, διαπράττεται· ἤλπιζον δὲ κἀκεῖνο, ὡς, εἴ τίς ποτε τῶν ἐχθρῶν ταύτας αὐτοῦ τὰς φωνὰς πρὸς αὐτὸν ἐτόλμησεν ἀφεῖναι, μυρίοις ἂν αὐτὸν βάλλων ἐξεδίωξε τοῖς λίθοις, ἀπατεῶνα καὶ ψεύστην [καὶ[3]] τοιούτοις λόγοις διαπλύνων· ἀνέχεσθαι γὰρ τῶν ἄλλως ἡμᾶς ἐξουθενούντων προστεταγμένον ἐστίν,[4] ὅτι τοῦ πράου καὶ εἰρηνικοῦ μαθηταί ἐσμεν· εἰς πίστιν δὲ ἐξυβριζόντων οὐδεὶς ἂν ἀνάσχοιτο· ἐπεὶ καὶ αὐτὸς τ' ἄλλα πράως φέρων καὶ μὴ ἀμυνόμενος, τούς τε τὸν Πατρικὸν οἶκον-οἶκον ἐμπορίας ποιεῖν ἀπονοηθέντας μετὰ σφοδρᾶς τῆς ἐπιτιμήσεως ἐκεῖθεν ἀπήλασε,[5] καὶ τοὺς εἰς τὸ ἅγιον Πνεῦμα τὴν γλῶσσαν ὀξύνοντας διπλῆν τὴν τιμωρίαν ἀπειλησάμενος,[6] πυρὸς μὲν ἐνταῦθα καὶ μαχαίρας ἔργον καὶ λιμοῦ τὴν πόλιν αὔτανδρον ἐποιήσατο, καὶ τὴν μέλλουσαν δὲ οὐ διεκφυγεῖν,[7] δι' ὧν τὴν παροῦσαν μετὰ πολλῆς τῆς ὀργῆς ἐξήνεγκεν, ἐπιστώσατο.

---

[1] Ματθ. ΙΗ', 6.

[2] Ἴσως καὶ τοῦτο ἄμεινον ἂν ἐγέγραπτο ἐρωτηματικῶς, εἰς δύο κεχωρισμένον ἐρωτήσεις, οὑτωσί· "λήθη πάντα; ἡ Χάρ. λαβοῦσα κατέπιεν;"

[3] Ἐκ διορθ. Μοντακ. ἡ προσθήκη τοῦ—καί·—ἐγὼ δὲ νομίζω προσθετέαν εἶναι πρὸ τοῦ "καὶ" τὴν Μετοχὴν "ἀποκαλῶν."

[4] Ὀρθῶς εἶκασε Μοντακ. προσθετέον εἶναι τὸ "ἐστί," καὶ ἐν τῇ ἀμέσως ἑπομένῃ προτάσει τὸ "ἐσμέν," ἀμφότερα ἐλλείποντα, ὡς ἔοικεν, ἐν τῷ χειρογράφῳ.

[5] Ματθ. ΚΑ', 12—14.

[6] Μάρκ. Γ', 29.

[7] Ἐννοητέον, ἢ καὶ προσθετέον "τιμωρίαν," ὅπερ καὶ ἡ Λατινικὴ φέρει μετάφρασις.

Digitized by Google

Ἀλλ' ἐγὼ μὲν τοιαύταις ἐλπίσιν ἐμαυτόν, ὡς ἔοικεν, εἰς λιμὸν ἔτρεφον. Τίς ποτε δὲ ἆρα τῶν θρόνων ἐπιβάντας ἡμᾶς τῶν Ἀρχιερατικῶν, καὶ τὸ κῦρος ἁπάσης πράξεως καὶ βουλήσεως ἐγχειρισθέντας, αὐτῷ κατεμήνυσεν; αἱ γὰρ τοιαῦται φωναὶ καὶ ζητήσεις ἀνιαραί (εἰ[1] καὶ δεῖ τισιν αὐτὰς ὅλως προτείνεσθαι) τοῖς τὰς ἡνίας λαμπρῶς ἤδη καὶ περιφανῶς τῆς ἀρχῆς ἐπανειληφόσι, καὶ ἐπὶ κοινοῦ προκαθεζομένοις τοῦ βήματος, καὶ τῶν μὲν ἡμαρτηκότων ἐπὶ γόνυ κειμένων, καὶ πολλοῖς μὲν τὴν γῆν δάκρυσι βρεχόντων, πολλὰ δὲ ἐπὶ ἐλέῳ λεγόντων, τῶν δὲ μέχρι τέλους τῆς ἀρετῆς καὶ τῆς ἀληθείας ὑπερηθληκότων μετὰ λαμπρῶν τῶν στεφάνων συγκαθεζομένων, καὶ τῶν δικαστῶν τὴν τάξιν διακληρουμένων, καὶ τῶν μὲν ἐπὶ συγγνώμῃ τοῦ ὁμοφυοῦς ὑποφερομένων, τῶν δὲ τοῦ ἴσου καὶ τῆς κανονικῆς αὐθεντείας μηδὲν ἐπίπροσθεν ποιουμένων, ἀλλ' οἷα δίκης ὀφθαλμοὺς εἰς τὴν τοῦ δικαίου φύσιν πάντα καταῤῥυθμιζόντων· τότε δή, τότε, εἰ θέμις ποτέ, χώραν ἔχει τὰ τοιαῦτα[2] προτείνεσθαι, καὶ τοῖς ἐκείνην τὴν λῆξιν καταλαβοῦσιν· ἀλλ' οὐχὶ νῦν, οὐδὲ τοῖς λιμῷ, καὶ δίψει, καὶ φυλακαῖς, καὶ μυρίαις ἐναθλοῦσι ταλαιπωρίαις, καὶ τὸν περὶ ψυχῆς ἀγῶνα ἔχουσιν· ἐκείνοις γὰρ ὁ περὶ κρίσεως καὶ κατακρίσεως καὶ ἀφέσεως λόγος, καὶ ὁ καιρὸς ἐκεῖνος, ἀλλ' οὐχ ὁ παρών, ἀφορίζεται. Ἀλλ', ὦ καλὲ καὶ ἀγαθέ, εἰ μὴ δεῖ δέχεσθαι, πῶς οὐκ αἰσχύνῃ μετ' ἐκείνων συντάττεσθαι; καί, ἐνὸν στεφανηφόρον ὀφθῆναι, τοῖς αἰχμαλώτοις ἐγκαταλέγεσθαι; καὶ τὴν ἑτέρων ὀνειροπολεῖν φιλανθρωπίαν, τῆς ἄνωθεν εὐγενείας καὶ ἐλευθερίας γυμνὸν καὶ προδότην ἑαυτὸν καταστήσαντα; εἰ δ' οὐκ αἰσχρὸν ἡγῇ τὸ[3] συντάττεσθαι, ἴσθι σὺν ἐκείνοις ὢν τῇ γνώμῃ, ὧν ἔξαρνος ὑπάρχεις τῆς πράξεως, καὶ ἐκείνην τιμῶν τὴν ἀγέλην, ἧς ἀντὶ ποιμένων λύκους[4] λέγεις προΐστασθαι· εἰ βούλει δέ, καὶ τῶν ἐν αὐτῇ ἑνίων πλέον ταύτην περιέπεις· εἴ γέ τινες μὲν αὐτῶν, καίτοι σώματι συνόντες, τοῦ συνειδότος αὐτοὺς στασιάζοντος ταῖς γνώμαις, ὅμως ὀκλάζουσι· σὺ δὲ καὶ πρὸ τοῦ συναφθῆναι τῷ σώματι λογισμοῖς καὶ γνώμῃ σπουδάζεις συνάπτεσθαι· τὸ γοῦν τῆς συναφῆς ἐλλεῖπον δειλία οὐκ εὐσέβεια, αἰσχύνη οὐ προαίρεσις. Τίς οὖν ὁ δεχόμενος; ὁ μηδ' ὄναρ τοῦτο παραδεξάμενος, ἢ ὅς, ὅτι μὴ μέχρι νῦν πρὸς ἐκείνους ἀπέκλινε, τῷ φόβῳ τὴν αἰτίαν ἀνέθηκε, καὶ τὸ σὺν τοῖς ἐχθροῖς καταισχύνεσθαι, ἂν μὴ δῷ τὴν δίκην ὕστερον, κρεῖσσον ἡγεῖται τοῦ μετὰ τῶν οἰκείων διόλου θαυμάζεσθαι; εἰ μὴ δεῖ δέχεσθαι, τίς ἂν δεξάμενος, ἀντὶ τοῦ δοκεῖν ἑτέρους, οὓς οὐκ ἔξεστι, δέχεσθαι, μᾶλλον ἑαυτὸν ἐκείνοις οὐ συναπολέσειεν; οὐ γὰρ τὰ ῥήματα βελτιοῖ τὰς πράξεις, διὰ δὲ τῶν ἔργων συνίσταται καὶ τὰ ῥήματα. Εἶτα, ἄν τις ἰδὼν λῃστάς, ἢ πόλεων προδότας, ὑπὸ πάντων μὲν βδελυσσομένους, πᾶσι δὲ μυσαττομένους, ἔπειτα αὐτὸς τούτων τέως καθαρὸς ὑπάρχων, φαντασιοκοπῇ καὶ λέγῃ πρὸς τὸν κρατοῦντα τοὺς νόμους, "εἰ μέν, οὓς ἀναιρεθῆναι δέον, τούτους ἀτιμωρήτους ἐᾷς, τί μὴ θᾶττον λῃστεύω, καὶ προδότης γίνωμαι, ἵνα συγγνώμης τύχω;

---

[1] Ἡ μὲν προσθήκη τοῦ—εἰ—ἐξ εἰκασίας Μοντακ. καλῶς ἐχούσης· ἡ δὲ τῆς παρενθέσεως ἐξ ἡμ. διορθ.

[2] Ἐπανάληψις τοῦ ὑποκειμ. "αἱ τοιαῦται φωναὶ καὶ ζητήσεις ἀνιαραί," κατὰ σχῆμα ἀνακόλουθον.

[3] Ἡμ. διόρθ. ἀντὶ—ἡγεῖτο.

[4] Μοντακ. διορθοῦται—τοὺς λύκους·—ἀλλ' ἄμεινον ἀνάρθρως, ὡς καὶ τὸ "ποιμένων."

Digitized by Google

ἂν δὲ δίκην ἀπαιτῇς, φόβῳ ταύτης ἐκείνους οὐ μιμήσομαι·" ἂν οὖν τις παρελθὼν τοιαῦτα λέγοι, ἆρ' ἔστιν ὅστις οὐκ ἂν αὐτοῦ παραφοράν, καὶ ἀῤῥωστίαν γνώμης, καὶ μυρία ἄλλα καταγνοίη; Τί δέ; ἐκείνου μὲν ἕκαστος τῶν νοῦν ἐχόντων καταγνώσεται· ἂν δέ τις, ἀντὶ μὲν προδοτῶν πόλεως προδότας πίστεως, ἀντὶ δὲ λῃστῶν σωμάτων λῃστὰς θείων νόμων εἰς μέσον παράγοι, ἔπειτα τὰς αὐτὰς φωνὰς ἀνακράζῃ, οὐχὶ τὴν ἴσην αὐτόν, ἢ καὶ μείζονα ψῆφον παρά γε τῶν σωφρονούντων ἀπενεγκεῖν οἰησόμεθα; Χωρὶς δὲ τῶν εἰρημένων, εἰ μὲν τοῖς Ἐκκλησιαστικοῖς θεσμοῖς τὰς πράξεις ἰθύνουσι, τί σοι δεῖ[1] τῶν ἀκαίρων ζητήσεων, καὶ λογισμοῖς παλαίειν καὶ ἀποπνίγεσθαι, ἀλλὰ μὴ θᾶττον αὐτῶν τῆς μοίρας γινόμενος πολλὴν τὴν συγγνώμην ἐξαιτεῖς τῆς βραδύτητος; εἰ δ' ἐκθέσμων[2] ἔργων ὑπηρέτας ἐπίστασαι, τί πολυπραγμονεῖς, ἄν τε δῶσιν ἐνταῦθα δίκην, ἄν τε μή; ἂν μὲν γὰρ δῶσιν, ἄμεινον ἔξουσι, τῇ τιμωρίᾳ τὴν ἁμαρτίαν ἐκκαθαιρόμενοι· ἂν δὲ μὴ δῶσι, τοῦτο αὐτοὺς ἀθλιωτέρους ἐργάζεται, ὅτι πικρότερον αὐτοῖς τὸ ἐκεῖθεν ἀπαντήσει δικαιωτήριον· ὥστε, εἴ τινι τῶν δύο τούτων αἵρεσις προὔκειτο, ἐκεῖνος ἂν τὸ ἔλαττον κακὸν ἐφάνη αἱρούμενος, καὶ τὸ αὐτοῦ συμφέρον ἐπισκοπούμενος, οὐχ ὃς τὴν ἐνταῦθα φεύγει δοῦναι δίκην, ἀλλ' ὃς ἐν τῷ νῦν καὶ ἐντεῦθεν διδόναι τὴν ἐκεῖθεν ἐπράϋνεν· ἐπεὶ καὶ τὸν νοσοῦντα, οὐχ ὃν ἰατρῶν χεῖρες καὶ τομαὶ καὶ καύσεις τοῦ πάθους ἀπάγουσιν, ἀλλ' ὃν τὰ τῆς τέχνης ὁρῶμεν μὴ προσιέμενον, ἐκεῖνον ἤδη τελείως ἀπογινώσκομεν,[3] καὶ ἐν ἐσχάτοις κακοῖς ἴσμεν ἐξεταζόμενον.

Καὶ τί ἄν τις τὰ ἑπόμενα τοῖς αὐτοῦ λογισμοῖς ἀπαριθμοίη; Ταῦτα ἡμᾶς ἀκοπώτερον φέρειν[4] παρασκευάσει τὰ συμβαίνοντα· ταῦτα εἰς παραψυχὴν ἔξομεν· τούτοις ἡμᾶς ἀνακτᾶσθαι, ὦ φίλε καὶ ἀδελφέ, διεσπούδασας· οὐ γὰρ τῶν σεμνοτέρων ῥημάτων ἐξίσταμαι, οὐδὲ τῷ μελετηθέντι πάντα δίδωμι, ἀλλ' ὅτι τέως μὴ διαπέπρακται, καὶ πρὸς τὴν ἐλπίδα τῆς διορθώσεως τὰς κλήσεις μερίζομαι. "Ἐὰν τὸ ἅλας μωρανθῇ, ὁ Κύριός φησιν, ἐν τίνι ἁλισθήσεται;"[5] ἐὰν τὰ τῶν φίλων, τὰ τῶν ἀδελφῶν, τὰ τῶν τέκνων, τὰ τῶν ἐμῶν μελῶν, τὰ τῶν ἐμῶν σπλάγχνων, τὰ τῶν πάντων ἐμοὶ τιμιωτάτων, δι' οὓς ἔτι τὸ σαρκὶ παρεῖναι τοῦ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι προκρίνεται, δι' οὓς κόπτομαι καὶ σπαράσσομαι, καὶ τὰ δάκρυά μου ἄρτος ἐμοὶ γίνεται· ἐὰν οὖν τὰ αὐτῶν τοιαῦτα, ποταπὰ χρὴ προσδοκᾷν τὰ τῶν ἄλλων; Ἀλλ' οὐδὲν θαυμαστόν· οἶδα γὰρ καὶ τὸν θεσπέσιον Παῦλον μόνον ἐν δεσμοῖς καταλειφθέντα· "Ἐν τῇ πρώτῃ μου, φησίν, ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο·" καί, "Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ·"[6] οὐ γὰρ πάντων ἡ καρτερία καὶ ὑπομονή· διὰ τοῦτο καὶ ὁ Κύριος εἰπὼν τὰς θλίψεις καὶ τοὺς πειρασμούς, οἷς ἔμελλον οἱ εἰς αὐτὸν πεπιστευκότες ἐναθλεῖν, ἐπήγαγεν· "Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται."[7] Οἶδα καὶ

---

[1] Ἡμ. διόρθ. ἀντὶ—τίς δεῖ.

[2] Ἡμ. διόρθ. ἀντὶ—ἐκ θεσμῶν.

[3] Ἐκ διορθ. Μοντακ. ἀντὶ—ἀναγινώσκομεν.

[4] Ἐκ διορθ. τοῦ αὐτοῦ ἡ προσθήκη τοῦ "φέρειν."

[5] Ματθ. Ε', 13.

[6] Β' πρὸς Τιμόθ. Δ', 16 καὶ 11.

[7] Ματθ. Ι', 22.

Digitized by Google

πρὸ τούτου τὸν Προφήτην Δαβὶδ τῶν πολλῶν τὴν ἐρημίαν ἀποδυρόμενον, καὶ ταύτην ὡς ἱκετηρίαν τῷ Θεῷ προτείνοντα· "Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων."[1] Καὶ τί λέγω τοῦτον ἢ ἐκεῖνον; οἶδα τὸν ἐμὸν Δεσπότην καὶ Θεόν, ἐπεὶ συνελήφθη, καὶ πρὸς δεσμωτήριον ἤγετο, μόνον καταλειφθέντα· "Καὶ ἀφέντες αὐτόν, φησί, πάντες ἔφυγον."[2] Τί οὖν θαυμαστόν, εἰ καὶ νῦν ἡμᾶς, ἀνθρώπους οἰκτροὺς καὶ ἐλεεινούς, ἀνθρώπους μηδὲ τὸν ἀέρα σπᾷν ἐλεύθερον παραχωρουμένους, ἀνθρώπους δεσμωτήριον οἰκοῦντας, μυρίους θανάτους καθ' ἑκάστην προσδοκῶντας, καὶ πάσης ἐλπίδος χρηστῆς περιῃρημένης, εἰ καὶ καταλιπεῖν τις ἐμελέτησεν; Ἀλλ' εἴθε μόνον καταλιπεῖν, ἀνύποιστόν γε ὄν· οὐ γὰρ ἡμᾶς οἱ τοιοῦτοι καταλιμπάνουσιν, ἀλλ' ἐν ἡμετέρᾳ προσηγορίᾳ τῆς ἀληθείας καὶ τοῦ Ἐκκλησιαστικοῦ καὶ ὀρθοῦ φρονήματος, ὑπὲρ οὗ μέχρι νῦν μυρία παθεῖν εἵλοντο, ἑαυτοὺς ἐκτέμνουσί τε καὶ ἀποκηρύττουσιν· ὅπερ παντὸς μάλιστα ψυχὴν πλήττει καὶ ἐκδαπανᾷ, μέλη ὁρᾷν, ὧν ἐσμὲν σύσσωμοι καὶ συμμέτοχοι, Χριστοῦ, τῆς κεφαλῆς, διασπώμενά τε καὶ ἀποφθειρόμενα. Ἀλλ' ὅμως, ἀφόρητον ὂν τὸ κακόν, φορητὸν ἂν ἐγεγόνει τοῖς ῥηθεῖσι παραδείγμασι· τὸ δὲ καὶ τὴν αἰτίαν τοῦ καταλιπεῖν ἡμῖν τεχνάζεσθαι ἐπιγράφειν, οὗ μὴ μέχρι νῦν οὐδ' ἔστιν εὑρεῖν ὑπάρξαν παράδειγμα, πῶς ἄν τις, εἰ καὶ πάντα φέρειν ἔσχε γυμνασίαν, ὑπενεγκεῖν δυνηθείη;

Καλά γε (οὐ γὰρ ἀπέχω τὰς ἀμοιβὰς τοῦ περὶ σὲ[3] θείου καὶ πατρικοῦ φίλτρου, καὶ τῶν πνευματικῶν ἐκείνων καὶ ὑπερφυῶν καὶ φρικτῶν ὠδίνων,[4] ἐν αἷς σὺ φωστὴρ ἐν Κόσμῳ, λόγον ζωῆς ἐπέχειν, τῇ μυστικῇ παστάδι τῆς Ἐκκλησίας ἐναπετέχθης) ταῦτα διὰ τῆς ὑμῶν ἀξιαγάστου καὶ θείας συνέσεως πρὸς τὸν χθὲς καὶ πρῴην δοχὰς ἡμῖν καὶ ὑποδοχὰς[5] περιθέμενον ὑποφέρομαι, καὶ τῆς ἰδίας ὁρμῆς τὴν ἡμῶν ἐπιτροπὴν πειραθέντα λαβεῖν, αἰσχύνης καὶ ἁμαρτημάτων ὡς δῆθεν ἀποστροφὴν καὶ ἀναχώρησιν, εἰ καὶ τοὐναντίον, ἥπερ ἔπραττεν, αὐτῷ περιγέγονεν· ἡ γὰρ εἰς ἕτερον ἀναφορὰ τοῦ[6] ἐγκλήματος, ἂν μηδὲ χώραν εὕρῃ μάλιστα τὸ τέχνασμα παρεισδύσεως, εἰς σφοδροτέραν περιτρέπει τοῦ συνειδότος κατάγνωσιν, οἴκοθεν καὶ σαφῆ καὶ ἄφυκτον τὸν ἔλεγχον φέρουσα. Τί γὰρ ἑτέρωθεν ἐζήτεις συμμαχίαν, καὶ σχῆμα σεαυτῷ ἐτεχνάζου δικαιολογίας, εἰ μὴ τὸ συνειδὸς ἔνδον εἶχες πικρὸν κατήγορον τῆς βουλήσεως; τί δὲ καθ' ἑαυτὸν οὐ πράττεις ἃ σπουδάζεις ἄλλοθεν;[6] καὶ εἰ μὴ τῶν ἐπιστολῶν ὁ νόμος ἐπέσχε, καὶ τοῦ ὑπογράφοντος ἡ χείρ (καὶ τότε κλαπεῖσα[7]) ἐμποδὼν

---

[1] Ψαλμ. ΙΑ'.

[2] Ματθ. ΚΣΤ', 56, καὶ Μάρκ. ΙΔ', 50.

[3] Ἡμ. διόρθ. ἀντὶ—τε.

[4] Ἡμ· διόρθ. ἀντὶ—ἐκείνων—ἐξέτεινα δὲ τὴν παρένθεσιν, κακῶς παρὰ τοῖς ἄλλοις κειμένην, μέχρι τοῦ "ταῦτα," ὅπερ συνάπτεται τῷ πρὸ τῆς παρενθέσεως "καλά γε."

[5] Ἡμ. διόρθ. ἀντὶ—ὑπερδοχάς—ὅπερ οὐχ εὕρηται.

[6] Ἐννοητέον "πραχθῆναι" ἐκ τοῦ προηγουμένου ῥήματος "πράττεις·" ἢ καὶ ἐνεργητικῶς "πράττειν" ἢ "πρᾶξαι·" τὸ δὲ Μοντακ. χειρόγραφον παρασεσημειωμένον φέρει τὸ "φαίνειν," ὅπερ Μοντακ. αὐτὸς ὀρθοῦται "ἐκφαίνειν·" ἀλλ' οὐδέτερον ἔῤῥωται, ὥς γέ μοι δοκεῖ.

Δῆλον ἐντεῦθεν, ὅτι λάθρα τῶν φρουρούντων στρατιωτῶν, καὶ πᾶσαν κωλυόντων κοινωνίαν πρὸς τὸν

Digitized by Google

ἵστατο, ἔδειξα ἂν ἀκριβέστερον καὶ διὰ πλειόνων τό τε ἡμέτερον ἄλγος, καὶ οἷς ἐκεῖνος ἡμᾶς ἐλυμήνατο.

Ἀλλὰ πῶς τὰς ἑαυτοῦ λαμπρὰς ὁμολογίας, ἃς ἐνώπιον Θεοῦ καὶ Ἀγγέλων, ἐνώπιον πάντων ἀνθρώπων, βασιλέων, ἀρχόντων, ἀρχομένων, ἐπαῤῥησιάσατο, οὐκ εἰς μεγάλην ἄγει αἰδώ; πῶς τὸ τῆς Ἐκκλησίας οὐκ ἐδυσωπήθη καύχημα, ὃ κατὰ παντὸς φέρειν ἔσχε καὶ χρόνου καὶ διηγήματος; καὶ εἴη γε, τῆς ἄνωθεν ἐνισχυούσης παλάμης, διηνεκῶς μεγαλαυχοῦσα καὶ φέρουσα. Πῶς δὲ δι' αὐτοῦ καὶ μόνου ψυχαγωγεῖν ἔγνω τὸ ἀντίπαλον, καὶ ἰδίᾳ πτώσει τὴν κοινὴν καὶ παράδοξον τῆς Ἐκκλησίας στάσιν χωλεύειν προείλετο; Καινὸν μὲν γὰρ καὶ παράλογον ὁ πολυμήχανος ὄφις Κόσμῳ παραδεῖξαι ἐνεανιεύσατο· ἀλλὰ καινότερον καὶ παραδοξότερον καὶ θεῖον ἔργον, ὡς ἀληθῶς, ὁ τῆς φύσεως ἡμῶν πλάστης καὶ δημιουργὸς κατέστησεν· ὁ μὲν γὰρ ἀνθρώπους τρισαλιτηρίους, ἀνθρώπους οὐδ' εἰς ἀριθμόν τινα συντελοῦντας, πάλαι τῆς ἱερατικῆς ἀξίας ἀπογυμνωθέντας, καὶ τῶν Ἐκκλησιαστικῶν συλλόγων, δι' ἃς αἰτίας οὐδὲ θέμις λέγειν ἡμῖν, ἐξοστρακισθέντας, δὶς ἀποθανόντας, ἐκριζωθέντας, κατὰ τὴν Ἀποστολικὴν περὶ αὐτῶν προαναφώνησιν, σπίλους καὶ μώμους,[1] τολμητὰς αὐθάδεις,[2] τούτους ὑπεισδύς, καὶ τῆς οἰκείας πονηρίας ἐργαστήριον προστησάμενος, δι' αὐτῶν πᾶσαν καταστρέψαι καὶ καταλαβεῖν τὴν Ἐκκλησίαν ἐφρυάξατο· ὁ δέ, οἷα δὴ θαυμάσια μόνος ποιῶν, καὶ ἐν ταῖς θλίψεσι πλατύνων τοὺς ἐπικαλουμένους αὐτόν, καὶ τότε μάλιστα δεικνύων τὸ τῆς προνοίας ἄφατον καὶ σοφόν, ὅτε πανταχόθεν τὸ ἄπορον περιέστηκε καὶ δεινόν, ἐπὶ τοσοῦτον αὐτὴν συγκεκροτημένην καὶ κατηρτισμένην, καὶ ὡς ἀληθῶς ἐν ἑαυτῷ τεθεμελιωμένην ἀνέδειξεν, ὡς οὐ μόνον ἀντίῤῥοπον τῆς κακουργίας τὸν πονηρὸν τὴν πληγὴν δέξασθαι, ἀλλὰ πολὺ χαλεπωτέραν καὶ ἀλγεινοτέραν εἰσπράττεσθαι.[3] Πῶς γὰρ οὐχὶ μεγίστη καὶ ἀνίατος τῷ Διαβόλῳ ἡ πληγή, ὅτι περ ἐν τοσαύτῃ ζάλῃ καὶ τηλικαύτῃ συγχύσει καὶ μεταβολῇ οὐ μικρός, οὐ μέγας, οὐκ ἀσήμου πόλεως Ἀρχιερεύς, οὐ τὸ ἐπίσημον ἐχούσης, οὐκ ἐν λόγῳ ἰδιώτης, οὐκ ἀμφοτέρωθεν ὡπλισμένος, καὶ σύνδρομον ἔχων τῇ πυκνότητι τῆς διανοίας τὸ ῥεῦμα τῆς γλώττης, οὐκ ἐν βίῳ λαμπρός, οὐκ ἐν ἀκριβείᾳ δογμάτων περίβλεπτος, ἀλλ' ὅλως οὐδεὶς οὐδαμοῦ τῷ καιρῷ συναλλοιωθεὶς ἠλέγχθη, οὐδὲν ἔδωκε[4] τῇ ῥύμῃ τοῦ φέροντος; ἅπαντες δ' ἁπλῶς, ὅσοι τοῦ χοροῦ τῆς εὐσεβείας γεγόνασι (τίς ἀκοῇ παλαιᾷ, μή τί γε ἐλπίδι νέᾳ, πρὶν πραχθῆναι τοῦτο παρεδέξατο;), πάσης πάγης[5] τοῦ πονηροῦ, καὶ πάσης ἐπιβουλῆς, καὶ παν-

---

φρουρούμενον Πατριάρχην, ὑπεισῆλθέ τις πρὸς αὐτόν, βοηθὸς καὶ παρήγορος, ᾧ καὶ ὑπογραφεῖ τῆς παρούσης ἐχρήσατο ἐπιστολῆς· ἀλλ', ὡς ἔοικε, καὶ τούτου ἡ χεὶρ ἀποκαμοῦσα (εἰκότως νὴ τὴν ἀλήθειαν), ἐμποδὼν ἵσταται τῇ ἐπὶ πλέον τῆς ἐπιστολῆς ἐκτάσει. Τούτου γε ἕνεκα καὶ ἡ ἐμὴ διεμαρτύρατο ἂν ἀντιγράφουσα, εἰ μὴ τῆς ἐπιστολῆς τὸ εὐσεβὲς καὶ ῥητορικὸν κάλλος, τὸν νοῦν καταθέλγον, σιγᾷν αὐτὴν ἐποίει καὶ προΐέναι μηδὲν μεμψιμοιροῦσαν.

[1] Β'· Καθολ. ἐπιστολῆς Πέτρου, Β', 13.

[2] Αὐτόθι, 10.

[3] Ἴδε περὶ τούτου τὰ ἐν τοῖς Προλεγομ. (§ μγ', σημ. 4) εἰρημένα.

[4] Γραπτέον, οἶμαι, "οὐδ' ἐνέδωκε."

[5] Ἡμαρτημένον τοῦτο νομίσας Μοντακ. διορθωτέον εἶναι εἴκασε "πληγῆς·" ἀλλ' οὐχ ἡμάρτηται· ἔστι γὰρ—ἡ πάγη=παγὶς, καὶ μεταφορ.=δόλος, ἀπάτη.

Digitized by Google

τὸς τεχνάσματος καὶ βίας κρείττονες ὤφθησαν; Ἡδύ δέ μοι ταῦτα, καὶ μάλιστα πρὸς ὑμᾶς, διεξιέναι, τοὺς μέγα μέρος τοῦ τηλικούτου χρηματίσαντας θαύματος· ἐπεὶ καὶ συστρατιώταις οὐδὲν ἡδύτερον, κἂν ἄλλως ἐν λύπαις ὦσιν, ἢ τὰ ἐν πολέμοις αὐτοῖς προσομιλεῖν κατορθώματα. Ἀλλ', ὅπερ ἔλεγον, ὁ μὲν πονηρὸς ἀθρόως ἅπαντας καταπιεῖν, καὶ τῆς αὐτοῦ πανουργίας ἔργον δείξειν, ἐφυσᾶτο καὶ ἐφρυάττετο· τὸ δὲ τῆς Ἐκκλησίας ἅγιον πλήρωμα τοσοῦτον αὐτοῦ τὰς μηχανὰς καὶ τὰς ἐπινοίας ἐξεμυκτήρισάν τε καὶ κατεγέλασαν, Χριστῷ τῇ κεφαλῇ στρατηγούμενοί τε καὶ καθοδηγούμενοι, ὡς ἐκεῖθεν μᾶλλον αἰχμαλωτίσαι τινάς, καὶ τῇ ἀληθείᾳ προσαγαγεῖν, ἢ λειποτάκτην ἕνα τινὰ τῆς καλῆς αὐτῶν παραχωρῆσαι γενέσθαι τάξεως. Ὥστε, εἴ τις αἵρεσιν ἐδίδου τῷ Διαβόλῳ, πότερον ἐβούλετο τοιαῦτα σκεύη εὑρεῖν, οἷοις νῦν περιέτυχεν, ὅλην αὐτοῦ τὴν ἐνέργειαν[1] χωρῆσαι δυνάμενα, ἔπειτα τὴν Ἐκκλησίαν οὕτως αὐτῷ ἀνδρείως καὶ στερρῶς ἀγωνιζομένην ἀντικαταστῆναι, ὡς σκεύη κεραμέως σὺν αὐτῷ τεχνίτῃ ταῦτα συντρίβουσαν, ἢ μηδετέρου τούτων εἰς πεῖραν ἐλθεῖν, πολλοῦ ἂν ἐτιμήσατο μήτε τοιούτων σκευῶν εὐτυχῆσαι, καὶ τὴν[2] ἐπ' αὐτοῖς εὐθυμίαν ὀνειροπολῆσαι, μήτε τὴν Ἐκκλησίαν οὕτως ἰδεῖν κραταιουμένην καὶ ἀκμάζουσαν, καὶ διὰ μέσων αὐτοῦ σπλάγχνων καιρίαν οὕτω καὶ πικρὰν τὴν πληγὴν φέρουσαν, καὶ λαμπρὸν ἱστῶσαν κατὰ πάσης αὐτοῦ τῆς δυναστείας τὸ τρόπαιον· ᾧπερ, εἰ μή τινι ἄλλῳ,[3] ἐχρῆν καὶ τὸν νῦν (οὐ γὰρ οἶδα πῶς ἀλυπότερον εἶπω) ὑποσαλευθέντα ἐκδυσωπηθῆναι, καὶ μὴ τοὺς τῆς νίκης στεφάνους μονονουχὶ τοῦ ἰδίου ἐπιχειρεῖν ἀνασπᾶν μετώπου. Τί γάρ, εἰ καὶ μὴ ἔπραξεν, ἃ ἐμελέτησεν, ἀλλὰ τὴν ἀνθοῦσαν χάριν ἐμάρανεν, οἷς ἐδίστασεν; καὶ ἡ μὲν μελέτη τὴν γνώμην ἤλεγξεν, ἡ δὲ θεία χάρις, ἣν ἔχει περὶ ἡμᾶς πρόνοιαν, καὶ νῦν ἔδειξεν,[4] εἰς ἔργον τὴν βουλὴν ἐλθεῖν οὐκ ἐάσασα.

Ἀλλὰ μηδέν σοι τὸ λοιπόν, μηδὲν τοιοῦτον,[5] ὦ τέκνον, διαμελετάσθω· ἤδη γάρ, ἤδη τοὺς ἐλέγχους ἀφείς, ἐφ' οἷς μέχρι νῦν τὰ ἴδια[6] σπλάγχνα πλήττων καὶ τιτρώσκων ἀνιώμενος ἔφερον, δηλώσω·[7] κἂν γὰρ ἀναγκαῖα τὰ φάρμακα καὶ αἱ τομαί, ἀλλ' ἡ τῶν πόνων καὶ ἀλγηδόνων συμπάθεια νικᾷ τοὺς νόμους τῆς ἰατρείας καὶ παιδεύσεως. Διὸ μηκέτι τοῦ συμπαθεῖν τὴν τυραννίδα φέρων, ἐκεῖνα πάντα λιπών, καὶ ὡς παρόντι περιχυθείς, τέκνον ἐμόν, ὠδίνων ἀγνῶν μέλος ἐμόν, τί τοῦτο, ἀνακαλοῦμαι; ποῦ μοι τὸ περὶ σὲ καύχημα; ποῦ δὲ αἱ ἐλπίδες; μᾶλλον δὲ μετὰ τῶν ἐλπίδων τὰ ἔργα; Ὁρᾷς τὸ σκυθρωπόν, τὴν κατήφειαν, εἰ βούλει καὶ τὰ δάκρυα; ἡ περὶ σοῦ φροντὶς τούτων αἰτία· ὁ ἐπὶ σοὶ

---

[1] Μοντακ. εἰκάζει γραπτ. εἶναι—πανουργίαν.

[2] Κακῶς Μοντακ. εἰκάζει γραπτ. εἶναι—μήτε τήν.

[3] Ἡμ. διόρθ. ἀντὶ—ὅπερ εἰ μή τι ἄλλῳ.

[4] Ἡμ. διόρθ. ἀντὶ—ἔδοξεν.

[5] Ἡμ. διόρθ. ἀντὶ—μηδὲ τοιοῦτον.

[6] Ἡμ. διόρθ. ἀντὶ—ἄδη ἴδια—τοῦτο δὲ Μοντακ. διορθωτ. εἶναι εἰκάζει "ἅτε ἴδια."

[7] Ἡμ. διόρθ. ἡ προσθήκη τοῦ—δηλώσω,—ἐλλείποντος ἐν τῷ κειμένῳ, ὑπάρχοντος δὲ ἐν τῇ Λατιν. μεταφράσει "quod ipsum dolenter fecisse me profiteor."

Digitized by Google

πόνος αὐτῶν ἅπτεται σπλάγχνων· τὸ ἄλγος, αὐτῆς τῆς ζωῆς. Ἀλλ' εἴ τί σοι τῆς ἐμῆς μέλει ζωῆς (οὔπω δέ μέ τις ἀναπείθει λόγος, ὡς οὐ μέλει), μηκέτι μηδὲν τοιοῦτον, μηδὲ παραπλήσιον, μήτε εἰς βουλήν, μήτε εἰς μελέτην διαβαινέτω· μακάριος γὰρ ἀνήρ, οὐχ ὃς ἐπὶ παρανόμων οὐκ ἔδραμεν ἔργα, ἀλλ' ὃς οὐδ' ἐν τῇ βουλῇ αὐτῶν ἐπορεύθη.[1] μηδ' ὅτι χείρους ἔχομεν σεμνυνώμεθα, ἀλλ' εἴ τινων ἐλάττους ἐλεγχθῶμεν, αἰσχυνώμεθα· ἐπεὶ καὶ ἀριστεύς, οὐχ ὅταν λειποταξίας οὐχ ἁλῷ, οὐδ', ὅταν τῶν φυγάδων οὐχ ἥττων ὀφθῇ, σεμνὸς καὶ περίβλεπτος, ἀλλ' ἐπειδὰν τῶν συστρατιωτῶν κρείττων ἐν πολέμοις ἀναφανῇ, καὶ τῶν ἐχθρῶν κρατήσῃ, τότε καὶ τοὺς στεφάνους ἐστὶν ἀναδέχεσθαι δίκαιος. Ναί, δέομαι καὶ παρακαλῶ, δεῖξον τὸ τέλος ἄξιον τῆς ἀρχῆς, ἄξιον τῶν ἀγώνων. Ὦ! πόσων στεναγμῶν, πόσων δακρύων, ἐν πελάγει μὲν μέσον[2] πνευμάτων καὶ ζάλης οὐριοδρομεῖν, πρὸς αὐτῷ δὲ τῷ λιμένι καταποντίζεσθαι· καὶ πόλεμον[3] μὲν κρατεῖν τῶν ἐχθρῶν, τῶν δὲ τροπαίων αὐτοῖς ὑπεξίστασθαι· καὶ τὸν ἀγῶνα μὲν ἐν τῷ σταδίῳ λαμπρῶς ἐνεγκεῖν, πρὸς δὲ τοὺς στεφάνους μαλακίζεσθαι!

Ὑμᾶς δὲ ἄρα, ὦ τῆς ἀρετῆς ἐρασταί, καὶ τῆς εὐσεβείας κήρυκες, καὶ τῆς ἀληθείας προασπισταί, ὥσπερ ἐν τοῖς ἄλλοις ἅπασιν, οὕτω καὶ τοῦ παρόντος ἄλγους εὑρήσειν ἔμελλον παραψυχήν· οὐ μόνον ὅτι πέφυκε τὸ λυποῦν τοῖς φίλοις ἐκκαλυπτόμενον διαχεῖσθαί[4] πως τοῖς λόγοις, καὶ οἷον συνεξατμίζεσθαι, ἀλλ', ὃ καὶ μᾶλλον, διότι μεγάλας ἐλπίδας ἔχω διὰ τῶν ὑμετέρων σοφῶν καὶ καλῶν ἐπῳδῶν τε καὶ παραινέσεων θᾶττον ἀναῤῥωσθῆναι τὸν ἄνδρα, καὶ τὸν τοῦ ὄφεως ψιθυρισμὸν τέλεον ἀποστραφέντα, μηκέτι συμβουλῆς ἀνασχέσθαι στασιαζούσης τοὺς ὀρθοὺς λογισμούς, καὶ εἰς δισταγμὸν μετακλινούσης, πτώματος αἴτιον, ἀλλ' εἰς τὴν προτέραν ἐπαναδραμόντα τελειότητα, ἄσειστον καὶ ἀκλόνητον ἐν τῇ στερρᾷ καὶ ἀῤῥαγεῖ τῆς ὁμολογίας Χριστοῦ διατηρηθῆναι πέτρᾳ, διὰ βίου παντὸς καὶ λόγων πολιτεύμασιν. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν ταῦτα.[5]

"Εἴ τις δὲ παράκλησις ἐν Χριστῷ (μετὰ τοῦ θεσπεσίου Παύλου ὑμῖν, καὶ δι' ὑμῶν πᾶσιν ἐπιβοώμεθα), εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν"[6] ἵνα, ὥσπερ μέχρι νῦν, οὕτω καὶ διὰ παντὸς τὸ αὐτὸ φρονῆτε, ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ συναθλοῦντες τῆς ἀληθείας τῷ κηρύγματι, καὶ "μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ Θεοῦ· ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν."[7] Καὶ ταῦτα, οὐχ ὡς

---

[1] Ψαλμ. Α'.

[2] Μοντ. εἰκάζει γραπτ. εἶναι—ἀνὰ μέσον—ἀλλ' ἀμφότερον λέγεται.

[3] Γραπτ. ἴσως—εἰς πόλεμον, ἤ, ἐν πολέμῳ,

[4] Μοντακ. εἰκάζει γραπτ. εἶναι—συνδιαχεῖσθαι.

[5] Ἡμ. διόρθ. ἀντὶ—μετὰ ταῦτα·—σημειωτέον δὲ ὅτι παρὰ Μιγνίῳ ἐκπεπτώκασι τοῦ κειμένου αἱ λέξεις "πολιτεύμασιν. Ἀλλ' ἐπὶ τοσοῦτον μὲν ταῦτα." λήγει δὲ παρ' αὐτῷ ἡ παράγραφος ἐν τῇ λέξει "λόγων."

[6] Πρὸς Φιλιππησ. Β', 1—3.

[7] Αὐτόθι, Α', 28—30.

Digitized by Google

τῶν ἐμῶν δεομένοις λόγων γράφω, ἀλλ' ὡς χρεωστῶν, ἀλλά γε καὶ ἐφιέμενος ὑμῖν κοινωνεῖν, ἔνθα μὲν καλεῖ καιρός, αὐτοῖς ἔργοις καὶ ἄθλοις, ἄλλοτε δὲ[1] καὶ τοῖς ῥήμασι· "καὶ γὰρ ὑμεῖς (μετὰ τοῦ θεολόγου φάναι Ἰωάννου[2]) χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου Πνεύματος, καὶ τὸ χρίσμα, ὃ ἐλάβετε ἀπ' αὐτοῦ, ἐν ὑμῖν μένει, καὶ οἴδατε πάντα, καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ καθὼς ἐδιδαξεν ὑμᾶς, μένετε ἐν αὐτῷ· ἵνα, ὅταν φανερωθῇ ὁ Υἱὸς τοῦ Θεοῦ, ἔχωμεν παῤῥησίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ." Ὁ δὲ τῆς εἰρήνης ταμίας καὶ βασιλεύς, ὁ τῆς ζωῆς ἡμῶν αἴτιος καὶ συνοχεύς, "ἐν ᾧ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν,"[3] οὗ τοῖς ἀλύτοις δεσμοῖς τῆς ἀγαπήσεως συνδεδέμεθα, ὁ πρῶτος καὶ μέγας Ἀρχιερεύς, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, "ὁ ἐξ οὐ λαοῦ λαὸν οἰκεῖον ἡμᾶς ἰδίῳ αἵματι ποιησάμενος, καὶ οὐχ ἁπλῶς λαόν, ἀλλὰ καὶ ἡγαπημένους, καὶ ἔθνος ἅγιον, καὶ βασίλειον ἱεράτευμα"[4] (ὦ τῆς ἀφάτου φιλανθρωπίας!), καὶ υἱοὺς καὶ κληρονόμους καὶ συγκληρονόμους θέμενος, "παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα,"[5] αὐτὸς ἕως τέλους ἀνεγκλήτους συντηρήσει, συσφίγκων ἡμᾶς ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ ἀγάπης, στηρίζων ἐν αὐτῷ καὶ ἐν ἀλλήλοις ἐν ἀκλονήτῳ καὶ ἀσαλεύτῳ τῆς εὐσεβείας φρονήματι, μίαν καὶ τὴν αὐτὴν μελέτην ἔχοντας, ἓν λέγοντας, πρὸς ἓν ἀφορῶντας ἅπαντας, πρὸς τὸ βραβεῖον ἐπειγομένους τῆς ἄνω κλήσεως, ἔνθα τῶν πρωτοτόκων ἡ Ἐκκλησία,[6] ἔνθα χοροὶ μαρτύρων, ἔνθα Πατριαρχῶν αἱ σκηναί· ἐν οἷς οὐκ ἔστι ψεῦδος πρὸ τῆς ἀληθείας τιμώμενον, οὐκ ἔρις, οὐ τυραννίς, οὐκ ἀπόνοια· ἐν οἷς βαθεῖα γαλήνη, καὶ κάλλος ἀληθείας ἀμήχανον, ὑπὸ μηδεμιᾶς τέχνης καλυπτόμενον· ἐν οἷς εἰρήνη πᾶσα καὶ ὁμόνοια, καὶ ἡ τῶν μακαρίων ἐκείνων καὶ ἀδιηγήτων θεαμάτων θέα καὶ μετοχὴ καὶ ἀπόλαυσις, καὶ τέλος τῆς υἱοθεσίας οὐκέτι ἐλπιζομένη, ἀλλ' ἤδη λαμπρῶς μετεχομένη, ἡ τελείωσις, ὑπὲρ ἧς οἱ παρόντες διωγμοὶ καὶ αἰχμαλωσίαι, καὶ δι' ἣν τὰ μυρία δεινὰ καὶ τοὺς καθημερινοὺς θανάτους εὐχαρίστως καὶ χαίροντες φέρομεν.

Ὑπὲρ δὲ βασιλέων εὔχεσθαι Παῦλος μὲν ὁ θεσπέσιος πρὸ ἡμῶν παραινεῖ,[7] καὶ Πέτρος δέ, τῶν μαθητῶν ἡ ἀκρότης, "Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, λέγων, εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι·"[8] καὶ πάλιν, "Τὸν βασιλέα τιμᾶτε."[9] Ἀλλά γε πρὸ

---

[1] Ἐκ διορθ. Μοντακ. ἀντὶ—ἀλλ' ὅτε δέ.

[2] Ἰωάννου τοῦ Ἀποστόλου Α'. Καθολ. Ἐπιστ. Β', 20 καὶ 27.

[3] Πράξ. ΙΖ', 28.

[4] Α' Καθολ. Ἐπιστ. Πέτρου. Β', 9—11.

[5] Ἰακώβου Καθολ. Ἐπιστ. Α', 17.

[6] Πρὸς Ἑβρ. ΙΒ', 23. "Απασα δὲ ἡ παράγραφος αὕτη ἐκ τῶν Ἀποστολικῶν ἐπιστολῶν πεποίκιλται καὶ ...σμηται τεχνηέντως ἅμα καὶ εὐσεβῶς.

Ἐν τῇ Α' πρὸς Τιμόθ. ἐπιστολῇ. Β', 1—4.

Α'. Καθολ. Ἐπιστ. Β', 13.

Αὐτόθι, 17.

Digitized by Google

τούτων αὐτὸς ὁ κοινὸς Δεσπότης καὶ διδάσκαλος καὶ δημιουργός, ἐκ παραδόξου θησαυροῦ κῆνσον τελέσας τῷ Καίσαρι,[1] *ἔργῳ καὶ νόμῳ τὰ προνόμια νέμειν, ἅπερ ἀφώρισται τοῖς βασιλεῦσιν, ἐξεπαίδευσεν· δι' ὃ καὶ ταῖς μυστικαῖς ἡμῶν καὶ φρικταῖς ἱερουργίαις εὐχὰς ὑπὲρ βασιλέων ἀναφέρομεν. Ἃ δὴ προνόμια συντηρεῖν καὶ συνδιασώζειν καὶ τοῖς φιλοχρίστοις ἡμῶν βασιλεῦσι δίκαιόν τε, καὶ φίλον Θεῷ, καὶ ἡμῖν ἁρμοδιώτατον.*

ΕΠΙΣΤΟΛΗ ΡΜΖ'.—147.

Ἀπὸ τῆς ὑπερορίας τοῖς συνδεδιωγμένοις Ἐπισκόποις.[2]

Ὁ διωγμὸς βαρύς, ἀλλ' ὁ τοῦ Δεσπότου μακαρισμὸς ἡδύς· ἡ ὑπερορία χαλεπή, ἀλλ' ἡ τῶν οὐρανῶν βασιλεία τερπνή· "Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.[3]*" Πολλαὶ αἱ θλίψεις, καὶ πᾶσαν ὑπερβαλλόμεναι χαλεπότητα· ἀλλ' ἡ ἐκεῖθεν χαρὰ καὶ ἀγαλλίασις οὐ μόνον κουφίζειν οἶδεν αὐτῶν τὴν δριμύτητα, ἀλλὰ τοῖς πρὸς ἐλπίδας τὰς ἄνω βιοῦσι καὶ εἰς εὐθυμίας ὑπόθεσιν αὐτὰ μετατίθησιν. Ἐχώμεθα τοιγαροῦν τῶν ἄθλων, ἵνα τύχωμεν τῶν ἐπάθλων· ἵνα γένηται καὶ ἡμῖν μετὰ Παύλου βοᾷν· "Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος."*[4] *Τί ταύτης τῆς ἐπινικείου φωνῆς ἡδύτερον ἢ χαριέστερον; τί δὲ καταισχύνειν τὸν κοινὸν τοῦ γένους ἐχθρὸν δυνατώτερον; Τὸν δρόμον τετέλεκα· τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. Ὦ φωνῆς, ἀπάσης λύπης ζάλην κατακοιμιζούσης, μᾶλλον δὲ πάσης πνευματικῆς εὐφροσύνης χάριν ἐπιχορηγούσης, τοὺς διώκτας εἰς ἔκπληξιν ἀντιμεθιστώσης, τοὺς διωκομένους στεφανούσης, τοὺς ἀσθενεῖς ἀναῤῥωννυούσης, τοῦς κατεῤῥαγμένους ἀνορθούσης! Ταύτην καὶ ἐγώ,*

---

[1] *Ματθ. ΙΖ', 24—27· τὸ δὲ "κῆνσος" ἐκ τοῦ Λατιν.* census=*τίμημα, φόρος.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 764)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΠΗ'. Εὕρηται δέ, ὥσπερ προείρηται, καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ, Γαλλιστὶ μεθηρμηνευμένη, οὐχ ὡς εὐσεβείας καὶ ἀληθοῦς κατὰ Χριστὸν ὑπομονῆς ὑπόδειγμα, ὡς ἄν τις φιλαλήθης εἴποι ἱστορικὸς ἀνήρ, ἀλλ' ὡς προσποίησιν καὶ ὑπόκρισιν δηλοῦσα τοῦ γράψαντος, ὡς Ἰάγερος οἴεται!!!* "La lettre suivante, adressée à plusieurs évêques exilés comme lui, nous fait voir jusqu' à quel point il savait dissimuler et se contrefaire" (Hist. de Photius, p. 263). *Ἦσαν ἄρα τὰ παθήματα ἐκεῖνα καὶ ὁ βαρὺς διωγμὸς οὐ πρᾶγμα, ἀλλὰ προσποίησις, καὶ τὸ κατὰ Χριστὸν ὑπομένειν ταῦτα νουθετεῖν καὶ κατὰ Παῦλον ἀγωνίζεσθαι καὶ τὴν πίστιν τηρεῖν, οὐκ ἀληθοῦς εὐσεβείας, ἀλλὰ δόλου καὶ ὑποκρίσεως ἔργον. Οὕτω νοεῖν οἶδεν Ἰάγερος τὰ Φωτίου· τοὺς δὲ Νικήτα τοῦ Παφλαγόνος λήρους, καὶ τοὺς τερατώδεις ὀνείρους, καὶ τὸν ἐν τῷ συνθρόνῳ τοῦ ἀδύτου μαχαιροφόρον καθήμενον Πέτρον, καὶ τὰς ἐν τῷ νάρθηκι τῆς Ἐκκλησίας τελουμένας κρεουργίας, καὶ τ' ἄλλα ἐκεῖνα τὰ θεοστυγῆ καὶ ἀσεβέστατα ληρήματα, ἀληθείας ἔργα καὶ εὐσεβείας Χριστιανικῆς καὶ Ἀρχιερατικῆς νοεῖν οἶδεν ὁ ἄνθρωπος!!!*

[3] *Ματθ. Ε', 10.*

[4] *Β' πρὸς Τιμόθ. Δ', 7.*

Digitized by Google

τῶν ἔργων μοι τοῖς λόγοις συνυπηχούντων, ἀξιωθείην ἅμα ὑμῖν τοῖς καλοῖς συνάθλοις ἐν Κυρίῳ ἀναφθέγξασθαι, πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

ΕΠΙΣΤΟΛΗ ΡΜΗ'.—148.

Ἰωάννῃ Μητροπολίτῃ Ἡρακλείας.[1]

Ἀπολοφύρῃ τὰ σά, ὅτι τὰ ἡμέτερα ἀγνοεῖς· εἰ δ', ἃ πάσχομεν, ᾔδεις, καὶ πρὸς οἵους ἄθλους καθ' ἑκάστην ἀποδυόμεθα, οἶμαι ἄν σε λιπεῖν τὸ τὰς σὰς ἐξαριθμεῖν καὶ θρηνεῖν συμφοράς. Καὶ τῶν βροντῶν γὰρ τοὺς ἐξαισίους ἤχους, ἐπειδὰν πολὺ καταῤῥαγῶσι μείζους, τοῖς ὠσὶν ἀλύπως φέρειν μᾶλλον, ἢ πρότερον, ἐθιζόμεθα. Τί οὖν δεῖ ποιεῖν; ἢ καρτερῶς ἐναθλεῖν τοῖς ἐμπίπτουσιν, ἀκριβῶς εἰδότας, καθ' ἃ δήπου καὶ τὰ θεῖα καὶ ἱερὰ διαμαρτύρεται λόγια, ὡς ὁ παρὼν βίος οὐκ ἔστι τρυφῆς καὶ βραβείων καὶ ἐπάθλων, ἀλλ' ἀγώνων καὶ πόνων καὶ παλαισμάτων· τὰ δὲ γέρα καὶ τοὺς στεφάνους καὶ τὴν ἀπόλαυσιν ἐκεῖθεν προσῆκεν ἐπιζητεῖν, ἔνθεν[2] *(εἰ μὴ μέγα εἰπεῖν) Θεοῦ φιλανθρωπίᾳ καὶ εὑρήσομεν.*

ΕΠΙΣΤΟΛΗ ΡΜΘ'.—149.

Τῷ αὐτῷ.[3]

Ἐμοὶ μὲν δοκεῖ καὶ δι' ἄλλας πολλὰς ἀῤῥήτους τε καὶ ὑπὲρ νοῦν θεωρίας τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, βασιλέα καὶ τοῦ παντὸς ὑπάρχοντα κύριον, δι' ἑκουσίου μᾶλλον παθήματος, ἀλλὰ μὴ Δεσποτικῇ καὶ αὐτοκράτορι ἐξουσίᾳ, τὴν παγκόσμιον σωτηρίαν ἀπεργάσασθαι· οὐδὲν δὲ ἧττον, οἶμαι, καὶ διὰ τοῦτο, ὡς ἂν μάλιστα μέγα καὶ σαφὲς παραμύθιον τοῖς ἐν βίῳ ταλαιπωροῦσι καὶ τὰ ἔσχατα πάσχουσι καταλίποι τὰ οἰκεῖα πάθη καὶ τὸν ἐπονείδιστον αὐτοῦ θάνατον. Πρὸς ἃ καὶ σὺ ἀφορῶν, χαῖρε μᾶλλον, οἷς ἔχοις ὁ δοῦλος μιμεῖσθαι τὸν Δεσπότην· ἀλλὰ μὴ δυσφόρει πρὸς τὰς τῶν στεφάνων ὑποθέσεις, ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν, καὶ ἀκόντων, παιδοτριβούμενος.

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 821)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. Θ'. Εὕρηται δὲ καὶ παρ' Ἰαγέρῳ Γαλλιστὶ μεθηρμηνευμένη* (Hist. de Photius, p. 243).

[2] *Ἡμ. διόρθ. ἀντὶ—ἐκεῖθεν·—ὤφειλον δὲ μᾶλλον διορθώσασθαι "ἔνθα·" ἀλλ' εἴθιστο τηνικαῦτα τοῖς εἰς θεν λήγουσιν ἐπιῤῥήμασι καὶ εἰς δήλωσιν τῆς ἐν τόπῳ στάσεως χρῆσθαι· οὕτω πολλαχοῦ τῷ "ἐντεῦθεν" καὶ αὐτῷ τῷ νῦν προκειμένῳ "ἐκεῖθεν" ἀντὶ τοῦ "ἐκεῖ" χρῆται.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 864)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΙΗ'.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΝ'.—150.

Εὐσχήμονι καὶ Γεωργίῳ Μητροπολίταις.[1]

Οὐκ ἀθυμῶ, τὸν χειμῶνα τῶν κακῶν καὶ τῆς τυραννίδος ἐπιτεινόμενον βλέπων· ταῖς γὰρ εἰς Θεὸν ἐλπίσι καὶ τῇ εὐσεβείᾳ ἀνθοῦντας ὑμᾶς καὶ ἐαρίζοντας ἀκούω· μᾶλλον δὲ καὶ χαίρω, ὅτι καὶ ὡραιοτέρους καὶ δοκιμωτέρους ἡ τῶν καταισχῦναι καὶ ἀσχημονῆσαι σπουδασάντων ὑμᾶς ἔδειξεν ἀναισχυντία. Ἀλλ', ὦ φίλοι, καὶ τέκνα, καὶ ἀδελφοί, καὶ εἴ τι στοργῆς καὶ σχέσεως φυσικῆς οἰκειότερον, ἕως τέλους Θεῷ τὴν αὐτὴν εὐγνωμοσύνην καὶ τὸ φίλτρον διασώσωμεν· καὶ ὅπερ Ἰὼβ ὁ γενναῖος τὸν καθηγητὴν αὐτῶν πεπονθότα[2] διὰ τῆς θαυμασίας ἐκείνης ὑπομονῆς καὶ ἀνδρείας ἐθριάμβευσε, τοῦτο καὶ ἡμεῖς, καὶ λαὸς ἅγιος τοῦ Χριστοῦ, καὶ βασίλειον ἱεράτευμα, ὥσπερ μέχρι νῦν, οὕτω καὶ διὰ παντός, τουτουσὶ τοὺς ἐκείνου γνησίους καὶ κορυφαίους μαθητὰς ὀδυρομένους καὶ ἀμηχανοῦντας ἐπιδείξωμεν· καὶ γάρ, ὡς καὶ ὑμεῖς συνεπίστασθε, τῶν εἰς τέλος ἀγωνιζομένων ἐστὶ τὰ βραβεῖα καὶ οἱ στέφανοι.

ΕΠΙΣΤΟΛΗ ΡΝΑ'.—151.

Μιχαὴλ Μητροπολίτῃ Μιτυλήνης.[3]

Τὰ μὲν εἰς σὲ τῶν διωκόντων πάθη ἄλλος ἄν τις εἴποι μείζω παραμυθίας· ἐγὼ δέ, σοῦ βουλομένου, φαίην ἂν μείζω εὐφημίας. Ὥρα οὖν ἐπισκοπεῖν σε, πότερον ἂν ἕλοιο, τῶν σφόδρα ἐλεουμένων, ἢ τῶν σφόδρα μακαριζομένων εἶναι; Ἂν μὲν γὰρ εὐχαρίστως φέρῃς (οἶδα δ' ὅτι φέρεις) εὔχομαί σου τῶν στεφάνων καὶ τῶν παθῶν ἐπὶ πλέον κοινωνῆσαι· ἂν δέ (ὅπερ ἀπεύχομαι) . . . . ἀλλ' οὐκ ἂν ἐρῶ· καὶ γὰρ πέπεισμαι ματαιολογήσειν. Δι' ὃ μοι πάλιν εἴησαν κοινὰ καὶ οἱ ἆθλοι καὶ τὰ ἔπαθλα· Ἐρρωσο.

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 836)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΚΣΤ'. Οἱ δὲ πρὸς οὓς ἡ Ἐπιστολὴ Μητροπολῖται ἦσαν, ὁ μὲν Καισαρείας, Γεώργιος δὲ Νικομηδείας, ὡς ἐξ ἄλλων πρὸς ἑκάτερον αὐτῶν ἐπιστολῶν καταφαίνεται, πιστότατοι Φωτίῳ φίλοι, καὶ διὰ τοῦτο μάλιστα πάντων διωχθέντες ὑπὸ τῶν ἀντικειμένων, καὶ πολλὰ καὶ δεινὰ παθόντες. (σημ. Μοντακ.)*

[2] *Τοῦτο Μοντακ. διορθωτέον εἶναι εἰκάζει—γεγονότα·—οὐ γὰρ ἦν, φησίν, ὁ Διάβολος, ὃς τὴν δοκιμασίαν ὑφίστατο, ἀλλ' ὁ Ἰώβ, κ.τ.λ.—ἀλλὰ πεπλάνηται δῆλον ὅτι ὁ σεβάσμιος Μοντακ. πρὸς τὸν Ἰὼβ ἀνενεγκὼν τὴν Μετοχὴν "πεπονθότα," δέον αὐτὴν πρὸς τὸν Διάβολον ἀνενεγκεῖν· ἔχει γὰρ τὸ ἑξῆς οὑτωσί—"δεῦτε καὶ ἡμεῖς ἐπιδείξωμεν τοὺς γνησίους καὶ κορυφαίους τοῦ Διαβόλου μαθητὰς ὀδυρομένους καὶ ἀμηχανοῦντας, ὥσπερ ὁ γενναῖος Ἰὼβ ἐθριάμβευσε τὸν καθηγητὴν αὐτῶν τοῦτο πεπονθότα." τοῦτ' ἔστι καταισχυνθέντα καὶ ἀμηχανοῦντα.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 860)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚΕ'.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΝΒ'.—152.

Τῷ αὐτῷ.[1]

Ἄλλος μὲν ἄν τις εὔξαιτο τυχεῖν στεφάνων τῶν σῶν, ἄνευ τοῦ τὰ σὰ πάθη καὶ τοὺς σοὺς ὑπὲρ εὐσεβείας ἄθλους ὑπελθεῖν· ἐμοὶ δὲ τίμια τὰ πάθη τὰ σά, κἂν μήπω τις ἐκτείνων τὴν χεῖρα στεφάνους τῇ ἐμῇ προσάπτῃ κεφαλῇ. Οὐ δεῖ τοιγαροῦν ἀθυμεῖν, οὕτω ζηλωτὸν καὶ μακάριον καὶ ἐν αὐτοῖς τοῖς κινδύνοις καὶ τοῖς παθήμασιν ἀναφανέντα καὶ ἀναλάμψαντα. Τὰ μὲν γὰρ ἐνταῦθα, κἂν νομοθετῶν, κἂν προφητῶν, κἂν εὐσεβῶν βασιλέων, κἂν ἄλλως ἀνδρῶν ἀληθείας φίλων, σιγῷεν ἅπαντα τὰ στόματα, τὴν ἐν αὐτοῖς ἐκτραγῳδοῦντα ματαιότητα, ἀλλ' οὖν ὁρᾷς, ὅπως τῇ διηνεκεῖ ῥεύσει καὶ μεταβολῇ οὐκ ἠρεμεῖ ἀλλοιούμενα· ἀλλ' ἄνω καὶ κάτω φέρεται δόξα πᾶσα, καὶ πλοῦτος, καὶ τύχαι, καὶ λαμπρότητες, καὶ οὐδέν ἐστι τῶν παρόντων, ὅπερ τὸν σώφρονα νοῦν ἐπισπασάμενον ὑποθέλξειεν. Τῶν δὲ ἐκεῖθι[2] τά τε ἄλλα ὑπὲρ διήγησιν ὄντων, καὶ τῷ ἀναλλοιώτῳ καὶ ἀρεύστῳ τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν τοῖς ἀξίοις παρεχομένων, τίς πρὸς τὰ ἐκεῖθι τὰς ἐλπίδας ἔχων ἱσταμένας καὶ τοὺς ὀφθαλμοὺς ἠνεῳγμένους, τοῖς παροῦσι κακοῖς συμπεσεῖται, ὀνείροις ἴσα λυποῦσι, καὶ ἐξαθυμήσει τοῖς, δι' ὧν ἐστι λαμπρύνεσθαι, ἀγωνίσμασιν; Ἄμεινον οὖν, οἶμαι, καὶ κρεῖττον λόγου παντός, ἐν ὀνείροις ἔχοντα τὰ χείρω, τῶν καθ' ὕπαρ ἀγαθῶν καὶ ἀνεκλαλήτων ἐν ἀπολαύσει γενέσθαι μὴ ληγούσῃ, ἢ ὀνείροις μικρὰ καὶ πρόσκαιρα πλανηθέντα καὶ παίξαντα τῶν ἀδιαδόχων πειρᾶσθαι κακῶν.

ΕΠΙΣΤΟΛΗ ΡΝΓ'.—153.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας.[3]

Ἡ κακία (καὶ μηδέν σοι δόξῃ παράδοξον· ἡ γὰρ τῶν ἐν βίῳ πεῖρα σαφὴς τῶν τοιούτων διδάσκαλος), ἂν μηδὲ τῆς ἀρετῆς ὑπέλθῃ τὸ σχῆμα, τάχιστα διόλλυται. Μὴ τοίνυν ἀθύμει, ταύτην ὁρῶν, τὸ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ θρασυνομένην, καὶ ἀπηρυθριασμένῳ τῷ προσώπῳ κατὰ πάντων ἀσελγαίνουσαν. Βραχὺς ὁ χρόνος, καὶ εἰς διαφθορὰν αὐτὴν ὄψει σὺν μεγάλῳ ἤχῳ καταστρέφουσαν· ἔχεις δὲ καὶ τὸν Προφήτην ἐμοὶ συμφθεγγόμενον· "Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ."[4]

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 860)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚΖ'.*

[2] *Οὕτως ἔγραψα ἐνταῦθά τε καὶ εὐθὺς ἐφεξῆς τὸ παρ' ἀμφοτέροις τοῖς ἐκδόταις "ἐκεῖθε·" οὐδὲ γὰρ εὕρηται τὸ "ἐκεῖθεν" ἄνευ τοῦ ν, οὐδὲ νομίζω ἐξ ἀβλεψίας τοῦ ἀντιγραφέως τὴν ἀποβολὴν αὐτοῦ δὶς γενέσθαι καὶ ἐν τῷ αὐτῷ κώλῳ, ἀλλὰ μᾶλλον ἐξ ἀμαθείας τὴν θι κατάληξιν εἰς θε μεταβαλεῖν.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 840)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΠΣΤ'.*

[4] *Ψαλμ. ΛΣΤ', 35.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΝΔ'.—154.

Μητροφάνει Μοναχῷ καὶ Ἡσυχαστῇ τῷ ἐκ Σικελίας.[1]

Μέγα μὲν τὸ ἄλγος ὑπὲρ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ· εἰς γὰρ τὴν οἰκουμένην ἐχύθη τὸ κακόν· μείζων δὲ ἡ χαρά· ἐν γὰρ τῇ ὑφηλίῳ θαυμάζεται ὑμῶν τὰ ἆθλα καὶ ἡ ἀρετή· καὶ παντὸς στόματός ἐστιν ἀντὶ παντὸς ἄλλου[2] οἱ λαμπροὶ ὑμῶν ἀγῶνες καὶ τὰ τρόπαια, καὶ ὁ πολὺς ἐκεῖνος καὶ ἄξιος τῶν ὑπὲρ Χριστοῦ παθημάτων μακαρισμός.

ΕΠΙΣΤΟΛΗ ΡΝΕ'.—155.

Γεωργίῳ Διακόνῳ καὶ Κουβουκλεισίῳ.[3]

Ἀπαγορεύω σοι, φίλων ἄριστε, μηκέτι φίλον ἡμέτερον ὀνομάζεσθαι· νῦν γὰρ ἔγνων ἐμαυτὸν περὶ τοὺς ἀληθεστάτους φίλους πάντων ἀνθρώπων δυστυχέστατον. Ὁ καλὸς ἡμῖν καὶ πιστὸς Οἰκονόμος,[4] ὁ κοινὸς φίλος (οἴμοι! λέγω καὶ γράφω, σιγῶντος ἐκείνου) λιπὼν ἡμᾶς τοὺς προσκαίρους, ἀνθ' ἡμῶν, ὡς ἔοικε, τοὺς αἰωνίους φίλους ἠλλάξατο, ὥσπερ οὐκ ἀνεχόμενος ἀρετὴν τοσαύτην καιροῖς τοιούτοις ἐμπολιτεύεσθαι. Ὁ μὲν οὖν παλαιὸς ἐκεῖνος Τίμων, μοχθηρίαις ἀτόποις ἀνθρώπων ἴσως περιτυχών, ἔδοξέ τι σοφὸν ἐπιτελεῖν, ἀντὶ φιλανθρώπου μισάνθρωπος καὶ εἶναι καὶ ὀνομάζεσθαι. Ἐγὼ δὲ πολλῷ ἂν φανείην δικαιότερα, οἶμαι, διαπραττόμενος, ἀνθ' οὗπερ εἰμί, μισόφιλος γενέσθαι διανοούμενος. Τῆς γὰρ ἐν φίλοις θαυμαστῆς ἡλίκης ἀρετῆς ἀπολαύειν ἀρχόμενος, ἅμα μὲν χαίρω τῆς ἀπολαύσεως, ἅμα δὲ λίαν πικρῶς ἀνιώμενος, ταύτης ἀθλίως ἐλαύνομαι· ὥσπερ, ἵνα μόνον λυπήσῃ, καὶ τὴν συναίσθησιν τῶν ἀλγεινῶν ἀφόρητον ἐπαφήσῃ, διὰ τοῦτο μόνον τῆς τοιαύτης ἡδονῆς ἡμᾶς γεύσαντος τοῦ, ὅστις ποτ' ἐστὶν ἐκεῖνος, ὁ τηλικοῦτον καθ' ἡμῶν ῥίψας τὸ βέλος, εἴτε φθόνος, εἴτε ψῆφος ἄλλη· ἐξάγομαι[5] γὰρ ὑπὸ τοῦ πάθους, καὶ οὐκ ἔχω, τί εἴπω, πλὴν ὅτι μὴ κατελεήσας ἡμᾶς, μήτε τῆς ὑπερορίας, μήτε τῆς φυλακῆς,

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 897)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΜΘ'.

[2] Μοντακ. νομίζει προσθετέαν εἶναι τὴν λέξιν "διήγημα."

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 876)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΔ'. Τὸ δὲ ἀξίωμα Κουβουκλείσιος Ἐκκλησιαστικόν τε ἦν καὶ Αὐλικόν, ταὐτὸν τῷ Κουβικουλάριος ἐκ τοῦ Λατιν. cubicularius. Ἴδε τὰς σημ. Ῥεϊσκίου εἰς Κ. Πορφυρογ. Τόμ. Β', σελ. 25 καὶ 201· ἔκδ. Βόννης.

[4] Ἐκκλησιαστικὸν ἀξίωμα, πρώτην ἐν τῇ πρώτῃ πεντάδι τάξιν ἐπέχον· ἔργον δὲ εἶχεν ὁ Οἰκονόμος "πάντα τὰ τῆς Ἐκκλησίας κτήματα κρατεῖν καὶ πᾶν τὸ ἐσοδιαζόμενον ἐξ αὐτῶν, καὶ οἰκονομεῖν τῷ Ἀρχιερεῖ καὶ τῇ Ἐκκλησίᾳ," ὡς ἐξηγεῖται Κ. Κουρουπαλάτης ἐν τῷ περὶ ὀφφικίων κ.τ.λ. (σελ. 3—4· ἴδε καὶ σελ. 120—1).

[5] Ἡμ. διόρθ. ἀντὶ—ἐξάγοιμι.

Digitized by Google

μήτε τῶν ἄλλων χαλεπῶν, οἷς τὸν βίον περιαντλούμεθα, ὑπὸ μηδενὸς τούτων δυσωπηθείς, λαβὼν ἀθρόον καὶ διασπάσας ἀφ' ἡμῶν τὸν φίλον οἴχεται, πικρὸν καὶ ἀπαραίτητον κατὰ μέσης αὐτῆς καρδίας τὸ κέντρον ἐμπήξας. Ἀλλ' ἴσως οὐ πολὺς χρόνος, καὶ τελείως ταύτην διεργασάμενος (τοῦτο γὰρ ὡς ἐν τηλικούτοις κακοῖς ἡμᾶς μόνον ἀναψύχει) πρὸς τὸν ποθούμενον ἀπελάσει. Σὺ δέ, ὦ μοι λοιπὸν τοῦ βίου παραμύθιον, ἔρρωσο· καί με φίλει· καὶ τὴν ὁσίαν[1] ἐκείνῳ ἀνθ' ἡμῶν ἀξίως τῆς σῆς ἀρετῆς καὶ τῆς ἐκείνου φιλίας ἐπιτέλει· καὶ τῶν συγγενῶν καὶ οἰκείων ἀνθ' ἡμῶν καὶ σαυτοῦ προστάτης καὶ κηδεμὼν καθιστάμενος, κούφιζε τὸ πολὺ τοῦ πάθους· ἄλλο γὰρ οὐδέν ἐστιν, οἶμαι, τῷ κειμένῳ συνεισενεγκεῖν. Εἰ δέ τι καὶ πλέον ἤθελον γράφειν, ἀλλὰ σφοδρότερον ῥέον ἐπέσχε τὸ δάκρυον τὴν γραφήν.

ΕΠΙΣΤΟΛΗ ΡΝΣΤ'.—156.

Λέοντι Λογοθέτῃ γεγονότι καὶ μονάσαντι, ὑπὸ δοκοῦντος φίλου παραλυπηθέντι.[2]

Ἀμβλὺς τὸ ἦθος, καὶ μαλακὸς τοὺς πόνους, γνώμην τε οὐ βέβαιος, καὶ λημμάτων ἥττων, καὶ τῆς ἡδονῆς ἀνδράποδον ἄνθρωπος, οὐτ' ἄν τι τῶν ἀγαθῶν γενναῖον ἐργάσαιτο, καὶ εἰς κακὸν οὐκ ἂν ἀποβαίη μέγα· ὅσοι δὲ φύσιν μὲν ὀξεῖς, καρτερεῖν δὲ πρὸς πάντα δεινοί, ὑπερόπται δὲ καὶ χρημάτων καὶ ἡδονῶν, καὶ γνώμην ἐξαγαγεῖν ἀμετάστρεπτοι, τούτοις δὲ ἄρα καὶ ἰσχύος ποθὲν περιτεθείσης, καὶ εἰς ἀγαθὸν ἡ ῥοπὴ τὰ μέγιστα ἐξανύσειε, καὶ πρὸς τὸ φαῦλον ἐπειδὰν ἀποκλίνωσιν, ἀφόρητοί τε καὶ ἀπαραίτητοι καὶ φίλοις καὶ οἰκείοις καὶ πᾶσι καθίστανται. Οὐ χρὴ τοίνυν δυσφορεῖν, ὅτι μὴ τὰ βέλτιστα παρὰ τοῦ ποτε γενναίου φίλου ἐκκαρπούμεθα· ἀλλ' εὐχαριστεῖν, ὅτι οὐχὶ μόνον μηδὲν λυπηρόν, ἀλλ' ἐφ' οἷς μηδὲ τῶν εἰς ὑπερβολὴν ἡκόντων δυσχερῶν ἐκεῖθεν πειρώμεθα. Εἰ δ' ἐπιστρέψει ποτέ, καὶ πρὸς τὰς συγγενεῖς μετὰ τῆς φιλίας ἀναδράμοι ἀρετάς, ἴσως ἀποκρύψει τοῖς εὐφραίνουσιν ἀγαθοῖς καὶ ὅσα τῶν λυπούντων ἡμᾶς προκατέλαβεν.

---

[1] Ὁσία (ἡ) ὡς οὐσιαστ.=ἡ ὑπὲρ τῶν ἀποθανόντων θρησκευτικὴ τελετή, ὁ ἐνταφιασμός, καὶ τὰ καλούμενα παρ' ἡμῖν μνημόσυνα· λέγεται δὲ καὶ οὐδετ. τὰ ὅσια.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 945)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΑ'.

[3] Ἴσως ἐγέγραπτο τὴν ἀρχὴν "ἐπιστρέψειε" κατὰ τὸ συμπλεκόμενον αὐτῷ "ἀναδράμοι."

Digitized by Google

ΦΩΤΙΟΥ ΕΠΙΣΤΟΛΑΙ.

ΜΕΡΟΣ Δ'.

ΕΠΙΤΙΜΗΤΙΚΑΙ.[1]

ΕΠΙΣΤΟΛΗ ΡΝΖ'.—157.

Βάρδᾳ Μαγίστρῳ Πατρικίῳ καὶ Κουρουπαλάτῃ.[2]

Ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προστίθεσθαι ἄλγημα τῆς μὲν ἐμῆς ἴσως ἀθλιότητος ἄξιον, τῆς δ' ὑμετέρας συμπαθείας καὶ περὶ ἡμᾶς διαθέσεως ἀνάξιον· καὶ εἴ τις πεισθείη μὴ κατὰ γνώμην ὑμῶν ταῦτα συμπεσεῖν ἡμῖν, ἀλλά γε τό, ὑμῶν ἐξουσιαζόντων καὶ ἰσχυόντων, ταῦτα πάσχειν ἡμᾶς, ἐπεὶ τοῦτο βλέπει, οὐδ' ἂν μεταπεισθείη. Παρελογί-

[1] *Ἐπιτιμητικὰς* τὰς ἐν τῷ τετάρτῳ μέρει περιεχομένας ἐπιστολὰς ἐπεγράψαμεν, ἅτε τοῦ ἱεροῦ Πατριάρχου πολλοὺς ἐν αὐταῖς τῶν τε Κληρικῶν καὶ τῶν ἐν τέλει, καὶ αὐτὸν δὴ τὸν Αὐτοκράτορα Βασίλειον, ἐφ' οἷς ἡμάρτανον, ἐξελέγχοντος, καὶ ἐπιτιμῶντος αὐτοῖς. Τοῦτο δὲ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον φαίνεται πράττων, ἀλλὰ καὶ ὑπὲρ παντὸς ὅπως δήποτ' ἀδικουμένου, καί, τὸ μάλιστα θαυμαστόν, ὑπὲρ αὐτῶν αὐτοῦ τῶν ἐχθρῶν καὶ ὑβριστῶν, τῶν περὶ Ἰγνάτιον, οὓς ἀπηνῶς κατεδίωκε καὶ ἐκόλαζεν ἡ ἐξουσία. Ὑπὲρ τούτων γὰρ τὰς τέσσαρας πρώτας ἔγραψε τῷ Βάρδᾳ ἐπιστολάς, πικρῶς αὐτὸν ἐξελέγχων ἐφ' οἷς τοὺς Ἰγνατίου φίλους κατεδίωκε καὶ παντοίαις ἐκόλαζε βασάνοις, καὶ διαῤῥήδην λέγων, ὅτι διὰ ταῦτα καὶ πρότερον ἀπηρνεῖτο τὴν Πατριαρχείαν ἀποδέξασθαι, καὶ νῦν προθύμως ἀποτίθεται τὸν θρόνον, καὶ τὸν κονιορτὸν αὐτὸν ὑπὲρ τῆς κοινῆς ἁπάντων ὁμονοίας καὶ σωτηρίας ἐκτινάσσων. Οὐχ ἧττον δὲ τρανῶς διαμαρτύρεται κατ' αὐτοῦ, ὅτι Κληρικοὺς κολάζων αὐτός, ἡμίτομον τὴν Πατριαρχικὴν ἀξίαν καθίστησιν, ὡς ἀφαιρούμενος αὐτῆς τὸ τοὺς Κληρικοὺς δικάζειν καὶ κολάζειν κατὰ τοὺς τῆς Ἐκκλησίας θεσμούς· καὶ ἰδίᾳ ὑπὲρ Χριστοδούλου τινὸς καὶ τοῦ Κληρικοῦ Βλασίου, τοῦ τὴν γλῶσσαν ἀποτμηθέντος, διωλύγιον ἀνακράζει καὶ κατοδύρεται (ἴδε τὴν β' καὶ γ' πρὸς Βάρδαν ἐπιστολήν). Ἀλλ' ὅμως, τούτων οὕτως ἐχόντων, οἱ Φωτίου συκοφάνται, Βαρώνιος καὶ Ἰάγερος, οὐκ ὤκνησαν καὶ τοῦτο πρὸς τοῖς ἄλλοις εἰπεῖν, ὅτι ταῦτα ὑποκρινόμενος ἔγραφε, καὶ ὅτι κατὰ τοῦ Βάρδα ἠγανάκτει, οὐχ ὡς κολάζοντος τοὺς Ἰγνατιανούς, ἀλλ' ὅτι τὸν Ἰγνάτιον αὐτὸν οὐ κατεδίωκε μέχρι θανάτου, ἀλλ' ἠρεμεῖν αὐτῷ ἐπέτρεψεν ἐν ἰδίᾳ μονῇ, κ.τ.λ. Πρὸς δὴ τούτους καὶ τοὺς τοιούτους λήρους ἀρκέσει πρὸ παντὸς ἄλλου αὐτῶν τῶν πρὸς Βάρδαν ἐπιστολῶν ἡ ἀνάγνωσις, εἴ τις ταύτας μὴ ἀνίπτοις τοῖς ὀφθαλμοῖς ἀναγινώσκει, ὥσπερ Βαρώνιος καὶ Ἰάγερος, ἀλλ' ὡς φίλος τῆς ἀληθείας καὶ τοῦ δικαίου. Ὅμως δὲ τὴν μὲν Βαρωνίου μωρίαν καὶ μοχθηρίαν ἱκανῶς ὁ σεβάσμιος Μοντακ. ἐξήλεγξε· τὴν δὲ Ἰαγέρου ὁ τῶν Παπιστικῶν ἐλέγχων συγγραφεύς (Τόμ. Α', σελ. 369), ὀρθῶς πρὸς τοῖς ἄλλοις καὶ τοῦτο λέγων περὶ αὐτοῦ, ὅτι τοῦτο μὲν δι' ἀμάθειαν τῆς γλώσσης, τοῦτο δὲ διὰ τὸν κατὰ Φωτίου φθόνον, οὐδαμῶς τὰ ἐν ταῖς ἐπιστολαῖς ταύταις λεγόμενα κατενόησεν, ἀλλὰ παρασάγγας ὅλους καὶ ἐνταῦθα τῆς ἀληθείας ἀποπεπλάνηται.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 617)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Γ'.—Μαγίστωρ μὲν ἡ Μαΐστωρ, καὶ ἄλλως λεγόμενος "ὁ ἐπὶ τῶν δεήσεων" κατὰ τὸν Κοδ. Κουρουπαλ. "ὁ δεχόμενος τὰς τῶν αἰτούντων καὶ τῶν ἀδικουμένων ἀναφοράς, καβαλλαρίου διερχομένου τοῦ βασιλέως" (ἴδε Κ. Κουρουπ.

Digitized by Google

τῶν ἔργων μοι τοῖς λόγοις συνυπηχούντων, ἀξιωθείην ἅμα ὑμῖν τοῖς καλοῖς συνάθλοις ἐν Κυρίῳ ἀναφθέγξασθαι, πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

ΕΠΙΣΤΟΛΗ ΡΜΗ'.—148.

Ἰωάννῃ Μητροπολίτῃ Ἡρακλείας.[1]

Ἀπολοφύρῃ τὰ σά, ὅτι τὰ ἡμέτερα ἀγνοεῖς· εἰ δ', ἃ πάσχομεν, ᾔδεις, καὶ πρὸς οἵους ἄθλους καθ' ἑκάστην ἀποδυόμεθα, οἶμαι ἄν σε λιπεῖν τὸ τὰς σὰς ἐξαριθμεῖν καὶ θρηνεῖν συμφοράς. Καὶ τῶν βροντῶν γὰρ τοὺς ἐξαισίους ἤχους, ἐπειδὰν πολὺ καταῤῥαγῶσι μείζους, τοῖς ὠσὶν ἀλύπως φέρειν μᾶλλον, ἢ πρότερον, ἐθιζόμεθα. Τί οὖν δεῖ ποιεῖν; ἢ καρτερῶς ἐναθλεῖν τοῖς ἐμπίπτουσιν, ἀκριβῶς εἰδότας, καθ' ἃ δήπου καὶ τὰ θεῖα καὶ ἱερὰ διαμαρτύρεται λόγια, ὡς ὁ παρὼν βίος οὐκ ἔστι τρυφῆς καὶ βραβείων καὶ ἐπάθλων, ἀλλ' ἀγώνων καὶ πόνων καὶ παλαισμάτων· τὰ δὲ γέρα καὶ τοὺς στεφάνους καὶ τὴν ἀπόλαυσιν ἐκεῖθεν προσῆκεν ἐπιζητεῖν, ἔνθεν[2] *(εἰ μὴ μέγα εἰπεῖν) Θεοῦ φιλανθρωπίᾳ καὶ εὑρήσομεν.*

ΕΠΙΣΤΟΛΗ ΡΜΘ'.—149.

Τῷ αὐτῷ.[3]

Ἐμοὶ μὲν δοκεῖ καὶ δι' ἄλλας πολλὰς ἀῤῥήτους τε καὶ ὑπὲρ νοῦν θεωρίας τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, βασιλέα καὶ τοῦ παντὸς ὑπάρχοντα κύριον, δι' ἑκουσίου μᾶλλον παθήματος, ἀλλὰ μὴ Δεσποτικῇ καὶ αὐτοκράτορι ἐξουσίᾳ, τὴν παγκόσμιον σωτηρίαν ἀπεργάσασθαι· οὐδὲν δὲ ἧττον, οἶμαι, καὶ διὰ τοῦτο, ὡς ἂν μάλιστα μέγα καὶ σαφὲς παραμύθιον τοῖς ἐν βίῳ ταλαιπωροῦσι καὶ τὰ ἔσχατα πάσχουσι καταλίποι τὰ οἰκεῖα πάθη καὶ τὸν ἐπονείδιστον αὐτοῦ θάνατον. Πρὸς ἃ καὶ σὺ ἀφορῶν, χαῖρε μᾶλλον, οἷς ἔχοις ὁ δοῦλος μιμεῖσθαι τὸν Δεσπότην· ἀλλὰ μὴ δυσφόρει πρὸς τὰς τῶν στεφάνων ὑποθέσεις, ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν, καὶ ἀκόντων, παιδοτριβούμενος.

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 821)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. Θ'. Εὕρηται δὲ καὶ παρ' Ἰαγέρῳ Γαλλιστὶ μεθηρμηνευμένη* (Hist. de Photius, p. 243).

[2] *Ἡμ. διόρθ. ἀντὶ—ἐκεῖθεν·—ὤφειλον δὲ μᾶλλον διορθώσασθαι "ἔνθα·" ἀλλ' εἴθιστο τηνικαῦτα τοῖς εἰς θεν λήγουσιν ἐπιῤῥήμασι καὶ εἰς δήλωσιν τῆς ἐν τόπῳ στάσεως χρῆσθαι· οὕτω πολλαχοῦ τῷ "ἐντεῦθεν" καὶ αὐτῷ τῷ νῦν προκειμένῳ "ἐκεῖθεν" ἀντὶ τοῦ "ἐκεῖ" χρῆται.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 864)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΙΗ'.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΝ'.—150.

Εὐσχήμονι καὶ Γεωργίῳ Μητροπολίταις.[1]

Οὐκ ἀθυμῶ, τὸν χειμῶνα τῶν κακῶν καὶ τῆς τυραννίδος ἐπιτεινόμενον βλέπων· ταῖς γὰρ εἰς Θεὸν ἐλπίσι καὶ τῇ εὐσεβείᾳ ἀνθοῦντας ὑμᾶς καὶ ἐαρίζοντας ἀκούω· μᾶλλον δὲ καὶ χαίρω, ὅτι καὶ ὡραιοτέρους καὶ δοκιμωτέρους ἡ τῶν καταισχῦναι καὶ ἀσχημονῆσαι σπουδασάντων ὑμᾶς ἔδειξεν ἀναισχυντία. Ἀλλ', ὦ φίλοι, καὶ τέκνα, καὶ ἀδελφοί, καὶ εἴ τι στοργῆς καὶ σχέσεως φυσικῆς οἰκειότερον, ἕως τέλους Θεῷ τὴν αὐτὴν εὐγνωμοσύνην καὶ τὸ φίλτρον διασώσωμεν· καὶ ὅπερ Ἰὼβ ὁ γενναῖος τὸν καθηγητὴν αὐτῶν πεπονθότα[2] διὰ τῆς θαυμασίας ἐκείνης ὑπομονῆς καὶ ἀνδρείας ἐθριάμβευσε, τοῦτο καὶ ἡμεῖς, καὶ λαὸς ἅγιος τοῦ Χριστοῦ, καὶ βασίλειον ἱεράτευμα, ὥσπερ μέχρι νῦν, οὕτω καὶ διὰ παντός, τουτουσὶ τοὺς ἐκείνου γνησίους καὶ κορυφαίους μαθητὰς ὀδυρομένους καὶ ἀμηχανοῦντας ἐπιδείξωμεν· καὶ γάρ, ὡς καὶ ὑμεῖς συνεπίστασθε, τῶν εἰς τέλος ἀγωνιζομένων ἐστὶ τὰ βραβεῖα καὶ οἱ στέφανοι.

ΕΠΙΣΤΟΛΗ ΡΝΑ'.—151.

Μιχαὴλ Μητροπολίτῃ Μιτυλήνης.[3]

Τὰ μὲν εἰς σὲ τῶν διωκόντων πάθη ἄλλος ἄν τις εἴποι μείζω παραμυθίας· ἐγὼ δέ, σοῦ βουλομένου, φαίην ἂν μείζω εὐφημίας. Ὥρα οὖν ἐπισκοπεῖν σε, πότερον ἂν ἕλοιο, τῶν σφόδρα ἐλεουμένων, ἢ τῶν σφόδρα μακαριζομένων εἶναι; Ἂν μὲν γὰρ εὐχαρίστως φέρῃς (οἶδα δ' ὅτι φέρεις) εὔχομαί σου τῶν στεφάνων καὶ τῶν παθῶν ἐπὶ πλέον κοινωνῆσαι· ἂν δέ (ὅπερ ἀπεύχομαι) . . . . ἀλλ' οὐκ ἂν ἐρῶ· καὶ γὰρ πέπεισμαι ματαιολογήσειν. Δι' ὃ μοι πάλιν εἴησαν κοιναὶ καὶ οἱ ἆθλοι καὶ τὰ ἔπαθλα· Ἐρρῶσο.

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 836)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΚΣΤ'. Οἱ δὲ πρὸς οὓς ἡ Ἐπιστολὴ Μητροπολῖται ἦσαν, ὁ μὲν Καισαρείας, Γεώργιος δὲ Νικομηδείας, ὡς ἐξ ἄλλων πρὸς ἑκάτερον αὐτῶν ἐπιστολῶν καταφαίνεται, πιστότατοι Φωτίῳ φίλοι, καὶ διὰ τοῦτο μάλιστα πάντων διωχθέντες ὑπὸ τῶν ἀντικειμένων, καὶ πολλὰ καὶ δεινὰ παθόντες. (σημ. Μοντακ.)*

[2] *Τοῦτο Μοντακ. διορθωτέον εἶναι εἰκάζει—γεγονότα·—οὐ γὰρ ἦν, φησίν, ὁ Διάβολος, ὃς τὴν δοκιμασίαν ὑφίστατο, ἀλλ' ὁ Ἰώβ, κ.τ.λ.—ἀλλὰ πεπλάνηται δῆλον ὅτι ὁ σεβάσμιος Μοντακ. πρὸς τὸν Ἰὼβ ἀνενεγκὼν τὴν Μετοχὴν "πεπονθότα," δέον αὐτὴν πρὸς τὸν Διάβολον ἀνενεγκεῖν· ἔχει γὰρ τὸ ἑξῆς οὑτωσί—"δεῦτε καὶ ἡμεῖς ἐπιδείξωμεν τοὺς γνησίους καὶ κορυφαίους τοῦ Διαβόλου μαθητὰς ὀδυρομένους καὶ ἀμηχανοῦντας, ὥσπερ ὁ γενναῖος Ἰὼβ ἐθριάμβευσε τὸν καθηγητὴν αὐτῶν τοῦτο πεπονθότα." τοῦτ' ἔστι καταισχυνθέντα καὶ ἀμηχανοῦντα.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 860)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚΕ'.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΝΒ'.—152.

Τῷ αὐτῷ.[1]

Ἄλλος μὲν ἄν τις εὔξαιτο τυχεῖν στεφάνων τῶν σῶν, ἄνευ τοῦ τὰ σὰ πάθη καὶ τοὺς σοὺς ὑπὲρ εὐσεβείας ἄθλους ὑπελθεῖν· ἐμοὶ δὲ τίμια τὰ πάθη τὰ σά, κἂν μήπω τις ἐκτείνων τὴν χεῖρα στεφάνους τῇ ἐμῇ προσάπτῃ κεφαλῇ. Οὐ δεῖ τοιγαροῦν ἀθυμεῖν, οὕτω ζηλωτὸν καὶ μακάριον καὶ ἐν αὐτοῖς τοῖς κινδύνοις καὶ τοῖς παθήμασιν ἀναφανέντα καὶ ἀναλάμψαντα. Τὰ μὲν γὰρ ἐνταῦθα, κἂν νομοθετῶν, κἂν προφητῶν, κἂν εὐσεβῶν βασιλέων, κἂν ἄλλως ἀνδρῶν ἀληθείας φίλων, σιγῷεν ἅπαντα τὰ στόματα, τὴν ἐν αὐτοῖς ἐκτραγῳδοῦντα ματαιότητα, ἀλλ' οὖν ὁρᾷς, ὅπως τῇ διηνεκεῖ ῥεύσει καὶ μεταβολῇ οὐκ ἠρεμεῖ ἀλλοιούμενα· ἀλλ' ἄνω καὶ κάτω φέρεται δόξα πᾶσα, καὶ πλοῦτος, καὶ τύχαι, καὶ λαμπρότητες, καὶ οὐδέν ἐστι τῶν παρόντων, ὅπερ τὸν σώφρονα νοῦν ἐπισπασάμενον ὑποθέλξειεν. Τῶν δὲ ἐκεῖθι[2] τά τε ἄλλα ὑπὲρ διήγησιν ὄντων, καὶ τῷ ἀναλλοιώτῳ καὶ ἀρεύστῳ τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν τοῖς ἀξίοις παρεχομένων, τίς πρὸς τὰ ἐκεῖθι τὰς ἐλπίδας ἔχων ἱσταμένας καὶ τοὺς ὀφθαλμοὺς ἠνεῳγμένους, τοῖς παροῦσι κακοῖς συμπεσεῖται, ὀνείροις ἴσα λυποῦσι, καὶ ἐξαθυμήσει τοῖς, δι' ὧν ἐστι λαμπρύνεσθαι, ἀγωνίσμασιν; Ἄμεινον οὖν, οἶμαι, καὶ κρεῖττον λόγου παντός, ἐν ὀνείροις ἔχοντα τὰ χείρω, τῶν καθ' ὕπαρ ἀγαθῶν καὶ ἀνεκλαλήτων ἐν ἀπολαύσει γενέσθαι μὴ ληγούσῃ, ἢ ὀνείροις μικρὰ καὶ πρόσκαιρα πλανηθέντα καὶ παίξαντα τῶν ἀδιαδόχων πειρᾶσθαι κακῶν.

ΕΠΙΣΤΟΛΗ ΡΝΓ'.—153.

Εὐσχήμονι Ἀρχιεπισκόπῳ Καισαρείας.[3]

Ἡ κακία (καὶ μηδέν σοι δόξῃ παράδοξον· ἡ γὰρ τῶν ἐν βίῳ πεῖρα σαφὴς τῶν τοιούτων διδάσκαλος), ἂν μηδὲ τῆς ἀρετῆς ὑπέλθῃ τὸ σχῆμα, τάχιστα διόλλυται. Μὴ τοίνυν ἀθύμει, ταύτην ὁρῶν, τὸ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ θρασυνομένην, καὶ ἀπηρυθριασμένῳ τῷ προσώπῳ κατὰ πάντων ἀσελγαίνουσαν. Βραχὺς ὁ χρόνος, καὶ εἰς διαφθορὰν αὐτὴν ὄψει σὺν μεγάλῳ ἤχῳ καταστρέφουσαν· ἔχεις δὲ καὶ τὸν Προφήτην ἐμοὶ συμφθεγγόμενον· "Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ."[4]

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 860)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚΖ'.*

[2] *Οὕτως ἔγραψα ἐνταῦθά τε καὶ εὐθὺς ἐφεξῆς τὸ παρ' ἀμφοτέροις τοῖς ἐκδόταις "ἐκεῖθε·" οὐδὲ γὰρ εὕρηται τὸ "ἐκεῖθεν" ἄνευ τοῦ ν, οὐδὲ νομίζω ἐξ ἀβλεψίας τοῦ ἀντιγραφέως τὴν ἀποβολὴν αὐτοῦ δὶς γενέσθαι καὶ ἐν τῷ αὐτῷ κώλῳ, ἀλλὰ μᾶλλον ἐξ ἀμαθείας τὴν θι κατάληξιν εἰς θε μεταβαλεῖν.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 840)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΠΣΤ'.*

[4] *Ψαλμ. ΛΣΤ'*, 35.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΝΔ'.—154.

Μητροφάνει Μοναχῷ καὶ Ἡσυχαστῇ τῷ ἐκ Σικελίας.[1]

Μέγα μὲν τὸ ἄλγος ὑπὲρ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ· εἰς γὰρ τὴν οἰκουμένην ἐχύθη τὸ κακόν· μείζων δὲ ἡ χαρά· ἐν γὰρ τῇ ὑφηλίῳ θαυμάζεται ὑμῶν τὰ ἆθλα καὶ ἡ ἀρετή· καὶ παντὸς στόματός ἐστιν ἀντὶ παντὸς ἄλλου[2] οἱ λαμπροὶ ὑμῶν ἀγῶνες καὶ τὰ τρόπαια, καὶ ὁ πολὺς ἐκεῖνος καὶ ἄξιος τῶν ὑπὲρ Χριστοῦ παθημάτων μακαρισμός.

ΕΠΙΣΤΟΛΗ ΡΝΕ'.—155.

Γεωργίῳ Διακόνῳ καὶ Κουβουκλεισίῳ.[3]

Ἀπαγορεύω σοι, φίλων ἄριστε, μηκέτι φίλον ἡμέτερον ὀνομάζεσθαι· νῦν γὰρ ἔγνων ἐμαυτὸν περὶ τοὺς ἀληθεστάτους φίλους πάντων ἀνθρώπων δυστυχέστατον. Ὁ καλὸς ἡμῖν καὶ πιστὸς Οἰκονόμος,[4] ὁ κοινὸς φίλος (οἴμοι! λέγω καὶ γράφω, σιγῶντος ἐκείνου) λιπὼν ἡμᾶς τοὺς προσκαίρους, ἀνθ' ἡμῶν, ὡς ἔοικε, τοὺς αἰωνίους φίλους ἠλλάξατο, ὥσπερ οὐκ ἀνεχόμενος ἀρετὴν τοσαύτην καιροῖς τοιούτοις ἐμπολιτεύεσθαι. Ὁ μὲν οὖν παλαιὸς ἐκεῖνος Τίμων, μοχθηρίαις ἀτόποις ἀνθρώπων ἴσως περιτυχών, ἔδοξέ τι σοφὸν ἐπιτελεῖν, ἀντὶ φιλανθρώπου μισάνθρωπος καὶ εἶναι καὶ ὀνομάζεσθαι. Ἐγὼ δὲ πολλῷ ἂν φανείην δικαιότερα, οἶμαι, διαπραττόμενος, ἀνθ' οὗπερ εἰμί, μισόφιλος γενέσθαι διανοούμενος. Τῆς γὰρ ἐν φίλοις θαυμαστῆς ἡλίκης ἀρετῆς ἀπολαύειν ἀρχόμενος, ἅμα μὲν χαίρω τῆς ἀπολαύσεως, ἅμα δὲ λίαν πικρῶς ἀνιώμενος, ταύτης ἀθλίως ἐλαύνομαι· ὥσπερ, ἵνα μόνον λυπήσῃ, καὶ τὴν συναίσθησιν τῶν ἀλγεινῶν ἀφόρητον ἐπαφήσῃ, διὰ τοῦτο μόνον τῆς τοιαύτης ἡδονῆς ἡμᾶς γεύσαντος τοῦ, ὅστις ποτ' ἐστὶν ἐκεῖνος, ὁ τηλικοῦτον καθ' ἡμῶν ῥίψας τὸ βέλος, εἴτε φθόνος, εἴτε ψῆφος ἄλλη· ἐξάγομαι[5] γὰρ ὑπὸ τοῦ πάθους, καὶ οὐκ ἔχω, τί εἴπω, πλὴν ὅτι μὴ κατελεήσας ἡμᾶς, μήτε τῆς ὑπερορίας, μήτε τῆς φυλακῆς,

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 897)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΜΘ'.

[2] Μοντακ. νομίζει προσθετέαν εἶναι τὴν λέξιν "διήγημα."

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 876)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΔ'. Τὸ δὲ ἀξίωμα Κουβουκλείσιος Ἐκκλησιαστικόν τε ἦν καὶ Αὐλικόν, ταὐτὸν τῷ Κουβικουλάριος ἐκ τοῦ Λατιν. cubicularius. Ἴδε τὰς σημ. Ῥεϊσκίου εἰς Κ. Πορφυρογ. Τόμ. Β', σελ. 25 καὶ 201· ἔκδ. Βόννης.

[4] Ἐκκλησιαστικὸν ἀξίωμα, πρώτην ἐν τῇ πρώτῃ πεντάδι τάξιν ἐπέχον· ἔργον δὲ εἶχεν ὁ Οἰκονόμος "πάντα τὰ τῆς Ἐκκλησίας κτήματα κρατεῖν καὶ πᾶν τὸ ἐσοδιαζόμενον ἐξ αὐτῶν, καὶ οἰκονομεῖν τῷ Ἀρχιερεῖ καὶ τῇ Ἐκκλησίᾳ," ὡς ἐξηγεῖται Κ. Κουρουπαλάτης ἐν τῷ περὶ ὀφφικίων κ.τ.λ. (σελ. 3—1· ἴδε καὶ σελ. 120—1).

[5] Ἡμ. διόρθ. ἀντὶ—ἐξάγοιμι.

Digitized by Google

μήτε τῶν ἄλλων χαλεπῶν, οἷς τὸν βίον περιαντλούμεθα, ὑπὸ μηδενὸς τούτων δυσωπηθείς, λαβὼν ἀθρόον καὶ διασπάσας ἀφ' ἡμῶν τὸν φίλον οἴχεται, πικρὸν καὶ ἀπαραίτητον κατὰ μέσης αὐτῆς καρδίας τὸ κέντρον ἐμπήξας. Ἀλλ' ἴσως οὐ πολὺς χρόνος, καὶ τελείως ταύτην διεργασάμενος (τοῦτο γὰρ ὡς ἐν τηλικούτοις κακοῖς ἡμᾶς μόνον ἀναψύχει) πρὸς τὸν ποθούμενον ἀπελάσει. Σὺ δέ, ὦ μοι λοιπὸν τοῦ βίου παραμύθιον, ἔρρωσο· καί με φίλει· καὶ τὴν ὁσίαν[1] ἐκείνῳ ἀνθ' ἡμῶν ἀξίως τῆς σῆς ἀρετῆς καὶ τῆς ἐκείνου φιλίας ἐπιτέλει· καὶ τῶν συγγενῶν καὶ οἰκείων ἀνθ' ἡμῶν καὶ σαυτοῦ προστάτης καὶ κηδεμὼν καθιστάμενος, κούφιζε τὸ πολὺ τοῦ πάθους· ἄλλο γὰρ οὐδέν ἐστιν, οἶμαι, τῷ κειμένῳ συνεισενεγκεῖν. Εἰ δέ τι καὶ πλέον ἤθελον γράφειν, ἀλλὰ σφοδρότερον ῥέον ἐπέσχε τὸ δάκρυον τὴν γραφήν.

ΕΠΙΣΤΟΛΗ ΡΝΣΤ'.—156.

Λέοντι Λογοθέτῃ γεγονότι καὶ μονάσαντι, ὑπὸ δοκοῦντος φίλου παραλυπηθέντι.[2]

Ἀμβλὺς τὸ ἦθος, καὶ μαλακὸς τοὺς πόνους, γνώμην τε οὐ βέβαιος, καὶ λημμάτων ἥττων, καὶ τῆς ἡδονῆς ἀνδράποδον ἄνθρωπος, οὐτ' ἄν τι τῶν ἀγαθῶν γενναῖον ἐργάσαιτο, καὶ εἰς κακὸν οὐκ ἂν ἀποβαίη μέγα· ὅσοι δὲ φύσιν μὲν ὀξεῖς, καρτερεῖν δὲ πρὸς πάντα δεινοί, ὑπερόπται δὲ καὶ χρημάτων καὶ ἡδονῶν, καὶ γνώμην ἐξαγαγεῖν ἀμετάστρεπτοι, τούτοις δὲ ἄρα καὶ ἰσχύος ποθὲν περιτεθείσης, καὶ εἰς ἀγαθὸν ἡ ῥοπὴ τὰ μέγιστα ἐξανύσειε, καὶ πρὸς τὸ φαῦλον ἐπειδὰν ἀποκλίνωσιν, ἀφόρητοί τε καὶ ἀπαραίτητοι καὶ φίλοις καὶ οἰκείοις καὶ πᾶσι καθίστανται. Οὐ χρὴ τοίνυν δυσφορεῖν, ὅτι μὴ τὰ βέλτιστα παρὰ τοῦ ποτε γενναίου φίλου ἐκκαρπούμεθα· ἀλλ' εὐχαριστεῖν, ὅτι οὐχὶ μόνον μηδὲν λυπηρόν, ἀλλ' ἐφ' οἷς μηδὲ τῶν εἰς ὑπερβολὴν ἡκόντων δυσχερῶν ἐκεῖθεν πειρώμεθα. Εἰ δ' ἐπιστρέψει ποτέ, καὶ πρὸς τὰς συγγενεῖς μετὰ τῆς φιλίας ἀναδράμοι ἀρετάς, ἴσως ἀποκρύψει τοῖς εὐφραίνουσιν ἀγαθοῖς καὶ ὅσα τῶν λυπούντων ἡμᾶς προκατέλαβεν.

---

[1] Ὁσία (ἡ) ὡς οὐσιαστ.=ἡ ὑπὲρ τῶν ἀποθανόντων θρησκευτικὴ τελετή, ὁ ἐνταφιασμός, καὶ τὰ καλούμενα παρ' ἡμῖν μνημόσυνα· λέγεται δὲ καὶ οὐδετ. τὰ ὅσια.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 945)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΑ'.

[3] Ἴσως ἐγέγραπτο τὴν ἀρχὴν "ἐπιστρέψειε" κατὰ τὸ συμπλεκόμενον αὐτῷ "ἀναδράμοι."

Digitized by Google

ΦΩΤΙΟΥ ΕΠΙΣΤΟΛΑΙ.

ΜΕΡΟΣ Δ'.

ΕΠΙΤΙΜΗΤΙΚΑΙ.[1]

ΕΠΙΣΤΟΛΗ ΡΝΖ'.—157.

Βάρδᾳ Μαγίστρῳ Πατρικίῳ καὶ Κουροπαλάτῃ.[2]

Ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προστίθεσθαι ἄλγημα τῆς μὲν ἐμῆς ἴσως ἀθλιότητος ἄξιον, τῆς δ' ὑμετέρας συμπαθείας καὶ περὶ ἡμᾶς διαθέσεως ἀνάξιον· καὶ εἴ τις πεισθείη μὴ κατὰ γνώμην ὑμῶν ταῦτα συμπεσεῖν ἡμῖν, ἀλλά γε τό, ὑμῶν ἐξουσιαζόντων καὶ ἰσχυόντων, ταῦτα πάσχειν ἡμᾶς, ἐπεὶ τοῦτο βλέπει, οὐδ' ἂν μεταπεισθείη. Παρελογί-

---

[1] *Ἐπιτιμητικὰς* τὰς ἐν τῷ τετάρτῳ μέρει περιεχομένας ἐπιστολὰς ἐπεγράψαμεν, ἅτε τοῦ ἱεροῦ Πατριάρχου πολλοὺς ἐν αὐταῖς τῶν τε Κληρικῶν καὶ τῶν ἐν τέλει, καὶ αὐτὸν δὴ τὸν Αὐτοκράτορα Βασίλειον, ἐφ' οἷς ἡμάρτανον, ἐξελέγχοντος, καὶ ἐπιτιμῶντος αὐτοῖς. Τοῦτο δὲ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον φαίνεται πράττων, ἀλλὰ καὶ ὑπὲρ παντὸς ὅπως δήποτ' ἀδικουμένου, καί, τὸ μάλιστα θαυμαστόν, ὑπὲρ αὐτῶν αὐτοῦ τῶν ἐχθρῶν καὶ ὑβριστῶν, τῶν περὶ Ἰγνάτιον, οὓς ἀπηνῶς κατεδίωκε καὶ ἐκόλαζεν ἡ ἐξουσία. Ὑπὲρ τούτων γὰρ τὰς τέσσαρας πρώτας ἔγραψε τῷ Βάρδᾳ ἐπιστολάς, πικρῶς αὐτὸν ἐξελέγχων ἐφ' οἷς τοὺς Ἰγνατίου φίλους κατεδίωκε καὶ παντοίαις ἐκόλαζε βασάνοις, καὶ διαῤῥήδην λέγων, ὅτι διὰ ταῦτα καὶ πρότερον ἀπηρνεῖτο τὴν Πατριαρχείαν ἀποδέξασθαι, καὶ νῦν προθύμως ἀποτίθεται τὸν θρόνον, καὶ τὸν κονιορτὸν αὐτὸν ὑπὲρ τῆς κοινῆς ἁπάντων ὁμονοίας καὶ σωτηρίας ἐκτινάσσων. Οὐχ ἧττον δὲ τρανῶς διαμαρτύρεται κατ' αὐτοῦ, ὅτι Κληρικοὺς κολάζων αὐτός, ἡμίτομον τὴν Πατριαρχικὴν ἀξίαν καθίστησιν, ὡς ἀφαιρούμενος αὐτῆς τὸ τοὺς Κληρικοὺς δικάζειν καὶ κολάζειν κατὰ τοὺς τῆς Ἐκκλησίας θεσμούς· καὶ ἰδίᾳ ὑπὲρ Χριστοδούλου τινὸς καὶ τοῦ Κληρικοῦ Βλασίου, τοῦ τὴν γλῶσσαν ἀποτμηθέντος, διωλύγιον ἀνακράζει καὶ κατοδύρεται (ἴδε τὴν β' καὶ γ' πρὸς Βάρδαν ἐπιστολήν). Ἀλλ' ὅμως, τούτων οὕτως ἐχόντων, οἱ Φωτίου συκοφάνται, Βαρώνιος καὶ Ἰάγερος, οὐκ ὤκνησαν καὶ τοῦτο πρὸς τοῖς ἄλλοις εἰπεῖν, ὅτι ταῦτα ὑποκρινόμενος ἔγραφε, καὶ ὅτι κατὰ τοῦ Βάρδα ἠγανάκτει, οὐχ ὡς κολάζοντος τοὺς Ἰγνατιανούς, ἀλλ' ὅτι τὸν Ἰγνάτιον αὐτὸν οὐ κατεδίωκε μέχρι θανάτου, ἀλλ' ἠρεμεῖν αὐτῷ ἐπέτρεψεν ἐν ἰδίᾳ μονῇ, κ.τ.λ. Πρὸς δὴ τούτους καὶ τοὺς τοιούτους λήρους ἀρκέσει πρὸ παντὸς ἄλλου αὐτῶν τῶν πρὸς Βάρδαν ἐπιστολῶν ἡ ἀνάγνωσις, εἴ τις ταύτας μὴ ἀνίπτοις τοῖς ὀφθαλμοῖς ἀναγινώσκει, ὥσπερ Βαρώνιος καὶ Ἰάγερος, ἀλλ' ὡς φίλος τῆς ἀληθείας καὶ τοῦ δικαίου. Ὅμως δὲ τὴν μὲν Βαρωνίου μωρίαν καὶ μοχθηρίαν ἱκανῶς ὁ σεβάσμιος Μοντακ. ἐξήλεγξε· τὴν δὲ Ἰαγέρου ὁ τῶν Παπιστικῶν ἐλέγχων συγγραφεύς (Τόμ. Α', σελ. 369), ὀρθῶς πρὸς τοῖς ἄλλοις καὶ τοῦτο λέγων περὶ αὐτοῦ, ὅτι τοῦτο μὲν δι' ἀμάθειαν τῆς γλώσσης, τοῦτο δὲ διὰ τὸν κατὰ Φωτίου φθόνον, οὐδαμῶς τὰ ἐν ταῖς ἐπιστολαῖς ταύταις λεγόμενα κατενόησεν, ἀλλὰ παρασάγγας ὅλους καὶ ἐνταῦθα τῆς ἀληθείας ἀποπεπλάνηται.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 617)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Γ'.—Μαγίστωρ μὲν ἡ Μαΐστωρ, καὶ ἄλλως λεγόμενος "ὁ ἐπὶ τῶν δεήσεων" κατὰ τὸν Κοδ. Κουροπαλ. "ὁ δεχόμενος τὰς τῶν αἰτούντων καὶ τῶν ἀδικουμένων ἀναφοράς, καβαλλαρίου διερχομένου τοῦ βασιλέως" (ἴδε Κ. Κουροπ.

Digitized by Google

σθημεν, ἐξυβρίσθημεν, ἠτιμώθημεν, ἐπηρεαζόμεθα, ἐπιβουλευόμεθα. Ἀλλὰ πληγὰς οὐκ ἐλάβομεν· ἐλάβομεν· καί, τὸ χαλεπώτερον, οὐκ ἐπὶ σώματος, ὃ καὶ πᾶσι φαίνεται, καὶ τὸν ἀδικοῦντα ἐλέγχει, καὶ πολλὴν[1] παραμυθίαν τὴν ἀπὸ τῶν ὁρώντων καὶ οἰκτειρόντων εἰσάγει συμπάθειαν· ἐλάβομεν πληγὰς ἐπὶ ψυχὴν αὐτήν, δι' ἣν καὶ τὸ σῶμα νόσῳ μαστίζεται· καὶ ὁ τύπτων, ὡς μὴ ἀδικῶν οὐκ αἰσχύνεται, καὶ ὁ τυπτόμενος προσθήκην δέχεται τιμωρίας ἐπὶ τῇ τῶν πληγῶν ὀδύνῃ τὴν ἀπὸ τοῦ λανθάνειν ἀσπλαγχνίαν· λανθάνει γὰρ τοὺς πολλοὺς τὸ τοιοῦτον εἶδος τῆς κολάσεως, ὃ καὶ τὸν κολάζοντα πλέον εὐθυμεῖ καὶ ἀμετανόητον ἀποτελεῖ, καὶ τὸν κολαζόμενον μᾶλλον δαπανᾷ, εἰ καὶ τὸν μισθὸν μείζω προξενεῖ.

Ἀλλὰ ταῦτα μὲν ὑπὲρ Χριστοῦ καὶ θείων νόμων ὑπέστημεν ἔμπροσθεν· καί γε χάρις Θεῷ, τῷ πλέον αὔξοντι τὸν μισθὸν ἐν τῇ τοῦ λανθάνειν ἀθυμίᾳ καὶ τῇ τῶν παθῶν ἀδοξίᾳ. Καὶ ᾔδειν μὲν ἐμαυτὸν ταῦτα παθεῖν [μελλοντα[2]], εὐθὺς ἀρχομένου τοῦ ἀγῶνος· ἤλπιζον[3] δὲ καὶ πρὸ τοῦ πάθους καὶ πρὸ τοῦ ἀγῶνος (εἰ δὲ μὴ τἀληθῆ λέγω, πάθοιμι παρ' αὐτῶν[4] ὥνπερ ἔπαθον χείρονα)· ἤλπιζον μέν, ὡς ἔφην, ἅπερ ἔπαθον, λυποῦμαι δὲ πάσχων ὑπὸ τοιούτων. Τὸ μὲν γὰρ ἐμὸν τέλος Θεῷ ὥρισται· καὶ δέχομαι χαίρων ὁποῖον ἂν ᾖ τὸ ποτήριον· καὶ οὐχ ὑπὲρ ὧν πάσχω, ἀγανακτῶ, ἀλλ' ὧν με δεῖ παθεῖν καὶ τὰ λείποντα ἐπιζητῶ, εἰ καὶ χωρὶς ἀλγηδόνος ταῦτα φέρειν ἀδυνατῶ· ἀνθρωπίνη γὰρ φύσις ἀναλγήτως πάσχειν οὐ πέφυκεν. Καὶ περὶ μὲν τῶν ἐπισκηψάντων, ἢ καὶ ἐπισκηψόντων ἔτι ἐμοί, οὕτω με δεῖ φρονεῖν, καὶ λογίζομαι· τιμωροὺς δὲ τῶν ἀδικούντων, ἀλλ' οὐκ ἀρχηγοὺς τῶν ἀδικημάτων, ὑμᾶς εὐχόμην εὑρεῖν· ἀλλ' οὔτ' ἐμὲ φυγεῖν ἐστιν, ἃ με δεῖ παθεῖν, οὔτε τὴν ἑτέρων εὐχήν, ἑτέρων γνώμην ἀκόντων, μεταβαλεῖν.

Καὶ τοσαῦτα μὲν πεπόνθαμεν ἔμπροσθεν· ὥσπερ δὲ λείποντος τοῦ κακοῦ, προσεπινοεῖται καὶ τρόπος ἄλλος κακώσεως· καὶ κακοῦνται δι' ἡμᾶς ἕτεροι, καὶ λιμαγχονεῖται Κλῆρος καὶ τῶν ὑπὸ χεῖρα τὸ ἐπισημότερον· ἵν' ἐφ' ἡμῶν ὑποστῆναι τὴν συμφορὰν καὶ λέγοντες καὶ μνημονεύοντες, τὸν ὀνειδισμὸν καὶ τὴν ἀρὰν ἐπὶ κεφαλὴν ἡμῶν ἀναφέρωσιν. Ἐῶ γὰρ εἰπεῖν, ὅτι καὶ ἡμῖν ἡ μάζα μέτρῳ προσρίπτεται, καὶ ἀφαιρεῖται ἀφ' ἡμῶν τὸ ἥμισυ τῆς ἀρχῆς,[5] καλῶς γε ποιούντων τῶν ἀφαιρούντων, καὶ τέχνῃ τὸν καθ' ἡμῶν διωγμὸν ἐπινοούντων. Ἀλλ' εἰ τὴν ἡμετέραν πληροῦντες αἴτησιν (λέγω δὴ τὸ ἐλευθερωθῆναι ἡμᾶς

σελ. 11 καὶ 39). Κουρουπαλάτης δὲ (ἐκ τοῦ Λατ. cura palatii) κατὰ τὸν Εὐάγριον "ὁ τὴν φυλακὴν τῆς αὐλῆς ἐμπεπιστευμένος," ὁ νῦν καλούμενος Αὐλάρχης (Εὐαγρ. Ἐκκλ. Ἱστορ. Ε', 1)· ἴδε καὶ Κ. Κουρουπ. σελ. 9 καὶ 184.

[1] Μοντακ. εἰκάζει γραπτ. εἶναι—πολλὴν πολλάκις·—ἐν μὲν γὰρ τῷ Βοτλεϊανῷ χειρογράφῳ "πολλάκις" ἐγέγραπτο, ἐν ἄλλοις δὲ τοῦτο διὰ τοῦ "πολλήν" διωρθοῦτο.

[2] Ἡμ. διόρθ. ἡ προσθήκη τῆς Μετοχῆς—μέλλοντα,—συναδούσης καὶ τῆς Λατ. μεταφράσεως. "intelligebam probe . . . me haec passurum."

[3] Ἐνταῦθα τὸ "ἤλπιζον" ἐπὶ κακῆς ἐλπίδος ἐκληπτέον, ἀντὶ—ἐδεδίειν—(σημ. Μοντακ.)

[4] Γραπτέον, οἶμαι, "καὶ αὐτῶν" (τῶν παθημάτων δῆλον ὅτι).

[5] Ἀφαιρουμένου δῆλον ὅτι τοῦ τοὺς Κληρικοὺς δικάζειν καὶ τιμωρεῖν κατὰ τοὺς Ἐκκλησιαστικοὺς θεσμούς. Τοῦτο δὲ καὶ παρακατιὼν λέγει. "νυνὶ δὲ καὶ ἡμίτομοι γεγόναμεν . . . ἀλλ' οὔτε τὸν ἡμίτομον ζῆν ἐστι δυνατόν, οὔτε ἡμᾶς ἐνταῦθα μένειν, οὕτω διαιρεθέντας . . . ἐξερχόμεθα τοῦ τόπου . . . καὶ τὸν

Digitized by Google

τοῦ ζυγοῦ καὶ τοῦ φορτίου τούτου) ταῦτα πεποιήκασιν (ἴσως γὰρ καὶ τοῦτο παίζουσι καθ' ἡμῶν), χάρις μὲν αὐτοῖς ὑπὲρ ὧν ἀφεῖλον, λυποῦσι δὲ ὑπὲρ ὧν κατέλιπον, καὶ βραδύνοντες πρὸς τὴν ἀφαίρεσιν τοῦ λοιποῦ, πλέον ἀνιῶσιν, ὥσπερ οἱ καταλιμπάνοντες τὸν ὑπ' αὐτῶν ἀναιρούμενον ἡμιθανῆ καὶ ἡμίτομον, ἢ οἱ ἀθρόως ἀναιροῦντες· ἑκάτερος μὲν γὰρ αὐτὸν ἀναιρεῖ· ἀλλ' ὁ μὲν τῆς ὀδύνης οὐ παρατείνων τὴν αἴσθησιν, ὁ δέ, ζημίαν ὥσπερ ἡγούμενος, εἰ θανάτῳ μόνῳ παραπέμψει τὸν ἄνθρωπον, μὴ πολλὰ πρότερον στρεβλώσας τε καὶ μελίσας, καὶ πολλαπλοῦν αὐτῷ τῇ δριμύτητι τῶν ἀπὸ τῆς κολάσεως ἀλγηδόνων κατασκευάσας[1] τὸν θάνατον. Τοιοῦτον ἔστιν ὁρᾷν καὶ τὸ ἡμέτερον· τιμωρούμεθα καθ' ἑκάστην, καὶ πληττόμεθα· νυνὶ δὲ καὶ ἡμίτομοι γεγόναμεν· καί, ὡς ἔοικεν, ὅτι τὸ ὅλον ἂν ἀποθέσθαι ᾐτησάμεθα, τούτου χάριν τὸ ἥμισυ ἀφῃρήμεθα· καὶ εἰ τὴν διαίρεσιν τῆς ἀρχῆς ἐζητήσαμεν, εἰς τὸ ὅλον ἂν εἰσηκούσθημεν.

Ἀλλ' οὔτε τὸν ἡμίτομον ζῆν ἐστι δυνατόν, οὔτε ἡμᾶς ἐνταῦθα μένειν, οὕτω διαιρεθέντας· αἰσχύνη καὶ ὄνειδος, οὐ τοῖς πρὸ ἡμῶν γεγενημένοις,[2] ἀλλά γε καὶ τοῖς μεθ' ἡμᾶς· εἴπερ ἄρα καὶ εἶεν ὅλως τινὲς ἡμῶν ἀθλιώτεροι, οἳ μεθ' ἡμᾶς ἀνθ' ἡμῶν τουτονὶ τὸν ζυγὸν ὑπελεύσονται. Ἐξερχόμεθα τοῦ τόπου· παυέτω φθόνος· εἰ δὲ μή, λυποῦμέν τινας· μᾶλλον δὲ εἰ μή, κἂν τούτῳ γραφόμεθα. Καὶ τὸν κονιορτὸν ἐκτινάσσοντες[3] ἀποτιθέμεθα τὸν θρόνον· ἀποτιθέσθωσαν τὸν καθ' ἡμῶν δόλον, τὰς ἐπιτηρήσεις, τὰς ἐνέδρας, τὰς ἐπιβουλάς. Ὦ δίκη, καὶ νόμοι, καὶ Θεοῦ κριτήρια! ὅτι μὴ πατοῦμεν ὑμᾶς ἀδικοῦμεν· καὶ ὅτι στέργομεν, οὐ φιλούμεθα· καὶ ὅτι ὑπὲρ ὑμῶν ἱστάμεθα, διχαζόμεθα· καὶ πλάττονται λόγοι· καὶ ὁ καθ' ἡμῶν τι καινότερον ἐπινοῶν, οὗτος ὁ νουνεχὴς καὶ δραστήριος· ὁ δὲ συλλυπούμενος, ἐχθρὸς καὶ παραβάτης νόμων εἰσάγεται, κἂν ἀδελφός ᾖ, καὶ τὴν φύσιν ἔχῃ κινοῦσαν πρὸς ἔλεον. Ποιόν τις ὑπενέγκοι ῥαδίως; ὅτι κριτὰς ἔχομεν τοῦ βίου τοὺς πρὶν ἐπαινέτας, καὶ οἳ χάριν ὡμολόγουν, εἰ μὴ παρ' ἡμῶν κατεκρίνοντο; ὅτι τῶν φίλων χωριζόμεθα; ὅτι τῶν ἀδελφῶν ἀποσπώμεθα; πρὸς ποῖα τούτων τις ὑποστήσεται;

Ἀλλ' ἐρεῖ τις μὴ δεῖν ἀθυμεῖν, Χριστοῦ πάθη καὶ Χριστὸν αὐτὸν εἰς μέσον ἄγων, καὶ τοὺς ὑπὲρ αὐτοῦ μάρτυρας. Ἂν μοι καὶ τὸν προδότην δείξῃ καὶ τὴν κουστωδίαν καὶ τοὺς τυράννους, πολλὴν οὗτος τὴν εὐθυμίαν χαρίσεται· μέχρι δ' ἂν μὴ φανῶσιν οὗτοι,

---

κονιορτὸν ἐκτινάσσοντες ἀποτιθέμεθα τὸν θρόνον κ.τ.λ." Τί τούτων σαφέστερον, εἰρηνικώτερον, Χριστιανικώτερον; Ἥμαρτον, φησί, Κληρικοί; ἡμέτερόν ἐστι δικάσαι καὶ κολάσαι τούτους. Οὐκ ἐᾷς τοῦτο ποιεῖν, ἀλλ' ἁρπάζεις τὸ τῆς Ἀρχῆς ἡμῶν δίκαιον; ἐξέρχομαι τοῦ τύπου, ἀποτίθεμαι τὸν θρόνον. Ὀρθῶς ἄρα καὶ Μοντακ. τοῖς λόγοις τούτοις Φωτίου τάδε ὑποσημειοῖ "Photio autem cur non fidem habeamus suam causam narranti, quam convitiis adversariorum? Οὐχ ἧττον δὲ καὶ Φραγκ. ὁ Φοντάνας τὴν Φωτίου ἀρετὴν καὶ εἰλικρίνειαν θαυμάζει, ταύτας αὐτοῦ τὰς ἐπιστολὰς κατὰ τῶν ἀδίκως αὐτὸν συκοφαντούντων παρατιθέμενος. Ἴδε τὰ περὶ τούτου διὰ μακρῶν ἐν τοῖς Προλεγομ. (§ κή—λά) εἰρημένα.

[1] Ἡμ. διόρθ. ἀντὶ—κατασκευάσοι.

[2] Μοντακ. νομίζει γραπτ. εἶναι "γεγενημένος·" ἀλλ' οὐδαμῶς ἔρρωται ἡ διόρθωσις, οὐδ' ἀνάγκη διορθώσεως οὐδεμία· λέγει γάρ· "αἰσχύνη καὶ ὄνειδος (ἐγενόμεθα) οὐ τοῖς πρὸ ἡμῶν γεγενημένοις, ἀλλὰ καὶ τοῖς μεθ' ἡμᾶς ἐσομένοις."

[3] Κατὰ τὸ παρὰ Ματθαίῳ (Γ', 14)· "Καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν."

Digitized by Google

λόγῳ πλάττων τὴν ὁμοιότητα, ἀσθενῆ τὴν παραμυθίαν παρέχεται. Εἰ μὲν οὖν πλειόνων ξεσμάτων ἔτι καὶ χωνευτηρίων ὁ ἡμέτερος ἀνδριὰς πρὸς κάθαρσιν δεῖται (οὐκ ἐμὸν γὰρ εἰπεῖν, εἰ κεκάθαρται [1]), καὶ ξυέσθω, καὶ τηκέσθω, καὶ χωνευέσθω, Χριστοῦ διδόντος ὑπομονήν, καὶ τῇ ἀσθενείᾳ τῆς φύσεως τὴν βάσανον συμμετροῦντος· εἰ δ' ἡ ὑπερβολὴ τῶν κολάσεων φθάνει δαπανῶσα τὴν δύναμιν, ὁ πλάστης ῥυέτω [2] τὸ πλάσμα τῆς βασάνου· καὶ μηδεὶς ἡμῶν ἕνεκα ὀφθήτω μήτε προδότης, μήτε κουστωδία, μήτε τύραννος· εἶησαν δὲ πάντες ἐκλεκτοὶ Θεοῦ καὶ τῆς ἄνω δόξης ἐπάξιοι.

ΕΠΙΣΤΟΛΗ ΡΝΗ'.—158.

Τῷ αὐτῷ.

Πρεσβεία ὑπὲρ Χριστοδούλου Ἀσηκρῆτις κινδυνεύσαντος. [3]

Εἰ καὶ νῦν ὀχληρὸς εἶναι δόξω καὶ περιττὸς τὸ φιλάνθρωπον, ἀλλὰ τό γε ἐμαυτοῦ ποιεῖν οὐκ ἀφέξομαι, ἴσως μὲν εἰς ἀέρα δέρων, [4] καὶ μάτην πονῶν (ταῦτα γάρ με λογίζεσθαι τὸ πολλάκις διαμαρτεῖν τῆς ἐλπίδος παρεσκεύασεν), ὅσον δ' εἰς ἐμὴν ἰσχὺν ἧκε, [5] τὸ χρέος πληρῶν. Ἄνθρωπος πένης παίζων ἔπραξε τὰ συνήθη αὐτῷ· ἔπαιξε γάρ, εἰ καὶ μὴ πρὸς οὓς ἔδει, μηδ' οἷα, κωμικευσάμενος· μέθη κορυφαῖος ἦν, ᾧ τὰ πολλὰ περιπίπτοντες ἄνθρωποι σφάλλονται· ἔδωκε τῆς ἀκολάστου γλώσσης δίκας, κόλασιν πικρὰν ὑποστάς, τοὺς ἐν τῷ σώματι σφοδροὺς αἰκισμούς. Στήτω μέχρι τούτου τὰ τῆς τιμωρίας· ὁ τοῦ Θεοῦ ναὸς ἱερός, καὶ πᾶσι τοῖς εὐσεβέσιν ἄσυλος, πρὸς ὃν οὗτος κατέφυγε· πρεσβεύει ὑπὲρ αὐτοῦ ὁ τοῦ ναοῦ ἱερεύς, τὸ τοῦ πταίσματος εὐτελές, εἰ βούλει δέ, καὶ τὸ "Ἄφετε καὶ ἀφεθήσεται ὑμῖν," [6] καὶ τὸ "Ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν." [7]

ΕΠΙΣΤΟΛΗ ΡΝΘ'.—159.

Τῷ αὐτῷ.

Περὶ Κληρικοῦ τοῦ Βλασίου κινδυνεύσαντος. [8]

Ἤδειν ἐγὼ καὶ πρὸ πείρας ἀνάξιον ἐμαυτὸν καὶ τοῦ Ἀρχιερατικοῦ βαθμοῦ καὶ τῆς

---

[1] Τὴν παρένθεσιν ταύτην, κακῶς παρὰ τοῖς ἄλλοις κειμένην μετὰ τὸ "φθάνει δαπανῶσα τὴν δύναμιν," εἰς τὸν οἰκεῖον μετέστησα τόπον, ἐξ ἀβλεψίας τινός, ὡς ἔοικε, μετατοπισθεῖσαν.

[2] Γραπτ. ἄμεινον—ῥυέσθω.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 624)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Δ'.

[4] Ἴδε τὰ περὶ τῆς παροιμίας ταύτης ἐν Ἐπιστ. ΨΔ' σημειωθέντα.

[5] Γραπτ. ἴσως—ἧκει.

[6] Ματθ. ΣΤ', 14.

[7] Αὐτόθι, Ζ', 2, καὶ Λουκ. ΣΤ', 38.

[8] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 624)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΤ'.

Digitized by Google

ποιμαντικῆς ἐγχειρίσεως· διὰ τοῦτο γὰρ ἀγόμενος καὶ ἑλκόμενος ἀπεδυσπέτουν πρὸς ταῦτα· ὡς εἴθε θάνατός με τῆς τότε προβολῆς, μᾶλλον δὲ τῆς ἀφορήτου βίας, προανήρπασεν· οὐ γὰρ ἂν τοσούτων καὶ τηλικούτων κακῶν κύματα τὴν ἐμὴν καθ' ἑκάστην ἐβάπτιζον ἐπικλύζοντα τάλαιναν ψυχήν· ὧν ἡ ἐλπὶς καὶ ἡ προσδοκία (δεινὴ γὰρ ἡ τῶν ἀνθρώπων φύσις τὰ μέλλοντα συνιδεῖν δυσχερῆ, ἂν ἐπ' αὐτὴν ἡ χαλεπότης μάλιστα φέρηται) συνετάρασσέ με τότε καὶ συνεῖχεν[1] ὑφ' ὧν βαλλόμενος καὶ πικρῶς ἀλγυνόμενος, ἔκλαιον, ἐδυσώπουν, πάντα μᾶλλον ἐποίουν, ἢ τοῖς ψηφιζομένοις καὶ βιαζομένοις συγκατένευον, παρενεχθῆναι τὸ ποτήριον ἀπ' ἐμοῦ τῶν πολλῶν καὶ πολυτρόπων φροντίδων καὶ πειρασμῶν ποτνιώμενος. Νῦν δὲ αὐτὰ μεταδιδάσκει[2] τὰ πράγματα, καὶ τὴν [ἐμὴν[3]] ἐλέγχει ἀναξιότητα· καὶ οὐκέτι φόβος προσδοκίας, ἀλλ' ὀδύνη στηριζομένη περὶ τὰ καίρια, καὶ στεναγμὸς καὶ ἀμηχανία ἐπὶ τοῖς ἤδη καταλαβοῦσιν. Ὅτε γὰρ ἱερεῖς, ὁποῖοι ἂν καὶ εἶεν, ὁμοῦ πάντας ἐπὶ ἑνὶ πταίσματι πάσχοντας ὁρῶ, τυπτομένους, δημευομένους, φαυλιζομένους, τὴν γλῶσσαν ἐκτεμνομένους (φεῖσαι, Κύριε, τῶν ἁμαρτιῶν ἡμῶν!), πῶς οὐ μακαρίσω τοὺς τετελευτηκότας ὑπὲρ ἐμέ; πῶς οὐ τὸ φορτίον τὸ ἐπιτεθέν μοι οὐκ εἰς ἔλεγχον τῶν ἐμῶν ἁμαρτημάτων λογίσομαι; Ἄνθρωπος ἄπορος, ἀπροστάτευτος, οὐδὲ τὸν νοῦν ἔχων ἀπαθῆ (οἷς ἔλεος μᾶλλον, οὐκ ἀγανάκτησις ἕπεται), ἔπαθεν ἅμα τοσαῦτα κακά· ἐπράθη, ἐτύφθη, ἐφυλακίσθη· τὸ ἀπαραμύθητον, ἀπετμήθη τὴν γλῶσσαν, καὶ ταῦτα ἱερωσύνην φορῶν· ὑπὲρ οὗ πολλάκις ἐπρέσβευσα, ὑπὲρ οὗ πολλάκις ἐδυσώπησα, ὑπὲρ οὗ ὁ μάταιος ἐγὼ καὶ ῥήματα ἀπαθείας ἔλαβον, καὶ οἱ ἰδόντες ἐπίστανται· εἰ δὲ καὶ ἐπελάθοντο οὗτοι, τὸ θεῖον οὐκ ἐπελάθετο. Ποία λοιπὸν ἐλπὶς πρὸς τὰ ἄδηλα, ὅτε περὶ τῶν φανερῶν καὶ ὑπ' ὄψιν κειμένων οὕτως ἀποτυγχάνω καὶ διαπαίζομαι; Πῶς ὑπὲρ ἁμαρτιῶν καὶ ὑμῶν καὶ τοῦ λαοῦ πρεσβεύσας ἐξιλάσομαι, ὅτε πρὸς ὑμᾶς ὑπὲρ ἑνὸς πρεσβεύσας οὕτως ἐξέπεσα, οὕτω παρεκρούσθην; Ταῦτα δακρύων αἵματι ἔγραψα· ἐν σοὶ δ' ἐστὶ τὸ λοιπὸν ἢ πρώτην ἢ τελευταίαν τήνδε τὴν ἐπιστολὴν δέξασθαι. Ἐγὼ γὰρ κατενώπιον Κυρίου λέγω, ὡς, εἰ οὕτως ἐστὶν ὑμῖν σκοπὸς ἐν ταῖς εὐλόγοις ἡμῶν ἱκεσίαις καὶ παρακλήσεσι παρακρούεσθαι ἡμᾶς καὶ ἀποπέμπεσθαι, καὶ εἰ μή τις γένηται τῷ ἀθλίῳ ἐκείνῳ τὸν δυνατὸν τρόπον παραψυχὴ καὶ παράκλησις, οὔτε γράψω, οὔτε ἄλλως πως ἐνοχλήσω, ἀλλ' ἡσυχάσω ἐμαυτὸν ἐπισκοπῶν, καὶ τὰ ἐμαυτοῦ ὀδυρόμενος. Εἰ γὰρ μετὰ τῶν καθημερινῶν, τῶν ἔξωθεν ἡμῖν ἀναφυσωμένων[4] πειρασμῶν καὶ περιστάσεων, καὶ τὴν ἀθλίαν μου προσαπολέσω ψυχήν, ἀθλιώτερος ἂν εἴην πάντων ἀνθρώπων.[5]

---

[1] Ἡμ. διόρθ. ἀντὶ—συνέσχεν.

[2] Γραπτέον, οἶμαι, "αὐτά με διδάσκει."

[3] Ἐκ διορθ. Μιγνίου ἡ προσθήκη τῆς Ἀντωνυμ.—ἐμήν.

[4] Γραπτέον, οἶμαι, "ἀναφυομένων."

[5] Τίς ταῦτ' ἀναγινώσκων, εἰ μὴ τὰς φρένας τύχοι νοσῶν ὅπως δήποτε, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν τοὺς περὶ Βαρώνιον καὶ Ἰάγερον ἀνομολογήσειεν;

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΞ'.—160.

Τῷ αὐτῷ Καίσαρι.[1]

Χαίρομεν ἐπηρεαζόμενοι·[2] ἀλγοῦμεν δέ, ὅτι τοὺς ἐπηρεάζοντας ὑμᾶς ἔχομεν, παρ' ὧν ἡμῖν καὶ προστασίας ἐλπίδες, ἄλλων ἴσως ἐπιτιθεμένων, ἐκρέμαντο· καί, τὸ βαρύτατον, ὅτι ἄδικα πάσχοντες, ἀδικεῖν ἐγκαλούμεθα· καὶ δόλους ῥάπτειν γραφόμεθα, ὑφ' ὧν αὐτοὶ πολλοὺς καθ' ἑκάστην ὑπομένομεν. Χάρις οὖν πάντων ἕνεκα τῷ Σωτῆρι ἡμῶν Θεῷ· καὶ εἰ μὴ τὸν παρόντα βίον πειρατήριον ἤδειμεν, σφόδρα ἂν ἐπὶ τοῖς συμβεβηκόσιν ἀπωλοφυράμεθα. Σὺ δέ, εἰ μή τι ἄλλο τῶν παλαιῶν παραδειγμάτων ἐπὶ νοῦν ἀναλαβεῖν ἐθέλοις, ἀλλὰ τόν γε Ἡρώδου οἶκον, καὶ τοὺς Ἀντιπάτρου τρόπους ἐπισκοπεῖν διανάστηθι·[3] ὅπως ὁ μὲν πολλαῖς μηχαναῖς τὸν ἄνδρα, καίτοι γε καὶ ἀγχίνουν ὄντα, κατὰ τῶν φιλτάτων περιῆλθεν· ὁ δὲ τοῖς ἔξωθεν πᾶσι περιῤῥεόμενος ἀγαθοῖς, καὶ εὐτυχέστατος εἶναι νομισθείς, δυστυχέστατός τε καὶ ἀθλιώτατος γέγονεν· ὅτι φθόνῳ καὶ διαβολαῖς ἀναπετάσας τὰ ὦτα, γένους ἅμα καὶ φίλων, καὶ αὐτῆς γονῆς, τὸν οἶκον ἔρημον ἔδειξεν. Εἴ τι οὖν σοι καὶ ἡμεῖς ἐν φίλων καὶ οἰκείων τάξει λελογίσμεθα, ὅρα, μήποτε τοῖς συκοφάνταις ἑαυτὸν χειροήθη παραστησάμενος, τὸν σὸν οἶκον φίλων καὶ οἰκειοτάτων ἐξερημώσῃς. Εἰ δέ τίς ἐστι καὶ δίκης ὀφθαλμὸς ἐνταῦθα, μὴ νόμιζε τοῦτον διὰ παντὸς καθευδήσειν· ἡμᾶς δὲ πάσχειν ἀδίκως καὶ τὰ ἔσχατα παρεσκευασμένους, οὐ νῦν, ἀλλά γε καὶ πάλαι, τοῖς θείοις ἐντραφέντας, ἴσθι, προστάγμασι, καὶ χάριν ὁμολογεῖν εἰδέναι, εἴ τις ἡμῖν ἐπιτομωτέραν πρὸς τὴν ἐκεῖθεν πολιτείαν τὴν πορείαν συσκευάσοιτο.

ΕΠΙΣΤΟΛΗ ΡΞΑ'.—161.

Θεοδοσίῳ Μονάζοντι καὶ Ἡσυχαστῇ.[4]

Τί θαυμάζεις, εἰ προὐκάθητο μὲν ἐξωφρυωμένον τὸ ἀνίερον, παρίστατο δὲ τῶν Ἀρχι-

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (σελ. 625)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Η'.

[2] Κατὰ τὴν δοθεῖσαν δῆλον ὅτι τοῖς ἀδικουμένοις ἐπαγγελίαν· "Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς" (Ματθ. Ε', 11—13).

[3] Ὁ Ἀντίπατρος υἱὸς ἦν Ἡρώδου ἐκ τῆς πρώτης αὐτοῦ γυναικὸς Δωρίδος. Οὗτος πρὸς τὸν πατέρα τὴν μητρυιὰν διαβάλλων καὶ τοὺς ἐξ αὐτῆς παῖδας Ἀλέξανδρον καὶ Ἀριστόβουλον, ἀποκτεῖναι τοῦτον ἐποίησε τήν τε μητέρα καὶ τοὺς νεανίας· ἀλλ' ἔπειτα καὶ Ἀντίπατρος αὐτὸς ὑπὸ τοῦ πατρὸς Ἡρώδου, ὡς ἐπιβουλεύων τῇ ἀρχῇ, ἀνῃρέθη. Ἴδε Ἰωσήπ. Ἰουδ. Ἀρχαιολ. Λόγ. ΙΕ', ιά, καὶ Λόγ. ΙΣΤ', ιζ'· καὶ Λόγ. ΙΖ', γ', ζ', καὶ θ'.—Ὀρθῶς δὲ Φώτιος συνεβούλευε τῷ Βάρδα τὸν Ἡρώδου οἶκον καὶ τοὺς Ἀντιπάτρου τρόπους ἐπισκοπεῖν, καὶ μὴ συκοφάνταις ὑπέχειν τὰ ὦτα. Φίλων γὰρ χρηστῶν ἔρημος γενόμενος, καὶ ὑπὸ Βασιλείου τοῦ Μακεδόνος καταστασιασθείς, καὶ διαβληθεὶς τῷ ἀνοήτῳ Αὐτοκράτορι Μιχαήλ, κατεκρεουργήθη μετ' οὐ πολύ, ὡς ἐν τοῖς Προλεγομένοις (σελ. 52, σημ. 1) εἴρηται.

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 889)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΙΖ'.—Γέγραπται δὲ καὶ αὕτη ἀπὸ

Digitized by Google

ερέων Θεοῦ τὸ ἐπίσημον; καὶ κρίνειν μὲν ἐλέγετο τὸ κατάκριτον, κατεδικάζετο δὲ ξίφεσι περιεστοιχισμένον ὑπὲρ τοῦ μηδὲ φωνὴν ἀφεῖναι τὸ ἀνεύθυνον; ἔχεις γὰρ πολλὰ καὶ νέα καὶ παλαιὰ παραδείγματα. Ἄννας καὶ Καϊάφας καὶ Πιλάτος ἐδίκαζον, καὶ Ἰησοῦς ὁ ἐμὸς Δεσπότης καὶ Θεός, καὶ κοινὸς ἁπάντων κριτής, παρίστατο ἐταζόμενος.[1] Στέφανος, ὁ καλλίνικος καὶ πρῶτος τῶν Χριστοῦ μαρτύρων, παρίστατο, καὶ τὸ τῆς μιαιφονίας συνέδριον λίθοις θεολογοῦντα τὸν ἀθλητὴν κατεχώννυον.[2] Ἰάκωβος, ὁ πρῶτος Ἀρχιερέων καὶ Δεσποτικῇ χειρὶ τὸ ἱερὸν χρίσμα καὶ τὴν ἐφορείαν Ἱεροσολύμων λαχών, παρειστήκει, καὶ Ἄνανος ὁ ἐκ Σαδδουκαίων ἐκρότει συνέδριον· καὶ θάνατος ἦν εὐθὺς τῷ δικαίῳ τῶν παρανομούντων τὸ ψήφισμα.[3] Παῦλος πάλιν, ὁ μέγας καὶ λαμπρὸς τῆς οἰκουμένης κήρυξ, παρίστατο, καὶ Ἀνανίας, ὁ καθάπερ τοῖς χρόνοις Ἀνάνου πρότερος, οὕτω καὶ τοῖς τρόποις οὐ δεύτερος, τὸ τῆς ἀληθείας στόμα προσέταττε τύπτεσθαι.[4] Ἀλλὰ Παύλου μνησθείς, πολλῶν τοιούτων εὑρήσεις συνεδρίων ἀπαρίθμησιν. Τί δὲ δεῖ καὶ κατ' ἄνδρα λέγειν; πᾶσα τῶν διωκτῶν καὶ τυράννων ἡ κατὰ τῶν ὁμολογητῶν Χριστοῦ καὶ μαρτύρων ὠμότης καὶ ἀπόνοια ὑπάρξει σοι τοῦ λαμπροῦ τούτου συνεδρίου παραδείγματα· ἐν ἅπασι γὰρ ἐκείνοις δῆλον, ὡς οἱ μὲν οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, θανεῖν ἄξιοι μετὰ σοβαροῦ τοῦ φρονήματος προεκάθηντο, νομοθετῶν καὶ κριτῶν περιβεβλημένοι ὄνομα· ὧν δ' οὐκ ἦν

τοῦ δεσμωτηρίου πρὸς Θεοδόσιον τὸν μονάζοντα, ὃς προλαβών, ὡς ἔοικε, Φωτίῳ περὶ τοῦ παρανόμου ἐκείνου συνεδρίου ἐγεγράφει, ἐπὶ τῇ ἀσεβείᾳ καὶ ἀναιδείᾳ τῶν συνελθόντων ἐκπληττόμενος, ὅτι πρὸς τοῖς ἄλλοις καὶ Σαρακηνῶν πρέσβεις ὡς τῶν Πατριαρχικῶν θρόνων τοποτηρητὰς συμπεριέλαβον. Θαυμασίως δὲ τό τε συνέδριον ἐκεῖνο καὶ τὰ ἐν αὐτῷ πεπραγμένα ἐξεικονίζει, εἰ καὶ Βαρώνιος, παρεπομένους ἔχων Ἰάγερον καὶ Τόστην καὶ τοὺς ἄλλους τοὺς τοιούτους, βλασφημεῖν φασι Φώτιον, τοὺς μὲν δικάσαντας αὐτὸν εἰς τὴν τοῦ Ἄννα καὶ Καϊάφα καὶ Πιλάτου τάξιν ἐγκαταλέξαντα, ἑαυτῷ δὲ καὶ τοῖς φίλοις τὴν τοῦ Ἰησοῦ Χριστοῦ καὶ τὴν τῶν Ἀποστόλων καὶ μαρτύρων ἐπιφυλαξάμενον. Ἀλλὰ τοῦτο καὶ μὴ λεγόμενον ὑπὸ Φωτίου οὐκ ἔστιν ὅστις οὐκ ἂν συνεικάσειε, τά τε πρὸ τοῦ συνεδρίου ἐκείνου, καὶ τὰ ἐν αὐτῷ, καὶ τὰ μετ' αὐτὸ γενόμενα συνορῶν, ὡς καὶ ἡμῖν ἀποχρώντως ἐν τοῖς ἔμπροσθεν δέδεικται. (Ἴδε Προλεγ. § μβ'—μέ.) Καὶ ταῦτα μὲν ταύτῃ. Ἐν δὲ τῇ Μοντακουτίου ἐκδόσει τῶν Ἐπιστολῶν, ἤτοι τοῦ ἀντιγράψαντος, ἢ τοῦ ἐκδόντος ἀβλεψίᾳ, εἰς δύο ἡ παροῦσα διῄρηται Ἐπιστολή, ἐν μέσῳ τῶν Μοντακουτίου σημειώσεων παρεντεθειμένων, καὶ τῆς δευτέρας ἀρχομένης ἀπὸ τοῦ "Ἀλλὰ γάρ, εἰ καὶ μέχρι νῦν οὐ τετόλμηται." Ὅτι δὲ μία ἐστὶν ἡ Ἐπιστολή, οἶμαι δῆλον ἅπασιν εἶναι, ἄλλως τε καὶ τῶν παρεντεθειμένων σημειώσεων σαφῶς τοῦτο πᾶσι δηλουσῶν, πλὴν Ἰαγέρου· ὃς καὶ ταύτην μεταφράσας εἰς δύο διεῖλε, καὶ τῆς δευτέρας μάλιστα τάδε προϋταξεν· "Il écrit au même moine une seconde lettre contre les évêques du concile·" ὥσπερ εἰ ἡ πρώτη κατ' ἄλλων ἐγέγραπτο. Ἀλλὰ περὶ τούτων, ὡς ἔοικεν, οὐ φροντὶς Ἰαγέρῳ· σπουδὴ δ' αὐτῷ καὶ πάσης ἐπέκεινα σπουδῆς τὸ Φώτιον ἐξυβρίσαι· τούτου δὲ γινομένου, οὐδὲν διαφέρει τὸ τὴν ἐπιστολὴν καὶ διχῇ καὶ τριχῇ κατατετμῆσθαι· οὐ γὰρ εἰς τὸ τὰ ἀλλότρια διορθῶσαι ἁμαρτήματα τὴν Ἱστορίαν αὐτοῦ συνέπηξεν, ἀλλ' εἰς τὸ διὰ παντὸς λόγου καὶ τρόπου ἐξυβρίσαι τὸν Φώτιον (Hist. de Photius, p. 236—240.). Οὐ μὴν ἀλλὰ καὶ Μίγνιος εἰς δύο τὴν ἐπιστολὴν ταύτην διῃρημένην ἐξέδωκεν.

[1] Ἰωάν. ΙΗ', 13—24 καὶ 28—40. ΙΘ', 1—17.

[2] Πράξ. Κεφάλ. ΣΤ' καὶ Ζ'.

[3] Οὐ περὶ Ἰακώβου τοῦ Ἀποστόλου ταῦτα λέγει, ὃς ὑπὸ Ἡρώδου τοῦ βασιλέως κατεσφάγη (Πράξ. ΙΒ'), ἀλλὰ περὶ Ἰακώβου τοῦ ἀδελφοθέου ἐπικαλουμένου, περὶ οὗ ἴδε Εὐσέβ. Ἐκκλ. Ἱστ. βιβλ. Α', κέ· καὶ Μελετ. Τόμ. Α', σελ. 122—3 καὶ 137.

[4] Πράξ. ΚΓ', 1—5.

Digitized by Google

ἄξιος οὐδ' αὐτὸς ὁ Κόσμος,[1] παρεστῶτες, τὴν ἐπὶ θανάτῳ κατεκρίνοντο. Μηκέτι οὖν ὑπερεκπλήττου τοῖς τετολμημένοις, μηδὲ τὴν ἐπ' αὐτοῖς ἀνοχὴν τοῦ Θεοῦ καὶ μακροθυμίαν ἐγκατάλειψιν αὐτοῦ νόμιζε τῶν ἀνθρωπίνων· οὐ γὰρ εἰς ἀνεπιστάτητον καὶ ἀπρονόητον νῦν (πόθεν;) τὰ τῆς προνοίας περιέστη· ἀεὶ δὲ τὰ ἡμέτερα σοφῇ τινι καὶ ἀπορρήτῳ καὶ ὑπὲρ νοῦν ἐπὶ τὸ ἄριστόν τε καὶ θαυμασιώτατον μεθοδεύεται οἰκονομίᾳ.

Ἀλλὰ γάρ, εἰ καὶ μέχρι νῦν οὐ τετόλμηται, οὐδ' ἔστιν ἔχον παράδειγμα, Ἰσμαηλιτῶν ἀθέων πρέσβεις καὶ ὑπηρέτας εἰς Ἀρχιερατικοὺς ἄνδρας μεταπλάσαι, καὶ Πατριαρχικὰ τούτοις προνόμια περιθεῖναι, καὶ τοῦ θαυμασίου αὐτῶν συνεδρίου κορυφαίους ἀποφῆναι, ἀλλ' οὖν μηδὲ τοῦτό σε ξενιζέτω·[2] ἀκόλουθόν τε γὰρ ταῖς ἄλλαις αὐτῶν τόλμαις, καὶ ἤδεσαν τῆς Ἱερωσύνης τὴν χάριν αὐτοῖς τε κἀκείνοις ἐξ ἴσου ἀνήκειν. Οὔτε οὖν τούτους ἦν εὑρεῖν, ἀνιέρους γεγονότας, ἑτέρου συνεδρίου πλήρωμα γενέσθαι, οὔτε ἐκείνους, μισοχρίστων ἀποστόλους ὄντας, ἄλλων τινῶν κορυφαίους καὶ ἐξάρχους, εἰ μὴ τούτων, ἀναῤῥηθῆναι. Τίνες δ' ἂν αὐτοῖς καὶ συνῆλθον, κατὰ τοσούτων καὶ τηλικούτων Ἀρχιερέων Θεοῦ καὶ ἱερέων συνεκμανῆναι, εἰ μὴ θεομάχων βαρβάρων καὶ ὑπηρέται, καὶ θρέμματα, καὶ γεννήματα; Τὸ δὲ κριτήριον μὲν καὶ σύνοδον τὴν μιξοβάρβαρον αὐτῶν ἐνέδραν ἀποκαλέσαι,[3] εἶτα δὲ μήτε μάρτυράς ποθέν τινος ἀδικήματος, μήτε κατηγόρους παραστῆσαι, ἀλλὰ μηδὲ κατηγορίαν τινὰ προενεγκεῖν ἐξισχῦσαι, καίτοι τῶν ἄνω κάτω γενομένων, μήτε μὴν ὅλως τι αἰτιάσασθαι, εἰ τόδε τι γέγονεν, εἰ μὴ τόδε, ξιφήρη τε στρατὸν περιστῆσαι,[4] τὸν θάνατον τοῖς ἀθληταῖς ἀνασείοντας, ὥστε μηδὲ φωνὴν ἀφεῖναι, καὶ τὴν στάσιν αὐτοῖς ἐφ' ὅλαις ἓξ καὶ ἐννέα ὥραις, οἷα κόρον οὐκ ἔχοντας ἐνασελγαίνειν καὶ τρυφᾷν αὐτῶν ταῖς ὕβρεσι, παρατεῖναι, μακρᾶς ἄλλης τερατείας ἐπιδεικνυμένης, καὶ δραμάτων, ὥσπερ ἐπὶ σκηνῆς, ἄλλων ἐπ' ἄλλοις τῶν βαρβαρικῶν καὶ βλασφήμων γραμμάτων ἐπισειόντων, ἐπὶ δὲ τούτοις τὸ θέατρον λύοντας ὀψὲ καὶ μόλις, τῶν ἀνθρωπίνων μὲν ὅλως οὐδέν, κἂν γοῦν ἐν σχήματι, μήτε πράξαι, μήτε φθέγξασθαι, ὥσπερ δὲ κορυβαντιῶντας καὶ βεβακχευμένους τορόν τι καὶ διωλύγιον ἀνακράξαι, Ὡς ἡμεῖς οὔτε κρίνειν συνήλθομεν, οὔτε κρίνομεν ὑμᾶς· ἤδη γὰρ κατεκρίναμεν, καὶ δέον στέργειν τὴν κατάκρισιν·[5] τοῦτο δὴ οὖν, τοῦτο τὸ ἄθεον καὶ ἀναίσχυντον καὶ ἀνιστόρητον τόλμημα, εἰ καὶ πάσας Ἰουδαίων τόλμας, ὅσας ἥλιος ἐπεῖδε, καὶ σελήνη συνέκρυψεν, ἀπεκρύψατο, καὶ τῶν ἀθεότητα νενοσηκότων Ἑλλήνων τὸ ἀναιδὲς ὑπερέσχε καὶ παράνομον, καὶ βαρβά-

---

[1] Πρὸς Ἑβρ. ΙΑ', 38.

[2] Ἴδε Προλεγομ. § μγ' καὶ μδ'.

[3] Τούτου καὶ τῶν ἄλλων τῶν μετ' αὐτοῦ συνδεδεμένων Ἀπαρεμφάτων ἡ ἀπόδοσίς ἐστιν ἐν τῷ " ἀλλ' οὖν μηδὲν τούτῳ καταπεπληγμένος ἔσο." Ἐσχημάτισται δὲ ὁ λόγος ἐν σχήματι ἀνακολούθῳ διὰ τὴν μακρὰν μεταξυλογίαν, εἰς ἣν τὴν τοῦ συνεδρίου ἐκείνου βίαν καὶ παρανομίαν διεξιὼν ἐνέπεσεν· ἔδει γὰρ εἰπεῖν, ὡς ἐν τῷ προλαβόντι λόγῳ—ἀλλ' οὖν μηδὲ ταῦτα σε ξενιζέτω.

[4] Δῆλον ἐντεῦθεν, ὅτι μεγίστη ἦν ἡ τοῦ λαοῦ ὑπὲρ τοῦ ἀδικουμένου Πατριάρχου συμπάθεια· καὶ διὰ τοῦτο δεδιότες, μή τι γένοιτο, ξιφήρη στρατὸν τῇ ψευδοσυνόδῳ ἐκείνῃ περιέστησαν.

[5] Ἴδε Προλεγόμ. ἔνθ. ἀνωτ. σελ. 50.

Digitized by Google

ρων ὅποι γῆς εἰσι τὸ μανικὸν ὑπερεβάλετο καὶ ἐμβρόντητον—ἀλλ' οὖν μηδὲν τούτῳ[1] καταπεπληγμένος ἔσο, μηδὲ τῶν θείων καὶ σοφῶν κριμάτων ἀλόγιστός τις τοῖς λογισμοῖς συμπαρεισδυέτω μῶμος· ὡς ἔγωγε τοσούτου[2] δέω τούτοις ἐκπεπλῆχθαι (καὶ σὺ μετ' ὀλίγον, οἶδα, συνήσεις), ὥστε τοὐναντίον, εἰ καὶ παράδοξόν τισι δόξω λέγειν, ἐκ τούτων μάλιστα τὸ[3] τῆς θείας καὶ ὑπερφυοῦς προνοίας ἀλάθητόν τε καὶ πανεπίσκοπον ἐναργεστάταις ὁρῶ μαρτυρίαις. Πῶς δή; καὶ τίνα τρόπον; ὅτι τῆς κρατούσης κατὰ τῶν πιστῶν ὀργῆς, ἀνθ' ὧν αἱμάτων καθαρὰς καὶ γλώσσας καὶ γνώμας ἐφύλαξαν,[4] οὕτω μέγα καὶ βαρὺ πνεούσης, καὶ τῆς μὲν ἀληθείας πᾶσι τρόποις ἐπηρεαζομένης, τοῦ ψεύδους δὲ λαμπρῶς παῤῥησιαζομένου, καὶ τῆς μὲν ἀνιέρου τόλμης πᾶσαν πρᾶξιν καὶ λόγον καὶ κίνημα πικρῶς πολυπραγμονούσης, τῶν εὐσεβῶν δὲ τοῖς ὁρωμένοις μόνον ἐπιστυγναζόντων, καὶ πρὸς τὸν τῆς δίκης ὀφθαλμὸν ὄμμα τε καὶ χεῖρας ἀνατεινόντων, καὶ τῶν μὲν συκοφάντας καὶ μάρτυρας περιεργαζομένων, πολλῶν δὲ ζητούντων τῇ δυναστείᾳ χαρίσασθαι, καὶ καθ' ἡδονὴν ὑπηρετῆσαι, πλείνος δὲ φόβου καὶ θανάτου κατὰ πάντων τῶν ὑπὲρ ἀληθείας λέγειν τι βουλομένων ἐπικεχυμένου—τὸ γοῦν, τοσούτων αὐτοῖς, καὶ πολλῷ πλειόνων, πλεονεκτημάτων συγκεχωρημένων, ἐξαπορῆσαι μὲν ὅλως γράψασθαί τινα γραφήν, ἐξαπορῆσαι δὲ γραφόμενον παρασχεῖν, καὶ μήτε τινὸς ἐπικλήματος κατὰ μηδενὸς τῶν ἁγίων μάρτυρα παραστῆσαι, ἀλλὰ μηδὲ βαρβαρικοῦ κριτηρίου μηδὲ σχῆμα ἰσχῦσαι φυλάξαι, ἀλλ' οὕτως αἰσχρῶς τε καὶ καταγελάστως καὶ πλήρη ἀσχημοσύνης καὶ αἰσχύνης ἀπαλλάξαι, πῶς οὐκ ἔστιν ἐναργεστάταις καὶ ἀναμφιρήστοις πίστεσι λαβεῖν τῆς πάντα σοφῶς περιεπούσης προνοίας τὰς ἀποδείξεις, καὶ ὅτι ἔστιν ἀεί, κἂν[5] τὸν ἀνθρώπινον νοῦν πολλάκις ὑπολανθάνῃ, συμπροϊοῦσά τις αὐτῇ τιμωρὸς δίκη, κολάζουσα μὲν τοὺς ἀδικοῦντας, τιμωροῦσα δὲ καὶ ἐπίκουρος τοῖς ἀδικουμένοις οὖσα; Δι' ἧς καὶ νῦν τοὺς μὲν ὑβριστάς, καίτοι δόξαντας λαμπροὺς ἐν τῷ τυραννεῖν καὶ περιβλέπτους, αἰσχύνης καὶ ἀτιμίας ἐπλήρωσε,[6] τοὺς δὲ ἀθλητάς, καίπερ τὰ ἔσχατα πάσχειν νομισθέντας, χαρᾶς καὶ εὐφροσύνης ἐνέπλησε, καὶ γλώσσης ἁπάσης διηνεκέσιν εὐφημίαις, οἷα δὴ στεφάνοις ἀμαραντίνοις, ἐκόσμησε· τοὺς μὲν τῶν ἀνοσίως αὐτοῖς τετολμημένων ἐκ τούτων ἀπαρχομένη τὰς τιμωρίας εἰσπράττεσθαι, καὶ προοιμιαζομένη τὴν ἐκεῖθεν αὐτοῖς ἀπαραίτητον ἀθλιότητα, τοῖς δὲ[7] τῶν ἄθλων ἀμειβομένη, καὶ ὥσπερ ἀῤῥαβῶνά τινα κατατιθεμένη τῶν ἐκεῖθεν ἀῤῥήτων ἐπάθλων καὶ τῆς πολυεράστου καὶ ἀϊδίου μακαριότητος.

---

[1] Ἴσως ἐγέγραπτο τὴν ἀρχήν—μηδ' ἐν τούτῳ.

[2] Ἡμ. διόρθ. ἀντί—τοσούτῳ.

[3] Προσέθηκα τὸ ἄρθρον—τό—ἐλλεῖπον παρὰ τοῖς ἄλλοις.

[4] Δῆλον ἐντεῦθεν, ὅτι τῆς κατὰ Φωτίου ὀργῆς τοῦ Αὐτοκράτορος Βασιλείου μόνη ἐγένετο αἰτία ἡ εὐσεβὴς τοῦ ἱεροῦ Πατριάρχου παῤῥησία, πρός τε τὰς ἄλλας αὐτοῦ κακουργίας ἀνθισταμένου, καὶ δὴ καὶ ὡς μιαιφόνον αὐτὸν δημοσίᾳ ἐλέγξαντος, καὶ ἀνάξιον τῆς θείας κοινωνίας ἐπ' Ἐκκλησίας κηρύξαντος. Ἴδε τὰ περὶ τούτου ἐν τοῖς Προλεγομ. (§ μ') ἱστορηθέντα.

[5] Ἐκ διορθ. Μοντακ. ἀντὶ—καί—Ἴσως δ' ἐγέγραπτο τὴν ἀρχήν " εἰ καί."

[6] Αἰνίττεται ἴσως τὴν ἐπελθοῦσαν τοῖς τοῦ παρανόμου ἐκείνου συνεδρίου μετασχοῦσιν αἰσχρὰν μεταμέλειαν, καὶ τὴν κατ' αὐτῶν ἐξεγερθεῖσαν τοῦ λαοῦ κατακραυγήν. Ἴδε Προλεγομ. § μδ'.

[7] Γραπτ. οἵμαι—τοὺς δέ.

Digitized by Google

Ἔχεις, οἶμαι, τρανῶς καὶ οὐδὲν ἐπιδιστάζων τῆς θαυμασίας καὶ ὑπερφυοῦς προνοίας τὸ ἀλάθητόν τε καὶ πανεπίσκοπον· καὶ ὅτι κἂν τοῖς δοκοῦσι παραλογωτάτοις ἀπορρίπτῳ τινὶ καὶ ἀπειροδυνάμῳ κράτει καὶ σοφίᾳ τὰ δίκαια αὐτῆς καὶ ἀῤῥεπῆ συνεπιζευγνῦσα φυλάττει ζυγά, εἰρμόν τινα θεῖον ἐν αὐτοῖς καὶ τάξιν ἀρίστην καὶ καλλίστην ἐνιεῖσα, εἰ καὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς διὰ βάθος κριμάτων ἀνεξιχνίαστον καὶ σοφίας ἀδιεξίτητον πέλαγος οὐκ ἀεὶ πέφυκε γίνεσθαι ἐφικτά.

ΕΠΙΣΤΟΛΗ ΡΞΒ'.—162.

Μιχαὴλ Μητροπολίτῃ Μιτυλήνης.[1]

Ὥσπερ τοὺς τοῦ Δεσπότου μαθητὰς τὸ μισόχριστον τῶν Ἰουδαίων συνέδριον ἀποσυναγώγους ποιήσαντες, ἐκείνους μὲν μᾶλλον τῷ Διδασκάλῳ καὶ Δεσπότῃ προσῳκείωσαν, ἑαυτοὺς δὲ τέλεον καὶ τῆς θείας μυσταγωγίας καὶ τῆς οὐρανῶν βασιλείας ἠλλοτρίωσαν, οὕτω καὶ νῦν οἱ τῶν Ἰουδαίων μιμηταὶ τοὺς τῶν Ἀποστόλων ζηλωτὰς ἀποσυναγώγους ποιήσαντες, ἡμᾶς μὲν τοῖς θεσπεσίοις ἐκείνοις καὶ αὐτόπταις τοῦ λόγου συνῆψάν τε μᾶλλον καὶ συνήνωσαν (ἡ γὰρ κοινωνία τῶν παθῶν ἀκριβεστέραν ποιεῖται τὴν ἐν βίῳ καὶ πίστει συνάφειαν), ἑαυτοὺς δὲ καὶ τῆς ἐκείνων διδασκαλίας καὶ τῆς ἡμετέρας ὀρθοδοξίας ἐλεεινῶς τε καὶ ἀθλίως ἐναπέτεμον· καὶ τῆς Χριστιανῶν ὅλως καὶ κλήσεως καὶ πολιτείας τὴν ἑαυτῶν μοῖραν διχάσαντες, εἰς τὴν τῶν Ἰουδαίων, οὓς παρεζήλωσαν, καὶ Χριστομαχίαν καὶ μιαιφονίαν φερόμενοι ἐκπεπτώκασιν.[2]

ΕΠΙΣΤΟΛΗ ΡΞΓ'.—163.

Ἰγνατίῳ Μητροπολίτῃ Κλαυδιουπόλεως.[3]

Ἦν ποτε φευκτὸν καὶ φοβερὸν τὸ ἀνάθεμα, ὅτε κατὰ τῶν ἐνόχων τῆς ἀσεβείας ὑπὲρ τῶν τῆς εὐσεβείας κηρύκων ἐφέρετο· ἀφ' οὗ δὲ ἡ τολμηρὰ καὶ ἀναίσχυντος τῶν ἀλαστό-

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 833)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΙΣΤ'. Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου* (σελ. 910, *ἔκδ. Οἰσχελίου*), *καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ, αὕτη τε καὶ αἱ ἀμέσως ἑπόμεναι δύο, Γαλλιστὶ μεθηρμηνευμέναι* (σελ. 241)· *οὐχ ἁπλῶς δέ, ἀλλὰ τοῖς συνήθεσιν Ἰαγέρου προλόγοις κεκοσμημέναι.*

[2] *Γραπτ. ἄμεινον—ἐμπεπτώκασιν.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 833)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΙΕ'. Περὶ δὲ τοῦ ἀσεβεστάτου ὀκταφώνου ἀναθέματος, ὃ τὸ παράνομον ἐκεῖνο συνέδριον κατὰ Φωτίου ἐξεφώνησεν, ἴδε Προλεγ. § μδ', ἔνθα καὶ μικρόν τι διορθωτέον παρόραμα ἐν τῷ τῆς παρούσης ἐπιστολῆς ἀποσπάσματι, "φευκτὸν" ἀντὶ "φρικτὸν" ἀναγινώσκοντας.*

Digitized by Google

ρων ἀπόνοια, παρὰ πάντα θεσμὸν θεῖόν τε καὶ ἀνθρώπινον, καὶ παρὰ πάντα λόγον Ἑλληνικόν τε καὶ βάρβαρον, τὸ οἰκεῖον ἀνάθεμα κατὰ τῶν προμάχων τῆς ὀρθοδοξίας ἀναστρέφειν ἐφρυάξατο, καὶ τὴν βαρβαρικὴν μανίαν Ἐκκλησιαστικὴν παρανομίαν[1] *ἐφιλονείκησαν ἀπεργάσασθαι, αὐτίκα καὶ τὸ φρικτὸν ἐκεῖνο καὶ ποινῆς ἁπάσης πέρας ἔσχατον εἰς μύθους καὶ παίγνια μεταπέπτωκε· μᾶλλον δὲ τοῖς εὐσεβέσι καὶ αἱρετὸν παρεσκεύασται. Οὐδὲ γὰρ οὐδ' ἡ πάντολμος τῶν ἐχθρῶν τῆς ἀληθείας γνώμη τὰς ποινάς, καὶ μάλιστα τὰς Ἐκκλησιαστικάς, ποιεῖ φοβερὰς, ἀλλὰ τῶν πασχόντων τὸ ὑπεύθυνον, ὡς τό γε ἀνεύθυνον καὶ εἰς χλεύην τὰς ἐκείνων τιμωρίας τρέπει, καὶ κατ' ἐκείνων τὸ δικαίωμα τῆς τιμωρίας ἀναστρέφει, καὶ τῷ ὑπ' αὐτῶν τιμωρουμένῳ στεφάνους ἀκηράτους καὶ ἀθάνατον δόξαν ἀντὶ ποινῆς ἀπεργάζεται. Δι' ὃ καὶ ἕκαστος τῶν εὐσεβῶν καὶ ἁγίων ὑπ' αὐτῶν ἠλλοτριωμένων Χριστοῦ μυριάκις αἱρεῖται προπηλακίζεσθαι καὶ ἀναθεματίζεσθαι, ἢ τοῖς αὐτῶν μισοχρίστοις καὶ θεοστυγέσι μετὰ λαμπρᾶς τῆς εὐφημίας κοινωνῆσαι πονηρεύμασιν.*

ΕΠΙΣΤΟΛΗ ΡΞΔ'.—164.

Γρηγορίῳ Διακόνῳ καὶ Χαρτουλαρίῳ.[2]

Ἀνεθεμάτισαν ἡμᾶς χρόνοις μακροῖς πᾶσα σύνοδος αἱρετικὴ καὶ πᾶν εἰκονομάχων συνέδριον· οὐχ ἡμᾶς δὲ μόνον, ἀλλὰ καὶ πατέρα καὶ θεῖον ἡμέτερον, ἄνδρας ὁμολογητὰς Χριστοῦ, καὶ Ἀρχιερέων σεμνολόγημα· ἀλλ' ἀναθεματίσαντες εἰς τὸν Ἀρχιερατικὸν θρόνον ἡμᾶς ἀνήγαγον καὶ μὴ θελοντας. Ἀναθεματιζέτωσαν τοιγαροῦν καὶ νῦν οἱ παραπλησίως ἐκείνοις τῶν Δεσποτικῶν ἐντολῶν ἀλογήσαντες, καὶ παρανομίας ἁπάσης πλατεῖαν τὴν πύλην καὶ εὐρύχωρον ἀναπετάσαντες, ἵνα καὶ αὐτοὶ ἀπὸ γῆς εἰς τὴν οὐράνιον ἡμᾶς βασιλείαν καὶ ὀκνοῦντας ἀναβιβάσωσιν.[3]

---

[1] *Γραπτέον, οἶμαι—προνομίαν.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 877)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΙΓ'. Σημειωτέον δέ, ὅτι παντα-χοῦ μὲν τοιαύτην ἐτηρήσαμεν τάξιν, οἵαν τῶν ἐν ἑκάστῳ μέρει Ἐπιστολῶν πρώτας μὲν δεικνῦναι τὰς πρὸς τοὺς ἀδελφοὺς Φωτίου, ἔπειτα δὲ τὰς πρὸς τοὺς Μητροπολίτας, Ἀρχιεπισκόπους, Ἐπισκόπους, Πρεσβυτέρους, Διακόνους, Μοναχούς κ.τ.λ. Ἐνταῦθα δὲ διὰ τὴν ταὐτότητα τῆς ὑποθέσεως, περὶ ἧς αἱ τρεῖς ἐπιστολαὶ πραγματεύονται, τὸν Διάκονον Γρηγόριον τοῖς Μητροπολίταις παρενετάξαμεν. Λόγῳ δὲ χρονολογικῷ τὰς πρὸς τὸν Αὐτοκράτορα Βασίλειον δύο καὶ τὴν πρὸς τὸν ἀδελφὸν Ταράσιον τελευταίας ἐν ταῖς ἐπιτιμητικαῖς ἐτάξαμεν· οὐ πολλῷ γὰρ μετ' ἐκείνας εἰς ἑαυτὸν ἐλθὼν ὁ Βασίλειος, ἀνεκαλέσατο ἀπὸ τῆς ὑπερορίας τὸν θεῖον ὡς ἀληθῶς Φώτιον.*

[3] *Ἐκ διορθ. Μοντακ. ἀντὶ—ἀναβιάσωσιν.—Σημειωτέον δέ, ὅτι ταῦτα Φωτίου τὰ ῥήματα ὁ εὐσεβέστατος Ἰάγερος αὐθάδειαν καὶ ἀναίδειαν ἀποκαλεῖ, ἅτε δὴ καὶ ταῦτα μετὰ πολλῶν ἄλλων ἤτοι μηδόλως νοήσας, ἢ ἐπίτηδες παρανοήσας· οὐ γὰρ ταῦτα λέγων ἑαυτὸν ἀποσεμνύνει Φώτιος, ἀλλὰ τὴν θείαν δείκνυσιν ἐπαγγελίαν ἆθλον ἀποκειμένην τοῖς ἕνεκεν δικαιοσύνης διωκομένοις, καὶ πρὸς ταύτην ἀφορᾷν διδάσκει ἐν πίστει σταθερᾷ καὶ ὑπομονῇ· ἑαυτὸν μὲν οὖν μετριοφρόνως ἀποφαίνεται ἀνάξιον τῆς τῶν οὐρανῶν βασιλείας (" ὀ κ ν ο ῦ ν τ α ς ἀναβιβάσωσιν "), τοὺς δὲ διώκτας αὐτοῦ παρίστησι, δι' ὧν ἀπηνῶς αὐ-*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΞΕ'.—165.

Ἰωάννῃ Μητροπολίτῃ Νικομηδείας.[1]

Οὔτε παίζειν οἶδα, οὔτε παιζόντων ἀνέχεσθαι. Εἰ οὖν οὕτως ἦς αὐτὸς ἀρχαῖος καὶ ἁπλοῦς, ὥστε μηδ' ἡμᾶς προπηλακιζομένους αἰσθάνεσθαι οἴεσθαι, οὐκ ἔδει σε κακουργεῖν, ἵνα σου τὸ ἁμάρτημα ἡ τῶν ἠθῶν ἁπλότης ἐδείκνυ κουφότερον. Ἐπεὶ δὲ καὶ τὴν αἴσθησιν ἡμῶν, δι' ὧν ἐτόλμησας, μελέτην ἔθου λῃστεῦσαι, καὶ δυστροπίᾳ τὴν καθ' ἡμῶν ὕβριν ηὔξησας, οὐδεμίαν ἔχεις ἀναχώρησιν εἰς τὴν νυνὶ παρὰ σοῦ σκηνοποιουμένην κουφότητα. Πλήν, ἵνα μὴ δόξω τὸν ἔλεγχον ἐπάγειν, οὐ διορθώσεως, ἀλλὰ κολάσεως ἕνεκα, ὅτε τῇ παντεφόρῳ δίκῃ δίκας εἰσπράττεσθαι τῆς εἰς ἡμᾶς κακουργίας καὶ ὕβρεως, ὡς αὐτὸς ὁρᾷς, ἐάλως, τότε σε τῆς σῆς δικαίας ποινῆς ἐκὼν ἀδικοῦντα ἀφίημι, τοῦτο μόνον ἐπειπών, ὡς μεμνῆσθαί σε χρή, ὅτι μὴ τῇ σῇ τῶν τρόπων κακοηθείᾳ καὶ δεινότητι (ἐφ' οἷς ἴσως μέγα φρονεῖς), τῇ δ' ἡμετέρᾳ τῶν ἐπιβουλευθέντων χρηστότητι (Χριστοῦ γάρ ἐσμεν μαθηταί) τὴν τιμωρίαν διέφυγες.

ΕΠΙΣΤΟΛΗ ΡΞΣΤ'.—166.

Θεοδώρῳ Μητροπολίτῃ Λαοδικείας.[2]

Εἰ τέλος παιδείας τὸ ἑαυτὸν αἰσχύνεσθαι, ἐσχάτης ἀπαιδευσίας τὸ μηδὲ τοὺς ἄλλους αἰσχύνεσθαι· τὸ δὲ καί, ἐφ' οἷς ἐγκαλύπτεσθαι προσῆκεν, ἐγκαλλωπίζεσθαι ὑπερόριον καὶ τῆς ἀνθρωπίνης κακίας.

τὸν κατεδίωκον, εἰς τὴν οὐράνιον ἀναβιβάζοντας βασιλείαν· εἴρηται γάρ, "Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν" (Ματθ. Ε', 10). Ποῦ τοίνυν ὁ πάντ' αὐθάδης Ἰάγερος τὴν Φωτίου ἀνευρίσκει αὐθάδειαν καὶ ἀναίδειαν; Ἴσως οὐκ ἂν εἰς τοσαύτην ἐξώκειλεν αὐτὸς αὐθάδειαν καὶ ἀναίδειαν, εἰ τοῦ θείου ἐκείνου ἀνεμιμνήσκετο λογίου, τοῦ τὴν πηγὴν τῶν τε ἀγαθῶν καὶ πονηρῶν καταδείξαντος· "Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά." Διὰ τοῦτο καὶ ὁ Σωτὴρ ἡμῶν ἔλεγε τοῖς Φαρισαίοις· "Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες;" (Ματθ. ΙΒ', 34—35.

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 824)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΙΖ'.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 828)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΟΑ'. Ταύτῃ δὲ τῇ ἐπιστολῇ τὰς πρὸς τὸν αὐτὸν ἓξ παραινετικὰς παρατίθει (ΠΣΤ'—ΨΒ'), ὅπως ἴδῃς, ὅτι κλονούμενον τὸν Μητροπολίτην τοῦτον φόβῳ τῶν ἰσχυρῶν, ὡς ἔοικε, στηρίζειν ἐπειρᾶτο, καὶ γενναῖον ἀπεργάσασθαι· οὐ μὴν ἀντισχόντα τῷ φόβῳ τῶν διωγμῶν καὶ μεταβαλόμενον ἐλέγχει δικαίως, καὶ ἐπιτιμᾷ διά τε ταύτης καὶ τῆς ἀμέσως ἑπομένης ἐπιστολῆς.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΞΖ'.—167.

Τῷ αὐτῷ.[1]

Ἀρότρῳ μέν, ὡς ἡ παροιμία φησίν, ἀκοντίζεις,[2] ἀντὶ τοῦ μετανοεῖν θρασυνόμενος· οὐ γὰρ μετανοίας, ἀλλ' ἀπονοίας, ἑαυτῷ τῶν ἐσφαλμένων ἐπιτρέπειν τὴν συγγνώμην. Εἰ δέ σοι καὶ ληρεῖν δόξαιμι, ἔσται σοι οὐκ εἰς μακρὰν τὸ παροιμιῶδες συνεχῶς ἐπ' ἔργοις ᾀδόμενον, Ἄρτι μῦς πίττης γεύεται.[3]

ΕΠΙΣΤΟΛΗ ΡΞΗ'.—168.

Παύλῳ Μητροπολίτῃ Λαοδικείας.[4]

Οἱ δραπέται τούς ποτε τὴν πρᾶξιν αἰτιωμένους πείθοντες συνδραπετεύειν, οὐ μόνον οὐδενός, ὧν αἰτιῶνται, ἀφίενται, ἀλλὰ καὶ διπλῆς αἰτίας σφᾶς αὐτούς, μᾶλλον δὲ πολλαπλῆς, ἐνόχους δεικνύουσιν. Οὐ γὰρ ἡ κοινωνία τοῦ ἀδικήματος τὴν ἐλευθερίαν πραγματεύεται τῷ κἀτάρχοντι, ἀλλ' ἡ τῶν παραζηλούντων μίμησις αὔξησίς ἐστιν ἀδυσώπητος τοῦ ἐξ ἀρχῆς ἀδικήματος, λιποταξίου δίκην ὄφλων, καὶ φυγάς, καὶ ἀρχηγός, καὶ πείθων ἄλλους μιμεῖσθαι, καὶ τὸ βαρύτερον, καὶ τοὺς ὅσοις ἦν ἡ τοιαύτη πρᾶξις, πρὶν ὑπανδραποδισθῆναι, μέγα ὅρκιον. Ὅρα δὴ λοιπόν, ὅρα, μᾶλλον δὲ συνορᾶτε (δίδωμι γάρ σοι κοινωνὸν τῆς βουλῆς τὸν γνήσιον τῆς φυγῆς μαθητήν), τίνα μέλλεις λόγον ἔχειν, ὅτε σε τῶν τηλικούτων τὰς εὐθύνας βουληθείη Θεὸς εἰσπράττεσθαι.[5] *Ἀλλ' ἔῤῥωσο· καὶ μηκέτι μήτε σὺ δραπέτην ἔχε λογισμόν, μήτε δραπετεύειν ἄλλους ὑπόθελγε· καὶ τὰ τῆς ἀφύκτου καὶ φοβερᾶς δίκης εἰς μόνας ἀπειλὰς διαλέλυται.*

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 837)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΟΓ'. Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 210, ἔκδ. Οἰσχελίου).*

[2] *Ἀρότρῳ ἀκοντίζειν, παροιμία ἐπὶ τῶν ἀπερισκέπτως τι ποιούντων, καὶ τὸ κατόπιν μὴ προορωμένων, ἀλλὰ καθ' ἑαυτῶν ἐπιτελούντων. Ἴδε Παροιμιογρ. Ἑλλην. σελ. 117, ἔκδ. Γαισφόρδου.*

[3] *Ἄλλη αὕτη παροιμία, ἐπὶ τῶν ὀψὲ εἰς αἴσθησιν ἐρχομένων ἐν οἷς εἰσιν, ὡς ἐξηγεῖται Σουΐδας. Ἴδε καὶ Παροιμ. Ἑλ. σελ. 19 καὶ 171.*

[4] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 857)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚΒ'.*

[5] *Ἐκ διορθ. Μοντακ. ἀντὶ—βουληθείη μὲν πραττεσθαι.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΞΘ'.—169.

Παύλῳ γεγονότι Ἀρχιεπισκόπῳ Καισαρείας καὶ ἀποστατήσαντι.[1]

Ἀρκαδίαν μ' αἰτεῖς,[2] εἴποι ἄν τις, καὶ μάλα εἰκότως, παροιμιαστὴς ἀνήρ· ἐγὼ δέ σοι δώσω οὐ τὰ ἐξ ἀμάξης,[3] οὐδὲ τὴν ἀπὸ Σκυθῶν ῥῆσιν,[4] ἀλλ' ἅπερ ἂν φιλῇ ἡ ἀλήθεια. Κακὸς ἐγένου φίλοις, καὶ θείου προδότης δόγματος, καὶ τῆς σῆς ὁμολογίας πολέμιος· εἶτα διερωτᾷς, τί δήποτέ σε οἱ εὐσεβεῖς ὡς ἐναγῆ ἀποστρέφονται, μηδὲ τῆς κοινῆς ἀξιοῦντες προσρήσεως; Ὦ, τί σε δικαίως προσείπω; φοβερὸν ἡγοῦνται καὶ τὸ διὰ τοῦ χαίρειν κοινωνῆσαι τοῖς ἔργοις σου τοῖς πονηροῖς.

ΕΠΙΣΤΟΛΗ ΡΟ'.—170.

Ἰγνατίῳ Ἐπισκόπῳ Λόφων.[5]

Ἀλγεῖς, ὅτι σε νῦν ἀδικοῦντα διακωλύω· ἐγὼ δὲ μᾶλλον καὶ δικαιότερον, ὅτι μὴ πάλαι μηδ' ἄρχειν[6] τοιαύτης πράξεως· εἰ δὲ καὶ τὸ ἐμὸν κρύφιον ἄλγος δέον ἐξειπεῖν, ὅτι σοι παρέσχον ἀφορμήν, δι' ἧς κακὸς βουληθεὶς ἐδυνήθης γενέσθαι. Ὁρᾷς, ὡς τῶν σῶν ἀδικημάτων αὐτὸς ἐμαυτὸν αἴτιον ἐγὼ γράφω; Τί ἂν οὖν οἴει τοὺς ἄλλους λέγειν περὶ ἐμοῦ, ὅταν τοῖς σοῖς ἀνιῶνται, καὶ φυγεῖν οὐκ ἔχωσι τὸ μὴ δυσφορεῖν;[7] Πῶς δὲ τοῖς

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 840)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΟΕ'. Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 911, ἔκδ. Οἰσχελίου).

[2] Παροιμία, ἐπὶ τῶν μεγάλα αἰτούντων λεγομένη, καὶ τὴν ἀρχὴν ἔχουσα ἐκ τοῦ δοθέντος τοῖς Λακεδαιμονίοις χρησμοῦ, περὶ οὗ ἴδε Ἡροδ. Α', 66· ἔτι δὲ καὶ Παροιμιογρ. Ἑλλην. (ἔνθ. ἀνωτ.).

[3] Καὶ αὕτη παροιμία, τὴν ἀρχὴν ἔχουσα "ἐκ τῶν γυναικῶν, αἵτινες ἐν τῇ τῶν Ἐλευσινίων (ἄλ. γρ. Διονυσίων) ἑορτῇ ἐφ' ἁμαξῶν φερόμεναι ὕβριζον ἀλλήλας." Ἴδε Σουΐδαν ἐν τῇ φράσει "τὰ ἐκ τῶν ἁμαξῶν," καὶ Σκ. Βυζαντίου Λεξ. ἐν λ. ἅμαξα· καὶ Παροιμιογρ. Ἕλλην. σελ. 111. Ἐντεῦθεν καὶ ἡ φράσις "ἐξ ἁμάξης παῤῥησιάζεσθαι" (Λουκιαν. Ζεὺς Τραγωδ. § 44) καὶ "ὅλας ἁμάξας βλασφημιῶν κατασκεδάζειν" (ὁ αὐτὸς ἐν Εὐνούχῳ, § 2).

[4] Λουκιαν. Τόξ. ἢ περὶ φιλίας, § 8.

[5] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 824)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΚΓ'. Ἡ δὲ Ἐπισκοπὴ Λόφων ὑπὸ τὸν Νικομηδείας ἐτέλει Μητροπολίτην κατὰ τὴν διάταξιν Λέοντος τοῦ σοφοῦ. (σημ. Μοντακ.)

[6] Μοντακ. εἰκάζει γραπτ. εἶναι—ἄρχοντα—κατὰ τὸ προηγούμενον "ἀδικοῦντα·" ἀλλὰ μᾶλλον ἄν τις εἴποι τὴν Μετοχὴν εἰς Ἀπαρέμφατον μεταβλητέαν εἶναι· τὸ γὰρ κωλύω Ἀπαρεμφάτῳ συνηθέστερον εὕρηται συντασσόμενον (Κ. Ἀσωπίου "περὶ Ἑλ. συντάξ." Περ. Β', σελ. 372). Δυνατὸν δὲ καὶ Μετοχῇ, εἰς τὰ παύσεως σημαντικὰ ἀναγόμενον, συντάσσεσθαι.

[7] Ἡμ. διόρθ. ἀντὶ—δυσαρορεῖν,—ὅπερ Μοντακ. διωρθώσατο "δυσαρεστεῖν."

Digitized by Google

ἐκείνων, ἅπερ αὐτὸς διέθου, παθήμασιν οὐ τὸν κοινὸν Δεσπότην εὑρήσειν δυσμενῆ, ἀρχὴν ἐγχειρίσαντα ἀνδρί, ᾧ κρεῖσσον ἦν τοῖς τῶν ἀρχομένων ἐσχάτοις ἀντεξετάζεσθαι; Οὕτω *με λογίζεσθαι νόμιζε περὶ σοῦ· καὶ εἰ μὴ θᾶττον καὶ ἡδέως σαυτοῦ τὰ ἀδικήματα περικόψῃς, ἀνάγκην εἶναί μοι ἐμοῦ τε καὶ τῆς ὅλης Ἐκκλησίας τέλεόν σε διακόψαι.*

ΕΠΙΣΤΟΛΗ ΡΟΑ'.—171.

Τῷ αὐτῷ.[1]

Δυσφορεῖς, καὶ θρηνεῖς, καὶ τὰ ἄνω κάτω ποιεῖς, ὅτι σε ταχέως οὕτω καὶ ἀφειδῶς, ὡς νομίζεις, ἐπλήξαμεν·[2] *ἐγὼ δὲ οὐδὲν ἔλαττον, ὅτι σεαυτὸν τοιούτων ἄξιον παρεσκεύασας, καὶ ἡμᾶς ἐλθεῖν παρὰ τὸ ἡμέτερον ἦθος εἰς τοὺς περὶ σοῦ λόγους ἠνάγκασας. Εἰ δ' ἀληθῶς ἐπλήγης, καὶ μέχρι βάθους ἡ τῶν ἐλέγχων ἀκμὴ ἔφθασε, δείξεις, ἐκεῖνα φυγών, δι' ἃ τὸ βέλος ἀφήκαμεν· καί σου τὴν πληγὴν σὺν εὐμενείᾳ Θεοῦ οὐ μόνον ἐξιασόμεθα, ἀλλὰ καὶ τὸ λοιπὸν ὡς μέλους ἀντιποιησόμεθα.*

ΕΠΙΣΤΟΛΗ ΡΟΒ'.—172.

Μητροφάνει Μοναχῷ ἀποστατήσαντι.[3]

Οὐδεὶς ἀνθρώπων, οὐδ' ὁ τέλειος, ἀπὸ ῥύπου καθαρός· καὶ οὐδεὶς ἀνθρώπων, οὐδ' ὁ κάκιστος, παντελῶς ἀμέτοχος ἀρετῆς. Δόγμα παλαιόν, καὶ μέχρι νῦν ταῖς ἁπάντων καὶ ψήφοις καὶ πράξεσι φυλαττόμενον, μὴ θελήσῃς λῦσαι τῷ κατὰ σεαυτὸν ὑποδείγματι, κενὸν ἁπάσης ἀρετῆς σεαυτὸν ἐπιδεῖξαι φιλονεικῶν, καὶ κενὸν[4] *ἀνθρώποις διήγημα.*

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 825)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΞΘ'.*

[2] *Διὰ τῆς πρὸ ταύτης ἐπιστολῆς δῆλον ὅτι.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 885)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΞΕ'. Εὕρηται δὲ καὶ παρ' Ἰάγέρῳ Γαλλιστὶ μεθηρμηνευμένη, αὕτη τε καὶ ἡ ἀμέσως ἑπομένη* (Hist. de Photius, p. 265—6).—*Οὗτός ἐστιν ὁ Μητροφάνης, ὥς φησι Βαρώνιος, ὃς τὰς ἐξ Ἰταλίας κατὰ τοῦ Πάπα Νικολάου ἐπιστολὰς εἰς Κωνσταντινούπολιν ἐκόμισεν* (ἴδε *Ἐπιστ. Δ', § λζ'*). *Φίλος δὲ Φωτίῳ γενόμενος, εὔνους ἦν αὐτῷ, καὶ διὰ τοῦτο τὴν παραμυθητικὴν ἐκείνην ἔγραψεν αὐτῷ ἐπιστολήν, ἣν ἐν τοῖς ἔμπροσθεν εἴδομεν (Ἐπιστ. ΡΝΔ')· ἀλλ' ἀποστατήσαντα νῦν ἐλέγχει διὰ τὴν ἀπιστίαν.*

[4] *Μοντακ. τοῦτο διορθοῦται—κοινόν·—ἀλλ' ἴσως ἄμεινον ἂν εἴη "καινόν."*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΟΓ'.—173.

Τῷ αὐτῷ.[1]

Ἔπεσε Δαβίδ, ἀλλ' ἀνέστη· ἀνέστη δὲ προσευχῇ προφήτου,[2] καὶ δάκρυσι,[3] καὶ πικροῖς ἐλέγχοις προσαχθεῖσιν ὑπὸ δράματι· ναὶ δὴ καὶ πόνοις καὶ μεταμελείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ αὐτοῦ ἐκείνου, τοῦ κατενεχθέντος μὲν τῷ πτώματι, διατεθέντος δὲ φιλοσόφως πρὸς τὸν ἔλεγχον. Ἔπεσες καὶ αὐτός· καὶ προφήτην οὐχ ὁρῶ, ὅτι μηδὲ τοῦ Δαβὶδ ταπεινοφροσύνην καὶ μετάνοιαν. Σόν ἐστι λοιπὸν καθορᾷν καὶ φροντίζειν, ὅπως ἀναστήσῃ τοῦ πτώματος, εἰ μή σοι τὸ δοῦναι δίκην, καὶ τότε τὴν ἐκεῖθεν, τοῦ διαφυγεῖν ἐστιν αἱρετώτερον·

ΕΠΙΣΤΟΛΗ ΡΟΔ'. —174.

Τῷ αὐτῷ.[4]

Τῆς πονηρίας τὸ πάθος (πάθος γὰρ ἔγωγε μάλιστα καλῶ πᾶν ὅπερ λυμαίνεται τοῖς κατὰ φύσιν), τοῦτο δὴ ἐπειδάν κρεῖττον γένηται τῆς ἀπὸ τῶν παραινούντων ἰατρείας, ἢ σφοδρότητι τιμωρίας, ἢ τῷ θανάτῳ, τὴν ἐπὶ τὰ χείρω νομὴν ἀνακόπτεται. Παρῃνέσαμεν οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις· κωφῶν δὲ ἄρα θύρας, τὴν παροιμίαν, ἀπέδειξας κόπτοντας.[5] Ἀλλ' ἔδειξας μὲν νόσον ἀνθρωπίνης μείζονα θεραπείας· οὐ δείξεις δέ, οἶμαι, καὶ τῆς ἀπὸ τῶν νόμων τιμωρίας. Εἰ δὲ καὶ ταύτην ὑπερβολῇ θράσους ἐλέγξαι φιλονεικήσεις, ἀλλ' οὖν ἀλώσεταί γε πάντως τῷ θανάτῳ τὸ σὸν ἐπὶ τῇ σαυτοῦ καταστροφῇ πρὸς πάντα φιλόνεικον.

ΕΠΙΣΤΟΛΗ ΡΟΕ'.—175.

Παύλῳ Μοναχῷ ἀποστατήσαντι.[6]

Τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν ὁ Πέτρος ἠρνήσατο, ὁ Θωμᾶς ἠπίστησεν, ὁ Ἰούδας

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 885)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΞΣΤ'.

[2] Τοῦ προφήτου Νάθαν. (Βασιλ. Β', κεφ. ΙΒ'.)

[3] Μοντακ. σαφηνείας χάριν προσθετέον εἶναι νομίζει τὸ ἐπίθετον "οἰκείοις," ὅπως μή τις ὑπολάβῃ τὰ δάκρυα τοῦ Προφήτου εἶναι, ἀλλ' οὐ τοῦ Δαβίδ.

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 889)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΓ'.

[5] Κωφῶν θύρας κόπτειν, παροιμία γνωστή, ἅτε δὴ καὶ νῦν κοινῶς λεγομένη· "ς' τοῦ κουφοῦ τὴν πόρταν ὅσον θέλῃς βρόντα." Ὁμοίαν δ' ἔχει καὶ αὕτη τὴν ἔννοιαν ταῖς ἐπὶ τῶν ματαισπονούντων—ἀέρα δέρειν, κ.τ.λ. ἃς ἐν τοῖς ἔμπροσθεν ἐσημειωσάμεθα. Ἐπιστ. ΨΔ'.)

[6] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 880)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Ζ'.

Digitized by Google

προϋδωκεν. Σὺ οὖν, εἰ μὲν μετέγνως ἐφ' οἷς (ἐξ ὧν ἔδει σε σωφρονεῖν) καθ' ἡμῶν, μᾶλλον δὲ τῆς σῆς σωτηρίας, ἐμάνης, μηδὲν ἀποσγνῷς· οὔτε γὰρ τῆς ἡμῶν πρὸς σέ, κἂν αὐτὸς ἐξέστης, ἀπέστημεν διαθέσεως, καὶ Θωμᾶς σοι τῆς ἐπιστροφῆς καὶ Πέτρος παλαιὰ παραδείγματα· σώσεις δ' ἴσως καὶ αὐτὸς ἄλλους σφαλέντας, δι' ὧν αὐτὸς ἀνέστης πεσών. Εἰ δὲ μὴ μεταγνῷς, κἂν ἀνιώμενοι, λέγομεν πρὸς τὸν Ἰούδα σε βρόχον ὑπόλοιπον ἀφορᾶν.

ΕΠΙΣΤΟΛΗ ΡΟΣΤ'.—176.

Σάβᾳ ἡσυχαστῇ, μετὰ τῶν ἀποστατῶν γεγονότι.[1]

Πόθεν ἡ πρὸς πάντα σου κίνησις βραδεῖα καὶ νωθὴς εἰς τὴν καθ' ἡμῶν κατέστη συσκευὴν ὀξεῖα καὶ σφοδρά; ἢ δῆλον, ὡς ἐν οἷς μὲν ἔπραττεν ὁ λογισμὸς κατὰ φύσιν, κἂν οὐκ ἦν αὐτῷ τάχος ἔμφυτον εἰς ἀντίληψιν τῶν κακῶν, ὅμως οὐδὲ ἀκρατῶς εἶα[2] πρὸς τὰ φαῦλα φέρεσθαι, καὶ ἀνενδότως τὴν ὁρμήν· ἐπεὶ δὲ καὶ αὐτῶν ἐξέπεσε τῶν κατὰ φύσιν, συνεξηνέχθησαν αὐτῷ καὶ αἱ κινήσεις πᾶσαι καὶ αἱ πράξεις εἰς τὸ στασιῶδες ἦθος καὶ ἐμμανές. Ἡμᾶς δὲ γίνωσκε λίαν αἰσχύνεσθαι καὶ ὑπεραλγεῖν, οὐχ ὅτι νῦν πάντας κύβους καθ' ἡμῶν ἀναῤῥίπτεις, ἀλλ' ὅτι καὶ αὐτὸς εἷς ἐδόκεις πάλαι τῶν φιλούντων ἡμᾶς εἶναι.

ΕΠΙΣΤΟΛΗ ΡΟΖ'.—177.

Ἰσαακίῳ Μοναχῷ.[3]

Εἰ καὶ πρὸς θερισμόν, ἐφ' ὃν ὁ Δεσπότης σπλαγχνιζόμενος ἐργάζεσθαι πέμπει τοὺς μαθητάς,[4] ἀωρότατος εἶ, ἀλλ' οὖν ἐφ' ὃν οἱ θερισταὶ παραγίνονται Ἄγγελοι,[5] καὶ λίαν ἐπιτήδειόν σε δείκνυσιν ὁ τῆς ἡλικίας καιρός. Πῶς οὖν ἀντὶ μὲν τοῦ καρπὸν φέρειν ἀκάνθας ἐκφέρεις; ζιζάνια δὲ ἀντὶ σίτου; καί, οὐδὲν ἐργῶδες ὂν καλὸν καὶ ἀγαθόν, κἂν ὀψὲ τοῦ καιροῦ, διὰ μετανοίας γενέσθαι, σὺ δὲ σαυτὸν εἴθε ἄχρηστον, ἀλλὰ δέδοικα μὴ καὶ αὐτοσαπρίας, ἀγγεῖον ἐργάζῃ;[6] Ἀλλ' ἐπίγνωθι, κἂν νῦν ἤδη, τὸν ἀνθρώπινον καταδυό-

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 888)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Ψ'.

[2] Οὐκ ὀρθῶς εἰκάζει Μοντακ. γραπτ. εἶναι—εἴη.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 897)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΚΗ'.

[4] Ματθ. Θ', 36—38.

[5] Αὐτ. ΙΓ', 49—51.

[6] Παρέτεινα τὴν ἐρώτησιν μέχρι τοῦ "ἐργάζῃ," τῶν ἄλλων ἀποφαντικῶς τὴν τελευταίαν πρότασιν γραψάντων· συνδεῖται γάρ, οἶμαι, καὶ αὕτη ταῖς δυσὶ προτέραις διὰ τοῦ—καί. Τρεῖς δὲ ἐν τῇ ἐρωτήσει ταύτῃ τεχνηέντως συνέζευξε προτάσεις· ἔχει γὰρ τὸ ἑξῆς ὧδέ πως κατ' ἐμέ· "Πῶς δὲ σαυτὸν . . . . ἄχρη-

Digitized by Google

μενος βίον, ὅτι τὰ μὲν συνάγεται καὶ ἀποθησαυρίζεται εἰς ἀκαταλύτους ἀποθήκας, καὶ τῆς οὐρανῶν ἀξιοῦται βασιλείας, τὰ δὲ ἐκκόπτεται, οἴμοι, καὶ ἐκβάλλεται, καὶ κατακαίεται, τῷ ἐξωτέρῳ καὶ ἀτελευτήτῳ πυρὶ διὰ παντὸς δαπανώμενα.

ΕΠΙΣΤΟΛΗ ΡΟΗ'.—178.

Ἀρσενίῳ μονάζοντι καὶ ἡσυχαστῇ.[1]

Τί γράφω; οἴχεται μὲν εὐχή, οἴχεται δ' ἀνθρώπων ἀρετή, ἐκκέκοπται δὲ παῤῥησία[2] πρὸς Θεόν, καὶ ἀνδρῶν ἔρημος ὁ βίος, ἑλκόντων τοῖς ἐπὶ γῆς τὴν ἄνωθεν πρόνοιαν· ἡ δίκη (πῶς εἴπω; οὐ γὰρ ἐβουλόμην εἰπεῖν) ὅτι καθεύδει, μέγα φυσᾶται τὸ παράνομον, καὶ θεσμῶν οὔτε θείων οὔτε ἀνθρωπίνων αἰδὼς οὐδεμία· οἱ δὲ τῆς παλαιᾶς ἐκείνης ἀρετῆς ἄνθρωποι, ὅσους μὴ προκατελάβοντο δεσμὰ καὶ φυλακαὶ καὶ ὑπερόριοι καταδίκαι, τοῖς ὄρεσι καὶ ταῖς πέτραις ἐγκατακλείσαντες ἑαυτούς, καί, ὥσπερ ἑρμαίῳ, τῇ κοινῇ συμφορᾷ περιτυχόντες, αὐτοὶ μὲν ὡς πορῥωτάτω τῆς ἐν Κόσμῳ ζάλης ἵστανται, οὐδεμίαν δὲ τῶν ἐν αὐτῷ κλυδωνιζομένων, καὶ βαπτιζομένων ἔστιν ὧν, φροντίδα βάλλονται. Οὐδὲ γὰρ ἱλαστηρίους χεῖρας ἁπλοῦσι πρὸς Θεόν, οὐδὲ τὰ Μωσέως φθέγγονται, "ἂν μὲν ἀφῇς, ἄφες,"[3] καὶ τὴν ὑπόλοιπον ἐκείνην φίλτρου γέμουσαν καὶ θαυμαστῆς παῤῥησίας φωνήν, οὐδὲ λύσιν τῶν ἀμηχάνων κακῶν, οἷς τὸ συγγενὲς συνέχεται δαπανώμενον. Εἰ δὲ ψεύδομαι, ὑμέτερον μέν ἐστι λοιπὸν ἐλέγχειν, ἐμὸν δὲ πεισθῆναι, καὶ προσοφλεῖν αἰσχύνην ὁμολογεῖν, χαρᾶς ἀϊδίου πρόξενον.

ΕΠΙΣΤΟΛΗ ΡΟΘ'.—179.

Εὐθυμίῳ μονάζοντι παραπεσόντι.[4]

Εἰ μήτε τῆς ἐκεῖθεν βασιλείας ὁ πόθος, μήτε τῆς ἀπαραιτήτου τιμωρίας ὁ φόβος, ἀλλὰ μηδὲ τῶν ὁμοίως σοι τὸν βίον ἐν τοσαύτῃ πονηρίᾳ καταδαπανησάντων τὰ κατὰ πόδας

στον ἀγγεῖον ἐργάζῃ; καὶ εἴθε μόνον ἄχρηστον· ἐγὼ γὰρ δέδοικα, μὴ καὶ αὐτοσαπρίας ἀγγεῖον σαυτὸν ἐργάζῃ." Περὶ δὲ τοῦ οὐσιαστ. "αὐτοσαπρία" σημειωτέον, ὅτι σύνθετον μὲν οὕτως οὐχ εὕρηται· ἁπλοῦν δὲ "σαπρία"=σῆψις, κοιν. σαπήλα· πιθανὸν τοίνυν νομίζω Φώτιον αὐτὸν συνθεῖναι τὴν λέξιν κατὰ τὰ "αὐτοσοφία, αὐτοαλήθεια, αὐτοαπλότης," καὶ τ' ἄλλα τὰ τοιαῦτα· ἀλλ' ἴσως ἄλλοις πιθανώτερον δόξειεν ἂν ἐκ παρορράματος προελθεῖν τὴν λέξιν, καὶ γραπτέον εἶναι "αὐτῆς σαπρίας" ἢ "αὐτὸ σαπρίας."

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 901)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛΑ'. Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 913, ἔκδ. Οἰσχελίου).*

[2] *Ἐκ διορθ. Μιγνίου, ἀντὶ—παῤῥουσία.*

[3] *Ἴδε Ἐπιστ. ΚΔ' ἐν τέλει.*

[4] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 885)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΞΗ'.*

Digitized by Google

χαλεπὰ καὶ δύσοιστα πάθη, μήτε τὰ κοινὰ παρὰ πάντων ὀνείδη πρὸς ἐπιστροφήν σε καὶ νῆψιν τῶν τολμωμένων οὔπω διεγείρει, δέδοικα μὴ δαιμόνων φύσις ἀνθρώπου μορφὴν ὑποκρίνεται. Ἀλλ' εἴθε μὴ συνήλασας ἡμᾶς ταῦτα εἰπεῖν, καὶ τοῦ Ἀντιχρίστου διὰ σοῦ ἡ παρουσία προοιμιάζεται.

ΕΠΙΣΤΟΛΗ ΡΠ'.—180.

Μονάζοντι Ε. πεσόντι.[1]

Ἥμαρτες· ἀνθρώπινον τοῦτο. Ἀλλ' ἐπιμένεις τῷ κακῷ, καὶ οὐκ ἐπιστρέφῃ· δαιμόνων οἷμοι,[2] τοῦτο. Σκόπει δή, μὴ ἀντὶ τοῦ παραγγεῖλαί σε εἰς τὴν τῶν μοναζόντων κληρουχίαν, καὶ ἐπαγγείλασθαί σε τὴν τῶν Ἀγγέλων πολιτείαν, εἰς τὴν τῶν δαιμόνων κατενεχθῇς μοχθηρίαν, καὶ πρὸς τὴν ἐκείνων ἀπενεχθῇς τιμωρίαν· ὅτε πᾶσα πρόφασις ἀργεῖ, καὶ εἰς κενὸν ἡ μετάνοια.

ΕΠΙΣΤΟΛΗ ΡΠΑ'.—181.

Μάρκῳ Σικελῷ μονάζοντι.[3]

Τοὺς πρὸς ἑσπέραν ἀνθρώπους, ὅτε πανταχοῦ γῆς ἐξήπλωτο ἡ ἀσέβεια, Κρόνον καὶ

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 880)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΙΒ'.—Περὶ δὲ τῆς ἐπιγραφῆς ὁ Καρδινάλιος Μάϊος (Spicileg. Rom. Tom. X, p. xxiii· καὶ παρὰ Μιγνίῳ ἐν ταῖς Φωτίου Ἐπιστολαῖς σελ. 890) γραπτέον εἶναι κρίνει "Μονάζοντι ἐκπεσόντι," κατὰ τὸ ἐν τῇ πρὸ ταύτης Ἐπιστολῇ "Εὐθ. μονάζ. παραπεσόντι·" ἐμοὶ δὲ μᾶλλον δοκεῖ πρὸς τὸν αὐτὸν Εὐθύμιον τὴν ἐπιστολὴν ταύτην γεγράφθαι, καὶ τούτου τὸ ὄνομα διὰ τοῦ Ε δηλοῦσθαι· καὶ αὐτὴ δὲ τῆς ἐπιστολῆς ἡ ὑπόθεσις ἄνθρωπον δείκνυσι, δεύτερον ἤδη ἐλεγχόμενον καὶ ἀπειλούμενον.

[2] Μοντακ. εἰκάζει γραπτέον εἶναι—οἶμαι·—ἀλλ' ἄμεινον ἂν εἴη "οἴμοι."

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (σελ. 888)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΔ'.—Ταύτην δ' ἐπικρίνων τὴν ἐπιστολὴν ὁ Καρδινάλιος Βαρώνιος (an. 871, n. 48) ἀνερυθριάστως, ὥς φησι Μοντακούτιος, εἰπεῖν ἐτόλμησεν, ὅτι πλείονα περιέχει ψεύδη, ἢ λέξεις· "non puduit affirmare hanc epistolam pluribus mendaciis quam verbis contextam." Παρερμηνεύων γάρ, ὥσπερ εἴωθε, τὰ Φωτίῳ γεγραμμένα, πάντας ὑπέλαβε τοὺς ἐν τῇ Δύσει, Ἰταλούς τε καὶ Γαλάτας καὶ Ἴβηρας καὶ Βρεττανούς, νοεῖν τὸν Φώτιον ἐν τῷ λέγειν "τοὺς πρὸς ἑσπέραν ἀνθρώπους·" οὐδ' οἷός τ' ἐγένετο συμβαλεῖν, ὁ σοφὸς δὴ Καρδινάλιος, ὅτι πρὸς Σικελὸν γράφων, περὶ μόνων τῶν Σικελῶν ταῦτα λέγει Φώτιος, παρ' οἷς ὡς ἀληθῶς ἰδίας εἶχον τιμὰς Κρόνος τε καὶ Ἀφροδίτη, καὶ Περσεφόνη μάλιστα, ᾗ δὴ καὶ ἐπιστεύετο τὴν νῆσον ὅλην ἀνακαλυπτήριον δῶρον ἐν τοῖς γάμοις δοθῆναι, ὅτι ἐν Σικελίᾳ τὴν ἁρπαγὴν αὐτῆς ἐμυθολογεῖτο γενέσθαι (Πλούτ. ἐν βίῳ Τιμολ. § ή, ἔκδ. Κοραῆ)· ἀλλὰ κακοβούλως πάνυ Φώτιον αἰτιᾶται, ὅτι δὴ καὶ ἐνταῦθα τὸ κατὰ τῶν Δυτικῶν μῖσος αὐτοῦ θεραπεύων πάντας ἐξύβρισε τοὺς ἐν τῇ Δύσει ἀνθρώπους. Καὶ Βασνάγιος δὲ τὴν Βαρωνίου ταύτην ἀκρισίαν ἐλέγχων, τάδε πρὸς τοῖς ἄλλοις φησίν· "Baronius, qui n'a pas pris garde que par les Occidentaux il faut entendre "seulement la Sicile, dont Marc était originaire, et qu'en effet Saturne, Venus et Proserpine étaient "les principales Divinités, qu'on adorait dans cette île, pris de là occasion d'accuser Photius de haine contre

Digitized by Google

Ἀφροδίτην καὶ Περσεφόνην μόνους νομίζειν θεοὺς τῆς ἱστορίας ἡ πεῖρα[1] παρέδωκεν· καὶ οὔτε τληπαθῆ καὶ καρτερικὸν Ἡρακλέα, οὔτε Ἥφαιστον κλυτοτέχνην, ἀλλ' οὐδὲ λόγιον Ἑρμῆν, οὐδ' ἄλλον τινά, ὧν ὁ μῦθος χρηστῶν καὶ σπουδαίων ἔργων προστάτας καὶ ἐφόρους ὑποτίθεται, οὐδένα τούτων οὔτε θειάσαι, οὔτε παραδέξασθαι, οὐδὲ βωμὸν ἱδρῦσαι δικαιοσύνης, οὐ μὴν οὐδὲ σωφροσύνης, οὐδ' ἄλλης τινος ἀρετῆς, ἣν τηνικαῦτα τὸ ἀνθρώπινον γένος ἐθεοποίει τε καὶ ἔσεβε, δεισιδαιμονίᾳ κατεχόμενον. Διὰ τί οὖν Ἀφροδίτη καὶ Κρόνος καὶ Περσεφόνη τούτοις ἐτιμήθησαν; ὅτι μόνης ἡδονῆς καὶ γαστρὸς καὶ ἀφροδισίων ἀεὶ γεγόνασιν ἄνθρωποι· καὶ γὰρ καὶ τούτους, οὓς ἔσεβον, μιγνύντες ἀλλήλοις καὶ διαπλέκοντες, τροφάς τε καὶ τρυφὰς καὶ ἡδονὰς παντοίας, ἐκεῖθεν αὐτοῖς τῷ λόγῳ ῥεούσας, διὰ τῶν πράξεων συνελέγοντο. Οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ σὺ τὸ γένος ἕλκων ἐξ ἑσπέρας, οὐδὲν οὔτε σῶφρον λέγειν ἔχεις, οὔτε διαπράττεσθαι· μεγίστῃ γὰρ σπουδῇ καὶ πόνοις καὶ μελέταις τὰ ἐξ ἔθους καὶ πατρίδος μόλις ποτὲ φιλεῖ μεταῤῥυθμίζεσθαι.

ΕΠΙΣΤΟΛΗ ΡΠΒ'.—182.

Σάβᾳ Ἡγουμένῳ τῶν Πισσαδῶν.[2]

Οὐκ οἶδ' ὅ,τι καὶ εἴπω περὶ τῆς ὑμῶν διαθέσεως. Ἐγὼ μὲν γὰρ εἶδον προβάτου σε δορὰν περικείμενον, καὶ ἐδόκουν ἁπλοῦν καὶ ἄκακον καὶ τῆς Χριστοῦ ἀγέλης ἄξιον εἶναι τὸ καλυπτόμενον· οἱ δέ φασι τὴν δορὰν ἀλώπεκα κρύπτειν· ἢ νεκρὰ καὶ ὀδωδότα σκέπει[3] σώματα, ὅσα τοῦ Ἐκκλησιαστικοῦ διασαπέντα πληρώματος δαίμοσι τροφὴ καὶ τοῖς αὐτῶν θεράπουσι γίνεται. Καὶ ἐγὼ μὲν ἤκουόν σε πλάνην λέγοντα μακράν, καὶ ματαίαν πλάνην ἀπολοφυρόμενον, τὴν πάλαι σου πλάνην· οἱ δέ σέ φασιν ἐκείνην ἔτι περιπλανᾶσθαι, μηδὲν ἔλαττον τῶν κορυβαντιώντων διακείμενον. Καὶ σὺ μὲν κατὰ πρόσωπον ἡμᾶς ηὐλόγεις, καὶ σωτῆρας ἡμᾶς ὡμολόγεις, ὅτι σε τοῦ βόθρου τῆς παρατροπῆς ἐκείνης καὶ ἀπάτης ἀνειλκύσαμεν· οἱ δέ σέ φασιν ἀπόντων ἡμῶν καταγογγύζειν, ὅμοια τοῖς ἐπὶ σκηνῆς ἀσελγαίνοντα. Ἐννόει δὴ ταῦτα εἰ ὅλως Χριστιανῶν, μή τί γε μοναζόντων, δύναται εἶναι. Ἀλλ' εἰ μὲν ἐπλάσαντο ταῦτα, ὀδύρεσθαί με δεῖ τῶν κατειπόντων, " ὅτι ἐκλέλοιπεν ὅσιος,

---

" l'Occident, et d'une ignorance, dont il est plus coupable que celui qu'il accuse. Celà fait voir l'excés, " au quel l'amour pour le Siège de Rome porte les écrivains " (Histoire de l'Eglise. Tom. I, p. 324). Εἰ δέ τινος προσέδει λόγου πρὸς τὸν ταῦτα κατὰ Φωτίου ἐξερευξάμενον Βαρώνιον, εἰκότως ἄν τις αὐτῷ καὶ μάλα γε προσηκόντως αὐτοὺς τοὺς πρὸς Μάρκον λόγους Φωτίου προσαρμόσειεν· " Οὐδὲν θαυμαστόν, " εἰ καὶ Βαρώνιος τὸ γένος ἕλκων ἐξ ἑσπέρας, οὐδὲν εἶχε λέγειν σῶφρον περὶ Φωτίου· μεγίστῃ γὰρ " σπουδῇ καὶ πόνοις καὶ μελέταις τὰ ἐξ ἔθους καὶ πατρίδος μόλις ποτὲ φιλεῖ μεταῤῥυθμίζεσθαι."

[1] Ἐκ διορθ. Μοντακ. ἀντὶ—ἄπειρα.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 864)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΙΕ'.

[3] Ἐκ διορθ. Μοντακ. ἀντὶ—τρέφει.

Digitized by Google

ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων" [1] εἰ δ' ἀληθῆ τὰ ἀπηγγελμένα, θρηνεῖν προσῆκε τοὺς ἡμαρτηκότας, "ὅτι μάταια λαλεῖ ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ," [2] καὶ δολίοις περιπτύσσεται χείλεσιν. Πάντως δὲ δεῖ με ἀνιᾶσθαι· τῆς ἐμῆς γὰρ καὶ Χριστοῦ ποίμνης, κἂν μὴ βούλωνται, καὶ τὰ λεπρωθέντα· καὶ περὶ αὐτῶν μετὰ Παύλου διαμεριμνῶμεν, κἂν μὴ θέλωσι συναισθάνεσθαι.

ΕΠΙΣΤΟΛΗ ΡΠΓ'.—183.

Γεωργίῳ Διακόνῳ καὶ ξενοδόχῳ. [3]

Ὁ τῶν ἀπορρήτων ἐπόπτης καὶ μυσταγωγὸς τὴν μέθην πόρρω Θεοῦ βασιλείας ἐθεάσατο. [4] Εἰ οὖν μέθυσοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι, τί σοι τὸ ὄφελος, ὅτι τῶν ἄλλων ἁμαρτιῶν δοῦλος, ὡς λέγεις, οὐ γέγονας; καίτοι τῶν ἀδυνάτων ἐστί, τυφλοῦ κειμένου τῇ μέθῃ τοῦ καθοδηγοῦντος λογισμοῦ καὶ ἀμύνοντος, μὴ παντὶ προσπταίειν λίθῳ τὸν ἄνθρωπον, καὶ μὴ παντὸς πάθους προκεῖσθαι ἀνδράποδον.

ΕΠΙΣΤΟΛΗ ΡΠΔ'.—184.

Τῷ αὐτῷ. [5]

Τὴν ὕλην οἱ παρ' Ἕλλησι δοκοῦντες εἶναι σοφοί, πολλοὺς καὶ μεγάλους ἀναλώσαντες λόγους, μόλις ἴσχυσαν (ὡς αὐτοί φασι) νόθῳ [6] καὶ ἀσθενεῖ παραστῆσαι λογισμῷ· ὡς ἄλλο τι οὖσα παρὰ πάντα τὰ ὄντα, καὶ ἀλλοιουμένη διηνεκῶς, καὶ ῥέουσα, πάντων ἐστὶ τῶν ὄντων δεκτική. Εἰ δέ σε συνέβη κατ' ἐκείνους γενέσθαι τοὺς καιρούς, μόνον· αὐτοῖς ἐπιγνωσθείς, πάντων ἂν τῶν μακρῶν ἐκείνων ἀπήλλαξας αὐτοὺς πόνων καὶ καμάτων. Οὐδείς γάρ, οἶμαι, οὐδέποτέ σε, οὐδ' ἐν ἀκαρεῖ, τὴν αὐτὴν ἔχοντα κατείληφε γνώμην· ἀλλὰ ῥεοντά τε ἀεὶ καὶ ἀλλοιούμενον, καὶ τῶν παρατυγχανόντων γινόμενον, καὶ πρὸς ἅπαντα μορφούμενον, καὶ ὡς οἰκείᾳ μορφῇ τῇ ἀμορφίᾳ [7] καλλωπιζόμενον.

---

[1] Ψαλμ. ΙΑ', 1.

[2] Αὐτόθι.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 869)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΜΕ'.

[4] Α' πρὸς Κορινθ. ΣΤ', 9 καὶ 10. Ἴδε καὶ τὰ ἐν Ἐπιστ. ΣΤ' (§ γέ) περὶ τούτου σημειωθέντα.

[5] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 872)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΨΔ'. Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 914, ἔκδ. Οἰσχελίου).

[6] Μοντακ. εἰκάζει γραπτ. εἶναι—νωθρῷ.

[7] Ἡμ. διόρθ. ἀντὶ—τὴν ἀμορφίαν.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΡΠΕ'.—185.

Τῷ αὐτῷ.[1]

Ἐρᾷς χρημάτων· διὰ τοῦτο ἀρετῆς οὐκ ἐρᾷς· ἔρωτι γὰρ κακίας ὁ τῶν καλῶν ἔρως ἐναποσβέννυται. Εἰ δέ γε τὴν φλόγα τῆς πλεονεξίας ἀποσβέσεις, καὶ τὰς ἀκάνθας τῆς φιλαργυρίας συμφλέξεις, ῥᾷον ἡ τῆς ψυχῆς ἄρουρα τὸν οἰκεῖον καρπόν, τὴν ἐλεημοσύνην, ἀναβλαστήσει· καί σε, ἀντὶ τοῦ μετὰ τῶν ἐρίφων τετάχθαι, εἰς τὴν τῶν προβάτων ἀγέλην μεταστήσει. Ἐρρωσο.

ΕΠΙΣΤΟΛΗ ΡΠΣΤ'.—186.

Γεωργίῳ Διακόνῳ καὶ Ὀρφανοτρόφῳ.[2]

Εἰ μὲν ἀπὸ τῆς γνώμης κρίνεις τὰ πράγματα, καὶ σκοπεῖς τὴν προαίρεσιν (οὕτω δὲ προσῆκε, καὶ θείων χρησμῶν ἐστιν ἡ ψῆφος), ἔχεις ἡμᾶς, εἰ μὴ φορτικὸν εἰπεῖν, λαμπρῶς ἐπὶ σοὶ στεφανωθέντας. Εἰ δὲ τοῖς ἔργοις δίδως τὸν στέφανον, ἡμᾶς μὲν οὐδ' οὕτως οὐδὲν ζημιώσεις (οὐδὲ γὰρ οὐδὲ τοῦτο, καίτοι τῶν καιρῶν ἡμῖν ἀντιπνεόντων, ἐνελίπομεν)· ἐκεῖνο δέ σε συνιέναι χρή, ὅτι ταῦτα ψηφιζόμενος, οὐχ ἡμᾶς μᾶλλον θατέρου τῶν στεφάνων ἀποστερεῖς, ἀλλὰ σεαυτοῦ ἑκάτερον ἀφαιρεῖς, ὅν τε προξενεῖ τὰ ἔργα, καὶ ὃν πλέκει ἡ προαίρεσις.

ΕΠΙΣΤΟΛΗ ΡΠΖ'.—187.

Δαμιανῷ Ξενοδόχῳ.[3]

Ἦκε χθὲς ὡς ἡμᾶς περὶ λύχνων ἀφάς (μεῖζον γὰρ αὐτῷ καὶ τῆς ἀωρίας τὸ πάθος ἐτύγχανεν) ἄνθρωπος πένης κλαίων, καὶ φωνὰς ἠφίει· πάσας[4] ἐπ' ἐλέῳ, αἳ μαλάττειν καὶ δυσωπεῖν ἴσχυσαν καὶ γνώμην θηρίων· χιτωνίσκος ἦν αὐτῷ περιερρηγμένος κάλυμμα τοῦ βίου· καὶ πληγὰς τὰς ἐξ ἀνθρώπων ἔφερεν ἐπὶ τοῦ προσώπου· ἃ μᾶλλον τῶν ἄλλων εἰς οἶκτον καὶ θρῆνον τοὺς ὁρῶντας παρεκάλει· ἐμὲ δὲ πλέον, ὅτι καὶ γνωρίμων ἔργα[5] τὰ

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (ἔνθ. ἀνωτ.)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΘ'.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 877)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΛΣΤ'.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 952)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΗ'.

[4] Μοντακ. τοῦτο διορθοῦται—πικράς·—ἀλλ' οὐχ ἧττον εἴποι τις ἂν καὶ "φωνὰς πάσας" εἰς δήλωσιν τοῦ ὑπερβάλλοντος κλαυθμοῦ.

[5] Οἰκ οἶδ' ἀνθ' ὅτου Μοντακ. προσθετέας εἶναι νομίζει λέξεις τινὰς ἐνταῦθα "ὅτι καὶ γνωρίμων [τις ἦν ἔνθα τά] ἔργα·" οὐδὲν γὰρ δεῖ συμπληρώσεως τοιαύτης τῷ λόγῳ, αὐτοτελεῖ ὄντι καὶ σαφεστάτῳ.

Digitized by Google

πάθη τοῦ πένητος ἐπυνθανόμην. Ὡς δέ μοι καὶ ἡ αἰτία, δι' ἣν τὰ ἀνήκεστα πάθοι, δήλη ἐγεγόνει, ὅτι ποινὰς ἔτισε ταῦτα, ἀνθ' ὧν μὴ σιγῇ, μηδὲ ἀγαπᾷ,[1] τὸ γήδιον αὐτό, ἐφ' ὃ τὰς τοῦ ζῆν ἐσάλευεν ἐλπίδας, προηδικημένος· ὡς οὖν καὶ ταῦτα τοῖς ἄλλοις προσετέθη, ὅλος σφόδρα συνεχύθην, καὶ οὐδὲν ἔλαττον τοῦ πένητος (οὐ γὰρ ἔστιν εἰπεῖν μεῖζον) τὴν ψυχὴν διετέθην· πλὴν εἰ μή τις τὴν ἐμὴν ἀλγηδόνα ἐπὶ σοί τε καὶ τῷ ἠδικημένῳ γινομένην βλέπων διπλῆν ἀποφαίνῃ. Λῦσον, ἄνθρωπε,[2] τῷ πένητι τὴν συμφοράν, ἀποδιδοὺς τὸ ἀδίκημα, καὶ τὰ τραύματα θεραπεύων εὐεργεσίας ἐλαίῳ.[3] Εἰ δὲ τοῦ πένητος ὑπερορᾷς, ἀλλ' οὖν τὴν ἐμὴν λῦσον συμφοράν· μᾶλλον δὲ τὴν σήν· ἡ σὴ γὰρ μείζων καὶ τῆς τοῦ πένητος καὶ ἡμῶν, κἂν οὔπω ταύτης, οἶμαι, συναίσθησιν ἔχῃς.

ΕΠΙΣΤΟΛΗ ΡΠΗ'.—188.

Τῷ αὐτῷ.[4]

Τὸ σιγᾶν ἀδικούμενον μείζονα τῶν ἀδικούντων ποιεῖται τὸν ἔλεγχον· δῆλον γάρ, ὡς, εἰ μὴ μεγάλην τινὰ καὶ ἀνυπέρβλητον τῶν ἀδικούντων ὠμότητα κατεγίνωσκεν, οὐκ ἄν, ἀφεὶς τὸ κινεῖν ἐπ' ἔλεον, ἀντὶ τούτου τε καὶ τῶν δικαίων λόγων τὴν σιωπὴν ἔστεργεν. Ἀλλ' ὁ μὲν δυστυχὴς ἐκεῖνος καὶ πένης ἄνθρωπος, περὶ οὗ καὶ πρὶν ἔγραψα,[5] ἠδικηκέναι μὲν ὑμᾶς ὁμολογεῖ, καὶ τῶν ἀδικημάτων οὐκ ἄλλους, ἀλλ' ὑμᾶς, ἐπάγεται μάρτυρας· κύριοι γὰρ νῦν ἀξιοῦτε γενέσθαι ὧν τυραννίδι καὶ βίᾳ τὴν ἐξουσίαν προειλήφατε· ἀνίατα δὲ νοσεῖν, καὶ κρείττους εἶναι διορθώσεως καὶ μεταμελείας, οὕπω κατέγνωκεν. Διὰ τοῦτο καὶ φίλους περινοστεῖ, καὶ λόγους φθέγγεται ἐλεεινούς, καὶ πρὸ τούτων, ὥσπερ ἱκετηρίαν, αὐτὸ προτείνει τὸ δίκαιον, οὐκ ἐν τοῖς ἔξωθεν κριτηρίοις, ἀλλ' ἐν μέσοις φίλοις, καὶ ἐπὶ τοῦ βήματος τῆς ὑμῶν συνειδήσεως. Εἰ δ' ἔτι μηδὲν χρηστὸν μηδὲ δίκαιον περὶ αὐτὸν ἐννοήσητε, μηδ' ἐκείνων αὐτῷ ἐκστῆτε, ἃ τυραννίδος νόμος αὐτοῦ μὲν ἥρπασεν, ὑμῖν δὲ ἐνεχείρισεν, ἴστε, ὡς, ὅπερ ἐκεῖνος ὁ ὑφ' ὑμῶν ἀδικούμενος εἰπεῖν καθ' ὑμῶν ἐφυλάξατο, αὐτοὶ καθ' ἑαυτῶν διὰ τῶν ἔργων, τὸ χειρίστους ἀνθρώπων εἶναι πάντων, ἐψηφίσασθε.

ΕΠΙΣΤΟΛΗ ΡΠΘ'.—189.

Τῷ αὐτῷ.[6]

Μή, μείζους ἀπαιτῶν τὰς τῶν πταισμάτων εἰσπράξεις, ἔξω νόμιζε δικαίας ποινῆς

[1] Οὕτω μὲν Μοντακ. παρὰ δὲ Μιγνίῳ "μηδὲ ἀγαπῷτο γήδιον αὐτό·" ἄμεινον δὲ γραπτέον, οἶμαι, "μηδ' ἀγαπῴη, τὸ γήδιον αὐτό," κατὰ τὸ προηγούμ. "σιγῴη."

[2] Καὶ τοῦτο κακῶς ἐσημειώσατο Μοντακ. γραπτέον εἶναι κατὰ Δοτ. "ἀνθρώπῳ."

[3] Καλῶς τοῦτο ὁ αὐτὸς διωρθώσατο—ἐλαίῳ—ἀντὶ "ἐλέῳ."

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 876)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΙΒ'.

[5] Ἐν τῇ πρὸ ταύτης δῆλον ὅτι ἐπιστολῇ.

[6] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 880)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΙΕ'.

Digitized by Google

πράττειν· οὐ μόνον γὰρ οὐκ ἀνεύθυνον, κἂν ἐπ' ὀνόματι νόμου τοῦτο ποιῇ τις, ἀλλὰ καὶ διπλοῖς ἔνοχον ἀδικήμασιν, ὅτι καὶ ἀδικίας ἄρχει, καὶ νόμους ὑβρίζει. Μέχρι μὲν γὰρ τοῦ τὸ ἴσον[1] παρὰ τοῦ ἠδικηκότος λαβεῖν, νόμιμον ἴσως τοῖς πολλοῖς καὶ οὐ χαλεπόν· ὑπερβεβηκότα δὲ τὸ μέτρον ἔτι ποινὰς ἐπιζητεῖν, παράνομον φανερῶς, καὶ τιμωρίας ἔνοχον, ἧς ἀπῄτησεν, ἵνα μὴ λέγῳ βαρυτέρας, τέως οὐ μετριωτέρας· ἀρχὴ γάρ ἐστιν ἀδικήματος ἄλλου· καίπερ ὁ δίκην ἕτερον ὑπὲρ ὧν ἠδίκησεν ἀπαιτῶν, αὐτόθεν ὤφειλεν ἔχειν τὸν σωφρονισμόν, εἰς τὸ μὴ ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις τὴν δίκην ὀφείλειν. Ἀλλ', ὡς ἔοικεν, οὐκ ἔστιν ὀργῆς ἐμμανέστερον. Εἰ δὲ καὶ τὸν ὀφειλέτην τῶν μυρίων ταλάντων εἰς νοῦν ἀναλάβοις, καὶ τὴν φοβερὰν ἐκείνην (καίτοι οὐδὲν ἄλλο, ἢ ὅπερ ἐκεχρεώστητο,[2] ἀπῄτει) καὶ φρίκης γέμουσαν ἀπειλήν, ὅτι μὴ συγγνώμων ἐγίνετο τῷ ὀφειλέτῃ,[3] τίνα ἄν σοι ἡ σκηνὴ τοῦ κατὰ νόμον οἴεσθαι πράττειν καὶ παρανομοῦντι βοήθειαν ἐμπορίσῃ;

ΕΠΙΣΤΟΛΗ ΡΝ'.—190.

Βασιλείῳ Πατρικίῳ καὶ Ἐπάρχῳ πόλεως.[4]

Ἔρρει τὰ καλά,[5] καὶ τῆς ἀρετῆς ἡ χάρις οἴχεται, κακία δὲ πολιτεύεται· καὶ τὸ μὲν ψεῦδος πτεροφυεῖ, φυλλοβολεῖ[6] δὲ τὰ πτερὰ ἡ ἀλήθεια. Πόθεν οὖν ἡ τοσαύτη τῶν κακῶν Ἰλιάς; ὅτι σὺ μέν, ὥς φασιν, ἄρχεις, οἱ δέ σου πολὺ κρείσσους ἄρχειν τὸν σὸν βαρὺν ἕλκειν ζυγὸν ἀναγκάζονται, καὶ μετρία τούτοις κάκωσις ἡ μὴ πᾶσαν αὐτῶν τὴν ζωὴν περικόπτουσα· τοῦτό ἐστιν ὁ ἐν πόλει λῃστὴς καὶ ὁ πάνδημος δήμιος. Ἐγὼ μὲν οὐ λέγω[7] ταῦτα περὶ σοῦ· ἀλλ' ὁ ποιῶν τὰ νυνὶ πάσῃ γλώσσῃ καὶ ἀκοῇ πάσῃ περιᾳδόμενα, ἐκεῖνός ἐστι (κἂν ἐγὼ σιωπήσωμαι) ὁ τούτων τῶν ὀνομάτων ἄξιος. Σὺ δέ, εἰ μὲν πράττεις, ἃ φασι, μίσησον μᾶλλον τὴν πρᾶξιν, καὶ τοῖς πραττομένοις αἰσχύνθητι, ἢ τοῖς ὀνο-

---

[1] Ἡμ. διόρθ. ἀντὶ—τοῦτο ἴσον—παρὰ τοῖς ἄλλοις.

[2] Ἡμ. διόρθ. ἀντὶ—ἐχρεώστητο.

[3] Ματθ. ΙΗ', 23—35.

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 928)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΙΓ'.—Ὁ δὲ Βασίλειος, πρὸς ὃν ἡ ἐπιστολή, οὗτος δή ἐστιν ὁ τὸν Βάρδαν καὶ τὸν Αὐτοκράτορα Μιχαὴλ κρεουργήσας, καὶ βασιλεύσας αὐτός. Ἅτε δὴ οὖν ἐξ ἀρχῆς διὰ τὴν ἰδίαν ὠμότητα ὑπὸ Φωτίου ἐλεγχόμενος, καὶ τελευταῖον ὡς μιαιφόνος δημοσίᾳ ἐν τῇ Ἐκκλησίᾳ ἐλεγχθείς, ἀπέστησεν αὐτὸν τοῦ Πατριαρχικοῦ θρόνου, ὡς ἐν τοῖς Προλεγομένοις (§ μ') ἱστόρηται.

[5] Ἔρρει τὰ καλά· παροιμία, ἐπὶ τῶν κακόν τι συντόμως δηλῶσαι βουλομένων· ἔσχε δὲ τὴν ἀρχὴν ἐκ τῆς γνωστῆς ἐκείνης ἐπιστολῆς, ἣν Ἱπποκράτης ὁ τοῦ Μινδάρου ἐπιστολεὺς ἔγραψε τοῖς Λακεδαιμονίοις· "Ἔρρει τὰ καλὰ· Μίνδαρος ἀπέσσουα· πεινῶντι τῶνδρες· ἀπορέομες, τί χρὴ δρᾶν" (Ξενοφ. Ἑλ. Ἱστ. Α', ά, 23. Ἴδε καὶ Παροιμιογρ. Ἑλλην. σελ. 190).

[6] Μοντακ. εἰκάζει γραπτ. εἶναι—πτεροῤῥυεῖ δὲ ἡ ἀλήθεια·—ἀλλὰ τοῦτο παράφρασις ἂν εἴη μᾶλλον, ἢ διορθωσις, ἧς οὐδεμία ἐστιν ἀνάγκη.

[7] Ἴσως γραπτ.—ἐγὼ μὲν οὖν οὐ λέγω.

Digitized by Google

μάζουσι μνησικάκησον· οὐ γὰρ ἔστιν ἄλλως τὰς πράξεις, ἀλλ' ἢ τοῖς οἰκείοις ἐξονομάζειν ὀνόμασι· καὶ τῷ δυσχεραίνοντι ταῖς κλήσεσι πολλῷ πρότερον ἡ φυγὴ διαπονεῖται τῶν πράξεων. Εἰ δὲ τὰ ψευδῆ σου καταχέουσι, σπεῦσον, ὥσπερ ἔφυγες τὴν πρᾶξιν, οὕτω φυγεῖν *σε* καὶ τὸ ἐγγὺς τυγχάνειν τῆς πράξεως· τὸ μὲν γὰρ κολάσεως, τὸ δὲ οὐκ ἐπαίνων ἄξιον· καὶ οὐχὶ τὸ πῦρ λυμαίνεται μόνον τοὺς ἁπτομένους, ἀλλὰ καὶ ὁ καπνός, τῶν μὴ πόρρω τοῦ πυρὸς ἀφεστηκότων δριμύσσων τὰς ὄψεις καὶ ἀμαυρούμενος.

ΕΠΙΣΤΟΛΗ ΡΝΑ'.—191.

Σεργίῳ Μαγίστρῳ καὶ Λογοθέτῃ τοῦ δρόμου.[1]

Οὐ καθ' ἡμῶν, ὥσπερ ἔγραψας, ἀλλ' ὑπὲρ ἡμῶν τὰ λαληθέντα σοι λογιζώμεθα· οὐκοῦν οὐδὲ συγγνώμην οἷς ἐλάλησας προσῆκεν αἰτεῖν. Εἰ μὲν γὰρ ἀληθῆ τὰ ῥηθέντα, ὠφέλησας, ἀλλ' οὐκ ἔβλαψας, ἔλεγχον τῶν ἡμαρτημένων ποιησάμενος, ἐξ ὧν εἴωθε διόρθωσις περιγίνεσθαι· εἰ δὲ ψευδῆ, πολὺ μᾶλλον ὠφέλησας, μάτην αἰτιασάμενος· προσέχειν τε γὰρ οὕτω μᾶλλον, καὶ περιστέλλειν ἑαυτούς, οὐ τῶν ἔργων μόνον, ὅσα μὴ δεῖ, διανίστησας, ἀλλ' οὐδὲν ἧττον σπεύδειν ἀναχωρεῖν καὶ τῶν μὴ καλῶν ὑπολήψεων· ἄλλως τε δέ, ὅτι καὶ μισθαποδοσίαι τοῖς ἐπὶ ψεύδεσι ῥῆμα πονηρὸν ὑφισταμένοις ἐκεῖθεν ἀπόκεινται.[2] Μηκέτι οὖν ἐπερυθριῶν τοῖς σοι λαληθεῖσιν ἐπιδείκνυσο· ἡμεῖς γὰρ τοσοῦτον ἀπέχομεν περὶ τούτων ἐπικαλεῖν, ὥστε σοι καὶ χάριν ὁμολογεῖν ἐγγράφως ἤδη συντιθέμεθα.

ΕΠΙΣΤΟΛΗ ΡΝΒ'.—192.

Τῷ αὐτῷ.[3]

Ἐχθρῶν εἰσιν αἱ ἐπιβουλαὶ καὶ αἱ λοιδορίαι καὶ τὰ βάραθρα· φίλων δὲ τὸ ὑπεραισπίζειν καὶ προκινδυνεύειν, καὶ κωλύειν τοὺς ἐπηρεάζοντας, ὅση δύναμις. Μέτριος οὖν τῶν ἐχθρῶν ἐκεῖνος, ὁ τῶν προειρημένων ἑαυτὸν καθυφείς, καὶ μήτε συκοφαντῶν, μήτε δόλους, μήτε ἐπιβουλὰς σκευαζόμενος· καὶ ἄθλιος τῶν φίλων ἐκεῖνος (εἴ γε φίλος ὅλως), ὁ μήτε ὑπερασπίζων, μήτε προκινδυνεύων, μήτε ἀνακόπτειν σπεύδων τοὺς προαιρουμένους ἐπιτίθεσθαι· τοῦτο γὰρ καὶ τῶν ἐχθρῶν ἄν, ὥσπερ ἔφην, ποιήσῃ[4] ὁ μέτριος. Σκόπει οὖν, οἷς

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 928)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Γ'.—Περὶ δὲ τοῦ ἀξιώματος "Λογοθέτης τοῦ δρόμου" ἴδε Κ. Κουρουπαλ. σελ. 10 καὶ 191

[2] "Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ."—Ματθ. Ε', 11.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 829)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΙΔ'.

[4] Ἴσως ἐγέγραπτο—ποιήσειεν.

Digitized by Google

ὑπὲρ σοῦ λέγεις, τίνι σεαυτὸν συντάττεις. Οὐχ ὕβρισα γάρ, οὐδὲ τῶν διασυρόντων, φήσεις, γέγονα, οὐδὲ κατὰ σοῦ δόλους ἐρράψάμην· ἐγὼ δέ, εἰ μὴ τὸ φορτικὸν ηὐλαβούμην, ἰσχυρισάμην ἄν, ὡς οὐδὲ τοῦτο τῆς σῆς ἕνεκα φιλοτιμίας καὶ γνώμης, ἀλλ' ὅτι μηδ' ἔχεις, ἐξ ὧν σοι ταῦτα μὴ λίαν ἀσχημόνως καὶ ἐπιγελάστως συμπλασθήσεται.

ΕΠΙΣΤΟΛΗ ΡΝΓ'.—193.

Ἀλεξάνδρῳ Κόμητι.[1]

Ἀλέξανδρος ὁ Μακεδών, καὶ Μακεδόνων ἄρας εἰς ὕψος τὴν βασιλείαν, κατ' ἐκείνην τὴν ἡμέραν ἐδόκει παύεσθαι τῆς ἀρχῆς, καθ' ἣν εὐεργετήσας οὐδένα ἐδείκνυτο· σπάνιον δὲ αὐτῷ τὸ τοιοῦτον συνέπιπτεν, ἅτε μελέτην ἄγοντι ἀνθρώποις εὖ ποιεῖν· εἰ δέ ποτε καὶ συμπέσειεν, ἀνιώμενος ἔλεγε, "Σήμερον οὐκ ἐβασίλευσα."[2] Ἀλλ' ὁ μὲν Ἕλλην, καὶ ἐν Ἕλλησι, καὶ βασιλεύς, καὶ ἡδονῶν καὶ τρυφῆς καὶ εὐτυχίας μεθύων ἄνθρωπος, καὶ Θεοὺς τοιούτους τῆς οἰκείας πολιτείας ἐφόρους ποιούμενος· σὺ δὲ πιστός, καὶ ἐν πιστοῖς, καὶ μετὰ τῶν νόμων ἄρχειν τεταγμένος, καὶ πολλὰ προσπταίων τοῦ βίου τοῖς κύμασι, καὶ ἐν μέσοις αὐτοῖς ἱεροῖς καὶ ἱερεῦσι, καὶ ἐγκράτειαν καὶ ἀρετὴν τιμᾷν οὐκ ἀρνούμενος, ναὶ δὴ καὶ τὸν μόνον ἀληθινὸν Θεὸν ἐπόπτην τῶν πρακτέων, οὗμενουν, οὐκ ἂν δυνάμενος παραγράψασθαι. Ἀλλὰ τί τὸ ἐντεῦθεν; ἐγὼ μὲν εἰπεῖν ἀποκνῶ· πλὴν οὐκ ἔστιν ἰδεῖν οὐδένα τῶν ὑπὸ σέ, ὃς ἀντὶ τοῦ χάριν εὐεργεσίας ἤ τινος ἄλλης φιλανθρωπίας ὁμολογεῖν, οὐχὶ τιμωρίαν οὐκ ὀδύρεται ἄκριτον, ἢ ζημίαν ἀπροφάσιστον· καὶ ἄλλος ἄλλο τι ἔργον τῆς σῆς δεξιᾶς, τραγικῆς σκηνῆς θέαμα, κατολοφυρόμενος διεξέρχεται. Ἀλλ' Ἀλέξανδρος μὲν ἀνιώμενος ἔλεγέ ποτε, Σήμερον οὐκ ἐβασίλευσα· σὺ δ', ὡς ἔοικεν, οὐ περιλείψεις ἡμέραν σαυτῷ, ἐν ᾗ θαῤῥήσεις εἰπεῖν, Σήμερον οὐκ ἐτυράννησα.

ΕΠΙΣΤΟΛΗ ΡΝΔ'.—194.

Τῷ αὐτῷ.[3]

Εἰ τὴν Ἀλεξάνδρου τοῦ βασιλέως γνώμην ἔστεργες, οὐκ ἂν εἰς τὴν Ἀλεξάνδρου τοῦ χαλκέως[4] ὕβριν ἐξέπιπτες. Ὁ μὲν γὰρ οὐδὲ κατὰ τῶν ὑπηκόων, ὡς ἔτυχε, τὰς διαβολὰς

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 936)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΜΣΤ'.*

[2] *Τοῦτο περὶ Τραϊανοῦ καὶ Τίτου τῶν Αὐτοκρατόρων παρὰ πολλῶν ἱστορούμενον, περὶ Ἀλεξάνδρου παρ' οὐδενὸς ἄλλου, ἢ παρὰ Φωτίου, λέγεται. (σημ. Μοντακ.)*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 957)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΝΗ'.*

[4] *Οὗτός ἐστι, περὶ οὗ Παῦλος πρὸς Τιμόθεον (Β'. Ἐπιστ. Δ', 14) ἔγραφεν· "Ἀλέξανδρος ὁ χαλκεὺς*

Digitized by Google

προσεδέχετο· θάτερον δὲ τῶν ὤτων ἐν τῷ τοὺς κατηγόρους λέγειν ἀπέφραττε, δεικνὺς ἐν τῷ συμβόλῳ, ὡς καθαρὸν μονομεροῦς λοιδορίας, καὶ διαβόλῳ γλώσσῃ ἀνεπίβατον, εὑρήσουσιν οἱ κατηγορηθέντες τὸ κριτήριον. Ὁ δὲ μηδὲ διαβολῶν δεηθείς, ἢ μηδὲ εὑρεῖν ἐλπίσας, οἶμαι, αὐτὸς κατὰ τῶν τὰ μέγιστα εὐεργετησάντων καὶ γλῶσσαι καὶ χεῖρες ἐγίνετο. Ἀλλ' εἰ μὴ προλαβὼν ἡμᾶς ὁ θεσπέσιος Παῦλος τὴν μέλλουσάν σοι τιμωρίαν διὰ τοῦ ὁμοτρόπου τρανῶς προεμήνυσε, πάντως ἂν ἡμεῖς σοι ταύτην διὰ τῶν αὐτῶν ῥημάτων διεμαρτυράμεθα.[1]

ΕΠΙΣΤΟΛΗ ϘΕ'.—195.

Βασιλείῳ Κυαίστορι.[2]

Εἰ τῷ δικαίῳ μέτρῳ χρώμενος τοὺς διαμφισβητοῦντας ἀλλήλοις ἐδίκαζες, οὐκ ἄν σε ἡ τοῦ χρυσοῦ ὠχρότης πλέον αἰσχύνεσθαι [ἢ] τοὺς πλέον αὐτὸν χορηγοῦντάς σοι παρεσκεύαζεν.

ΕΠΙΣΤΟΛΗ ϘΣΤ'.—196.

Βασιλείῳ Πράκτορι.[3]

Κείρουσιν οἱ παλαιοὶ λόγοι Προμηθεῖ τὸ ἧπαρ, ἀετὸν ἐφιστῶντες τὸν κείροντα· καὶ ἡ αἰτία, ὅτι θεόθεν τὸ πῦρ ἐκκλέψας, φησί, πόνων καὶ καμάτων ἀνθρώποις ἤνεγκεν αἴτιον·[4] εἰ δέ σε εἶλον οἱ ποιηταὶ τοσαύτην κακῶν πυρὰν τῇ πατρίδι ἀνάψαντα, οὐκ ἀετῶν γένη καὶ ἰκτίνων καὶ ἱεράκων τοῖς σπλάγχνοις ἂν διεβόσκησαν, ἀλλὰ καὶ παρδάλεις καὶ λέοντας καὶ θηρία πάντα οὐκ ἂν τοῖς ἐγκάτοις ἐπαφιέντες ἀπέκαμον. Σὺ δὲ σκόπει, ὡς, εἰ καὶ τὸ ποιητῶν γένος ταῦτα σχηματίζειν ἐπιλέλοιπεν, ἀλλ' ἥ γε καθ' ἡμᾶς τῆς ἀληθείας ἀκρίβεια οὐκ ἀπέστη, φοβερωτέραν τὴν τιμωρίαν ἐπανατείνουσα, πῦρ ἀτελεύτητον, καὶ σκότος ἐξώ-

---

πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδῴη αὐτῷ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ· ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις."

[1] Ἐν γὰρ τῇ Α' πρὸς Τιμόθ. ἐπιστολῇ (Α', 20) λέγει περὶ τούτου ὁ Παῦλος· "Ὧν (ἀπίστων) ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος, οὓς παρέδωκα τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν."

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 936)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΜΖ'.—Περὶ τοῦ Βασιλείου τούτου καὶ τοῦ Λατιν. ὀνόματος "κυαίστωρ" ἴδε τὰ ἐν Ἐπιστολῇ ΡΛΖ' σημειωθέντα.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 945)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΒ'.—Πράκτωρ δὲ=φορολόγος, ὁ τοὺς φόρους εἰσπράττων, ὡς καὶ νῦν λέγεται συνθέτως "εἰσπράκτωρ·" ἔστι δὲ ἡ λέξις κατὰ ταύτην τὴν σημασίαν τοῦ παρακμάζοντος Ἑλληνισμοῦ, ὡς ὀρθῶς καὶ Μοντακ. ἐσημειώσατο.

[4] Γνωστὴ τοῦ Αἰσχύλου ἡ τραγῳδία "Προμηθεὺς δεσμώτης" ὑπόθεσιν ἔχουσα τὰ περὶ Προμηθέως μυθολογούμενα.

Digitized by Google

τερον, καὶ βρυγμὸν ὀδόντων, καὶ σκωλήκων πλῆθος ὑποστρωννῦσα τοῖς ἁμαρτάνουσιν Εἰ δέ σε καὶ τῶν μελλόντων οὔπω συστέλλει ὁ φόβος, οὐδὲ τῆς ἀτάκτου καὶ ἀλόγου φορᾶς ἀνακόπτει, ἀλλὰ κᾆν γοῦν τὸ Σοδόμων καὶ Γομόῤῥων ἀνάγραπτον καὶ ἀπαράκλητον πάθος, καὶ τὸ κοινὸν τῶν ἀνθρώπων ναυάγιον, ὁ κατακλυσμός, καὶ τὰ καθημερινὰ τῆς προνοίας ἔργα, εἰς σώφρονα τοὺς λογισμοὺς μεταῤῥυθμιζέτω μελέτην.

ΕΠΙΣΤΟΛΗ ΡΝΖ′.—197.

Κωνσταντίνῳ Νοταρίῳ.[1]

Ὁ μῶμος[2] (περιττὸν γὰρ νῦν ὁρῶ τὰς διὰ τῶν θείων λογίων, οἶμοι, παραινέσεις) διπλῆν πως ἔχει καὶ ἀντικειμένην τὴν φύσιν. Ἂν μὲν γὰρ ὁ φέρων αὐτὸν ἀληθεύοι καθ' οὗ τίθησιν, ἐλέγχει καὶ λυπεῖ τὸν ὑπαίτιον· ἂν δὲ ψευδόμενος αὐτὸν κατὰ τοῦ πλησίον ἀποτίθοιτο,[3] ἐκείνου μὲν ἀποπηδᾷ, ἐπικάθηται δὲ τῷ κομίσαντι, ἐπ' αὐτὸν ἅπαντα στρέφων, ὅσα περ αὐτὸς κατὰ τοῦ μὴ δεδωκότος τῇ αἰτίᾳ τὴν πάροδον ἐπονηρεύσατο. Ὅρα οὖν καὶ σὺ εἰς ἀνδρὸς ἐμβαίνων μώμους, ὃν οἱ τῆς εὐσεβείας ἀγωνισταὶ γνήσιον τῆς ἀρετῆς ἐραστὴν ὁρῶσιν, τί μέλλεις πράττειν, ἐπειδὰν ὁ κατ' αὐτό γε τοῦτο δικαιότατος μῶμος, οὐκ ἔχων ὅπως ἐναπερείδοιτο τῷ μάτην αἰτιαθέντι (οὐ γὰρ αἱ σκιαὶ τῶν κατηγοριῶν, ἀλλ' αἱ πράξεις ἵδρυμα τῷ μώμῳ), εἰς τὸν ἀδίκως αἰτιασάμενον μετὰ πολλῆς τῆς πεποιθήσεως καὶ ἰσχύος ἐπαναστρέψας, ἀθάνατον αὐτῷ διαφυλάττοι τὸ δίκαιον ὄνειδος.

ΕΠΙΣΤΟΛΗ ΡΝΗ′.—198.

Θεοφίλῳ Πραιποσίτῳ.[4]

Τὸ μὲν ἀγαπᾷν τοὺς μισοῦντας ἀρετῆς καὶ θεῖον· τὸ δὲ τοὺς ἀγαπῶντας ἀνθρώπινον καὶ κοινόν· τὸ δὲ μισεῖν καὶ τοὺς ἀγαπῶντας οὐδὲ θηρίων, οἶμαι. Ἡμεῖς μὲν οὖν ἀγαπᾷν σε δι' ἔργων δεικνύομεν, οὐ νῦν, ἀλλὰ καὶ πάλαι· τά τε ἄλλα (οὐ γὰρ ἐμόν, ὥσπερ

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 960)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΟΒ′.—Περὶ δὲ τοῦ "νοτάριος" ἴδε τὰ ἐν Ἐπιστολῇ Ν′ σημειωθέντα.*

[2] *Ὡς κύριον ὄνομα ἐν τῇ Μυθολογίᾳ, υἱὸς ἦν ὁ Μῶμος τῆς Νυκτὸς καὶ τοῦ Ὕπνου, πάντα δυνάμενος μέμφεσθαι, καὶ ἐν τοῖς τελειοτάτοις τῶν ἔργων ἀνευρίσκων τι μομφῆς ἄξιον· ὅθεν καὶ ἡ παροιμιώδης φράσις "οὐδ' ἂν ὁ Μῶμος μωμήσαιτο·" ὡς προσηγορικὸν δὲ ὄνομα=μομφή, περίγελως.*

[3] *Γραπτ. ἴσως "ἀποτιθεῖτο" ἢ ὀρθότερον "ἀποτιθῆται," πλὴν εἰ μή τις βούλοιτο καὶ τοῦτο τῆς παρακμῆς ἔργον ἡγεῖσθαι.*

[4] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 953)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΚ′.—Περὶ δὲ τοῦ "πραιπόσιτος" ἴδε Ἐπιστ. ΡΚΒ′.*

Digitized by Google

οὐδ' ὀνειδίζειν, οὕτως οὐδ' ἀριθμεῖν χάριτας), ἀλλὰ καὶ γράφοντες, καὶ προσαγορεύοντες, καὶ παραινοῦντες τὰ δέοντα. Εἰ δ' αὐτὸς ἀγαπῶντας ἐμίσησας, ἡμᾶς μὲν εἰς μείζονα βαθμόν, ὡς ὁρᾷς, φέρων ἔστησας· εὑρήσεις δὲ καὶ σὺ τὸν σαυτοῦ, ὡς εἴθε μὴ ὄφελες.

ΕΠΙΣΤΟΛΗ ΡΝΘ'.—199.

Βαάνει Πραιποσίτῳ καὶ Πατρικίῳ.[1]

[2]Ἦν ποτε Ῥωμαίοις, ἀλλὰ καὶ Ἕλλησι (τί γὰρ δεῖ λέγειν Χριστιανοῖς;), καὶ κατὰ τῶν ἐχθίστων, μὴ ὅτι γε κατὰ τῶν εὐεργετησάντων, ὅρος κακώσεως· οἶδε καὶ τὸ βάρβαρον μὴ ὑπερβαίνειν νόμους κολάσεων· καὶ πολλὰ δέ φασι τῶν θηρίων ὥσπερ εὐλαβεῖσθαι καὶ ὑποστέλλεσθαι πρὸς τοὺς ἐν συμφοραῖς ἐσχάταις κειμένους, καὶ τὸ θηριῶδες οὐκ ἐπιδείκνυσθαι. Ἡμεῖς δὲ νῦν, ὦ φιλανθρωπότατος, ἀπὸ τῶν ἄλλων ἔργων ὑμῶν καὶ νόσῳ κείμεθα· καὶ ἰατρὸν ἡ νόσος ἐπιζητεῖ, καὶ ἡμέραι τῇ νόσῳ τριάκοντα παρετάθησαν, καὶ πολλοὶ πολλάκις ὑμῶν ἐδεήθησαν ἰατροῦ συγχωρῆσαι παρουσίαν· ἀλλ' (ὦ φύσις ἀνθρώπων, καὶ Ῥωμαίων, ὅποι γῆς ἐστέ, νόμοι, καὶ κλῆσις Χριστιανῶν!) οὐκ ἐδυσωπήθητε. Ἀλλ' ἡμεῖς μὲν βαρβάρους ὑμᾶς ἢ θηρία νομίζειν οὔπω πειθόμεθα· ὑμέτερον δ' ἐστὶν ἐπισκοπεῖν, δι' ὧν εἰς ἡμᾶς τοὺς ταπεινοὺς τὰς ὑπερορίους ταύτας καὶ καινὰς ὑπὸ τὸν ἥλιον τιμωρίας ἐπενοήσατε, τίνα προσηγορίαν, ἀντὶ τοῦ Χριστιανοί, καὶ Ῥωμαῖοι, καὶ Ἕλληνες, καὶ βάρβαροι, καὶ θηρία ὀνομάζεσθαι, ταῖς ὑμετέραις πράξεσιν ἁρμόζουσαν ἐξευρήσετε. Ἡμεῖς δέ, κἂν τῇ νόσῳ νικηθῶμεν, λαμπρότερον, εὖ ἴστε, τὸ καθ' ὑμῶν στήσομεν τρόπαιον, τὸν ἡμέτερον βίαιον θάνατον τῷ παντὶ βίῳ στήλην τῆς ὑμῶν μιαιφονίας ἐναπολείποντες ἀνεξάλειπτον.

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 952)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΙΔ'.—Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου* (σελ. 913, ἔκδ. *Οἰσχελίου*)· *ἀλλὰ καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ* (σελ. 260) *Γαλλιστὶ μεθηρμηνευμένη. Ὁ μὲν οὖν τῆς ἐπιστολῆς σκοπὸς καὶ ἐξ αὐτῆς ἀναγνώσεως δῆλος, ὅτι Βαάνει τῷ Πατρικίῳ ἐπιτιμᾷ, καὶ σὺν αὐτῷ πᾶσι τοῖς βαρβαρικῶς αὐτὸν ἐν τῷ δεσμωτηρίῳ βασανίζουσιν, ὅτι οὐδ' ἰατρῷ ἐπέτρεπον προσελθεῖν αὐτῷ, ἡμέρας ἤδη τριάκοντα νοσοῦντι· ὁ δὲ καλὸς Ἱστορικὸς Ἰάγερος ἄλλα παρὰ τὰ σαφέστατα ταῦτα βούλεται νοεῖν· τὰ ποῖα ταῦτα; ὅτι τὰς πρὸς τὸν Αὐτοκράτορα δύο γράψας ἐπιστολὰς Φώτιος (ΣΙΗ' καὶ ΣΙΘ'), καὶ οὐδεμιᾶς ἀξιωθεὶς ἀπαντήσεως, τήνδε πρὸς τὸν Βαάνην γράφει, ὅπως εἰς χεῖρας περιελθοῦσα τοῦ Αὐτοκράτορος καὶ τῶν ἄλλων τῶν ἐν τέλει μαλάξῃ τὴν ψυχὴν αὐτῶν. Ἰδοὺ λογικὴ ἱστοριογράφου, ἀρχὴν θεμένου* " on decrit l'histoire, et on ne la fait pas." *Ἀλλ' ὦ πρὸς Θεοῦ Ἰάγερε! εἰ διὰ τῶν ἐπιστολῶν ἐκείνων μηδαμῶς ἠδυνήθη Φώτιος μεταπεῖσαι τὸν Αὐτοκράτορα, τάχ' ἂν τεύξοιτο τοῦ ποθουμένου, ἀγριωτέρους ἀποκαλῶν τοὺς διώκοντας αὐτὸν καὶ Ἑλλήνων καὶ Ῥωμαίων καὶ βαρβάρων καὶ θηρίων; Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν οὐδὲ νηπίοις πιστευτά, λῆρος δ' ἄντικρυ καὶ φλυαρία διάκενος· αἱ γὰρ πρὸς τὸν Αὐτοκράτορα ἐπιστολαὶ πολλῷ μετὰ ταύτην ἐγράφησαν, καί, ὡς εἰκός, μικρὸν πρὸ τῆς ἀνακλήσεως Φωτίου· οὐ γὰρ οἷόν τε ἦν μετὰ τὰς ἐπιστολὰς ἐκείνας ἐπὶ πλέον δέσμιον εἶναι τὸν Φώτιον, οὐδ' εἰ καὶ θηρίου ἀγριωτέραν ἐτύγχανεν ἔχων τὴν ψυχὴν ὁ Αὐτοκράτωρ· οὐδ' αὐτῷ Ἰαγέρῳ οἷόν τε ἔσται τὴν ἀλήθειαν μεταβαλεῖν, κἂν τῆς πρὸς Βαάνην ταύτης ἐπιστολῆς τὰς πρὸς τὸν Αὐτοκράτορα προτάσσῃ, καὶ παντοίας μηχανᾶται μεταβολὰς καὶ ἀναχρονισμούς, ὡς τὴν ἀλήθειαν συγκαλύψων.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ Σ'.—200.

Ἰωάννῃ Πατρικίῳ καὶ στρατηγῷ Ἑλλάδος.[1]

Εἰ μὲν φιλεῖς, ἀσθενεῖς· εἰ δὲ μὴ φιλεῖς, ἀδικεῖς· εἰ δὲ φιλῶν καὶ μὴ ἀσθενῶν οὕτως ἄδικα τῶν φίλων πασχόντων ὀλιγωρεῖς, ἐγὼ μὲν εὔχομαί σε μήτε τοιαύταις ἀνάγκαις περιπεσεῖν, μήτε περιπεσόντα καὶ δεηθέντα, τοιαύτης εὐνοίας καὶ ἐπικουρίας, οἵαν σὺ τοῖς φίλοις παρέχεις, ἐπιτυχεῖν. Ἀλλὰ σύ γε τὸν Δεσποτικὸν ὅμως ἀναλογίζου χρησμόν, ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, σαφῶς διαγγέλλοντα.

ΕΠΙΣΤΟΛΗ ΣΑ'.—201.

Ἰωάννῃ Πατρικίῳ καὶ Σακελλαρίῳ κατὰ τοὺς Ἀγγουρείους.[2]

Τῷ Ἄττιδι[3] μέν σε ἀναφέρουσι, Γάλλον καλοῦντες, οἱ παρ' Ἕλλησι σοφισταί· τῇ γυναικωνίτιδι δέ σε κατακλείουσιν, ἀνδρόγυνον καὶ εἰδότες καὶ ὀνομάζοντες οἱ ἡμέτεροι σοφοί. Πόθεν οὖν σὺ τοὺς ἑκατέρωθεν ὅρους ὑπερβάς, εἰς τὰ τῆς Ἐκκλησίας Θεοῦ μυστήρια παρεισέφρησας, ἄνω καὶ κάτω πάντα ποιῶν, καὶ τὸ ἐν τῇ σῇ παραφθόρῳ φύσει ἄκαρπόν τε καὶ ἄχρηστον ἐν τῇ τοῦ Χριστοῦ γονιμωτάτῃ καὶ πολυτέκνῳ Ἐκκλησίᾳ φιλονεικεῖς καταπράξασθαι; Ἀλλ' ἴσθι σαφῶς, ὅτι ᾅδου μὲν καὶ τῶν αὐτοῦ πυλῶν, δι' ὧν

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 944)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. Ξ'.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 937)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΜΘ'.—Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου* (σελ. 914, ἔκδ. *Οἰσχελίου*), *ἔνθα τὸ παρὰ Μοντακ.* "*Ἀγγουρείους*" *καὶ παρὰ Μιγνίῳ* "*Ἀγγουρίους*" *γέγραπται* "*Ἀγγαρίους*·" *ἦν δὴ γραφὴν καὶ Φαβρίκιος ἐν Ἑλλην. Βιβλ.* (*Τόμ. Α'*, *σελ.* 702, *ἔκδ.* Harles) *ὀρθοτέραν εἶναι λέγει. Ἴσως μέντοι ἐγέγραπτο* "*Ἀγκυρείους*" *ἢ* "*Ἀγκυραίους,*" *τοὺς ἐν Ἀγκύρᾳ, πόλει τῆς Μικρᾶς Ἀσίας, καὶ τότε μητροπόλει τῆς Ἐπαρχίας Γαλατίας, οἰκοῦντας· εἰ καὶ κατὰ Στέφ. τὸν Βυζάντιον ὁ τῆς Ἀγκύρας κάτοικος Ἀγκυρανὸς λέγεται. Καὶ ταῦτα μὲν περὶ τούτου· τὰ δὲ περὶ τῆς ἐπιστολῆς ταύτης Βαρωνίῳ πεφλυαρημένα* (an. 868, n. 46 *καὶ* 47), *ὡς δῆθεν ἐξ αὐτῆς καταδείκνυται εὐνοῦχος γενόμενος Φώτιος* (*ἀνίπτοις γάρ, ὡς ἔοικε, τοῖς ὀφθαλμοῖς ἀναγινώσκων ταύτην ὁ σοφὸς Καρδινάλιος, ἀνοήτως ὑπέλαβεν, οὐ παρὰ Φωτίου πρὸς τὸν Πατρίκιον Ἰωάννην, ἀλλὰ τοὐναντίον παρ' Ἰωάννου πρὸς Φώτιον γράφεσθαι*), *ἱκανῶς ἐν τοῖς προλεγομένοις κατεδείξαμεν ὑπὸ πολλῶν καὶ σοφῶν ἀνδρῶν ἀνῃρημένα πρὸς καταισχύνην τοῦ πρώτου εἰπόντος. Ἴδε Προλεγ. § ν'. σημ. 3.*

[3] *Ὁ Ἄττις* (*καὶ ἄλλως γραφόμενος Ἄτις, καὶ Ἄτης ἡ Ἄττης, καὶ Ἄτυς ἡ Ἄττυς*) *υἱὸς ἦν Καλαοῦ, βασιλέως τῆς Φρυγίας, εὐνοῦχος γεννηθείς, καὶ ἱερεὺς γενόμενος τῆς Κυβέλης. Κατ' ἄλλους δέ, ἡ Ῥέα ἐρασθεῖσα αὐτοῦ, καὶ ζηλοτυπήσασα, ὅτι παρὰ τὸν δοθέντα αὐτῇ ὅρκον ἔδοξε τὴν Ἀδγιστιν προτιμᾶν, μανίαν αὐτῷ ἐνέβαλεν, ἐξ ἧς ἑαυτὸν εὐνουχίσας, καὶ γυναικείαν ἀναλαβὼν ἐσθῆτα, περιέτρεχε παντα-χοῦ, τὸ πάθος κατοδυρόμενος, καὶ τὰ τῆς Ῥέας ὄργια διδάσκων. Τοῦτον δὲ καὶ οἱ ἐν Φρυγίᾳ Γαλάται μιμούμενοι εὐνούχιζον ἑαυτούς, τῇ Ῥέᾳ καθοσιούμενοι· καὶ ἐντεῦθεν οἱ τῆς Ῥέας ἱερεῖς ἐκαλοῦντο Γάλλοι, οἷον δὴ καὶ Φώτιος λέγει καλεῖσθαι τὸν εὐνοῦχον Πατρίκιον καὶ Σακελλάριον ὑπὸ τῶν παρ' Ἕλλησι σοφιστῶν.* (*Ἴδε Λουκιαν. περὶ τῆς Συρίας Θεοῦ*, § 15, *ἔκδ.* Jacobitz).

Digitized by Google

πράττεις, ἀναιδέστερον σεαυτὸν ἐστηλίτευσας· ὅτι δὲ καὶ ἀσθενέστερος ἦσθα, ἡμεῖς καὶ ὁ τοῦ Χριστοῦ σὺν ἡμῖν πολυάνθρωπος καὶ ἅγιος χορός, κἂν λυπήσωμεν, διελέγξομεν. Εἰ δ' ἐκεῖνον τὸν ἀρχιτέκτονα τῶν πονηρευμάτων μετὰ τῶν αὐτοῦ πυλῶν (ὧν μία τάχα τυγχάνεις αὐτός, ὅλον ἐκείνῳ τὸ στόμα καὶ τὴν γλῶσσαν καὶ τὴν φωνὴν χαρισάμενος), ὅμως σύμπασαν αὐτοῦ τὴν παράταξιν ἀνισχύρους καὶ ἀπράκτους κατὰ[1] τῆς Ἐκκλησίας αὐτοῦ Χριστὸς ἡ ἀλήθεια ἀπεφήνατο, μέχρι τίνος οὐκ ἐνδίδως ἀναιδευόμενος, καὶ εἰς οὐρανοὺς τὰ τῆς ἀπονοίας βέλη μετὰ πολλῆς τῆς ἀναισθησίας ἀφιείς; δι' ὧν γέλωτα μὲν τοῖς συμπράττουσι δαίμοσι κινεῖς, λύπην δὲ ἐπὶ τῇ σῇ ἀπωλείᾳ τοῖς ἁγίοις προξενεῖς, μισητὸν δὲ τὸ σὸν γένος νῦν μᾶλλον ἢ πρότερον καὶ διαβόητον ἐπὶ κακίᾳ παριστᾷς;

ΕΠΙΣΤΟΛΗ ΣΒ'.—202.

Τῷ αὐτῷ.[2]

Λίαν ἔμοιγε δοκεῖ καλῶς καὶ συνετῶς ὁ πάλαι λεγόμενος ἔχειν λόγος, ὡς ἀνέβησαν μὲν ἤδη πολλοὶ ἐπὶ τὸ δένδρον τοῦτο, ὃ καλούμενόν ἐστι τυραννίς, κατέβη δὲ οὐδεὶς πάλιν, ἀλλὰ καταπίπτουσιν ἅπαντες. Εἰ δὲ τοῦτο, τί γαυριᾷς καὶ σκιρτᾷς αὐτός, οὐδ' ἐπὶ τοῖς τούτου κλάδοις, καὶ ταῦτα βαρὺς ὢν καὶ σοβαρὸς καὶ φλεγμαίνων, ἀλλ' ἐπὶ τοῖς τῶν φύλλων αὐτοῦ πετάλοις ἀνοήτως ὀχούμενος;

ΕΠΙΣΤΟΛΗ ΣΓ'.—203.

Τῷ αὐτῷ.[3]

Ἐλοίμην ἂν ἔγωγε φίλον ἐμαυτῷ συζεῦξαι, ἐξ οὗ μήτε τῶν ὑπερηφάνων μοι χαρί-

---

[1] *Παρ' Οἰσχελίῳ—μετά·—ἀλλ' ἄμεινον τὸ παρὰ Μοντακ.*

[2] *Ἡ αὐτὴ καὶ παρά Μιγνίῳ* (στλ. 944)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΟΓ'.—Εὕρηται δὲ καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ* (σελ. 261) *Γαλλιστὶ μεθηρμηνευμένη, καὶ τάδε φέρουσα προτεταγμένα·* "Photius n'ayant pu rien obtenir, s'abandonne à son dépit, et lance des traits de satire contre différents personnages de la cour qui avaient contribué aux rigueurs qu'il éprouvait, ou qui en avaient été les éxécuteurs. Il les traite de tyrans, d'homicides, de démons, de bêtes feroces, etc." *Ἀλλὰ πρῶτον μέν, πόθεν δῆλον, ὅτι τὴν ἐπιστολὴν ταύτην ἀπὸ τοῦ δεσμωτηρίου, ἀλλ' οὐκ ἀπὸ τοῦ Πατριαρχ. θρόνου γέγραφε Φώτιος; ἔπειτα δέ, εἰ καί τις εἴποι ἀπὸ τοῦ δεσμωτηρίου ταύτην γεγραφέναι, διὰ τί τοὺς ἰδίους δῆθεν ἐκδικούμενος διώκτας, ἀλλ' οὐ τὴν κακίαν στηλιτεύων, ταῦτα γράφειν ὑποληφθήσεται; Ὅτι δὲ ταῦτα οὕτως ἔχει, αὐτὸς πάλιν Ἰάγερος μαρτυρεῖ· μετὰ γὰρ τὴν ἐπιστολήν, οἷον ἐπιλαθόμενος τῶν προειρημένων, τὴν τῆς κακίας ἐπαινεῖ στηλίτευσιν, ὡς προσηκόντως ὑπὸ Φωτίου γινομένην, τάδε ἐπιλέγων·* "Sous cet apologue, Photius dépeint parfaitement ces petits despotes de cour qui, cachés sous l'ombrage du despotisme impérial, sont si fiers, quoiqu'ils soient si peu de chose." *Οὕτω καλῶς οἶδεν Ἰάγερος ἐννοεῖν καὶ ἑρμηνεύειν τὰ Φωτίου! ἔνθεν μὲν γὰρ τὴν ἐπιστολὴν ταύτην δεῖγμα τῆς Φωτίου κακίας προβάλλεται, ἔνθεν δὲ τὴν αὐτὴν ἐντελῆ τῆς τῶν τυραννίσκων μοχθηρίας εἰκόνα ἀποφαίνεται.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 948)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΣΤ'.*

Digitized by Google

των καὶ ὑψηλῶν μηδὲν ἔσοιτο, μήτε δεδιὼς εἶην, μή ποτε πνεύσας ἐκ τοῦ ἐναντίου συγκατασπάσῃ καὶ ἃ μηδὲ ὄναρ ἐκεῖθεν ἤλπισα.[1] *Πόθεν οὖν εἰς ταύτην ἐξέπεσα τὴν βούλησιν; αἱ σαὶ πράξεις, τοῦ ποτε φιλοῦντος ἡμᾶς,*[2] *ἐπὶ ταύτην ἤγαγον.*

ΕΠΙΣΤΟΛΗ ΣΔ'.—204.

Τῷ αὐτῷ.[3]

Πρὸς λύπας ὁρᾷν, καίτοι ἑκόντας ἐχρῆν, ὅμως καὶ ἄκοντας ἐδιδάξατε. Τί δὴ νῦν ἡμῖν ἔσται πλέον, πλὴν τοῦ κακοὺς κρίνεσθαι ὑπὸ μάρτυσι τοῖς πάντων ὀφθαλμοῖς, πλείονα ἐπινοοῦσι τὰ καθ' ἡμῶν λυπηρά, ὅτε διὰ τῆς καθημερινῆς γυμνασίας καὶ ἀλυπότερον αὐτὰ φέρειν ἐπαιδεύθημεν;

ΕΠΙΣΤΟΛΗ ΣΕ'.—205.

Μανουὴλ Πατρικίῳ.[4]

Ἴσως θαῤῥεῖς οἷς ἡμεῖς ἐπὶ τοῦ λαμπροῦ ὑμῶν θεάτρου[5] *προπηλακιζόμενοι ἐφθεγξάμεθα, "Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι, τί ποιοῦσι·"*[6] *καὶ διὰ τοῦτο πνέων καθ' ἡμῶν οὐ λήγεις. Ἀλλ' ἡμεῖς μέν, ὥσπερ τότε τὴν μακαρίαν ἐκείνην εὐχὴν ἠξιώθημεν εὔξασθαι, οὕτω καὶ μέχρι νῦν ἀδιαλείπτως εὐχόμεθα. Ἴσθι δέ, ὦ βέλτιστε, ὅτι, καθάπερ ἡμῖν τοιούτοις ἀμείβεσθαι τοὺς ὑβριστὰς νενομοθέτηται, οὕτω καὶ ὑμῖν ἀποστῆναι τῆς μιαιφονίας (κἂν ὀψέ ποτε τοῦ καιροῦ) ἀνθρώποις οὖσιν (ἵνα μὴ λέγω Χριστιανοῖς) κεχρεώστηται. Εἰ δὲ μή, ἡμεῖς μὲν οὐδὲ οὕτω τῆς ἡμετέρας εὐχῆς ἀποσταίημεν, ἵνα μὴ τῆς ἄνωθεν υἱοθεσίας ἐκπέσωμεν (τοῦτο γὰρ αὐτὸ καὶ νῦν ἡμᾶς πρὸς τὴν ὑμετέραν παραίνεσιν διανέστησεν)· ὑμῶν δέ ἐστι λοιπὸν ὁρᾷν (οὐ γὰρ ἂν ἀλλοτριώτερόν τι τῆς ἐμῆς εὐχῆς εἴποιμι), ὅπως καὶ ὑμῖν τὰ ἐκεῖθεν πρὸς τὸ συμφέρον μεθοδευθήσεται.*

---

[1] *Εὐλόγως ἄν τις ἐκ τῆς Λατιν. εἰκάσειε μεταφράσεως οὐκ ὀρθῶς ἔχειν ἐνταῦθα τὸ τοῦ κειμένου· ἔχει γὰρ ἐκείνη οὕτωσί·* "ne ex adverso mihi aliquid affletur unde disjiciandur res meae, et ea in me contrahantur, quae ne per somnum quidem cogitaram." *Κατὰ δὴ ταῦτα, ἴσως ἂν ὀρθῶς ἀναπληροῖτο καὶ τὸ Ἑλλην. κείμενον οὑτωσί·* "*μήποτε πνεύσας ἐκ τοῦ ἐναντίου συγκατασπάσῃ τὰ ἐμά, καί, ἃ μηδὲ ὄναρ ἐκεῖθεν ἤλπισα, γένηταί μοι* (ἤ, *πάθω*)."

[2] *Ἴδε τὴν πρὸς αὐτὸν παραινετικὴν ἐπιστολήν* (*PK'*).

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 956)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΛ'.*

[4] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 956)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΜΣΤ'.*

[5] *Τὸ παράνομον ἐκεῖνο λέγει συνέδριον.*

[6] *Πράξ. Ζ'*, 60· *καὶ Λουκ. ΚΓ'*, 34.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΣΤ'.—206.

Τῷ αὐτῷ.[1]

Οὐκ ἂν λάθοις, οὐδ' ἂν λάθῃς, τὸν ἀλάθητον ὀφθαλμὸν τοῦ Θεοῦ, ἐκεῖνα πράττων καὶ κατασκευαζόμενος, δι' ὧν ἡμᾶς ἐξάγοις βίᾳ τοῦ ζῆν. Ὁ γὰρ παρὰ τὸν ὁρισθέντα τῇ φύσει θάνατον ἕτερον τρόπον ἐλαύνων ἀνθρώπους τοῦ βίου, εἰ καὶ μὴ τῇ χειρὶ τὸ ξίφος φέρων βάπτοι τῇ σφαγῇ, ἀλλ' οὖν ἀνδροφόνος ἐστί, κἂν μήπω τὸν δήμιον ὁρᾷ.[2] Εἰ δὲ καὶ τὸ ταῦτα[3] διαφυγεῖν χαλεπώτερα τὰ ἐκεῖθεν δικαιωτήρια ποιεῖ, μέχρι τίνος οὐκ ἀποστήσῃ[4] σαυτὸν τῶν ἐκεῖσε πικρῶς οὕτω καὶ (ὡς οὐκ ἂν ἔγωγε βουληθείην, οὐδ' ἂν πλέον ἐπιβουλευθείην) μακρὰ καὶ μάτην οἰμώζοντα καὶ κατολοφυρόμενον παραπεμπόντων;[5]

ΕΠΙΣΤΟΛΗ ΣΖ'.—207.

Νικήτᾳ Πρωτοσπαθαρίῳ.[6]

Αὐχεῖς, ὅτι γονέων ἔφυς εὖ γεγονότων· ἐγὼ δέ σε ἠξίουν μᾶλλον μέγα φρονεῖν, εἰ

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 968)· παρὰ δὲ Μοναακ. Ἐπιστ. ΣΚΣΤ'.—Εὕρηται δὲ καὶ Γαλλιστὶ μεθηρμηνευμένη, μᾶλλον δ' οἰκειότερον εἰπεῖν παρηρμηνευμένη ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ (σελ. 262).

[2] Γραπτέον, ἔμοιγε δοκεῖ, "πρὸς τὸν δήμιον ὁρᾷ·" τοῦτ' ἔστι, κἂν μήπω πρὸς τὸν δήμιον ἀφορᾷ, ὥστε καλεῖν αὐτὸν πρὸς ἐκτέλεσιν τοῦ φόνου· τοῦτο δὲ καὶ ἡ Λατιν. δίδωσι νοεῖν μετάφρασις, "etiam cum carnificem non appellet," ὅπερ καὶ Ἰάγερος μετέφρασε "quoiqu'il n'appelle pas un exécuteur." Ἴσως δὲ καὶ ἄλλως ἂν θεραπευθείη, γραφόμενον "κᾆν μήπω τὰ τοῦ δημίου δρᾷ."

[3] Οὐκ οἶδ' ἀνθ' ὅτου Μοντακ. γραπτέον εἶναι εἰκάζει, "καὶ μετὰ τό."

[4] Ἴσ. ἄμεινον "οὐκ ἀποστήσεις."

[5] Οὐ τῶν ἀνθρώπων, ὡς Μοντακ. ὑπέλαβε, καὶ Ἰάγερος οὐδὲν ἧττον, ἀλλὰ τῶν ἔργων, τῶν παραπεμπόντων σε εἰς τὰ ἐκεῖ δικαιωτήρια, ἔνθα μέλλεις οἰμώζειν καὶ κατολοφύρεσθαι οὕτω πικρῶς, καὶ οὕτω μακρά, καὶ οὕτω μάτην, ὡς ἔγωγε οὐκ ἂν βουληθείην εὔξασθαί σοι, οὐδ' ἂν πλέον ἐπιβουλευθείην. Τοιοῦτός ἐστι κατ' ἐμὲ τοῦ χωρίου τούτου ὁ νοῦς· Ἰάγερος δὲ καὶ τοῦ Ἕλλην. κειμένου καὶ τῆς Λατιν. μεταφράσεως ἀποστάς, οὑτωσὶ μεταφράζει· "Si de telles actions rendent le jugement de Dieu plus terrible, comment ne cherchez-vous pas à vous séparer de ceux qui sont obligés d'y paraître pour recevoir ses châtiments, que je ne voudrais pas vous voir infliger, lors même que vous seriez encore plus dur envers moi. Mais c'est en vain que vous me tourmentez." Διὰ τί δὲ οὕτω μεταφράζει καὶ παρερμηνεύει τὰ λεγόμενα; ὅπως δείξῃ Φώτιον παραινοῦντα τῷ Πατρικίῳ Μανουὴλ ἀποστῆναι τοῦ Σμύρνης Μητροπολίτου Μητροφάνους, φίλου ὄντος αὐτῷ, καὶ κατ' αἴτησιν αὐτοῦ τοὺς λήρους ἐκείνους κατὰ Φωτίου γράψαντος (Ἴδε Προλεγ. σελ. 3, σημ. 2), οὓς δὴ καὶ Ἱστορικὸν μνημεῖον (monument historique) ἀποκαλεῖ ὁ Ἰάγερος!!! (ἴδε τῆς Ἱστορίας αὐτοῦ σελ. 262). Ἀναμνήσωμεν οὖν καὶ αὖθις Ἰαγέρῳ τὴν Ἰαγέρου ἀρχήν· "On décrit l'histoire, et on ne la fait pas."

[6] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 952)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΓ'. Εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 914, ἔκδ. Οἰσχελίου).

Digitized by Google

τοῦ γένους ἡγεμόνα σαυτὸν δι' ἀρετῆς προετίθεις· τὸ μὲν γὰρ ἐσθ' ὅτε καὶ ὁ χείριστος ἔξει λέγειν, τὸ δὲ μόνου καθέστηκε τοῦ ἀρίστου.

ΕΠΙΣΤΟΛΗ ΣΗ'.—208.

Θεοφίλῳ Πρωτοσπαθαρίῳ.[1]

Ταχὺ μανθάνεις τοὺς φίλους, ταχύτερον δ' ἀπομανθάνεις. Ἀλλ' ἔρρωσο, μήτε μανθάνων ῥᾷον, μήτ' ἀπομανθάνων· τὸ μὲν γάρ προπετοῦς καὶ κούφης διανοίας, τὸ δὲ γνώμης, ἵνα μηδὲν εἴπω φαυλότερον, ἀβεβαίου· κρίσει δὲ συνέσεως διδοὺς τό πρακτέον, ἵστασο μένων ἐν οἷς ἔδοξας μεμαθηκέναι.

ΕΠΙΣΤΟΛΗ ΣΘ'.—209.

Παντολέοντι Πρωτοσπαθαρίῳ.[2]

Ἐπὶ βίου δυσμὰς ἥκων εἰς τὰ τῶν σφριγώντων ἐλαύνεις νεανιεύματα· μᾶλλον δ' ἀληθέστερον εἰπεῖν, ἧττον φοβερὰ τὰ τῶν λῃστῶν δεικνύεις τολμήματα, ὅλας νύκτας καὶ ὅλας ἡμέρας δαπανῶν εἰς τὰς τῶν ἀνθρώπων μάστιγας, καὶ μικροῦ μηδὲ λιπών, οὓς ἔτι κολάζων ἔχεις, κακὸς εἶναι σεμνύνεσθαι. Φάλαρις ἴσως σοι καὶ Διονύσιος, καὶ οἷς ἐπὶ ὠμότητι μεῖζον ὄνομα, εἰς ἀγῶνα προκεῖσθαι πεφιλοτίμησαι·[3] *καὶ οὐχ ὅτι τούτοις σεαυτὸν ἐνάμιλλον, ἀλλ' εἰ μὴ μακρῷ παραδράμοις τούτους, τὸν βίον σοι ἀβίωτον νομίζεις. Ἀλλὰ παῖς πρὸς ἄνδρας ἀγωνίζεται· χωρὶς γὰρ τῶν, ἅπερ ἐκείνοις ἄλλως τε καὶ μεγαλείως διαπέπρακται, οὐδ' ἡ τυραννίς σοι τυραννίς, κἂν λίαν ἐκβιάζῃ, καὶ τοῦ παθεῖν ὁ χρόνος, ὧν πράττεις, τὰ ὅμοια οὐ μακράν. Οὔτε γὰρ οἱ νόμοι, καθ' οὓς αἱ πολιτεῖαι ζῶσι, τεθνήκασι, καὶ ὁ τῆς δίκης οὐκ ἀνέξοιτ' ἂν ἔτι ὀφθαλμός, ὥστε τῶν ἐν τοῖς ὄρεσι λῃστῶν τὴν ἀξίαν διδόντων ποινηλασίαν, τοὺς ἐν ταῖς πόλεσιν ἀναιδέστερον μιαιφονοῦντας, ὧν χείρω τετολμήκασιν, ἀδεέστερον βιώσεσθαι.*

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 953)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΚΓ'.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 932)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΚΒ'.—Ἐπεὶ δὲ τῶν ἐπιστολῶν τούτων, τῶν πρὸς τὸν Παντολέοντα, ἡ μὲν "Ἀσπαθαρίῳ," ἡ δὲ "Πρωτοσπαθαρίῳ" ἐπιγέγραπται, εἴκασεν ὁ Μοντακ. ἀπὸ Σπαθαρίου εἰς Πρωτοσπαθάριον προῆχθαι τὸν Παντολέοντα· ἀλλὰ τοῦτο μάλιστα δηλοῖ τὴν τῶν ἀντιγραφέων πλάνην, περὶ ἧς πολλάκις ἐν τοῖς ἔμπροσθεν εἴπομεν, ὅτι τὸ "Α' σπαθάριος (=Πρωτοσπαθάριος) ἀντὶ τοῦ ἁπλοῦ Σπαθάριος ἐξέλαβον, ὡς καὶ τὸ Α' Νοτάριος (=Πρωτονοτάριος) ἀντὶ τοῦ ἁπλοῦ Νοτάριος.*

[3] *Ἀνακόλουθον σχῆμα, εἰ μὴ γραφικόν ἐστιν ἁμάρτημα τὸ "Φάλαρις καὶ Διονύσιος," ἀντὶ "Φάλαριν καὶ Διονύσιον."*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΙ'.—210.

Τῷ αὐτῷ.[1]

Αἰγύπτιον ἦν τὸ ἀναφλεγόμενον γύναιον εἰς τὴν ἀνθοῦσαν ὥραν τοῦ Ἰωσήφ·[2] *ἀλλ' Ἰσραηλίτης ἦν ἐκεῖνος, εἰ καὶ παῖς, ὁ πάσας τοῦ ἀκολάστου ἔρωτος στρεψάμενος τὰς προσβολάς, καὶ οὐ μόνον τῶν βελῶν, οἷς αὐτὸν ὁπλίζουσιν οἱ μῦθοι, γυμνώσας, καὶ τῶν πτερῶν καὶ τοῦ πυρός, ἀλλὰ μηδ' ἂν ὑπάρξαι διελέγξας ὅλως, εἰ μὴ συνεῖχον αὐτὸν καὶ περιέθαλπον αἱ τῶν τοῖς αἰσχροῖς ἡδομένων ὁρμαί. Σὲ δέ, καίτοι τῆς χάριτος Ἰσραηλίτην ὄντα, καὶ πρὸς βίου βαθύνοντα πέρας, δέδοικα μὴ ἡ βάρβαρος πλεονεξία, οὐκ ἐρῶσα, πικρὸν δὲ καὶ ὀχληρὸν ἐραστὴν κτησαμένη, λάθῃ κατὰ μικρὸν εἰς ἔσχατον ἀπωλείας συνεφέλκουσα, καὶ καταλείψῃ*[3] *τοῦ σώφρονος Ἰωσὴφ ἀντίστροφον τῷ βίῳ διήγημα. Γέρων ἦρα*[4] *βαρβάρου μαχλάδος·*[5] *ἡ δὲ διεκρούετο· ἀλλ' ἐκεῖνος μέχρις ἐκείνου τὸν ἔρωτα ἔστησε, μέχρις ἐκείνη τὸν ἔξωρον ἐραστὴν τοῦ κόρου καὶ τῆς ὀχλήσεως μυσαχθεῖσα, βαθεῖ*[6] *τοῦ ὀλέθρου βαράθρῳ κατέῤῥαξε συνωθήσασα.*

ΕΠΙΣΤΟΛΗ ΣΙΑ'.—211.

Μιχαὴλ Πρωτοσπαθαρίῳ.[7]

Τὸ σῶμα ταῖς νόσοις, ἡ δὲ ψυχὴ τοῖς παθήμασιν, ὁ δὲ βίος ὅλος ταῖς ἐξ ἀνθρώπων

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 960)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΞΗ'.*

[2] *Γενέσ. κεφ. ΛΘ'.*

[3] *Ἡμ. διόρθ. ἀντὶ—καταλήψῃ.*

[4] *Ἡμ. διόρθ. ἀντὶ—ἦρας·—ἐντεῦθεν γὰρ ἄρχεται τοῦ διηγήματος, ὃ δῆθεν τῷ βίῳ περὶ τοῦ πλεονέκτου τούτου καταλειφθήσεται.*

[5] *Τῆς πλεονεξίας δῆλον ὅτι.*

[6] *Ἡμ. διόρθ. ἀντὶ—βάθει.*

[7] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 948)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΠΕ'.*— *Εὕρηται δὲ καὶ ἐν τῇ Ταγέρου Ἱστορίᾳ* (σελ. 243—4) *Γαλλιστὶ μεθηρμηνευμένη, καὶ τοιάνδε φέρουσα τὴν ἐπίκρισιν·* "Tels sont les plaintes amères et les noirs chagrins de Photius, qui nous montrent que le Saint Patriarche, comme l'appellent les Grecs, n'avait pas cette héroïque résignation, qu'ils ont cherché à nous faire admirer." *Κάκιστα δὲ καὶ ἐνταῦθα, ὥσπερ δὴ καὶ πανταχοῦ, τὰ Φωτίῳ εἰρημένα κατενόησεν ὁ Ἱστορικός. Οὐδὲν γὰρ περὶ ἑαυτοῦ λέγει Φώτιος, οὐδὲ δειλίαν, οὐδὲ θάῤῥος, ἐπιδείκνυται· ἀλλὰ τῶν διωκτῶν αὐτοῦ στηλιτεύων τὴν ὠμότητα, τὰς ἐκείνων ἐξαριθμεῖ βαρβαρικὰς πράξεις, τοσοῦτον μόνον περὶ ἑαυτοῦ ἐπιλέγων, ὡς ἀπορεῖν ἔστιν, ὅτι καὶ μετὰ τοσαῦτα κακὰ οὐκ ἐῤῥάγη τοῦ σώματος ἡ ψυχή· ἀλλὰ καὶ τούτου τὴν αἰτίαν ἔφθη προειπὼν εὐσεβέστατα,* "ὅτι τὸν βίον ἐπὶ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ σαλεύει."

Digitized by Google

ἐπηρείαις ἀπεῖπε ταλαιπωρούμενος· φίλων ἐρημία,[1] θεραπόντων αἰκισμοὶ καὶ αἰχμαλωσίαι,[2] συγγενεῖς τῇ τῶν ἀπειλῶν βαρύτητι διασπώμενοι,[3] στερήσεις καὶ αὐτῶν τῶν ἀναγκαίων, ἁρπαγαὶ βιβλίων, ἱερῶν ἐκπορθήσεις οἴκων, οὓς ἱλαστήριον ἡμεῖς ἐστησάμεθα, ψαλλόντων, ἀναγινωσκόντων, ἐν πᾶσι θείοις ὑπηρετούντων, κατὰ πάντων ἁπλῶς ἀποφάσεις πικραὶ καὶ ψηφίσματα, ἵνα μηδεὶς μηδὲ τοῦ παραγενέσθαι πρὸς ἡμᾶς πλησίον γένηται. Τί δεῖ τὰς ἐφημερίους ἀνακρίσεις λέγειν, καὶ κρίσεις, καὶ κατακρίσεις; ὧν οὐδεὶς οὔτε μάρτυς οὔτε κριτής, ἀλλ' οὐδὲ κατήγορος, οὐ καθ' ἡμῶν μόνον, ἀλλὰ καὶ κατὰ φίλων, καὶ κατὰ συγγενῶν, καὶ θεραπόντων, καὶ κατὰ πάντων ἁπλῶς, εἰς οὓς αὐτοὺς ἡ τοῦ μελετᾷν καθ' ἡμῶν ἐλαύνει ἐπίνοια.[4] Εἰ δὲ καὶ ἐξέλιπον[5] ἐξερευνήσεις ἐξερευνῶντες, οὔτε τῆς ἐκείνων γνώμης, οὔτε τῆς ἡμῶν ἀρετῆς, ἀλλὰ τῆς βαθείας καὶ ὑψηλῆς φιλανθρωπίας τοῦ Θεοῦ, ἧς μόνης ἠρτήμεθα, καὶ ἐφ' ᾗ τὸν βίον σαλεύομεν, τοσούτοις καὶ τηλικούτοις περιαντλούμενοι κύμασιν. Ἀντὶ δέ συγγενῶν, ἀντὶ φίλων, ἀντὶ δὲ θεραπόντων, ἀντὶ ψαλλόντων, ἀντὶ δὲ πάσης ἀνθρωπίνης παραμυθίας, τί; στρατιῶται καὶ κουστωδία καὶ τριβοῦνοι καὶ βικάριοι[6] καὶ στρατιωτικοὶ λόχοι περικάθηνται. Πῶς οὖν ἡ ψυχὴ τοσούτοις κακῶν δρεπάνοις διαιρουμένη τοῦ σώματος οὐκ ἐῤῥάγη καὶ ἐξέφυγε, τοῦτο καὶ ἡμᾶς εἰς ἀπορίαν περιίστησιν.

ΕΠΙΣΤΟΛΗ ΣΙΒ'.—212.

Θεοδότῳ Σπαθαροκανδιδάτῳ.[7]

Ἅπαντα μὲν τὰ ἀνθρώπινα συγκαταῤῥεῖ τῷ χρόνῳ καὶ ἀφανίζεται· ἀρετὴ δέ, ὥσπερ πυρὶ καὶ σιδήρῳ, καὶ πᾶσιν, οἷς ὑπείκει[8] τὰ ἐν γενέσει πάντα, ἀνάλωτος,[9] οὕτω καὶ χρόνου καὶ παθῶν καὶ αὐτοῦ θανάτου περιγίνεται. Εἰ δ' ἀκριβέστερον ἴδοις, τῷ χρόνῳ καὶ τῷ θανάτῳ μᾶλλον ἀναζῇ καὶ θάλλει, καὶ τὸ οἰκεῖον κλέος καὶ τὴν εὐπρέπειαν, ἐναποσβεσθέντος αὐτοῖς τοῦ φθόνου, λαμπρότερόν τε καὶ θαυμασιώτερον ἀναδέχεται. Τί οὖν σὺ τῶν μὲν μετ' ὀλίγον οὐκέτι ὄντων, ὡς ἀεὶ μενόντων, ἀντιποιῇ, ὀλιγωρεῖς δὲ τῶν ἀϊδίων, ὡς

---

[1] Ἡμ. διόρθ. ἀντὶ—ἠρεμία.

[2] "Ἵνα χρυσὸν καὶ ἄργυρον ἐκμηνύσωσιν," ὡς εἶπεν ἐν Ἐπιστολῇ ΡΜΣΤ'.

[3] Ἐκ διορθ. Μοντακ. ἡ προσθήκη τῆς Μετοχῆς—διασπώμενοι.

[4] Γραπτ. ἴσως—ἀπόνοια.

[5] Μοντακ. εἰκάζει γραπτ. εἶναι—ἐξέλιπόν ποτε.

[6] Κουστωδία, τριβοῦνοι, βικάριοι· λέξεις Λατινικαί (custodia, tribunus, vicarius), σημαίνουσαι, ἡ μὲν πρώτη φύλακας, ἡ δὲ δευτέρα στρατηγούς, ἡ δὲ τρίτη τοποτηρητάς· ἴδε ταύτας ἐν τῷ Λατιν. Λεξ. Σ. Κουμανούδη· πρὸς δὲ καὶ τὴν ἡμετέραν σημ. ἐν § κγ' τῶν Προλεγομ.

[7] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 956)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΚΔ'.

[8] Ἐκ διορθ. Μιγνίου, ἀντὶ—ὑπήκει—παρὰ Μοντακ. Οἰσχέλιος δὲ "ὑπόκειται" ἔγραψεν.

[9] Παρ' Οἰσχελίῳ—ἀνάλωτον.

Digitized by Google

ῥεόντων, οὐ χρυσῷ χαλκόν, τὸ ποιητικόν, ἀμείβων (βραχὺ γὰρ τὸ ἁμάρτημα, ὅτι φθαρτῆς ἑκάτερον καὶ ῥεούσης ὕλης), ἀλλὰ φθορὰν ἀφθαρσίας, καὶ φρονήσεως ἄνοιαν, καὶ δόξης αἰσχύνην, καὶ γέενναν οὐρανῶν βασιλείας ἀνταλλασσόμενος;

ΕΠΙΣΤΟΛΗ ΣΙΓ'.—213.

Σταυρακίῳ Σπαθαροκανδιδάτῳ, ἐπάρχοντι τῆς Κυπρίων νήσου.[1]

Τῶν ἰχθύων ὁ κέφαλος ἐπὶ τοῖς ἕλεσι τὰ πολλὰ τὸν βίον ἀνέχει. Οὗτος, ὡς ἡ θαλαττία πεῖρα βούλεται, γαστρός τε νεανικῶς κρατεῖ, καὶ τὴν σώφρονα δίαιταν νηχομένῃ φύσει πολιτεύεται· δι' ὃ ζώῳ μὲν οὐδενί, οὐδὲ τῶν εἰς ἅλωσιν ἑτοιμοτάτων, ἐπιτίθεται, ἀλλ' ἔστιν αὐτῷ ἅπαν τὸ ἐν θαλάσσῃ γένος ἡ φύσις κηρύκειον, καὶ σπονδαὶ τὸ ἔθος καὶ τῶν ὁρκίων τὸ ἀπαράβατον. Τοσοῦτον δ' αὐτῷ τῶν εἰρημένων ἡ φυλακὴ διεσπούδασται, ὥστε κἂν πειδὰν ἀνέμων βία καὶ θαλάττιοι τάραχοι τῆς ἐθίμου νομῆς ἀπελαύνωσι, τὸν δὲ λιμὸς συνεπιτιθέμενος ἀπάγῃ[2] *τῆς πατρίδος, καὶ πλανᾶται κατὰ τροφῆς ζήτησιν ὁ κέφαλος, οὐδ' οὕτως αὐτῷ τὰ τῆς πατρίδος παραλύεται νόμιμα· ἀλλὰ καὶ μετανάστης γενόμενος, καὶ τῆς τροφῆς, ἂν οὕτω τύχῃ, πρὸ τῶν ὀφθαλμῶν πολλάκις ἐγκειμένης, καὶ τοῦ λιμοῦ λῦσαι τοὺς νόμους ἐπαναγκάζοντος, οὔτε τῷ φαινομένῳ δελεάζεται, οὐθ' ὑπείκει τῷ βιαζομένῳ· ἀλλ', ὡς ἔφημεν, καὶ πρὸ τῆς ὄψεως ἐγκειμένου τοῦ θηράματος, αὐτὸς σωφρονεῖ, καὶ λιμοῦ καὶ γαστρὸς καὶ τοῦ κινοῦντος τὴν ὄρεξιν ἔξωθεν, ἐπικρατεστέραν τὴν ἔμφυτον φιλοσοφίαν ἐπιδείκνυσιν. Δι' ὃ ἂν μὲν ἔτι ζῇ τὸ προκείμενον, οὐ φθείρειν τὸ ὁμόφυλον ἀνεχόμενος, οὐδαμῶς τῆς θοίνης ἐφάπτεται· ἂν δὲ τῆς ζωῆς ἠρημωμένον πρόκειται, τῷ μηκέτι ὄντι, μηδ' ἀλγηδόνα λαμβάνοντι, τούτῳ τοῦ λιμοῦ τὴν βίαν παραμυθεῖται καὶ διαλύεται.*[3] *Ὁ μὲν οὖν κέφαλος ὁ ἰχθὺς οὐδὲ τῶν ἀναισθήτων σωμάτων, ἂν μὴ λίαν ὁ λιμὸς ἐπιτίθηται καὶ νικᾷ τὴν φύσιν, οὔμενουν οὐ προσάπτεται. Σὺ δὲ ζῶντας ἀνθρώπους ὅλους αὐταῖς περιουσίαις, καὶ τότε τρυφῶν (τί γάρ με δεῖ λέγειν μηδεμιᾶς ἀνάγκης ἐπικειμένης;), ἀνέδην οὕτω καὶ πρὸς αὐτῆς τῆς πατρίδος ὀφθαλμοῖς χανδὸν καταπίνων, καὶ ἀκορέστως καταβοσκόμενος, τίνα λόγον ἐκεῖθεν ἕξεις, ὅτε μηδ' ἐνταῦθα πρὸς τοὺς ἰχθύας εὑρίσκεις χώραν παραβάλλεσθαι;*

---

[1] *Ταύτην, ἐν τῇ Μοντακ. συλλογῇ οὐ περιεχομένην, ἐκ τοῦ συγγράμματος τοῦ Βαπτιστοῦ Κοτελερίου, οὗ καὶ ἐν τοῖς ἔμπροσθεν (Ἐπιστ. ΡΜΑ') ἐμνήσθην, ἀντέγραψα. Ἐκ τοῦ αὐτοῦ δὲ καὶ Μίγνιος παραλαβὼν ἐν ταῖς ἐπιστολαῖς Φωτίου (στλ. 984) κατέλεξεν.*

[2] *Ἡμ. διόρθ. ἀντὶ—ἀπάτῃ.*

[3] *Τοῦτο παρ' Αἰλιανῷ (περὶ φύσεως ζώων, βιβλ. Α', 3) οὕτως ἱστορεῖται.—" Ὁ ἰχθὺς ὁ κέφαλος τῶν ἐν " τοῖς ἕλεσι βιούντων ἐστί, καὶ πεπίστευται τῆς γαστρὸς κρατεῖν, καὶ διαιτᾶσθαι πάνυ σωφρόνως. Ζώῳ " μὲν γὰρ οὐκ ἐπιτίθεται, ἀλλὰ πρὸς πάντας τοὺς ἰχθῦς ἔνσπονδος εἶναι πέφυκεν· ὅτῳ δ' ἂν ἐντύχῃ κει- " μένῳ, τοῦτο οἱ δεῖπνόν ἐστιν· οὐ πρότερον δὲ αὐτοῦ προσάπτεται, πρὶν ἢ διὰ τῆς οὐρᾶς κινῆσαι· καὶ " ἀτρεμοῦντος μέν, ἔχει τὴν ἄγραν· κινηθέντος δέ, ἀνεχώρησεν."*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΙΔ'.—214.

Ἰωάννῃ Πρωτοσπαθαρίῳ καὶ στρατηγῷ Πελοποννήσου.

Ἄνω ποταμῶν ἡ παροιμία[2] *ἐπὶ καιροῦ ἂν φαίη τὰ πράγματα. Ἰωάννης ὁ καλός τε καὶ ἀγαθὸς ἐξαίφνης (ἔτι γὰρ εὐλαβοῦμαι αὐτὸ*[3] *τοὐναντίον εἰπεῖν) οὐκ ἔστιν οἷός περ ἦν, οὐδ' οἷον αὐτὸν μένειν εὐχόμεθα· ἀλλ' ἐνταῦθα ἡλικίας ἐλθών, καὶ πρὸς δυσμὰς ἐλαύνων βίου, μεταβέβληται. Ἔρρει τὰ καλά·*[4] *τέθνηκε δ' ἀρετή, καὶ λήθης τάφῳ φιλία καλύπτεται· καὶ φίλος ἐκεῖνος, οὐχ ὅστις ἐξ ὅλου λέγει τοῦ νοῦ, καὶ ἀδόλως διὰ βίου μένει φιλῶν, ἀλλ' ὅστις ὑφάλῳ γνώμῃ κατὰ πρόσωπον μὲν ἡδέως γαληνιῶν ὁμιλεῖ, ἔξω δὲ γενόμενος ὀφθαλμῶν, τρικυμίας ἀπάσας ἐγείρει πονηριῶν.*

ΕΠΙΣΤΟΛΗ ΣΙΕ'.—215.

Θεοφίλῳ Πρωτοσπαθαρίῳ καὶ Σακελλαρίῳ.[5]

Τὸ μὲν δίκην ἀπαιτεῖν τὸν ἠδικηκότα ἀνθρώπινον· τὸ δὲ μὴ ἀμύνεσθαι φιλόσοφον· τὸ δὲ καὶ εὐεργεσίαις ἀμείβεσθαι λοιπὸν ἤδη θεῖον, καὶ μιμητὰς τοῦ ἐν οὐρανοῖς Πατρὸς τοὺς γηγενεῖς ἀποφαῖνον. Τὸ μέντοι χειρῶν ἄρχειν ἀδίκων, ἐπεὶ χώραν ἐν τοῖς εἰρημένοις οὐδεμίαν ἔχει, ἢ θηρίων πάντως, ἢ δαιμόνων πρᾶξιν ἐμφανίζει, κἂν ἀνθρώπινον εἴη σχῆμα περιδεδυκὼς ὁ πράξας. Τεσσάρων οὖν χαρακτήρων ταῖς πράξεσιν ἐνθεωρουμένων, αὐτὸς κατὰ σεαυτὸν τὸν προσφυῆ τύπον τῇ νυνί σου πράξει περιαρμόσας, εἶτα κατιδὼν ὄψει, κἂν ἄλλος σοι μὴ ὑποδεικνύῃ (φεῦ τοῦ αἰσχίστου θεάματος!), τίνος σεαυτῷ τοῖς ἔργοις διεκόλαψας εἰκόνα.

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 928)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. Ε'.—Τὸ δὲ "Πελοποννήσου" κακῶς παρὰ Μοντακ. καὶ Μιγνίῳ γέγραπται "Φιλοπονήσου," ὃ δὴ καὶ Μοντακούτιος γραπτέον εἶναι εἶπασε "Πελοποννήσου," καὶ Μάϊος ὁ Καρδινάλιος οὕτω διωρθώσατο* (Spicileg. Rom. Tom. X, p. xxiii). *Ἔστι δ', ὡς ἔοικεν, ὁ Ἰωάννης οὗτος, πρὸς ὃν καὶ δύο ἄλλας ἔγραψε Φώτιος ἐπιστολὰς (ΡΙΗ' καὶ Σ'), ἐν αἷς αὐτὸν Πατρίκιον καὶ στρατηγὸν Ἑλλάδος ἐπιγράφει.*

[2] *Ἴδε τὰ περὶ τῆς παροιμίας ταύτης ἐν Ἐπιστ. Λ' σημειωθέντα.*

[3] *Γραπτέον, οἶμαι—αὐτῷ.*

[4] *Ἴδε καὶ περὶ τῆς παροιμίας ταύτης τὰ ἐν Ἐπιστ. ΡΨ' σημειωθέντα.*

[5] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 965)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΨΓ'.—Εὕρηται δὲ καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ* (σελ. 261) *Γαλλιστὶ μεθηρμηνευμένη.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΙΣΤ'.—216.

Λέοντι Σπαθαρίῳ τῷ ἐπιλεγομένῳ Δράκοντι.[1]

Πολλοὶ πρὸς ἡμᾶς λύκοι τὴν γνώμην παρεγένοντο, προβάτων ἐνδύματα φοροῦντες, καὶ τῷ ἔξωθεν σχηματισμῷ τὴν ἔσωθεν περιστέλλοντες κακίαν· ἀλλὰ τούτων οἱ πλείους οὐκ ἔλαθον ἐπὶ πολύ, τοῦ χρόνου φωράσαντος αὐτῶν τὴν τέχνην καὶ τὴν περιβολὴν τῆς δορᾶς, οὐκ εἰς μάτην μόνον ἐπινοηθεῖσαν, ἀλλὰ καὶ διπλῆν ἐπιδεικνύντος, τοὐναντίον ἥπερ ἐβούλοντο, τὴν προσοῦσαν αὐτοῖς πονηρίαν, τήν τε κρυπτομένην φημὶ καὶ τὴν κρύπτουσαν. Ἡ δὲ σὴ μεγαλειότης, ὡς ἔοικεν, ἐκ πολλοῦ τοῦτο καὶ μελετήσασα καὶ τεχνάσασα,[2] σοφὴ τοῦ καλύπτειν ἐγένετο τὸ θηρίον, καὶ μέχρις ἂν ἀρνίῳ περιέτυχε, τὴν δορὰν οὐκ ἀπέθετο· ἐπιτυχοῦσα δέ, καὶ ἀπεδύσατο, καὶ τὸν θῆρα ἔδειξε· καὶ τοσοῦτον, τό γε αὐτῆς μέρος, τὰ προστυχόντα διέφθειρεν, ὅσον οὐδὲ τὰ προφανέστατα τῶν ἀγριωτάτων θηρίων[3] ἐλυμήνατο ἄν. Ἀλλὰ χαίρομεν κἀν τούτῳ, ὅτι λαθοῦσα προέλαβεν ἡμᾶς κρυπτομένη κακία, ἢ προκατελάβομεν ἡμεῖς κολάσαι ὑπονοουμένην μοχθηρίαν· τὸ μὲν γὰρ[4] καὶ σφάλοι ἂν πολλάκις οὐκ ἐπ' ὀλίγον· τὸ δὲ καὶ λαθὸν τὴν ὑστάτην οὐκ ἂν φύγοι δίκην. Ἀλλὰ ταῦτα γράφομεν, οὐχ ἵνα ἐπιστραφῇς (ἐπιστραφήσῃ γὰρ καὶ μὴ θέλων), ἀλλ' ἵνα γνῷς, ὡς οὐδὲ τὴν ἀρχὴν ἔλαθες ἂν ἡμᾶς, εἰ μὴ συνεργὸν εὗρες τὴν ἡμετέραν φιλανθρωπίαν. Τὰ δ' ἄλλα ἐῤῥῶσθαί σε τὴν ψυχὴν μᾶλλον ἢ τὸ σῶμα ἐπευχόμεθα· καὶ τῶν τετολμημένων διὰ μετανοίας τὰ στίγματα ἀπαλείψαντα, καὶ οὐ τὸ πρόβατον, ἀλλὰ τὸ θηρίον εἰς τὸ παντελὲς ἀπεκδυσάμενον, μήτε ἐνταῦθα, μήτε ἐκεῖθεν εὐθύνας ὑφέξειν.

ΕΠΙΣΤΟΛΗ ΣΙΖ'.—217.

Ἰωάννῃ Σπαθαρίῳ.[5]

Οὐκ ἐλύπησας, ὅτι ἠπάτησας, καὶ συχνὸς ὁ χρόνος, ἐξ οὗ τὸν ὄφιν ὑπ' ἀνθρώπου μορφῇ κατεῖχες κρυπτόμενον· ἀλλ' ὅτι κακὸς ἐφάνης, καὶ φίλων ἐχθρός, καιροῖς δουλεύων.

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 933)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΚΘ'.

[2] Ἡμ. διόρθ. ἀντὶ—τεχνώσασα·—τὸ μὲν γὰρ τεχνόω=διδάσκω τινὰ τέχνην· τὸ δὲ τεχνάω καὶ τεχνάζω =ποιῶ τι ἐν τέχνῃ, ἐπινοῶ, μηχανῶμαι, ὅπερ ἐνταῦθα βούλεται λέγειν.

[3] Ἡμ. διόρθ. ἀντὶ—θηρῶν· πλὴν εἰ μὴ τῷ κατὰ συνωνυμίαν ἐχρήσατο σχήματι.

[4] Τὸ μὲν γάρ . . . τὸ δὲ=τοῦτο μὲν γάρ . . . ἐκεῖνο δέ.

[5] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 945)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΟΘ'.—Ἴδε καὶ Ἐπιστ. ΡΛΒ', πρὸς τὸν αὐτὸν γεγραμμένην, καὶ παραινοῦσαν πατρικῶς τὰ προσήκοντα πράττειν· ἐπεὶ δ', ὡς ἔοικεν, ἀπατεὼν ἐξηλέγχθη, τὴν παροῦσαν ἔγραψεν αὐτῷ ἐπιστολήν.

Digitized by Google

καὶ ἀπάτῃ ἐπερειδόμενος. Εἰ δέ σε μὴ κακὸν ἡ πρᾶξις ἐδείκνυ, καὶ εἰς ζῆλον εἶλκε τοῦ προδότου τὸ κακοῖς τὸν εὐεργέτην ἀμείβεσθαι, εὖ ἴσθι, ὡς καὶ εὔφρανας ἂν ἐκ τοῦ πάσχειν ἡμᾶς, οἷς καθαιρόμεθα, αὐτός τι τῶν ἀγαθῶν ἐκκαρπούμενος.

ΕΠΙΣΤΟΛΗ ΣΙΗ'.—218.

Τῷ εὐσεβεστάτῳ καί μεγάλῳ βασιλεῖ Βασιλείῳ.[1]

Ἄκουσον, ὦ φιλανθρωπότατε Βασιλεῦ.[2] Οὐ προβάλλομαι νῦν παλαιὰν φιλίαν· οὐ φρικώδεις ὅρκους καὶ συνθήκας· οὐ χρίσμα καὶ χειροθεσίαν βασιλείας· οὐχ ὅτι ταῖς ἡμετέραις χερσὶ προσιὼν τῶν φρικτῶν καὶ ἀχράντων μετεῖχες μυστηρίων· οὐδὲ τὸν δεσμόν, ὃν[3] ἡμᾶς ἡ τοῦ καλοῦ παιδὸς υἱοθεσία συνέδησεν.[4] Οὐδὲν τούτων λέγω· ἀλλὰ τὰ κοινὰ τῶν ἀνθρώπων προτείνω σοι δίκαια. Πάντες γὰρ καὶ βαρβάρων καὶ Ἑλλήνων, οὓς μὲν θανάτου κρίνουσι, τοῦ βίου ἐξάγουσιν, οὓς δὲ ζῆν ἐῶσι, λιμαγχονίᾳ καὶ μυρίοις ἄλλοις κακοῖς θανεῖν οὐ βιάζονται. Ἡμεῖς δὲ βίον βιοῦμεν θανάτου πικρότερον· ἠχμαλωτίσμεθα, πάντων ἐστερήμεθα, συγγενῶν, ὑπηρετῶν, συνήθων, πάσης ἁπλῶς ἀνθρωπίνης θεραπείας. Καίτοι γε Παῦλος ὁ θεῖος, περιαγόμενος δέσμιος, τῆς ἀπὸ τῶν γνωρίμων καὶ συνήθων θεραπείας ἀπολαύειν οὐκ ἐκωλύετο· ἀλλὰ καίτοι τὴν ἐπὶ θανάτῳ ἀγόμενος, ἀνθρωπίνης καὶ παρὰ τῶν μισοχρίστων Ἑλληνιστῶν ἐτύγχανεν ἡμερότητος.[5] Ἀλλ' ἴσως

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 765)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΨΖ'.—Τὴν θαυμαστὴν ταύτην ἐπιστολὴν ἀπὸ τοῦ δεσμωτηρίου πρὸς τὸν Αὐτοκράτορα Βασίλειον ἔγραψε, τά τε ἄλλα καὶ τὴν τῶν βιβλίων στέρησιν, ἣν κατ' αὐτοῦ ἐμηχανήσαντο (ἴδε Προλεγ. § μέ), μετὰ παῤῥησίας δικαίας δεινολογούμενος, καὶ ἅμα μὲν τὸ προσῆκον τῷ βασιλεῖ σέβας συντηρῶν, ἅμα δ' ἐλέγχων τὴν πρὸς αὐτὸν ὠμότητα, καὶ νουθετῶν πατρικῶς τοὺς κοινοὺς τῶν ἀνθρώπων νόμους καὶ τὰ κοινὰ τῶν Ῥωμαίων αἰδεῖσθαι δίκαια. Θαυμάζουσι δὲ τὴν ἐπιστολὴν ταύτην ἄλλοι τε καὶ Δουπῖνος αὐτός, λέγων· "La quatre-ving-dix.-septième lettre de Photius est écrite à l'Empereur Basile, après qu'il l'eût chassé du Siége de Constantinople. Il s'y plaint de mauvais traitemens qu'on lui fait souffrir, et particuliérement de ce qu'on lui a ôté ses livres. Il décrit pathétiquement la persécution qu'il endurait, et parle avec hardiesse et avec force à l'Empereur (Hist. des auteurs Eccles. par El. Du Pin. Tom. VII, p. 105)· ἕνα δὲ μόνον ἴσμεν ἡμεῖς τῶν τὴν ἐπιστολὴν ταύτην ἀναγνόντων, ὃν οὐδὲν ἴσχυσε μαλάξαι, οὔτε τῶν ἰδεῶν τὸ εὐγενὲς ἅμα καὶ εὐσεβές, οὔτε τοῦ λόγου τὸ κάλλος, οὐτ' ἄλλη τις τῶν ἀρετῶν, αἳ μάλιστα ἐν τῇδε τῇ ἐπιστολῇ διαλάμπουσιν· ἔστι δ' οὗτος Ἰάγερος, ὃς καὶ ταύτην μεταφράσας (Hist. de Photius, p. 254—8), λάβρος ἐπιτίθεται Φωτίῳ, πολλὰς προτάσσων καὶ ἐπιτάσσων ὕβρεις κατ' αὐτοῦ καὶ βλασφημίας, καὶ πᾶσαν τοῦ ἀοιδίμου Πατριάρχου ἀρετὴν διὰ τῆς ἀντιθέτου ἐκφέρων κακίας, ὡς ὀρθῶς ὁ καὶ τοῦτο δικαίως καὶ προσηκόντως τὸν σοφὸν ἐλέγξας Ἀββᾶν μεγάτιμος τῶν Παπιστικῶν ἐλέγχων συγγραφεύς ἀπεφήνατο (Ἴδε Παπ. ἐλέγχ. Τόμ. Β', σελ. 225—6).

[2] Μοντακ. εἰκάζει προσθετέον εἶναι "Βασίλειε·" ἀλλὰ περιττὴ πάντως ἡ προσθήκη, ἤδη τοῦ ὀνόματος ἐν τῇ ἐπιγραφῇ δεδηλωμένου.

[3] Καὶ τοῦτο Μοντακ. διορθωτέον εἶναι λέγει "ᾧ·" ἀλλὰ περιττή, οἶμαι, ἡ διόρθωσις.

[4] Ἦν γὰρ Φώτιος Στεφάνου τοῦ Βασιλείου ἀνάδοχος.

[5] Πράξ. ΚΖ', 1—4.

Digitized by Google

ὁ μακρὸς χρόνος, εἰ καὶ μὴ Ἀρχιερεῖς Θεοῦ, ἀλλ' οὖν γέ τινας κακουργούς, τοιαῦτα δείκνυσι πεπονθότας· ἀλλ' ὅτι ἐστερήθημεν καὶ βιβλίων, καινὸν τοῦτο καὶ παράδοξον, καὶ νέα καθ' ἡμῶν ἐπινενοημένη τιμωρία. Ἵνα τί γένηται; ἵνα μὴ ἀκούωμεν μηδὲ λόγον Κυρίου. Μὴ γένοιτο ἐπὶ τῆς σῆς βασιλείας ταύτην τὴν ἀρὰν πληρωθῆναι, ὅτι ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις λιμὸς ἄρτου, καὶ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου.[1] Διὰ τί γὰρ ἡμῶν ἀφῃρέθη τὰ βιβλία; Εἰ μὲν γάρ τι ἀδικοῦμεν, πλείονα ἔδει δοθῆναι, καὶ δὴ καὶ τοὺς διδάσκοντας, ἵνα καὶ ἀναγινώσκοντες μᾶλλον ὠφελώμεθα, καὶ ἐλεγχόμενοι διορθώμεθα· εἰ δὲ μηδὲν ἀδικοῦμεν, τί ἀδικούμεθα; Οὐδεὶς τοῦτο τῶν ὀρθοδόξων οὐδ' ὑπὸ τῶν ἑτεροδοξούντων πέπονθεν. Ἀθανάσιος ὁ πολύαθλος τοῦ θρόνου πολλάκις καὶ ὑπὸ αἱρετικῶν καὶ ὑπὸ Ἑλληνιστῶν ἀπελήλαται·[2] ἀλλ' οὐδεὶς αὐτοῦ τῶν βιβλίων ἀφαίρεσιν ἐψηφίσατο. Εὐστάθιος ὁ θαυμάσιος τὴν ἴσην ἐπιβουλὴν παρὰ τῶν Ἀρειανιζόντων ὑπήνεγκεν·[3] ἀλλ' οὐχ, ὡς ἡμεῖς, καὶ τὰ βιβλία ἀφῄρηται. Παῦλος ὁ ὁμολογητής,[4] Ἰωάννης ὁ Χρυσόστομος,[5] Φλαβιανὸς ὁ θεσπέσιος,[6] μυρίοι ἄλλοι· τί γὰρ δεῖ νῦν τούτους ἀριθμεῖν, οὓς ἡ ἐν οὐρανοῖς βίβλος ἀπεγράψατο; Καὶ τί λέγω τοὺς ὀρθοδόξους καὶ ἁγίους Ἀρχιερεῖς; Εὐσέβιον καὶ Θεογόνιον, καὶ σὺν αὐτοῖς ἄλλους ἀνθρώπους αἱρετικούς, ὁ μέγας Κωνσταντῖνος διὰ τὴν αὐτῶν δυσσέβειαν καὶ τὸ τῆς γνώμης παλίμβουλον ὑπερορίους ἐποιήσατο· ἀλλ' οὔτε τῶν ὑπαρχόντων ἐγύμνωσεν, οὔτε βιβλίοις προσεζημίωσεν· ᾐσχύνετο γὰρ λόγου κωλύειν, οὗς, ὅτι ἀλόγως ἔπραττον, ἐξορίᾳ κατεδίκαζεν. Νεστόριος ὁ δυσσεβὴς ἐξορίζεται· Διόσκορος πάλιν· Πέτρος ὁ δείλαιος· Σεβῆρος καὶ πολλοὶ ἄλλοι· ἀλλ' οὐδεὶς αὐτῶν βιβλίων αἰχμαλωσίαν ὑπέμεινεν. Τί δὲ λέγω τὰ παλαιά; Λέοντα τὸν δυσσεβῆ πολλοὶ καὶ τῶν ἔτι περιόντων ἴσασι θηρίου μᾶλλον ἢ ἀνθρώπου φύσιν ἐπιδειξάμενον· ἀλλ' οὗτος τὸν μέγαν καὶ ὡς ἀληθῶς Νικηφόρον ἐλαύνων τοῦ θρόνου,[7] καὶ ἐξορίᾳ παραδιδούς, οὐχ ὅτι καὶ τῶν αὐτοῦ βιβλίων ἐποίησεν ὑπερόριον· οὔμενουν, οὐδὲ ἐλιμοκτόνησεν, ὡς ἡμεῖς λιμαγχονούμεθα· καίτοι οὐδὲν ἧττον τὸν ἀθλητὴν ἐπεθύμει θανεῖν, *καὶ* ἢ τὴν αὐτοῦ βασιλείαν εἰς μῆκος χρόνων, δι' ὧν ἠσέβει[8] πάντα, παραταθήσεσθαι, ἀλλ' ὅμως ὄνομα λαβεῖν ἀνδροφονίας ἐφυλάττετο· οὐ τὰς σάρκας τῶν ὑπηρετούντων αὐτῷ λῃστῶν καὶ προδοτῶν δίκην κατέκοψε, καίπερ δυσσεβῶν τ' ἄλλα, καὶ πνεόντων ὠμότητα· οὐ τῶν συγγενῶν τὴν ὁμιλίαν ἐκώλυσεν· οὐχὶ τῶν ὑπαρχόντων ζημίαν ἐπήνεγκεν·[9] ᾐδέσθη

---

[1] Ἀμώς. Η', 11.

[2] Ἴδε τὸν βίον Ἀθανασίου ἐν τῇ φιλολ. καὶ κριτ. Ἱστ. τῶν Πατέρων ὑπὸ Κ. Κοντογόνου Τομ. Β σελ. 83—164.

[3] Αὐτόθι, σελ. 75—83.

[4] Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 347.

[5] Αὐτόθι. Τόμ. Β', σελ. 17.

[6] Αὐτόθι, σελ. 22.

Αὐτόθι, σελ. 259.

[8] Ἡμ. διόρθ. ἀντὶ—ἐσέβει.

[9] Ἡμ. διόρθ. ἀντὶ—ὑπήνεγκεν.

Digitized by Google

γάρ, Χριστιανισμὸν ὑποκρινόμενος, Ἑλλήνων ὠμότερα διαπράττεσθαι· ἐκεῖνοι γὰρ ἀναιροῦντες τοὺς μάρτυρας, ὅμως οὔτε θεραπείας τῆς παρὰ τῶν οἰκείων τυγχάνειν ἐκώλυον, οὐδὲ τῶν ὑπαρχόντων ἀφῃροῦντο τὴν κυριότητα. Οὐ μὴν οὐδὲ ψαλμῳδίας ἐκεῖνος ἐξέκοψεν, ἀλλὰ καὶ πολλῶν μοναζόντων συναυλίαν ἀνεδίδου παραμύθιον· οὐ τοὺς ἀφιερωθέντας αὐτῷ οἴκους Θεοῦ καὶ ναοὺς κατεστρέψατο· ἐδυσωπεῖτο γάρ, ὡς ἐνόμιζεν, ἀνθρώπῳ προσκρούων, τοῖς θείοις ἔργοις ἐπιλυμαίνεσθαι. Καθ' ἡμῶν δέ, οἴμοι, πάντα καινά, καὶ τραγῳδίας ἐπέκεινα· αἰχμάλωτοι πάντων,[1] ἔρημοι φίλων, ἔρημοι συγγενῶν, ὑπηρετούντων, ἔρημοι ψαλλόντων, μοναζόντων· ἀντὶ δὲ φίλων, ἀντὶ μοναζόντων, ἀντὶ ψαλλόντων, ἀντὶ πάντων ἁπλῶς, στρατιωτῶν κουστωδίαις, καὶ στρατιωτικοῖς λόχοις ἐκδεδόμεθα. Κατεστράφησαν οἶκοι Θεοῦ, καὶ λελωβημένα σώματα πενήτων μετανέστησαν, καὶ τὰ ὑπάρχοντα αὐτοῖς ὡς πολεμίων ἐδημοσιώθησαν λάφυρα· ἵνα τί γένηται; ἵνα ἡμεῖς ἀνιάσωμεν.[2] Λίαν πικρῶς ἠνιάσαμεν· ἱλαστήριον γὰρ ἡμῖν ἁμαρτημάτων ἐκεῖνοί τε καὶ ἡ περὶ αὐτοὺς θεραπεία[3] Θεῷ ἀφιέρωτο· ἀλλ' ἔδει συνιδεῖν, μήποτε καὶ Θεὸς ἡμῖν ὁ ζημιούμενος μᾶλλον συναλγήσειεν, εἴπερ αὐτός ἐστιν ὁ τὰ τῶν πενήτων οἰκειούμενος. Σωμάτων μὲν κακώσεις νόμοι Ῥωμαίων τοῖς ἐπὶ κακουργίᾳ ἁλοῦσιν εἰς κάθαρσιν ψυχῆς ἐπενόησαν· ψυχῆς δὲ κακώσεις καὶ ἐπιβουλὰς οὐδ' ἀκοῇ μέχρι νῦν παρά τισιν ἀνθρώπων ἐπιτηδευομένας παρειλήφαμεν, εἰ καὶ νῦν τῇ πείρᾳ μανθάνομεν· τοῦτο γὰρ δῆλον ὅτι ποιεῖ ἥ τε τῶν βιβλίων ἀφαίρεσις, καὶ τοῦ λύτρου τῶν ἁμαρτημάτων ἡ καταστροφὴ καὶ ἀναίρεσις· ἡ μὲν αὐτῆς τὸ ὄμμα τῆς θεωρίας ἐναποσβεννῦσα καὶ διαφθείρουσα, ἡ δὲ τὸ κάλλιστον τῶν πράξεων παρασπωμένη καὶ καταλύουσα. Τίς ἤκουσεν ἐξ αἰῶνος κατὰ ψυχῶν ἀνθρωπίνων πόλεμον ὑπὸ ἀνθρώπων ἐπινοούμενον; οὐ γὰρ ἱκαναὶ κενῶσαι πᾶσαν ὀργὴν αἱ τιμωρίαι τοῦ σώματος, ὑπερορία, καὶ αἰχμαλωσία, καὶ λιμός, καὶ φρουρά, καὶ θάνατος καθ' ἑκάστην ἐπαγόμενος, καὶ τοσούτῳ μόνον τοῦ ζώου φειδόμενος, ὅσῳ μὴ συνανελεῖν καὶ τῶν ἀλγεινῶν τὴν συναίσθησιν· ὅπερ ἐστὶ τὸ πικρότατον τοῦ θανάτου κέντρον καὶ ἡ ἀφόρητος βάσανος· ἵνα καὶ τὰ τῶν θνησκόντων πάσχωμεν, καὶ τῷ θανάτῳ τὰ πάθη μὴ συνδιαλύοιτο· ὃ μόνον ἦν, ὡς ἐν τηλικούτῳ κακῷ, τοῖς θνήσκουσι παραμύθιον.

Σκόπησον, ὦ βασιλεῦ, ταῦτα κατὰ σεαυτόν· καὶ εἰ μὲν ἀθωοῖ σε τὸ σὸν συνειδός, πρόσθες καὶ ἕτερα καθ' ἡμῶν, ἂν ἄρα τι καὶ παραλέλειπται· εἰ δὲ καταδικάζει, μὴ ἀναμείνῃς τὴν ἐκεῖθεν καταδίκην, ὅτε καὶ ἡ μεταμέλεια ἄχρηστος. Ἐγὼ δέ σου δέομαι καινὴν ἴσως δέησιν, ἀλλ' ἐπὶ καινοτάτοις προσαγομένην. Στῆσον, ὦ βασιλεῦ, τὰ κακά, ᾧ βούλει τρόπῳ· ἢ τοῦ βίου τάχιον ἡμᾶς, καὶ μὴ μετὰ τῆς πολλῆς ταύτης καὶ ἀφάτου ταριχείας, ἐξάγων, ἢ τὴν ὑπερβολὴν ἀνακόπτων τῶν δυσχερῶν. Μνήσθητι, ὅτι ἄνθρωπος εἶ, κἂν βασιλεύεις· μνήσθητι, ὅτι σάρκα περικείμεθα τὴν αὐτὴν καὶ βασιλεῖς καὶ ἰδιῶται, καὶ τῆς αὐτῆς κοινωνοῦμεν φύσεως· μνήσθητι, ὅτι κοινὸν Δεσπότην ἔχομεν καὶ πλάστην καὶ

---

[1] Μοντακ. τοῦτο διορθοῦται—πάντως'—ἔμοιγε δὲ δοκεῖ γραπτέον εἶναι "αἰχμάλωτοι, πάντων ἐστερημένοι, ἔρημοι φίλων, κ.τ.λ." Οὕτω γὰρ καὶ ἀρχόμενος εἶπεν· "ἠχμαλωτίσμεθα, πάντων ἐστερήμεθα, κ.τ.λ."

[2] Ἴδε Προλεγ. § μβ'.

[3] Ἡμ. διόρθ. ἀντὶ—ἐκεῖνοι τε καὶ οἱ περὶ αὐτούς, θεραπείᾳ Θεῷ ἀφιέρωτο.

Digitized by Google

κοινὸν κριτήν.[1] Τί τὴν σὴν ἐπιείκειαν ταῖς καθ' ἡμῶν κακώσεσιν ἐξελέγχεις; τί τὴν σὴν χρηστότητα ταῖς εἰς ἡμᾶς ἐπηρείαις διαβάλλεις; τί δὲ τὴν φιλανθρωπίαν εἰς ὑπόκρισιν καὶ σχῆμα πραότητος τῇ καθ' ἡμῶν ὀργῇ καὶ βαρύτητι διασύρεις; Οὐκ αἰτοῦμεν θρόνους, οὐ δόξαν, οὐκ εὐημερίαν, οὐκ εὐπάθειαν· ἀλλ' ἐκεῖνα αἰτοῦμεν, ἃ καὶ τοῖς δεσμώταις παρέχεται, ὧν οὐδ' οἱ αἰχμάλωτοι ἀποτυγχάνουσιν, ἃ καὶ βάρβαροι τοῖς δεσμίοις παρέχειν φιλανθρωπεύονται· εἰς τοῦτο γὰρ τὰ ἐμὰ περιέστηκε πράγματα, ἵνα παρὰ βασιλέως, καὶ τότε[2] φιλανθρωποτάτου γένους τῶν Ῥωμαίων, τοιαῦτα αἰτῶ.

Τί οὖν αἰτοῦμεν; ἢ ζῆν μὴ χαλεπωτέραν θανάτου ζωήν, ἢ θᾶττον ἀπαλλαγῆναι τοῦ σώματος. Δυσωπήθητι τὴν φύσιν· αἰδέσθητι τοὺς κοινοὺς τῶν ἀνθρώπων νόμους· αἰδέσθητι τῆς Ῥωμαϊκῆς Ἀρχῆς τὰ κοινὰ δίκαια· μηδὲ καινόν τι παραχωρήσῃς ἐπεισαχθῆναι τῷ βίῳ διήγημα, ὅτι ποτὲ βασιλεύς, ἐπιείκειαν καὶ φιλανθρωπίαν ἐπαγγελλόμενος, φίλον Ἀρχιερέα καὶ σύντεκνον ποιησάμενος, ὑφ' οὗ χερσὶν αὐτός τε καί ἡ βασιλὶς τὸ χρίσμα τῆς βασιλείας ἐχρίσθη,[3] καὶ τὸ ἀξίωμα ἐνεδύσαντο, ὑφ' οὗ λίαν ἐφιλήθη, καὶ πρὸς ὃν ὅρκια καὶ πίστεις φρικώδεις ἔθετο, ὃν ὑπεραγαπᾷν καὶ στέργειν ἐπεδείκνυτο ἅπασι, τοῦτον ἐξορίᾳ καὶ λιμῷ πικρῷ παραδούς, καὶ μυρίοις ἄλλοις κατατήξας κακοῖς, εὐχόμενον ὑπὲρ αὐτοῦ τῷ θανάτῳ παρέπεμψεν.

ΕΠΙΣΤΟΛΗ ΣΙΘ'.—219.

Τῷ αὐτῷ.[4]

Ἐγὼ μὲν ᾤμην, τῆς ὑμῶν κραταιουμένης βασιλείας, πολλὰς αὐτῇ προσάγειν εὐχαριστίας ὑπὲρ τῆς εἰς ἡμᾶς εὐεργεσίας, ὑπὲρ φίλων, ὑπὲρ συγγενῶν, ὑπὲρ συνήθων, ὑπὲρ

---

[1] *Μοντακ. εἰκάζει γραπτέον εἶναι—καὶ κοινὸν κριτὴν ἔξομεν.*

[2] *Μοντακ. εἰκάζει γραπτέον εἶναι—καὶ τούτου·—ἀλλὰ περιττὴ ἡ διόρθωσις· τὸ γὰρ "καὶ τότε"=καὶ ταῦτα, ὡς πολλαχοῦ ἐν τοῖς ἔμπροσθεν ἐσημειωσάμεθα.*

[3] *Δῆλον ἐντεῦθεν, ὡς τὸ χρίεσθαι τοὺς Αὐτοκράτορας ὑπὸ τῶν Πατριαρχῶν οὐκ ἀπὸ τοῦ Πατριάρχου Κηρουλαρίου τὴν ἀρχὴν ἔλαβεν, ὡς Γίββων ἱστόρηκε, καὶ ἐξ ἐκείνου παραλαβὼν εἶπεν ὁ ἀοίδιμος Κοραῆς, ἀλλὰ πολὺ πρὸ τοῦ Κηρουλαρίου, καὶ πρὸ τοῦ Φωτίου πάντως. Ἀναντίῤῥητον μέντοι, ὡς καὶ τὸ γελοῖον τοῦτο ἔθος ἐκ τῆς Δύσεως εἰς τὴν Ἀνατολὴν μετενήνεκται. (Ἴδε Κοραῆ Προλεγ. ἐν τῷ Α' Τόμῳ τῶν Ἀτάκτων, σημ. ιδ' καὶ ἐξ.)*

[4] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 772)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΨΗ'.—Ἔοικε δὲ τὸν Αὐτοκράτορα τὴν πρώτην λαβόντα ἐπιστολήν, καὶ κάλλιον βουλευσάμενον, κελεῦσαι τοὺς φυλάσσοντας Φώτιον ἐπιεικέστερον αὐτῷ προσφέρεσθαι· καὶ τουτου ἕνεκα τὴν δευτέραν ταύτην ἔγραψεν αὐτῷ ἐπιστολήν, ἅμα μὲν εὐχαριστῶν, ὅτι τὰς τῶν λῃστῶν καὶ κακουργῶν τιμωρίας, αἷς κατετήκετο, εἰς τὸ μετριώτερον σχηματίζειν ἐπεχείρησεν, ἅμα δὲ καὶ ἐλέγχων αὐτόν, ὅτι τοῖς ἔργοις τούτοις τοὺς μὲν ἀνθρώπους ἐξαπατᾷ, ὡς δῆθεν φιλανθρωπίᾳ χρώμενος, Θεὸν δ' οὐκ ἂν ἐξαπατήσειεν. Ὅτι δὲ ταῦτα, καὶ οὐδὲν τούτων πλέον λέγει Φώτιος, ἁπλῇ τῆς ἐπιστολῆς ἀνάγνωσις ἀρκέσει δεῖξαι. Ἀλλ' ὅμως, τούτων οὕτω σαφῶς λεγομένων, ἄλλ' ἀντ' ἄλλων ὁ σοφὸς βούλεται Ἰάγερος νοεῖν,*

Digitized by Google

πάντων ἁπλῶς, ὅσα πράττων αὐτὸς εἰς τὴν ἡμῶν θεραπείαν κόρον οὐκ εἶχες χαρίζεσθαι. Εἰς τοῦτο γὰρ ἡμᾶς ἦγεν ἥ τε καθαρὰ πρὸς σὲ καὶ ἀληθινὴ διάθεσις, καὶ τῶν μυρίων ὅρκων καὶ ὑποσχέσεων τὸ ἀνένδοτον· οὓς, καὶ ἀκόντων ἡμῶν, αὐτὸς ὅμως πρὸς ἅπαντας ὑποτείνων οὐ διέλειπες. Νῦν δὲ εἰς τοῦτο τὰ τῶν ἡμετέρων ἐλπίδων περιέστηκεν, ὅτι,[1] *κἂν ὀψὲ τοῦ καιροῦ, ὅμως εὐχαριστίαν τῇ σῇ προσάγομεν βασιλείᾳ. Ἐπὶ τίνι; καὶ διὰ τί; ὅτι τὰς τῶν λῃστῶν καὶ κακουργῶν τιμωρίας, αἷς ἐναθλοῦντες ἡμεῖς καταδαπανώμεθα, εἰς τὸ μετριώτερον σχηματίζειν ἐπεχείρησας.*[2] *Ἀλλ' ὅρα, φίλε, κἂν μὴ βούλει, βασιλεῦ, ὅτι τὸ πειρᾶσθαι πείθειν ἀνθρώπους, οὐ μόνον οὐδὲν συντελεῖ πρὸς τὸ πεῖσαι Θεόν, ἀλλὰ καὶ εἰς τοὐναντίον περιτρέπεται· καὶ τῶν ἀδεῶς ἐνταῦθα πραττομένων μᾶλλόν ἐστιν ἐκεῖθεν ἡ παντέφορος δίκη κριτής.*

---

*νίκας ὀνειρώσσων καὶ θριάμβους τοῦ Αὐτοκράτορος κατὰ τῶν Σαρακηνῶν, καὶ διαῤῥήδην λέγων, ὅτι Φώτιος τῷ βασιλεῖ ἐπὶ τοῖς θριάμβοις τούτοις συγχαίρων, τῆς κοινῆς μετέχειν ἀγαλλιάσεως ὑποκρίνεται, καὶ πίστιν ἐπιδείκνυται τῷ βασιλεῖ, κολακεύων αὐτόν, ὅπως τύχοι τοῦ ποθουμένου· ὃ δὲ πάντων ἀσεβέστατον, ὅτι καὶ τὸ κείμενον αὐτὸ τῆς ἐπιστολῆς ἐν τῇ μεταφράσει μεταποιεῖ, σύμφωνον τοῖς λόγοις αὐτοῦ σχηματίζων, ὡς ἐφεξῆς καταδείξομεν. Λέγει τοίνυν ὁ καλὸς Ἱστοριογράφος Ἰάγερος τάδε· "L'empereur, comme on pouvait s'y attendre, ne répond pas à cette lettre (τὴν πρώτην δῆλον ὅτι). Photius ne désespère pas encore; il est attentif à toutes les occasions, pour les saisir au front et par les cheveux, selon son principe (αἰνίττεται τὰ ἐν Ἐπιστ. ΣΜ' εἰρημένα περὶ καιροῦ). L'empereur venait de remporter quelques avantages sur les Sarrasins; il en triompha comme d'une grande victoire, et célébra ses triomphes à Constantinople. Photius croit que le moment est favorable, que l'empereur dans la joie, pencherait plus vers l'indulgence; il lui écrit une lettre toute courte, mais tendant à la même fin. Il n'y expose aucune plainte; il semble vouloir seulement se rappeler au souvenir de l'empereur, et lui montrer *qu'en bon et fidèle sujet il prend part à la joie commune et à la prospérité de l'empire.* On sait que ce moyen est quelque-fois plus efficace qu'un autre. Photius sait l'employer avec son adresse ordinaire" (Hist. de Photius, p. 258—9). Τίς, καὶ ἄκρῳ δακτύλῳ τῶν Ἑλληνικῶν γραμμάτων ἁψάμενος, τὴν Φωτίου ἀναγινώσκων ἐπιστολήν, οὐκ ἂν τοὺς Ἰαγέρου τούτους λόγους εἰς λήρους ἀποσκυβαλίσειεν; τίς δὲ καὶ τὸν Ἱστοριογράφον αὐτὸν οὐκ ἂν δικαίως μυθογράφον ἐξονομάσειεν, ἅμα θαυμάζων αὐτοῦ τὴν ἀσέβειαν, ἐν ᾗ τοὺς Φωτίου λόγους παρερμηνεύει, ὅπως τοὺς ἰδίους πιστώσηται λήρους; Ἀλλὰ κρινάτωσαν οἱ ἀναγινώσκοντες.*

[1] *Καὶ ἐνταῦθα τὸ "ὅτι," ἀντὶ τοῦ "ὥστε," ὡς ἐν Ἐπιστ. ΡΘ' ἐσημειωσάμεθα.*

[2] *Τοῦτο μεταφράζει τὸ μέρος Ἰάγερος οὑτωσί· "parce que vous avez forcé les brigands et les malfaiteurs (les Sarrasins) qui nous ont tant affligés à user de plus de modération." τοῦτ' ἔστιν "ὅτι τοὺς λῃστὰς καὶ κακούργους (τοὺς Σαρακηνούς), τοὺς τοσαῦτα λυπήσαντας ἡμᾶς, μετριώτερον ἡμῖν προσφέρεσθαι ἠνάγκασας."—Φώτιος δὲ λέγει· "ὅτι τὰς τῶν λῃστῶν καὶ κακουργῶν τιμωρίας, αἷς ἐναθλοῦντες ἡμεῖς καταδαπανώμεθα, εἰς τὸ μετριώτερον σχηματίζειν ἐπεχείρησας." Καὶ παντί γε δῆλον, ὅτι, τὸ τῆς παροιμίας, ἄλλο γλαύξ, ἄλλο κορώνη φθέγγεται· ὅπερ δὴ καὶ ἐν τοῖς ἔμπροσθεν (σελ. 155, σημ. 1) προσεφωνήσαμεν Ἰαγέρῳ, καὶ οὐ νῦν τελευταῖον, ἀλλὰ καὶ ἐσαῦθις μετ' ὀλίγον ἁρμὴν ἕξομεν αὐτῷ προσφωνῆσαι, ὅταν ἐπ' αὐτοφώρῳ τοὺς Φωτίου λόγους δολίως παραχαράσσοντα συλλαμβάνωμεν.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΚ'.—220.

Ταρασίῳ ἀδελφῷ.[1]

Ἀκμάζει τὸ πάθος, καὶ τὸ κακὸν ἐπιτείνεται· καὶ πλὴν Θεοῦ καὶ τῶν ἐκεῖθεν ἐλπίδων παραμύθιον οὐδέν· ἐπιβουλαὶ δὲ καὶ ἀπειλαὶ καὶ φόβοι τῶν προλαβόντων τὴν πεῖραν κουφοτέραν ἀποφαίνουσιν.[2] *Τίς στήσει ταῦτα; ἀλλ' ἴσως, ὃν αὐτοὶ καθ' ἡμῶν ὠδίνουσι θάνατον, ἢ τοῦ τιμωρεῖν καὶ κολάζειν ἐκείνους,*[3] *ἢ ἡμᾶς ἀπάγων τῶν θλίψεων.*

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 944)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΟΗ'. Ἀλλὰ καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ εὕρηται Γαλλιστὶ μεθηρμηνευμένη* (σελ. 243).—*Ἔγραψε δὲ ταύτην, ὡς ἔοικεν, ὅτε κατακείμενος ἀσθενής, καὶ ἰατρὸν ἐπιζητῶν, οὐδ' οὕτως ἐτύγχανεν ἐλέου· οὐδὲ γὰρ οὐδ' ἰατρῷ ἐπέτρεψαν αὐτῷ προσελθεῖν, ὡς δῆλον ἐκ τῆς ΡΨΘ' ἐπιστολῆς πρὸς Βαάνην τὸν Πατρίκιον, ἣν ἴδε.*

[2] *Ἐκ διορθ. Μιγνίου, ἀντὶ—ἀποφαίνουσαι.*

[3] *Ἐκ διορθ. τοῦ αὐτοῦ, ἀντὶ—ἐκείνοις.*

Digitized by Google

ΦΩΤΙΟΥ ΕΠΙΣΤΟΛΑΙ.

ΜΕΡΟΣ Ε'.

ΔΙΑΦΟΡΟΙ.[1]

ΕΠΙΣΤΟΛΗ ΣΚΑ'.—221.

Μιχαὴλ τῷ θεοστέπτῳ Βασιλεῖ.[2]

Τῆς Ὑμετέρας θεοστεφοῦς Βασιλείας, καὶ ὡς ἀληθῶς Αὐτοκράτορος, ἀναλεγόμενοι τὴν ἐπιστολήν, χαρᾶς ἅμα καὶ θάμβους ἐπληρώθημεν· χαρᾶς μέν, ὅτι τὴν ὑμετέραν δι' αὐτῆς εὐηγγελιζόμεθα βασιλείαν πάσης μὲν ἐπιβουλῆς ὑπὸ Θεοῦ φυλαττομένην ἀνωτέραν,

---

[1] Ἐν τῷ τελευταίῳ τούτῳ μέρει πάσας περιελάβομεν τὰς Φωτίου ἐπιστολάς, ὅσαι ποικίλην ἔχουσαι τὴν ἀφορμὴν περὶ διαφόρων πραγματεύονται ὑποθέσεων, συγχαρητήριοι οὖσαι καὶ εὐχαριστήριοι, ἢ συστατικαί, ἢ φιλολογικαί, ναὶ μὴν καὶ ἰατρικαί. Δι' ὃ καὶ διαφόρους αὐτὰς ἐπεγράψαμεν.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 717)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΙΗ'· ἀλλὰ καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ εὕρηται Γαλλιστὶ μεθηρμηνευμένη (σελ. 125—7).—Ἔγραψε δὲ τὴν ἐπιστολὴν ταύτην πρὸς τὸν Αὐτοκράτορα Μιχαήλ, ὅτε τὸν Καίσαρα καὶ θεῖον αὐτοῦ Βάρδαν, ταῖς Βασιλείου τοῦ Μακεδόνος ὑπείκων συκοφαντίαις, κατεκρεούργησεν. Ἔοικε δὲ Βασίλειος γράμμασι πεπλασμένοις ἀναπεῖσαι ταῦτα πράξαι τὸν Αὐτοκράτορα· καὶ διὰ τοῦτο Φώτιος συγχαίρει μὲν τῷ Μιχαήλ, ὡς διασωθέντι, ὑποδείκνυσι μέντοι αὐτῷ τὸν ἐξαπατήσαντα, ἐν οἷς λέγει·—"πλάττεσθαι γὰρ τὸ γράμμα, καὶ ἄλλως πως, ἢ ὡς ἐδήλου, τὰ περὶ αὐτὸν συνενεχθῆναι, δι' ὧν ἐκεῖνος μὲν στέφεται, ἄλλοι δὲ κόπτονται (ὁ συκοφάντης δῆλον ὅτι Βασίλειος), ἡ τοῦ Σοῦ κράτους ἀρετὴ καὶ ἐπιείκεια ὑπονοεῖν οὐκ ἐνδίδωσιν."—Καὶ πάλιν κατωτέρω· "Ἀλλ' ἐκεῖνος μέν, ὡς τῶν τοῦ Θεοῦ κριμάτων ἐδίκασε τὸ ἀπόῤῥητον, οὕτω καὶ τὸν βίον κατεστρέψατο, πολλοῖς μὲν ἔκπληξις, πολλοῖς δὲ σωφρονισμός, πολλοῖς δ' ἔλεος, πλείοσι δ' ἀπορία γεγονώς." Δῆλον οὖν ἐκ τούτων τῶν λόγων, ὅτι Φώτιος τῷ Βασιλεῖ διασωθέντι συγχαίρων, οὐ φαίνεται τῇ συκοφαντίᾳ πειθόμενος, ἀλλ' ἐντέχνως ὑποδείκνυσι καὶ ἀποῤῥαπίζει τὸν συκοφάντην (ἄλλοι δὲ κόπτονται), ὃς καὶ διὰ τοῦτο αἰτίαν εἶχε δυσχεραίνειν Φωτίῳ, ὅτι τὰς ἐπιβουλὰς αὐτοῦ καὶ τὴν μοχθηρίαν ἐγίνωσκέ τε, καὶ ἐξελέγχων οὐκ ἐπαύετο.—Ἴδε καὶ τὴν πρὸς αὐτὸν ἐπιτιμητικὴν ἐπιστολὴν (ΡΨ'), ἔτι Πατρίκιον ὄντα, ἐν ᾗ τὰς τυραννικὰς αὐτοῦ κατακρίνων πράξεις, διαῤῥήδην αὐτὸν ἀποκαλεῖ ἐν πόλει λῃστὴν καὶ πάνδημον δήμιον.—Ἀλλὰ τούτων οὕτως ἐχόντων, τί ἐκ τῆς ἐπιστολῆς ταύτης ὁ σοφὸς εἰκάζει Ἰάγερος; Ὅτι Φώτιος ἐπιλαθόμενος τοῦ Βάρδα, εὐθὺς τελευτήσαντος, ἐκεῖνον μὲν κατακρίνει, τὸν δ' Αὐτοκράτορα μετὰ τοῦ Βασιλείου κολακεύει. Καὶ τοῦτο μὲν δῶμεν Ἰαγέρῳ, εἴπερ ἔξεστιν Ἱστοριογράφῳ οὕτω προφανῶς τὴν ἀλήθειαν παρερμηνεύειν· τὸ δ' ἐν τῇ μεταφράσει τῆς ἐπιστολῆς ἅπασαν ἐκείνην τὴν προεκτεθεῖσαν περικόψαι φράσιν—"πλάττεσθαι μὲν γάρ . . . . κόπτονται"—καὶ ἁπλῶς μεταφράσαι, "car la vertu et la clémence de Votre Majesté ne me permettent pas d'élever la moindre doute sur le motif qui a déterminé sa mort," τοῦτο πρὸς Θεοῦ καὶ τῆς Ἱστορίας αὐτῆς πῶς ἄν τις ἀποκαλέσειεν; Ἄλλοι μὲν ἴσως ἄλλο τι εὑρήσουσι τὸ

Digitized by Google

πάσης δὲ κρείττω ἐπαναστάσεως, ἐχθρῶν τε πάντων ὑψηλοτέραν βουλευμάτων, καὶ παντὸς ἀπηλλαγμένην ἑτέρου συμπτώματός τε καὶ ἀῤῥωστήματος. Ταῦτα χαρᾶς ἡμᾶς ἀνεκλαλήτου καὶ ἀγαλλιάσεως ἐπλήρωσε· θάμβει δὲ κατεσχέθημεν, καὶ πρὸς δάκρυα κατηνέχθημεν, τὴν ἀνθρωπίνην ἀπολοφυρόμενοι ματαιότητα, καὶ ὅπως τινὲς τῶν ἀνθρώπων πολλῶν μὲν χαρίτων, πολλῆς δὲ δόξης ἀξιούμενοι, κύριοι δὲ πολλοῦ γινόμενοι πλούτου, καί, δέον μὲν τούτους, οἷς ἀπολαύουσιν, ἀγαπᾷν, καὶ τὰ οἰκεῖα μέτρα συνεπίστασθαι, καὶ τὸν εὐεργέτην ἄγειν δι' εὐφημίας ἁπάσης καὶ σεβασμιότητος, οἱ δὲ τὴν ἐπιθυμίαν ἀκόρεστον ἐνδεικνύμενοι, καὶ πρὸς πάντα διαπλωθῆναι φιλονεικήσαντες, τῆς τε ἰδίας κεφαλῆς καὶ εὐεργέτιδος τολμῶσι καταφρυάττεσθαι, καὶ τὸν τοῦ Σαλμωνέως μῦθον [1] εἰς ἔργον προάγουσιν· ἐξ ὧν οὐ μόνον τῶν ἐλπίδων, ἃς ὀνειροπολοῦσι, καὶ ἐφ' αἷς ὠχοῦντο, διαπίπτουσιν, ἀλλὰ καὶ αὐτῶν τούτων, ὧν δικαίᾳ ἐξουσίᾳ καὶ δεδομένῃ καθειστήκεισαν κύριοι, ἑαυτοὺς ἀφρόνως ἀπελαύνουσιν. Οἷον δή τι διὰ τῶν γραμμάτων (ὡς εἴθε μὴ ὄφελον) κατεμάθομεν καὶ περὶ τὸν ταπεινὸν ἄνθρωπον ἐκεῖνον (οὐκ οἶδα γὰρ ὅπως ἑτέρως εἴπω, τῆς ἀνθρωπίνης μιμνησκόμενος ἀθλιότητος), πῶς ὑπὸ τῆς ὑμῶν φιλοδώρου καὶ μεγαλοδώρου δεξιᾶς εἰς αὐτά που τὰ σκῆπτρα τῆς βασιλείας ἀνυψωθείς, καὶ τὴν βασίλειον, εἰ καὶ μὴ τὴν κλῆσιν, ἀλλὰ τὴν ἐξουσίαν, συμμερισάμενος, οὐκ ἤνεγκεν, ὥς φασι, [2] τῆς εὐεργεσίας τὸ μέγεθος, οὐδ' ἔστεργεν οἷς ἠξίωται, οὐδ' εὐχαρίστησεν οἷς ἀπήλαυσεν· ἀλλ' ὑπερόριον τὸν πόδα κινῶν, καὶ χεῖρας ὕβρεως κατὰ τῆς εὐεργέτιδος ἀνατεινάμενος κεφαλῆς, αὐτό τε τὸ ζῆν, καὶ τὰς ὑπερηφάνους ἐλπίδας, καὶ τὰ μάταια φυσήματα, οἰκτρῶς, οἴμοι, καὶ ἐλεεινῶς ᾤχετο λιπών. Ἤλγησα μέν, ὦ φιλάνθρωπον ἐμοὶ καὶ πανήμερον Κράτος, ἀώρῳ θανάτῳ παραδοθέντα τὸν

προσῆκον Ἰαγέρῳ ὄνομα· ἡμεῖς δὲ δικαίως, ἃ περὶ Φωτίου λέγειν ἀποτολμᾷ, τῷ τῶν Φωτίου λόγων παραχαράκτῃ ἀποδώσομεν. Τὴν γὰρ ἐπιστολὴν οὕτω παρακεχαραγμένην μεταφράσας προσέθηκεν ἐν τέλει· " Voilà Photius ; il se peint lui-même avec des traits que personne ne saurait imiter." Ταύτας οὖν αὐτοῦ τὰς λέξεις, ἃς οὐ προσηκόντως περὶ Φωτίου εἴρηκε, δικαίως ἅμα καὶ προσηκόντως ἀποδώσομεν αὐτῷ, ἐπ' αὐτοφώρῳ συλλαμβάνοντες δολιευόμενον· "Ἴδε ὁ ἄνθρωπος, αὐτὸς ἑαυτὸν ἐν οἷς δολίως παρεχάραξε χαρακτηρίζων, ὡς οὐδεὶς ἂν ἄλλος αὐτὸν χαρακτηρίσειεν." Οὐ μὴν ἀλλὰ τούτου γε ἕνεκα ἱκανὴν ὁ καλὸς Ἱστοριογράφος δέδωκε τὴν δίκην καὶ ἐν οἷς ὑπὸ τοῦ σεβασμίου τῶν Παπιστικῶν ἐλέγχων ἐκδότου κατεστηλιτεύθη (Ἴδε Παπ. ἐλέγχ. προλεγ. Τόμ. Α', σελ. νβ'—νζ'). — Σημειωτέον δὲ πρὸς τούτοις, ὅτι ἡ παροῦσα ἐπιστολὴ ἀπάντησίς ἐστι πρὸς τὴν τοῦ Αὐτοκράτορος, ἐν ᾗ τὰ περὶ Βάρδαν γενόμενα Φωτίῳ ἀναγγέλλων, καὶ περὶ τῶν γραμμάτων ἐκείνων λόγον ἐποιεῖτο, ἃ Βασίλειος ἐπλάσατο, ὅπως ἀναπείσῃ τὸν Αὐτοκράτορα ἐκποδὼν ποιήσασθαι Βάρδαν, ὡς ἐπιβουλεύοντα αὐτῷ. Ὅτι δὲ Φώτιος φρονίμως τὰ Βασιλείου ὑπενόει τεχνάσματα καὶ τοὺς δόλους, τοῦτο σαφῶς ἐδήλωσε τὰ μετὰ ταῦτα γενόμενα, περὶ ὧν διὰ μακρῶν ἐν τοῖς Προλεγομένοις ἱστόρηται. Ἐπὶ δὲ πᾶσι καὶ χρονολογικόν τι τοῦ Μοντακ. διορθούσθω ἁμάρτημα, λέγοντος τὴν ἐπιστολὴν ταύτην πρὸς Μιχαὴλ γεγράφθαι τὸν ἐπικαλούμενον Τραυλόν· οὗτος μὲν γὰρ ἦρξε τὸ 820—829· ὁ δὲ πρὸς ὃν ἡ ἐπιστολὴ Μιχαήλ, ὁ Θεοφίλου καὶ Θεοδώρας ἐστὶν υἱός, ὁ διὰ τὸν ἄσεμνον αὐτοῦ βίον. Πότης ἐπικληθείς, πέντε δὲ καὶ εἴκοσι βασιλεύσας ἔτη (842—867).

[1] Ὁ Σαλμωνεὺς κατὰ τὴν Μυθολογίαν, εἷς ὢν τῶν ὀκτὼ υἱῶν τοῦ Αἰόλου, ἐν Ἠλείᾳ τῆς Πελοποννήσου ἐβασίλευε, πόλιν οἰκοδομήσας παρὰ τὸν Ἀλφειόν, τὴν Σαλμώνην. Θεοποιούμενος δέ, καὶ τὰς τῷ Διὶ προσφερομένας θυσίας ἑαυτῷ προσάγεσθαι ἀξιώσας, καὶ ἄλλα τοιαῦτα ἀσεβήσας, δίκην ἔλαβε τὴν προσήκουσαν κεραυνωθείς. (Ἀπολλοδ. Α', ζ', 2).

[2] Καὶ τοῦτο ἀρκούντως τὸν Φωτίου περὶ τῆς τῶν γραμμάτων ἐκείνων νοθείας ἐμφαίνει διστασμόν.

Digitized by Google

ἄνθρωπον μαθών· ἐφ' ᾧ δὲ μάλιστα, ὅτι καὶ τυραννίδος διδοὺς δίκην εἰσεπράχθη τὸν θάνατον· πλάττεσθαι γὰρ τὸ γράμμα, καὶ ἄλλως πως, ἢ ὡς ἐδήλου, τὰ περὶ αὐτὸν συνενεχθῆναι, δι' ὧν ἐκεῖνος μὲν στέφεται, ἄλλοι δὲ κόπτονται, ἡ τοῦ Σοῦ Κράτους ἀρετὴ καὶ ἐπιείκεια ὑπονοεῖν οὐκ ἐνδίδωσιν. Διὰ τοῦτο μάλιστα καιρίαν ἤνεγκα τὴν ἀπὸ τῆς λύπης πληγήν, τά τε ἄλλα ἐπὶ νοῦν ἀναλαμβάνων, καὶ ὅτι ἄνθρωπος ἐν αὐτῷ τῷ κακουργεῖν ἀνάρπαστος γεγονώς, καὶ μήτε τὰ ἀπὸ τοῦ βίου μολύσματά τε καὶ ῥυπάσματα, ἃ τῇ ἀθλίᾳ ταύτῃ φύσει φιλεῖ ἐπιτρίβεσθαι, τοῖς δάκρυσιν ἀπολουσάμενος, μήτε ὧν ἑτέρους ἀδίκως ἴσως ἐκάκωσεν, ὑπὲρ τούτων μετάνοιαν ἐνδειξάμενος, μηθ' ἑτέρως πως τὸν ἐκεῖθεν κριτὴν φθάσας ἐξιλεώσασθαι, οὕτως αὐτοῖς φορτίοις πρὸς τὰ ἐκεῖθεν παρεπέμφθη δικαιωτήρια. Ἀλλ' ἐκεῖνος μέν, ὡς τῶν τοῦ Θεοῦ κριμάτων ἐδίκασε τὸ ἀπόῤῥητον, οὕτω καὶ τὸν βίον κατεστρέψατο, πολλοῖς μὲν ἔκπληξις, πολλοῖς δὲ σωφρονισμός, πολλοῖς δ' ἔλεος, πλείοσι δ' ἀπορία γεγονώς. Αὐτὸς δέ, ὦ βασιλέων καλλώπισμα, καὶ τῆς πατρίδος ἀνύψωμα, καὶ τῆς πολιτείας ὀχύρωμα, καὶ πάντων, οἷς τὸ τοῦ Χριστοῦ ἐπικέκληται ὄνομα, πολυέραστον σεμνολόγημα, ἧκε πρὸς ἡμᾶς τὴν ταχίστην· ἀπόδος τοῖς ποθοῦσι τὸν ποθούμενον· ῥῦσαι πρῶτον τῆς αἰχμαλωσίας ἡμᾶς, ἣν ὑπέστημεν, σοῦ στερηθέντες· ἀνάψυξον ἡμᾶς τῆς ταλαιπωρίας, ὑφ' ἧς κατεχόμεθα, τῆς ὑμετέρας παραψυχῆς οὐ παρούσης· δὸς χάριν ταύτην καὶ πρώτην καὶ μεγίστην τῇ σῇ πόλει καὶ τοῖς σοῖς πολίταις, τὸ πεπαῤῥησιασμέναις καὶ χερσὶ καὶ γλώσσαις τὴν κεχρεωστημένην εὐφημίαν καὶ τὸ Αὐτοκράτορά Σοι προσφθέγξασθαι· δυσωπήθητι τὴν πολιὰν τῆς αἰδεσίμου καὶ ἱερᾶς Συγκλήτου· δυσωπήθητι πάσης ἡλικίας τὴν ἐξαίτησιν, ἀνδρῶν, γυναικῶν, παίδων· πάντες γὰρ μιᾷ γνώμῃ καὶ μιᾷ φωνῇ τὴν τοῦ ὑμετέρου Κράτους ἐξαιτοῦνται παρουσίαν. Εἰ δέ Σοί ποτε καὶ ὁ Ἀρχιερεὺς ἐν λόγῳ καὶ φροντίδι νενόμισται (οἶδα δὲ ὅτι νενόμισται), αὐτόν Σοι παρεῖναι νόμιζε, καὶ τῇ χειρὶ τὴν χεῖρα λαβόμενον ἕλκειν πρὸς τὴν Σὴν πόλιν, καὶ τὸν τοῦ Θεοῦ ναόν, ἐφ' ᾧ τὰς ἐλπίδας ἀνέχεις, καὶ πρὸς τὰ τῆς βασιλείας ἀνάκτορα. Ναί· πάντες Σου δεόμεθα· μὴ καταισχύνῃς ἡμῶν τὰς ἐλπίδας καὶ τὴν αἴτησιν· πιστεύομεν γὰρ ἐν Χριστῷ Ἰησοῦ, τῷ ἀληθινῷ Θεῷ ἡμῶν, ὡς πρὸς τὴν βασιλίδα πόλιν τοῦ ὑμετέρου Κράτους ἐπανατέλλοντος, καὶ τοῦ ζόφου τῆς ἀθυμίας τὴν πολιτείαν λύσεις, καὶ τῶν ἐχθρῶν ἔτι μᾶλλον καὶ πολεμίων τὸ φρόνημα ταπεινώσεις, βουλῇ καὶ συνέσει καὶ ταῖς στρατηγικαῖς μελέταις τὸ κατ' αὐτῶν κράτος ἀναδεχόμενος, πρεσβείαις τῆς ὑπεραγίας Θεοτόκου καὶ πάντων τῶν Ἁγίων· Ἀμήν.

ΕΠΙΣΤΟΛΗ ΣΚΒ'.—222.

Τῷ αὐτῷ.[1]

Ἀπῆλθες ἀφ' ἡμῶν, καὶ ἡμεῖς ἀφ' ἑαυτῶν· καὶ ζῶμεν οὐ ζῶντες, καὶ κινούμεθα μὴ

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ* (στλ. 720)· *παρὰ δὲ Μοντακ. Ἐπιστ. ΙΘ'· ἀλλὰ καὶ ἐν τῇ Ἰαγέρου Ἱστορίᾳ* (*σελ.* 127) *εὕρηται Γαλλιστὶ μεθηρμηνευμένη.*

Digitized by Google

κινούμενοι. Εἰ δὲ τὸ Κυριακὸν ἐπάγγελμα προσεῖναι ἠξίου τῇ ἡμετέρᾳ τεταπεινωμένῃ εὐχῇ,[1] ἢ τὴν Κρήτην τῷ Βυζαντίῳ μετεστήσαμεν, ἢ τὸ Βυζάντιον μεθ' ἡμῶν τῇ Κρήτῃ συνήψαμεν. Ἀλλὰ πῶς γράφω θανών, καὶ σιγῶν λάλος γίνομαι; ἓν εἰπὼν σιωπήσομαι. Τάχυνον, ὦ βασιλέων ἐμοὶ καὶ τέκνων ἐγκαλλώπισμα, ἢ τὴν Κρήτην αἰχμαλώτους ἄγων, ἢ τοὺς Βυζαντίους (τῆς Σῆς γὰρ δυστυχοῦσιν ὄψεως τὴν αἰχμαλωσίαν) τῆς αἰχμαλωσίας ἐλευθερῶν.[2]

ΕΠΙΣΤΟΛΗ ΣΚΓ'.—223.

Ταρασίῳ ἀδελφῷ.[3]

Τί δεῖ πλέον γράφειν ὑπὲρ οὗ γράφω; ἂν ἴδῃς τὸν ἄνδρα καὶ τὴν ἐν αὐτῷ ἀρετήν, οὐκ οἶδα πότερόν σοι δόξω ἐκείνῳ χαριεῖσθαι, ὅτι τῇ σῇ τοῦτον συνιστῶμεν δεξιότητι, ἢ σαυτῷ μᾶλλον, ὅτι σε τηλικούτου ἀνδρὸς καὶ τοσαύτης ἀξίου φιλανθρωπίας εὐεργέτην ὀφθῆναι παρεσκευάσαμεν;

ΕΠΙΣΤΟΛΗ ΣΚΔ'.—224.

Τῷ αὐτῷ.[4]

Εἰ τοῦ ἀνδρὸς πεῖραν λάβοις, περὶ οὗ γράφω, οὐκέτι πρεσβευτὴν ὑπὲρ ἐκείνου ἐμὲ ἕξεις, ἀλλ' ἐκεῖνον ὑπὲρ ἄλλων πολλῶν· οὕτω καὶ τῇ σῇ εὐμενείᾳ καὶ χρηστότητι καὶ τῇ ἐκείνου ἀρετῇ καὶ δεξιότητι πεποιθώς εἰμι.

---

[1] "Ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν (*Ματθ. ΙΖ'*, 20· καὶ *ΚΑ'*, 21).

[2] Ταύτας Φωτίου τὰς περὶ ταχείας τοῦ Αὐτοκράτορος ἐπανόδου παρακλήσεις Ἰάγερος κολακείας ἀποκαλεῖ, ἤτοι οὐ νοῶν, ἢ παρανοῶν καὶ ἐνταῦθα τοὺς Φωτίου λόγους· οὐ γὰρ κολακεύων ταῦτα λέγει Φώτιος, ἀλλὰ παντὶ σθένει σπεύδων τὸν Βασιλέα εἰς Βυζάντιον ἐπαναγαγεῖν, ὅπως αὐτὸν ἀπὸ τῶν Βασιλείου διασώσῃ ἐπιβουλῶν, ὃν ὀρθῶς καὶ φρονίμως ὑφεώρα τῇ Ἀρχῇ ἐπιβουλεύοντα, κἀκεῖνα πράξαι διανοούμενον, ἃ δὴ καὶ ἔπραξεν οὐ πολλῷ ὕστερον. Διὰ ταῦτα ἐν ἀμφοτέραις ταῖς ἐπιστολαῖς ἐπανελθεῖν αὐτὸν ὅτι τάχιστα προτρέπει. Ἀλλ' Ἰάγερος μὲν πανταχοῦ τῶν Φωτίου λόγων οὐδὲν οἶδε νοεῖν, ἢ δόλον καὶ κολακείαν καὶ τὰ τοιαῦτα· οἱ δ' ἁπαθῶς Φώτιον κρίνοντες ἱκανὸν ἔχουσι μαρτύριον τῆς εὐγενοῦς ἐκείνου παῤῥησίας τάς τε πρὸς Βάρδαν ἐπιστολὰς καὶ τὰς πρὸς Βασίλειον αὐτόν, οὐ μόνον ἔτι ταπεινότερον ὄντα, ἀλλὰ καὶ Αὐτοκράτορα γενόμενον, καὶ πάντα δυνάμενον· ἔτι δὲ καὶ τὰς ἄλλας αὐτοῦ πρὸς τοὺς Αὐλικοὺς καὶ ἰσχυροὺς ἐπιτιμητικὰς ἐπιστολάς, ἃς οὐχ ἧττον δριμείας ἀπὸ τοῦ δεσμωτηρίου ἢ ἀπὸ τοῦ Πατριαρχικοῦ θρόνου ἔγραφεν.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 957)· παρὰ δὲ *Μοντακ. Ἐπιστ. ΡΝΓ'*.

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 960)· παρὰ δὲ *Μοντακ. Ἐπιστ. ΡΞ'*.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΚΕ'.—225.

Εὐσταθίῳ Πατριάρχῃ Ἀντιοχείας.[1]

Τῆς ὁδοῦ τὸ μῆκος καὶ τῶν ἐχθρῶν ὁ φόβος λακωνίζειν ἡμῖν ὑποτίθεται·[2] καὶ εἴγε ἀλλήλοις συνέκειτο, καὶ σκυτάλαι[3] ἂν τὴν ἐπιστολὴν διεκόμιζον. Φασὶν οὖν σου τὴν ἱερατικὴν τελειότητα ἐρᾷν τε ἡμῶν καὶ ἰδεῖν ἐφίεσθαι· καὶ ἡμεῖς δὲ ἴσθι ὡς οὐδὲν ἔλαττον (τί γὰρ χρὴ νυνὶ διαφιλονεικεῖν ὡς παρὰ πολὺ πλέον) κατὰ τὸν θεῖον τοῦτον ἔρωτα διακείμεθα. Εἰ οὖν τοῖς λόγοις καὶ ἀλήθεια ἐπικάθηται, τό κωλύον οὐδὲν τοὺς ἀλλήλων ἐραστὰς ἔργῳ τε τὸν πόθον παραστῆσαι, καὶ ἀλλήλοις ἐμφανισθῆναι, καὶ τῆς αὐτόθεν ἀναφυομένης κοινῆς ὠφελείας κατεντρυφῆσαι· ὁδὸς γὰρ καὶ μῆκος οἷς ὁ τῆς ἀγάπης ἔρως διεπτέρωται, κἂν δυσχερέστατα εἴη, ῥᾷστα καὶ κούφως διεκπεραίνεται. Τὰ δὲ ἄλλα, Πατέρων καὶ ἀδελφῶν ἄριστε, ἔρρωσο, εἰδὼς ἀπεκδεχομένους ἡμᾶς τὴν σὴν παρουσίαν, καὶ τὸ διακαὲς τοῦ πόθου τῇ ἐλπίδι τῆς ἐπιτυχίας ἀναψύχοντας. Ἔρρωσο.

Ἐγράφη αὐτοχειρίᾳ·

ΕΠΙΣΤΟΛΗ ΣΚΣΤ'.—226.

Γεωργίῳ Μητροπολίτῃ Νικομηδείας.[4]

Καλόν σε καὶ ἀγαθὸν οἱ αὐτόθεν φημίζουσιν ἥκοντες· καὶ οἱ μὲν ἄλλοι θαυμάζουσι χαίροντες (ἔσθ' ὅτε γάρ, ὑπνοῦντος τοῦ φθόνου, οὐδὲν ἧττον ἄνθρωποι τοῖς ἀλλήλων ἢ τοῖς αὐτῶν ἡδύνονται κατορθώμασιν)· ἐγὼ δὲ χαίρω μόνον, τὸ θαυμάζειν ἀφέμενος· οὐ γὰρ ἠγνόουν σε τοιοῦτον ὄντα, οὐδ' ἀνομοίους πάλαι τὰς ἐλπίδας εἶχον, ὅς γε καὶ θείαις τελεταῖς μυσταγωγήσας ἱέρωσα· θαυμάζειν δ' ἂν, οἶμαι, προαχθείην, εἴ τί σου τῶν τρόπων καὶ τοῦ ἐγνωσμένου ἤθους ἀλλοτριώτερον διακούσαιμι. Εἰ δὲ μὴ φεύγειν τὴν ἐφορίαν, ἐφ' ᾗ νῦν ἐτάχθης, καλῶς κατορθώσῃς, λειποταξίαν κρίνων τὴν ἐπαινουμένην πάλαι ἡσυχίαν, εὖ ἴσθι, ὡς τοῦτο ἂν ἅμα χαίρων καὶ σὺν ὅτι μάλιστα ἐπαίνῳ θαυμάσαιμι.

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 821)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΙΑ'.

[2] Ἐδεδοίκει γάρ, ὡς ἔοικε, μὴ διὰ τὸ τῆς ὁδοῦ μῆκος μεσολαβηθεῖεν ὑπὸ τῶν ἐχθρῶν τὰ γράμματα· δι' ὃ φησι λακωνίζειν, τοῦτ' ἔστι, συντόμῳ χρῆσθαι τῷ λόγῳ.

[3] Αἱ παρὰ τοῖς Λακεδαιμονίοις εἰς ἐπισήμων ἐπιστολῶν γραφὴν χρησιμεύουσαι· ἀκριβέστατα δὲ τὴν σκυτάλην περιγράφει ὁ Πλούταρχος ἐν βίῳ Λυσάνδρου (§ ιθ', ἔκδ. Κοραῆ) καὶ Σουΐδας ἐν λ. Ἴδε Σμιθίου Λεξ. τῆς Ἑλλην. Ἀρχαιολογ. (μετάφρασις Α. Πανταζῆ, ἐν Ἀθήναις 1860).

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 824)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΚΔ'.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΚΖ'.—227.

Τῷ αὐτῷ.[1]

Θαυμάζω μάλιστα, εἰ καὶ σοὶ γραμματικευομένῳ, καὶ ταῖς τῶν ποιητῶν λεσχηνεύοντι μελέταις, τὸ ἐγκομβώσασθαι[2] βαρβάρου φωνῆς, ἀλλ' οὐχ Ἑλληνικὴ λέξις ἔδοξεν. Ὁ μὲν γὰρ μακάριος καὶ κορυφαῖος Πέτρος, οὐδὲν περὶ τὴν ἐκλογὴν τῶν Ἑλληνικῶν ὀνομάτων σπουδάζων, ταύτην τοῖς ἑαυτοῦ παρείληφε γράμμασιν· οὐ γὰρ ἠχώ τινα καὶ τέχνην ῥημάτων, οὐδὲ λεξειδίων ψόφον καὶ κτύπον,[3] δι' ὧν τινες τὰ τῶν μειρακίων ὑπογαργαλίζουσιν ὦτα, καὶ κρότον ἑαυτοῖς ἐγείρουσιν ἐκεῖθεν, ἀλλὰ ψυχῶν σωτηρίαν τοῖς ἀκροαταῖς ἐνθεῖναι φροντίδα ἐτίθετο. Σὲ δ' οὖν Ἐπιχάρμου μάλιστα καὶ Ἀπολλοδώρου τοῦ Καρυστίου,[4] τῶν σῶν, μεμνημένον, ἐχρῆν περιπτύσσεσθαι μᾶλλον, ἢ δυσχεραίνειν τῇ λέξει. Ὁ μὲν γὰρ πολλαχοῦ καὶ κατὰ διαφόρους ἐγκλίσεις σχηματίζων τὴν λέξιν ἐχρήσατο ταύτῃ· ἐγκεκόμβωται γάρ φησι, καὶ ἀπαρεμφάτως ἐγκομβώσασθαι· ὁ δὲ Καρύστιος ἐν Ἀπολιπούσῃ[5] (εἰρήσθω γὰρ εἰς τὴν σὴν χάριν καὶ ἡ χρῆσις) "τὴν ἐπωμίδα, φησί, πτύξασα διπλῆν, ἄνωθεν ἐνεκομβωσάμην·" οὗς ἐχρῆν ἀναλαμβάνοντα μὴ βαρβαροφωνίας τὸν τῆς ἀληθείας κήρυκα αἰτιᾶσθαι, ὑπερθαυμάζειν δὲ μᾶλλον, ὅτι καὶ τῆς τοιαύτης σπουδῆς ὡς παιδιᾶς ὑπερορῶν, ὅμως κατὰ τοὺς τῶν Ἑλληνικῶν κριτὰς ὀνομάτων ἔστιν οὗ τὰς ἑαυτοῦ ἐπιστολὰς ἐξεδίδου, διδοὺς ἐκ τῶν τοιούτων ἐννοεῖν, ὡς, εἴπερ ἔμελλεν αὐτῷ λεξειδίων ἦχος καὶ τέρψις, ῥᾴδιον ἦν αὐτῷ κἂν τούτοις ὑπερθαυμάζεσθαι· καὶ εἴ γε ψυχῶν τινων σωτηρίαν ἐκ τῆς τοιαύτης σπουδῆς προϊοῦσαν συνεώρα, εἶδες[6] ἂν αὐτοῦ τοὺς λόγους τῷ ἐμφύτῳ κάλλει, οὗ καὶ νῦν μέτοχοι, τοσοῦτον τῶν Πλατωνικῶν γοητευμάτων, καὶ τῆς Δημοσθενικῆς κομψείας, καὶ τῆς Θουκυδίδου μεγαλορρημοσύνης ἔχοντας τὸ ὑπερέχον, ὅσον τῶν Ἀσιανῶν[7] (οὐδὲ γὰρ ἂν ἡδέως εἴποιμι "τῶν κακοζήλων"

---

[1] *Ἡ αὐτὴ καὶ ἐν Ἀμφιλοχίοις, κατὰ μὲν τὴν Οἰκον. ἔκδ. Ζήτ. ΠΕ', κατὰ δὲ τὴν Μιγνίου Ἐρώτ. ΠΣΤ', καὶ ἐν τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΝΣΤ'· ἐκδέδοται δὲ καὶ ὑπὸ Οἰσχελίου ἐν τέλει τῆς Μυριοβ.* (σελ. 907).

[2] "*Πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι, τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε* (Πέτρου Α' Καθολ. Ἐπιστ. Ε', 5).

[3] *Ἐκ διορθ. Οἰκον. ἀντὶ—καὶ κτύπον ῥημάτων—παρὰ τοῖς ἄλλοις.*

[4] *Περὶ Ἐπιχάρμου καὶ Ἀπολλοδώρου τοῦ Καρυστίου, ἴδε Κ. Ἀσωπίου Ἱστ. τῶν Ἑλλήνων ποιητῶν καὶ συγγραφέων, σελ.* 314—8 *καὶ σελ.* 117.

[5] *Τὰ αὐτὰ λέγει καὶ Σουΐδας ἐν λ. ἐγκομβώσασθαι· παρὰ δὲ Ἀθηναίῳ* (Γ', σελ. 115) *ὁ τῆς Ἀπολιπούσης ποιητὴς Ἀπολλόδωρος Γελῶος καλεῖται· ὁ δὲ Καρύστιος Γραμματικὸς καὶ κωμῳδοποιὸς ἦν· μνημονεύονται δὲ καὶ τούτου κωμῳδίαι τινές. Ἴδε Ἀθήν. αὐτ. καὶ Πολυδ. ΑΒ', 36.* (σημ. Οἰκον.)

[6] *Οὕτως ἐξ Οἰκον. ἀντὶ—ἴδῃς—παρὰ τοῖς ἄλλοις.*

[7] *Ὁμοίως, ἀντὶ—Ἀσιακῶν.*

Digitized by Google

διὰ σέ) τούτους φασὶν ὑπερκεῖσθαι. Καὶ δῆλον ἐντεῦθεν· ὁ γὰρ τὰ πολλῷ μείζονα καὶ ὑπερφυῆ λαβὼν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, εἰ κέρδος τι τοιοῦτον ἐφύετο ἐκεῖθεν, οὐκ ἂν οὐδὲ τῆς μειρακιώδους ταύτης ἔχων τὸ ἧττον ἐφάνη φιλοτιμίας, ἀλλὰ κἂν τούτοις τὸ κατὰ πάντων κράτος καὶ χωρὶς ἀγῶνος ἐδείχθη ἂν ἀναδεδεγμένος.[1]

ΕΠΙΣΤΟΛΗ ΣΚΗ'.—228.

Τῷ αὐτῷ.[2]

Εἴθε μοι τῶν σῶν ἦν ἐνάμιλλα λόγων τὰ ἔργα· οὐχ ἵνα κλέος ὄντες ἀκεστορι-

[1] Οὕτως Οἰσχέλιος καὶ Οἰκονόμος· οἱ δὲ ἄλλοι—ἀναδεδειγμένος.—Σημειωτέον δέ, ὅτι περὶ τοῦ ἐγκομβώσασθαι πολλὰ καὶ σοφὰ ὁ σοφὸς ἐσημειώσατο Κοραῆς ἐν τῷ Α'. Τόμῳ τῶν Ἀτάκτων (σελ. 137—140), ἔνθα καὶ ταύτης μνημονεύων τῆς φράσεως τοῦ Πέτρου λέγει· "Ἐμεταχειρίσθη τὴν μεταφορὰν "τοῦ ἐγκομβόω ὁ Ἀπόστολος Πέτρος κομψότατα, ὅταν λέγῃ 'τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε·' "ἤγουν, ἐνδύσασθε καὶ στολίσθητε τὴν ταπεινοφροσύνην, καὶ κρατεῖτέ την σφιγκτά, ὡς νὰ ἦτο κομβω- "μένη, διὰ νὰ μὴ Σᾶς γυμνώσῃ ἀπ' αὐτὴν ὁ ἄνεμος τῆς κενοδοξίας." Ἐπειτα δὲ καὶ τάδε προστίθησιν· "Ταύτην τοῦ Πέτρου τὴν κομψὴν καὶ ὡραίαν ῥῆσιν ὁ Νικομηδείας Γεώργιος ἔκρινε βάρβαρον· πρὸς τὸν "ὁποῖον γράφων ὁ Πατριάρχης Φώτιος, ἀποδείχνει μὲ μαρτυρίας παλαιῶν καθαρά, ὅτι ὁ Νικομηδείας "ἦτο ἀμαθής, καὶ ὄχι ὁ Πέτρος βάρβαρος." Καὶ ταῦτα μὲν ὀρθῶς εἴρηται τῷ σοφῷ Κοραῇ· τὰ δὲ τούτοις ἑπόμενα, ἐν οἷς λέγει, ὅτι Φώτιος σοφιστικῶς πως ἀποφαίνεται τὸν Πέτρον καὶ κατὰ τοὺς ἀρχαίους καὶ ὑπὲρ ἐκείνους δύνασθαι γράφειν, εἰ τοιαύτης αὐτῷ γραφῆς προσέδει, ταῦτα οὐ δίκαια λέγειν ἔδοξεν ὁ Κοραῆς τῷ τῶν Ἀμφιλοχίων ἐκδότῃ Σ. Οἰκονόμῳ (Ἴδε Ἀμφιλ. Προλ. σελ. νθ'· σημ. δ')· εἰκότως γε. Ὁ μὲν γὰρ Κοραῆς λέγει περὶ τούτου· "Ἂν οἱ Ἀπόστολοι ἐπεχείρουν νὰ γράψωσιν, ὡς οἱ παλαιοί, τοιαύτη ἐπι- "χείρησις δὲν ἠμπόρει νὰ κατορθωθῇ, πλὴν διὰ τοῦ αὐτοῦ ἐκείνου θαύματος τῶν πυρίνων γλωσσῶν, τὸ "ὁποῖον τοὺς ἐδίδαξε τὰς ξένας γλώσσας·" ὁ δὲ τῶν Ἀμφιλοχίων ἐκδότης ὀρθῶς πρὸς τὰ τοῦ Κοραῆ ταῦτα τοὺς Φωτίου λόγους ἀντιτίθησιν, ἐν οἷς τοῦτ' αὐτὸ λέγει καὶ Φώτιος, ὅπερ δὴ καὶ Κοραῆς εἶπεν, ὅτι διὰ τῆς τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσεως λαβόντες οἱ Ἀπόστολοι τὴν τῶν γλωσσῶν γνῶσιν, πάντως ἂν ταύ- την, εἴ τις ἦν τούτου χρεία, εἰς τὸ τελειότατον ἔχειν ἠδύναντο· "ὁ γὰρ τὰ πολλῷ μείζονα καὶ ὑπερφυῆ λαβὼν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων κ.τ.λ." (Ἴδε τῆς παρούσης ἐπιστολῆς τὸ τέλος). Ἀλλὰ καὶ ἀλλαχοῦ Φώτιος πρὸς τὸν αὐτὸν γράφων Γεώργιον τὸν Νικομηδείας (Ἴδε Ἐπιστ. ΚΖ'), καὶ περὶ τῆς Παύλου ῥητο- ρείας λόγον ποιούμενος, τὰ αὐτὰ λέγει· "Οὕτως οὖν οὐδ' εἰς ἰδιώτας ἀφῆκεν, οὓς ἐκεῖθεν προσείληφεν. "ἀλλ' ἀντὶ μὲν ἁλιέων, ἁλιεῖς ἀπετέλεσεν ἀνθρώπων . . . . ἀντὶ δὲ ἰδιωτῶν, τῆς οἰκουμένης διδασκάλους, "τῆς τε θείας καὶ οὐρανίου σοφίας ἐμπλήσας, καὶ τῆς ἀνθρωπίνης, ὅπου χρεία καλεῖ, οὐδὲν "ὑστερουμένους ἀποφήνας·" καὶ πάλιν· "Ἀλλὰ χάρις ἄνωθεν ἐνήργει . . . . χάρις ἄνωθεν, οὐ τέχνη· "τὸ μὲν γὰρ ἐκ τέχνης ἀνθρώπινον καὶ κοινόν, τὸ δὲ ἐκ χάριτος οὐράνιον καὶ τῶν Ἀποστόλων·" καὶ ἐν τέλει τῆς αὐτῆς ἐπιστολῆς· "ἐπεὶ μηδὲ μελέτης καρπός, ἀλλ' ἐπιπνοίας ὑπερφυοῦς τὰ Παύλου ῥήματα . . . "τοῦτο τῆς ἄνωθεν φοβερᾶς ἀστραπῆς βραχεῖά τις λαμπηδών, τῶν Ἀποστολικῶν χειλέων ἀποπάλλουσα· "τοῦτο τῆς ἐν ἀσθενείᾳ τελειουμένης θείας δυνάμεως . . . μαρτύριον ἀπαράγραπτον, ἐξ ἰδιωτικῆς γλώσσης "στάζουσα σοφία, ἐξ ἀμελετήτου στόματος κανὼν εὐγλωττίας, ἐξ ἀμαθῶν χειλέων τέχνη ῥητορείας." Δῆλον οὖν ἐκ τούτων, ὅτι ταὐτὰ λέγων τῷ Κοραῇ ὁ ἀοίδιμος Φώτιος, ἀδίκως ἤκουσε σοφιστεύεσθαί πως ἐν τῷ λέγειν, ὅτι Πέτρος ὁ Ἀπόστολος κατά τε τοὺς παλαιοὺς καὶ ὑπὲρ ἐκείνους ἠδύνατο γράφειν, εἰ τοι αὐτῆς αὐτῷ περὶ λόγους κομψείας εἰς τὴν τῶν ψυχῶν σωτηρίαν προσέδει.

[2] Ἀσθενήσαντα δεινῶς τὸν Γεώργιον τοῦτον Φώτιος (ἦν γὰρ καὶ ἰατρικῆς ἐπιστήμων ὁ ἀληθῶς παντεπι-

Digitized by Google

δῶν[1] Γαληνὸς καὶ Ἱπποκράτης, ὡς αὐτὸς ἡμᾶς θειάζων γράφεις, ὑπεξίστανταί μοι τῶν πρωτείων, οὐδ' ἵνα τῶν Ἀσκληπιαδῶν τὸ μέγα ὄνομα τῷ ἡμετέρῳ καταχωσθείη,[2] ἀλλ' ὡς ἂν εἴην, εἰ καὶ μὴ πρὸς ἕτερόν τι,[3] ἀλλ' οὖν ἐν τούτῳ γε τῷ μέρει, μικρά τις κατὰ τῶν σωματικῶν παθῶν τοῖς φίλοις καὶ συνάθλοις ἐπικουρία.

ΕΠΙΣΤΟΛΗ ΣΚΘ'.—229.

Ἰωάννῃ Μητροπολίτῃ Ἡρακλείας, τῆς ἐπαναστάσεως τῆς κατὰ τὴν Ἀρμενίαν συνισταμένης.[4]

Ἀπηλγημένας λύπας ἀριθμεῖς ἐπὶ τῇ φορᾷ τῶν παρόντων κακῶν, ὥσπερ ἐκὼν τὰς αἰσθήσεις μύων, καὶ οὐκ ἐθέλων ὁρᾶν. Σείεται σχεδὸν ἡ Ἀσία πᾶσα ἐμφυλίῳ στάσει, καὶ πόλεις αὐτανδροι ὑποβρύχιοι φέρονται τῷ κακῷ· ᾧ δὲ τὴν φορὰν ταύτην ἐπισχεῖν ἐλπίδες ἦσαν, οὐχ ὅτι οὐδὲν ἐπικουρεῖ, ἀλλὰ καὶ πρὸς τὸ βάραθρον συνωθῶν, οὐ μικρὰ ἐπὶ τούτῳ φρονεῖ· οἱ γὰρ καθηγούμενοι τοῦ στρατοῦ, αὐτοὶ κατὰ τῶν δυσμενῶν τὰ ὅπλα φέρειν μεθέντες (ἐὼ δὲ νῦν ὡς κατὰ τῆς ἰδίας κεφαλῆς καὶ ἀρχῆς ἐπανετείναντο), ἀλλ' οὖν κατ' ἀλλήλων φέρειν τὸ στρατιωτικὸν ἐβαρβάρωσαν, οὔτε θεσμοὺς θείους, οὔτε ἀνθρωπίνους ἐν λόγῳ ποιησάμενοι. Πῶς οἴει τὴν πόλιν καὶ τοὺς βασιλεῖς αὐτούς, εἰ βούλει δέ, καὶ ἡμᾶς, ἐπὶ τηλικούτῳ διακεῖσθαι πάθει; ἂν δὲ τὸ κοινὸν λοφήσῃ κακόν (λοφήσει δέ· τοῦτο γὰρ τὸ εὐθὺ τῆς δίκης καὶ λέγειν ἀναπείθει καὶ ἐννοεῖν), οἰχήσεται καὶ τὰ ἐνοχλοῦντα ἑκάστῳ καὶ ἰδίᾳ λυπηρά, τῶν νόμων ἐπὶ τὴν ἰδίαν ἰσχὺν ἀνενεγκόντων, καὶ τῶν ἀδικεῖν ἐπιχειρούντων, ἢ καὶ ἀδικησάντων, τὴν δίκην ἀπαιτουμένων. Ἐρρῶσο.

ΕΠΙΣΤΟΛΗ ΣΛ'.—230.

Ζαχαρίᾳ Μητροπολίτῃ Χαλκηδόνος.[5]

Ἐπεμψά σοι πικράν, τῇ τε κατασκευῇ καὶ τῇ ἐπινοίᾳ νέαν, καὶ βοήθημα στομαχικόν,

---

στήμων οὗτος ἀνήρ) αὐτὸν ἐθεράπευσεν. Ὡς οὖν εὐγνωμονῶν ὁ Γεώργιος πολλοὺς αὐτῷ καὶ δικαίους ἔγραψεν ἐπαίνους, τῷ Γαληνῷ καὶ Ἱπποκράτει παραβάλλων αὐτόν, τήνδε τὴν ἐπιστολὴν ἀντέγραψεν αὐτῷ Φώτιος. Εὕρηται δὲ αὕτη παρά τε Μιγνίῳ (στλ. 837), καὶ ἐν τέλει τῆς Μυριοβ. (σελ. 909, ἔκδ. Οἰσχελίου)· ἐν δὲ τῇ Μοντακ. συλλογῇ Ἐπιστ. ΡΞΘ'.

[1] Ἀκεστορίδης καὶ ἀκέστωρ=ἰατρός, ἐκ τοῦ ἀκέομαι (=ἰατρεύω)· καὶ Ἀσκληπιάδας δὲ καλεῖν εἰώθασι τοὺς ἰατρούς, ὡς εὐθὺς κατωτέρω καὶ Φώτιος τούτους λέγει, ἐκ τοῦ τῶν Θεῶν ἰατροῦ Ἀσκληπιοῦ.

[2] Σημειοῦ τὴν διττὴν τοῦ τελικοῦ ἵνα σύνταξιν, τὴν μὲν πρώτην παρὰ τὸν κανόνα καὶ κατὰ τὸ νῦν κοινῶς γινόμενον, τὴν δὲ ἄλλην κατὰ τὸν κανόνα· πλὴν εἰ μή τις εἴποι γραπτέον εἶναι "ὑπεξίσταιντο."

[3] Ἡμ. διόρθ. ἀντὶ—ἕτερόν τινα.

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 825)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΚΗ'.

[5] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 840)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΟΘ'.

Digitized by Google

τέχνης μὲν τῆς αὐτῆς, ἡλικίας δὲ πρεσβυτέρας· τούτων τὴν μὲν ὑπὲρ ἡμέραν ὄρθρου προσφερόμενος κατὰ τριτημόριον τοῦ σταλέντος, ὕδατι χλιαρῷ, ἢ καὶ μελικράτῳ, ὡς ἂν ᾖ σοι ἀλυπώτερον, τὸ δὲ μετὰ τὴν τῆς πικρᾶς πόσιν, καθ' ὅλον ἡμερῶν μῆνα, ποντικοῦ καρύου κατὰ μέγεθος, εἰς τρία τῷ πλήθει λαμβάνων, τὰ μὲν ἡλιακῶν αὐγῶν πρωϊαίτερον, τὸ δὲ λοιπὸν δυομένου καὶ ἐπιδείπνιον, τήν τε στομαχικὴν καχεξίαν ἐπὶ τὸ ἄμεινον ἕξεις μεθισταμένην σοι, καὶ τὴν τοῦ ὠτὸς περιωδυνίαν· οὐκ ἂν δὲ φαίην εἰς ἀπαλλαγὴν παντελῆ (βραχεῖά τε γὰρ θεραπεία χρονιωτέρων ἡττᾶται νοσημάτων, καὶ ὥσπερ πανταχοῦ, οὕτω μάλιστα ταῖς ἰατρικαῖς ὑποσχέσεσι νεμεσητὸν τὸ ὑπέρογκον), ἀλλ' οὖν, τῆς ἄνω ῥοπῆς εἰς εὐμένειαν ὁρώσης, εἰς πολὺ ῥᾴονα συγκαθισταμένην σοι διάθεσιν.

ΕΠΙΣΤΟΛΗ ΣΛΑ'.—231.

Τῷ αὐτῷ.[1]

Εὗρον, οἶμαι, τὴν τοῦ αἵματος ἀφαίρεσιν, καὶ θερείας[2] οὔσης, τῇ τοῦ σώματός σου διαθέσει συμφέρουσαν. Εἰ δὲ παρὰ δόξαν ἐστὶ τῶν νῦν ἐπιπολαζόντων ἰατρῶν, παράδοξον οὐδέν· οἷς γάρ, ἵνα μὴ νῦν τὰς ἄλλας αὐτῶν περὶ τὴν τέχνην ἁμαρτάδας, οἴμοι, λέγω, ἀλλ' ἵππουρις[3] μὲν νομίζεται τὸ πολύγονον, σέσελις δὲ τὸ Ἡράκλειον πανακές, καὶ οἷα δὴ βατράχιον τὸ μικρὸν κρίνεται χελιδόνιον, καὶ ἀντὶ μὲν πεπλίου τιθύμαλλος, ὡς ποταμογείτων δὲ τὸ λειμώνιον, καὶ ὁ μὲν μέλας χαμαιλέων ὡς λευκὸς παραλαμβάνεται, ἀντὶ δὲ τῆς ἀνεμώνης ἡ ἀργεμώνη, καὶ μυρίων ἄλλων φύσεις βοτανῶν ξένοις ὑπηρετοῦσι καὶ καιροῖς καὶ χρείαις καὶ ὀνόμασι (ταῦτα δή, ταῦτα τὰ πρόχειρα, καὶ ἃ μηδὲ τοῖς ἐν προθύροις ἰατρικῆς προσῆκον ἦν ἐν ἀμφισβητήσει καθίστασθαι·), τί θαυμαστὸν κἂν[4] ἡ φλεβοτομία, χρειώδης οὖσά σοι, τούτοις νομισθείη ξενίζουσα; Αὐτὸς δὲ τὴν συμβουλὴν δεχόμενος, σὺν Θεῷ σωτῆρι φάναι, καὶ τὸν ἔλεγχον ἐκείνων τῇ πείρᾳ καὶ τὸ σὸν εὑρήσεις κέρδος.

ΕΠΙΣΤΟΛΗ ΣΛΒ'.—232.

Ἀμφιλοχίῳ Μητροπολίτῃ Κυζίκου.[5]

Ἡ δικαία πειθὼ οὐ τῆς τοῦ λέγοντός ἐστι δυνάμεως μᾶλλον, ἢ τῆς τοῦ ἀκούοντος

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 860)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚΓ'· εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 909, ἔκδ. Οἰσχελίου).

[2] Ἡμ. διορθ. ἀντὶ—θερίας·—ἐννοητέον δὲ "ὥρας," τουτ' ἔστιν, ἐν ὥρᾳ θέρους.

[3] Εἶδος βοτάνης θεραπευτικῆς, οἷαι δὴ καὶ αἱ ἐφεξῆς, σέσελις, πολύγονον, κ.τ.λ.

[4] Παρ' Οἰσχελίῳ—εἰ καί.

[5] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 845)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΨΗ'.

Digitized by Google

διαθέσεως. Οὐκοῦν οὐκ ἐγὼ κινήσω γέλωτα τὸν ἀπειθῆ νουθετῶν, εἰ μὴ πείσω, ἀλλ' ὁ ἀπειθῶν εἴθε γέλωτα, ἀλλὰ μὴ καὶ τὴν ἐσχάτην ἐκεῖθεν προσοφλήσῃ τιμωρίαν.

ΕΠΙΣΤΟΛΗ ΣΛΓ'.—233.

Τῷ αὐτῷ.[1]

Οἱ μὲν ἄλλοι τοῦ Πλάτωνος λόγοι τοῦ πολιτικοῦ λόγου πεφύκασι γνώμονες, πλὴν εἴ τι κατ' ἐκλογὴν ὀνομάτων ἐνιαχοῦ παρημέληται· αἱ δὲ τούτου ἐπιστολαὶ ἴσον τε τῆς ἐκείνου λογιότητος καὶ τοῦ ἐπιστολιμαίου τύπου ἀπολείπονται. Αἱ δέ γε τοῦ Ἀριστοτέλους τῶν μὲν ἄλλων αὐτοῦ γραμμάτων εἰσί πως λογωδέστεραι, πλὴν οὐδὲ ταῖς Πλατωνικαῖς ἐξισάζουσιν. Δημοσθένους δὲ οἱ μὲν ἄλλοι πόνοι καὶ ῥητόρων καὶ κριτικῶν ἐγκωμίοις πληροῦσι τὰ στόματα, τὰς ἐπιστολὰς δὲ οὐδὲν ἀμείνους εὑρήσεις τῶν Πλάτωνος. Τίσιν οὖν ἐπιστολαῖς ὁμιλητέον, καὶ τίσι τὸν ἐπιγνωσθέντα ἡμῖν διὰ τῆς τέχνης χαρακτῆρα ἐφαρμόζοντες τὴν γυμνασίαν συλλεξόμεθα; Ἔστι μὲν καὶ ἄλλο πλῆθος ἄπειρον· ἔχεις δέ, ἵνα μηδὲ μακρὸν ᾖ σοι τὸ τῆς γυμνασίας στάδιον, τὰς εἰς Φάλαριν ἐκεῖνον, οἶμαι, τὸν Ἀκραγαντίνων[2] τύραννον ἀναφερομένας ἐπιστολάς, καὶ αἷς Βροῦτος ὁ Ῥωμαίων στρατηγὸς ἐπιγράφεται, καὶ τὸν ἐν βασιλεῦσι φιλόσοφον,[3] καὶ τὸν σοφιστὴν ἐν ταῖς πλείσταις Λιβάνιον. Εἰ δὲ βούλει σὺν τῷ χαρακτῆρι καὶ πολλῶν ἄλλων καὶ μεγάλων συλλέξαι ὠφέλειαν, ἀρκέσει σοι Βασίλειος ὁ γλυκύς, καὶ ὁ κάλλους, εἴ τις ἄλλος, ἐργάτης Γρηγόριος, καὶ ἡ ποικίλη καὶ τῆς ἡμετέρας αὐλῆς μοῦσα Ἰσίδωρος·[4] ὅς, ὥσπερ λόγων, οὕτω δὲ καὶ ἱερατικῆς καὶ ἀσκητικῆς πολιτείας, κανών ἐστι χρηματίζειν ἀξιόχρεως· καὶ εἴ τις ἕτερος μετὰ τῆς ὁμοίας προαιρέσεως τὴν ἐκείνων ἰδέαν ταῖς ἰδίαις ἐπιστολαῖς ἐνεδυναμώθη μορφώσασθαι.

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 861)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΖ'· εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου, πρώτη τῶν ὑπὸ Οἰσχελίου ἐκδεδομένων ἓξ καὶ τριάκοντα· ἀλλὰ καὶ Φαβρίκιος ἐν τῇ Ἑλλην. βιβλιοθ. (Τόμ. Α', σελ. 701—2) ταύτην ἐκδέδωκεν.

[2] Οὕτω Φαβρίκιος· οἱ δ' ἄλλοι—Ἀκραγαντῖνον.

[3] Φαβρίκιος μὲν τὸν Μάρκον Αὐρήλιον ὑπονοεῖσθαί φησι· Μοντακ. δέ, ἤτοι τοῦτον, ἢ Ἰουλιανὸν τὸν παραβάτην.

[4] Τὸν Πηλουσιώτην λέγει Ἰσίδωρον, ἀκμάσαντα ἐν τέλει τῆς Δ' καὶ ἐν τῇ ἀρχῇ τῆς Ε' ἑκατονταετηρίδος, καὶ μαθητὴν γενόμενον τοῦ Χρυσοστόμου. Λέγει δὲ περὶ αὐτοῦ Σουΐδας· "Ἰσίδωρος πρεσβύτης "ὁ Πηλουσιώτης, ἀνὴρ ἐλλογιμώτατος, φιλόσοφός τε καὶ ῥήτωρ, ἐπιστολὰς ἑρμηνευούσας τὴν θείαν Γραφὴν "͵γ (3000) γέγραφε, καὶ ἄλλα τινά." Ἀλλὰ περὶ τῶν συγγραμμάτων αὐτοῦ ἴδε Φαβρ. Ἑλ. Βιβλ. (Τόμ. Ι', σελ. 480—494), καὶ Μελετ. Ἐκκλ. Ἱστορίαν. Τόμ. Β', σελ. 34· ἐπονομάζει δὲ τοῦτον "τῆς ἡμετέρας αὐλῆς μοῦσαν," διαστέλλων ἀπὸ τοῦ αἱρετικοῦ Ἰσιδώρου τοῦ Βασιλείδου, περὶ οὗ ἴδε Μελέτιον (ἔνθ. ἀνωτ. Τόμ. Α', σελ. 194) καὶ Φαβρικίου Ἑλλην. Βιβλιοθ. (Τόμ. Α', σελ, 702).

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΛΔ'.—234.

Παύλῳ Μητροπολίτῃ Λαοδικείας.[1]

Ἔκαμον τὰς εὐδίας ἀναμετρῶν καὶ τὴν στὴν περιβλεπόμενος ἄφιξιν· ἀλλ', ὡς ἐοικε, χειμῶνές σοι αἱ εὐδίαι γεγόνασιν. Εἰς ποῖον οὖν ἄρα πέρας τὰ τῶν χειμώνων σοι ἀποκριθήσεται ;

ΕΠΙΣΤΟΛΗ ΣΛΕ'.—235.

Τῷ αὐτῷ.[2]

Εἰ μὴ χειμὼν ἦν, περὶ οὗ ὁ Σωτὴρ ἔλεγεν, "εὔχεσθε μὴ γενέσθαι τὴν φυγὴν ὑμῶν ἐν χειμῶνι,"[3] χειμῶνα ἄν σοι λόγων δικαίως ἐπήγειρα· οὐκ οἶδα, τὸν ἄφιλον ἐρῶ τρόπον, ἢ τὴν οὕτω μακρὰν ἀποδημίαν, καὶ τοῦ παλαιοῦ κόρακος ἐκείνου[4] ἐγγὺς γενέσθαι φιλονεικήσασαν, αἰτιώμενος. Ἀλλ' εἰ μὲν τὸ πτερόν σοι τῆς ἀγνῆς καὶ καθαρᾶς καὶ ὀξυπόρου περιστερᾶς ἔρρωται τῆς ἀγάπης, οὐδὲν ὁ χειμών, ὥσπερ οὐδέ τι ἄλλο· εἰ δέ τινα θραῦσιν (ἀλλ' οὐκ ἂν πεισθείην) ἐκεῖνο πεπόνθοι,[5] ἀνάγκη κάτω μένειν, ἕως ἂν ὁ ταρσὸς[6] πάλιν ἄνωθεν βλαστήσῃ, καὶ μηδ' ἐν εὐδίᾳ πρὸς ἡμᾶς μετεωρίζεσθαι. Ἀλλ' ἔρρωσό μοι τὸν θεῖον ἔρωτα μᾶλλον ἐπὶ τοῖς προτέροις πτεροφυῶν, ἢ τοὺς ἀρχῆθεν καὶ καλῶς προβεβλημένους ταρσοὺς ῥαθυμίᾳ περιθραυόμενος.

ΕΠΙΣΤΟΛΗ ΣΛΣΤ'.—236.

Τῷ αὐτῷ.[7]

Οὔτε τοὺς ἐν λόγοις ἀγνώμονας εὐεργετεῖν οἶδα λόγῳ, καίπερ ἐν τοῖς ἄλλοις (ὡς ἂν αὐτὸς φαίης) φιλοσοφώτερον αὐτὸ θεωρήσας, οὔτε σολοικίζουσι (νῦν γάρ, εἴ ποτε, καιρὸς καὶ τοῦ παίξαι) συνήθης εἰμὶ πείθεσθαι. Ἕως ἂν οὖν εὐχάριστοι μὲν οἱ ἀγνώμονες

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 852)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΣΤ'.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 852)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΙΕ'.*

[3] *Ματθ. ΚΔ', 20.*

[4] *Γενέσ, κεφ. Η'.*

[5] *Ἡμ. διόρθ. ἀντὶ—εἰ δέ τινα θραῦσιν, ἀλλ' οὐκ ἂν πεισθείην ἐκεῖνο, πεπόνθοι.*

[6] *Τὸ στέλεχος τῆς πτέρυγος, ἐφ' οὗ πεφύκασι τὰ πτερά.*

[7] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 853)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚ'.*

Digitized by Google

καταστῶσιν, οἱ δὲ τοὺς καλοὺς κακῇ προφορᾷ ῥημάτων αἰκιζόμενοι λόγους Ἑλλάδα γλῶτταν τῆς ἀμουσίας ἀλλάξωνται, οὐκ ἂν ἐκών γε εἶναι τῶν τῆς ῥητορείας καινῶν μυστηρίων ἐπόπτας ποιήσωμαι. Δι' ὃ σὺ μὲν τὴν γλῶτταν Ἀττικαῖς μελέταις, ὁ δὲ σὸς φίλος εὐγνωμοσύνης τελεταῖς τὴν γνώμην καθάρας, σὺν Θεῷ φάναι, τεύξοισθε τῶν ποθουμένων.

ΕΠΙΣΤΟΛΗ ΣΛΖ'.—237.

Εὐλαμπίῳ Ἀρχιεπισκόπῳ καὶ Σκευοφύλακι.[1]

Οὐκ ἐθέλει τῷ φωτὶ συμπαρεῖναι τὸ σκότος· μισεῖ δὲ καὶ τὴν σύνοδον τοῦ ψεύδους ἡ ἀλήθεια. Μετὰ τὴν σὴν ἀφ' ἡμῶν ἀναχώρησιν, ὁ τὴν κλῆσιν ψευδόμενος ἐφέστηκεν Ἐμμανουήλ, οἷα εἰκὸς ἦν πράττειν αὐτὸν καὶ τῶν οἰκείων τρόπων ἀξίως ἐπιδεικνύμενος.

ΕΠΙΣΤΟΛΗ ΣΛΗ'.—238.

Τῷ αὐτῷ.[2]

Ἔστιν ἐναντίον τῇ ἀρετῇ ἡ κακία καὶ οὐκ ἂν εἰς φιλίαν συνέλθοιεν· ἑκατέρα δὲ ὑποκείμενον οἰκεῖον, ἐφ' ᾧ ἵδρυται, καταλαμβάνουσα ἔχει. Οὐκ ἔστιν οὖν, μαχομένης τῆς ἐφιδρυμένης, σπένδεσθαι τὸν ἐδράζοντα· εἰ δὲ τοῦτο, μηδὲν θαυμάζῃς,[3] εἰ ὁ τῆς κακίας ὑπηρέτης κατὰ τῶν ἀντιπρόσωπον αὐτῷ τὴν ἀρετὴν προβεβλημένων μέγα πνεῖ τὸ πολέμιον.

ΕΠΙΣΤΟΛΗ ΣΛΘ'.—239.

Ἀντωνίῳ Ἀρχιεπισκόπῳ Βοσπόρου.[4]

Ἦν ποτε Ἄξεινος ὁ Σκυθικὸς πόντος· ἐποιεῖτο γὰρ βοράν, φρικτὸν ἀκοῦσαι, καὶ τοὺς ἐμπλέοντας τῶν ξένων· Μιλήσιοι δὲ φιλανθρωπίᾳ καὶ ἡμέρῳ πολιτείᾳ τό τε θηριῶδες καὶ βάρβαρον ἐξημέρωσαν ἦθος, καὶ εἰς Εὔξεινον αὐτὸν μετεποίησαν.[5] Νῦν δὲ διὰ

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 828)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΨΕ'.

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 840)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΠΔ'· εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 914, ἔκδ. Οἰσχελίου).

[3] Ἴδε περὶ τούτου τὰ ἐν Ἐπιστ. ΜΘ' σημειωθέντα.

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 828)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΨΣΤ'.

[5] Περὶ τούτου λέγει ὁ Στράβων· "Ἁπλουν γὰρ εἶναι τότε τὴν θάλασσαν ταύτην, καὶ καλεῖσθαι Ἄξενον, διὰ τὸ δυσχείμερον καὶ τὴν ἀγριότητα τῶν περιοικούντων ἐθνῶν, καὶ μάλιστα τῶν Σκυθικῶν, ξενοθυτούντων καὶ σαρκοφαγούντων, καὶ τοῖς κρανίοις ἐκπώμασι χρωμένων· ὕστερον δὲ Εὔξεινον κεκλῆσθαι, τῶν Ἰώνων ἐν τῇ παραλίᾳ πόλεις κτισάντων (Τόμ. Β', σελ. 15 καὶ 17, ἔκδ. Κοραῆ). Τῶν δὲ

Digitized by Google

σέ,[1] καὶ τοὺς σοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας καὶ πόνους καὶ τὴν ἄλλην περὶ τὸ θεῖον θεραπείαν, οὐκ Εὔξεινος μόνον, ἀλλὰ καὶ Εὐσεβὴς μετὰ τοῦ εἶναι καὶ ὀνομάζεται.[2] Πόσης οἴει με ταῦτα καὶ ἐννοοῦντα καὶ γράφοντα χαρᾶς καὶ εὐφροσύνης πληροῦσθαι; Εἰ δὲ καὶ τοὺς αὐτόθι Ἰουδαίους εἰς τὴν ὑπακοὴν Χριστοῦ αἰχμαλωτίσας, ἀπὸ τῆς σκιᾶς καὶ τοῦ γράμματος ἐπὶ τὴν χάριν, ὡς ἔγραψας, μεταστήσεις,[3] ἀπέχω καὶ περισσεύω τῶν καλῶν ἐλπίδων τοὺς ὡραίους καρπούς, ἃς ἐπὶ σοὶ διὰ παντὸς ἔτρεφον.

ΕΠΙΣΤΟΛΗ ΣΜ'.—240.

Ἀναστασίῳ Πρεσβυτέρῳ καὶ βιβλιοθηκαρίῳ Ῥώμης.[4]

Ἀφ' ἱερᾶς μέν σοι, τὸ παροιμιῶδες,[5] ὁ ἀγών, ὀψὲ δὲ τῆς χρείας· καὶ τῆς γνώμης

ποιητῶν Εὐριπίδης μὲν ἄξενον πόντον καὶ ἄξενον πόρον τὴν θάλασσαν ταύτην ἀπεκάλεσεν (Ἰφιγ. ἡ ἐν Ταύρ. 219, 254 καὶ 342). Σοφοκλῆς δέ, ἀπόξενον ὅρμον Θρῄκιον κλύδωνα (Οἰδ. Τ', 196)· καὶ ὁ Αἰσχύλος, ἐχθρόξενον ναύτῃσι, μητρυιὰν νεῶν (Προμ., 728). Κατὰ μίμησιν δὲ καὶ Λυκόφρων ἐν Κασσάνδρᾳ (στ. 1286) ἀπεκάλεσεν αὐτὴν κακόξεινον κλύδωνα.

[1] Ἡμ. διόρθ. ἀντὶ—διὰ σοῦ.

[2] Μοντακ. εἴκασε γραπτέον εἶναι "ὀνομαζέτω·" ἀλλ' ἴσως ἐγέγραπτο "ὀνομαζέσθω."

[3] Μοντακ. εἰκάζει γραπτέον εἶναι "καὶ τὸ σῶμα μεταστήσεις."

[4] Τίς μὲν ἦν ὁ Ἀναστάσιος οὗτος, εἴρηται ἐν τοῖς Προλεγομένοις (σελ. 3, σημ. 3). Δῆλον δ' ἐκ τῆσδε γίνεται τῆς ἐπιστολῆς, ὅτι φίλος ὢν πρότερον Φωτίῳ, ἔπειτα μετεβάλετο, τὴν Παπικὴν θεραπεύων κίδαριν, καὶ πολλὰ κατὰ Φωτίου ἔγραψεν· ἔτι δὲ καὶ τοῦτο δῆλον, ὅτι τὴν ἐπιστολὴν ταύτην πολλῷ πρότερον ἔγραψε Φώτιος, ἢ τὴν ψευδογδόην γενέσθαι Σύνοδον, ὅτε δὴ καὶ ὁ Ἀναστάσιος οὗτος ἔτυχε παρὼν ἐν Κωνσταντινουπόλει, ἐκ Λουδοβίκου τοῦ Βασιλέως πρεσβεύων, ὡς ἐν τοῖς Προλεγομένοις (σελ. 62, σημ. 2) εἴρηται. Ἀλλ' ὅμως Ἰάγερος λέγειν τολμᾷ, ὅτι μετὰ τὴν Σύνοδον ἐκείνην τὴν παροῦσαν ἔγραψε Φώτιος ἐπιστολήν, κατ' Ἰγνατίου τὸν Ἀναστάσιον ἐρεθίζων, ἤδη μισητοῦ γενομένου τῷ Πάπᾳ διὰ τὸ μὴ τὴν Βουλγαρίαν ἀποδιδόναι (Hist. de Phot. p. 252—3). Ἀλλ' εἰ τοιαύτην εἶχεν ὑπόθεσιν ἡ ἐπιστολή, πάντως ἂν αὐτῆς ὁ Ἀναστάσιος ἐμνημόνευσεν ἐν οἷς ἔγραψεν ὕστερον κατὰ Φωτίου, μάλιστα δὲ ἐν τοῖς Νικολάου καὶ Ἀδριανοῦ τῶν Παπῶν βίοις, ἔνθα πολλὰ καὶ σκωπτικὰ κατὰ Φωτίου προσέθηκεν· ὅθεν δὴ καὶ Μοντακούτιος ὀρθῶς λέγει οὐ πρέπειν αὐτῷ τὸ τοῦ φίλου ὄνομα· "Amici nomen minime meritus est ille fungus Bibliothecarius Photio hostis infestus: is est autem cujus opus cacata charta bardum ridiculum extat de vitis Pontificum Romanorum." Κἀν τούτῳ ἄρα Ἰάγερος πόῤῥω ἀπέχει τῆς ἀληθείας, ὥσπερ δὴ καὶ ἐν τοῖς ἄλλοις, οἷς τοῦ ἱεροῦ Πατριάρχου κατεφλυάρησεν. Προσσημειωτέον δέ, ὅτι τὴν περὶ Ἀναστασίου κρίσιν τοῦ Μοντακουτίου πικρῶς ὁ Καρδινάλιος Μάϊος ἀποδοκιμάζει ἐν οἷς διὰ βραχέων τὰς ἐν ταῖς Φωτίου ἐπιστολαῖς σημειώσεις ἐκείνου ἐξελέγχει (Spicileg. Rom. Tom. X. p. xxiii)· ἀλλ' οὐδὲν φαίνεται λέγων ἱκανὸν τὴν τοῦ φιλαλήθους ἐκείνου ἀνδρὸς κρίσιν ἀτιμάσαι, οὐδ' ὁπωστιοῦν. Ματῷ δὲ καὶ Μίγνιος ἑπόμενος, ὡς εἰκός, τὰς Μοντακουτίου σημειώσεις, ὡς πεφαρμακευμένας, καταδικάσας, οὐ περιέλαβεν ἐν τῇ τῶν ἐπιστολῶν Φωτίου ἐκδόσει, τάδε ἀποφηνάμενος· "Montacutii notas ut *veneno tinctas* inutilesve rejecimus·" οὐ μέντοι τούτου γε ἕνεκα ἡ ἀλήθεια ἔλαττον ἔχει, ὅτι Μίγνιος αὐτῇ τῆς ἑαυτοῦ Πατρολογίας τὰς θύρας ἀπέκλεισεν.—Εὕρηται δὲ ἡ παροῦσα ἐπιστολὴ παρά τε Μιγνίῳ (στλ. 877) καὶ ἐν τέλει τῆς Μυριοβ. (σελ. 909, ἔκδ. Οἰσχελίου)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΟ'.

[5] Κινεῖν τὸν ἀφ' ἱερᾶς (γραμμῆς).—Παροιμία, ἐπὶ τῶν τὴν ἐσχάτην κινούντων βοήθειαν πρὸς

Digitized by Google

οὐ μέμφομαι, τὸν καιρὸν δ' ὁρῶ παρελάσαντα. Καί μοι δοκεῖ τοῦτον οὐκ ἀκόμψως ὁ αἰνιγματιστὴς ἀπεικάζων λόγος, ἔμπροσθεν μὲν ἀκερσεκόμην, ὄπισθεν δὲ κουρίαν ἐν χρῷ διαγράψασθαι. Ἐπειδὰν γάρ τις ὀπίσω τοῦ χρόνου γένηται, κἂν μυρίαις αὐτὸν ἐπιδιώκῃ τέχναις, οὐκ ἔστιν αὐτοῦ περιδράξασθαι. Ἀλλ' εὖγε σοι καὶ τῆς διὰ βράδους ἐλθούσης συμπαθοῦς προαιρέσεως· φίλων γὰρ οὐχὶ τῇ χρείᾳ τὴν χάριν μετρεῖν, τῇ προθέσει δὲ κρίνειν τὴν εὔνοιαν.

ΕΠΙΣΤΟΛΗ ΣΜΑ'.—241.

Νικολάῳ Ἡγουμένῳ μονῆς τοῦ ἁγίου Νικηφόρου.[1]

Ἀναγκαῖος μὲν ὁ φίλος· πῶς γὰρ οὔ; ἀναγκαιότερος δὲ ὁ τοῦ δικαίου λόγος. Εὔχομαι μὲν ἀμφότερα συνδραμεῖν ὑπὲρ οὗ πρεσβεύεις, καὶ τὴν φιλίαν καὶ τὴν δικαιοσύνην· οὕτω γὰρ ἂν ἡδέως φίλῳ χαρισαίμην· εἰ δ' οὖν, μηκέτι ἡμᾶς, ἀλλὰ τὸν διχάσαντα τὴν ἑαυτοῦ φιλίαν τῆς δικαιοσύνης αἰτιατέον. Πάντως γὰρ οὐδ' αὐτὸς ἀνέξῃ ἐμὲ φιλοῦντα μετὰ τῆς δικαιοσύνης τοῦ χωρὶς ταύτης ἀγαπηθέντος μὴ προκρίνεσθαι. Ἐκεῖνο δέ μοι καὶ πρὸ τούτου εὖ οἶδ' ὅτι σκοπήσαις· ὡς οὐκ ἂν θελήσαις ἐμέ τε δίκην ὀφείλειν ἐκεῖθεν τῆς οὐκ ὀρθῆς οὐδὲ ἴσης κρίσεως, ἐκεῖνόν τε διπλᾶς ὑπέχειν ποινὰς τοῦ τε πρώτου ἀδικήματος, καὶ τοῦ ἐφ' ᾧ τὴν δίκην διαφθείρας καὶ φυγών, δεύτερον ἀδίκημα τῷ δίκην ὀφείλοντι παρ' αὐτοῦ[2] λαβεῖν ἤνεγκεν.

ΕΠΙΣΤΟΛΗ ΣΜΒ'.—242.

Δωροθέῳ Ἡγουμένῳ μονῆς Κεδρώνων.[3]

Σὺ μὲν ὀλοφύρῃ καὶ θρηνεῖς ἐφ' οἷς πάλαι τῆς ἡμῶν ἐν Κυρίῳ ἀγάπης διΐστασο· καὶ καλῶς ποιεῖς· οὐδὲ τοῦτο γὰρ ἔλαττον τῶν ἄλλων εἰς ἀρετῆς λόγον ἀγάπης ζημίαν ὀδύρεσθαι, καὶ μὴ μόνον ἐθέλειν ὀρθοῦσθαι, ἀλλὰ καὶ πικρῶς ἀλγεῖν, ὅτι τὴν ἀρχὴν ἡ πτῶσις ἐκράτησεν. Ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ μέμψασθαί τι τῆς πρὶν διχονοίας διὰ τὴν καθαρότητα τῆς νῦν ὁμονοίας, ἢ πρὸς συγγνώμην βραδὺς εἶναι, ὥστε καὶ χάριτας τῇ πάντα σοφῶς περιαγούσῃ προσομολογῶ προνοίᾳ, καί σέ φημι δεῖν. Τῶν γὰρ τότε φίλων εὐαρίθμητοι μὲν διεσώσαντο τὸ τῆς ψυχῆς εὐγενές· τῶν δὲ λοιπῶν τοὺς μὲν ὁ ἐπικρεμασθεὶς

ἐπίτευξιν τοῦ σκοπουμένου. Ἴδε Σουΐδαν ἐν τῷ "κινήσω τὸν ἀφ' ἱερᾶς" καὶ Σκαρλ. Βυζαντ. Λεξικὸν ἐν λ. ἱερός· ἔτι δὲ καὶ Παροιμιογρ. Ἑλλην. σελ. 177, ἔκδ. Θ. Γαισφόρδου.

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 868)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΝΘ'.

[2] Ἡμετ διόρθ. ἀντὶ—παρὰ τοῦ.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 868)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΚΘ'.

Digitized by Google

φόβος ἀφεῖλε τὴν ἀρετήν, τοὺς δὲ κολακείας ὄντας πρόσωπον ἤλεγξεν ὁ καιρός, τοὺς δὲ (ὦ μέχρι τοῦ γενέσθαι μηδ' ἐλπιζομένη τόλμα!) καὶ ἀπ' ἐναντίας ἱσταμένους· καὶ συνέβαινεν, εἰ καὶ συνέβαινε, τὴν μετ' ἐκείνων ἔχοντι τάξιν μηδὲ τῆς ἐκείνων καθαρεύειν ὑποψίας. Τὸ δὲ ἐν καιρῷ τοιούτῳ καθαρὰν οὕτω[1] καὶ ἀνδρείαν ἐπιδείξασθαι τὴν φιλίαν, καὶ τῆς παρούσης ἐστὶ διαθέσεως ἐγκώμιον μέγα, καὶ τῶν μελλόντων οὐκ ἔχουσα δισταγμὸν ἐγγύη, καὶ τῶν παρεληλυθότων ἀπολογία, μηδεμιᾶς μὲν ἄλλης δεομένη περιστάσεως, ἀλλὰ καὶ συγγνώμῃ πάσῃ δικάζουσα τὴν ἀργίαν, ἐξ ἀδωροφορήτου τοῦ βήματος, τοῦ παρόντος κατορθώματος, αὐτῇ καθ' ἑαυτὴν τὸ αἰδέσιμόν τε καὶ ἀξιόπιστον χρηματίζει.

ΕΠΙΣΤΟΛΗ ΣΜΓ'.—243.

Τῷ αὐτῷ.[2]

Τὸ μὲν δῶρον γνησίας ἀγάπης· τὸ δὲ ἐν καιρῷ τοιούτῳ διαπύρου πόθου· τὸ δὲ καὶ τηλικούτων ἐπικρεμαμένων κινδύνων μαρτυρικοῦ ζήλου· ἀνθ' ὧν Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ ἡμῶν σιγώντων, εἰς τὸν αὐτοῦ σε τῆς βασιλείας ἐναπογράφεται κλῆρον. Εἴη δ' ἡμῖν καὶ ἡ σὴ παρουσία μετὰ λαμπρᾶς καὶ μεγάλης τῆς σωτηρίας, καὶ τῶν ἱερῶν ἐλπίδων, αἷς ἡ σὴ πανίερος ψυχὴ πρυσανέχει, μηδὲν εἰς ἀναβολὰς ἐπῃωρημένον,[3] ἀλλ' ἐπ' αὐτοῖς ἔργοις τὸ βέβαιον λαμπρῶς καθορώμενον [ἔχουσα[4]].

ΕΠΙΣΤΟΛΗ ΣΜΔ'.—244.

Νικηφόρῳ φιλοσόφῳ μοναζοντι.[5]

Ἅπαντα μὲν καλῶς εἶχε, καὶ οὐδὲν ταῖς συντάξεσιν ἢ ταῖς ἄλλαις γραμματικαῖς ἀκριβείαις ὁ λόγος ἐχώλευεν· ἃ δὲ τῶν ῥητορικῶν ἐνέδει νόμων καὶ τῆς ἐκεῖθεν περινοίας (οὐδ' ἐν τούτοις εἰς ἀναίσχυντον ἐκφερομένων τῶν γεγραμμένων ἁμάρτημα), καὶ ταῦτα δέ σοι, ὥσπερ ᾔτησας, διορθώσεως τυχόντα προσαναπεπλήρωται. Εἴης δὲ κἀν τούτοις, ὥσπερ κἀν τοῖς ἄλλοις αὐτὸς διὰ σεαυτοῦ λαμπρὸν φέρων τὸ εὐδόκιμον. Ἔρρωσο.

---

[1] Παρὰ Μιγνίῳ—οὕπω—(κακῶς).

[2] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 869)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛ'.

[3] Ἡμετ. διόρθ. ἀντὶ—ἔτι ὡρημένον. Μοντακ. δὲ διορθωτέον εἶναι εἰκάζει "ἀπῃωρημένων."

[4] Ἡμ. διόρθ. ἡ προσθήκη τῆς Μετοχῆς—ἔχουσα (ἡ σὴ παρουσία δῆλον ὅτι).

[5] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 900) παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΔ'· εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβ. (σελ. 909, ἔκδ. Οἰσχελίου).

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΜΕ'.—245.

Τῷ αὐτῷ.[1]

Τὸν μὲν τοῦ σώματος ἔρωτα ἐπτερωμένον οἱ σωματικοὶ γράφουσι· γράφουσι δὲ καὶ τὸν θεῖον, ὅσοι τὸ νοερὸν αὐτοῦ κάλλος ψυχαῖς καθαραῖς ἐνεμορφώσαντο· ἀλλ' οἱ μὲν βαφαῖς καὶ χρωμάτων ἄνθεσιν, οἱ δ' αὖ ἀρεταῖς καὶ λαμπροτέροις τοῖς κατορθώμασιν. Ἑκάτεροι δ' οὖν ὅμως μαρτυροῦσι, δι' ὧν γράφουσιν, ὡς ἄφατον ἔχει τάχος, καὶ προθεσμίας ὑπάρχει τύραννος, καὶ ὑπερόπτης νόμων, οἷς ἀναβολὴ διϊθύνεται. Ἴσθι τοιγαροῦν, ὦ τοῦ Θεοῦ ἱερὲ ἄνθρωπε, ὡς καὶ ἡμᾶς ἡ τυραννὶς αὕτη κατὰ κράτος εἶλε,[2] καὶ τὴν προθεσμίαν ἐβιάσατο, καὶ πρὸ τοῦ χρόνου τὴν σὴν παρουσίαν ἐπιζητεῖν κατηνάγκασεν. Ἐρῤῥωσο.

ΕΠΙΣΤΟΛΗ ΣΜΣΤ'.—256.

Τῷ αὐτῷ.[3]

Ἐφ' οἷς μὲν ἡ ἀχθηδών, ἀγνοῶ· οἶδα δέ, κατ' ὄψιν ἀξιωθείς, ῥητορικὰς ἀφορμὰς παρασχεῖν, ὅσας τε γλῶττα χαρίζεται, καὶ εἴ τι βίβλοι προσεκδιδάσκουσιν. Καὶ ἁπλῶς μὲν προβαλλομένῳ καὶ ἀπροσδιορίστῳ ῥήματι τὴν ἀξίωσιν σύνοιδα καὶ αὐτὸς ὁμοίαν σοι καὶ κοινὴν πεποιημένος τὴν ἐπίνευσιν· σοῦ δὲ τὸ λοιπὸν μηδὲν προσθέντος, μήτε ὅτι παραγενέσθαι δέοι (ἵνα καὶ γλῶττα λέγειν ἔχοι, ἅττα ἂν καὶ λέγοι), μήτε εἰς ἐπὶ μέρους καὶ ὡρισμένην ἀξίωσιν τὴν κοινοτέραν καὶ ἀόριστον περιενεγκόντος, μηδὲ σαφῶς δεδηλωκότος, τίνων ἔστι σοι χρεία βιβλίων, καὶ ποίας τῶν ῥητορικῶν τεχνῶν πραγματείας, καὶ τίνος τεχνογράφου, πῶς ἂν δυναίμην ἐγώ, ἢ τῆς φωνῆς τὴν ἀπήχησιν, τοσούτῳ διεστηκότων διαστήματι, μέχρι τῶν σῶν ὤτων παρατείνειν (εἰ μή με καὶ Στεντορείους μύθους, ὅτι μὴ μακρῷ φθεγγόμενος ἀποκρύπτω, πάλιν αἰτιάσῃ), ἢ βιβλίων πλῆθος ἀόριστον ὧδε κἀκεῖσε διερευνᾶσθαι, εἶτα μάτην διαπέμπειν; ἡ γὰρ ἄγνοια τοῦ ζητουμένου, τῆς τέχνης ἁπάσης καὶ τῶν περὶ αὐτὴν τὰς βίβλους εἰς ἀνάγκην ἂν ἀπῆγε συναγείρειν. Ἀλλ' εἰ μὲν ἐν τούτοις ἔσχε τὰς γονὰς ἡ ἀχθηδών, οὐδέν, ὦ βέλτιστε, πρὸς ἡμᾶς· εἰ δ' ἄλλο τί ἐστι, σὺ δέ μοι σύγγνωθι, καὶ χρόνῳ μακρῷ καὶ νόσῳ πικρᾷ τὸ κρατεῖν λαβούσης λήθης ἠττηθέντι. Ἀλλά μοι ἔῤῥωσο τὴν ψυχὴν σὺν τῷ σώματι· καὶ μήτε ῥᾳδίως οὕτω σκιὰς ἀχθηδόνων αὐτὸς διεκπέμπων ταύτας ὑπότρεχε, μήτε ζήτει παρ' ἄλλου λύπης ἐξευρεῖν ἀπαλλαγήν, ἧς

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 901)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΙΖ'· εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβ. (σελ. 913, ἔκδ. Οἰσχελίου).

[2] Οὕτως ἐξ Οἰσχελίου, ἀντὶ—εἶλκε—παρὰ τοῖς ἄλλοις.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 904)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛΕ'.

Digitized by Google

οὐκ ἔστι τὴν γένεσιν εὑρεῖν οὐδαμοῦ, ἀλλ' ἢ παρὰ τὰς σὰς τῆς ὑπονοίας οὐ γνησίους, οἶμαι, γονάς. Ἔρρωσο.

ΕΠΙΣΤΟΛΗ ΣΜΖ'.—247.

Τῷ αὐτῷ.[1]

Ἀμηχανοῦντί μοι καὶ ἀπορουμένῳ καὶ ἀσχάλλοντι περὶ τὰ κατ' ἐμαυτόν (ἐμὰ γὰρ τὰ τοῦ ἐμοῦ αἵματος, κἂν μὴ θέλω) καὶ ὅσα πάθη συνέχει τοὺς φίλους, παραμύθιον ἦκεν (εἶδες καινά[2]) ἐκ συμφορῶν πολυτρόπων ἠρτημένον φίλου. Ἐλθὲ δὴ οὖν, ὥσπερ ᾔτησας, ἐλθὲ τὴν ταχίστην, ἐν μέρει μὲν ἴσως (σὺν Θεῷ δὲ φάναι) τὴν ἀπαλλαγὴν εὑρήσων τῶν παραλυπούντων, ἐν μέρει δὲ καὶ ἡμᾶς τῇ φίλῃ παρουσίᾳ τῆς πολυωδύνου κουφίζων ἀθυμίας.

ΕΠΙΣΤΟΛΗ ΣΜΗ'.—248.

Τῷ αὐτῷ.[3]

*Ὁ μὲν χειμὼν ἐγεγόνει, καὶ τὴν χειμέριον ὥραν, ὥσπερ ἐπιτηδές, τὰς σὰς προαναστέλλων τῆς βραδύτητος αἰτίας, ἀὴρ εὔδιος ὑπεδέχετο· καὶ χειμὼν πάλιν καθ' ἡμῶν πολλὰς νιφάδας λογισμῶν ἀφιεὶς κατερρήγνυτο. Τί δὲ γέγονε; μή τι τῶν ἀδοκήτων ἀπήντησε; μή τι συνέβη τῶν κωλυμάτων;[4] ἆρα δὲ θερμὴν οὕτω πρὸς τὴν ἄνοδον ὁρμὴν ἄνευ μεγάλης ἀνάγκης ἐνῆν ἡσυχάσαι; Τοιαύταις ἡμεῖς *οἱ* ὑπὸ τῆς εὐδίας ἐκκλυδωνιζόμεθα φροντίσιν· ὁ γὰρ τρόπος, οὐκ οἶδ' ὅθεν, ἡμῖν παρακύψας (τάχα δ' ἐκ τῆς ποιητικῆς ἐντρεχείας· συνεφείλκε γὰρ αὐτῷ καὶ στίχους, τῆς ἐκεῖθεν πεποιημένους ἀδείας, ὥσπερ ἐπιγαυρούμενος τῷ γένει, καὶ ἐπιδεικνὺς ἡμῖν τὸ αὐτόνομον[5]), ἀλλ' οὖν οὗτος οὔπω τοῖς ἀγροικότερον ἴσως ἡμῖν πρὸς τὰ τοιαῦτα βιοῦσιν οὐδαμῶς παῤῥησίαν ἔσχεν ἐπεισιέναι, σχῆμα προφάσεως ὑποτρέχων μᾶλλον, ἢ αἰτίαν ἔχων ποθὲν ἐμφανίζειν. Καὶ οὔπω λέγω, ὡς, εἰ μὲν ὁ χειμὼν ἀπεῖργε, περιττὸν ὁ τρόπος· εἰ δ' ὁ τῆς ἀνόδου τρόπος, οὐκ οἶδ' ὅπως ἀγνοούμενος, ἐπεῖχε, παρέλκουσα πρόφασις ἡ τοῦ χειμῶνος βία· οὐδ' ὅτι μετὰ πολλὰς ἡμέρας, καὶ περίοδον*

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 905)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛΖ'.*

[2] *Γραπτέον, οἶμαι, κατὰ Προστακτ.—ἴδε καινά—ὡς καὶ ἡ Λατ. φέρει μετάφρασις "vide rei novitatem." καινοφανὲς γὰρ ὄντως τὸ ἐκ συμφορῶν φίλου ἠρτημένον παραμύθιον. Ἴσως δὲ καὶ ἄνευ μεταβολῆς ὀρθῶς ἂν γραφθείη ὡς ἐρώτησις—εἶδες καινά;*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (αὐτόθι)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛΗ'.*

[4] *Ἐκ διορθ. Μοντακ. ἀντὶ—μολσμάτων.*

[5] *Ἡμ. διόρθ. ἡ τῆς παρενθέσεως προσθήκη, ἧς ἐλλειπούσης, ἀσαφὲς Μοντακ. εὗρε τὸ χωρίον, καὶ γραπτέον εἶναι ᾠήθη "παρέκυψε" ἀντὶ "παρακύψας·" ἀλλ' οὐδὲν τοιαύτης διορθώσεως δεῖ, τῆς παρενθέσεως τεθείσης.—Ἔοικε δὲ ὁ Νικηφόρος γράψαι Φωτίῳ, διαπορῶν, ᾧτινι ἂν τρόπῳ πρὸς αὐτὸν ἔλθοι, καὶ τὸν περὶ τούτου λόγον στίχοις τισὶ καλλωπίσαι. Πρὸς ταῦτα τοίνυν ἁπάντων Φώτιος, οὗ φησι πεπεῖσθαι ἐκ τῶν στίχων, ὅτι δι' ἀπορίαν τοῦ τρόπου οὐκ ἐληλύθει, ἀλλὰ πρόφασιν εἶναι τὸ λεγόμενον.*

Digitized by Google

οὕτω μακρᾶς προθεσμίας ἡ τοῦ τρόπου μάθησις νῦν ἐπιζητεῖται. Ἐῶ μὲν οὖν, ὥσπερ ἔφην, ταῦτα. Ἀλλὰ γὰρ ὁ μὲν χειμὼν ἠρέμει, καὶ γαληνὸν μειδίαμα τὴν ἡμέραν διεγέλα· παρὼν δ' ὁ φίλος οὐδαμοῦ, σκυθρωπὸν αὐτῆς καὶ στυγνὸν τὸ πρόσωπον ὑπεδείκνυ. Πλήν, εἰ καὶ σκηνῆς προέκυπτεν ἡ ἀπολογία, καὶ ὁ καλὸς τρόπος συγχορευτὴν ἑαυτὸν ὑπέβαλε τοῦ χειμῶνος, ἀλλ' ἡμῖν γε καὶ οὕτω χαρὰν ἐπέστησαν θεατρίσαι· πάντως γὰρ ἄλλου παραλυποῦντος καὶ κωλύειν ὡς ἀληθῶς τὴν ἄφιξιν δυναμένου τῇ καθ' ἑαυτῶν μεταστάσει τῆς αἰτίας ἀπαλλαγὴν ἐμήνυε καὶ ἐλευθερίαν· χαρὰν μέντοι γε καθαρὰν ἐδίδου χαίρειν, ἐκ τοῦ γράμματος μαθοῦσι τὸ ῥᾷόν σε τῶν νοσημάτων ἔχειν. Καὶ εἴης ἡμῖν μετὰ τοῦ μηδὲν ἔτι τοιοῦτον διαμαρτάνειν εἰς τὸ τέλειον ἀπηλλαγμένος.

ΕΠΙΣΤΟΛΗ ΣΜΘ'.—249.

Ἀθανασίῳ Μοναχῷ ἡσυχάζοντι.[1]

Ὁ μὲν τῆς Ἐριστῆς[2] Ἐπίσκοπος, ταῖς ὑμετέραις εὐχαῖς ὀρθωθείς, ἀνέῤῥωσε τοῦ πάθους· καὶ τῆς σχισματικῆς σηπεδόνος ἀπαλλαγείς, τῇ ὁλότητι τοῦ Ἐκκλησιαστικοῦ σώματος, μέλους καὶ μέρους τάξιν ἀνειληφώς, συνηρμόσθη, πολλὰ μὲν τῆς προτέρας καταγνοὺς φρενοβλαβείας, πολλοῖς δὲ δάκρυσι τὸ ἔδαφος ῥαίνων, οἰμωγαῖς δὲ πολλαῖς καὶ ἐλεεινολογίαις τὴν παροῦσαν Σύνοδον, ἀπαραίτητον ἐπ' αὐτὸν ὁρῶσαν, εἰς οἰκτιρμοὺς διαλύσας· καὶ ὅγε ἀνὴρ οὐχὶ πολιᾶς συγγνώμην ᾔτησεν ἀκακίας, ἀλλὰ νενεανιευμένην[3] ἔδειξε μισήσας πονηρίαν. Οὐ γὰρ ἁπλότητος ἦν ὁ γέρων, ἀλλ' ἀπάτης θήραμα· ὧν τὸ μὲν βοηθείας μόνης, τὸ δὲ δεῖται καὶ προκαθάρσεως. Ἀλλὰ γὰρ τοῖς ὑμετέροις πόνοις καλῶς τοῦ γέροντος ἐξεργασθέντος, καὶ τῶν τῆς νουθεσίας σπερμάτων προκαταβληθέντων, ἡμεῖς ἀπόνως αὐτοῦ τὴν σωτηρίαν ἐκαρπωσάμεθα. Τῶν δὲ ἰατρικῶν εἰδῶν πάντα μὲν οὐκ ἦν εὑρεῖν κατὰ χεῖρας· ὅσα δὲ παρῆν, ἀπεστάλη· τῶν ὑπολοίπων ἡ φροντίς, ἕως ἂν πορισθῶσιν, οὐκ ἐπιλείψει. Τοῖς δώροις δὲ τῆς ὑμετέρας Ὁσιότητος ἐπὶ μέγα ἠγαλλιασάμεθα, μάλιστά γε τῆς ἀληθινῆς ἀγάπης ταῦτα πληθυνούσης, καὶ εἰς μέγεθος καὶ κάλλος ἐξαπλούσης, καὶ δι' αὐτῶν διδούσης εἰκονίζειν τὸ τοῦ βίου ὑψηλόν τε καὶ μετάρσιον. Ἔῤῥωσο.

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 881)· παρὰ δὲ Μοντακ. Ἐπιστ. Κ'.

[2] Μοντακ. μὲν εἰκάζει γραπτέον εἶναι "Ἀρίστης," ἥπερ Ἐπισκοπὴ ἦν, ὑπὸ τὸν Νικομηδείας τελοῦσα Μητροπολίτην· ἐν μέντοι τοῖς Πρακτικοῖς τῆς Η' Συνόδου καὶ Ἐπίσκοπος Ἐριστῆς τοῖς ἄλλοις Ἐπισκόποις συγκαταλέγεται. Δῆλον δ' ἐκ τῆσδε γίνεται τῆς ἐπιστολῆς, ὅτι τοῖς Ἰγνατιανοῖς πρότερον συστασιάζων ὁ Ἐπίσκοπος οὗτος, ἔπειτα μετεμελήθη, καὶ προσελθὼν τῇ Συνόδῳ συγγνώμην ᾔτήσατο λαβεῖν ἐφ' οἷς ἐξαπατηθεὶς ἔπραξεν.

[3] Ἡμ. διόρθ. ἀντὶ—νεανιευμένην—ἴσως δ' ἐγέγραπτο τὴν ἀρχὴν "νεανιευομένην," καὶ ἀβλεψία τινὶ ἐκπεσὸν τῆς λέξεως τὸ φωνῆεν ο, κατέλιπεν αὐτὴν οἷον ἀκέφαλον Παρακείμενον ἢ μεσόκλαστον Ἐνεστῶτα.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΝ'.—250.

Τῷ αὐτῷ.[1]

Εἰς τὴν τῆς ἡγεμονίας ἐπέστη ἀρχήν,[2] ὃν ἄρχειν τῆς πνευματικῆς ἀγέλης ἡ σὴ ὁσιότης διὰ δοκιμῆς ἐποιήσατο. Εὔχου οὖν, Πάτερ, μήτε τὴν σὴν σφαλῆναι κρίσιν (τοῦτο γὰρ τῇ τε σῇ ὁσιότητι, κἀκείνῳ, εἴπερ τι ἄλλο, λυσιτελέστατον), μήτε τὴν ἡμῶν χειροθεσίαν εὐθύναις ἐνορᾶσθαι, ἀλλ' ἄξιον τὸν ἄνδρα τοῦ τε ὑμετέρου ψηφίσματος καὶ τῶν ἡμετέρων ἐλπίδων ἀναδειχθῆναι. Τὰ δ' ἄλλα ἐῤῥῶσθαί σου τὴν ὁσιότητα ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μὴ ἐπιλελῆσθαι μετριότητος.

ΕΠΙΣΤΟΛΗ ΣΝΑ'.—251.

Τῷ αὐτῷ.[3]

Ὧν ἔδει κατήκοον γενέσθαι τὸν γραμματοφόρον τῆς ὑμῶν ὁσιότητος, ὡς ἐν βραχυτάτῳ καιρῷ, πάντα παρῃνέθη, καὶ αὐτὸς αὐτὸν εὐπειθῆ, καὶ καρπὸν οἴσειν τῶν παραινέσεων ἄξιον, ταῖς ὑποσχέσεσιν ἔδειξε, τά τε ἄλλα Θεῷ εὐαρέστως βιοῦν, καὶ μηδὲ τὸν δάκτυλον (ὃ δή φασι) κινεῖν, τῆς ὑμετέρας χωρὶς ἐπικρίσεως. Εὐχόμεθα δὴ τοῖς ἔργοις συμβαίνοντας ἰδεῖν τοὺς λόγους, ἵνα μὴ σπείραντας εἰς πέτρας ὁ τοῦ γεωργίου καιρὸς ἡμᾶς ἐξελέγξειεν.

Οἱ δὲ τῶν συμβόλων μοναχοὶ[4] ἀτάκτως ἐχώρησαν, ἑαυτοῖς τὴν περὶ τοῦ σφῶν Ἡγουμένου ἐξουσίαν καὶ κρίσιν ἐπιτρέψαντες· ἴσον γάρ ἐστιν ἵππους ἡνιόχων κατεξανίστασθαι, καὶ πρόβατα τοῦ ποιμένος, καὶ ναύτας τοῦ κυβερνήτου· μᾶλλον δὲ πολλῷ ἀτοπώτερον μοναχοὺς τῶν καθηγουμένων καταφρυάττεσθαι, οἳ λόγον ὑπέχειν αὐτῶν ἑτέροις, ἀλλ' οὐκ ἐκείνοις, ἐπιστεύθησαν· εἰ δέ τι πλημμελεῖ, μείζονα κριτὴν ἐπιζητεῖν ἔδει, ἀλλὰ μὴ ἁρπάζειν τὴν κρίσιν τῶν Ἀρχιερέων τοὺς ἐν τῇ τῶν κρινομένων χώρᾳ μόλις ἐξεταζομένους. Ὅμως, ἐπεὶ τῇ ὑμετέρᾳ προσερῥύησαν ἀγιωσύνῃ, ἀφίεται αὐτοῖς τῆς ἀναρχίας τὸ τόλμημα, καὶ τῆς στάσεως, εἰ καὶ αὐτοὶ εὐπειθῶς τοῦ λοιποῦ πολιτεύεσθαι διαβεβαιώσαιντο· δείξουσι δέ, ἐὰν ἕνα τινά, ὃν ἂν βουληθῇ σου ἡ ὁσιότης, εἰς Ἡγούμενον δέξωνται· μὴ γὰρ

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 882)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΚΣΤ'.

[2] Τοῦτ' ἔστιν, ἐγένετο τῆς Μονῆς ἡγούμενος.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 884)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΚΖ'.

[4] Τίνας μὲν λέγει "Μοναχοὺς τῶν συμβόλων," οὐτ' αὐτὸς οἶδα, οὐτ' ἄλλοθεν ἔχω μαθεῖν· καὶ Μοντακ. δὲ ἁπλῶς μεταφράζων "monachi symbolorum" οὐδὲν ἐκ τῆς μεταφράσεως νοεῖν δίδωσιν· εἰκάζω μέντοι τὸ "συμβόλων" κύριον εἶναι ὄνομα, ὅπερ ἡ Μονὴ ἐκαλεῖτο, καὶ οὕτω δὴ γραπτέον εἶναι "οἱ τῶν Συμβόλων μοναχοί."

Digitized by Google

αὐτοῖς ἐπὶ νοῦν ἦκοι, ὡς οἱ καταστασιάζειν ἐπαρθέντες ἀνδρός, ὑπὲρ οὗ τὰς ψήφους ἐγγράφους ἔθεντο, οὗτοι πάλιν ψηφίζεσθαι καὶ μαρτυρεῖν ἀξιωθήσονται· ἀρκεῖ γὰρ τοῖς πλημμελοῦσιν ἡ τῶν ἁμαρτηθέντων συγγνώμη· τὸ δὲ προνόμιον τῶν ἀνεξαμαρτήτων οὐχ ἕξουσιν, ἵνα μὴ ἀδιάφορον τῷ ἀγαθῷ τὸ κακόν, καὶ τῷ κατορθοῦν τὸ ἁμαρτάνειν, ἐν ἀδιαφόρῳ τῇ ἀφ' ἑκατέρου κρίσει λογίζοιτο. Τὰ δ' ἄλλα ἐρρῶσθαί σου τὴν ὁσιότητα ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μὴ ἐπιλελῆσθαι μετριότητος.

ΕΠΙΣΤΟΛΗ ΣΝΒ'.—252.

Τῷ αὐτῷ.[1]

Τὸν φοίνικά φασι τὸ φυτὸν τῇ ἁλμυρᾷ θάλλειν γῇ, καὶ τὴν κόμην εἰς ὕψος ἐκτρέφειν, καὶ καρπὸν εἰς πλῆθος καὶ πολλὴν γλυκύτητα φέρειν· καὶ ὅλως φοίνικι *καὶ* ἐπιτήδειον[2] ἁλμυρὰ γῆ, καίτοι τῶν ἄλλων σπερμάτων, ὅσα τὸ γλυκὺ φιλεῖν ἐθέλει καὶ λιπαρόν, ὑπάρχουσα φθαρτική. Καλῶς οὖν καὶ αὐτός, εἰ καὶ μὴ πολλοὺς ἔχεις τοὺς συνεραστάς, ἀντὶ τῶν πολιτικῶν θορύβων τὴν ἔρημον οἰκεῖν ᾑρετίσω· ῥᾷον γὰρ ἐκ ταύτης ἐστί σοί τε καὶ τοῖς ὑψικόμοις τοῖς κατὰ σὲ πρὸς οὐρανὸν ταῖς ἀρεταῖς ἀναφέρεσθαι.

ΕΠΙΣΤΟΛΗ ΣΝΓ'.—253.

Τῷ αὐτῷ.[3]

Ἐπειδὴ κατὰ μίμησιν Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, σαυτὸν ἐσταύρωσας τῷ Κόσμῳ καὶ τῷ Κοσμοκράτορι, πέπομφά σοι τὸν Σταυρόν, φυλακτήριον τῆς σταυρώσεως.

ΕΠΙΣΤΟΛΗ ΣΝΔ'.—254.

Ζωσιμᾷ μονάζοντι καὶ ἡσυχαστῇ.[4]

Ὄρεια σοι τὰ δῶρα, κάστανα καὶ ἀμανίται,[5] ἀλλὰ βασιλικῆς πολυτελείας τὸ πλῆθος·

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 889)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΨΒ'· εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 911, ἔκδ. Οἰσχελίου).

[2] Παρ' Οἰσχελίῳ ἄνευ τοῦ—καί.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 901)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΙΒ'.

[4] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 881)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΚΕ'.

[5] Ἀμανῖται τὸ πρῶτον ἐκλήθησαν οἱ περὶ τὸ Ἄμανον, ὄρος τῆς Κιλικίας, φυόμενοι μύκητες, ὡς

Digitized by Google

καὶ τῷ μὲν ὀρείῳ ἤδυνας, οὐχ ὁμοίως δὲ τῷ πολυτελεῖ διέθηκας, ὄρη τε ἀδικῶν, καὶ βασιλείαν κλέπτων ἐν ὄρεσιν. Ἔγραψα ταῦτα, ἵνα καὶ συστείλῃς τὸ πλῆθος, καὶ τὴν ἰδέαν φυλάττῃς τῶν δώρων. Ἐβουλόμην σοι παραγενέσθαι, ἀλλὰ τῆς ὁρμῆς ἐσχέθην· ὅμως οὐκ εἰς μακρὰν ἀνθ' ἡμῶν σταλήσεται, ὅς, οὐ λέγω ἀναπληρώσει (οὐδὲ γὰρ αὐτοί, οὐδ' ἄλλοτε ἡμεῖς), ἀλλὰ μετριώσει τὸ ὑστέρημα ἡμῶν. Τὰ δ' ἄλλα ἐῤῥῶσθαί σου τὴν πατρικὴν ὁσιότητα ἐπευχόμεθα, καὶ τῆς ἡμῶν μὴ ἐπιλελῆσθαι μετριότητος.

ΕΠΙΣΤΟΛΗ ΣΝΕ'.—255.

Ἀρσενίῳ μονάζοντι καὶ ἡσυχαστῇ,

μετὰ τὸ ἀποσταλῆναι πρὸς αὐτὸν τοὺς ἐκ Βουλγαρίας ζητοῦντας μονάσαι.[1]

Εἰ βλέπων ἐγώ, καὶ τότε ὀφθαλμοῖς τοῦ πάλαι βλέποντος (τοῦτο γάρ με τὸ σὸν ἀνύμνησε γράμμα, καὶ χάριν ἔδωκεν ἐν καιρῷ, ὃ οὐκ ἂν ἄλλως ἡδέως οὐδ' ἁπλῶς ἐδεξάμην, μὴ λάθω διδοὺς ἔλεγχον τῆς ἐμαυτοῦ ἀγνοίας)· ἀλλ' εἰ μὲν βλέπων ὁπωσοῦν ἐγώ, πῶς τυφλὸν ὁδηγὸν τοῖς πρὸς τὸ φῶς τῆς ἀληθείας ἐθέμην ἐπειγομένοις;[2] Οὐ γὰρ οὐ βλέποντος τοῦτο μόνον (πολλοῦ γε καὶ δεῖ), ἀλλὰ καί, τὸ χαλεπώτατον, τυφλοῦντος ἑτέρους, βλέπειν ἑλομένους, καὶ διαπλανῶντος μακρᾷ τρίβῳ τῆς εὐθείας τοὺς ὅλῳ ποδὶ μετιέναι ταύτην ἐκζητοῦντας. Εἰ τοίνυν μὴ παντελῶς ὁ ὕμνος ὄνειρος, καὶ δῶρον σκηνῆς, βλέποντι παρεθέμην ἐγὼ τοὺς χειραγωγίας δεομένους· καὶ κρίσεως ἦν ἀδεκάστου ψῆφος, καὶ γνώμης εὐθύτης, ἀλλ' οὐ στοργῆς τὴν δίκην διαγελώσης, οὐδὲ σπλάγχνων τῷ φίλτρῳ τῶν τέκνων εἰς παράλογον προσπάθειαν διαχεομένων, τὸ τῇ σῇ τελειότητι τοὺς ἄνδρας παραπέμψαι. Οὐκοῦν ἐῤῥέτω τὸ παρ' ἀξίαν, καὶ τὸ θαῦμα φυγὸν τὸ θαῦμα, γινέσθω τῶν συνήθων, τὴν ἐν πράξεσι πρέπουσαν μεθαρμοζόμενον ἀκολουθίαν· καὶ ἡμεῖς οὐδὲν τῇ σῇ κεχαρίσμεθα μακαριότητι τῶν εἰς ἔκπληξιν ἀγόντων, ἀλλ' οὐδὲ τῶν ἐπὶ τὸ μέτριον διαβαινόντων· χάριν δὲ μᾶλλον τὴν ὅτι μάλιστα ἀπειλήφαμεν, ἐν οἷς ἔσχομεν ἀδελφούς, ἄρτι τῆς ἐν βίῳ ζάλης ὑποχωροῦντας, ἡσυχίας καὶ φιλοσόφου ζωῆς διὰ σοῦ λιμένι ἐγκαθορμίσαι. Ἡμᾶς δὲ νόσος ἔσχεν (εἴγε χρὴ ταύτην νόσον καλεῖν, ἀλλὰ μὴ θανάτου πρόθυρα) ὀξεῖα καὶ ἀπροσδόκητος· ἀλλὰ ταῖς ὑμῶν εὐχαῖς τῆς σφοδρᾶς ἀνῆκεν ἐπιθέσεως, Θεοῦ πάλιν ἄνωθεν ἡμῖν τὴν ζωὴν ἐπὶ μετανοίᾳ ἴσως (ὃ καὶ γένοιτο) κατανεύσαντος· καὶ λοιπὸν ἤδη ζῶμεν, εἰ καὶ τὰ λείψανα τοῦ πάθους ἔτι παραλυπεῖ τὸ σωμάτιον.

τῶν ἀλλαχοῦ φυομένων ὄντες ἄριστοι· ἐντεῦθεν δὲ κοινῶς καλοῦμεν μανίτας καὶ μανιτάρια πάντας τοὺς μύκητας· ἀλλ' ἐνιαχοῦ τῆς Ἑλλάδος καὶ μετὰ τοῦ α λέγονται, ἀμανῖται. Ὁ δὲ Κοραῆς (Ἀτάκτ. Τόμ. Α', σελ. 153, καὶ Τόμ. Β', σελ. 35) λέγει, ὅτι τὸ ἀμανίτης ὄνομα οὐκ ἔστιν ἀρχαῖον εὕρηται γὰρ παρὰ πᾶσι "μύκης" οὐ μέντοι καὶ νεώτατον, ἅτε παρὰ Γαληνῷ, Νικάνδρῳ καὶ Ἀθηναίῳ εὑρισκόμενον.

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 904)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛΣΤ'.

[2] Ἡμ. διόρθ. ἀντὶ—ἐπειγουμένοις.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΝΣΤ'.—256.

Ἡλίᾳ Πρωτοσπαθαρίῳ.[1]

Ἠτήσω· συνεθέμεθα· γέγονεν. Εὐχαρίστει οὖν Θεῷ τῷ χορηγῷ καὶ αἰτίῳ πάντων τῶν καλῶν, τῆς βαρυτάτης φορολογίας ἀπαλλαγείς.

ΕΠΙΣΤΟΛΗ ΣΝΖ'.—257.

Τῷ αὐτῷ.[2]

Οἱ πειρασμοὶ πειραζομένων γίνονται πειρασμοί· μὴ πειραζομένων δέ, στεφάνων καὶ βραβείων παραίτιοι.

ΕΠΙΣΤΟΛΗ ΣΝΗ'.—258.

Ἀρσαβὴρ Πρωτοσπαθαρίῳ.[3]

Τὸ μὲν δῶρον, μεγαλοπρεπὲς ὄν, καὶ χωρὶς τῆς ἄλλης διαθέσεως, ὃ καὶ ἄλλους ἂν ἐπεπείκει, μεγαλοπρεπῶς ἡμᾶς παρεσκεύασε δέξασθαι· ἡ δὲ διάθεσις καὶ χωρὶς τοῦ δώρου τὸ οἰκεῖον ποιεῖν διανοουμένη, ἅτε δὴ μείζων μὲν πάσης ἄλλης φιλοτιμίας, μείζων δὲ παντὸς εὐεργετήματος καὶ εἶναι καὶ ὀνομάζεσθαι μεγαλοφρονοῦσα, οὐδενὶ ἑτέρῳ τῶν πρωτείων ὑπεξίσταται. Εἰ δὲ ταῦτα, ἄν τε παρῇ τὰ δῶρα, κἂν μέγιστα ᾖ, οὐδὲν ἐκείνη δι' αὐτῶν περιβάλλεται μέγα· ἄν τε μὴ παρῇ, τῇ μονώσει πλέον ἀπαστράπτει, ὥσπερ νέφος ἥλιος, τὴν ὕλην διαφυγοῦσα, καὶ καθαρὰς καὶ ἀΰλους τὰς αὐγὰς τῆς φιλικῆς προσαγορεύσεως ἐκ τοῦ δεχομένου ἀντανακλῶσα[4] τῷ πέμποντι. Δι' ὃ μηκέτι σοι δώρων ἀπορίᾳ ἡ πρόσρησις βραδυνέτω· ἀλλ' ἐποχουμένη τῇ διαθέσει, καὶ τὰς σὰς συνεπικομίζουσα ὑγείας θᾶττον ἀφικνείσθω· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν, οὐδ' οὐ μὴ ἔσοιτο,[5] τῆς δι' αὐτῆς ἡμῖν ἐγγινομένης χαρᾶς καὶ θυμηδίας οὐδὲν τῶν περιγείων δώρων χαριέστερον.

---

[1] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 929)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΙΣΤ'. Λακωνισμοῦ δὲ τυγχάνει οὖσα ὑπόδειγμα ἥδε τε καὶ ἡ πρὸς τὸν αὐτὸν Ἡλίαν ἀμέσως ἑπομένη, ὡς καὶ ἄλλαι τινές, ἃς ἐν τοῖς ἔμπροσθεν εἴδομεν (ΡΛΗ', ΡΛΘ', ΡΜ', ΡΜΓ', ΡΞΣΤ', ΣΝΓ'), καὶ ἄλλαι.*

[2] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 953)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΡΚΑ'.*

[3] *Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 969)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛΓ'.*

[4] *Ἡμ. διορθ. ἀντὶ—ἀνταναλῶ σοι—παρὰ τοῖς ἄλλοις.*

[5] *Σύνταξις τοῦ παρακμάζοντος Ἑλληνισμοῦ· ὤφειλε γὰρ εἰπεῖν "οὐδ' οὐ μὴ ἔσται," ἢ "οὐδ' οὐ μὴ γένηται." Ἴδε Ἀσωπίου "περὶ Ἑλλην. συντάξ." σελ. 542—3).*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΣΝΘ'.—259.

Λέοντι καὶ Γαλάτωνι ἀδελφοῖς Ἀσηκρῆτις.[1]

Τῶν Ἀνατολίου τοῦ καλοῦ πλασμάτων (οὐκ οἶδα δέ, πότερον αὐτός ἐστι πατήρ, ἢ ὑποβολιμαίους ἑτέρων ποιεῖται γονάς) πλήρης ὁ πόντος ἐγένετο· καὶ οὕτω μὲν σφοδραί, οὕτω δὲ συνεχεῖς αἱ τοῦ ψεύδους αὖραι καταπνέουσιν, ὡς μηδ' οἷς ἡ τῶν ἐν Ἀργοῖ[2] πλωτήρων πλάνη σεμνύνεται, τὸ χρυσόμαλλον δέρας, καὶ τοὺς πυριπνόους ταύρους, καὶ τοὺς πολυμόρφους δράκοντας, καὶ τὴν ἄλλην τερατείαν, μηδὲ ταῦτα λοιπὸν εἰς μύθους ἀναφέρεσθαι· τῇ γὰρ νεωτέρᾳ τοῦ ψεύδους ὑπερβολῇ ἔσχεν ἀνελθεῖν ἐκεῖνα τὰ παλαιὰ εἰς εἰκόνα τοῦ πιστεύεσθαι· οὐδὲ γάρ, οὐδ' ἡμερῶν πρὸ πέντε, οὐδὲ πρὸ δύο, οὔμενουν ἀλλ' οὐδὲ πρὸ μιᾶς ὥρας, οὐδεὶς ἀφίκετο πρὸς ἡμᾶς, οὐ τῶν ἄρχειν λαχόντων, οὐ τῶν ἑτέροις πειθαρχούντων, οὐ γραμματηφόρος, οὐκ ἐπισημότερος γραμμάτων, οὐκ ἀγαθῶν ἄγγελος, οὐχ ὑπηρετούμενος τοῖς ἐναντίοις· ἀλλὰ γὰρ καὶ τὰ νῦν ὑπεσχημένα τοῖς ἔμπροσθεν συναπώλετο, τὸν ἀέρα μόνον κτυπήσαντα. Τί δὲ δεῖ λέγειν ὑπεσχημένα; οὐ γὰρ ὑπεσχημένα μόνον, ἀλλά γε τοῖς χαριεστάτοις τουτοισὶ καὶ πρὸ ὀφθαλμῶν λαμπρῶς κείμενα, εἰ καὶ μηδ' ὀνείροις ὡράθησαν· καὶ γὰρ τὴν ἀρχὴν εἰς ἀνυπάρκτους διαπεπλασμένα φαντασίας, περὶ αὐταῖς καὶ κατερρύηκεσαν. Πλὴν ἀλλὰ (ὅπερ οὐχ ἡγοῦμαι, ἡ συνέχεια δὲ τοῦ ψεύδους τὴν ἐπ' αὐτοῖς μαντικὴν παντὶ παρέχεται ἀκριβώσασθαι)· ἀλλ' οὖν, εἰ καὶ παρὰ δόξαν, ὅμως εἴποτε πρὸς ἀλήθειαν περιτραπείησαν, ἔσοιτο πάντα παρ' ἡμῶν τῷ ἀνδρί, ὅσα γενέσθαι αὐτῷ δι' ὑμῶν παρῃτήσατο. Ἐρρῶσθε.

ΕΠΙΣΤΟΛΗ ΣΞ'.—260.

Κωνσταντίνῳ Νοταρίῳ.[3]

Βραδὺς μὲν ἦσθα πρὸς μνήμην τῶν ἐπεσταλμένων, βραδύτερος δὲ πρὸς πρᾶξιν τῶν ἐπηγγελμένων. Τῇ μὲν οὖν περὶ τὰς ἐντολὰς λήθῃ ἔστι τι καὶ συγγνώμης· τὸ δὲ μηδέν σε τῶν ὑπεσχημένων ἐκτελέσαι, ἂν μὴ προπετείας ἦν ἡ ὑπόσχεσις δῶρον, μόνης ἐστὶν ἀμελείας.

---

[1] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 968)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛΒ'. Ταύτῃ δὲ παρατίθει καὶ τὴν ΡΛΔ', πρὸς τὸν ἕτερον τῶν ἀδελφῶν γεγραμμένην, ἐν ᾗ τὸν αὐτὸν τοῦτον Ἀνατόλιον ὡς ψεύστην ἐξελέγχει.

[2] Ἡμ. διόρθ. ἀντὶ—Ἀργῷ—παρὰ τοῖς ἄλλοις.

[3] Ἡ αὐτὴ καὶ παρὰ Μιγνίῳ (στλ. 981)· παρὰ δὲ Μοντακ. Ἐπιστ. ΣΛΘ'· εὕρηται δὲ καὶ ἐν τέλει τῆς Μυριοβίβλου (σελ. 913. ἔκδ. Οἰσχελίου). Περὶ δὲ τοῦ ἀξιώματος Νοτάριος καὶ Πρωτονοτάριος ἴδε τὰ ἐν Ἐπιστολῇ Ν' σημειωθέντα (σελ. 348. σημ. 3).

ΤΕΛΟΣ ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ.

Digitized by Google

ΠΑΡΑΡΤΗΜΑ Α'.*

ΦΩΤΙΟΥ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Ἐρωτήματα δέκα σὺν ἴσαις ταῖς ἀποκρίσεσιν.

ἤτοι

Συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς, συνειλεγμέναι ἐκ τῶν Συνοδικῶν καὶ ἱστορικῶν γραφῶν, περὶ Ἐπισκόπων καὶ Μητροπολιτῶν, καὶ λοιπῶν ἑτέρων ἀναγκαίων ζητημάτων.[1]

ΕΡΩΤΗΣΙΣ Α'.

Ἐν ποίῳ φαίνονται πεπραχότες οἱ Ρωμαῖοι παραλόγως;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐπὶ Κωνσταντίου Λιβέριος ὁ Ῥώμης μετὰ τὴν ἐκ τῆς ὑπερορίας ἐπάνοδον τῇ ἐν

---

* *Συμπεπληρωμένων ἤδη τῶν Φωτίου ἐπιστολῶν, ἐπὶ τὴν τῶν ὑπεσχημένων χωροῦντες πλήρωσιν, τοῦ ταύταις παραρτῆσαι πρῶτον μὲν τὸ Φωτίου συγγραμμάτιον "Συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς . . . περὶ Ἐπισκόπων κ.τ.λ." ἔπειτα δὲ τὰ τῆς ὀγδόης Συνόδου Πρακτικά (ἴδε Προλεγ. § ιδ'), παραιτησόμεθα τοὺς ἀναγινώσκοντας μὴ δυσκόλως ἔχειν ἡμῖν, ἀλλὰ συγγνώμονας γενέσθαι, εἰ τῶν ὑπεσχημένων θάτερον μόνον αὐτοῖς προσφέρομεν, μὴ καὶ τὰ Πρακτικὰ προστιθέντες. Πρῶτον μὲν γὰρ ἡ τοῦ βιβλίου ἔκτασις, πολλῷ τῷ μέτρῳ τὰς ἡμετέρας ὑπερβᾶσα προσδοκίας, χαλεπὴν τὴν τῶν Πρακτικῶν προσθήκην ἐποίησεν, ἅτε δὴ ἀναγκαῖον ὂν εἰς δώδεκα, ἴσως δὲ καὶ πεντεκαίδεκα, φύλλα τυπογραφικὰ ταύτην παραταθῆναι· ἔπειτα δὲ καὶ περιττὴν νομίσαι τὴν προσθήκην παρεσκεύασεν ἡμᾶς δικαία τις ἐλπίς, μήπω τότε ὑπάρχουσα, ὅτε τὰ Προλεγόμενα ἐγράφομεν. Ποία δὲ ἡ ἐλπίς; ὅτι, τῶν ἡμετέρων πραγμάτων ἀσφαλῶς νῦν καὶ θεαρέστως ὑπὸ προστάτῃ καὶ κηδεμόνι τῷ τρισεβάστῳ ἡμῶν βασιλεῖ ΓΕΩΡΓΙΩι Α' ἀποκαταστάντων, πάντως ἡμῖν καὶ τὰ τῆς Ἐκκλησίας (λέγω δὴ ὅσα τε εἰς τὴν διοίκησιν αὐτῆς καὶ τὴν τοῦ θείου λόγου διδασκαλίαν ἀφορᾷ) ἐπὶ τὸ βέλτιον ἐπιδώσει, καὶ τοῦτο πρώτιστον τῆς ἐπιδόσεως ἔργον γενήσεται, ἡ τοῦ λιμοῦ τῶν Ἐκκλησιαστικῶν βιβλίων θεραπεία· ὅτι δ' ἐν τοῖς πρώτοις Ἐκκλησιαστικῆς τινος Ἱστορίας (βαρὺ γὰρ ἡμῖν ὄνειδος τὸ ταύτης μέχρι τοῦ νῦν ἐστερῆσθαι) καὶ Συλλογῆς τῶν Συνοδικῶν Πρακτικῶν, προσηκόντως ἐκδεδομένης, καὶ τῶν ἄλλων τῶν τοιούτων ἐπιμελησόμεθα τῆς ἐκδόσεως, οὐδείς, οἶμαι, ὁ ἀντιλέγων. Διὰ δὴ ταύτας τὰς αἰτίας μεταμεληθείς, τὰ μὲν Πρακτικὰ τῆς ὀγδόης Συνόδου, εἰ καὶ μετὰ πόνου πολλοῦ πάσας αὐτῶν τὰς ὑπαρχούσας ἐκδόσεις παραβαλών, καὶ ἐπιμελῶς διορθώσας, εἰς ἔκδοσιν παρεσκεύασα, οὐ προσέθηκα· ἀντ' ἐκείνων δὲ τὸ Φωτίου συγγραμμάτιον "Κρίσεις καὶ ἐπιλύσεις πέντε κεφαλαίων" καὶ πίνακα λέξεων, τῶν μάλιστα σημειώσεως ἀξίων, ἐν τέλει προστίθημι.*

[1] *Περὶ μὲν τῆς πρώτης τοῦδε τοῦ πονηματίου ἐκδόσεως ὑπὸ Φραγκίσκου Φοντάνα, καὶ τῆς τῶν Παπιστῶν*

Digitized by Google

Ἀντιοχείᾳ ἐκτεθείσῃ πίστει ἐγγράφως συνῄνεσεν.[1] Ἐν μέρει[2] δὲ καὶ ὁμολογίαν παρ' αὐτοῦ ἐκομίσατο Βασίλειός τε ὁ Ἀγκύρας, καὶ Εὐστάθιος ὁ Σεβαστείας, ἔτι γε μὴν καὶ Ἐλεύσιος, ἀποκηρύττουσαν τοὺς μὴ κατὰ πάντα ὅμοιον τῷ Πατρὶ τὸν Υἱὸν λέγοντας· καὶ τῆς κοινωνίας δὲ αὐτῶν οὐ διΐστατο. Ἀλλὰ καὶ Φῆλιξ ὁ ἀντ' αὐτοῦ χειροτονηθείς, ὕστερον μετὰ τὸ ἐκ τῆς ὑπερορίας αὐτὸν ἐπανελθεῖν τὸν θρόνον αὐτῷ συνδιέπων, ὑπὸ αἱρετικῶν ἐχειροτονήθη, καὶ τούτοις ἀδεῶς ἐκοινώνει· πρὸς οἷς καὶ τὰ ἐν Καρθαγένῃ κατ' αὐτῶν παρὰ τῶν ἐκεῖ συνεληλυθότων πραχθέντα ἱκανῶς τὸ ἀσθενὲς αὐτῶν καὶ κακότροπον ἅμα καὶ φίλαρχον ἀπελέγχει. Πράττονται[3] γὰρ αὐτοῖς καὶ κανόνες, ὥσπερ καὶ ὕστερον τῷ ἑτέρῳ Φήλικι τῷ Ῥώμης,[4] ὃς ἦν ἐπὶ Ζήνωνος, καθὼς δηλοῦται διὰ τῶν πρὸς Βιτάλιον καὶ Ἐμέσιον τοὺς Ἐπισκόπους γραφέντων αὐτοῦ γραμμάτων, οἳ καὶ παρ' αὐτοῦ ἐν Κωνσταντινουπόλει πρὸς Ἀκάκιον ἀπεστάλησαν· ἀναιδῶς γὰρ ἐκεῖ τὸν κανόνα τὸν λέγοντα τὸν Ῥώμης Ἐπίσκοπον ἐν ἑκάστῃ Συνόδῳ τὸ κῦρος ἔχειν, τῆς ἐν Νικαίᾳ Συνόδου εἶναι ἀποφαίνεται. Ἀλλὰ καὶ Ὀνώριος ὁ Ῥώμης, τὴν τῶν Μονοθελητῶν ἀσπασάμενος αἵρεσιν, τῆς τῶν Ἀρχιερέων τιμῆς καὶ τῆς τῶν πιστῶν ἀποβέβληται.[5] Ἀλλὰ καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος, Ὅσιον ἔχουσα τὸν τόπον ἐπέχοντα Ῥώμης,[6] τὸν αἱρετικὸν ἐδικαίωσε Μάρκελλον.[7]

περὶ τοῦτο εἰλικρινείας, ἀρκούντως ἡμῖν ἐν τοῖς Προλεγομένοις (σελ. 88—89) εἴρηται· ἐνταῦθα δὲ προσθετέον, ὅτι καὶ Μίγνιος ἐν τῷ τετάρτῳ τόμῳ τῶν Φωτίου συγγραμμάτων (στλ. 1219—1232) τὸ πονημάτιον τοῦτο ἐξέδωκεν, ἐκ τοῦ Φοντάνα μὲν τοῦτο παραλαβών, γυμνὸν δὲ τοῦ τε σοφοῦ προλόγου καὶ τῶν σημειώσεων ἐκείνου, ἅτε δή, ὡς ἔοικε, πεφαρμακευμένας καὶ ταύτας εὑρών, ὡς καὶ τὰς Μοντακ. ἐν ταῖς ἐπιστολαῖς (ἴδε τὰ ἐν Ἐπιστ. ΣΜ' περὶ τούτου σημειωθέντα), μάλιστα δὲ τὴν ἐν τῷ Γ' ἐρωτήματι, ἧς πάντως δριμύτατον εὗρε τὸ φάρμακον. Ἡ δὲ τῶν κεφαλαίων τάξις ἡμῖν μὲν τοιαύτη τετήρηται, οἷα καὶ παρὰ Φοντάνᾳ· ἐν μέντοι τοῖς χειρογράφοις, ἅπερ ἐν τῇ τῶν Παρισίων ἀπόκειται βιβλιοθήκῃ, ἄλλως ἔχει, ὡς ἐν τοῖς τῶν Ἀμφιλοχίων Προλεγομένοις (σελ. μθ', σημ. ί) ὁ κλεινὸς αὐτῶν ἐκδότης Σοφοκλῆς Κ. Οἰκονόμου ἐσημειώσατο. Ὅτι δὲ τὸ πονημάτιον τοῦτο ἐν τῇ δευτέρᾳ αὐτοῦ Πατριαρχείᾳ, ἴσως δὲ καὶ ἐν τῇ δευτέρᾳ ὑπερορίᾳ, ἔγραψε Φώτιος, δῆλόν ἐστιν ἐξ ὧν περὶ Ἰγνατίου λέγει ἐν τέλει τοῦ Θ' κεφαλαίου· καὶ πιθανόν, ὥς φησι Φοντάνας, ὅτι σχεδιογράφημα ἦν τοῦτο παρασκευαζομένου συγγράμματος.

[1] Ἐπάπευσε τὸ 352—6. Περὶ δὲ τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, τῆς ὑπὸ Κωνσταντίου συγκροτηθείσης, ἴδε Μελετ. Ἐκκλ. Ἱστ. (Τόμ. Α', σελ. 365), καὶ Σύνταγμα των κανόνων ὑπὸ Γ. Α. Ράλλη καὶ Μ. Ποτλῆ (Τόμ. Γ', σελ. 122 κ. ἑξ.).

[2] Ἡμ. διόρθ. ἀντὶ—ἐμέρει

[3] Γραπτέον, οἶμαι—πλάττονται.

[4] Οὗτός ἐστι Φῆλιξ ὁ Γ', παπεύσας τὸ 483—492.

[5] Ὀνώριον λέγει τὸν Α', παπεύσαντα μὲν τὸ 625—638, ἀναθεματισθέντα δὲ ὑπὸ τῆς ΣΤ' οἰκουμ. Συνόδου διὰ τὸ συντάσσεσθαι τοῖς Μονοθελήταις· περὶ ὧν ἴδε Μελέτ. (Τόμ. Β', σελ. 158—161).

[6] Γραπτέον, οἶμαι,—τοῦ Ῥώμης.

[7] Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 366—8.

Digitized by Google

ΕΡΩΤΗΣΙΣ Β'.

Πόσους καὶ ποίους οὐκ ἐδέξαντο οἱ Ῥωμαῖοι ὀρθοὺς[1] *Πατριάρχας, οὐδὲν δὲ αὐτοὺς ἡ ἀπερίσκεπτος αὐτῶν ἔβλαψεν ἀποστροφή;*

ΑΠΟΚΡΙΣΙΣ.

Φλαβιανὸν τὸν Ἀντιοχείας τρεῖς ἐφεξῆς τῆς Ῥώμης οὐκ ἐδέξαντο, ἀλλ' οὐδὲ Ἀλέξανδρος Θεόφιλος[2] κατ' ἀρχάς· ὕστερον δὲ αὐτῶν ὁ τρίτος μόλις ἐδέξατο, καὶ ὁ Ἀλέξανδρος.[3] Οὗτος δέ[4] ἐστιν ὁ χειροτονήσας τὸν ἐν ἁγίοις καὶ Ἀρχιερεῦσιν ἀσύγκριτον θεῖον Χρυσόστομον Πρεσβύτερον. Οὐκ ἐδέξαντο δὲ Φραυΐταν, οὐδὲ τὸν ἐν ἁγίοις Εὐφήμιον, οὐδὲ Μακεδόνιον, διότι τὸν Ἀκάκιον οὗτοι τῶν διπτύχων οὐκ ἐξέβαλλον. Ἀλλ' οὐδὲ τὸν τῇ ἁγίᾳ Τριάδι ἀγαπητὸν πανίερον Χρυσόστομον κατ' ἀρχὰς ἐδέξαντο, ὅτι, φασίν, ἀπὸ Ἀντιοχείας αὐτὸν οὐκ ἔδει εἰς Κωνσταντινούπολιν χειροτονηθῆναι· ὕστερον δὲ καὶ ὑπερήσπισαν. Οὐκ οἶδα δέ, εἰ καὶ Μελέτιον ἐδέξαντο τὸν Ἀντιοχείας· μήποτε γὰρ ἐκεῖνον ἀποστρέφονται διὰ Παυλῖνον, τὸν ὑπὸ τῶν δυτικῶν χειροτονηθέντα· καὶ γὰρ καὶ ἐπιστολὴν οἶδα τοῦ Μεγάλου Βασιλείου πρὸς Τερέντιον Κόμητα, ἐν ᾗ διαβάλλει τοὺς δυτικοὺς διὰ τὴν κατὰ Μελετίου ἀποστροφήν, ὡς οὐχ ὑγιῶς κρίνοντας[4] τὰ πράγματα. Ἴσως δὲ αὐτὸν διὰ τὸ ἐν τῇ δευτέρᾳ καθεσθῆναι Συνόδῳ οὐκ ἀποστρέφονται.[5]

ΕΡΩΤΗΣΙΣ Γ'.

Ποίων ἐκβληθέντων Πατριαρχῶν τῇ τῶν κρατούντων πρὸς αὐτοὺς ἀπεχθείᾳ βασιλέων, οἱ μετ' αὐτοὺς ὀρθόδοξοι ὄντες ἀποδέχονται;

ΑΠΟΚΡΙΣΙΣ.

Ἀναστασίου ἐκβληθέντος τοῦ θαυμαστοῦ, ὁ θαυματουργὸς Γρηγόριος ἐκράτησε τὴν Ἀντιοχείας Ἐκκλησίαν ἔτη κδ', καὶ ἀπεδέχθη· καὶ μετὰ τὴν αὐτοῦ πρὸς Κύριον μετάστασιν αὖθις εἰσῆλθεν Ἀναστάσιος. Ἀντὶ τοῦ σωτῆρος τοῦ Κόσμου τιμίου Χρυσοστόμου ὁ Ἀρσάκιος, ὁ Ἀττικός, καίτοι ἄμφω εἰς τὴν αὐτοῦ καθαίρεσιν εὐδόκησαν, καὶ τῶν αὐτῷ ἐπιβουλευσάντων ἦσαν ἑκάτεροι. Ἀντὶ Εὐτυχίου Κωνσταντινουπόλεως Ἰωάννης ἀπεδέχθη,

---

[1] Ἐκ διορθ. Σοφοκλ. Οἰκονόμου, ἀντὶ "ὀρθῶς."

[2] Γραπτέον, οἶμαι, "ἀλλ' οὐδ' ὁ Ἀλεξανδρείας Θεόφιλος" περὶ οὗ ἴδε Θεοδωρ. Ἐκκλ. Ἱστ. κεφ. Ε', κβ' καὶ κγ'· καὶ Κ. Κοντογόνου Φιλολ. καὶ Κριτ. Ἱστορίαν τῶν Πατέρων (Τόμ. Β', σελ. 326—7).

[3] Καὶ τοῦτο γραπτέον ὡσαύτως "Ἀλεξανδρείας."

[4] Ἡμ. διόρθ. ἀντὶ—κρίνοντες.

[5] Γραπτέον οἶμαι, "καὶ ἀποστρέφονται" ἢ καὶ ἁπλῶς "ἀποστρέφονται."

Digitized by Google

καὶ μετὰ θάνατον πάλιν Ἰωάννης,[1] Εὐτύχιος πάλιν. Ἀντὶ Ἠλία Ἱεροσολύμων Ἰωάννης, καίτοι δι' εὐσέβειαν Ἠλία διωχθέντος· οὐκ οἶδα δέ, εἰ δεῖ καταριθμεῖν ἐν τούτοις καὶ τὸν μετὰ Καλλίνικον, τὸν παρὰ Ἰουστινιανοῦ τοῦ κακοῦ τυφλωθέντα, ὅτε καὶ τὸ δεύτερον τῆς βασιλείας ἐκράτησε, προβληθέντα Κῦρον τὸν ἐξ Ἀμάστριδος· ὃς καὶ ἔγκλειστος ὢν ἐκεῖ προεῖπεν αὐτῷ, ὡς πάλιν εἰς τὴν οἰκείαν ἀρχὴν ἐπανελεύσεται. Ἐκβέβληται δὲ καὶ παρὰ Βελλισαρίου, ὡς ἐπιβουλεύων τοῖς Ῥωμαϊκοῖς πράγμασι, Σιλβέριος, οἶμαι, καὶ ἀντεισῆκται ἀντ' αὐτοῦ ἕτερος.

ΕΡΩΤΗΣΙΣ Δ'.

Τίνων κατακριθέντων, οἱ ὑπ' αὐτῶν χειροτονηθέντες οὐδὲν ἐβλάβησαν;

ΑΠΟΚΡΙΣΙΣ.

Παύλου τοῦ ἐκ Σαμοσατέων[2] κατακριθέντος, οὐδεὶς τῶν ὑπ' αὐτοῦ καθῄρηται, καίτοι συμπεπραχότων αὐτῷ ἐκεῖνα, δι' ἃ ἐκεῖνος καθῃρέθη. Τοῦ Νεστορίου καθαιρεθέντος, οὐδεὶς τῶν ὑπ' αὐτοῦ χειροτονηθέντων καθῄρηται. Πέτρου τοῦ Μόγγου ἔτι Πρεσβυτέρου ὄντος καὶ καθαιρεθέντος ὑπὸ τοῦ ἁγίου Προτερίου, εἶτα εἰς τὸν αὐτὸν αὐτοῦ θάνατον Τιμοθέῳ τῷ φονεῖ συνδεδραμηκότος, καὶ μετὰ ταῦτα τὸν θρόνον τῆς Ἀλεξανδρείας μετὰ θάνατον ἐκείνου ἁρπάσαντος, καὶ τὴν ἐν Καλχηδόνι Σύνοδον καθ' ἑκάστην τῷ ἀναθέματι ὑποβάλλοντος, οἱ ὑπ' αὐτοῦ χειροτονηθέντες, καίπερ καθῃρημένου καὶ φονέως καὶ αἱρετικοῦ, αἱρετικοὶ ὄντες καὶ αὐτοὶ ἔτι, μετανοοῦντες ἐδέχθησαν. Καὶ Φῆλιξ ὁ Ῥώμης γράφων πρὸς Ζήνωνα τὸν βασιλέα, τὴν διάταξιν αὐτοῦ, ἥτις Πέτρον μὲν τῆς Ἐκκλησίας ἐξέβαλεν, ἐκείνους δὲ μετανοοῦντας ἐδέξατο, θεῖον ἀποκαλεῖ τύπον· ἐγκαλεῖ δὲ αὐτῷ δι' ὧν γέγραφε, τίνος χάριν τὸν Πέτρον ἐκβαλὼν τῆς Ἐκκλησίας, αὖθις αὐτὸν εἰσήγαγε, καὶ τὸν Ἰωάννην ἐδίωξεν. Μελέτιος ὁ Ἀντιοχεύς, ὑπὸ αἱρετικῶν χειροτονηθεὶς ἀντὶ Εὐσταθίου Σεβαστείας Ἐπισκόπου, κἀκεῖθεν μετενεχθεὶς εἰς Βέρροιαν, εἶτα πάλιν ὑπ' αὐτῶν καταστὰς Ἀντιοχείας Ἐπίσκοπος, ἐκείνων ὡς αἱρετικῶν δυσφημουμένων, οὗτος παρὰ τῆς Ἐκκλησίας ἀπεδέχθη. Οἱ ὑπὸ Σεργίου καὶ Πύρρου χειροτονηθέντες καὶ Μακαρίου, τούτων ὡς αἱρετικῶν τῆς Ἐκκλησίας ἐκδιωχθέντων, μετανοήσαντες προσεδέχθησαν. Καὶ οἱ ὑπὸ Μακεδονίου τοῦ Πνευματομάχου χειροτονηθέντες ὡσαύτως. Τὸν Ἀκάκιον οἱ Ῥωμαῖοι ἔτι μὲν περιόντα καθαιρέσει ὑπέβαλλον καὶ ἀναθέματι· μετὰ τελευτὴν δέ, Ἰουστίνου μετὰ τὸν Ἀναστάσιον βασιλεύσαντος, πρεσβευσάμενοι πρὸς αὐτόν, καὶ τῶν διπτύχων ἐκβαλόντες, Ἰωάννου τηνικαῦτα τὸν θρόνον διέποντος Κωνσταντινουπόλεως, τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας συλλειτουργοὺς εἶχον, καὶ ἐκοινώνουν αὐτοῖς. Οἱ ὑπὸ Ἀναστασίου καὶ Νικήτα τῶν

[1] Ἐλλείπουσι παρὰ Μιγνίῳ αἱ λέξεις "πάλιν Ἰωάννης," αἵπερ καὶ περιτταὶ δοκοῦσιν εἶναι, ἐξ ἀβλεψίας τινὸς παρεισφρήσασαι. Ἴσως μέντοι ἐγέγραπτο, "καὶ μετὰ θάνατον πάλιν Ἰωάννου Εὐτύχιος πάλιν·" ἀλλὰ καὶ οὕτως ἡ τοῦ "πάλιν" ἐπανάληψις οὐκ ἔρρωται.

[2] Γραπτέον, οἶμαι, "Σαμοσάτων."

Digitized by Google

αἱρετικῶν χειροτονηθέντες παρὰ τῆς ἑβδόμης ἐδέχθησαν Συνόδου. Καὶ Μελέτιος δὲ μυρίων ἔνοχος γέγονεν·[1] ἐπεπήδησε θρόνοις ἀλλοτρίοις· ἐλύπησε μάρτυρας· ἐπανέστη τῷ οἰκείῳ Πατριάρχῃ, καὶ τὸν αὐτοῦ θρόνον ἥρπασε· συναπήχθη Ἀρείῳ· ὡς δὲ λέγει Σωκράτης, καὶ εἰς τὸν διωγμὸν ἐπέθυσε·[2] καὶ διὰ ταῦτα ὑπὸ τοῦ Πέτρου καθῃρέθη. Ἀλλ' ὅμως, εἰ καὶ καθῃρέθη πολλάκις, ὕστερον, εἰ καὶ μὴ τὴν ἱερωσύνην, ἀλλὰ τὸ ὄνομα τοῦ Ἐπισκόπου ἀπείληφεν.

ΕΡΩΤΗΣΙΣ Ε'.

Πότε κινηθέντες τινὲς εἰς ἔχθραν κατ' ἀλλήλων ἀπεφήναντο, καὶ οὐδέτερος αὐτῶν ἐκ τούτου τι παρεβλάβη, οὐθ' ὁ ποιήσας, οὐθ' ὁ καθ' οὗ πεποίηκεν;[3]

ΑΠΟΚΡΙΣΙΣ.

Ὁ θεῖος Ἰωάννης κατὰ Κυρίλλου,[4] πλὴν ἡσύχως καὶ ἀπροσώπως,[5] καὶ μετὰ τοῦ προσήκοντος ἐκείνῳ καὶ φρονήματος καὶ λόγου καὶ σχήματος· καὶ Κύριλλος κατὰ τούτου· καὶ Κύριλλος καὶ Θεοδώρητος κατ' ἀλλήλων. Φασὶ δέ, ὅτι ἐν τῷ καιρῷ τῆς ἀπεχθείας διαῤῥήδην ἐβόα Κύριλλος· "Ἰωάννης ἐν Πατριάρχαις, καὶ Ἰούδας ἐν Ἀποστόλοις."

ΕΡΩΤΗΣΙΣ ΣΤ'.

Πόσοι οἰκουμενικαῖς Συνόδοις ὑπακούειν ἀπέστησαν, ἀλλ' οὐδὲν αὐτὰς ἔβλαψαν;[6]

ΑΠΟΚΡΙΣΙΣ.

Νουάτος ὁ Ῥώμης ὑπὸ Ἐπισκόπων καθῄρηται· Παῦλος ὁ Σαμοσατεὺς ὑπὸ δώδεκα

[1] Ἦν οὗτος Ἐπίσκοπος τῆς ἐν Αἰγύπτῳ Λυκοπόλεως, περὶ οὗ ἴδε Σωκρ. Ἐκκλ. Ἱστορ. βιβλ. Α', κεφ. στ'. καὶ Μελετ. Τόμ. Α', σελ. 322—4.

[2] Γραπτέον, οἶμαι, "ἐπέθυσε τοῖς εἰδώλοις," ὡς καὶ ἡ Λατινικὴ φέρει μετάφρασις "idolis immolavit."

[3] Ἐλλείπουσιν ἐν τῷ Παρισινῷ χειρογράφῳ αἱ τελευταῖαι λέξεις, "οὐθ' ὁ ποιήσας οὐθ' ὁ καθ' οὗ πεποίηκεν."

[4] Ἡμ. διόρθ. ἀντὶ—κατὰ Κύριλλον.

[5] Γραπτέον, οἶμαι, "εὐπροσώπως."

[6] Ὁ τε Φοντάνας ἐν τέλει τῶν ἐρωτημάτων τούτων, καὶ ὁ Σοφοκλῆς Κ. Οἰκονόμου ἐν τοῖς τῶν Ἀμφιλοχίων προλεγομένοις (σελ. μθ') ἄλλως ἔχειν τήνδε τὴν ἐπιγραφὴν ἐν τῷ Παρισινῷ χειρογράφῳ σημειοῦνται—"Πότε ἐξήλασαν Ἐπίσκοποι Πατριάρχας, Πατριαρχῶν μὴ παρόντων" καὶ ἡ τοιαύτη ἐπιγραφὴ μάλιστα συνάδει τοῖς ἐν τῇ Ἀποκρίσει· ἡ δὲ νῦν ὑπάρχουσα τῷ δεκάτῳ προσήκει ἐρωτήματι, ὅθεν ἴσως ἔκ τινος ἀβλεψίας ἐνταῦθα μετενήνεκται.

Digitized by Google

Ἐπισκόπων, ὡς ψιλὸν τὸν Χριστὸν λέγων ἄνθρωπον, κατεκρίθη. Τὰ κατὰ Σύμμαχον καὶ Λαυρέντιον ἐπὶ Ἀναστασίου τοῦ Βασιλέως ἐν Ῥώμῃ Ἐπίσκοποι τὸν ἀριθμὸν ἑκατὸν διήτησαν· καὶ τὸν μὲν Σύμμαχον, ὡς ἕνα τῶν ἑπτὰ Διακόνων ὄντα, καὶ κατὰ θεσμὸν Ἐκκλησιαστικὸν τὸν θρόνον διέποντα, ἐδικαίωσαν αὐτὸν κατέχειν· Λαυρέντιον δὲ Νουκερίας Ἐπίσκοπον, καίπερ ἐπὶ τέσσαρα ἔτη τὴν Ῥώμην ταράξαντα, εἶναι ὥρισαν. Ὕστερον δὲ στάσεις κινῶν αὖθις καὶ ταραχάς, ὑπὸ Συμμάχου ἐννόμως καθῄρηται. Τὸν Πνευματομάχον Μακεδόνιον Ἐπίσκοποι καθεῖλον ἐν Κωνσταντινουπόλει, ὧν ἐξῆρχεν Ἀκάκιος ὁ Καισαρείας τῆς Παλαιστίνης καὶ οἱ ἀμφ' αὐτόν. Τὸν καὶ τῶν Ἀγγέλων ὑπέρτερον πανάγιον Χρυσόστομον κρατεῖν τὸν θρόνον Ἐπίσκοποι μετὰ τὴν παράλογον καθαίρεσιν, τὴν ὑπὸ Θεοφίλου γενομένην, ἐδικαίωσαν, τὴν τούτου παρ' οὐδὲν θέμενοι κατὰ τοῦ καὶ τῶν Ἀγγέλων κρείττονος ἁγίου ψῆφον. Ἀλλὰ καὶ ὅτε αὖθις ἐξεβλήθη παρὰ τῆς Βασιλίσσης, Λεοντίου τοῦ Ἀγκύρας Ἐπισκόπου τῶν τότε ἀνεληλυθότων ἐξάρχοντος, οἰμώζων καὶ στενάζων, ὅτι γε δίκης τυχεῖν οὐκ ἠξίωται, ἧς καὶ τυμβωρύχους καὶ ληστὰς ἀξιοῦσθαι προσῆκεν, ὅπως τῶν κατ' αὐτῶν λεγομένων διδῶσι λόγον, ἐκβέβληται· οὐκ ἂν δὲ οὗτος ᾐτεῖτο (καίτοι γε τίς ἐν τοῖς τοιούτοις αὐτοῦ ἐπιστημονικώτερος;), εἰ ἦν τοῦτο παράλογον, τὸ ὑπὸ Ἐπισκόπων κρίνεσθαι. Ἀλλὰ καὶ Ἀθανάσιος ὁ Μέγας μετὰ τὴν ἐν Σαρδικῃ ἀθώωσιν, καὶ τὴν ἐν Ἱεροσολύμοις ὑπὸ Μαξίμου γενομένην τοῦ Ὁμολογητοῦ, ἡνίκα Σύνοδον συγκροτήσας σύμψηφος καὶ αὐτὸς τοῖς ὑπὲρ αὐτοῦ δεδογμένοις ἐγένετο, εἰδώς, ὡς μέγα ἑκάστη ἐνορία ἰσχύει εἰς τὰ κατ' αὐτήν, ὡς εἰκός, συμβαίνοντα, Σύνοδον τῶν κατ' Αἴγυπτον συγκροτήσας Ἐπισκόπων, παρεσκεύασε καὶ αὐτοὺς ὁμοίως τοῖς ἐν Σαρδικῃ καὶ Παλαιστίνῃ περὶ αὐτοῦ ψηφίσασθαι, καὶ χωρὶς ὧν Πατριάρχου.

ΕΡΩΤΗΣΙΣ Ζ'.

Ποῖοι Βασιλεῖς ἠγωνίσαντο περὶ εἰρήνης τῶν Ἐκκλησιῶν;

ΑΠΟΚΡΙΣΙΣ.

Κωνσταντῖνος ὁ Μέγας ἐδήλωσεν Ἀρείῳ τὴν κατ' Ἀλέξανδρον καταλῦσαι ἔχθραν, καὶ διαιτητὴν αὐτῷ Ὅσιον τὸν Ὁμολογητὴν ἔστειλεν· ὅτε καὶ ἔγραψεν, ὡς βουλόμενος προσκυνητὴς τῶν ἁγίων τόπων τῶν ἐν Ἱεροσολύμοις γενέσθαι, κἀκεῖ τὸ Πάσχα ἐκτελέσαι, διὰ τοὺς πρὸς ἀλλήλους στασιάζοντας ἐκωλύθη·[1] εἶτα μὴ πείσας τὴν μεγάλην ἐκρότησε Σύνοδον. Θεοδόσιος ἐμήνυσε Δημοφιλῳ τῷ Ἀρειανῷ, εἰ βούλοιτο κρατεῖν τῶν Ἐκκλησιῶν, εἰρηνεῦσαι πρὸς τὴν Ἐκκλησίαν· εἰ δὲ μὴ εἰρηνεύοι, ἀναχωρῆσαι· ὃ καὶ ἐγένετο, καὶ

---

[1] Ἴδε τὴν περὶ ἧς ὁ λόγος ἐπιστολὴν παρ' Εὐσεβίῳ "εἰς τὸν βίον τοῦ μακαρίου Κωνσταντίνου βασιλέως" (Λόγ. Β', ἐν τέλει).

Digitized by Google

ἐχειροτονήθη Νεκτάριος. Ὁ αὐτὸς οὗτος, κατ' ἀλλήλων γενομένων Ἰννοκεντίου καὶ Φλαβιανοῦ, τὴν ἀναμεταξὺ[1] αὐτῶν ἔχθραν ἐκποδὼν ἐποίησε καὶ ἠφάνισεν.

ΕΡΩΤΗΣΙΣ Η'.

Ἐν ποίαις Συνόδοις, καίπερ ἐκ διαφόρων Ἀρχιερατικῶν θρόνων συνειλεγμένων τῶν συνελθόντων, οὐκ ἔσχεν ἰσχὺν τὰ δεδογμένα, διὰ τὸ μὴ ἐνδίκως καὶ κατὰ θεσμὸν Ἐκκλησιαστικὸν γενέσθαι;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐπὶ τῶν ἐν Ἀντιοχείᾳ συνελθόντων ἐπὶ Κωνσταντίου, προφάσει τῶν ἐγκαινίων τῆς ἐκεῖ κτισθείσης ὑπ' αὐτοῦ ἁγίας Ἐκκλησίας. Οὗτοι γὰρ Ἀθανάσιον μὲν αὖθις καθεῖλον, ἤδη καὶ πρότερον ὑπὸ τῶν ἐν Τύρῳ καθαιρεθέντα, Γρηγόριον δὲ ἀντ' αὐτοῦ εἰς τὸν αὐτοῦ θρόνον ἐχειροτόνησαν· ὧν οὐδέτερον ἔμεινε βέβαιον. Ἦσαν δὲ ἐν αὐτῇ Εὐσέβιος ὁ τότε Κωνσταντινουπόλεως, καὶ Πλάκιτος ὁ Ἀντιοχείας, μεθ' ὧν Ἐπίσκοποι ἐννενήκοντα καὶ ἑπτὰ τὸν ἀριθμὸν ἐτέλουν. Ὡσαύτως καὶ ἐπὶ τῶν ἐν Ἐφέσῳ κατὰ τοῦ μεγάλου συνεληλυθότων Φλαβιανοῦ· παρῆσαν γὰρ ἐν αὐτῇ Διόσκορος Ἀλεξανδρείας καὶ Ἰουβενάλιος Ἱεροσολύμων, καὶ ὁ Ἀντιοχείας, σὺν ἱκανοῖς ὀρθοδόξοις Ἐπισκόποις· οἱ Εὐτυχῆ μὲν τὸν αἱρετικὸν ἀθῶον ἀπέφηναν, καὶ τὴν ἱερωσύνην αὐτῷ ἀπέδωκαν, Φλαβιανὸν δὲ τὸν ἅγιον κατεδίκασαν· ἀλλὰ καὶ Θεοδώρητον Κυρίλλῳ μετὰ τελευτὴν χαριζόμενοι κατέκριναν· ὧν οὐδὲν ἀσάλευτον ἔμεινεν· πάντα γὰρ μετ' ὀλίγον ἡ τετάρτη Σύνοδος ἡ εἰς τὸ Βυζάντιον μετέστρεψε, τὴν παράλογον τῶν ἐκεῖσε συνεληλυθότων συμφωνίαν ἐν οὐδενὶ θέμενοι λόγῳ. Ὁμοίως ἐπὶ τῶν κατὰ τοῦ ἐν ἁγίοις Χρυσοστόμου συνεληλυθότων· παρῆν γὰρ ἐν αὐτῇ Θεόφιλος ὁ Ἀλεξανδρείας σὺν καί τισι τῶν ἑαυτοῦ Ἐπισκόπων· καὶ αὐτοῦ δὲ τοῦ ἐν ἁγίοις Κωνσταντινουπόλεώς τινες τῇ καθαιρέσει συνήργησαν ταύτῃ. Ἀλλὰ καὶ ἐπὶ τῶν ἐν Φιλιππουπόλει[2] τῆς Θρᾴκης ἐκ τῆς ἕω συνελθόντων ΟΣΤ' Ἐπισκόπων, ὅτε ἡ ἐν Σαρδικῇ Σύνοδος ἔμελλε συγκροτεῖσθαι· οἱ λογιώτεροι γὰρ ἀπὸ τῆς Ἀνατολῆς ἐκεῖσε συναθροισθέντες ἐκ πάσης Ἐπισκοπῆς, Ἰούλιον μὲν τῆς Ἀνατολῆς ἐκεῖσε σὺν τῷ Ῥώμης καθεῖλον,[3] καὶ Ὅσιον τὸν Ὁμολογητὴν καὶ ἄλλους· ἐπεκύρωσαν δέ, ὡς ἐδόκουν, τὴν τῶν μεγάλων

---

[1] Οὕτω σύνθετον τὸ ἐπίρρημα "μεταξύ" παρὰ μόνοις εὕρηται τοῖς Σχολιασταῖς· συνηθέστατον δὲ παρ' ἡμῖν ἐπὶ τόπου καὶ χρόνου, ὡς καὶ τὸ συνώνυμον αὐτοῦ ἀναμέσον, ὅπερ κοινότερον καὶ ἀνάμεσα λέγομεν. Ὁ Θευκυδίδης (Δ', 25) λέγει "ἐν τούτῳ τῷ μεταξύ," ὅπερ καὶ ἡμεῖς ἀπαράλλακτον λέγομεν· ἔτι δὲ καὶ ἄνευ τῆς Ἀντωνυμίας "ἐν τῷ μεταξύ," καὶ κατ' αἰτιατ. "εἰς τοῦτο τὸ μεταξύ" καὶ "εἰς τὸ μεταξὺ τοῦτο." (Ἴδε Κοραῆ Ἄτακτ. Τόμ. Β', σελ. 400—1 καὶ Τόμ. Ε', σελ. 17.)

[2] Ἡμ. διορθ. ἀντὶ—Φιλιππουπόλεως.—Περὶ δὲ τῆς Συνόδου ταύτης ἴδε Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Α', σελ. 367.

[3] Γραπτέον, οἶμαι,—Ἰούλιον μὲν τὸν Ῥώμης καθεῖλον—ἔοικε γὰρ ἀβλεψίᾳ τινὶ τὰς λέξεις "τῆς Ἀνατολῆς ἐκεῖσε" δὶς γεγράφθαι.

Digitized by Google

Ἀθανασίου καὶ Παύλου τοῦ Ὁμολογητοῦ καθαίρεσιν· ὧν οὐδὲν ἄτρεπτον ἢ ἀμετάβλητον ἔμεινεν. Καὶ Μάρκελλον δὲ τὸν Ἀγκύρας ἡ τούτων τῶν ἐν Σαρδικῇ συνελθόντων συμφωνία ἐπὶ τῇ αὐτοῦ ἀθωώσει, καίπερ αὐτοῦ τοῦ Ῥώμης δι' Ὁσίου τοῦ Ὁμολογητοῦ παραγεγονότος, ὃς τὸν αὐτοῦ τόπον ἀνεπλήρου, καὶ τῆς Συνόδου δεκτέας οὔσης, οὐδὲν ὤνησε, διὰ τὸ παραλόγως αὐτὴν γενέσθαι· φανερῶς γὰρ αὐτὸν ἡ δευτέρα Σύνοδος ἀποκηρύττει.

ΕΡΩΤΗΣΙΣ Θ'.

Πότε καθῃρέθησαν Ἐπίσκοποι, καὶ πάλιν ἐδέχθησαν κανονικῇ εὐθύτητι, ἢ τῇ τοῦ ἰδίου λαοῦ παρακλήσει;

ΑΠΟΚΡΙΣΙΣ.

Ἐν διαφόροις μὲν Συνόδοις καὶ ὑπὸ διαφόρων τοῦτο πολλάκις ἐγένετο, ὥσπερ καὶ ἐπὶ τοῦ ἁγίου Ἀθανασίου γέγονε, καὶ ἐπὶ Μαρκέλλου Ἐπισκόπου Ἀγκύρας, καὶ Μακαρίου, καὶ ἑτέρων πολλῶν, ὡς εἴρηται· παρακλήσει δὲ λαοῦ, ζητοῦντος τὸν ἴδιον ποιμένα, ἐγένετο ἐπὶ Ἡρακλᾶ, τοῦ ἁγιωτάτου Πατριάρχου Ἀλεξανδρείας, οὗ διάδοχος Διονύσιος, εἶτα Μάξιμος, ἔπειτα Θεωνᾶς, καὶ μετ' αὐτὸν ὁ ἅγιος Ἱερομάρτυρ Πέτρος· ἐγένετο δὲ τοιῶσδε. Ἦν ἐν ταῖς ἡμέραις τοῦ αὐτοῦ ἁγιωτάτου Ἡρακλᾶ Ὠριγένης ὁ ἐπικαλούμενος Ἀδαμάντιος,[1] τὴν ἰδίαν φανερῶς ἐξηγούμενος αἵρεσιν Τετράδι καὶ Παρασκευῇ. Τοῦτον τοίνυν, ὡς παραποιοῦντα τὴν ὑγιαίνουσαν διδασκαλίαν, καὶ παραχαράσσοντα τὴν ὀρθόδοξον πίστιν, ἐχώρισεν ὁ αὐτὸς ἅγιος Ἐπίσκοπος Ἡρακλᾶς, καὶ ἐδίωξε τῆς Ἀλεξανδρείας. Ὁ δὲ αὐτὸς ἐκκήρυκτος Ὠριγένης ἀπερχόμενος εἰς τὰς τῆς Συρίας πόλεις, κατήντησεν εἰς πόλιν ὀνομαζομένην Θμούην, Ἐπίσκοπον ἔχουσαν ὀρθόδοξον ὀνόματι Ἀμμώνιον, ὃς καὶ ἐπέτρεψε τῷ αὐτῷ Ὠριγένει ὁμιλῆσαι λόγον διδακτικὸν ἐν τῇ αὐτοῦ Ἐκκλησίᾳ. Τοῦτο δὲ ἀκούσας ὁ Πάπας Ἡρακλᾶς ὁ εἰρημένος ἐξῆλθεν εἰς Θμούην, καὶ δι' αὐτὸ τοῦτο καθῄρεσε τὸν Ἀμμώνιον, καὶ παρέδωκεν ἀμφοτέροις, τῷ Ἀμμωνίῳ φημὶ καὶ τῷ Φιλίππῳ, τὴν ἐπισκοπὴν Θμούης. Μετὰ δὲ τὸ ἀποστῆναι τὸν ἅγιον Ἡρακλᾶν ἐκεῖθεν, ὁ μὲν θαυμαστὸς Φίλιππος οὐδόλως ἐκάθισεν ἐπὶ τοῦ συνθρόνου· ἀλλ' ἐξημένου τοῦ Ἀμμωνίου, ἤγουν λειτουργοῦντος, ἵστατο ὀπίσω αὐτοῦ πάσας τὰς ἡμέρας τῆς τοῦ Ἀμμωνίου ζωῆς· ὅτε δὲ ἐκοιμήθη ὁ Ἀμμώνιος, τότε ἐκάθισεν ἐπὶ τοῦ θρόνου ὁ Φίλιππος, καὶ ἐγένετο τῶν ἐπισήμων ἐν ἀρετῇ καὶ θαυμαζομένων Ἐπισκόπων. Ὅτι τὸν Ἄρειον Διάκονον ὄντα καθῄρεσεν ὁ ἐν ἁγίοις Ὁσιομάρτυρ Πέτρος, καὶ ἐξωστράκισε τῆς Ἐκκλησίας τελείως. Ἀχιλλᾶς δέ, ὁ ἐν ἁγίοις διάδοχος αὐτοῦ τοῦ Ἱερομάρτυρος Πέτρου Ἀλεξανδρείας, τοῦτον οὐ μόνον ἐδέξατο, ἀλλὰ καὶ Πρεσβύτερον

[1] Οὐ μόνον Ἀδαμάντιος, ἀλλὰ καὶ Χαλκέντερος διὰ τὴν πολλὴν αὐτοῦ φιλοπονίαν ἐπεκαλεῖτο ὁ Ὠριγένης. Ἴδε τον βίον αὐτοῦ ἐν τῇ φιλολ. καὶ κριτ. Ἱστορίᾳ τῶν Πατέρων ὑπὸ Κ. Κοντογόνου (Τόμ. Α', σελ. 399).

Digitized by Google

ἐχειροτόνησε, καὶ φροντιζειν τοῦ ἐν Ἀλεξανδρείᾳ διδασκαλείου ἔταξεν. Ὅτι τὸν Εὐτυχῆ καθαιρεθέντα ὑπὸ τοῦ ἐν ἁγίοις Φλαβιανοῦ, ὁ Ἀλεξανδρείας καὶ ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων ἐδέξαντο μετὰ θάνατον ἐκείνου. Ὅτι τὸν ἥλιον καὶ φωστῆρα τῶν ἀνθρωπίνων ψυχῶν τὸν ἁγιώτατον Χρυσόστομον, καθαιρεθέντα (πῶς ἔφερες δίκη;) ὑπὸ Θεοφίλου ὁμοδόξου Ἐπισκόπου χωρὶς τῶν ἄλλων Πατριαρχῶν, ἐδέξαντο καὶ συναπεδέξαντο. Ὅτι Πέτρον τὸν Μιλήτου καθαιρεθέντα ὑπὸ τοῦ ἁγίου Μεθοδίου, οὐ μόνον ἐδικαιώσαμεν ἡμεῖς, ἀλλὰ καὶ τῶν Σάρδεων Μητροπολίτην πεποιήκαμεν. Ὅτι καὶ ἑτέρους πλείστους καθαιρεθέντας ἐπὶ ἐγκλήμασι παρὰ τοῦ ἁγιωτάτου Ἰγνατίου ἡμεῖς ἐδεξάμεθα, καὶ τοὺς ὑφ' ἡμῶν καθαιρεθέντας ὁ ἐν ἁγίοις Ἰγνάτιος ἐδέξατο.[1]

ΕΡΩΤΗΣΙΣ Ι'.

Πόσοι τῶν οἰκουμενικῶν Συνόδων ἀπέστησαν;[2]

ΑΠΟΚΡΙΣΙΣ.

Τῆς μὲν πρώτης ὀκτωκαίδεκα οἱ λογιώτεροι, τῆς δὲ δευτέρας πλείονες, οἳ καὶ συνελ-

---

[1] Τούτοις παρατίθει τὰ ἐν τοῖς Προλεγομένοις (§ μζ') εἰρημένα.

[2] Ἐν τοῖς τῶν Ἀμφιλοχίων Προλεγομένοις (σελ. μθ') μετὰ τὴν λέξιν "ἀπέστησαν" προστέθειται, "ἀλλ' οὐδὲν αὐτὰς ἔβλαψαν."—Φραγκίσκος δὲ ὁ Φοντάνας τῷ ἐρωτήματι τούτῳ ὑπεσημειώσατο, ὡς ἐν δυσὶ τοῦ Οὐατικανοῦ συλλογαῖς χειρογράφων (ὑπ' ἀριθμὸν 829 καὶ 1150) ἀντὶ τοῦ ἐρωτήματος τούτου ἄλλο τι εὕρηται, περὶ τῶν θρυλλουμένων τοῦ ἐν Ῥώμῃ Ἐπισκόπου πρωτείων πραγματευόμενον, οὗ μόνην τὴν ἀρχὴν παρατίθεται, περιττὸν ἡγησάμενος ὅλον ἐκδοῦναι, ἅτε ὑπὸ Βεβεριγίου ἐν τῷ Β' τόμῳ τοῦ Συνοδικοῦ ἐκδεδομένον. Ὁ μὲν οὖν Βεβερίγιος ὡς μίαν τῶν τριῶν "περὶ ἀζύμων" ἐπιστολῶν Λέοντος τοῦ Ἀρχιεπισκόπου Βουλγαρίας τοῦτο ἐκδέδωκεν· Φοντάνας δὲ οὐ Λέοντος, ἀλλὰ Φωτίου φησὶν ἔργον εἶναι· εἰκότως· τά τε γὰρ ἐν Οὐατικανῷ χειρόγραφα τούτῳ μαρτυρεῖ, καὶ αὐτὸ τοῦ λόγου τὸ ὕφος, τῷ Φωτίου μάλιστα ἐοικός, καὶ πανταχοῦ τὴν ἀριστογράφον ἐκείνου δεξιὰν καταφανῆ ποιούμενον. Ἀλλ' εἰ μὲν ταῦτα οὕτως ἔχει, εἴτε μή, ἄλλοι κρινάτωσαν· ἡμεῖς δὲ καὶ τοῦτο παραθήσομεν, ὡς ἐν τῷ Βεβερινίου ἐκδέδοται Συνοδικῷ καὶ ἐν τῷ συντάγματι τῶν Κανόνων ὑπὸ Γ. Α. Ῥάλλη καὶ Μ. Ποτλῆ (Τόμ. Δ', σελ. 409—415), ἅμα διορθοῦντες, ὡς οἷόν τε, τὰ κακῶς παρ' ἀμφοτέροις γεγραμμένα. Ἔχει οὖν οὑτωσί·

Πρὸς τοὺς λέγοντας, ὡς ἡ Ῥώμη πρῶτος θρόνος.

"Εἰ ἡ Ῥώμη, ὅτι ἐδέξατο τὸν κορυφαῖον Ἐπίσκοπον, πρώτη, ἡ Ἀντιόχεια μᾶλλον ἕξει τὸ πρωτεῖον· "ἔτη γὰρ ὀκτὼ πρὸ τῆς Ῥώμης* ὁ Ἀπόστολος Πέτρος ἐπεσκόπησεν ἐν Ἀντιοχείᾳ.

"Ἔτι, εἰ διὰ Πέτρον† ἡ Ῥώμη [πρώτη, διὰ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου, πρῶτον Ἐπίσκοπον "γεγονότα, καὶ ὑπ' αὐτοῦ τοῦ Κυρίου,‡] καὶ τὸν μαρτυρικὸν πρῶτον τελειώσαντα δρόμον, πολλῷ δικαιότερον τὰ Ἱεροσόλυμα τῆς Ῥώμης πρωτεύειν.

"Ἔτι, εἰ ἀπό τῆς τῶν προσώπων ποιότητος τὸ πρωτεύειν τοῖς θρόνοις περίεστι, πῶς οὐ λαμπρῶς κατὰ "πάντων τὰ Ἱεροσόλυμα τὸ κράτος ἕξει; Αὐτὸς γὰρ ὁ καὶ Πέτρου καὶ ἡμῶν ἁπάντων κοινὸς πλάστης;

* Οὕτω παρὰ Φοντάνᾳ· παρὰ δὲ τοῖς ἄλλοις, "καὶ γὰρ ἡ πρὸ τῆς Ῥώμης."

† Ὁμοίως, ἀντὶ "διὰ τὸν κορυφαῖον τῶν Ἀποστόλων."

‡ Αἱ ταῖς ἀγκύλαις ἐμπεριεχόμεναι λέξεις ἐλλείπουσιν ἔν τε τῷ Συνοδικῷ Βεβερηγίου καὶ ἐν τῷ συντάγματι τῶν Κανόνων.

Digitized by Google

θόντες ἅμα τριάκοντα καὶ ἓξ ἐτελουν· τῆς τρίτης δὲ τριάκοντα καὶ ὁ τῆς Ἀντιοχείας· τῆς τετάρτης πλῆθος ἄπειρον, καὶ οἱ τοῦ Διοσκόρου πάντες, οἳ οὐδὲ ὑπέγραψαν.

" καὶ δεσπότης, ὁ πρῶτος καὶ μέγας Ἀρχιερεύς, ἡ πηγὴ πάσης ζωῆς καὶ Ἀρχιερατικῆς τάξεως, ἐν αὐτοῖς
" καὶ τὴν γέννησιν καὶ τὴν διατριβὴν ἔσχε, καὶ ἑαυτὸν ὑπὲρ τῆς τοῦ Κόσμου σωτηρίας ἐκὼν ἱεράτευσεν.

" Ἔτι, εἰ διὰ τὸν κορυφαῖον ἡ Ῥώμη ζητεῖ τὸ πρωτεύειν, δι' Ἀνδρέαν τὸν πρωτόκλητον, καὶ γενέσει
" πρότερον ἀδελφόν, τὸ Βυζάντιον πρῶτον. Οὐκ ὀλίγοις γὰρ ἔτεσι τοῦ Βυζαντίου τὴν ἐπισκοπὴν ἔφθασε
" προλαβών, πρὶν ἢ τὸν ἀδελφὸν Ῥωμαίων ἐπισκοπῆσαι.

" Εἰ δὲ προφέρεις μοι τὸ 'Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν,*
" καὶ τὰ ἑξῆς,' ἴσθι, ὡς οὐ διὰ τὴν ἐν Ῥώμῃ ἐκκλησίαν εἴρηται· ἄπαγε· Ἰουδαϊκὸν γὰρ τοῦτο καὶ ταπεινόν,
" τὴν χάριν καὶ τὴν θειότητα αὐτῆς μέρεσί τισι καὶ τόποις περιγράφειν, ἀλλὰ μὴ ἀνὰ πᾶσαν τὴν οἰκουμένην
" ὁμοίως ἐνεργεῖν. Ἀλλὰ καὶ τὸ 'ἐν ταύτῃ τῇ πέτρᾳ' πῶς ἄν τις, κἂν λίαν θρασὺς ᾖ, καὶ τὸ μὴ αἰσχύ-
" νεσθαι κλέος ἔχων, ἐκβιάσοιτο ἐπὶ τῆς ἐν Ῥώμῃ ἐκκλησίας εἰρῆσθαι; Εἴρηται δὲ δῆλον [ὅτι] ἐπὶ τῇ
" θεολογησάσῃ τὸν Χριστὸν ὁμολογίας πέτρᾳ, καὶ δι' αὐτῆς ἐφ' ὅλῃ τῇ εἰς τὰ πέρατα τῆς γῆς ταῖς διδαχαῖς
" τῶν Ἀποστόλων ἐξαπλωθείσῃ καὶ θεμελιωθείσῃ ἐκκλησίᾳ, εἰς ἣν καὶ τὸ πανάγιον πνεῦμα διὰ τῶν προφη-
" τικῶν σαλπίγγων κατὰ τὴν ὑφήγησιν τοῦ ἱερωτάτου καὶ σεβασμίου ὄρου ἀνομολογοῦμεν λελαληκέναι,
" τὸ λαλῆσαν διὰ τῶν προφητῶν ἱερολογοῦντες εἰς μίαν Καθολικὴν καὶ Ἀπο-
" στολικὴν Ἐκκλησίαν, οὐ Πετριανὴν ἢ Ῥωμαϊκήν, ὡς τὸ φιλόκαινον τῆς Ῥωμαϊκῆς ἀπαι-
" δευσίας βούλεται.

" Ἔτι, εἴ τις ἐξ οὗ ἔδοξεν ἡ Ῥώμη προὔχειν ἐπισκέψαιτο (ἄλλοθι γάρ, ἐξ ὧν εἴρηται, οὐκ ἔστιν εὑρεῖν),
" εἰς τὸν ἔσχατον αὐτὴν βαθμὸν μόλις αὐτὴν συγχωρήσει,† εἴπερ Ἑλλήνων ψῆφος ἐν Ἐκκλησίᾳ Θεοῦ
" παντελῶς ἄτοπος. Αὐρηλιανοῦ γὰρ τοῦ τὰ Ἑλλήνων θρησκεύοντος (ἐβασίλευε δὲ κατ' ἐκεῖνο καιροῦ τῆς
" Ῥώμης), τούτου κρίσει σεμνύνεται αὕτη λαβεῖν τὰ πρωτεῖα.‡ Ἔτυχε μὲν γὰρ οὗτος ὁ Αὐρηλιανὸς ἐπὶ
" στρατείαν ἀνιών, καὶ τὴν Ἀντιόχειαν παροδεύειν, τὸν δὲ Σαμοσατέα Παῦλον, ὃς ἐπεσκόπει ταύτης, ψήφῳ
" τῶν ἀθροισθέντων Ἐπισκόπων καὶ τῆς τιμῆς τῶν ἱερέων καὶ τοῦ θρόνου διαπεπτωκέναι, καὶ στασιάζειν,
" καὶ βιάζεσθαι ἐπαναλαβεῖν τὰ ἀφῃρημένα, μὴ συγχωρεῖν δὲ τοὺς ἀφελομένους. Πολλῆς δὲ τῆς μεταξὺ
" ἔριδός τε καὶ φιλονεικίας ἀτόπου ῥαγείσης, ἑκατέρα μοῖρα πρὸς μόνην λοιπὸν ἀπέβλεπε τὴν κοσμικὴν
" τε καὶ βιάσασθαι δυναμένην χεῖρα· οἱ μέν, ὅπως παύσωσι τὴν τυραννίδα Παύλου, ὁ δέ, ὅπως σχοίη καὶ
" τὰς ἐκείνων ψήφους ἀθετεῖν, καὶ τυραννεῖν ἀδεῶς θεσμοὺς πατρῴους.§ Δέονται οὖν, τῆς χρείας βιαζο-
" μένης, εἰ καὶ ἀνὰ μέρος καὶ χωρίς, ἑκάτεροι τῆς βασιλικῆς συγχερείας. Ὁ δὲ τὰ μεταξὺ παρίσως μὴ
" συνιέναι φάμενος, ὅσα ἐν σφίσι διαφιλονεικοῦσι, ὥστε μηδὲ τῶν παρ' αὐτῶν δικαίαν ἔχειν τὴν γνῶσιν,
" ἐπὶ τὸν Ῥώμης ἄγειν τὴν δίκην ἐκέλευε, [καὶ στέργειν μὴ βουλομένους ἃ ἂν ἐκεῖνος δικάσειεν, ἤδη μέχρι
" τούτου καὶ τούτου πεπεισμένος ἄλλοθεν ὡς τῆς αὐτῆς θρησκείας καθεστήκει ἐν Ῥώμῃ, οἷς καὶ δόξειε τὰ
" πρῶτα φέρειν τοῖς ὅλοις, καὶ εἰς τυραννίδα πάντων τὴν Ἀρχιερωσύνην προβάλλεσθαι‖]. Τοῖς δέ γε
" Χριστοῦ μαθηταῖς καὶ τὸ Χριστιανοὺς εἶναι μὴ καταψευδομένοις, πῶς ἂν εἴη περὶ πρωτείων ἀγών, καὶ
" τότε** ἱερεῦσιν οὖσι; τὸ δὲ '"Οστις θέλει ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν διάκονος' ποῦ θήσομεν;

" Ἔτι ἡ πρώτη Σύνοδος ἑκάστῃ ἐπαρχίᾳ ἐκανόνισε τὰ οἰκεῖα δίκαια προσεῖναι, καὶ μηδέτερον ἑτέρου
" ἐπεισπηδᾷν τοῖς ὁρίοις, μηδὲ τὰς ἀλλοτρίας ὑποσπᾷν τε καὶ ἑαυτῶν ποιεῖσθαι διοικήσεις.††

" Ἡ δὲ δευτέρα Σύνοδος διὰ τὸ βασιλείᾳ τὴν Ῥώμην λαμπρυνθῆναι προὔχειν ἀποφηναμένη, οὐ διὰ τοὺς

---

* Ματθ. ΙΣΤ', 18.

† Προσθετέον ἴσως " εἶναι" ἢ " τετάχθαι."

‡ Ἡμ. διόρθ. ἀντὶ " σεμνύνεσθαι αὕτη λάβοι τοῖς πρωτείοις" παρὰ τοῖς ἄλλοις.

§ Γραπτέον ἴσως " παρὰ θεσμοὺς πατρῴους"—ἢ " θεσμ. πατρ. παραβαίνων."

‖ Ἀγκύλαις τὸ μέρος τοῦτο περιέβαλον, ὡς ἡμαρτημένον πάντως διὰ λέξεων ἔκπτωσιν.

** Σημειοῦ πρὸς τοῖς ἄλλοις καὶ τὴν Φωτίῳ συνηθεστάτην ταύτην φράσιν, ἀντὶ " καὶ ταῦτα."

†† Ἴδε τῆς Α' ἐν Νικαίᾳ Συνόδου καν. ΣΤ', καὶ τὰς ἑρμην. τοῦ Ζωναρᾶ καὶ Βαλσαμῶνος.

Digitized by Google

"κορυφαίους Πέτρον καὶ Παῦλον, ὁμοίως καὶ τὴν Κωνσταντινούπολιν, ὡς βασιλείᾳ τιμηθεῖσαν, τὰ ἴσα "μετ' ἐκείνην ἔχειν πρωτεῖα ἐψηφίσατο."

"Ἡ δὲ τετάρτη† προκρίνει πᾶσι τὴν Κωνσταντινούπολιν, μὴ ἀνασχομένη προκαθίσαι Βιγίλιον, ἐξ οὗ καὶ "ἀταξίαι κατὰ Μηνᾶ ἐπονήθησαν, καὶ ποινὴν παιδικὴν ὁ Βιγίλιος ἔτισεν.

"Ἔτι καὶ πρὸ Βιγιλίου Ἰωάννης ὁ Ῥώμης ἀνελθών, οὐδὲν περὶ πρωτείων διηνέχθη (ἐβασίλευε δὲ καὶ "τότε Ἰουστινιανός), ἀλλὰ τὴν ἱερατικὴν στολήν, ὡς ἔθος τοῖς ἐν Κωνσταντινουπόλει, περιβαλών, πρὸς "τοῖς εὐωνύμοις μέρεσι τοῦ κατ' ἐκεῖνο καιροῦ Πατριαρχοῦντος Ἐπιφανίου καθεσθείς, οὐδὲν ἐδυσχέρανεν. "Ἀνῆλθε δὲ καὶ πρὸ Ἰωάννου ἐπὶ τῆς αὐτῆς βασιλείας ὁ περιώνυμος Ἀγαπητός, καὶ τὸν βίον ἐν Κων"σταντινουπόλει ἀπέλιπεν.

"Εἰ δὲ λέγεις, ὅτι ἡ ἐν Σαρδικῇ διατάσσεται τὸν Ῥώμης ἐξετάζειν τὰς τῶν ἑτέρων ἐνοριῶν ψήφους, "πολλαχόθεν ἔχει τὸ εὐκατάλυτον.

"Πρῶτον μέν, ὅτι τοπικὴ οὖσα ἀνατέτραπται ὑπὸ τῆς οἰκουμενικῆς Δ' Συνόδου· αὕτη γὰρ τῷ Κων"σταντινουπόλεως Ἀρχιερεῖ μᾶλλον τὰς ἑτέρων κρίσεις ἐξετάζειν ἀπένειμεν.

"Δεύτερον, ὅτι ὁ ταύτης προεδρεύσας Ὅσιος Κουδρούβης, τῷ Ἀρειανισμῷ ἐπὶ τέλει τοῦ βίου, καὶ τῇ τοῦ "ἁγίου Ἀθανασίου καθαιρέσει ὑπέγραψεν, ἐναντία τῇ τε οἰκείᾳ χειρογραφίᾳ καὶ τῇ γνώμῃ, ἣν ἔχειν ἐν "Σαρδικῇ ἐγνωρίζετο, διαπραξάμενος.

"Ἄλλως τε, ὅτι οὗτος ὁ Κουδρούβης, τῆς Ῥωμαϊκῆς προεδρείας ἐπέχων τὸ πρόσωπον, καὶ τοῦ δικαίου "μεῖζονα τὴν χάριν αὐτῇ συνεισενέγκας μάλιστα τηνικαῦτα, οὐ μόνον οὐ παρόντος τοῦ Κωνσταντινουπόλεως, "ἀλλὰ καὶ αἱρέσει προσανακειμένου, οὐ τὴν τυχοῦσαν σπουδὴν ἐπεποίητο· πλὴν εἰ αὕτη τὰς ἔμπροσθεν "οἰκουμενικὰς Συνόδους (καὶ μάλιστα τὴν πρώτην, ἡ ἑκάστῃ ἐπαρχίᾳ τὰ οἰκεῖα διασώζεσθαι ἀβίαστα "παντελῶς κανονίζει δίκαια)· εἰ οὖν αὕτη τοπικὴ οὖσα τὴν οἰκουμενικὴν ὑπερορᾷ, ἐν αὐτῷ μάλιστα τῷ μέρει "τούτῳ, τίς ἂν αὐτῇ ἐπιβλέψειεν;

"Τρίτον, ὅτι Μάρκελλον καὶ ἄλλους τινὰς αἱρεσιώτας, εἰ καὶ τῆς ἀκριβείας ἀγνοίᾳ, ὅμως ἀθώους ἀπο"φηναμένη, αἰσχύνην ὤφλησε. Καὶ γὰρ ἡ Ἐκκλησία τοῦ Θεοῦ τὰς ἐκείνης ἀλογήσασα ὑπὲρ αὐτῶν ὡς "ἀμαθεῖς καὶ ἀνεξετάστους ψήφους, πάσης αὐτοὺς ἱερωσύνης εἰς τέλος ἐξεκήρυξεν.

"Τέταρτον, ὅτι μερισθέντες οἱ συνελθεῖν ὁμολογήσαντες ἀλλήλοις, οἱ μὲν τὴν Σαρδικήν, οἱ "δὲ τοὺς Φιλίππους κατέλαβον· καὶ καταστασιάζοντες ἀλλήλων καθαιρέσεις καὶ ἀναθεματισμοὺς "ἐψηφίζοντο.‡

"Πέμπτον, ὅτι ἡ ἐν Καρθαγένῃ Σύνοδος μικροῦ ἔτη δυοκαίδεκα εἰς ἀκρίβειαν ἐξαναλώσασα τῶν ζητου"μένων, οὐ μόνον οὐδὲν αἰδέσιμον ἀπένειμε τῇ ἐν Σαρδικῇ, ἀλλ' οὐδ' ὅτι γέγονεν εἰδέναι ἠξίωσεν· εἰς δὲ "τοὺς κανόνας ἐγκύψασα τῆς πρώτης Συνόδου, γράφει ἀποτόμως πρὸς Κελεστῖνον (ἤδη γὰρ οὗτος τρίτος "ἀπὸ Ζωσίμου τὸν θρόνον ἐχειρίζετο τῆς Ῥώμης) μηκέτι τολμᾷν τὸν Ἀρχιερέα Ῥώμης τὰς ἑτέρων ἀναψη"λαφᾷν ψήφους, ὡς μηδενὸς κανόνος τοῦτο κελεύοντος.§

"Ὅτι καὶ ἡ ἐν Βενεθάλοις Σύνοδος πάλιν τοῖς τῆς πρώτης ἐξακολουθήσασα κανόσι, τοὺς μὲν ὑπὸ τὸν "Ῥώμης Ἐπισκόπους ταῖς ἐκείνων Συνοδικαῖς ψήφοις ὑπείκειν ἐκέλευσε, τοὺς δὲ ὑπὸ τὸν Ἀλεξανδρείας, "τοῦ σφῶν Ἀρχιερέως, καὶ τοὺς ἄλλους ὁμοίως.

"Ὅτι πολλάκις οἱ Ῥωμαῖοι κατὰ Θεοῦ Ἀρχιερέων ἀλόγως ὁρμήσαντες, ἐκείνους μὲν μικρὸν ἢ οὐδὲν "παρελύπησαν, ἑαυτοὺς δὲ αἰσχύνης μεγάλης ἐνέπλησαν· ὡς κατὰ Φλαβιανοῦ τοῦ Ἀντιοχείας ἐπὶ ἔτη οὐκ "ὀλίγα, ἀλλ' ἑξῆς διαδοχὴν‖ ἐκκηρύττοντες καὶ ἀναθεματίζοντες, εἰ καὶ ὁ τούτου τελευταῖος ἄμεινον τῶν "ἄλλων, εἰ καὶ ἄκων, συνελαθείς, τὴν ἄλογον ἔχθραν εἰς φιλίαν ἐλύσατο.

* Ἴδε τῆς Β' οἰκουμ. Συνόδου καν. Β' καὶ Γ'.

† Γραπτέον, οἶμαι, "πέμπτη·" ἐν ταύτῃ γὰρ τὰ κατὰ Μηνᾶν καὶ Βιγίλιον ἐπράχθη (Μελετ. Τόμ. Β', σελ. 99 καὶ 105· Ἴδε καὶ Φωτίου Ἐπιστ. ΞΓ', § ιδ').

‡ Ἴδε περὶ τούτου τὴν Η' Ἐρώτησιν.

§ Ἴδε τὴν πρὸς Κελεστῖνον ἐπιστολὴν τῆς ἐν Καρθαγένῃ Συνόδου ἐν τῷ συντάγματι τῶν Κανόνων ὑπὸ Γ. Α. Ῥάλλη καὶ Μ. Ποτλῇ (Τόμ. Γ', σελ. 618 κ. ἑξ.).

‖ Γραπτέον, οἶμαι, "ἐκ διαδοχῆς" ἢ "κατὰ διαδοχήν." Ἴδε περὶ τούτου τὴν Β' Ἐρώτησιν· καὶ εἴση ἐκ τῆς παραθέσεως

Digitized by Google

"Εἶτα Εὐθύμιον* καὶ Μακεδόνιον οἱ Ῥωμαῖοι Θεοῦ Ἀρχιερεῦσιν οὐδαμῶς συντάσσουσιν· ἀλλ' οὐδὲν "ἧττον αὐτῶν ἡ μνήμη καὶ τὸ ὄνομα ἀνὰ πᾶσαν Ἐκκλησίαν ἀνακηρύττεται, λαμπρὸν ἐπὶ λαμπροῖς "ἀγωνίσμασιν.

""Οτι καθαιρεθέντα παραλογώτατον τὸν θαυμάσιον καὶ θεῖον Ἰωάννην τὸν Χρυσόστομον, ὁ μὲν Ῥωμαίων "πρόεδρος Ἰννοκέντιος πολλὰ σπουδάσας εἰς τὴν οἰκείαν ἐπαναγαγεῖν τιμήν, οὐδὲν ἴσχυσεν. Ὁ δὲ Κων"σταντινουπόλεως Ἀττικός, πολλὰ τοῦ Ἀλεξανδρείας δυσανασχετοῦντος, εἰς τὴν τῶν Ἀρχιερέων τιμὴν "ἐπανήγαγε, τοῖς ἱεροῖς διπτύχοις ἐντάξας αὐτοῦ τὸ ὄνομα· ἕκαστος γὰρ οἰκείῳ θρόνῳ τῶν ἄλλων ἐστὶν "ἐπικρατέστερος.

""Οτι Νεκτάριος Μάξιμον, εἰ καὶ παραλόγως, ὅμως πρὸ αὐτοῦ χειροτονηθέντα καθεῖλε, καὶ Μηνᾶς "ὁμοίως Ἄνθιμον τὸν Τραπεζούντιον· εἰ βούλει δὲ καὶ Ἀνατόλιος τὸν Διόσκορον, ὃς ἐκεῖθέν τε τὴν χειρο"τονίαν εἶχε, καὶ ταῖς Διοσκόρου σπουδαῖς τὸν Κωνσταντινουπόλεως ἐνεχειρίσθη θρόνον.

""Οτι Μάξιμον τὸν ὁμολογητὴν ὡς ὀρθόδοξον οἱ αἱρετικοὶ καθεῖλον, ἀντικατέστησαν δὲ Κύριλλον τοῖς "Ἱεροσολύμοις ὑπονοούμενον ἀρειανίζειν· ὀρθοδοξῶν δὲ γνωρισθεὶς ὑπὸ ἀκακίας† τοῦ Καισαρείας, καὶ "αὐτοῦ ὀρθοδοξίας μὴ ἀθετοῦντος, συσκευὴν ὑπομένει· ὕστερον μέντοι καὶ ὑπ' Ἀρειανῶν καθῃρέθη. Μά"ξιμον δ' οὖν καὶ Κύριλλον ὁμοίως ἡ Ἐκκλησία τοῦ Θεοῦ τιμᾶται διὰ παντός.

""Οτι Μελέτιος ὁ θεῖος, τοῦ θαυμαστοῦ Εὐσταθίου παρὰ πάντα θεσμὸν ὑπὸ Ἀρειανῶν συσκευασθέντος, "καὶ τοῦ θρόνου ἀπελαθέντος, τῇ Ἀντιοχέων ἐνθρονίζεται· φανερῶς δὲ εὐσέβειαν κηρύξας, ὑπὸ τῶν αἱρε"τικῶν καὶ αὐτὸς ἐξορίζεται· χρόνῳ δὲ ὕστερον τῇ Ἀντιοχέων ἀποκαθίσταται· καὶ ἑκάτερος αὐτῶν ὡς "Ἀρχιερεὺς Ἀντιοχείας καὶ τιμᾶται καὶ μεγαλύνεται.

""Οτι καὶ Ἠλία τοῦ Ἱεροσολύμων δι' εὐσεβείας‡ τοῦ θρόνου ἐκβληθέντος, Ἰωάννης ὑπὸ τῶν αἱρετικῶν "ἀντικαθίσταται, καὶ ὀρθόδοξον ἑαυτὸν ἀνακηρύξας, παρὰ τῆς ὀρθοδοξούσης Ἐκκλησίας μετὰ τῶν Ἀρχιε"ρέων συντάττεται, μηδὲν τῆς τιμῆς καὶ δίκης ἐλαττουμένης τοῦ ἐν ἁγίοις Ἠλία. Οὕτω πανταχοῦ ἡ "Ἐκκλησία τὰ τῆς εἰρήνης μεταδιώκει.

""Οτι Εὐθύμιος ὡς ὀρθόδοξος τῆς Κωνσταντινουπολιτῶν Ἐκκλησίας ἀπελαύνεται, καὶ Μακεδόνιος ὁ "τούτου Σκευοφύλαξ ἀντεισάγεται, καὶ ὀρθόδοξον ἑαυτὸν ἀνομολογήσας, εἴπερ τις ἄλλος, τῇ Ἐκκλησίᾳ "τετίμηται· θαυμάζουσι‖ καὶ διὰ τιμῆς ἄγουσι καὶ τὸν γενναῖον Εὐθύμιον.

""Οτι Εὐτύχιος παραλόγως ἀπηλάθη τοῦ θρόνου, ἀντικατέστη δὲ Ἰωάννης, ὁμοίως Εὐτυχίῳ τὰ ὀρθὰ "κρατύνων δόγματα, καὶ ἑκάτερον ἡ Ἐκκλησία τῶν ἴσων γερῶν ἀξίους ψηφίζεται.

""Οτι Ἀναστάσιος ὁ Θεουπόλεως, παρὰ πάντα θεσμὸν παρὰ Ἰουστίνου τῆς Ἀντιοχέων ἀπελήλαται, "ἀνὴρ τά τε ἄλλα δεξιός, καὶ ἰσχυρογνώμων τὰ τῆς πίστεως· ἀντ' αὐτοῦ δὲ χειροτονεῖται Γρηγόριος ὁ "θαυμάσιος, καὶ ἐπέκεινα τῶν κ' ἐτῶν τῇ Ἀρχιερωσύνῃ διαπρέπων ἐτελεύτησε· καὶ ἀποκαθίσταται πάλιν "Ἀναστάσιος,§ Μαυρικίου τὰ Ῥωμαίων σκῆπτρα διέποντος καὶ ἰθύνοντος, καὶ ἑκάτερον αὐτῶν ἡ Ἐκκλησία "ἀποδέχεται.

""Οτι τὴν τῶν Σαββάτων νηστείαν Ἀμβρόσιόν φασι τοῖς Ῥωμαίοις παραδεξωκέναι, καὶ Γρηγόριον τὸν "Θεολόγον, καὶ Λέοντα τὸν μέγαν, καὶ Ἰννοκέντιον. Κομίζουσι δὲ εἰς ἀπόδειξιν τοῦ δεῖν νηστεύειν τὰ "Σάββατα τὸν κορυφαῖον Ἀπόστολον Πέτρον, νηστεύσαντα ἐν Σαββάτῳ, καὶ καθελόντα Σίμωνα.**

ταύτης, ὡς καὶ ἐκ πολλῶν ἄλλων τεκμηρίων, ὅτι ὀρθῶς ὁ Φοντάνας εἴρηκεν, οὐ Λέοντος τοῦ Βουλγαρίας, ἀλλὰ Φωτίου καὶ τόδε τὸ ἐρώτημα ἔργον εἶναι.

* Γραπτέον—Εὐφήμιον—ὡς καὶ ἐν τῇ Β' Ἐρωτήσει γέγραπται. Ἴδε περὶ τοῦ Εὐφημίου τούτου Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 69—70.

† Γραπτέον, οἶμαι, "ὑπὸ Ἀκακίου."

‡ Γραπτέον, οἶμαι, "δι' εὐσέβειαν."

‖ Γραπτέον, οἶμαι, "θαυμάζουσι μέντοι."

§ Τούτοις παρατίθει τὰ ἐν τῇ Γ' Ἐρωτήσει περὶ Ἀναστασίου καὶ Γρηγορίου εἰρημένα, ἔτι δὲ καὶ Μελετ. Ἐκκλ. Ἱστ. Τόμ. Β', σελ. 110, 123, καὶ 128.

** Ἴδε τὰ περὶ τούτου ἐν τῇ Ἐκκλ. Ἱστ. Μελετίου (Τόμ. Α', σελ. 145—6), ἔνθα καὶ περὶ τῆς διαφωνίας τῶν ἱστορούντων τὰ περὶ Σίμωνος τὰ προσήκοντα σεσημείωται· ἔτι δὲ καὶ ἐν Εὐαγγελ. Κήρυκι (Ἔτος Α', σελ. 77—80).

Digitized by Google

"*"Οτι τοῦ ξυρᾶσθαι ἀπολογεῖσθαί φασι τοὺς Ῥωμαίους, ὡς ἐκ τῆς κατὰ μακάριον Ἰὼβ μιμήσεως· καὶ "γάρ φασιν αὐτὸν ξυρίσασθαι ἐν ταῖς συμφοραῖς, ὥς φασι* πένθους ὑπάρχειν ἐνδεικτικόν· καὶ ἡμεῖς "χρώμεθα αὐτῷ καθ' ὁμοιότητα πενθοῦντες τὰς ἡμῶν ἁμαρτίας.

"*"Οτι τὴν τοῦ κρέως ἀπόθεσιν ποιοῦνται, καθ' ἣν ἡμεῖς τὸν τυρόν· τὸν δὲ τυρόν, καθ' ἣν ἄγομεν τὴν "πρώτην τῶν νηστειῶν."

* Γραπτέον, οἶμαι, "ὃ φασι."

ΤΕΛΟΣ ΤΩΝ ΕΡΩΤΗΜΑΤΩΝ ΚΑΙ ΑΠΟΚΡΙΣΕΩΝ.

Digitized by Google

ΠΑΡΑΡΤΗΜΑ Β΄.

ΦΩΤΙΟΥ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

Κρίσεις καὶ ἐπιλύσεις πέντε κεφαλαίων.[1]

Τῷ θεοφιλεστάτῳ, ὁσιωτάτῳ συλλειτουργῷ, Λέοντι
Ἀρχιεπισκόπῳ Καλαβρίας
Φώτιος Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως.

Τὰ παρὰ τῆς ὑμῶν θεοφιλίας πρὸς ἡμᾶς ἀναπεμφθέντα κεφάλαια, τοῖς θεοφιλεστάτοις ἡμῶν ἐπιδοθέντα Μητροπολίταις, καὶ παρ' αὐτῶν δοκιμασθέντα τε καὶ βασανισθέντα, τοιαύτης ἔτυχε κρίσεως τε καὶ ἐπιλύσεως.

ΚΕΦΑΛΑΙΟΝ Α΄.—*Περὶ μὲν τῶν χειροτονίαν ἱερατικὴν μηδεμίαν ἐχόντων, βάπτισμα δὲ δι' ἑαυτῶν τελεσάντων, τοιοῦτόν τι ὥρισται. Ὡς, εἰ μὲν ἐν ἐλευθέρᾳ γῇ καὶ Χριστιανῶν παῤῥησίᾳ, ἱερέων τε εὐπορίᾳ, τοῦ τοιούτου κατετόλμησαν ἐγχειρήματος, τῶν ἱερῶν διακοσμήσεών τε καὶ προχειρήσεων τὸν θεσμὸν εἰς φαῦλον τιθέμενοι, μᾶλλον δὲ ἀλαζονείᾳ ἐμπορευσάμενοι, σφοδρῶς ἐπιτιμηθέντες ὑπὲρ τῶν ἤδη πλημμεληθέντων, καὶ τῆς μετὰ ταῦτα ἱερατικῆς προχειρίσεως δι' αὐτό γε τοῦτο ἀπειρχθήσονται· οἱ γὰρ τὴν τοῦ θείου Πνεύματος χάριν ἀποσυλῆσαι θελήσαντες, καὶ ἑαυτοῖς τὴν τιμήν, ἀλλ' οὐχ ὑπὸ Θεοῦ καλούμενοι, ἐπιτρέψαντες, ὡς τῆς θείας χάριτος καταφρονηταί, ταύτης ἑαυτοὺς ἀπεστέρησαν· ὧν γὰρ πρὸ τοῦ λαβεῖν κατεφρόνησαν, τούτων καὶ μετὰ τὸ λαβεῖν εἰκότως καταφρονῆσαι οὐ παραιτήσονται· τοὺς δέ γε παρ' αὐτῶν βαπτισθέντας οὐδαμῶς δεξαμένους Πνεύματος χάριν ἡγούμεθα. Δι' ὃ καὶ ἐν ὕδατι βαπτισθῆναι, καὶ τῷ ἁγίῳ μύρῳ χρισθῆναι, καὶ οὕτω τελειωθῆναι διοριζόμεθα, κἄν τι τοιοῦτον καταφρονητικῶς τε καὶ ἀναξίως προδιεπράχθη, ἑπόμενοι τοῖς Ἀποστολικοῖς κανόσι, σφοδρῶς ἐπιτιμῶσι τοὺς μὴ βαπτίζοντας τοὺς ὅσοι παρὰ τῶν ἀσεβῶν ἐδέξαντο βάπτισμα, ὡς μὴ διακρίναντας ἱερέας ψευδιερέων.*[2]

---

[1] *Ὥσπερ ἡμῖν ἐν τοῖς Προλεγομένοις* (σελ. 89) *εἴρηται, πρῶτος τὸ Φωτίου τοῦτο πονημάτιον ὁ Καρδινάλιος ἐξέδωκε Μάϊος ἐν τῷ πρώτῳ Τόμῳ τῆς τῶν ἀρχαίων συγγραφέων νέας συλλογῆς*—" Scriptorum veterum nova collectio etc., ab Angelo Maio etc." (Tom. 1, p. 362—8, ed. 1825), *ἔκ τινος παλιμψήστου κώδηκος τῆς ἐν Οὐατικανῷ βιβλιοθήκης τοῦτ' ἀντιγράψας, ὡς αὐτός φησιν ἐν τοῖς προλεγομένοις* (*Τόμ. Α΄*, σελ. xxi). *Καὶ Μίγνιος δὲ τοῦτο ἐν ταῖς Φωτίου ἐπιστολαῖς* (στλ. 773—781) *μετετύπωσεν, οὐδὲν τῶν κακῶς ἐν τῇ πρώτῃ ἐκδόσει γεγραμμένων φροντίσας, ὧν τὰ πλεῖστα ὀρθῶς ὁ ἡμέτερος Σοφοκλῆς Κ. Οἰκονόμου ἐν τοῖς τῶν Ἀμφιλοχίων προλεγομένοις* (σελ. ν΄, σημ. γ΄) *διωρθώσατο, ἅμα καὶ τὸ ἐν τέλει διάκενον χωρίον ἀναπληρώσας· ἡμεῖς δὲ τῶν τε πόνων καὶ τῆς ἀγαθῆς ἐκείνου προαιρέσεως ἀπωνάμεθα· ἔφη γὰρ τὰς διορθώσεις ταύτας εἰς βοήθειαν τοῦ δευτέραν ἐπιχειρήσοντος ἔκδοσιν παραθεῖναι.*

[2] *Καν. τῶν ἁγίων Ἀποστόλων ΜΣΤ΄.*—" *Ἐπίσκοπος ἢ πρεσβύτερος τὸν κατ' ἀλήθειαν ἔχοντα*

Digitized by Google

Εἰ δ' ἐν βαρβαρικῇ τινες παροικοῦντες ἐπικρατείᾳ, καὶ ἱερέων ἐπιλιπόντων, βάπτισμα ἱερὸν ἐπετέλεσαν, συγγνώμῃ τῇ ἀνάγκῃ, καὶ τῷ μὴ ἀγεύστους τῆς χάριτος διὰ τὴν τυραννίδα τοὺς ταύτην ἐπιδεομένους ἀποστραφῆναι.[1] Δι' ὃ τοὺς βαπτίσαντας, κἂν ἄνευ χειροτονίας, ἐπιτίμῳ κρίσει οὐκ ἔδοξεν ἡμῖν καθυποβαλεῖν· τοὺς δέ γε βαπτισθέντας ἀναμυρισθῆναι μὲν πάντως διοριζόμεθα, κἂν εἰ παρ' αὐτῶν ἐμυρίσθησαν· καὶ οὕτω διὰ τῆς τοῦ θείου μύρου ἅπαξ χρίσεως ἐν ἑπτὰ ἡμέραις τελειωθῆναι· οὐ μὴν δὲ τὸ ὁπωσοῦν γεγονὸς διὰ τὴν ἀνάγκην βάπτισμα μὴ συγχωρηθῆναι· κἂν γὰρ ἀτελές, ὅμως τῇ ἐπικλήσει τῆς παναγίας Τριάδος καὶ τῷ πιστῷ σκοπῷ τῶν ἐπικαλουμένων, τῇ τε πίστει τῶν ὑποδεχομένων τετίμηται. Δι' ὃ οὐδὲ ἔμπαλιν βαπτίσαι τῷ ὕδατι τοὺς βαπτισθέντας ὁρίζω, ἵνα μὴ ἀναβαπτίσαι δόξωμεν· ἥ τε γὰρ τῶν αἰτουμένων πίστις, καὶ ὁ τῶν τελούντων περὶ τὴν εὐσέβειαν σπουδαῖος σκοπός, ἥ τε τῆς τυραννικῆς ἐπικρατείας παρόρασις, καὶ ἡ τῶν ἐπηρτημένων κινδύνων διὰ Χριστὸν καταφρόνησις, οὐκ ἄμοιρον τοῦ ἁγίου Πνεύματος οὐδ' ἀνίερον τὸ τελεσθὲν βάπτισμα δοκοῦσι καταλιπεῖν· πολλὰ γὰρ ἀνέκαθεν παρὰ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ συνεχωρήθη βαπτίσματα, διὰ καιρῶν καὶ τόπων ἀνάγκην χρησίμως ἀποδεχθέντα.[2] Καὶ περὶ μὲν τούτου τοσαῦτα.

ΚΕΦΑΛΑΙΟΝ Β'.—Περὶ Πρεσβυτέρων καὶ Διακόνων, ὧν αἱ γυναῖκες ὑπὸ βαρβάρων διεφθάρησαν.—Περὶ δὲ τῶν Πρεσβυτέρων καὶ Διακόνων τῶν ἐκ βαρβαρικῆς ἁλώσεως τὰς οἰκείας ἀναδεξαμένων γυναῖκας, φθορὰν ἐν τοῖς βαρβάροις ὑποστάσας, οὐχ ἁπλοῦν ὁρῶμεν τὸν νόμον, ἀλλὰ πρὸς τὰς διαφόρους ποικιλλόμενον πράξεις. Εἰ μὲν γὰρ ἑκουσιότητι τὴν φθορὰν ὑπέστησαν, παντὶ τρόπῳ τοὺς ἄνδρας τούτων, ἱερωμένους ὄντας, ἢ τούτων τῶν γυναικῶν ἐκστῆναι, ἢ βουλομένους ταύταις συνεῖναι πεπαῦσθαι τῆς ἱερωσύνης·[3] οὕτω μέν, εἰ ἑκουσιότητι ὑπέστησαν τῇ φθορᾷ. Τὸ μὲν οὖν πάθος πάλιν τέμνεται εἰς δύο· τὸ μὲν γὰρ αὐτοῦ μεμιγμένην ἔχει τὴν τοῦ ἠναγκασμένου συγκατάθεσιν· τὸ δὲ παντελῶς ὑπάρχει γνώμης καὶ συγκαταθέσεως ἐλεύθερον τοῦ ἐπηρεασθέντος· οἷόν τι λέγω. Ἐλπίδι ἢ φόβῳ μαστίγων[4] τινὲς τῶν γυναικῶν, ἢ καὶ πρὸς πεῖραν τῆς τιμωρίας ἀφιγμέναι, ἐξέδωκαν ἑαυτὰς εἰς φθοράν· συγγνώμης μὲν οὖν αὗται ἄξιαι, ἢ αἱ πρότερον, ἅτε μὴ βουληθεῖσαι[5] διαφθαρῆναι, ὕστερον δὲ ὑπὸ τῆς ἀνάγκης πρὸς τοῦτο κατολισθήσασαι· οὐ μὴν δὲ οὐδὲ αὗται ἄξιαι τυγχάνουσιν ἱερωμένοις συνεῖναι ἀνδράσιν· συγγνώμης γὰρ ἐπὶ ῥυπάσμασι καὶ καθαρότητος πολὺ τὸ διάφορον· δι' ὃ καὶ οἱ βουλόμενοι αὐταῖς ἱερεῖς συνάπτεσθαι, καὶ οὗτοι τοῦ οἰκείου διαπεσοῦνται ἀξιώματος· τὸ δὲ λοιπὸν παρὰ ταῦτα, ὡς τοῦ ἀκουσίου εἴδους, ἐξῄρηται τῆς κοινωνίας τού-

---

" βάπτισμα ἐὰν ἄνωθεν βαπτίσῃ, ἢ τὸν μεμολυσμένον παρὰ τῶν ἀσεβῶν ἐὰν μὴ βαπτίσῃ, καθαιρείσθω, ὡς " γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον, καὶ μὴ διακρίνων ἱερέας τῶν ψευδιερέων."

[1] Ἐκ διορθ. Σοφ. Κ. Οἰκονόμου, ἀντὶ—τὸ μὴ . . . ἀποστραφῆναι.

[2] Ἐκ διορθ. τοῦ αὐτοῦ, ἀντὶ—ἀποδειχθέντα.

[3] Προσθετέον, οἶμαι, " διοριζόμεθα," ὡς ἐν τῷ προτέρῳ κεφαλαίῳ, ἢ " διώρισται," ὡς ἐν τοῖς ἑξῆς.

[4] Ἐκ διορθ. Σ. Κ. Οἰκον. ἀντὶ—ἐλπίδι φόβῳ ἢ μαστίγων.

[5] Ἐκ διορθ. τοῦ αὐτοῦ, ἀντὶ—ἅτε δὴ βουληθεῖσαι.

Digitized by Google

του· οἷόν τι λέγω. Εἴ τις, βασάνων ἐπαγομένων, ἢ καὶ μὴ ἐπαγομένων, χεῖρας καὶ πόδας δεθείη, εἶτα περιφυλάξαι ἑαυτὴν τὰ μάλιστα σπουδάζει, πόρον δ' οὐκ ἔχει, αὕτη,[1] κἂν δοκῇ διεφθάρθαι, φθορᾶς τὴν ἑαυτῆς ψυχὴν ἐλευθέραν τῇ γε ἀληθείᾳ διατηρήσασα κρίνεται. Ταῖς τοιαύταις οὖν γυναιξὶν εἴ τινες τῶν ἱερωμένων συνοικεῖν βούλοιντο, οὐδεμίαν ἐπ' αὐτῶν ὁρῶμεν ἀποτομίαν προβαίνουσαν· ἀγαπητὸν μὲν γὰρ καὶ ἐπαινετόν, εἰ καὶ κοινῇ γνώμῃ καὶ βουλῇ τὸ συνοικέσιον διαλύσουσιν, οὐχ ὡς ῥυπάσματος ἢ κηλιδώσεως αἴτιον, ἀλλ' ἵνα τάς τε τῶν πολλῶν ὑπολήψεις ἐπὶ τὸ μᾶλλον θαυμάζειν τὴν ἀρετὴν διεγείρωσι, καὶ τῶν χαιρεκάκων παντελῶς τὰ στόματα ἀποῤῥάψωσι, καὶ μαρτύριον ἐναργὲς παραστήσωσιν, ὅτι βίας μόνης ἦν ὅπερ ἐξ ἐπηρείας ὑπέστησαν· εἰ γάρ, ἐξὸν αὐτῇ ἀνδρὶ τῷ νομίμῳ κοινωνεῖν, ἡ δὲ Θεῷ μᾶλλον κολληθῆναι ᾑρετίσατο, πῶς ἂν τὴν γεγενημένην εἰς αὐτὴν βάρβαρον πρᾶξιν ἀκούσιόν τε περιφανῶς καὶ ἀνεπιτίμητον μὴ δείκνυσιν; Τοῦτο δὲ φαμέν, εἰ ἄρα τῷ ἀνδρὶ τὰ τῆς διαζεύξεως συνδοκεῖ· ἂν δὲ μή, οὐκ ἐν εὐθύναις τὴν ἕνωσιν ἄγομεν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.—Περὶ τοῦ, εἰ χρὴ βαπτίζεσθαι τὰ τῶν Σαρακηνῶν βρέφη, ἐν τῇ αὐτῶν ὄντα χώρᾳ καὶ εἰς τοὺς ἑαυτῶν οἴκους.—Τὰ δέ γε τῶν Σαρακηνῶν βρέφη, παρὰ τῶν μητέρων προσαγόμενα, μηδαμῶς ἀποστερεῖσθαι τοῦ θείου βαπτίσματος δεδοκίμασται· οὐδὲ γὰρ κεκώλυται παρὰ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ τὸ καὶ ἐν ἀπαλαῖς ἔτι φρεσὶ τὴν θείαν χάριν τοῦ βαπτίσματος δέχεσθαι, κἂν μετὰ ταῦτα ἠβάσκουσι, καὶ τὸ αὐτεξούσιον ἑκάστου τὸν βίον πῇ μὲν σπουδαῖον, πῇ δὲ φαῦλον διατίθησιν. Εἰ γὰρ τὸ μέλλον ἀόρατον, ἄτοπον μὴ καταβαλεῖν[2] ἀγαθοὺς θεμελίους τῷ ἐξουσίαν ἔξοντι ἐποικοδομῆσαι τοῦ βίου τὸν οἶκον· εἰ δὲ καὶ ἡ βαρβαρικὴ παίδευσις κενὸν ἀποδεικνύειν τὸ θεῖον βάπτισμα δοκεῖ, ἀλλ' οὐ τοῦ βαπτίσματος τὸ ἔγκλημα, τοῦ δὲ τὸ βάπτισμα ἀθετήσαντος, ἢ ἀθετῆσαι παρασκευάσαντος. Ὥσπερ γὰρ τὸ διδάσκειν τὴν εἰς Χριστὸν πίστιν, κἂν οἱ διδασκόμενοι καταῤῥαθυμοῦσιν, ἀνέγκλητον, οὕτω καὶ τὸ βαπτίζειν, κἂν ὁ μετὰ ταῦτα βίος τῶν βαπτισθέντων ἀδόκιμός τε καὶ ἄπιστος. Μᾶλλον οὖν ἀγαθὸν βαπτίζεσθαι τὰ βρέφη, καὶ τὸν τῆς πίστεως ἀῤῥαβῶνα τέως ὑποδέχεσθαι· ἴσως ὑπομνησθέντα ποτέ, ὅτι Χριστὸν ἐνεδύσαντο, ἐλέσθαι βουληθῶσι τὴν χάριν διὰ τῆς χάριτος· ἐν οἷς γὰρ τὰ τῆς ἐλπίδος ἀμφίβολα, τὸ χρηστὸν μᾶλλον αἱρεῖσθαι χρή, κἀκείνῳ συγγίνεσθαι. Δεῖ γάρ, κἂν εἰ μὴ τελειωθῇ τις τῷ καλῷ, ἀπάρξασθαι τοῦ καλοῦ· αἱ γὰρ τῆς πίστεως τὸν ἀῤῥαβῶνα ποθοῦσαι τὰ ἴδια τέκνα δέξασθαι μητέρες, εἰ μὲν τύχοιεν, προθυμότεραι καὶ πρὸς τὴν διδασκαλικὴν τελείωσιν ἔσονται· εἰ δ' ἀποτύχοιεν, οὐ μόνον τῶν τέκνων, ἀλλὰ καὶ ἑαυτῶν ἴσως καταμελήσουσιν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.—Περὶ τοῦ, εἰ χρὴ γυναιξὶ διδόναι δῶρα πρὸς τὸ ἀποκομίσαι ἐγκεκλεισμένοις Χριστιανοῖς ὑπὸ τῶν Σαρακηνῶν.—Περὶ δέ γε τῶν τὴν κοινωνίαν διακομιζουσῶν γυναικῶν τοῖς βαρβαρικοῖς οἴκοις ἐγκεκλεισμένοις Χριστιανοῖς, τοῦτο διώρισται, ὡς εὐσχήμονας εἶναι χρὴ ταύτας, καὶ οἵαι

---

[1] Καλῶς μὲν τοῦτο Σοφ. Κ. Οἰκονόμου διωρθώσατο, ἀντὶ—πόρον οὐκ ἔχει αὐτή· προσέδει δέ, ὡς ἔμοιγε δοκεῖ, καὶ τὴν ἀντωνυμίαν "αὐτὴ" δεικτικῶς γεγράφθαι, ὥσπερ δὴ καὶ ἔγραψα.

[2] Ἐκ διορθ. τοῦ αὐτοῦ, ἀντὶ—μὴ καταλαβεῖν.

Digitized by Google

δ' ἂν αἱ παρθενίᾳ ἢ σεμνῷ γήρᾳ κοσμούμεναι, καὶ ἄξιαι εἰς διακονίαν καὶ εἰς διακόνων παραδεχθῆναι βαθμόν. Εἰ δὲ τοιούτων ἀπορία εἶναι δοκεῖ, μηδὲ τὰς πίστεως ἀλλοτρίας βουλομένας εὐποιεῖν Χριστιανοῖς ἀδελφοῖς, καὶ ἐπὶ τοσοῦτον αὐτοῖς[1] τεθαῤῥηκέναι καὶ προσανατεθῆναι, μηδ' αὐτὰς ἐκείνας παρατηρεῖσθαι· ἀλλὰ καὶ δι' αὐτῶν εἰσκομίζειν τὴν τοῦ ἀγαθοῦ κοινωνίαν τοῖς μηδ' ὑπ' αὐτῆς τῆς τυραννίδος τῆς εἰς Χριστὸν κατωλιγορηκόσι πίστεως· οὐδέποτε γὰρ κοινοῦται τὸ ἅγιον, μᾶλλον δὲ ἁγιάζει καὶ τοὺς κεκοινωμένους· εἰ μὴ ὕποπτά τινα πρόσωπα, καταπαίζειν συνήθως[2] ἔχοντα τῶν θείων, ταῦτα ἐγχειρισθῆναι προφασίζοιντο.

ΚΕΦΑΛΑΙΟΝ Ε'.—Περὶ τοῦ, εἰ χρὴ κοινωνεῖν τοὺς ὑπὸ τῶν Σαρακηνῶν εἰς ἀσέλγειαν βιασθέντας παῖδας.—Ἔτι δὲ καὶ περὶ τῶν παρὰ τῆς βαρβαρικῆς ἀσελγείας βιασθέντων παιδίων, διὰ τὸ τῆς βίας ἐπάναγκές[3] τε καὶ ἀπαραίτητον, συγγνώμην τούτοις δοθῆναι, καὶ τῆς ζωοποιοῦ κοινωνίας μὴ ἀποκωλυθῆναι διώρισται· εἰ μή πω ἑκούσιον τὸ ἁμάρτημα κατειργάσαντο· τότε γὰρ καὶ αὐτοῖς τὰ ἐπὶ τοῖς ἑκουσίως τοιαῦτα πλημμελοῦσι προσφόρως ἐπιτίμια προσαρμόσει.

Τοσαῦτα μὲν τὰ[4] παρὰ τῆς σῆς θεοφιλίας προβληθέντα ζητήματα, ἄξια προφανῶς ἐρεύνης τυγχάνοντα, καὶ τῆς σῆς συνέσεως τὸ σπουδαῖον χαρακτηρίσαι δυνάμενα· καὶ τοιαύτη ἡ[5] παρὰ τῶν θεοφιλεστάτων Μητροπολιτῶν συμφώνως περὶ αὐτῶν ἐξανεστηκυῖα ψῆφος, ἥτις παρὰ τῆς ἡμῶν μετριότητος ἐπισφραγισθεῖσα καὶ ἀποδεδεγμένη, πρὸς τὴν σὴν θεοφιλῆ παραπέμπεται ὁσιότητα. Δέχου τοίνυν τῶν σῶν προβλημάτων τὰς ἐπιλύσεις σαφεῖς, ὡς ἐξῄτησας, ἐν καιρῷ καὶ προσώπῳ τῷ ἐπιτηδείῳ ταύτας συντηρῶν καὶ παραφυλάττων· καὶ μή τι περὶ τὴν τούτων ἀποτυχίαν, ἀλλ' ὅτι ἀκηδίᾳ κ . . . ἄλλῳ . . . τὰ δ' ἄλλῳ. Ἐῤῥῶσθαι δὲ διὰ παντὸς κυ . . . λιπαροῦ μὴν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, τὸ ἱερὸν ὑμῶν ποιμένοντα ποίμνιον, καὶ τῶν ψυχολετήρων παθῶν διατηρ[ῆσαι ποῤῥώ]τερον.[6] —Τέλος τῶν κεφαλαίων.

---

[1] Ἐκ διορθ. Σ. Κ. Οἰκονόμου ἀντὶ—αὐταῖς.

[2] Γραπτέον, οἶμαι,—συνήθειαν—ἢ καὶ οὐδετέρως "σύνηθες."

[3] Ἐκ διορθ. Σ. Κ. Οἰκον. ἀντὶ—ἐπάγαγόν τε.

[4] Ἐκ διορθ. τοῦ αὐτοῦ ἡ προσθήκη τοῦ ἄρθρου—τά.

[5] Ὁμοίως ἡ τοῦ ἄρθρου—ἡ.

[6] Τὸ διάκενον καὶ ἡμαρτημένον τοῦτο χωρίον οὑτωσὶ ἀναπληροῦται καὶ διορθοῦται ὑπὸ Σ. Κ. Οἰκονόμου· "καὶ μή τι περὶ τὴν τούτων ἀποτυχίαν ὀλισθήσῃς (ἢ—ἁλῷς) ἀκηδίᾳ, κ[ελεύων] ἄλλῳ [μὲν ταῦτα], τὰ δ' ἄλλῳ. Ἐῤῥῶσθαι δέ [σε] διὰ παντὸς [τὸν] Κύ[ριον] λιπαροῦμεν, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ τὸ ἱερὸν ὑμῶν ποιμαίνοντα ποίμνιον, καὶ τῶν ψυχολέθρων παθῶν διατηρ[οῦντα ὑπέρ]τερον."

ΤΕΛΟΣ.

Digitized by Google

Digitized by Google

ΠΙΝΑΞ ΛΕΞΕΩΝ ΤΩΝ ΜΑΛΙΣΤΑ ΣΗΜΕΙΩΣΕΩΣ ΑΞΙΩΝ ΚΑΙ ΠΑΡΟΙΜΙΩΝ ΤΙΝΩΝ.

ἀγαμία (Κληρικῶν) . . . . . ἐν σελ. 169, 242
ἅγιος (ἅγια καὶ μαργαρίται) 253, 255
ἀγριέλαιος (κοιν. ἀγριλιά) 168
ἀδράκτι καὶ ἀρδάκτι (ἄτρακτος) 458
ἀέρα δέρειν (παροιμ.) 419, 494
Ἀϊά (=Θεός) 283
αἰθάλη (κοιν. ἀθάλη) 256
Αἰθίοψ (οὐκ ἀλλάξεται τὸ δέρμα αὐτοῦ) . . 5
αἰκίζομαι (τοὺς καλοὺς λόγους κακῇ προφορᾷ) 547
αἵματι ἵδρωσε (παροιμ.) 274
αἵματι κλαίει (ὁμ.) . . . . . αὐτ.
αἰὼν Φωτίου 23
ἀκερσεκόμης (ὁ χρόνος ἔμπροσθεν) 549
ἀκεστορία (τέχνη) 450
ἀκεστορίδης καὶ ἀκέστωρ 543
ἀκκίζομαι 436
ἀκκίσματα (κοιν. τσακίσματα) . . . . . αὐτ.
ἀκόνη 224
ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν (παροιμ.) 147
ἀλγηδών (ὀμμάτων ἀλγηδόνες) 242
ἅλες κοινοί (ἡ φιλία, ἀγάπη) 147
ἄλλο γλαύξ, ἄλλο κορώνη φθέγγεται (παροιμ.) 155
Ἀμαλθείας κέρας . . . . . 448—9
ἀμανίτης 555
ἄμαξα (τὰ ἐξ ἀμάξης) 504
Ἀμασειανός, Ἀμασεύς, Ἀμασεώτης . . . 433
ἀνάθεμα (πότε φευκτόν) 500
ἀναμέσον καὶ ἀνάμεσα 565
ἀναμεταξύ . . . . . αὐτ.
ἀναμυρίζειν καὶ ἀναμυρισμός 170, 177
ἀνδριαντάριον 430
ἀνδριάς (ὁ ἡμέτερος ἀνδριάς=ἐγώ) 494
ἀνδρόγυνος 520
ἀνέδην (ἀντιθ. τῷ "ὑπ' ἐνέδρᾳ") 470
ἀνέμῳ διαλέγεσθαι (παροιμ.) 419
ἀνεμώνη (ἰατρ.) 544
ἀνθυποφέρω (ποιοῦμαι σχῆμα ἀνθυποφορᾶς) . 310
ἀνομογενής 398
ἀνομόφυλος . . . . . αὐτ.
ἀνταποδώσῃ (ἀντὶ "ἀνταποδῷ") 239
ἀντικείμενος (ὁ Ἀντίχριστος) 176
ἄνω ποταμῶν χωροῦσι πηγαί (παροιμ.) . 322, 528
ἄξενος (ὁ Σκυθικὸς πόντος) 547
ἀπερίτμητος (ὁ Μελχισεδέκ) 154
ἀποκρισιάριος 152
ἀργεμώνη (ἰατρ.) 544
Ἀρκαδίαν μ' αἰτεῖς (παροιμ.) 504
ἀρότρῳ ἀκοντίζειν (ὁμ.) 503
ἄρτι μῦς πίττης γεύεται (ὁμ.) . . . . . αὐτ.
Ἀρχή (Ἀρχὴ ἄνδρα δείκνυσι) 224
ἀσβόλη (ἀσβολοπερεχυμένος) 256
Ἀσηκρῆτις (Λατ. a secretis) 27
Ἀσκληπιάδαι (οἱ ἰατροί) 543
ἄτρακτος 458
αὐτοσαπρία 507
ἀφάνα ἡ ἀφάννα 374
ἀφήσῃ (ἀντὶ "ἀφῇ") 437

βάπτισμα . . . . . 572—4
βασιλεύς (εὔχεσθαι ὑπὲρ βασιλέων) . . . 484
βασιλεύω (σήμερον οὐκ ἐβασίλευσα) . . . 516
βατράχιον (ἰατρ.) 544
βικάριος (Λατ. vicarius) 526
βοήθημα στομαχικόν (ἰατρ.) 543
βολίς (βολίδες ὀμμάτων αἱ γυναῖκες) . . . 242

γαστρίοικον (τὸ Πύθωνος πνεῦμα) 368
γέμω καὶ γεμίζω (μετὰ αἰτιατικῆς) 362

Digitized by Google

γήδιον 513
γίγας (ὁ ἥλιος) 466
γλεῦκος (κοιν. μοῦστος) 257
Γόργειος παιδιά 306
γραμματικεύομαι 541
γραῦς ἐν τριόδῳ 377

δαδοῦχος (οἱ ὀφθαλμοὶ δαδοῦχοι ἔρωτος) . . 242
δένδρον (ἡ τυραννίς) 521
δευτέρωσις (δευτερώσεως νόμος) 252
δῆμος (=ἀριθμός) 157
δήμιος (πάνδημος δήμιος) 514
διαμαρτύριον 351
διάττω (ἀστέρες διάττοντες) 256
δίκην παρ' ἑτέρου εἰσπράττεσθαι 421
δικτύῳ ἄνεμον θηρᾶν (παροιμ.) 419
δόκησις (μέγα κακόν) 429
Δομέστικος (Λατ. domesticus) 445
Δρουγγάριος (ἐκ τοῦ Λατ. drungus) . . . 447
δρυὸς ἅλις (παροιμ.) 137
δρυόχων ἅλις (ὁμ.) 138
δυστυχής (ὁ εὐτράπελος) 244

ἐγγαστρίμαντις 368
ἐγγαστρίμυθος . . . . . αὐτ.
ἐγκομβώσασθαι . . . . . 541 καὶ 542
εἴδωλον (τὰ εἴδωλα. τῶν ἐθνῶν) 400
εἰμί (ὅτι παρέλκει ἐνιαχοῦ τῶν Γραφῶν) . . 403
εἰς οὐρανὸν τοξεύειν (παροιμ.) 419
εἰς πῦρ ξαίνειν (ὁμ.) . . . . . αὐτ.
εἰς τετρημένον ἀντλεῖν πίθον (ὁμ.) . . . . „
εἰς ὕδωρ σπείρειν (ὁμ.) . . . . . „
ἔλλειψις (σχῆμα) 297
ἐμπερίτμητος (ὁ Ἀβραάμ) 154
ἐναθύρει (παῖς χερσὶ πατρός) 458
ἐνάλλεται (παῖς χερσὶ πατρός) . . . . . αὐτ.
ἔνεδρον (τό) 419
ἐνσκιρροῦμαι 426
ἐντερόμαντις 368
ἐξουσία (ἔχειν τὴν γυναῖκα ἐξουσίαν ἐπὶ τὴν κεφαλήν) 328
ἐπαλαμήσατο (=ἐμηχανήσατο) 220

ἐπαναφορά (σχῆμα) 310
ἐπεπόνθει ἐγώ (ἀντὶ "ἐπεπόνθειν") . . . 306
ἐπιχείριον 209
ἔῤῥει τὰ καλά (παροιμ.) . . . . . 514 καὶ 528
ἐσοδιάζω (τὸ νῦν κοιν. σοδιάζω) 489
ἑσπέρα (οἱ πρὸς ἑσπέραν ἄνθρωποι) . . . 509
ἑταιροζυγῶ καὶ ἑτεροζυγῶ 398
Εὐρυκλῆς (τὸ Πύθωνος πνεῦμα) 368
εὐτραπελία καὶ εὐτράπελος 244
Ἐφούδ 385
ἐφ' ᾧ (=διότι) 265
ἔχιδνα (μῦθος ἐχίδνης) 443
ἐχθρόξενος ναύταις (ὁ Σκυθικὸς πόντος) . . 548
ἕως (ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς κ.τ.λ.) . . 363

ζεῦγμα (σχῆμα) 314
ζύμη (Φαρισαίων) 330

ἤδει ἐγώ (ἀντὶ "ἤδειν ἐγὼ") 306
ἦ δ' ὅς . . . . . αὐτ.
ἠκηκόει ἐγώ (ἀντὶ "ἠκηκόειν ἐγὼ") . . . . „
ἦν δ' ἐγὼ . . . . . „
ἡμίτομος 493
Ἡράκλειον πανακές (ἰατρ.) 544
Ἡσυχαστής (μοναχός) 345

θερεία (ὥρα) 544
θερισμός 507
θερισταὶ Ἄγγελοι . . . . . αὐτ.
θηλυδρίας 416
θρόμβος (ἱδρὼς ὡσεὶ θρόμβοι αἵματος) . . 274
θυΐσκη 401
θυρεός 185

Ἰαβέ (=Θεός) 283
ἰατρός (ἰατροὶ ψυχῶν οἱ σοφοὶ ἄνδρες) . . 226
ἰδικός (ὁ ἐπὶ τοῦ ἰδικοῦ) 449
Ἱεραρχία (ἡλίκον ἐστί) . . . . . 133 καὶ 144
ἱμάς (τὸν ἱμάντα τῶν ὑποδημάτων) 365
ἵππουρις (ἰατρ.) 544

καβαλλάριος (παρὰ Κ. Κουρουπαλ.) . . . 491

Digitized by Google

Καδδησίμ 385
καθυπατεύω 336
καθ' ὕδατος γράφειν (παροιμ.) 419
καπνός (ὁ ἀνθρώπινος βίος) 256
καπνὸς δριμύσσων τὰς ὄψεις 515
καπνὸς Τυρρηνικός 451
καρωθέντες 217
κατὰ πετρῶν σπείρειν (παροιμ.) 419
κείρω (κείρειν τὸ ἦπαρ) 517
κεντρίζω 168
κέφαλος (ὁ ἰχθύς) 527
κινεῖν τὸν ἀφ' ἱερᾶς (παροιμ.) 548
κλίμαξ (σχῆμα κλιμακωτόν) 309
κοινόβιοι ἢ κοινοβιάται (μοναχοί) 345
κοινός (ἀπὸ κοινοῦ σχῆμα) 298
κονιορτός 493
κορωνίς (κορωνὶς κακῶν) 171
κοσμικὴ παῤῥησία 151
Κουβικουλάριος (Λατ. cubicularius) . . . 489
Κουβουκλείσιος . . . . . αὐτ.
κουρίας ἐν χρῷ (ὁ χρόνος ὄπισθεν) 549
κουρίζω 452
Κουρουπαλάτης (Λατ. cura palatii) 492
κουστωδία (Λατ. custodia) . . 55, 474, 526, 532
κρατήρ 404
κριτικός 317
κρόσσια 219
κροσσωτός (χιτών) . . . . . αὐτ.
κυαίστωρ (Λατ. quaestor) 453, 517
κύνες (μὴ δότε τὰ ἅγια τοῖς κυσί) 253
κυνογνώμων (ἄνθρωπος) 254
κωλέα 351
κωνίας (οἶνος) 301
κωφῶν θύρας κόπτειν (παροιμ.) 506

λειμώνιον (ἰατρ.) 544
Λέσβιος δεξιά (παροιμ.) 446
Λεσβίων ἄξια (ὁμ.) . . . . . αὐτ.
λεσχηνεύω 541
λῃστής (ὁ ἐν πόλει λῃστής) 514
λίβελλος 58, 59
λιμαγχονῶ 493
λιμός (εἰς λιμὸν τρέφειν) 478
λίπασμα (ὀφθαλμῶν λιπάσματα) 306
Λογοθέτης τοῦ δρόμου 515
λύγισμα (χοροῦ λυγίσματα) 306

Μαγίστωρ (Λατ. magister) 491
μάζα 492
μαθήματα (τὰ μαθηματικά) 338
μανίτης καὶ μανιτάρι 555
μαργαρίτης 253
μάργαρος καὶ μαργαρίτης 437
ματαΐζω καὶ ματαιάζω 367
ματαιότης (ὁ ἀνθρώπινος βίος) 256
μάχαιρα (ἦλθον βαλεῖν μάχαιραν) 435
μέθη καὶ μέθυσος 511
μέθη τῶν ἀρχόντων ναυάγιον τῶν ἀρχομένων 243
μετακεντρίζω 168
μετάληψις 397
μεταξύ (ἐν τούτῳ τῷ μεταξύ) 565
μή (ἀπαγ. πρὸς ἐνεστῶτα ὑποτακτικῆς) . 348, 547
μητρυιὰ νηῶν (θάλασσα) 548
μιαροφαγῶ 409
μιγὰς ὄχλος 150
μῶμος (ὡς Οὐσιαστ.) 518
μῶμος (ὡς ἐπίθετον) 481

νῆμα 458
Νοτάριος (Λατ. notarius) 348, 518

ξυρᾶσθαι 155, 195

ὄζος (κοιν. ῥόζος) 426
οἱ ἐξ ἀγέλης (ἄνθρωποι) 378
Οἰκονόμος (Ἐκκλησ. ἀξίωμα) 489
οἶση (ἀντὶ "ἐνέγκῃ") 391
οἴσωμεν (ἀντὶ "ἐνέγκωμεν") 462
ὄναρ (ὁ ἀνθρώπινος βίος) 256
ὄνου σιαγών 389
ὁσία (ἡ) = τὰ μνημόσυνα 490
ὅτι (ἀντὶ τοῦ ὥστε) 432, 446
ὀφρύς (Δυτικὴ ὀφρύς) 11

Digitized by Google

παιδεία (τί τέλος παιδείας;) 502
παίζω . . . . . αὐτ.
παλάμαι (αἱ τέχναι) 220
παλαμναῖος 217
πανάριον (Λατ. panarium) 418
παράδοσις . . . . . 168—9
παραινῶ (πῶς συντακτέον) 421
πᾶς (πᾶς ἀνὴρ ἐγεγόνει) 246
πατρόθειος 24, 198
πέπλιον (ἰατρ.) 544
περιβολή (σχῆμα) 298
παριλαλῶν (παῖς χερσὶ πατρός) 458
περιτομή (τὶ δηλοῖ;) 342
περίτροχα κείρειν 156
πεσσεύω 368
πικρά (δόσις φαρμάκου) 543
πνεῦμα (πύθωνος) 368, 369
πνεῦμα (σχῆμα) 318
ποῦς (περὶ πόδα εἶναι) 283
πολιός (πολιώτερος ἢ πιστεύεσθαι) 356
πολυάνδριον 433
πολυγαμία 142
πολύγονον (ἰατρ.) 544
ποταμογείτων (ἰατρ.) . . . . . αὐτ.
πραιπόσιτος (Λατ. praipositus) 444
πράκτωρ (εἰσπράκτωρ) 196, 517
Πρωτοασηκρῆτις 27
Πρωτονοτάριος 360
Πρωτοσπαθάριος 26, 27, 249
πτεροφυῶ (τὸ ψεῦδος πτεροφυεῖ) 514
πτέρυξ (φιλίας πτέρυγες) 440
πῶρος (σκίῤῥος καὶ σκίῤῥωμα) 426

ῥαφιδεύω 387
ῥετσινάτος (οἶνος) 301
ῥῆσις (Σκυθῶν ῥῆσις) 504
ῥητινίας καὶ ῥητινίτης (οἶνος) 301
ῥόζος (κοιν. ἀντὶ "ὄζος") 426
ῥοΐσκος 387

Σαββατίζειν 157
Σακελλάριος* 443, 520
σεμίδαλις (κοιν. σεμιγδάλι) 384
σέσελις (ἰατρ.) 544
Σκευοφύλαξ 322
σκιά (ὁ ἀνθρώπινος βίος) 256
σκινδαψός 374
σκίῤῥος 426
σκυτάλη 540
σολοικισμός (τί διαφέρει σχήματος) . . . 403
σοφίζομαι (ἐσοφίσατο Σολομών) 349
Σπαθάριος 27
Σπαθαροκανδιδάτος 363
Σπαθαροκουβικουλάριος . . . . . αὐτ.
σπῖλος 481
σπονδεῖον (τό) 401
στερνόμαντις 368
στομόω 325
σ' τοῦ κουφοῦ τὴν πόρταν ὅσον θέλῃς βρόντα (παρ.) 506
συκοφάντης (τίς ἐστι κατὰ Δημοσθ.) . . . 152

ταριχεία 532
ταρσός 546
ταχεινὸς ἢ ταχινός 217, 289
τέλος καὶ τελετή 218
τετράγραμμον 282
τέττιγες (οἱ ἐν Λοκροῖς τοῖς ἐν Ἰταλίᾳ) . . 441
τεχνάω, τεχνάζω, καὶ τεχνόω 529
τιθύμαλλος (ἰατρ.) 544
τότε (καὶ τότε=καὶ ταῦτα) . . . 160, 290, 291, 527, 533, 556
τριβοῦνος (Λατ. tribunus) 526
τραγέλαφος 374
τρίοδος (τὰ ἐκ τριόδου) 377
τσακίσματα (ἐκ τοῦ ἀκκίσματα) 436

* Παραλειφθείσης ἐν τῷ κειμένῳ τῆς περὶ τοῦ ἀξιώματος τούτου σημειώσεως, σημειωτέον ἐνταῦθα, ὅτι Ἐκκλησιαστικὸν ἦν ἀξίωμα τοῦτο· καὶ ἦν ὁ Σακελλάριος δεύτερος μετὰ τὸν Οἰκονόμον ἐν τῇ πράτῃ πεντάδι· ἔργον δὲ εἶχε κατὰ τὸν Κοδ. Κουρουπαλάτην "κρατεῖν τὰ ἀνδρῶα καὶ γυναικεῖα μοναστήρια, κ.τ.λ." Ἴδε τὰς περὶ τούτου μακρὰς σημειώσεις τοῦ Γρετσέρου καὶ Γοαρίου εἰς Κ. Κουρουπ. (σελ. 121 κ. ἑξ. ἐκδ. Βόννης).

Digitized by Google

τύραννος (=τυραννικός) 223
τυραννῶ (σήμερον οὐκ ἐτυράννησα) 516
Τυῤῥηνῶν ἔργα . . . . . 450—1

ὕλη 511
ὑπερβατόν (σχῆμα) 297
ὑπεστήσατο (ἔπλασε ψευδῶς) 452
ὑπόδημα 365
ὑποφέρω (ποιοῦμαι σχῆμα ὑποφορᾶς) . . . 310
ὑφέξῃ (ἀντὶ "ὑπόσχῃ") 241

φάρυγξ (ὄφεως) 48
φάρυγξ (γεράνου) 433
φαῦλος (παρὰ φαῦλον ποιοῦμαι) 224
Φιλιστιώνιον 420
φονέω 355
φυλλιάζω 168
φυλλοβολῶ (ἡ ἀλήθεια φυλλοβολεῖ τὰ πτερά) 514
φύρω (καὶ κοιν. φυρμένος) 436

χαμαιλέων μέλας καὶ λευκός (ἰατρ.) . . . : 544
χανδόν (χανδὸν καταπίνων) 527
χαρτουλαρεύω 430
χαρτουλάριος . . . . . αὐτ.
Χαρυβδηδόν . . . . . „
χελιδόνιον μικρόν (ἰατρ.) 544
Χλονθάχοθλος ὁ Ὀφιοκανός 451
χοῖρος 253
χοιρώδης ἄνθρωπος 254
χρίσμα 530, 533
χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα (παροιμ.) 437

ψωμὶ κ' ἁλάτι (παροιμ.) 147

Ὤν (ὁ Ὤν=ὁ Θεός) 283

Digitized by Google

Digitized by Google

ΠΑΡΟΡΑΜΑΤΑ.

ΓΡΑΠΤΕΟΝ

Ἐν σελίδι	9,	στίχ.	15	— οὐχ ἡ	
,, ,,	15	,,	9	— οὐχ ἧττον	
,, ,,	,,	σημ.	2	— Patriarchae	
,, ,,	24	,,	4	— γενέσεως	
,, ,,	25	στίχ.	7	— παραλλάσσων	
,, ,,	,,	σημ.	1	— αὐτὸν διαμιλλᾶσθαι	
,, ,,	26	στίχ.	12	— εἴπερ τισὶ	
,, ,,	28	,,	22	— ἔοικεν	
,, ,,	38	σημ.	1	— καθ' ὑμᾶς	
,, ,,	46	,,	2	— usurpateur	
,, ,,	47	στίχ.	9	— οὐθ' αἱ	
,, ,,	48	,,	5	— γνωσθέντων,	
,, ,,	52	σημ.	2	— ἐθορυβήθη	
,, ,,	53	,,		— ἀφορμῇ ἐχρήσατο	
,, ,,	62	στίχ.	24	— Διοσκόρῳ	
,, ,,	63	,,	14	— ἠλλοτριωμένων	
,, ,,	65	σημ.	2	— du concile	
,, ,,	69	,,		— Ἐρώτημα Θ'.	
,, ,,	85	στίχ.	13	— παραλλάσσων	
,, ,,	91	,,	24	— Νομοκάνονον	
,, ,,	140	,,	14	— οὕτω γάρ φησι	
,, ,,	147	,,	5	— καταλλάσσει	
,, ,,	161	,,	23	— διαβιβάζει	
,, ,,	163	,,	1	— ἄλλος τις	
,, ,,	180	,,	13	— συμπαρέδρους	
,, ,,	185	σημ.	1	— procède	
,, ,,	205	,,	3	— Ἐπισκόπου Κ—πόλεως	
Ἐν σελίδι	206	σημ.	2	— Τριμηθοῦντος	
,, ,,	223	στίχ.	13	— ἀγάπη	
,, ,,	240	,,	10	— ἐπαφιέντι	
,, ,,	251	,,	14	— τὸ νήπιον,	
,, ,,	281	,,	20	— χρυσοῦς	
,, ,,	291	,,	16	— μέρει τινὶ	
,, ,,	295	,,	17	— δύσ—φημον	
,, ,,	297	,,	21	— παραστῆσαι	
,, ,,	302	,,	21	— λόγοις	
,, ,,	304	,,	18	— μιαιφονίαν	
,, ,,	310	,,	11	— τῆς . . . χάριτος	
,, ,,	327	,,	18	— δι' ὃ φησι	
,, ,,	334	,,	26	— ἐπί—στευον	
,, ,,	338	σημ.	5	— λεγόμενα	
,, ,,	376	στίχ.	25	— ὑφ' ἕνα	
	αὐτ.	,,		— ἐλέσθαι	
,, ,,	379	,,	26	— πῶς	
,, ,,	393	σημ.		— ἐσχηματίσθαι	
,, ,,	398	,,	3	— Αὕτη μὲν ἡ σημ. προσήκει τῇ λέξει "ἀνομοφύλῳ·" ἡ δὲ τῇ "ἑτεροζύγῳ" προσήκουσα παρελείφθη ἐκ παραρράματος, οὕτως ἔχουσα.—"Λευῖτ. ΙΘ', 9."	
Ἐν σελίδι	453	σημ.	2	— χειρογράφου	
,, ,,	477	στίχ.	1	— εἰσπράττεται	
,, ,,	526	,,	3	— ἀναγ—καίων	
,, ,,	561	,,	7	— οὗτος δέ ἐστιν.	

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Rec'd H.W.C. 28.11.46

Digitized by Google